Stanford University Libraries
3 6105 121 179 282

Digitized by Google

LELAND·STANFORD·JVNIOR·VNIVERSITY

Digitized by Google

Digitized by Google

281.
M625a

Digitized by Google

PATROLOGIÆ

CURSUS COMPLETUS,

SEU BIBLIOTHECA UNIVERSALIS, INTEGRA, UNIFORMIS, COMMODA, ŒCONOMICA,

OMNIUM SS. PATRUM, DOCTORUM SCRIPTORUMQUE ECCLESIASTICORUM,

SIVE LATINORUM, SIVE GRÆCORUM,

QUI AB ÆVO APOSTOLICO AD TEMPORA CONCILII TRIDENTINI (ANNO 1545) PRO LATINIS ET CONCILII FLORENTINI (ANN. 1439) PRO GRÆCIS FLORUERUNT :

RECUSIO CHRONOLOGICA

OMNIUM QUÆ EXSTITERE MONUMENTORUM CATHOLICÆ TRADITIONIS PER QUINDECIM PRIMA ECCLESIÆ SÆCULA ET AMPLIUS,

JUXTA EDITIONES ACCURATISSIMAS, INTER SE CUMQUE NONNULLIS CODICIBUS MANUSCRIPTIS COLLATAS, PERQUAM DILIGENTER CASTIGATA ; DISSERTATIONIBUS, COMMENTARIIS VARIISQUE LECTIONIBUS CONTINENTER ILLUSTRATA ; OMNIBUS OPERIBUS POST AMPLISSIMAS EDITIONES QUÆ TRIBUS NOVISSIMIS SÆCULIS DEBENTUR ABSOLUTAS DETECTIS, AUCTA ; INDICIBUS PARTICULARIBUS ANALYTICIS, SINGULOS SIVE TOMOS, SIVE AUCTORES ALICUJUS MOMENTI SUBSEQUENTIBUS, DONATA ; CAPITULIS INTRA IPSUM TEXTUM RITE DISPOSITIS, NECNON ET TITULIS SINGULARUM PAGINARUM MARGINEM SUPERIOREM DISTINGUENTIBUS SUBJECTAMQUE MATERIAM SIGNIFICANTIBUS, ADORNATA ; OPERIBUS CUM DUBIIS, TUM APOCRYPHIS, ALIQUA VERO AUCTORITATE IN ORDINE AD TRADITIONEM ECCLESIASTICAM POLLENTIBUS, AMPLIFICATA ;

DUCENTIS ET AMPLIUS LOCUPLETATA INDICIBUS AUCTORUM SICUT ET OPERUM, ALPHABETICIS, CHRONOLOGICIS, STATISTICIS, SYNTHETICIS, ANALYTICIS, ANALOGICIS, IN QUODQUE RELIGIONIS PUNCTUM DOGMATICUM, MORALE, LITURGICUM, CANONICUM, DISCIPLINARE, HISTORICUM, ET CUNCTA ALIA SINE ULLA EXCEPTIONE ; SED PRÆSERTIM DUOBUS INDICIBUS IMMENSIS ET GENERALIBUS, ALTERO SCILICET RERUM, QUO CONSULTO, QUIDQUID NON SOLUM TALIS TALISVE PATER, VERUM ETIAM UNUSQUISQUE PATRUM, NE UNO QUIDEM OMISSO, IN QUODLIBET THEMA SCRIPSERIT, UNO INTUITU CONSPICIATUR ; ALTERO SCRIPTURÆ SACRÆ, EX QUO LECTORI COMPERIRE SIT OBVIUM QUINAM PATRES ET IN QUIBUS OPERUM SUORUM LOCIS SINGULOS SINGULORUM LIBRORUM SCRIPTURÆ VERSUS, A PRIMO GENESEOS USQUE AD NOVISSIMUM APOCALYPSIS, COMMENTATI SINT.

EDITIO ACCURATISSIMA, CÆTERISQUE OMNIBUS FACILE ANTEPONENDA, SI PERPENDANTUR CHARACTERUM NITIDITAS, CHARTÆ QUALITAS, INTEGRITAS TEXTUS, PERFECTIO CORRECTIONIS, OPERUM RECUSORUM TUM VARIETAS TUM NUMERUS, FORMA VOLUMINUM PERQUAM COMMODA SIBIQUE IN TOTO PATROLOGIÆ DECURSU CONSTANTER SIMILIS, PRETII EXIGUITAS, PRÆSERTIMQUE ISTA COLLECTIO UNA, METHODICA ET CHRONOLOGICA, SEXCENTORUM FRAGMENTORUM OPUSCULORUMQUE HACTENUS HIC ILLIC SPARSORUM, PRIMUM AUTEM IN NOSTRA BIBLIOTHECA, EX OPERIBUS ET MSS. AD OMNES ÆTATES, LOCOS, LINGUAS FORMASQUE PERTINENTIBUS, COADUNATORUM.

SERIES GRÆCA PRIOR,

IN QUA PRODEUNT PATRES, DOCTORES SCRIPTORESQUE ECCLESIÆ GRÆCÆ A S. BARNABA AD PHOTIUM,

ACCURANTE J.-P. MIGNE,

Bibliothecæ cleri universæ,

SIVE CURSUUM COMPLETORUM IN SINGULOS SCIENTIÆ ECCLESIASTICÆ RAMOS EDITORE.

PATROLOGIA, AD INSTAR IPSIUS ECCLESIÆ, IN DUAS PARTES DIVIDITUR, ALIA NEMPE LATINA, ALIA GRÆCO-LATINA. LATINA, JAM PENITUS EXARATA, QUOAD PRIMAM SERIEM VIGINTI-QUINQUE ET DUCENTIS VOLUMINIBUS MOLE SUA STAT, MOXVE POST PERACTOS INDICES STABIT, AC QUINQUE-VIGINTI-CENTUM ET MILLE FRANCIS VENIT. GRÆCA DUPLICI EDITIONE TYPIS MANDATA EST. PRIOR GRÆCUM TEXTUM UNA CUM VERSIONE LATINA LATERALIS AMPLECTITUR, ET AD NOVEM ET CENTUM VOLUMINA PERVENIT, SED SINE INDICIBUS ; POSTERIOR AUTEM HANC VERSIONEM TANTUM EXHIBET, IDEOQUE INTRA QUINQUE ET QUINQUAGINTA VOLUMINA RETINETUR. UTRAQUE VIGESIMA QUARTA DIE DECEMBRIS 1860 OMNINO APPARUERAT. UNUMQUODQUE VOLUMEN GRÆCO-LATINUM OCTO, UNUMQUODQUE MERE LATINUM QUINQUE FRANCIS SOLUMMODO EMITUR : UTROBIQUE VERO, UT PRETII HUJUS BENEFICIO FRUATUR EMPTOR, COLLECTIONEM INTEGRAM, SIVE GRÆCAM SIVE LATINAM, 326 VOLUMINIBUS PRO AMPLIORI EDITIONE ET 272 PRO MINORI ABSQUE INDICIBUS CONSTANTEM, COMPARET NECESSE ERIT ; SECUS ENIM CUJUSQUE VOLUMINIS AMPLITUDINEM NECNON ET DIFFICULTATES VARIA PRETIA ÆQUABUNT. ATTAMEN, SI QUIS EMAT INTEGRE ET SEORSIM COLLECTIONEM GRÆCO-LATINAM, VEL EAMDEM EX GRÆCO LATINE VERSAM, TUM QUODQUE VOLUMEN PRO NOVEM VEL PRO SEX FRANCIS OBTINEBIT. ISTÆ CONDITIONES SERIEBUS PATROLOGIÆ NONDUM EXCUSIS APPLICANTUR.

PATROLOGIÆ GRÆCÆ TOMUS LXXII.

S. CYRILLUS ALEXANDRINUS.

EXCUDEBATUR ET VENIT APUD J.-P. MIGNE, EDITOREM,
IN VIA DICTA *D'AMBOISE*, OLIM PROPE PORTAM LUTETIÆ PARISIORUM VULGO *D'ENFER* NUNCUPATAM, SEU *PETIT-MONTROUGE*, NUNC VERO INTRA MŒNIA PARISINA.

1864

Digitized by Google

BR160
P4
V.72

AVIS IMPORTANT.

D'après une des lois providentielles qui régissent le monde, rarement les œuvres au-dessus de l'ordinaire se font sans contradictions plus ou moins fortes et nombreuses. Les *Ateliers Catholiques* ne pouvaient guère échapper à ce cachet divin de leur utilité. Tantôt on a nié leur existence ou leur importance; tantôt on a dit qu'ils étaient fermés ou qu'ils allaient l'être. Cependant ils poursuivent leur carrière depuis 21 ans, et les productions qui en sortent deviennent de plus en plus graves et soignées : aussi paraît-il certain qu'à moins d'événements qu'aucune prudence humaine ne saurait prévoir ni empêcher, ces Ateliers ne se fermeront que quand la *Bibliothèque du Clergé* sera terminée en ses 2,000 volumes in-4°. Le passé paraît un sûr garant de l'avenir, pour ce qu'il y a à espérer ou à craindre. Cependant, parmi les calomnies auxquelles ils se sont trouvés en butte, il en est deux qui ont été continuellement répétées, parce qu'étant plus capitales, leur effet entraînait plus de conséquences. De petits et ignares concurrents se sont donc acharnés, par leur correspondance ou leurs voyageurs, à répéter partout que nos Editions étaient mal corrigées et mal imprimées. Ne pouvant attaquer le fond des Ouvrages, qui, pour la plupart, ne sont que les chefs-d'œuvre du Catholicisme reconnus pour tels dans tous les temps et dans tous les pays, il fallait bien se rejeter sur la forme dans ce qu'elle a de plus sérieux, la correction et l'impression; en effet, les chefs-d'œuvre même n'auraient qu'une demi-valeur, si le texte en était inexact ou illisible.

Il est très-vrai que, dans le principe, un succès inouï dans les fastes de la Typographie ayant forcé l'Editeur de recourir aux mécaniques, afin de marcher plus rapidement et de donner les ouvrages à moindre prix, quatre volumes du double *Cours d'Ecriture sainte et de Théologie* furent tirés avec la correction insuffisante donnée dans les imprimeries à presque tout ce qui s'édite; il est vrai aussi qu'un certain nombre d'autres volumes, appartenant à diverses Publications, furent imprimés ou trop noir ou trop blanc. Mais, depuis ces temps éloignés, les mécaniques ont cédé le travail aux presses à bras, et l'impression qui en sort, sans être du luxe, attendu que le luxe jurerait dans des ouvrages d'une telle nature, est parfaitement convenable sous tous les rapports. Quant à la correction, il est de fait qu'elle n'a jamais été portée si loin dans aucune édition ancienne ou contemporaine. Et comment en serait-il autrement, après toutes les peines et toutes les dépenses que nous subissons pour arriver à purger nos épreuves de toutes fautes? L'habitude, en typographie, même dans les meilleures maisons, est de ne corriger que deux épreuves et d'en conférer une troisième avec la seconde, sans avoir préparé en rien le manuscrit de l'auteur.

Dans les *Ateliers Catholiques* la différence est presque incommensurable. Au moyen de correcteurs blanchis sous le harnais et dont le coup d'œil typographique est sans pitié pour les fautes, on commence par préparer la copie d'un bout à l'autre sans en excepter un seul mot. On lit ensuite en première épreuve avec la copie ainsi préparée. On lit en seconde de la même manière, mais en collationnant avec la première. On fait la même chose en tierce, en collationnant avec la seconde. On agit de même en quarte, en collationnant avec la tierce. On renouvelle la même opération en quinte, en collationnant avec la quarte. Ces collationnements ont pour but de voir si aucune des fautes signalées au bureau par MM. les correcteurs, sur la marge des épreuves, n'a échappé à MM. les corrigeurs sur le marbre et le métal. Après ces cinq lectures entières contrôlées l'une par l'autre, et en dehors de la préparation ci-dessus mentionnée, vient une révision, et souvent il en vient deux ou trois; puis l'on cliche. Le clichage opéré, par conséquent la pureté du texte se trouvant immobilisée, on fait, avec la copie, une nouvelle lecture d'un bout de l'épreuve à l'autre, on se livre à une nouvelle révision, et le tirage n'arrive qu'après ces innombrables précautions.

Aussi y a-t-il à Montrouge des correcteurs de toutes les nations et en plus grand nombre que dans vingt-cinq imprimeries de Paris réunies! Aussi encore, la correction y coûte-t-elle autant que la composition, tandis qu'ailleurs elle ne coûte que le dixième! Aussi enfin, bien que l'assertion puisse paraître téméraire, l'exactitude obtenue par tant de frais et de soins, fait-elle que la plupart des Editions des *Ateliers Catholiques* laissent bien loin derrière elles celles même des célèbres Bénédictins Mabillon et Montfaucon et des célèbres Jésuites Petau et Sirmond. Que l'on compare, en effet, n'importe quelles feuilles de leurs éditions avec celles des nôtres qui leur correspondent, en grec comme en latin, on se convaincra que l'invraisemblable est une réalité.

D'ailleurs, ces savants éminents, plus préoccupés du sens des textes que de la partie typographique et n'étant point correcteurs de profession, lisaient, non ce que portaient les épreuves, mais ce qui devait s'y trouver, leur haute intelligence suppléant aux fautes de l'édition. De plus les Bénédictins, comme les Jésuites, opéraient presque toujours sur des manuscrits, cause perpétuelle de la multiplicité des fautes, pendant que les *Ateliers Catholiques*, dont le propre est surtout de ressusciter la Tradition, n'opèrent le plus souvent que sur des imprimés.

Le R. P. De Buch, Jésuite Bollandiste de Bruxelles, nous écrivait, il y a quelque temps, n'avoir pu trouver en dix-huit mois d'étude, *une seule faute* dans notre *Patrologie latine*. M. Denzinger, professeur de Théologie à l'Université de Wurzbourg, et M. Reissmann, Vicaire Général de la même ville, nous mandaient, à la date du 19 juillet, n'avoir pu également surprendre *une seule faute*, soit dans le latin soit dans le grec de notre double *Patrologie*. Enfin, le savant P. Pitra, Bénédictin de Solesme, et M. Bonetty, directeur des *Annales de philosophie chrétienne*, mis au défi de nous convaincre d'une seule erreur typographique, ont été forcés d'avouer que nous n'avions pas trop présumé de notre parfaite correction. Dans le Clergé se trouvent de bons latinistes et de bons hellénistes, et, ce qui est plus rare, des hommes très-positifs et très-pratiques, eh bien! nous leur promettons une prime de 25 centimes par chaque faute qu'ils découvriront dans n'importe lequel de nos volumes, surtout dans les grecs.

Malgré ce qui précède, l'Editeur des *Cours complets*, sentant de plus en plus l'importance et même la nécessité d'une correction parfaite pour qu'un ouvrage soit véritablement utile et estimable, se livre depuis plus d'un an, et est résolu de se livrer jusqu'à la fin à une opération longue, pénible et coûteuse, savoir, la révision entière et universelle de ses innombrables clichés. Ainsi chacun de ses volumes, au fur et à mesure qu'il les remet sous presse, est corrigé mot pour mot d'un bout à l'autre. Quarante hommes y sont ou y seront occupés pendant 10 ans, et une somme qui ne saurait être moindre d'un demi-million de francs est consacrée à cet important contrôle. De cette manière, les Publications des *Ateliers Catholiques*, qui déjà se distinguaient entre toutes par la supériorité de leur correction, n'auront de rivales, sous ce rapport, dans aucun temps ni dans aucun pays; car quel est l'éditeur qui pourrait et voudrait se livrer APRES COUP à des travaux si gigantesques et d'un prix si exorbitant? Il faut certes être bien pénétré d'une vocation divine à cet effet, pour ne reculer ni devant la peine ni devant la dépense, surtout lorsque l'Europe savante proclame que jamais volumes n'ont été édités avec tant d'exactitude que ceux de la *Bibliothèque universelle du Clergé*. Le présent volume est du nombre de ceux révisés, et tous ceux qui le seront à l'avenir porteront cette note. En conséquence, pour juger les productions des *Ateliers Catholiques* sous le rapport de la correction, il ne faudra prendre que ceux qui porteront en tête l'avis ici tracé. Nous ne reconnaissons que cette édition et celles qui suivront sur nos planches de métal ainsi corrigées. On croyait autrefois que la stéréotypie immobilisait les fautes, attendu qu'un cliché de métal n'est point élastique; pas du tout, il introduit la perfection, car on a trouvé le moyen de le corriger jusqu'à extinction de fautes. L'Hébreu a été revu par M. Drach, le Grec par des Grecs, le Latin et le Français par les premiers correcteurs de la capitale en ces langues.

Nous avons la consolation de pouvoir finir cet *avis* par les réflexions suivantes : Enfin, notre exemple a fini par entraîner les grandes publications en Italie, en Allemagne, en Belgique et en France, par les *Canons grecs* de Rome, le *Gerdil* de Naples, le *Saint Thomas* de Parme, l'*Encyclopédie religieuse* de Munich, le recueil des *déclarations des rites* de Bruxelles, les *Bollandistes*, le *Suarez* et le *Spicilége* de Paris. Jusqu'ici, on n'avait su réimprimer que des ouvrages de courte haleine. Les in-4°, où s'engloutissent les in-folio, faisaient peur, et on n'osait y toucher, par crainte de se noyer dans ces abîmes sans fond et sans rives; mais on a fini par se risquer à nous imiter. Bien plus, sous notre impulsion, d'autres Editeurs se préparent au *Bullaire* universel, aux *Décisions* de toutes les Congrégations, à une *Biographie* et à une *Histoire* générale, etc., etc. Malheureusement, la plupart des éditions déjà faites ou qui se font, sont sans autorité, parce qu'elles sont sans exactitude; la correction semble en avoir été faite par des aveugles soit qu'on n'en ait pas senti la gravité, soit qu'on ait reculé devant les frais; mais patience! une reproduction correcte surgira bientôt, ne fût-ce qu'à la lumière des écoles qui se sont faites ou qui se feront encore.

Digitized by Google

TRADITIO CATHOLICA.

SÆCULUM V. ANNUS 444.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΤΑ ΕΥΡΙΣΚΟΜΕΝΑ ΠΑΝΤΑ.

—

S. P. N. CYRILLI

ALEXANDRIÆ ARCHIEPISCOPI

OPERA QUÆ REPERIRI POTUERUNT OMNIA;

CURA ET STUDIO

JOANNIS AUBERTI

LAUDUNENSIS ECCLESIÆ PRESBYTERI CANONICI ET IN SCHOLA PARISIENSI LAUDUNENSIS COLLEGII MAGISTRI, AC INTERPRETIS REGII.

EDITIO PARISIENSIS ALTERA DUOBUS TOMIS AUCTIOR ET EMENDATIOR.

ACCURANTE ET RECOGNOSCENTE J.-P. MIGNE,

BIBLIOTHECÆ CLERI UNIVERSÆ,

SIVE CURSUUM COMPLETORUM IN SINGULOS SCIENTIÆ ECCLESIASTICÆ RAMOS EDITORE.

TOMUS QUINTUS.

VENEUNT 10 VOLUMINA 100 FRANCIS GALLICIS.

—

EXCUDEBATUR ET VENIT APUD J.-P. MIGNE EDITOREM,
IN VIA DICTA *D'AMBOISE*, OLIM PROPE PORTAM LUTETIÆ PARISIORUM VULGO *D'ENFER* NOMINATAM, SEU *PETIT-MONTROUGE*, NUNC VERO INTRA MŒNIA PARISINA.

—

1864

Digitized by Google

TRADITIO CATHOLICA.

SÆCULUM V. ANNUS 444.

ELENCHUS

AUCTORUM ET OPERUM QUI IN HOC TOMO LXXII CONTINENTUR.

Quæ stellula prænotantur, ea nunc primum inter opera Cyrilli comparent.

S. CYRILLUS ALEXANDRINUS ARCHIEPISCOPUS.

Commentarii in duodecim prophetas minores continuatio. *col.* 9
* Commentarii in Matthæum fragmenta. 365
* Commentarius in Lucam. 475

LECTORI.

Post absolutum hunc tomum compertum habuimus, Londini, curis viri doctissimi Payne Smith, bibliothecæ Bodleianæ præfecti, nuper prodiisse textum Syriacum commentarii S. Cyrilli in Lucam in quo deprehenditur primigenia operis forma, contra quam in Maiana editione, in qua, ut judicarunt viri docti, multa leguntur e Theophylacto et aliis derivata. Textum Syriacum, modo annuat cel. editor Anglus, dabimus in ea *Patrologiæ* serie quæ audit : *Patrologia Orientalis.*

256375

STANFORD LIBRARY

Parisiis. — Ex Typis J.-P. MIGNE.

Digitized by Google

SANCTI CYRILLI

ALEXANDRIÆ ARCHIEPISCOPI

COMMENTARIORUM IN XII PROPHETAS MINORES

CONTINUATIO.

ΕΙΣ ΤΟΝ ΠΡΟΦΗΤΗΝ ΖΑΧΑΡΙΑΝ

ΕΞΗΓΗΣΙΣ ΥΠΟΜΝΗΜΑΤΙΚΗ.

—

IN ZACHARIAM PROPHETAM

COMMENTARIUS

Continens tomos sex.

—

ΠΡΟΟΙΜΙΟΝ.

Α'. Προφητεύει μεν ὁ μακάριος Ζαχαρίας ἐν τοῖς Ἱεροσολύμοις κατὰ τοὺς αὐτοὺς, οἶμαι, χρόνους, καθ' οὓς καὶ ὁ Σοφονίας. Μετὰ γάρ τοι τὴν ἐκ τῆς αἰχμαλωσίας ἐπάνοδον, κατῴκηκεν ὁ Ἰσραὴλ οὐκέτι διῃρημένως ἔν τε τῇ Ἰουδαίᾳ καὶ ἐν τῇ Σαμαρείᾳ, ἀλλ' εἰς μίαν οἱ πάντες συνηγεγμένοι πόλιν, τὴν Ἱερουσαλὴμ δηλονότι, καὶ ἀνὰ πᾶσαν τὴν Ἰουδαίαν, βασιλεύοντος ἐπ' αὐτοῖς Ζοροβάβελ τοῦ ἐκ φυλῆς Ἰούδα, καὶ μὴν καὶ προῦχοντος ἐν ἱερωσύνῃ Ἰησοῦ τοῦ Ἰωσεδὲκ, τοῦ ἱερέως τοῦ μεγάλου. Ἐξυφαίνει δὲ λίαν ἐντέχνως τῆς προφητείας τὸν λόγον. Ἐπειδὴ γὰρ οἱ πλεῖστοι τῶν ἐκ τῆς Ἰουδαίας, ἤτοι Σαμαρείας, ἀπενηνεγμένων, αὐτόθι ἐπανήκασιν, ἅπαντα μὲν εἰδότες τὰ παρὰ τῶν Βαβυλωνίων κατὰ τῶν Ἱεροσολύμων τετολμημένα κατὰ καιρούς· καὶ οὐκ ἠγνοηκότες δὲ πρὸς τούτοις τὰ ἐφ' οἷς λελύπηται Θεός· οἱ δὲ δὴ γεννηθέντες ἐν τῇ τῶν Περσῶν τε καὶ Μήδων χώρᾳ οὔτε τίς ἡ ὁποία ποτ' ἐστὶν ἡ Ἱερουσαλὴμ ἐγίνωσκον, οὔτε τὴν Ἰουδαίαν ἤθεσαν, οὔτε μὴν τὰ ἐκ τῆς θείας ὀργῆς τοῖς πατράσιν αὐτῶν ἐπενηνεγμένα,

A

652 PROŒMIUM.

1. Vaticinandi munere fungitur beatus Zacharias Hierosolymis, iisdem, opinor, temporibus, quibus et Sophonias. Nam post reversionem e captivitate, Israel non amplius divisim per Judæam et Samariam habitavit, sed in unam omnes urbem, Hierosolymam videlicet, et Judæam totam congregati sunt, regnante inter eos Zorobabele e tribu Juda, et Josedec summum sacerdotium obtinente. Valde autem scite sermonem propheticum contexit. Quoniam enim ex Judæa, sive Samaria abductorum quamplurimi eo reversi sunt, qui, quæ Babylonii contra Hierosolymam nefarie quondam moliti essent, noverant omnia; neque nesciebant etiam, qua de causa Deus B iratus fuisset: qui vero apud Persas et Medos erant procreati, nec quæ 653 aut qualis esset Jerusalem didicerant, nec Judæam oculis unquam conspexerant, nec pœnas patribus ipsorum ab irato Deo invectas, nec quare tam dire multati essent, nisi forte ex perfunctoriis narrationibus, intellexerant, necessario universorum Deus libertate donatis veluti

Digitized by Google

quemdam pædagogum moderatoremque constituit beatum Zachariam : oriundum quidem e sanguine sacro, nempe ex tribu Levi, patre Barachia secundum carnem, oracula autem edentem secundum spiritum, et filium Addo prophetæ. Cujus moribus, ut credibile est, educatus, ejusdem quoque virtutes imitatus est. Quæ igitur hujus prophetiæ sit ratio, et quales narrationes intexat, operæ pretium est exponere. Vindictam enim quam sustinebant, captivitate solutis objectat, ut qui divinum mandatum non leviter neglexissent, et per sapientissimum Mosen divinitus præcepta contemnere consuevissent : exterrensque illos non mediocriter, ad voluntatem consequendæ laudis ex facultate Deo per omnia obediendi impellit. Addit porro, nisi boni et morigeri, divinisque legibus obsequentes fuerint, passuros diriora illis, quæ ipsorum majores perpessi sint. Et quodammodo institutionis suæ sermones dilatans, docere aggreditur quæ patrum studia fuerint, et ob quæ divinus super eos furor stillaverit, et quonam modo postea perierint. Item quo pacto ipsi liberati, et servitutis jugo exempti in Judæam remigraverint. Adjungit his, adhuc, ut dixi, graviora passuros, si majorum vestigiis in amore Dei rejiciendo insistere contenderint. Ubique autem liberationis olim per Christum futuræ meminit, et mysterium in eo exhibendum multifariam nobis describit. Singulas itaque partes prophetiæ hujus accuratius pervestigare volentes, ne otiosam repetitionem existiment quæ afferuntur, et de præteritis commemorantur : sed meminerint potius, ex captivitate in Judæam reversos, narratione casuum antegressorum magnopere opus habuisse. Sic enim alios corrigebat, in memoriam eis redigens quæ pertulissent : junioribus autem et veterum ignaris securitatem conciliabat, ne paribus miseriis involverentur, si vitam profanam et improbissimam sectarentur.

A ἀλλ' οὐδ' ἐπὶ τισίν ὅλως τὰς οὕτω σκληρὰς ἐξήτηνται δίκας, πλὴν ὅσον ἐξ ἡμελημένων τάχα που διηγημάτων, ἀναγκαίως ὁ τῶν ὅλων Θεὸς αὐτοῖς τοῖς λελυτρωμένοις παιδαγωγὸν ὥσπερ τινὰ καὶ ἁρμοστὴν ἀναδείκνυσι τὸν μακάριον Ζαχαρίαν, ὄντα μὲν ἐξ αἵματος ἱεροῦ, τουτέστιν ἐκ τῆς φυλῆς Λευΐ, καὶ γεγονότα μὲν ἐκ πατρὸς Βαραχίου κατά γε τὴν σάρκα, κεχρηματικότα δὲ κατὰ πνεῦμα καὶ υἱὸν Ἀδδὼ τοῦ προφήτου. Τέθραπται γάρ, ὡς εἰκὸς, τοῖς ἐκείνου τρόποις, καὶ τῶν ἴσων ἀνδραγαθημάτων γέγονε μιμητής. Τίς οὖν αὐτῷ τῆς προφητείας ὁ λόγος, καὶ διὰ ποίων τῶν διηγημάτων ἔρχεται, πῶς οὐκ ἂν δίκαιον εἰπεῖν; Τὴν δίκην μὲν γὰρ, ὑφ' ἣν εἰσιν, ἐπισκήπτει τοῖς λελυτρωμένοις, ἅτε δὴ τῆς θείας ἐντολῆς οὐ μετρίως ἡμεληκόσι, καὶ τῶν διὰ τοῦ πανσόφου Μωσέως; τεθεσπισμένων ἀλογεῖν εἰωθόσι· κατα-
B δεδιττόμενος δὲ οὐ μετρίως αὐτοὺς, μεταφοιτᾷν ἀναπείθει πρὸς τὸ δεῖν ἑλέσθαι μᾶλλον εὐδοκιμεῖν διὰ τῆς εἰς πᾶν ὁτιοῦν εὐπειθείας καὶ ὑπακοῆς. Προσεπάγει δὲ, ὅτι εἰ μὴ εἶεν ἀγαθοὶ, καὶ εὐήνιοι, καὶ τοῖς θείοις εἴκοντες νόμοις, πείσονται καὶ αὐτοὶ τῶν τοῖς πατράσι συμβεβηκότων τὰ φορτικώτερα. Κατευρύνων δὲ ὥσπερ τῆς παιδαγωγίας τοὺς λόγους, πειρᾶται διδάσκειν, τίνα μὲν ἦν πάλαι τὰ τῶν πατέρων ἐπιτηδεύματα, καὶ ἐπὶ τίσιν αὐτοῖς ὁ θεῖος ἐπέσταξε θυμὸς, τίνα δ' αὖ διολώλασι τρόπον· καὶ μὴν καὶ ὅπως λελύτρωνται, καὶ τὸν τῆς αἰχμαλωσίας ἀπολυσάμενοι ζυγὸν, ἀνεκομίσθησαν εἰς τὴν Ἰουδαίαν. Προσεπάγει δὲ τούτοις, ὅτι, καθάπερ ἔφην ἀρτίως, πείσονται τὰ
C χείρω, τῆς τῶν πατέρων ἀφιλοθεΐας κατ' ἴχνος ἰέναι σπουδάζοντες. Διαμέμνηται δὲ πανταχῇ τῆς διὰ Χριστοῦ λυτρώσεως ἐσομένης κατὰ καιρούς, καὶ τὸ ἐπ' αὐτῷ μυστήριον διὰ πολλῶν ἡμῖν ἀναγράφει τρόπων. Δεῖ δὲ οὖν ἕκαστα τῆς προφητείας τὰ μέρη πολυπραγμονεῖν ἐθέλοντας, μὴ ταυτολογίαν ἡγεῖσθαι τὰ ἐν αὐτῇ, καὶ περὶ τὴν ἀφήγησιν τῶν ἤδη γεγενημένων· διαμεμνῆσθαι δὲ μᾶλλον, ὅτι τοῖς ἐκ τῆς αἰχμαλωσίας ὑπονοστήσασιν εἰς τὴν Ἰουδαίαν, ἀναγκαιοτάτην ἔχει τῶν ἤδη συμβεβηκότων τὴν ἀφήγησιν. Ἐπηνώρθου μὲν γὰρ τοὺς εἰδότας, ὧν ἤδη πεπόνθασιν ἀναφέρων πρὸς ἀνάμνησιν· τοῖς δὲ δὴ νέοις κομιδῇ, καὶ οὐκ εἰδόσι τὰ πάλαι, προεξένει τὴν ἀσφάλειαν, ἵνα μὴ τοῖς ἴσοις ἐναλοῖεν κακοῖς, τὴν βέβηλον καὶ ἀνομωτάτην ἀγαπῶντες ζωήν.

TOMUS PRIMUS.

654 CAP. I.

D

VERS. 1, 2. *In octavo mense anni secundi, sub Dario, factum est verbum Domini ad Zachariam filium Barachiæ, filium Addo prophetæ, dicens : Iratus est Dominus contra patres vestros ira magna.*

II. Animadvertis quomodo narratione terrorem ipsis injiciat, et impuberes, quæ ante illos contigerunt exponens, ad probitatem compellat, minitans quodammodo, similibus, aut intolerabilioribus subjectos calamitatibus acerbe lamentaturos, nisi prudenter illorum exempla despicere, et Dei beneplacitum, ut omni cura et æstimatione dignum complecti instituerint. Magna autem ira iratum, inquit, omnium rerum potentem Deum : nec verborum suorum ve-

ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

ΚΕΦΑΛ. Α'

Ἐν τῷ ὀγδόῳ μηνὶ ἔτους δευτέρου, ἐπὶ Δαρείου, ἐγένετο λόγος Κυρίου πρὸς Ζαχαρίαν τὸν τοῦ Βαραχίου, υἱὸν Ἀδδὼ τοῦ προφήτου, λέγων· Ὠργίσθη Κύριος ἐπὶ τοὺς πατέρας ὑμῶν ὀργὴν μεγάλην.

Β'. Συνίης ὅπως καταπτοεῖ τοῖς διηγήμασι, καὶ τοῖς κομιδῇ νέοις τὰ τοῖς πρὸ αὐτῶν συμβεβηκότα παρατιθεὶς εἰς ἐξήγησιν, μετασοβεῖ πρὸς τὸ ἄμεινον, οἱονεί πως ἀπειλῶν, ὅτι τοῖς ἴσοις, ἢ καὶ τοῖς ἔτι δυσαχθεστέροις ὑπενηνεγμένοι κακοῖς, κατοιμώξουσι πικρῶς, εἰ μὴ ἕλοιντο σωφρόνως ἀποσπουδάζειν μὲν τὰ ἐκείνων, φροντίδος γε μὴν καὶ λόγου παντὸς ἀξιοῦν τὸ θυμῆρες Θεῷ. Ὀργὴν δὲ μεγάλην ὠργίσθαι φησὶ τὸν τῶν ὅλων κατεξουσιάζοντα Θεὸν,

Digitized by Google

οὐκ ἀναπόδεικτον ἀφεὶς εἰς τὸ ἀτρεκὲς τὸν λόγον, ἀλλ' ἐξ ὧν ἤδη πεπείραντται καὶ πεπόνθασιν, ὅτι μὴ ἔστι ψευδοσπὴς ἀποφαίνων. Εἴη γὰρ ἂν οὐ τῆς τυχούσης ἀγανακτήσεως ἔνδειξις τὸ ἐφεῖναι τοῖς Βαβυλωνίοις καταδῆσαι μὲν ἅπασαν τὴν Ἰουδαίαν καὶ σὺν αὐτῇ τὴν Σαμάρειαν, κατεμπρῆσαι δὲ καὶ αὐτὰ τὰ ἅγια, καὶ κατασκάψαι τὴν Ἱερουσαλήμ· καὶ τὸν ἀπόλεκτον Ἰσραὴλ ἀποφῆναι μέτοικον, οἰκτρῶς καὶ ἐλεεινῶς ἐν ἀλλοδαπῇ δουλεύοντα, καὶ δύσοιστον ὑπομένοντα τὴν ταλαιπωρίαν, καὶ ἀπτόμενον μὲν θυσιῶν οὐκέτι, οὐκ αὐλῆς εἴσω φοιτῶντα τῆς ἱερᾶς, οὐκ εὐχαριστίαν προσάγοντα κατὰ νόμον, ἢ δεκάτας, ἢ ἀπαρχάς· εἰργόμενον δὲ ὡς ἐξ ἀνάγκης, καὶ φόβου, καὶ τοῦ χρῆναι τελεῖν τὰς νενομισμένας αὐτῷ καὶ φιλτάτας ἑορτάς. Οὐκοῦν « Ὠργίσθη Κύριος ἐπὶ τοὺς πατέρας αὐτῶν ὀργὴν μεγάλην. »

A ritatem indemonstratam relinquit, sed ex iis quæ jam experti perpessique sunt, se minime falsum loqui ostendit. Certissime enim non qualiscunque indignationis argumentum est Babyloniis universam Judæam, et cum ea simul Samariam ferro flammaque devastandam, præterea ipsa Sancta sanctorum cremanda, et Hierosolymam evertendam concessisse : electum Israelem reddidisse peregrinum et advenam, in aliena regione misere et miserabiliter servientem, et ærumna intolerabili conflictandam, non amplius sacrificiis dantem operam, non atrium sanctum ingredientem, nec gratias, aut decimas, aut primitias secundum leges offerentem, necessitateque, ac timore constrictum, a solemnibus sibi, optatissimisque diebus celebrandis abstinentem : B « Iratus est ergo Dominus contra patres eorum ira magna. »

Ἐπιφωνήσῃ δ' ἂν τις τὰ τοιάδε καὶ τοῖς Ἰουδαίοις δήμοις, εἴπερ ἔλοιτο μυσταγωγεῖν ἐπὶ τὸ Χριστοῦ μυστήριον. Ἐπειδὴ γὰρ ἀπεκτόνασι τοὺς προφήτας, καὶ αὐτὸν δὲ τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν, ἐάλωσαν καὶ πεπόρθηνται. Κατεσείσθη δὲ καὶ αὐτὸς ὁ διαβόητος νεὼς, καὶ πεπλήρωται λοιπὸν ἐπ' αὐτοῖς τὸ διὰ φωνῆς Ὡσηέ· « Ὅτι ἡμέρας πολλὰς καθίσονται οἱ υἱοὶ Ἰσραὴλ, οὐκ ὄντος βασιλέως, οὐδὲ ὄντος ἄρχοντος, οὐκ οὔσης θυσίας, οὐδὲ ὄντος θυσιαστηρίου, οὔτε ἱερατείας, οὔτε δήλων. » Ὅτι δέ εἰσιν αἰχμάλωτοι, καὶ ὑπὸ χεῖρα τέως διαβολικὴν προσκεκρουκότες Θεῷ, καὶ ἀπερρίμμενοι, καὶ ἀπάσης ἔξω φειδοῦς τῆς ἄνωθεν γεγονότες, πῶς ἂν ἐνδοιάσειέ τις; Εἰ δὲ δή λυτρωθεῖεν κατὰ καιροὺς, προσηκάμενοι τὴν πίστιν, καὶ Χριστὸν ἐπιγραψάμενοι Θεόν τε καὶ βασιλέα, καὶ Κύριον, τότε δή, τότε, καὶ μάλα εἰκότως, σοφὴν ἂν τις ἐπ' αὐτοῖς ποιήσαιτο τὴν παραίνεσιν, ἐπὶ καιροῦ ταῦτα λέγων· « Ὠργίσθη Κύριος ἐπὶ τοὺς πατέρας ὑμῶν ὀργὴν μεγάλην.

Tale quispiam et Judæorum populis occinuerit, si hinc arcanum Christi mysterium docere libeat. Postquam enim occiderunt prophetas [1], et ipsum Dominum gloriæ in crucem egerunt [2], capti ac subjugati; et templum ipsum fama super æthera notum prostratum, et deinceps in iis impletum est, quod exstat apud Oseam : « Quia diebus multis sedebunt filii Israel sine rege, sine principe, sine sacrificio, sine altari, sine sacerdotio, sine manifestis [3] » Esse autem eos nunc captivos, et sub potestate diabolica, offenso Deo, et ab ipso abjectos, et benignitate superna spoliatos dubitari non potest. Quod si aliquando libertatem consecuti fuerint, **655** fidem C complexi, et Christo pro Deo, et rege, et Domino sibi vindicato, tunc, tunc, inquam, et æquissime illic quis opportune hunc in modum occinat : « Iratus est Dominus contra patres vestros ira magna. »

Καὶ ἐρεῖς πρὸς αὐτούς· Τάδε λέγει Κύριος παντοκράτωρ· Ἐπιστρέψατε πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει Κύριος παντοκράτωρ, καὶ μὴ γίνεσθε καθὼς [οἱ] πατέρες ὑμῶν, οἷς ἐκάλεσαν αὐτοῖς οἱ προφῆται ἔμπροσθεν, λέγοντες· Τάδε λέγει Κύριος παντοκράτωρ· Ἀποστρέψατε ἀπὸ τῶν ὁδῶν ὑμῶν τῶν πονηρῶν, καὶ ἀπὸ τῶν ἐπιτηδευμάτων ὑμῶν τῶν πονηρῶν. Καὶ οὐ προσέσχον τοῦ εἰσακοῦσαί μου, λέγει Κύριος.

Vers. 3, 4. *Et dices ad eos : Hæc dicit Dominus omnipotens : Convertimini ad me, et convertar ad vos, dicit Dominus omnipotens, et nolite fieri sicut patres vestri, quos arguerunt eos prophetæ qui prius fuerunt, dicentes : Hæc dicit Dominus omnipotens. Convertimini a viis vestris malis, et ab adinventionibus vestris malis. Et non attenderunt ut audirent me, dicit Dominus.* D

Γ'. Ἀνακεκλημένοι γὰρ, ὡς ἔφην, ἐκ τῆς αἰχμαλωσίας, καὶ ἀνατρέχοντες εἰς τὴν Ἰουδαίαν, ῥᾴθυμοι γεγόνασι περὶ τὸ δοκοῦν τῷ Θεῷ, καὶ εἰδώλοις μὲν οὐ προσέκειντο τέως, οὔτε μὴν τὴν ἀρχαίαν προσίεντο πλάνην· πλὴν καθ' ἑτέρους ἠλίσκοντο παροτρύνοντες τρόπους. Ὡς γὰρ ἐν τῷ Ἔσδρᾳ γέγραπται, καὶ γυναίοις ἀλλοφύλοις ἐπιμεμίγοντο· καὶ τὰς ἐκ τῶν ὁμόρων ἐθνῶν εἰσοικισάμενοι, τέκνων ἀλλοτρίων πατέρες γεγόνασι, καίτοι τοῦ νόμου τὸ χρῆμα αὐτοῖς ὡς ἔκτοπον ἀποφάσκοντος. Κατημέλουν δὲ καὶ τοῦ τελεῖν ἑορτὰς, καὶ πληροῦν θυσίας, καὶ μὴν καὶ

III. Revocati enim, ut dixi, ex captivitate, et in Judæam reduces, in exsequenda Dei voluntate desides evaserunt; et idola quidem tum non colebant, neque seduci se, ut olim, patiebantur; verumtamen aliis modis eos Deum ad iram provocare certum erat. Nam, ut in Esdra legimus [4], et mulierculis alienigenis se commiscuerant; finitimorumque ductis filiabus, liberos alienos genuerant, tametsi id lex ut nefas ipsis interdiceret [5]. Negligebant item dies festos, et sacrificia, et ad divinum templum reædificandum torpebant. Idcirco, sicut in Aggæo

[1] Matth. xxiii, 37. [2] I Cor. ii, 8. [3] Osee iii, 4. [4] I Esdr. ix, 2. [5] Exod. xxxiv, 16.

Digitized by Google

scriptum est : « Percussit eos in sterilitate, et in corruptione aeris, et in grandine omnia opera eorum. Et mittebant in modium hordei viginti sata, et facta sunt decem. Et ingrediebantur præterea torcular haurire quinquaginta amphoras, et factæ sunt viginti [6]. » Promittit igitur illis, si virtutem colere, et converti ad ipsum non recusaverint, agendo quæ ipsi placita et grata sint, tunc se quoque ad ipsos conversurum, hoc est ab ira in illos temperaturum, et misericordiam denuo adhibiturum. Vetat autem eos perniciosa majorum exempla sequi, quos ipse per sanctos prophetas suos sæpenumero cohortatus sit, et ad indecoras actiones deserendas blande invitarit, quanquam illis autem minime accommodantibus nihil penitus profecerit. Ridiculi igitur qui patrum insipientiam sequuntur, majorumque consuetudinem pro defensione irrefutabili obtendunt, licet de gravissimis **656** scelcribus reprehendantur. Sed hoc usitatissimum est idolorum cultoribus. Vocati enim ad agnitionem veritatis, patrum errorem semper jactant, illorumque ignorantiam ut paternam quamdam hæreditatem amplexantes, cæci permanent. Et opinor, etiamsi quispiam his qui sunt de circumcisione suaserit, uti relictis deterioribus ad conducibilia sese dent, ipsos quoque ad patrum consuetudinem confugituros. Expedit igitur seductos ita compellare : « Convertimini ad me, et convertar ad vos, dicit Dominus omnipotens. » Et illo insuper : « Nolite fieri sicut patres vestri, » qui errore delusi videlicet, in ignorantia fixi perstiterunt. με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει Κύριος οἱ πατέρες ὑμῶν, » οἱ πλανώμενοι δηλονότι, καὶ μέχρι

VERS. 5, 6. *Patres vestri ubi sunt, et prophetæ ? Numquid in æternum vivent ? Verumtamen sermones meos, et legitima mea suscipite, quæcunque ego præcipio in spiritu meo servis meis prophetis, qui comprehenderunt patres vestros. Et responderunt, et dixerunt : Sicut quasi acie instructus est Dominus omnipotens, facere nobis secundum vias nostras, et secundum studia nostra, sic fecit nobis.*

IV. Antequam Judæa et Hierosolyma subjugarentur, prophetarum nomen quasi personam quamdam sibi imponentes nonnulli, de corde suo, sicut scriptum est [7], non de ore Domini loquebantur. Hi per mendacium canebant, non occupatum iri ab hostibus sanctam civitatem, neque a vastatoribus expugnabilem fore Israelem : sed felicitate semper usurum, et in perenni voluptate victuram, Deo protegente, et electum genus honorante perpetuo ac diligente. Loquebantur porro hæc, sicut dixi, mentientes miseri, et Israelem jam ante ignavum ignaviorem efficiebant, cum ad Deum placandum, et quam longissime repulsis quibus eum irritaverant, ad ejus placita exsequenda hortari debuissent. At illi veritatem in postremis habuerunt, quæsti-

[6] Agg. I, 6-9. [7] Jerem. XXIII, 16.

A ἀπρόθυμοι περὶ τὸ δεῖν ἀναδείμασθαι τὸν θεῖον ναὸν γεγονότες ἠλίσκοντο. Ταύτῃτοι, καθάπερ ἐν τῷ Ἀγγαίῳ γέγραπται· « Ἐπάταξεν αὐτοὺς ἐν ἀφορίᾳ, καὶ ἀνεμοφθορίᾳ, καὶ ἐν χαλάζῃ πάντα τὰ ἔργα αὐτῶν. Καὶ ἐνέβαλον μὲν εἰς κυψέλην κριθῆς εἴκοσι σάτα, καὶ ἐγίνοντο δέκα. Εἰσεπορεύοντο δὲ καὶ πάλιν ἀντλῆσαι πεντήκοντα μετρητὰς, καὶ ἐγίνοντο εἴκοσι. » Ἐπαγγέλλεται τοίνυν αὐτοῖς, ὡς εἰ ἔλοιντο μεταφοιτᾷν εἰς τὸ ἄμεινον, καὶ ἐπιστρέφειν πρὸς αὐτὸν, διὰ τοῦ δρᾷν ἐλέσθαι τὰ αὐτῷ δοκοῦντα καὶ φίλα, τότε καὶ αὐτὸς ἐπιστρέψει πρὸς αὐτοὺς, τουτέστιν ἀφέξεται τῆς ἐπ' αὐτοὺς ὀργῆς, καὶ παλινδρομήσει πρὸς ἔλεον. Ἀποφάσκει γε μὴν ὡς ὀλέθρου πρόξενον τὸ ἐλέσθαι ζηλοῦν τοὺς πρὸ αὐτῶν γεγονότας, οἷς πλείστη μὲν ὅση δέδοτο παρ' αὐτοῦ διὰ τῶν ἁγίων προφητῶν B παράκλησις, καὶ παραμυθία, καλοῦσα πρὸς ἀποστροφὴν τῶν αἰσχρῶν ἐπιτηδευμάτων, ἀνόνητον δὲ τὸ πρᾶγμα πολὺ λίαν ἐτίθειτο ἀπονεύσασι πρὸς τὸ δυσήκοον. Καταγέλαστοι δὴ οὖν, οἱ ταῖς τῶν πατέρων ἀμαθίαις ἑπόμενοι, καὶ προγονικὴν συνήθειαν ὡς δυσανάτρεπτον ἀπολογίαν προβαλλόμενοι, κἂν εἰ ἐπὶ τοῖς ἐσχάτοις καταψέγοιντο κακοῖς. Ἔθος δὲ τοῦτο μάλιστα τοῖς τῶν εἰδώλων θεραπευταῖς. Καλούμενοι γὰρ ἐπὶ τὴν τῆς ἀληθείας ἐπίγνωσιν, τῆς τῶν πατέρων ἀπάτης διαμέμνηνται πανταχοῦ, καὶ πατρῷον ὥσπερ τινὰ κλῆρον τὸ ἐκείνων ἀμαθὲς ἀσπαζόμενοι, διαμένουσι τυφλοί. Οἶμαι δὲ, ὅτι κἂν εἰ αὐτοῖς συμβουλεύσειέ τις τοῖς ἐκ περιτομῆς μεταθεῖν τὰ αἰσχίω, καὶ τιμᾷν ἐλέσθαι τὸ ὠφελοῦν, ἐπὶ τὴν τῶν πατέρων συνήθειαν καταφεύξουσι καὶ αὐτοί. Χρήσιμον οὖν C τοῖς πλανωμένοις ἐπιφωνεῖν· « Ἐπιστρέψατε πρός παντοκράτωρ. » Καὶ μὴν καὶ, « Μὴ γίνεσθε καθὼς τοῦ παντὸς μεμνηκότες ἐν ἀγνωσίᾳ.

Οἱ πατέρες ὑμῶν ποῦ εἰσὶ καὶ οἱ προφῆται, Μὴ τὸν αἰῶνα ζήσονται ; Πλὴν τοὺς λόγους μου καὶ τὰ νόμιμά μου δέχεσθε, ὅσα ἐγὼ ἐντέλλομαι ἐν πνεύματί μου τοῖς δούλοις μου τοῖς προφήταις, οἳ κατελάβοσαν τοὺς πατέρας ὑμῶν. Καὶ ἀπεκρίθησαν, καὶ εἶπαν· Καθὼς παρατέτακται Κύριος παντοκράτωρ, τοῦ ποιῆσαι ἡμῖν κατὰ τὰς ὁδοὺς ἡμῶν καὶ κατὰ τὰ ἐπιτηδεύματα ἡμῶν, οὕτως ἐποίησεν ἡμῖν.

Δ'. Πρὶν ἁλῶναι τὴν Ἰουδαίαν, καὶ αὐτὰ δὲ τὰ Ἱεροσόλυμα, τὸ τῆς προφητείας ὄνομα, καθάπερ τὸ προσωπεῖον ἑαυτοῖς περιτιθέντες τινὲς, ἐλάλουν τὰ ἀπὸ καρδίας αὐτῶν, καθὰ γέγραπται, καὶ οὐκ ἀπὸ στόματος Κυρίου. Οὗτοι ψευδοεποῦντες ἔφασκον, ὡς D οὐκ ἂν ἁλοίη ποτὲ παρ' ἐχθρῶν ἡ ἁγία πόλις, οὐδ' ἂν γένοιτό ποτε τοῖς ἐθέλουσι καταδῃοῦν εὐκαταγώνιστος ὁ Ἰσραήλ· ἀλλ' ἐρηρεισμένην ἕξει τὴν εὐημερίαν, καὶ ἐν ἀκλονήτοις κείσεται τρυφαῖς, Θεοῦ προασπίζοντος, καὶ τὸ ἀπόλεκτον ἀεὶ τιμῶντός τε καὶ ἀγαπῶντος γένος. Ἔφασκον δὲ τοιαῦτα, καθάπερ ἔφην ἀρτίως, ψευδηγοροῦντες οἱ τάλανες, καὶ ῥᾴθυμον ὄντα τὸν Ἰσραὴλ ὑπτιοῦντες ἔτι, καίτοι δέον ἀναπείθειν ἐκμειλίσσεσθαι Θεὸν, καὶ τὰ ἐφ' οἷς λελύπηται ῥιπτοῦντας ὡς ἀποτάτω, μεταφοιτᾷν ἐλέσθαι πρὸς τὸ

Digitized by Google

αὐτῷ δοκοῦν. Ἀλλ' ὀλίγος ἐκείνοις τῆς ἀληθείας ὁ λόγος, λημμάτιον δὲ σμικρῶν καὶ εὐτελεστάτων ἡττώμενοι, πεπλανήκασι τὸν Ἰσραήλ. Καὶ γοῦν ὁ μὲν προφήτης Ἱερεμίας καταιτιᾶται λίαν αὐτοὺς, οὕτω λέγων· « Ὁ ὢν, Κύριε, ἰδοὺ οἱ προφῆται αὐτῶν προφητεύουσι, καὶ λέγουσιν· Οὐκ ὄψεσθε μάχαιραν, καὶ λιμὸς οὐκ ἔσται ἐν ὑμῖν, ὅτι ἀλήθειαν καὶ εἰρήνην δώσω ἐπὶ τῆς γῆς, καὶ ἐν τῷ τόπῳ τούτῳ. » Θεὸς δὲ πρὸς ταῦτα· « Ψευδῆ οἱ προφῆται προφητεύουσιν ἐπὶ τῷ ὀνόματί μου· οὐκ ἀπέστειλα αὐτοὺς, καὶ οὐκ ἐνετειλάμην αὐτοῖς, καὶ οὐκ ἐλάλησα πρὸς αὐτοὺς, ὅτι ὁράσεις ψευδεῖς, καὶ μαντείας, καὶ οἰωνίσματα, καὶ προαιρέσεις καρδίας αὐτῶν αὐτοὶ προφητεύουσιν ὑμῖν. » Καὶ μὴν καὶ ἑτέρωθι πάλιν φησίν· « Οὐκ ἀπέστελλον τοὺς προφήτας, καὶ αὐτοὶ ἔτρεχον· οὐδὲ ἐλάλησα πρὸς αὐτοὺς, καὶ αὐτοὶ προεφήτευον. » Πεπλάνηται τοίνυν, ὡς ἔφην, ὁ Ἰσραὴλ, τοῖς τῶν ψευδομάντεων φενακισμοῖς ἀσυνέτως συνηρπασμένος. Ἀλλ' οὐκ ἂν ἦλω ποτὲ παρ' ἐχθρῶν, καὶ τῆς οὕτω πικρᾶς, καὶ φορτικωτάτης δουλείας ἐπειράθη, τοῖς παρὰ Θεοῦ προφήταις τὸν νοῦν ἐπιδοὺς, οἳ καὶ συμβήσεσθαι τὰ τοιάδε προαπήγγελλον αὐτοῖς, καὶ διαῤῥήδην ἔφασκον, ὅτι πάντως εἰς πεῖραν ἐνεχθήσονται κακοῦ, μὴ οὐχὶ δρᾷν ἡρημένοι τὰ θυμήρη Θεῷ. Ταύτῃτοι καλεῖν πρὸς ἀνάμνησιν τῶν τε ἀνοσίων προφητῶν καὶ τῶν πεφενακισμένων, καί φησιν· « Οἱ πατέρες ὑμῶν ποῦ εἰσὶ καὶ οἱ προφῆται; Μὴ εἰς τὸν αἰῶνα ζήσονται; » Ὅμοιον ὡς εἰ λέγοι· Ἀπολώλασιν οἱ πατέρες ὑμῶν, καὶ τοῦτο οἰκτρῶς, ἐν αἰχμαλωσίᾳ, καὶ σὺν αὐτοῖς οἱ ψευδοπαῖς καὶ πεπλανηκότες, οἱ τὸ τῆς προφητείας ὄνομα καὶ χρῆμα καπηλεύοντες. Ἀλλ' εἴπερ ἔζων ἔτι, τάχα που βελτίους ὑμᾶς ἀπέφηναν, ἀεὶ κατοιμώζοντες ἐπὶ τοῖς συμβεβηκόσι, καὶ τῶν παρ' αὐτοῖς γεγονότων ψευδοπροφητῶν οὐ μετρίαν πειούμενοι τὴν καταβοήν. Ἀλλ' ἐκεῖνοι μὲν ῥᾳστώνης τε ὁμοῦ καὶ ἀπειθείας ἀφώνιον, τὸ συνδιολέσθαι τοῖς ἠπατηκόσιν ἐσχήκασιν. Ὑμεῖς δὲ τοὺς τῶν ἁγίων προφητῶν παραδέχεσθε λόγους, καὶ τὰ δι' αὐτῶν θεσπίσματα ποιεῖσθε περὶ πολλοῦ. Αὐτοὶ γὰρ λελαλήκασι καὶ τοῖς πρὸ ὑμῶν· « Ὅτι παρατέτακται Κύριος τοῦ ποιῆσαι· » δῆλον δὲ ὅτι τὴν αἰχμαλωσίαν καὶ τὰς ἐν αὐτοῖς συμβησομένας ταλαιπωρίας· διήλεγχον δὲ λέγοντες ἀναφανδόν· « Ὅτι κατὰ τὰς ὁδοὺς ὑμῶν καὶ τὰ ἐπιτηδεύματα ὑμῶν, οὕτως ἐποίησαν ὑμῖν. » Κολάζει γὰρ οὐ μάτην ὁ τῶν ὅλων Θεὸς, οὔτε μὴν ἀβασάνιστον τὴν ἐφ' ὅτῳοῦν ποιεῖται ψῆφον ἡ θεία τε καὶ ἁπλανὴς καὶ δικαιοτάτη κρίσις· ἀνεξικακήσασα δὲ ὑπερμέτρως, τότε δὴ, τότε ταλαντεύει τοῖς ἡμαρτηκόσι τὰ αὐτοῖς ὅτι μάλιστα πρεπωδέστατα.

A culisque vilissimis inescati, Israelem seduxerunt. Proinde propheta Jeremias acriter illos accusans ait : « Qui es, Domine, ecce prophetæ prophetant et dicunt : Non videbitis gladium, et fames non erit in vobis, quia veritatem et pacem dabo in terra et in **657** loco isto[8]. » Deus autem ad hæc : « Falsa prophetæ prophetizant in nomine meo : non misi eos, et non præcepi eis : non locutus sum ad eos; quia visiones mendaces, et divinationes, et auguria, et electiones cordis sui ipsi prophetizant vobis[9]. » Quin et alibi rursum : « Non mittebam prophetas, et ipsi currebant; neque loquebar ad eos, et ipsi prophetabant[10]. » Seductus est igitur Israel, ut dixi, falsiloquorum vatum imposturis imprudenter abreptus. Atqui in hostium potestatem nunquam B venisset, et acerbissimam dirissimamque servitutem non fuisset expertus, si missos a Deo prophetas auscultasset, qui et talia ipsis eventura prænuntiabant, et aperte confirmabant, omnino sensuros malum, nisi se ad ea opera præstanda darent, quæ Deus vellet. Quocirca illis et impios prophetas, et ab illis delusos in memoriam redigit, et ait : « Patres vestri ubi sunt, et prophetæ? Num in sempiternum vivent? » Ut si diceret, perierunt patres vestri, idque miserandum in modum in captivitate, et cum ipsis falsiloqui, et impostores, qui prophetiæ et nomen et rem cauponabantur. Quod si viverent, forsitan, expertas calamitates continenter deplorantes, et in ementita vaticinia sua vehementius invehentes, vos frugi reddidissent. Sed illi quidem inertiæ et contumaciæ suæ stipendium accepernut, quod cum illusoribus interierunt. At vos sanctorum prophetarum sermones excipite, et divina eorum effata magni pendite. Ipsi quippe et majoribus vestris locuti sunt : « Quia instructus est Dominus facere : » utique captivitatem, et ea perferendas ærumnas, et redarguebant eos dicentes manifeste : « Quia secundum vias vestras, [et adinventiones vestras vobis fecit.] » Non enim temere punit universorum Deus, neque divina et falli nescia censura citra examen in quocunque negotio fert sententiam : sed cum supra modum patienter sustinuerit, tunc demum sontibus quæ maxime merentur rependit. Sapientis est igitur prompta obsequi, et divinis parere legibus, sanctorumque prædictiones revereri, et fidem commodare vocibus spiritus, cogitareque non posse non evenire, quæ prædicta sint, et meliorem mentem induere, atque ad pœnitentiam se conferre.

Σοφὸν οὖν ἄρα τὸ εὐήνιον, καὶ παντὸς ἡμᾶς ἀπαλλάξει κακοῦ τὸ τοῖς θείοις ἕπεσθαι νόμοις, καὶ τὰς τῶν ἁγίων προαγορεύσεις τιμᾶν, καὶ πίστεως ἀξιοῦν τὰς τοῦ πνεύματος φωνὰς, ἐννοοῦντάς τε ὅτι πάντη τε καὶ πάντως συμβήσεται τὰ προηγγελμένα, μεταπλάττεσθαι πρὸς τὸ ἄμεινον, καὶ μεταχωρεῖν εἰς μετάγνωσιν.

Τῇ τετράδι καὶ εἰκάδι τῷ ἐνδεκάτῳ μηνὶ (οὗτός ἐστιν ὁ μὴν Σαβὰτ) ἐν τῷ δευτέρῳ ἔτει, ἐπὶ Δαρείου, ἐγένετο λόγος Κυρίου πρὸς Ζαχαρίαν τον τοῦ Βαραχίου, υἱοῦ Ἀδδὼ, τὸν προφήτην, λέ-

658 Vers. 7-11. *Quarta et vicesima undecimo mense (hic est mensis Sabat) in secundo anno sub Dario, factum est verbum Domini ad Zachariam filium Barachiæ, filii Addo, prophetam, dicens :* Vide

[8] Jerem. xiv, 13. [9] ibid. 14. [10] Jerem. xxiii, 21.

Digitized by Google

per noctem, et ecce vir ascendens super equum rufum, et iste stabat inter duos montes umbrosos, et post eum equi rufi, et maculosi, et varii, et albi. Et dixi : Quid isti, Domine? Et dixit ad me angelus qui loquebatur in me : Ego ostendam tibi quid sunt hæc. Et respondit vir qui stabat inter montes, et dixit ad me : Isti sunt quos misit Dominus ut circumirent terram. Et responderunt angelo Domini qui stabat inter montes, et dixerunt : Circuivimus omnem terram, et ecce omnis terra habitatur, et quiescit.

V. Particulatim, certisque temporibus Deus visiones sanctis prophetis revelabat. Dici enim non potest semper, et crebro, et nullo prorsus intercedente intervallo divinæ visionis, futurorumque revelationis gratiam suppeditatam. Quin temporibus potius unicuique negotio congruentibus, et juxta arbitratum abscondita revelantis. Et modo hoc, modo illud, multis ac diversis rationibus docebantur. Nam interdum simplicem notitiam accipiebant, Spiritu sancto docente : interdum nihilominus quædam agi per visum cernebant, Deo aliter atque aliter, et in obscura specie mysteria illis informante ac patefaciente. Beatus enim Isaias narrat se vidisse Dominum Sabaoth, « Sedentem super solio excelso et elevato, circumstantibus eum Seraphim, et vicissim collaudantibus [11]. » Divinus autem Ezechiel thronum se conspexisse dicit super firmamento, et sub eo Seraphim. Affirmatque sedentem super throno se intuitum, forma gemina, inferiorem quidem ejus partem, a lumbis usque deorsum, ignem evidenter referentem : superiorem vero electrum. Quæ singula exacte [12] et copiose explanari possent, si cui causas, quamobrem Deus multifarias visiones eis obtulerit, penitius indagare liberet. Sic ergo et beatus Zacharias tempus, et dies, et mensem perspicue exprimens, Dominum se in forma nostra vidisse confitetur. Inquit enim : « Ecce vir, qui ascenderat super equum rufum. » 659 Quibus verbis quasi bello exercitatum et militaris disciplinæ non ignarum tacite significat. Equo enim insidere, et quidem rufo, et coloris quasi sanguinei, tale quid sibi deinceps velle opinor. Pugnat enim universorum Deus contra resistentes sibi, et tanquam hostis contra rebellem, et superbam adversus se mentis cervicem erigentes, arma capessit. Faciebant istud, et audacissime Israelitæ, Judæam ipsamque Hierosolymam incolentes : quin et regionis Samaritarum indigenæ, hoc est, decem tribus. Descenderant enim ad colendam deorum multitudinem, et manufactis divinos honores tribuentes, vitulis aureis acclamabant : « Isti sunt dii tui Israel, qui eduxerunt te de terra Ægypti [13] ; » et insuper legislatoris præceptionibus sacris omnino contemptis, quo quemque cupiditas

γων· Εἶδον τὴν νύκτα, καὶ ἰδοὺ ἀνὴρ ἐπιβεβηκὼς ἐπὶ ἵππον πυρρὸν, καὶ οὗτος εἱστήκει ἀναμέσον τῶν δύο ὀρέων τῶν κατασκίων, καὶ ὀπίσω αὐτοῦ ἵπποι πυρροὶ, καὶ ψαροὶ, καὶ ποικίλοι, καὶ λευκοί. Καὶ εἶπα· Τί οὗτοι, Κύριε; Καὶ εἶπε πρός με ἄγγελος ὁ λαλῶν ἐν ἐμοί· Ἐγὼ δείξω σοι τί ἐστι ταῦτα. Καὶ ἀπεκρίθη ὁ ἀνὴρ ὁ ἑστηκὼς ἀναμέσον τῶν ὀρέων, καὶ εἶπε πρός με· Οὗτοί εἰσιν οὓς ἐξαπέστειλε Κύριος περιοδεῦσαι τὴν γῆν. Καὶ ἀπεκρίθησαν τῷ ἀγγέλῳ Κυρίου τῷ ἑστῶτι ἀναμέσον τῶν ὀρέων, καὶ εἶπον· Περιωδεύσαμεν πᾶσαν τὴν γῆν, καὶ ἰδοὺ πᾶσα ἡ γῆ κατοικεῖται, καὶ ἡσυχάζει.

Ε'. Ἀνὰ μέρος καὶ κατὰ καιροὺς τὰς ὁράσεις τοῖς ἁγίοις προφήταις ἐξεκάλυπτεν ὁ Θεός. Οὐ γάρ που φαμεν ὡς ἀεί που, καὶ συχνὴ, καὶ ἀδιάστατος παντελῶς ἡ τῆς θεοπτίας αὐτοῖς ἐχορηγεῖτο χάρις, καὶ τῶν ἐσομένων ἀποκάλυψις. Κατὰ καιροὺς δὲ μᾶλλον, τοὺς ἑκάστῳ πράγματι πρέποντας, καὶ κατὰ τὸ αὐτῷ δοκοῦν τῷ ἀποκαλύπτοντι τὰ κεκρυμμένα. Καὶ ποτὲ μὲν τοῦτο, ποτὲ δὲ ἐκεῖνο, κατὰ πολλούς τε καὶ διαφόρους ἐπαιδεύοντο τρόπους. Ἔσθ' ὅτε μὲν γὰρ ἁπλῆν ἐδέχοντο γνῶσιν, ἐνηχοῦντος αὐτοῖς τοῦ ἁγίου Πνεύματος· ἔσθ' ὅτε δὲ πρὸς τούτῳ καὶ ἐν αὐταῖς ὁράσεσι τῶν δρωμένων ἐγίνοντο, ἄλλοτε ἄλλως αὐτοῖς διαμορφοῦντος Θεοῦ καὶ ἀποκαλύπτοντος αἰνιγματωδῶς μυστήρια. Ἡσαΐας μὲν γὰρ ὁ μακάριος τεθεᾶσθαί φησι τὸν Κύριον Σαβαὼθ, « Καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, περιεστηκότων αὐτὸν τῶν Σεραφὶμ, καὶ ἀντιφθεγγομένων ἐξ ἀμοιβῆς. » Ὁ δέ γε θεσπέσιος Ἰεζεχιὴλ θρόνον τεθεᾶσθαί φησιν ἐπὶ στερεώματος, ὑποκειμένων τῶν Σεραφίμ. Ἔφη δὲ, ὅτι τὸν ἐπὶ θρόνου καθήμενον ἑώρακε διφυᾶ· ὡς τὰ κάτω μὲν ἀπὸ ὀσφύος ἐν εἴδει πυρὸς ὁρᾶσθαι σαφῶς, ἐν ὁράσει δὲ ἠλέκτρου τὰ ἄνω. Καὶ βαθὺς ἂν γένοιτο, καὶ μακρὸς ὁ ἐφ' ἑκάστῳ λόγος, εἴπερ ἔλοιτό τις πολυπραγμονεῖν τὰς αἰτίας τοῦ πολυειδεῖς γενέσθαι παρὰ Θεοῦ τὰς ὁράσεις αὐτοῖς. Οὕτω τοιγαροῦν καὶ ὁ μακάριος Ζαχαρίας καιρὸν, καὶ ἡμέρας, καὶ μῆνα σαφῶς ὁρισάμενος, τεθεᾶσθαί φησι τὸν Κύριον ἐν εἴδει τῷ καθ' ἡμᾶς. « Ἰδοὺ γὰρ ἀνὴρ, φησὶν, ἐπιβεβηκὼς ἐφ' ἵππον πυρρόν. » Αἰνίττεται δὲ διά τούτου τὸν οἱονεί πως ἐμπειροπόλεμον καὶ εἰδότα τὰ τακτικά. Τὸ γὰρ ἵππῳ μὲν ἐφιζῆσαι, καὶ τούτῳ πυρρῷ, καὶ τὴν οἷον ἐξ αἵματος ἔχοντι χροιὰν, τοιοῦτόν τι οἶμαί που σημαίνειν λοιπόν. Μάχεται γὰρ ὁ τῶν ὅλων Θεὸς τοῖς ἀντεξάγουσιν αὐτῷ, καὶ οἷά τις πολέμιος ἀνθοπλίζεται τοῖς ἀπειθῆ καὶ ἀγέρωχον ἀντανιστᾶσιν αὐτῷ τὸν τῆς διανοίας αὐχένα. Ἔδρων δὲ τοῦτο, καὶ μάλα νεανικῶς, οἱ ἐξ αἵματος Ἰσραὴλ, οἵ τε τὴν Ἰουδαίαν καὶ αὐτὴν οἰκοῦντες τὴν Ἱερουσαλὴμ· καὶ μὴν καὶ οἱ τὴν Σαμαρειτῶν χώραν ἔχοντες, τουτέστιν, αἱ δέκα φυλαί. Ἐτράποντο γὰρ εἰς πολυθεΐαν, καὶ τοῖς χειροκμήτοις τὸ σέβας ἀνάπτοντες, ἐπεφώνουν ταῖς δαμάλεσι ταῖς χρυσαῖς· « Οὗτοι οἱ θεοί σοι, Ἰσραὴλ, οἵτινες ἀνήγαγόν σε ἐκ γῆς Αἰγύπτου, » καὶ πρός γε δὴ τοῦτοις τῶν τοῦ νομοθέτου θεσπισμά

[11] Isa. vi, 1. [12] Ezech. i, 1 seqq. [13] Exod. iii, 8 ; III Reg. xii, 28.

Digitized by Google

των ἀλογήσαντες παντελῶς, ἀπερισκέπτως ἐτράποντο πρὸς τὸ ἑκάστῳ φίλον δοκοῦν. Ταύτῃτοι λοιπὸν ὁ τῶν ὅλων Θεὸς, ἔφιππος δὲ ὥσπερ αὐτοῖς, ὡς ἐν εἴδει τῷ καθ' ἡμᾶς αἰνιγματωδῶς ἐπιφοιτᾷ. Ἕστηκε δὲ ἀνὰ μέσον τῶν δύο ὀρέων τῶν κατασκίων. Ὄρη δὲ, οἶμαι, κατάσκιά φησι τὸ τῆς Ἰουδαίας, τουτέστι τὴν Σιὼν, καὶ μὴν καὶ τὸ τῆς Σαμαρείας. Ἔφη γάρ που περὶ αὐτῶν ὁ Θεός· « Οὐαὶ τοῖς ἐξουθενοῦσι Σιὼν, καὶ τοῖς πεποιθόσιν ἐπὶ τὸ ὄρος Σαμαρείας. » Ἄμφω δὲ κατάσκια διά τοι τῷ ἀμετρήτῳ πλήθει τῶν κατῳκηκότων στενοχωρεῖσθαι τάχα που, καὶ ὕλην ἀπομιμεῖσθαι βαθείαν τε καὶ ἀμφιλαφῆ. Κατόπιν γε μὴν τοῦ ἐπιβεβηκότος τὸν ἵππον τὸν πυῤῥὸν, ἵπποι πάλιν ἦσαν ἕτεροι, καὶ οὐκ ἐν ὄψει μιᾷ· πυῤῥοὶ γὰρ ἦσαν, καὶ μὴν καὶ ψαροὶ, καὶ ποικίλοι, καὶ λευκοί. Σημαίνουσι δὲ καὶ αὐτοὶ καὶ βασιλέας, ἢ ἔθνη φιλοπόλεμά τε καὶ μαχιμώτατα, καὶ οὐχὶ δὴ μόνην τὴν ἐνεγκοῦσαν ἔχειν ἠγαπηκότα, κατασκιδνάμενα δὲ ὥσπερ ἁπάσης τῆς γῆς, καὶ ὑφ' ἑαυτὰ ποιεῖσθαι σπουδάζοντα τὴν ὑπ' οὐρανὸν, ὁποῖοι γεγόνασιν οἱ Βαβυλωνίων βασιλεῖς· Φούλας μὲν πρῶτος, ὃς εἶλε τὰς πέραν τοῦ Ἰορδάνου φυλάς. Εἶτα μετ' ἐκεῖνον ὁ Σαλαμανασὰρ, ὃς πεπόρθηκε τὴν Σαμάρειαν, καὶ τρίτος Σενναχηρεὶμ, ὁ τῆς Σαμαρείας τὸ λείψανον καταδηώσας ἀγρίως, προσεμπρήσας δὲ καὶ πολλὰς τῆς Ἰουδαίας πόλεις· τέταρτος ὁ Ναβουχοδονόσωρ, ὃς καὶ αὐτὴν εἶλε τὴν Ἱερουσαλὴμ, καὶ ἀπεκόμισεν εἰς αἰχμαλωσίαν τὸν Ἰσραήλ. Τότε μὴν ἐν ποικίλοις εἴδεσιν ὁρᾶσθαι τοὺς ἵππους σημαίνει τάχα· καὶ τὸ ἐν αὐτοῖς ἑτερόχροον, αἴνιγμα τῆς ἑκάστου γνώμης καὶ τῆς ἑκάστου διανοίας παραδέξαιτο ἂν τις, καὶ μάλα εἰκότως. Διηπόρηκε μὲν οὖν ὁ προφήτης, καὶ ἀποκάλυψιν αἰτεῖ. Μανθάνει δὲ ὅτι σῦτοί εἰσιν, οὓς ἐξαπέστειλε Κύριος, τοῦ περιοδεῦσαι τὴν γῆν ἅπασαν, καὶ αὐτοὶ δὲ τοῦτό φασιν οἱ ἀπεσταλμένοι, περιωδευκέναι τὴν σύμπασαν διαβεβαιούμενοι, καὶ μὴν ὅτι καὶ ἡρεμεῖ, ταῖς αὐτῶν πλεονεξίαις ἀντιτείνειν οὐκ ἔχουσα, καὶ τὸν ὑπ' αὐτοῖς ἀδούλητον μὲν, πλὴν ἀναγκαῖον ὑπομένουσα ζυγόν.

A sua allectabat, eo ibat. Idcirco universorum Conditor, velut in equo, et nostri similis, et sub tegumento adest. Stat autem inter duos montes umbrosos. Meo judicio montes umbrosos nominat, unum qui est in Judæa, Sion videlicet, alterum qui est in Samaria. Alicubi enim de his ita loquitur Deus : « Væ sperantibus Sion, et confidentibus in monte Samariæ [14], » Ambo autem umbrosi, quod propter immensam incolentium multitudinem coarctarentur fortasse, et silvam densam atque umbrosam imitarentur. A tergo porro equo rufo insidentis, et insuper alii equi, nec illi concolores astabant : erant siquidem rufi, et maculosi, et varii, et albi. Qui ipsi quoque et reges, et gentes belli cupidas et in pugna acerrimas significant, et quæ natali solo B tantummodo contentæ non sint : sed per totum orbem velut dispersæ, omnes provincias et regna sub sole in suam redigere ditionem conantur; quales Babyloniorum reges exstiterunt : Phulas primum, qui tribus trans Jordanem subegit; et post illum Salmanasar, qui vastavit Samariam; tertius Senacherib, qui reliquias Samariæ immaniter deprædatus, complura item Judææ oppida exussit; quartus Nabuchodonosor, qui et Hierosolymam evertit, et Israelem captivum abduxit. Tunc sane variorum colorum equos esse visos, fortasse indicat; et ænigma colorum diversitatis quam habebant de differentia cujusque voluntatis, et sententiæ interpretari quispiam commodissime poterit. 680 C Hæret igitur ambiguus propheta, et revelationem quærit. Discit autem hos esse, quos emiserit Dominus, ut circumirent omnem terram, atque adeo ipsi missi hoc autumant, omnem terram se circumivisse confirmantes; præterea ipsam quiescere, eorum potentiæ obniti non valentem, et jugum eorum non voluntate, sed necessitate sustinentem.

Καὶ ἀπεκρίθη ἄγγελος Κυρίου, καὶ εἶπε· Κύριε παντοκράτωρ, ἕως τίνος οὐ μὴ ἐλεήσεις τὴν Ἱερουσαλὴμ, καὶ τὰς πόλεις τῆς Ἰουδαίας, ἃς ὠργίσθης; τοῦτο ἑβδομηκοστὸν ἔτος.

Vers. 12. *Et respondit Angelus Domini, et dixit : Domine omnipotens, usquequo non miserebaris Jerusalem, et urbium Juda quas neglexisti? iste annus septuagesimus.*

Ϛ'. Τῶν ἀπεσταλμένων ἵππων, ἦγουν ἐθνῶν τε καὶ βασιλέων περιοδευσάντων τὴν σύμπασαν γῆν, εἶτα σαφῶς εἰρηκότων, ὡς κατοικεῖται, καὶ ἡσυχάζει, καὶ τὸν ἐξ ἀνάγκης ἐπερριμμένον ὑπομένει ζυγὸν, καὶ τῆς Ἰουδαίας ὁ μακάριος ἄγγελος, ὃς τάχα που ἐτέτακτο παρὰ Θεοῦ τὸ τῶν Ἰουδαίων ἔθνος παιδαγωγεῖν. Εὑρήσομεν δὲ ὅτι καὶ ὅτε τῆς τῶν Αἰγυπτίων ἐκδεδραμήκασι γῆς, δεινοῖς μὲν αὐτοὺς κατεπτόει δείμασιν ὁ ἀπόπληκτος Φαραὼ, τὸν πολέμου νόμον ἐξωπλισμένος, εἶτα διώκειν ἐπιχειρῶν· « Ἕστη, φησὶν, ὁ ἄγγελος Κυρίου ἀνὰ μέσον αὐτῶν, καὶ οὐ συνέμιξαν ἀλλήλοις ὅλην τὴν νύκτα. » Ἀλλὰ καὶ αὐτὸν τὸν νόμον δι' ἀγγέλων λελαλῆσθαι ὁ νομομαθὴς ἔφη Παῦλος. Ὑπεμφαίνει δέ τι τοιοῦτον καὶ τῆς εὐαγγε-

VI. Postquam equi missi, sive gentes, et reges D qui totam terram circumierunt, responsum apertum reddiderunt, eam habitari, et quiescere, et impositum sibi jugum vel nolentes perferre, mox ad preces pro Hierosolyma et Judæa faciendas convertitur beatus angelus, qui fortassis Judæorum genti instituendæ a Deo præpositus erat. Legimus porro cum insanus Pharao ex Ægypto propere egressis graves terrores inculeret, hostilem in modum armatus, et eos insequi aggressus : « Stetit, inquit, angelus Domini in medio eorum, et non commiscuerunt se ad invicem tota nocte [15]. » Quin et legem per angelos dictatam doctus legis scribit Paulus [16]. Tale quiddam nos monet etiam sensus

[14] Amos VI, 1. [15] Exod. XIV, 19 [16] Galat. III, 19.

Digitized by Google

parabolæ evangelicæ. Ait enim alicubi Christus de synagoga Judæorum, sub involucro illi eventura prænonstrans : « Ficum habebat quidam plantatam in agro suo [17]. » Quam ut sterilem exscindere voluit, idque cultori vineæ mandavit : « Exscinde illam, inquit : ut quid adhuc terram occupat? Tum cultor : Domine, sine illam etiam hoc anno, usque dum fodiam circa illam, et mittam stercora : et fortasse fecerit fructum in posterum : si minus, exscindes eam [18]. » Quid enim aliud nobis in his persona visitoris insinuat, nisi præfectum angelum, et ad ipsam, ut dixi, erudiendam constitutum? Igitur Deo captivitatem anno septuagesimo circumscribente, ante id tempus finitum, silendum fuit necessario, ne Dominicis nutibus adversari videretur. Cæterum annis jam transactis, preces fundit suppliciter : offensionisque suspicione sublata, cum sciat Dominum mentiri non posse, discere cupit 661 utrum irati vindicta, juxta vetus beneplacitum in annum septuagesimum extendenda, perinde cessarit, sicut peccare desierint, qui peccabant : an ultra adhuc proferenda, additis peccatis novis, et proroganda adhuc in longum calamitas. Idcirco ait : « Quousque non misereberis Jerusalem, et civitatum Judæ neglectarum jam ad annum usque septuagesimum? »

Quocirca spe bona et explorata sustentantur qui Deum colunt, quod si contigerit offendere ex infirmitate, esse qui apud Deum pro ipsis supplicent, non homines tantum, sed etiam ipsos sanctos angelos qui Deum mitem et placidum reddant, sua puritate et innocentia ejus iras sedantes, et indignantem judicem ad ignoscendum quodammodo compellentes. Verum tum quidem angelus pro synagoga Judæorum supplex fiebat. Nos autem fideles et sanctificati de cætero in spiritu, « advocatum habemus apud Patrem Jesum Christum, et ipse est propitiatio pro peccatis nostris : nec pro nostris tantum, sed et pro totius mundi [19]. » Et ut divinus Paulus scriptum reliquit : « Ipsum posuit Deus propitiationem per fidem [20], » liberantem a peccatis ad ipsum accedentes.

Vers. 13-15. *Et respondit Dominus omnipotens angelo qui loquebatur in me, verba bona, et sermones consolatorios. Et dixit ad me angelus qui loquebatur in me : Clama, dicens : Hæc dicit Dominus omnipotens : Zelavi Jerusalem, et Sion zelo magno, et ira magna ego irascor super gentes superimpositas. Pro eo quod ego quidem iratus sum modicum, ipsi vero simul incubuerunt in mala.*

VII. Vere dicimus, juxta vocem Psallentis, « Misericors et miserator Dominus [21] » et ipsa rerum experientia clamat ita se habere, non aliter. Observa enim quomodo extemplo exaudiat preces pro ve-

Λικῆς παραβολῆς ἡ δύναμις. Ἔφη γάρ που Χριστὸς περὶ τῆς τῶν Ἰουδαίων συναγωγῆς, τὸ μέλλον αὐτῇ συμβήσεσθαι προαναδεικνὺς αἰνιγματωδῶς· « Συκῆν εἶχέ τις πεφυτευμένην ἐν τῷ ἀγρῷ αὐτοῦ. » Ἐπειδὴ δὲ ἄκαρπος ἦν, ἐκκόπτειν αὐτὴν ἤθελε, καὶ δὴ τοῦτο δρᾷν ἐκέλευε λέγων τῷ γηπόνῳ· « Ἔκκοψον αὐτήν, ἵνα τί καὶ τὴν γῆν καταργεῖ; Ὁ δὲ πρὸς τοῦτό φησι· Κύριε, ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἕως ἂν σκάψω περὶ αὐτήν, καὶ βάλλω κόπρια· κἂν μὲν ποιήσῃ καρπὸν εἰς τὸ μέλλον· εἰ δὲ μή γε, ἐκκόψεις αὐτήν. » Τί γὰρ ἕτερον ἡμῖν ἐν τούτοις τὸ τοῦ γηπόνου πρόσωπον ὑπαινίττεται, πλὴν ὅτι τὸ τοῦ προεστηκότος ἀγγέλου, καὶ παιδαγωγεῖν αὐτὴν, ὡς ἔφην, προστεταγμένου; Ὁρίσαντος οὖν τοῦ Θεοῦ τῆς αἰχμαλωσίας τὸν χρόνον εἰς ἔτος ἑβδομηκοστὸν, οὕπω μὲν εἰς πέρας ἥκοντος τοῦ καιροῦ, σιωπᾷν ἦν ἀναγκαῖον, ὡς ἂν μὴ δοκοίη Δεσποτικοῖς ἀντεξάγειν νεύμασι. Πεπερασμένου δὲ ἤδη τοῦ καιροῦ, ποιεῖται τὰς λιτὰς, καὶ τῆς τοῦ προσκρούειν ὑποψίας ἐκ μέσου γεγενημένης, ἀψευδῆ δὲ ὄντα τὸν Δεσπότην εἰδὼς, ἀναμαθεῖν ἀξιεῖ, πότερον συμπεπέρασται τοῖς ἡμαρτηκόσι τὰ ἐξ ὀργῆς κατὰ τὸ πάλαι δοκοῦν εἰς ἔτος τὸ ἑβδομηκοστόν· ἦγουν ἔσται τις ἑτέρα πάλιν ἀνάβλησις προστεθειμένων ἁμαρτιῶν, καὶ εἰς μῆκος ἔτι τὰ τῆς ταλαιπωρίας αὐτοῖς ἐκτείνεται. Ταύτῃτοί φησιν· « Ἕως τίνος οὐ μὴ ἐλεήσῃ τὴν Ἱερουσαλὴμ καὶ τὰς τῆς Ἰουδαίας πόλεις ὑπερεωραμένας ἤδη τοῦτο ἑβδομηκοστὸν ἔτος; »

Ἐλπὶς οὖν ἄρα τοῖς σεβομένοις Θεὸν χρηστὴ, καὶ οὐκ ἀμφίβολος, ὡς εἴ δήπου γένοιτο προσκρούειν ἐξ ἀσθενείας, ἀλλ' οὓς ἔχουσι παρὰ Θεῷ τοὺς λιταρουῦντας ὑπὲρ ἑαυτῶν, οὐκ ἀνθρώπους μόνον, ἀλλὰ καὶ αὐτοὺς τοὺς ἁγίους ἀγγέλους, οἱ προσηνῆ τε καὶ μειλίχιον ἀποτελοῦσι Θεὸν, τῇ ἰδίᾳ καθαρότητι κατευνάζοντες τὰς ὀργὰς, καὶ οἱονείπως ἐκδυσωποῦντες ἀσχάλλοντα τὸν κριτήν. Ἀλλὰ τότε μὲν ἄγγελος ὑπὲρ τῆς τῶν Ἰουδαίων συναγωγῆς ἐποιεῖτο τὰς λιτάς. Ἡμεῖς δὲ, οἱ πεπιστευκότες, καὶ ἡγιασμένοι λοιπὸν ἐν πνεύματι, « Παράκλητον ἔχομεν πρὸς τὸν Πατέρα Ἰησοῦν Χριστὸν, καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν· οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ περὶ ὅλου τοῦ κόσμου. » Καὶ ὡς ὁ θεσπέσιος γράφει Παῦλος, « Αὐτὸν ἱλαστήριον ὁ Θεὸς ἔθετο διὰ πίστεως, » ἁμαρτιῶν ἀπαλλάττοντα τοὺς προσιόντας αὐτῷ.

Καὶ ἀπεκρίθη Κύριος παντοκράτωρ τῷ ἀγγέλῳ τῷ λαλοῦντι ἐν ἐμοὶ, ῥήματα καλὰ, καὶ λόγους παρακλητικούς. Καὶ εἶπε πρός με ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί· Ἀνάκραγε λέγων· Τάδε λέγει Κύριος παντοκράτωρ· Ἐζήλωκα τὴν Ἱερουσαλὴμ, καὶ τὴν Σιὼν ζῆλον μέγαν, καὶ ὀργὴν μεγάλην ὀργίζομαι ἐπὶ τὰ ἔθνη τὰ συνεπιτιθέμενα. Ἀνθ' ὧν ἐγὼ μὲν ὠργίσθην ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά.

Ζ'. Ἀληθὲς εἰπεῖν, ὅτι κατὰ τὴν τοῦ Ψάλλοντος φωνὴν, « Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, » καὶ αὐτὴ δὲ τῶν πραγμάτων ἡ πεῖρα διαδοήσειεν ἄν, ὡς ὧδέ τε ἔχει, καὶ οὐχ ἑτέρως. Ἄθρει γὰρ ὅπως δέχε-

[17] Luc. XIII, 6. [18] ibid. 7-9. [19] I Joan. II, 1, 2. [20] Rom. III, 25. [21] Psal. CXI, 8.

Digitized by Google

ται παραχρῆμα τὰς λιτὰς τὰς ὑπέρ γε τῶν πεπραχότων ἀθλίως, καὶ συντέτριμμένων ἐν ἀλλοδαπῇ, καὶ τὸν τῆς αἰχμαλωσίας ἀπαλλάττων ζυγὸν, μόνον δὲ οὐχὶ τοῦ παρακαλοῦντος φθάνει τὴν αἴτησιν, καὶ ἀποκρίνεται παραχρῆμα « ῥήματα καλὰ, καὶ λόγους παρακλητικούς · » παρακλητικοὺς δέ φημι τοὺς ἀνακτήσασθαί τε καὶ παρακαλέσαι δυναμένους τοὺς πεπονηκότας. Παρ' ὅλον γὰρ τῆς αἰχμαλωσίας αὐτῶν τὸν καιρὸν οὐ ῥῆμα τάχα που χρηστὸν εἰρηκὼς, οὐχ ἑτέρου τινὸς τῶν παρακαλεῖν εἰωθότων ἀξιώσας αὐτοὺς, ἄρχεται χρηστοεπεῖν, καὶ τῆς ἐπ' αὐτοῖς ἡμερότητος καταβάλλεται τὴν ἀρχήν. Ἐκ περιχαρείας δὴ οὖν τῆς ἄγαν ὁ θεσπέσιος ἄγγελος διακεκραγέναι λοιπὸν τῷ προφήτῃ προστέταχε, καὶ διακονεῖν εἰς ἅπαντας τὰ παρὰ Θεοῦ. « Ἐζηλωμένει γάρ φησι τὴν Ἱερουσαλὴμ ζῆλον μέγαν, » οὐκ αὐτῇ τὸν ζῆλον ἐνιείς, καθάπερ καὶ πρώην παρενηνεγμένῃ πρὸς ἀλλοκότους λατρείας, ἀλλ' ὑπὲρ αὐτῆς τοῖς πεπορθηκόσιν, οἷς καὶ ὠργίσθαι φησὶν, οὐχ ὡς ἐν ἁπλῇ καὶ μετρηθείσῃ κινήσει τυχὸν, ἀλλ' ὡς ἐν ἀκράτῳ τε καὶ ἀσχέτῳ θυμῷ. Ἐγὼ μὲν γὰρ, φησὶν, ἐπαίδευον τοὺς ἐμοὺς, καὶ οὐδὲν αὐτοὺς πέρα μέτρου πάσχειν ἤθελον. Αὐτοὶ δὲ τῆς ἰδίας γνώμης τὴν ἀγριότητα δεινῶς τε καὶ ἀχαλίνως ἐπῆγον, παρέντες οὐδὲν τῶν εἰς ὠμότητα καὶ ἀπανθρωπίαν. Τοῦτο, οἶμαι, ἐστὶ τὸ, « Ἐγὼ μὲν ὠργίσθην ὀλίγα · αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά. » Παιδεύει μὲν γὰρ ἐξ ἀγάπης ἡμαρτηκότας ὁ τῶν ὅλων Θεὸς, καὶ συμμέτρους ἡμῖν ἐπιφέρων αἰκίας, ἢ πόνους, μετασοβεῖ πρὸς τὸ ἄμεινον. Οἱ δὲ δὴ πρὸς τοῦτο παρειλημμένοι, θηριοπρεπῶς ἐπιθρώσκουσι τοῖς παιδευομένοις ἐσθ' ὅτε. Ἀλλ' ὀργίζεται Θεὸς ἐπ' αὐτοῖς ὀργὴν μεγάλην. Ὁ μὲν γὰρ ὡς πατὴρ μαῖς τοῖς κάμνουσιν ἐπεφέροντο.

A xatis et contritis in peregrino solo, et captivitatis jugum auferens, et rogantis petitionem ferme præveniens, et mox respondens « verba bona, et sermones consolatorios : » consolatorios, inquam, qui recreare et permulcere afflictos possent. Toto siquidem 662 tempore captivitatis, cum fortassis nullo eos leni verbo affatus, nec alio quopiam quod solatio esse posset, dignatus fuisset, incipit blande loqui et mansuetudinis suæ in ipsos principium capessit. Ex ingenti igitur lætitia divinus angelus exclamare prophetæ dehinc jubet, et a Deo dicta communicare cum omnibus. Inquit enim : « Zelatus sum Jerusalem zelo magno, » non in ipsam zelum effundens, quomodo et antea, cum in religiones monstrosas transversim abiisset, sed pro ipsa in vastatores, quibus et se iratum ait, non ut simplici et circumscripta commotione fortasse, sed ut summo et implacabili furore. Ego enim, inquit, corripiebam meos, et nihil immoderatum illos perpeti volebam. At ipsi pro sua libidine horribilem et indomitam sævitiam adhibuerunt, nihil ad crudelitatem immanitatemque prætermittentes. Hoc, opinor, est quod ait : « Ego quidem iratus sum modice ; ipsi vero simul incubuerunt in mala. » Corripit enim peccatores universorum Deus ex charitate, medicisque plagis, aut doloribus illatis, ad consilia saniora compellit. Qui autem ad hoc pro ministris asciscuntur, aliquando ceu belluæ in eos qui corripiuntur incursant. Verum irascitur illis Deus ira magna. Nam ille ut parens verberibus corrigere volebat : illi vero effrenato impetu in afflictos irruebant.

B

C

Τοῦτο παθούσης τῆς Ἐκκλησίας, ἠγνοήκασιν οἱ διώκοντες, ὅτι τῆς εἰς αὐτὴν ἀγριότητος ἀποτίσουσι λόγους, καὶ πικρὰς ἐξαιτηθήσονται δίκας παρὰ τοῦ προεστῶτος Θεοῦ.

Sic tractata Ecclesia, ignorabant persecutores se feritatis in illam suæ rationem reddituros, et Deo ejus præsidi grave supplicium soluturos.

Διὰ τοῦτο τάδε λέγει Κύριος · Ἐπιστρέψω ἐπὶ Ἱερουσαλὴμ ἐν οἰκτιρμῷ, καὶ ὁ οἶκός μου ἀνοικοδομηθήσεται ἐν αὐτῇ, λέγει Κύριος παντοκράτωρ, καὶ μέτρον ἐκταθήσεται ἐπὶ Ἱερουσαλὴμ ἔτι.

Vers. 16. *Propterea hæc dicit Dominus : Convertar ad Jerusalem in misericordia, et domus mea instaurabitur in ea, dicit Dominus omnipotens, et mensura extendetur super Jerusalem adhuc.*

Η'. Δείκνυσιν ὅτι παθοῦσα τὴν ἀποστροφὴν τοῦ διασώζειν ἰσχύοντος, ἀθλιότητός τε καὶ ταλαιπωρίας εἰς τοῦτο κατώλισθεν, ἔσται δὲ πάλιν ἀκονιτὶ, καὶ λίαν εὐκόλως ἐν οἷς ἦν πάλαι, μετατεθέντος εἰς ἡμερότητα τοῦ παρωργισμένου, δῆλον δὲ ὅτι τοῦ πάντα ἰσχύοντος Θεοῦ, μόνον δὲ οὐχὶ καὶ ὑπονοστοῦντος εἰς αὐτὴν, διά τοι τοῦ πάλιν ἀξιῶσαι φειδοῦς, καὶ ἀγάπης, καὶ ἀμνησικάκως ἀνεῖναι τὰ ἐγκλήματα. Ὑπισχνεῖται γὰρ καὶ τὸν οἶκον ἐγείρειν, καὶ εὐμηκεστάτην ἀποφαίνειν τὴν Ἱερουσαλήμ. Ἐμπέπρηστο[ν] μὲν γὰρ ὁ νεὼς, καθῄρητο δὲ καὶ αὐτὰ τὰ τῆς πόλεως τείχη, ὡς ὀλίγην καὶ συνεσταλμένην ὁρᾶσθαι παντελῶς, καὶ εὐαριθμήτους ἔχειν τοὺς οἰκήτορας. Ἀλλ' ὡς ἔφην ἀρτίως, ἀνακομίζειν αὐτὴν ἐπαγγέλλεται πρὸς τὸ ἐν ἀρχαῖς, ὃ δὴ καὶ τετέλεσται, Κύρου μὲν ἀνέντος τῆς αἰχμαλωσίας, Δαρείου γε μὴν καὶ αὐτὸν

VIII. Ostendit quoniam se averterit ab eo penes quem est salus, in tantam miseriam et ærumnam incidisse ; rursum tamen citra laborem, valdeque facile in bonis pristinis futuram, ubi provocatus ad iram emollitus fuerit omnipotens Deus utique, et quasi ad lenitatem redierit, rursum eos indulgentia et charitate dignando, depositaque injuriarum memoria delicta condonando. Pollicetur enim et domum instauraturum, et Hierosolymam longissimo spatio producturum. Crematum quippe erat templum, et ipsa urbis mœnia diruta, ut exigua, et in angustum redacta plane cerneretur, et incolas perpaucos haberet. 663 Sed, ut modo dixi, eam ad pristinam amplitudinem revocaturum spondet, quod et factum est, Cyro quidem e captivitate dimittente, Dario templum reædificari jubente, et ipsam

D

Digitized by Google

urbem mœnibus cingi, ac muniri permittente [21]. A ἀναδείμασθαι προστάττοντος τὸν ναὸν, ἐφιέντος τε καὶ αὐτὴν τοῖς τείχεσιν ὀχυροῦν τὴν πόλιν.

Videmus autem Deum aliquando sanctorum fidem, et adhærentium sibi dilectionem exercentem, quibusdam temporibus Ecclesiam persecutionibus sinere exagitari. Attamen mediocriter vexatam statim erigere, suisque auxiliis de integro communire, et superna gratia domum suam exornare. Imo unusquisque pius et urbs et templum Dei est. Sæpius autem probatur, et carnali voluptate, et mundana sollicitudine ad flagitia irritantibus, ut patientis anima ardere, et a muris, sive tutela deserta videatur. Verum miserante Deo, et sanctorum precibus sese ad mansuetudinem immutante, rursus ædificatur » in templum sanctum, in habitaculum Dei in spiritu [22].» Depulsaque omni immunditia denuo mœnibus communitur, et civitas magni regis, hoc est Christi, efficitur. B

Ὁρῶμεν δὲ ὅτι διαγυμνάζων ἔσθ' ὅτε Θεὸς τῶν ἁγίων τὴν πίστιν, καὶ τῶν προσκειμένων αὐτῷ τὴν ἀγάπησιν, ἐφίησι κατὰ καιροὺς διώκεσθαι τὴν Ἐκκλησίαν. Ἀλλ' ὀλίγα παθοῦσαν εὐθὺς ἀνίστησι, καὶ ἀνατειχίζει πάλιν ταῖς ἐπικουρίαις, καὶ τῇ ἄνωθεν χάριτι τὸν ἴδιον οἶκον στεφανοῖ. Καὶ ἕκαστος δὲ τῶν εὐσεβεῖν ῥηθέντων καὶ πόλις ἐστὶ, καὶ οἶκος Θεοῦ. Δοκιμάζεται δὲ πολλάκις, κατερεθιζούσης αὐτὸν εἰς φαυλότητα, καὶ σαρκικῆς ἡδονῆς, καὶ μερίμνης κοσμικῆς, ὡς δοκεῖν ἐμπεπρῆσθαί τε καὶ τειχῶν ἐρῆμην, ἤγουν ἀσφαλείας, τὴν τοῦ παθόντος ἀπομεῖναι ψυχήν. Ἀλλὰ κατοικτείροντος Θεοῦ, καὶ ταῖς τῶν ἁγίων λιταῖς μετατιθεμένου πρὸς τὸ ἥμερον, οἰκοδομεῖται πάλιν « εἰς ναὸν ἅγιον, εἰς κατοικητήριον Θεοῦ ἐν πνεύματι. » Καὶ δὴ ἀπάσης ἀπεληλαμένης ἀκαθαρσίας, ἀνατειχίζεται παρὰ Θεοῦ, καὶ γίνεται πόλις τοῦ μεγάλου βασιλέως, τουτέστι Χριστοῦ.

Vers. 17. *Et dixit ad me angelus qui loquebatur in me : Adhuc clama, dicens : Hæc dicit Dominus omnipotens : Adhuc diffundentur civitates in bonis, et miserebitur Dominus adhuc Sion, et eliget adhuc Jerusalem.*

IX. Cum duraret diutius captivitas, Judææ, et nihilominus Samaritarum urbes in meram solitudinem convertebantur. Nam et domus conflagraverant, et voce propemodum missa Babyloniorum sævitiam accusabant ipsaque civitatum species deformata, et destructa omnino visebatur. Paucissimis autem incolis, virum illustrem, aut alioqui insignem illic videre non erat : neque aliquos vitam genialem agitantes, sed mœstos omnes fame et inopia laborantes. Horum omnium fore finem promittit. Ait enim : « Diffundentur civitates in bonis, » hoc est in antiqua felicitate versabuntur, adauctæque bonorum cumulis faciem innovabunt, atque ad optata denuo revertentur. « Miserebitur enim Dominus adhuc Sion et eliget adhuc Jerusalem. » C

Καὶ εἶπε πρός με ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί· Ἔτι ἀνάκραγε, λέγων· Τάδε λέγει Κύριος παντοκράτωρ· Ἔτι διαχυθήσονται πόλεις ἐν ἀγαθοῖς, καὶ ἐλεήσει Κύριος ἔτι τὴν Σιὼν, καὶ αἱρετιεῖ ἔτι τὴν Ἰερουσαλήμ.

Θ'. Παρατεινόντος τοῦ χρόνου τῆς αἰχμαλωσίας, αἱ τῆς Ἰουδαίας πόλεις οὐδὲν δὴ ἧττον καὶ τῶν Σαμαρειτῶν ἐξηρήμωντο παντελῶς. Οἶκοί τε γὰρ ἦσαν ἐμπεπρησμένοι, καὶ μονονουχὶ τῆς Βαβυλωνίων ὠμότητος κατακεκραγότες, καὶ αὐτὰ δὲ τὰ τῶν πόλεων σχήματα, κατηφανισμένα, καὶ ἀνατετραμμένα παντελῶς. Εὐαριθμήτων δὲ κομιδῇ κατοικούντων, ἄνδρα μὲν οὐκ ἦν λαμπρὸν, ἢ καὶ ἑτέρως ἐπίσημον ἰδεῖν, ἀλλ' οὐδὲ ἐν εὐπαθείᾳ ὄντας τινὰς, κατηφεῖς δὲ ἅπαντας, λιμῷ καὶ πενίᾳ κατηχθεσμένους. Τούτων ἁπάντων ἔσεσθαι πέρας ἐπαγγέλλεται. « Διαχυθήσονται γὰρ, φησὶ, πόλεις ἐν ἀγαθοῖς, » τουτέστιν ἐν ταῖς ἀρχαίαις εὐημερίαις ἔσονται, καὶ παρακειμένων αὐταῖς τῶν εἰς ἀφθονίαν ἀγαθῶν, μεταβαλοῦσι τὴν ὄψιν, καὶ ἀναδραμοῦνται πάλιν ἐν τοῖς κατ' εὐχήν. « Ἐλεήσει γὰρ Κύριος ἔτι τὴν Σιὼν, καὶ αἱρετιεῖ ἔτι τὴν Ἰερουσαλήμ. »

Perpende porro, quam prudenter prophetica nobis procedat oratio. Non enim **664** universe ipsum fore misericordem spondet, nec in omne tempus electurum, sed adhuc, inquit, lenitatis veluti certa mensura definitum tempus promittens. Erat enim post hæc atrociores subitura calamitates, propter illatas Christo contumelias condemnata. Quocirca illud adhuc quasi dimensum benignitatis tempus declarat, cum comminatione occulta ipsi eventurorum, ubi Christus Salvator noster advenerit. D

Ἄθρει δὲ ὅπως εὐτέχνως ἡμῖν ὁ τῆς προφητείας πρόεισι λόγος. Οὐ γὰρ εἰς ἅπαν αὐτὴν ἐλεήσειν κατεπαγγέλλεται, οὔτε μὴν εἰς πάντα χρόνον αἱρετιεῖν· ἀλλὰ τὸ, ἔτι, φησὶ, μεμετρημένον ὥσπερ τὸν τῆς ἡμερότητος χρόνον ὑπισχνούμενος. Ἔμελλε γὰρ μετὰ τοῦτο τοῖς ἔτι χείροσιν ἐναλῶναι κακοῖς, ἐπὶ ταῖς εἰς Χριστὸν παροινίαις κατεγνωσμένη. Οὐκοῦν τὸ, ἔτι, μεμετρημένον ὥσπερ δηλοῖ τὸν τῆς ἡμερότητος χρόνον, ἀπειλὴν ἔχοντα ἀσυμφανῆ τῶν συμβησομένων αὐτῇ κατὰ τοὺς καιροὺς τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας.

Vers. 18-21. *Et levavi oculos meos, et vidi, et ecce quatuor cornua. Et dixi ad angelum qui loquebatur in me : Quid sunt hæc, Domine ? Et dixit ad me : Hæc cornua, quæ dissiparunt Judam, et Israel et Jerusalem. Et ostendit mihi Dominus quatuor fa-*

Καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον, καὶ ἰδοὺ τέσσαρα κέρατα. Καὶ εἶπα πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοί· Τί ἐστι ταῦτα, Κύριε ; Καὶ εἶπε πρός με· Ταῦτα τὰ κέρατα, τὰ διασκορπίσαντα τὸν Ἰούδαν, καὶ τὸν Ἰσραὴλ, καὶ Ἰε-

[21] I Esdr. I, 6. [22] Ephes. II, 22.

Digitized by Google

ρουσαλήμ. Καὶ ἔδειξε Κύριός μοι τέσσαρας τέκτονας, καὶ εἶπα· Τί οὗτοι ἔρχονται ποιῆσαι; Καὶ εἶπε· Ταῦτα τὰ κέρατα τὰ διασκορπίσαντα τὸν Ἰούδαν, καὶ τὸν Ἰσραὴλ κατέξαραν, καὶ οὐδεὶς αὐτῶν ἦρε κεφαλήν. Καὶ εἰσῆλθοσαν οὗτοι τοῦ ὀξῦναι αὐτὰ εἰς χεῖρας αὐτῶν. Τὰ τέσσαρα κέρατα τὰ ἔθνη, τὰ ἐπαιρο[ύ]μενα κέρας ἐπὶ τὴν γῆν τοῦ Κυρίου, τοῦ διασκορπίσαι αὐτήν.

A *bros, et dixi: Quid isti veniunt facere? Et dixit: Hæc cornua quæ dissiparunt Judam, et Israel confregerunt, et nullus eorum levavit caput. Et egressi sunt isti ut acuerent ea in manus eorum. Quatuor cornua gentes sunt, elevantes cornu super terram Domini, ut dissipent eam.*

Ι'. Ἐφ' ἑτέραν ὅρασιν ὁ προφήτης ἔρχεται, καὶ οὐκ εἰς μακρὰν, ἵνα μὴ λόγῳ μόνῳ παιδεύοιτο τὰ ἐσόμενα· ἀλλὰ καὶ αὐτῶν τῶν συμβησομένων ἐν θεωρίαις γενόμενος, λεπτῶς τε καὶ ἀκριβῶς εἰδείη τὰ σημαινόμενα. Τίς οὖν ἄρα ἐστὶν ὁ τῆς ὁράσεως νοῦς, ὡς ἂν οἷός τε ὦ, διειπεῖν πειράσομαι. Τὸ κέρας ἀεὶ παρὰ τῇ θεοπνεύστῳ Γραφῇ λαμβάνεται μὲν εἰς εἰκόνα, καὶ ὑποτύπωσιν ἰσχύος, ἤγουν βασιλείας. Κατασημαίνει δὲ πλειστάκις καὶ ὑπερηφίαν, ὡς ἔν γε τῷ φάναι τισὶ τὸν μακάριον Δαβίδ· « Εἶπα τοῖς παρανομοῦσι· Μὴ παρανομεῖτε· καὶ τοῖς ἁμαρτάνουσι· Μὴ ὑψοῦτε κέρας. » Ψάλλει δέ που καὶ περὶ Χριστοῦ· « Τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ, » τουτέστιν ἡ βασιλεία, καὶ ἡ τοῦ κατάρχειν τῶν ὅλων ἰσχύς τε καὶ ἐξουσία. Ὁρᾷ τοιγαροῦν ὁ προφήτης τέσσαρα κέρατα, τουτέστιν ἔθνη τέσσαρα, σκληρά τε καὶ ἀλκιμώτατα, πόλεις τε ὁμοῦ καὶ χώρας ἐκκεραΐζειν εὐκόλως δυνάμενα. Καὶ οἱ μὲν εἶναι ταῦτά φασι, τήν τε Ἀσσυρίων βασιλείαν, καὶ μέντοι πρὸς τῇδε τὴν τῶν Βαβυλωνίων, καὶ τρίτην τὴν Μακεδόνων. Ἀντίοχος γὰρ ὁ ἐπίκλην Ἐπιφανὴς, ἐκ Μακεδονίας ὢν, πεπόρθηκε τὴν Ἰουδαίαν. Ἐπαριθμοῦσι δὲ ταύτῃ καὶ τὴν Ῥωμαίων, ἣ μετὰ τὸν τοῦ Σωτῆρος σταυρὸν εἶλε τὰ Ἱεροσόλυμα κατακράτος. Ἐπειδὴ δὲ διερμηνεύων τῷ προφήτῃ τὴν ὅρασιν ὁ θεσπέσιος ἄγγελος, ἔφησε περὶ τῶν κεράτων, ὅτι « Ταῦτα τὰ κέρατα τὰ διασκορπίσαντα τὸν Ἰούδαν, καὶ τὸν Ἰσραὴλ κατέαξαν, » ἀναγκαῖον οἶμαι καὶ νῦν, ἐκεῖνα παρέντας, ἐπ' ἔθνη μᾶλλον ἐλθεῖν τὰ συντετριφότα τὸν Ἰσραήλ. Τέσσαρες δὴ οὖν γεγόνασιν ἀρχαὶ, δι' ὧν τοῦτο παθοῦσαν τὴν Ἰουδαίαν εὑρήσομεν. Φούλας μὲν γὰρ πρῶτος τὰς ἐπέκεινα, ὡς ἔφην, τῶν Ἰορδάνου ναμάτων εἶλε φυλάς. Εἶτα μετ' ἐκεῖνον ὁ Σαλμανασὰρ, καὶ τρίτος Σεναχηρεὶμ, καὶ τελευταῖος μετ' ἐκείνους ὁ Ναβουχοδονόσωρ. Οὐκοῦν οἰκειότερον νοηθείη ἂν ἐπ' αὐτῶν, ὅτι ταῦτά ἐστι τὰ τέσσαρα κέρατα τὰ διασκορπίσαντα τὸν Ἰούδαν καὶ τὸν Ἰσραήλ. Εἶτα Θεοῦ καταδεικνύοντός τε καὶ ἀνευρύνοντος τῷ προφήτῃ τὴν ὅρασιν, τέσσαρες ὁρῶνται τέκτονες. Ἤρετο δὲ πάλιν, ὅποι τε καὶ ἐφ' ὅτῳ βαδίζουσιν· εἶτά φησιν ὁ λαλῶν ἄγγελος ἐν αὐτῷ, ὅτι τὰ τέσσαρα κέρατα τὰ συντετριφότα τε καὶ διασκορπίσαντα τὸν Ἰούδαν καὶ τὸν Ἰσραὴλ, εἰσῆλθον ὀξῦναι. Τί οὖν ἐροῦμεν καὶ διὰ τούτου πάλιν ὑποσημαίνεσθαι; Ἆρα γὰρ παρωξύνοντο κατὰ τοῦ Ἰσραὴλ, οἱ ἤδη πεπορθηκότες, καὶ ἀγριωτέρους ἀπετέλει Θεὸς τοὺς ἐξ ὀργῆς αὐτοῖς ἐπενηνεγμένους; Καίτοι φαίνεται διακεκραγὼς καὶ λέγων· « Ἐζήλωκα τὴν Ἱερουσαλὴμ καὶ τὴν Σιὼν

X. Ad aliam visionem propheta venit, nec multo post, ut non solo verbo quæ futura sunt doceatur, sed cum eventura etiam viderit, subtiliter et perfecte quæ significantur intelligat. Quod igitur sit hujus visionis argumentum, quantum in me erit, declarare conabor. Cornu in divinis Litteris pro imagine quadam et repræsentatione potentiæ sive B regni sumitur. Sæpe item superbiæ notionem habet, ut cum dicit beatus David: « Dixi iniquis: Nolite inique agere, et delinquentibus: Nolite exaltare cornu [24]. » Et alicubi de Christo psallit: Cornu ejus exaltabitur in gloria [25], » id est regnum, viresque et potestas, qua imperet omnibus. Videt igitur propheta cornua quatuor, hoc est quatuor gentes asperas et fortissimas et quæ urbes atque regiones tanquam cornibus impetere dissipareque facile queant. Has quidem volunt esse regnum Assyriorum, alterum Babyloniorum, tertium Macedonum. Antiochus enim cognomento illustris et Macedo Judæam vastavit. Huic Romanorum annumerant, qui post Salvatorem in cruce mortuum, vi et armis Hierosolymam C expugnarunt. Quoniam vero divinus angelus prophetæ visum interpretans de cornibus dixit, **665** « Cornua ista quæ Judam dissiparint, etiam Israelem confregisse, » oportere puto nunc illis relictis, venire potius ad gentes, quæ Israelem contriverunt. Sunt igitur quatuor principatus, per quos hæc passam Judæam constat. Phulas enim primus duas tribus trans fluenta Jordanis domuit [26]. Post eum Salmanasar [27], tertius Senacherib [28], et postremus Nabuchodonosor [29]. Quare magis proprie de illis accipiatur, hæc scilicet esse quatuor cornua, quæ Judam et Israelem dissiparint. Deinde Deo prophetæ visionem monstrante et explicante, quatuor fabri apparent. Quærit rursum, quo, et qua de causa veniant; respondet angelus in ipso loquens, quatuor D cornua quæ contriverint et dissiparint Judam, et Israelem ingressos esse *ut acuerent*. Quid jam hoc sibi velle dicemus? Num concitabantur contra Israel, qui eum jam devastaverant, et quos iratus in eos immiserat Deus, hos feraciores faciebat? Atqui clarum est illum clamare ac dicere: « Zelatus sum Jerusalem et Sion zelo magno, et ira magna irascor super gentes, quæ simul incubuerunt. Pro eo quod ego quidam iratus sum modice, ipsæ vero simul incubuerunt in mala [30]. » Qui autem parum et modice succenset, et zelo prosequitur vastatores, quia in captos supra quam dici potest sævierint, quomo-

[24] Psal. LXXIV, 5. [25] Psal. CXI, 9. [26] I Paral. V, 25, 26. [27] IV Reg. XVII, 3 seqq. [28] IV Reg. XVIII, 13 seqq.; II Paral. XXXII, 1 seqq. [29] IV Reg. XXIV, 1 seqq.; II Paral. XXXVI, 6 seqq. [30] Jerem. I, 14, 15.

Digitized by Google

do contra eos acui cornua jubet? Itaque acuuntur quidem, non tamen contra Israel, sed contra semetipsa. In se mutuo namque insurrexerunt, Assyrios ac Babylonios Persæ et Medi bello lacessiverunt Cyro regnante, ut supra dictum est. Quamobrem nisi exacuta fuissent cornua, et expugnati Babylonii, non fuisset servitute absolutus Israel, non exemptus vinculis et miseria intolerabili. Quatuor itaque fabri cornua acuentes in manibus eorum, hoc est habentium ea, sive victorum, ut reges Persarum intelligamus, intelligi possunt angeli, decentissime ad Dei jussa conficienda constituti. Hoc igitur erat subigi Babylonios, et sub imperium Persarum Medorumque redigi de quibus alibi universorum Dominus ait: « Sanctificati sunt, et ego adduco eos; gigantes veniunt implere furorem meum, gaudentes simul et superbientes [31]. »

A ζῆλον μέγαν, καὶ θυμῷ μεγάλῳ ὀργίζομαι ἐπὶ τὰ ἔθνη τὰ συνεπιτιθέμενα. Ἀνθ' ὧν ἐγὼ μὲν ὠργίσθην ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά. » Ὁ δὲ, ὀλίγα καὶ συμμέτρως ὠργισμένος, καὶ ζῆλον ἐπαφιεὶς τοῖς πεπορθηκόσιν, ὅτι παρὰ λόγον δεδράκασι τὰ εἰς τοὺς ἁλόντας τολμήματα, πῶς ὀξύνεσθαι κατ' αὐτῶν κελεύει τὰ κέρατα; Οὐκοῦν ὀξύνονται μὲν, πλὴν οὐ κατά γε τοῦ Ἰσραὴλ, ἀλλὰ κατὰ σφῶν αὐτῶν. Κατεξανέστησαν γὰρ ἀλλήλων, καὶ πεπολεμήκασιν Ἀσσυρίοις τε καὶ Βαβυλωνίοις Πέρσαι καὶ Μῆδοι, Κύρου βεβασιλευκότος, καθάπερ ἤδη προείρηται. Οὐκοῦν, εἰ μὴ ὠξύνθη τὰ κέρατα, καὶ ἐπεπόρθητο τὰ Βαβυλωνίων, οὐκ ἂν ἀπήλλακτο δουλείας ὁ Ἰσραὴλ, οὐκ ἂν ἀνείθη δεσμῶν, καὶ τῆς ἀφορήτου ταλαιπωρίας. Οἱ τοίνυν τέσσαρες τέκτονες, οἱ τὰ κέρατα B παραθήγοντες ἐν χερσὶν αὐτῶν, τουτέστι τῶν ἐχόντων αὐτὰ, ἤτοι τῶν κρατούντων, ἵνα τοὺς Περσῶν νοῶμεν βασιλέας, νοηθεῖεν ἄγγελοι, τὸ δοκοῦν Θεῷ ἀποπεραίνειν εὖ μάλα προστεταγμένοι. Τοῦτο ἦν ἄρα τὸ ἁλῶναι τὴν Βαβυλωνίων, καὶ ὑπὸ χεῖρα γενέσθαι Περσῶν τε καὶ Μήδων, περὶ ὧν ἑτέρωθί πού φησιν ὁ τῶν ὅλων Δεσπότης· « Ἡγιασμένοι εἰσὶ, καὶ ἐγὼ ἄγω αὐτοὺς, γίγαντες ἔρχονται πληρῶσαι τὸν θυμόν μου, χαίροντες ἅμα καὶ ὑβρίζοντες. »

666 CAP. II.

VERS. 1, 5. *Et levavi oculos meos, et vidi, et ecce vir, et in manu ejus funiculus geometricus. Et dixi ad eum: Quo tu vadis? Et dixit ad me: Ut dimetiar Jerusalem, et videam quanta latitudo ejus est et quanta longitudo. Et ecce angelus qui loquebatur in me, stabat, et angelus alius egrediebatur in occursum ejus, et dixit ad eum, dicens: Frugifera habitabitur Jerusalem a multitudine hominum et jumentorum quæ in medio ejus, et ego ero illi, dicit Dominus, murus ignis in circuitu, et in gloriam ero in medio ejus.*

ΚΕΦΑΛ. Β'.

Καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον, καὶ ἰδοὺ ἀνὴρ, καὶ ἐν τῇ χειρὶ αὐτοῦ σχοινίον γεωμετρικόν. Καὶ εἶπα πρὸς αὐτόν· Ποῦ σὺ πορεύῃ; Καὶ εἶπε πρός με· Διαμετρῆσαι τὴν Ἱερουσαλὴμ, τοῦ ἰδεῖν πηλίκον τὸ πλάτος αὐτῆς ἐστι καὶ πηλίκον τὸ μῆκος. Καὶ ἰδοὺ ὁ ἄγγελος ὁ λαλῶν C *ἐν ἐμοὶ εἱστήκει, καὶ ἄγγελος ἕτερος ἐξεπορεύετο εἰς συνάντησιν αὐτῷ, καὶ εἶπε πρὸς αὐτὸν, λέγων· Κατάκαρπος κατοικηθήσεται Ἱερουσαλὴμ ἀπὸ πλήθους ἀνθρώπων, καὶ κτηνῶν ἐν μέσῳ αὐτῆς, καὶ ἐγὼ ἔσομαι αὐτῇ, λέγει Κύριος, τεῖχος πυρὸς κυκλόθεν, καὶ εἰς δόξαν ἔσομαι ἐν μέσῳ αὐτῆς.*

XI. Non esse exacuta cornua contra Israelem, sed contra eos potius qui Hierosolymam atque etiam Judæam everterunt ac lacerarunt, proxime superior visio planissime demonstrat. Elevat siquidem rursum oculos propheta, non utique corporis, sed interiores potius, et qui intelligentia percipiuntur. Tum quemdam se vidisse ait forma, et habitu viri, funiculum tenentem geometricum, quem percunctatus est, cujus rei gratia veniret et quid sibi proposuisset. Eo respondente, velle metiri Jerusalem

. . . .

. . . . (1) incenso autem et ipso divino templo, perque totam Judæam domibus et urbibus excisis, eam rursus erectum iri, spes aliquo modo perierat. Ostendit ergo Deus, cornibus exacutis, hoc est gentibus, sive regnis inter se belligerantibus resurrecturum Israel, et habitandam de integro jam dilatatam Jerusalem, divina virtute munitam, supernisque favoribus velut inexpugnabili

ΙΑ'. Ὅτι μὴ κατὰ τοῦ Ἰσραὴλ ὠξύνθη τὰ κέρατα, κατ' ἐκείνων δὲ μᾶλλον, οἳ εἷλόν τε καὶ πεπορθήκασι τὴν Ἱερουσαλὴμ, καὶ μέντοι τὴν Ἰουδαίαν, ἡ γείτων ὅρασις ἐνδείξειεν ἂν, καὶ μάλα εὐκόλως. Αἴρει γὰρ πάλιν τοὺς ὀφθαλμοὺς ὁ προφήτης, καὶ οὐχὶ δὴ πάντως τοὺς τοῦ σώματος, τοὺς δὲ μᾶλλον καὶ νοητούς. Εἶτά τινα τεθεᾶσθαί φησιν ἐν ἀνδρὸς σχήματι, σχοινίον κατέχοντα γεωμετρικόν· ἤρετο δὲ πάλιν ἐφ' ὅτῳ D τε βαδίζει, καὶ τίς ὁ σκοπὸς αὐτῷ. Τοῦ δὲ δὴ φάσκοντος διαμετρῆσαι τὴν Ἱερουσαλὴμ, ...

. . . .

. . . ἐμπρησθέντος δὲ καὶ αὐτοῦ τοῦ θείου ναοῦ, καὶ τῶν ἀνὰ πᾶσαν τὴν Ἰουδαίαν οἴκων τε καὶ πόλεων ἀνατετραμμένων, ἀνήρητό πως ἡ ἐλπὶς τοῦ καὶ εἰσαῦθις αὐτὴν ἀνασφῆλαι δύνασθαι. Δείκνυσιν οὖν Θεὸς, ὅτι τῶν κεράτων παρωξυμμένων, τουτέστι τῶν ἐθνῶν, ἤτοι τῶν βασιλειῶν, καὶ τὸν πρὸς ἀλλήλους πόλεμον συγκεκροτηκότων, ἀνεθήσεται μὲν Ἰσραὴλ, οἰκήσει δὲ πάλιν κατευρυνθεῖσαν τὴν Ἱερουσαλὴμ καὶ θείᾳ

[31] Isa. XIII. 3.

(1) Suspicor minus quam pro lacunæ spatio, aut forte etiam nihil ad sententiam omissum. *Interpres.*

Digitized by Google

δυνάμει πεπυργωμένην, καὶ οἷον ἀμάχῳ φλογὶ ταῖς ἄνωθεν εὐμενείαις διεζωσμένην. Τρέχει τοίνυν ὁ ἄγγελος ἐκμετρῆσαι τὴν Ἱερουσαλὴμ, καὶ οἷον ὁρίσαι πλατείαν αὐτὴν καὶ εὐμηκεστάτην. Καὶ ταυτὶ μὲν ἱστορικῶς.

A flamma circumseptam. Currit ergo angelus ut metiatur Jerusalem, ejusque latitudinem et longitudinem quasi definiat. Et hæc quidem historice.

Φαίην δ' ἂν ὅτι καὶ ἐπ' αὐτῆς τῆς Ἐκκλησίας Χριστοῦ νοοῖτο ἂν εἰκότως ἡ ὅρασις. Τετυραννεύκει μὲν γὰρ κατὰ πάντων ὁ Σατανᾶς τῶν ὄντων ἐπὶ τῆς γῆς, καὶ γεγόναμεν αἰχμάλωτοι, τοῖς ἐκείνου ζυγοῖς ὑπενηνεγμένοι. Ἀλλ' ἡ τοῦ Σωτῆρος χάρις συνέτριψε μὲν τὸ ἐκείνου κέρας, κατελέπτυνε δὲ τὴν ὑπερηφίαν. Τεθριάμβευκε γὰρ ἀρχάς τε καὶ ἐξουσίας καὶ κοσμοκράτορας, τὰς ἀντικειμένας δυνάμεις, ἐξείλετο δὲ ἡμᾶς, καὶ τῶν ἐκείνου δεσμῶν ἀπέλυσεν. Ἤγειρεν ἡμῖν τὴν Ἐκκλησίαν, τὴν ἁγίαν ἀληθῶς καὶ διαβόητον πόλιν, τὴν εὐρεῖαν καὶ εὐμηκεστάτην, ἣν B κατακάρπως ᾠκήκαμεν ἄνθρωποί τε καὶ κτήνη, τουτέστιν οἱ λελογωμένοι τε ἤδη, καὶ οἱ μήπω πρὸς τοῦτο ἥκοντες μέτρου, μέλλοντες δὲ καὶ μυσταγωγούμενοι. Κατῳκήκαμεν πόλιν, ἣν αὐτὸς τειχίζει Χριστὸς, ἀῤῥήτοις δυνάμεσι καταφλέγων τοὺς ἀνθεστηκότας, καὶ τῆς ἑαυτοῦ δόξης ἀναπιμπλῶν, καὶ οἷον ἑστηκὼς ἐν μέσῳ τῶν οἰκούντων, οἷς ἐπηγγέλλετο λέγων· « Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. » Ταύτης τῆς ἁγίας πόλεως διεμέμνητό που καὶ ὁ προφήτης Ἡσαΐας, λέγων· « Οἱ ὀφθαλμοί σου ὄψονται Ἱερουσαλὴμ, πόλις πλουσία, σκηναὶ αἳ οὐ μὴ σεισθῶσιν, οὐδ' οὐ μὴ σαλευθῶσιν οἱ πάσσαλοι τῆς σκηνῆς αὐτῆς, οὐδὲ τὰ σχοινία αὐτῆς οὐ μὴ διαῤῥαγῶσι. » Καὶ πρὸς αὐτὴν C δέ φησι· « Πλάτυνον τὸν τόπον τῆς σκηνῆς σου καὶ τῶν αὐλαίων σου. Πῆξον, μὴ φείσῃ· ἔτι εἰς τὰ δεξιὰ καὶ εἰς τὰ ἀριστερὰ ἐκπέτασον. » Κατευρύνεται γὰρ ἡ Ἐκκλησία Χριστοῦ, καὶ εἰς ἄπειρον ἐκτείνεται, ἀναριθμήτους ἀεὶ δεχομένη τοὺς προσκυνοῦντας αὐτόν.

Affirmaverim porro etiam de ipsa Christi Ecclesia visum hoc apte explicari posse. Exercuerat enim tyrannidem Satanas in mortales universos, eramusque captivi, illius jugo subditi. Verum Salvatoris gratia ejus cornu contrivit, et superbiam attenuavit. Triumphavit enim principes, et potestates, et mundi rectores, et adversarias virtutes, **667** eripuitque nos, et illius vinculis expedivit. Excitavit Ecclesiam nostram vere sanctam, et fama nobilem civitatem, latam et longissimam, quam cum fructu incolimus homines, et jumenta, hoc est verbo Dei instituti jam, et qui ad hunc terminum nondum pervenerunt, pervenient autem, et sacra doctrina adhuc imbuuntur. Habitamus civitatem, quam munit ipse Christus viribus, quantas oratio complecti nulla potest, urens adversarios, et gloria sua implens, et quasi in medio habitantium stans, quibus id promisit, in hæc verba : « Ecce ego vobiscum sum omnibus diebus usque ad consummationem sæculi [32]. » Hujus sanctæ civitatis meminit alicubi propheta quoque Isaias, his verbis : « Oculi tui videbunt Jerusalem, civitas dives, tabernacula quæ non commovebuntur, neque movebuntur paxilli tabernaculi ejus, neque funiculi ejus disrumpentur [33]. » Et ipsam sic alloquitur. « Dilata locum tabernaculi tui, et tentoriorum tuorum. Fige, ne parcas, adhuc ad dexteram et sinistram dilata [34]. » Dilatatur enim Ecclesia Christi, et in immensum extenditur, innumerabiles semper ipsum adorantes suscipiens.

Ὦ, ὦ φεύγετε ἐκ γῆς βορρᾶ, λέγει Κύριος, διότι ἐκ τῶν τεσσάρων ἀνέμων τοῦ οὐρανοῦ συνάξω ὑμᾶς, λέγει Κύριος. Εἰς Σιὼν ἀνασώζεσθε οἱ κατοικοῦντες θυγατέρα Βαβυλῶνος.

VERS. 6, 7. *O, o fugite de terra aquilonis, dicit Dominus : quia de quatuor ventis cœli congregabo vos, dicit Dominus. In Sion salvamini, qui habitatis filiam Babylonis.*

ΙΒ'. Ἐπιστυγνάζει μὲν ὥσπερ τοῖς παθοῦσι τὴν αἰχμαλωσίαν, ὡς δύσοιστον ἀνατλᾶσι τὴν ταλαιπωρίαν, καὶ δὴ καὶ ἀπονοσφίζεσθαι κελεύει λοιπὸν τῆς Χαλδαίων χώρας, ὡς ἐνὸν ἤδη τοῦτο δρᾶν αὐτοῖς, ἐξείργοντος οὐδενὸς, αὐτοῦ τε συλλέγοντος ἐκ τόπου D πάντῃ τοὺς ταῖς τῶν πολεμίων προσβολαῖς κατεσκεδασμένους. Θυγατέρα δὲ Βαβυλῶνος, καὶ γῆν τοῦ βορρᾶ, τὴν τῶν Χαλδαίων χώραν ὀνομάζει. Αἱ γὰρ μητροπόλεις ἐν τάξει μητέρων τέθεινται ταῖς ἄλλαις, αἳ πράττοιεν ἂν ὑπ' αὐταῖς. Βορειοτέρα δέ πως καὶ πρὸς ἠὼ κειμένη, τῶν Χαλδαίων ἡ χώρα. Καὶ ταυτὶ μὲν ἡμῖν, ὡς πρός γε τὰ ἐκ τῆς ἱστορίας εἰρήσθω πάλιν.

XII. Ingemiscit quodammodo super iis qui captivi fuerant, ut ærumna intolerabili exercitis : atque etiam de cætero decedere Chaldæorum terra hortatur, quod illis jam istud facere nemine vetante liceat, et ipse hostium impressionibus dispersos colligat. Filiam porro Babylonis et terram aquilonis Chaldæorum regionem nominat. Metropoles enim aliis urbibus sibi subjectis instar matrum sunt. Chaldæorum vero regio aquilonem inter et orientem sita est. Et ista quidem a nobis secundum historiam dicta rursum sunto.

Μεταφοιτᾷ δὲ ὁ λόγος εἰς θεωρίαν τὴν πνευματικὴν, καὶ τὸ τοῦ Σωτῆρος ἤδη πως εἰσκρίνεται πρόσωπον, καταγλυκαινομένου τρόπον τινὰ, μόνον δὲ οὐχὶ καὶ ἐπιδακρύοντος τοῖς ἐπὶ τῆς γῆς, διά τοι τὸ πάντας τὴν τοῦ τυραννήσαντος Σατανᾶ λατρείαν ὑπο-

Transit autem sermo ad considerationem spiritualem, et personam Salvatoris deinceps insinuat, dulci affectu veluti liquescentis, et propemodum illacrymantis mortalibus, quia omnes ad tyrannum Satanam colendum properent, et illi serviant servitutem adeo

[32] Matth. xxviii, 20. [33] Isa. xxxiii, 20. [34] Isa. liv, 2.

Digitized by Google

immitem, ut, dum ejus voluntati obsequuntur, magno et gravi onere premi videantur. **668** Est igitur illis auctor aufugiendi, ut ex terra aquilonis, hoc est ex terra frigida : ut hinc affectionem quamdam morumque constitutionem mundanam eogitemus, quam si quis habuerit, ipsamque visus fuerit habitare, non erit spiritu fervens, nec habebit in se habitans ignitum Dei verbum. Psallit namque alicubi David : « Ignitum eloquium tuum vehementer, et servus tuus dilexit illud [35]. » Quocirca qui fervidum et ignitum Dei eloquium non habet, frigidus et mortuus est. Propter abundantiam enim iniquitatis fore ut refrigescat charitas multorum, etiam Christus dixit [36]. Filia vero Babylonis peccatum appellabitur : et perquam apposite, si verum est, ea voce confusionem significari. Erit igitur peccare negotium animi nondum constituti et firmati : sed confusi potius, et quodammodo inclinationibus ad vitia temulenti. Recedendum itaque quasi de terra aquilonis, a frigida et mortua affectione animi, et transeundum in Sion, hoc est ad veram speculam, ut intelligamus Ecclesiam Christi, in qua versantes videbimus voluntatem Dei, et doctrinam de sancta consubstantialique Trinitate expendemus, et ipsum Christum inveniemus nos omnimodis congregantem, spiritualique vinculo ad concordiam colligantem. Dixit enim de nobis : « Quia et alias oves habeo, quæ non sunt ex hoc ovili, et illas oportet me adducere, et erit unum ovile et unus pastor [37]. »

A δραμεῖν, καὶ δουλείαν ἀνατλῆναι τὴν οὕτω σκληρὰν, ὡς τοῖς ἐκείνου θελήμασιν ὁρᾶσθαι κατηχθεσμένους. Προτρέπει τοίνυν ἀποδραμεῖν ὡς ἐκ γῆς βορρᾶ, τουτέστιν ὡς ἀπὸ χώρας τῆς κατεψυγμένης, ἵνα τούτου πλαγίως διάθεσίν τινα, καὶ ἠθῶν κατάστασιν ἐννοῶμεν κοσμικὴν, ἣν εἴπερ τις ἔχοι, καὶ αὐτὴν ὁρῷτο κατοικῶν, οὐκ ἂν εἴη τῷ πνεύματι ζέων, οὐδ' ἂν ἔχοι κάτοικον ἐν ἑαυτῷ τὸν διάπυρον τοῦ Θεοῦ λόγον. Ψάλλει γάρ που πρὸς Θεὸν ὁ Δαβίδ· « Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό. » Οὐκοῦν ὁ τὸν ζέοντα καὶ διάπυρον τοῦ Θεοῦ λόγον οὐκ ἔχων, ἀπεψυγμένος ἂν εἴη καὶ νεκρός. Καταψυγῆσεσθαι γὰρ τὴν ἀγάπην τῶν πολλῶν διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ἔφη Χριστός. Καὶ ἡ θυγάτηρ δὲ Βαβυλῶνος ἡ ἁμαρτία λελέξεται, καὶ μάλα εἰκότως, εἴπερ ἐστὶν ἀληθὲς, ὡς ἑρμηνεύεται μὲν σύγχυσις, ἡ Βαβυλών. Εἴη δ' ἂν ἔργον τὸ πλημμελεῖν, οὐχὶ νοῦ καθεστηκότος καὶ ἐρηρεισμένου, συγκεχυμένου δὲ μᾶλλον, καὶ οἱονείπως καταμεθύοντος ταῖς εἰς φαυλότητα ῥοπαῖς. Δεῖ δὴ οὖν ἅρα ἀποφοιτᾷν ὡς ἐκ γῆς βορρᾶ τῆς ἀπεψυγμένης καὶ νεκρᾶς τοῦ νοῦ διαθέσεως, μεταφοιτᾷν δὲ εἰς Σιὼν, τουτέστιν εἰς τὸ ἀληθινὸν σκοπευτήριον, ἵνα νοῶμεν τὴν Ἐκκλησίαν Χριστοῦ, ἐν ᾗ γεγονότες κατοψόμεθα τὸ τῷ Θεῷ δοκοῦν, καὶ τοὺς ἐπὶ τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ Τριάδι περιαθρήσομεν λόγους, καὶ αὐτὸν εὑρήσομεν ἐκ παντὸς ἡμᾶς τρόπου συναγείροντα Χριστὸν, καὶ συνδέοντα πνευματικῶς εἰς ὁμοψυχίαν. Ἔφη γὰρ περὶ ἡμῶν· « Ὅτι καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης, κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ γενήσεται μία ποίμνη καὶ εἷς ποιμήν. »

B

C

VERS. 8. *Quia hæc dicit Dominus omnipotens : Post gloriam misit me ad gentes quæ spoliaverunt vos, quia qui tangit vos, quasi tangens pupillam oculi sui.*

XIII. Christum etiam veteribus populis auxiliarium et liberatorem fuisse, nemo studiosus veritatis vocare in dubium potest. Si enim ipse erat illa petra [38], sitibundum in solitudine Israelem potans [39], et ipse est per quem omnia a Deo et Patre accepimus, neutiquam dubitandum quin per ipsum quoque omnis liberatio omni tempore et omne genus auxilii administratum sit. Jam vero his verbis ipsum in fide justificatos et sanctificatos in spiritu alloqui, et incarnationis modum ostendere dicimus. Post gloriam enim missum se ait, nec potest orationis vanitatem adhibere ullo modo. Si enim « cum in forma Dei Patris esset, qui ex ipso et in ipso est Deus Verbum, non rapinam arbitratus est, esse se æqualem Deo, **669** sicut scriptum est nihilominus ad formam servi devenit, et humiliavit semetipsum, factus similis nobis [40], » quomodo non post gloriam ipsi summopere congruentem factus est? Quæ igitur causa fuit ut temporalem ignominiam pateretur? Quia venit spoliatum spoliatores, et qui degentes in terris, id est nos jugo suo subjecerant, quos mali-

Διότι τάδε λέγει Κύριος παντοκράτωρ· Ὀπίσω δόξης ἀπέσταλκέ με ἐπὶ τὰ ἔθνη τὰ σκυλεύσαντα ὑμᾶς, διότι ὁ ἁπτόμενος ὑμῶν ὡς ὁ ἁπτόμενος τῆς κόρης τοῦ ὀφθαλμοῦ αὐτοῦ.

ΙΓ'. Ὅτι μὲν ἐπήμυνέ τε καὶ ἐλυτροῦτο Χριστὸς καὶ τοὺς πάλαι λαοὺς, ἐνδοιάσειεν ἂν οὐδεὶς, εἴ γε νοῦν ἔχει τῆς ἀληθείας τὸν ἐραστήν. Εἰ γὰρ αὐτὸς ἦν ἡ πέτρα, δεδιψηκότα κατὰ τὴν ἔρημον ποτίζων τὸν Ἰσραὴλ, καὶ αὐτός ἐστιν ὁ δι' οὗ τὰ πάντα παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, πῶς ἔστιν ἀμφιβάλλειν, ὅτι δι' αὐτοῦ καὶ πᾶσα λύτρωσις κατὰ πάντα καιρὸν, καὶ ἅπας ἐπικουρίας ἐπράττετο τρόπος; Πλὴν ἔν γε τούτῳ φαμὲν τοῖς ἐν πίστει δεδικαιωμένοις, καὶ ἡγιασμένοις ἐν πνεύματι, προσφωνεῖν αὐτὸν, καὶ τὸν τῆς ἐνανθρωπήσεως κατασημαίνειν τρόπον. Ὀπίσω γὰρ δόξης ἀπεστάλθαι φησὶ, καὶ ψευδοεπήσειεν ἂν οὐδαμῶς. Εἰ γὰρ ἐν μορφῇ τοῦ Θεοῦ καὶ Πατρὸς ὑπάρχων ὁ ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ Θεὸς Λόγος, « οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, καθὰ γέγραπται, καθίκετο δὲ καὶ εἰς δούλου μορφὴν, καὶ τεταπείνωκεν ἑαυτὸν, γενόμενος καθ' ἡμᾶς· » πῶς οὐκ ὀπίσω γέγονε τῆς ὅτι μάλιστα πρεπούσης εὐκλείας αὐτῷ; Τίς οὖν ὁ λόγος τοῦ χρῆναι παθεῖν αὐτὸν τὴν πρόσκαιρον ἀδοξίαν; Ἀφίκετο μὲν γὰρ σκυλεύσων τοὺς πεπορθηκότας, καὶ τοῖς σφῶν αὐτῶν

[35] Psal. cxviii, 140. [36] Matth. xxiv, 12. [37] Joan. x, 16. [38] 1 Cor. x, 4. [39] Num. xx, 2 seqq. [40] Psal. ii, 6-8.

Digitized by Google

ὑπενεγκόντας ζυγοῖς τοὺς ἐπὶ τῆς γῆς, τουτέστιν ἡμᾶς, οὓς αἱ πονηραὶ καὶ ἀντικείμεναι δυνάμεις ἀσχέτως κατελῄζοντο. Σκυλεύονται δὲ νυνὶ, τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ συγκομίζοντος ἡμᾶς διὰ τῆς πίστεως εἰς ἑαυτὸν, καὶ ἰδίους ἱστάντος προσκυνητὰς, τοὺς ταῖς παρ' ἐκείνων πλεονεξίαις πεφορτισμένους, καὶ τοσαύτην ἡμῖν παρέχοντος τὴν ἀσφάλειαν, ὥστε τὸν ἐθέλοντα λυπεῖν, μονονουχὶ τῆς ἰδίας ἅπτεσθαι κόρης. Περιτρέπεται γὰρ ἀεὶπερ εἰς πᾶν τοὐναντίον τῶν πραγμάτων ἡ ἔκβασις τοῖς διώκουσι τὴν Ἐκκλησίαν, λέγοιτο δ' ἂν ἐφ' ἑκάστῳ τὸ ἐν Ψαλμοῖς· « Λάκκον ὤρυξε, καὶ ἀνέσκαψεν αὐτὸν, καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο· ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται. » Ἅψεται δὴ οὖν ἑαυτοῦ, φησὶν, ὁ ταῖς τῶν ἐμοὶ πεπιστευκότων ἐπιβουλεύων ψυχαῖς. Τοῦτό τοί φησι καὶ διὰ τῆς τοῦ Ψάλλοντος φωνῆς· « Μὴ ἅπτεσθε τῶν Χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε. » — « Εἰ γὰρ ἐσμεν σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέλους, » πῶς ἂν πρόοιτο τοῖς φιλαμαρτήμοσι τὸ ἴδιον σῶμα; ἢ πῶς ἀνέξεται κακῶν ἀναπιμπλᾶν τὰ μέλη; Μᾶλλον δὲ, πῶς οὐκ ἂν τὴν ἐσχάτην ἀποτίσειαν δίκην, οἱ τοῖς ὑπ' αὐτῷ γεγονόσιν ἀνοσίως ἐπιβουλεύοντες;

A gnæ et adversariæ potestates impotenter deprædabantur. Nunc vicissim spoliantur, Christo omnium nostrum Salvatore nos in ipso congregante per fidem, et adoratores suos illorum potentia et dominatione afflictatos instituente, tantamque securitatem afferente ut qui nobis exhibere molestiam conetur, tantum non pupillam suam tangat. Semper enim persecutoribus Ecclesiæ conatus ipsorum in caput reciderunt, et possit super unoquoque dici quod exstat in Psalmis : « Lacum aperuit, et effodit eum, et cadet in foveam quam fecit; convertetur labor ejus in caput ipsius, et in verticem ejus iniquitas ipsius descendet [61]. » Tanget igitur se, inquit, qui animabus in me credentium insidiatur. Hoc igitur per Psalmistam dicit : « Nolite tangere christos B meos, et in prophetis meis nolite malignari [62]. » — « Si enim sumus corpus Christi, et membra de membro [63] (1), » quomodo corpus suum peccatoribus objecerit? aut quomodo membra sua malis cumulari sustinuerit? Imo, quomodo non ultima luant supplicia, qui servis ejus scelerate insidias moliuntur?

Διότι ἰδοὺ ἐγὼ ἐπιφέρω τὴν χεῖρά μου ἐπ' αὐτοὺς, καὶ ἔσονται σκῦλα τοῖς δουλεύουσιν αὐτοῖς, καὶ γνώσεσθε διότι Κύριος παντοκράτωρ ἐξαπέσταλκέ με.

, Vers. 9. *Quia ecce ego infero manum meam super eos, et erunt prædæ his qui servierant eis, et cognoscetis quia Dominus omnipotens misit me.*

ΙΔ'. Ἥψατο γὰρ τῶν κοσμοκρατόρων τοῦ αἰῶνος τούτου Χριστὸς, καὶ ἀφορήτῳ χειρὶ τὰς τοῦ μιαιφόνου C δράκοντος συνέτριψε κεφαλὰς, καὶ δέδωκεν ἡμῖν « πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. » Καὶ οἱ ποτὲ δεινοὶ, καὶ παγχάλεποι, καὶ δυσάντητον ἔχοντες τὴν προσβολὴν, γεγόνασι σκῦλα τοῖς δεδουλευκόσιν αὐτοῖς. Ἡμεῖς γὰρ οἱ πάλαι ταῖς ἁμαρτίαις τυραννούμενοι, δεδικαιώμεθα μὲν ἐν Χριστῷ, ἀφίγμεθα δὲ ἤδη πρὸς τοῦτο λοιπὸν εὐθυμίας πνευματικῆς, ὡς διαπρέπειν δύνασθαι διὰ πάσης ἀρετῆς, καὶ τὸν ἐν Χριστῷ τε καὶ ἀγγελικὸν καταρθῶσαι βίον, εἶτα χαρισμάτων ἀναπίμπλασθαι τῶν παρ' αὐτοῦ, καὶ λαβεῖν ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, καὶ δαίμοσιν ἀνοσίοις ἐπιτιμᾷν, ὑποστρωννύντος Χριστοῦ, καὶ συντρίβοντος ὑπὸ πόδας ἁγίων αὐτόν τε τὸν Σατανᾶν καὶ τὰς ὑπ' αὐτῷ δυνάμεις πονηρίας. Καθ' ἕτερον δὲ τρόπον D σκυλεύσειεν ἄν τις τοὺς ποτε κεκρατηκότας. Ὅτε γὰρ τῶν ἰδίων καταθλοῦμεν παθῶν, καὶ τοῦ παντὸς ἄξιον ποιούμεθα λόγου, τὸ κρατεῖν ἡδονῶν κοσμικῶν τε καὶ σαρκικῶν, καὶ ἁπάσης ἐκτόπου καὶ μυσαρᾶς ἐπιθυμίας, τότε τοὺς κεκρατηκότας ποτὲ νενικήκαμεν, κἂν ἴδωμεν ἑαυτοὺς γεγονότας ἐν τούτοις. Τότε δὴ, τότε γνωσόμεθα καὶ διὰ πείρας αὐτῆς, ὅτι Θεὸς ὢν ὁ Λόγος, ἀπεστάλη μετὰ σαρκὸς εἰς τόνδε τὸν κόσμον παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ ὀπίσω δόξης γέγονεν οὐχ ἑτέρου του χάριν, ἢ ἵνα δεσμεύσῃ τὸ

XIV. Tetigit enim rectores mundi hujus Christus, manuque intoleranda cruenti draconis capita contrivit [64], deditque nobis « calcare supra serpentes et scorpiones, et super omnem virtutem inimici [65]. » Et qui erant aliquando formidabiles et atrocissimi, quibusque obviam iri non poterat, facti sunt spolia servis suis. Nos enim qui quondam peccatorum tyrannidem patiebamur, justificati quidem sumus in Christo [66], et jam ad tantam securitatem spiritualem pervenimus, ut omni virtute possimus excellere, et in Christo vitam angelicam probe vivere; deinde charismatis ejus repleri, et accipere potestatem contra spiritus immundos, et dæmones increpare, **670** substernente Christo, et ipsum Satanam, virtutesque illius malignas, sub pedibus sanctorum conterente [67]. Alia insuper via spoliare victores licet. Quando enim concitatos animorum nostrorum motus oppugnamus, et mundanas, carnalesque voluptates, et quamvis a ratione aversam, et exsecrandam voluptatem vincere in magnis numeramus, tunc victores vicimus, etiamsi nos ipsis fuisse obnoxios videamus. Tunc, tunc ipsa quoque experientia discemus, quod Deus Verbum carnem indutus in hunc mundum a Deo et Patre missus, nec alia de causa post gloriam factus sit, quam ut alligaret quod contritum erat, et confirmaret infirma, et dejecta erigeret, et quod erat debile corro-

[61] Psal. VII, 16, 17. [62] Psal. CIV, 15. [63] I Cor. XII, 27. [64] Gen. III, 15. [65] Luc. X, 19. [66] I Cor. VI, 11. [67] Marc. VI, 7.

(1) In Græco est ἐκ μέρους, *ex parte*, ut etiam in Novo Testamento.

Digitized by Google

boraret, et quod perierat ad salutem restitueret [49].

VERS. 10-12. *Delectare et gaude, filia Sion, quia ecce ego venio, et habitabo in medio tui, dicit Dominus. Et confugient gentes multæ ad Dominum in die illa, et erunt ei in populum, et habitabunt in medio tui, et scies quoniam Dominus omnipotens misit me ad te. Et possidebit Dominus Judam partem suam super terram sanctam, et eliget adhuc Jerusalem.*

XV. Et hinc cognoscere poteris supremæ lætitiæ materiam mortalibus futurum Salvatoris in terras adventum. Delectari etenim et lætari omnino jussit spiritualem Sion, quæ est Ecclesia Dei viventis [50], sive ipsa per fidem salvatorum sacratissima multitudo. Promittit autem se venturum, et prorsus cum ipsis futurum. Inquit enim divinus Joannes [50], In mundo erat, et a creaturis suis non disjungebatur Deus Verbum : sed ipse vitam viventibus impertiebat, et continebat, atque conservabat omnia ut bene essent et viverent; « Sed mundus eum non cognovit [51]. » Adoravit enim creaturam [52]. Fuit autem nobiscum, quando, similitudine nostra suscepta, per sanctam Virginem natus, « Et in terris visus, et cum hominibus conversatus est [53]. » Testatur idem sanctus David : « Deus manifeste veniet, Deus noster, et non silebit [54]. » Tunc et gentibus manifestatus est. Non enim amplius Israeliticum genus tantummodo per vetus illud mandatum erudiebat : quinimo evangelicis prædicationibus totus sub sole **671** orbis inaurabatur, et evasit in omni gente et in omni regione magnum nomen ejus [55]. Ipse enim erat *exspectatio* gentium, juxta prophetam [56], et ipsi curvabitur « omne genu, cœlestium, terrestrium et infernorum; et omnis lingua confitebitur quia Dominus Jesus Christus in gloria est Dei Patris [57]. » Concurrerunt enim per fidem in ipsum, et cum ipso habitarunt in sancta, et quæ duntaxat intelligitur Sion, qui habitant in ultimis mundi finibus, cognoveruntque perspicue Deum sic dilexisse mundum, « ut dederit Filium suum unigenitum, ut omnis qui credit in eum, non pereat, sed habeat vitam æternam [58]. » Misit enim nobis de cœlo Filium suum Pater, Salvatorem et Redemptorem, ut credentes in illum, in ipso Patrem videamus, et ut expressam genitoris imaginem eum qui ex ipso secundum naturam natus est intuentes, archetypum cogitemus [59]. Tunc nimirum, tunc et possessio ejus Judas factus est, hoc est omnis confitens et glorificans ipsum : Judas enim redditur *confessio*. Nam ut est apud Paulum : « Non qui in manifesto est Judæus, neque circumcisio quæ in carne manifesto fit, sed qui in occulto Judæus est, et circumcisio cordis in spiritu, non littera, cujus laus non ex hominibus, sed ex Deo [60]. » Quotquot

συντετριμμένον, νευρώσῃ τὸ ἠσθενηκὸς, ἀνορθώσῃ τὸ κατερραγμένον, εὐσθενὲς ἀποφήνῃ τὸ ἄναλκι, θεραπεύσῃ τὸ ἀπολωλός.

Τέρπου καὶ εὐφραίνου, θύγατερ Σιών, διότι ἰδοὺ ἐγὼ ἔρχομαι, καὶ κατασκηνώσω ἐν μέσῳ σου, λέγει Κύριος. Καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν Κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἔσονται αὐτῷ εἰς λαὸν, καὶ κατασκηνώσουσιν ἐν μέσῳ σου, καὶ ἐπιγνώσῃ ὅτι Κύριος παντοκράτωρ ἀπέσταλκέ με πρὸς σέ. Καὶ κατακληρονομήσει Κύριος τὸν Ἰούδαν τὴν μερίδα αὐτοῦ ἐπὶ τὴν γῆν τὴν ἁγίαν, καὶ αἱρετιεῖ ἔτι τὴν Ἱερουσαλήμ.

ΙΕ'. Κἀντεῦθεν ἂν μάθοις, ὡς ἔσται τῆς ἀνωτάτω θυμηδίας ὑπόθεσις τοῖς ἐπὶ τῆς γῆς τοῦ Σωτῆρος ἡ παρουσία. Τέρπεσθαι γὰρ καὶ εὐφραίνεσθαι προστέταχεν ἀναγκαίως τὴν νοητὴν Σιὼν, ἥτις ἐστὶν Ἐκκλησία Θεοῦ ζῶντος, ἤγουν αὐτὴ τῶν διὰ πίστεως σεσωσμένων ἡ ἱερωτάτη πληθύς. Κατεπηγγέλλετο δὲ, ὅτι καὶ ἥξει, καὶ ἔσται δὴ πάντως ἐν μέσῳ αὐτῆς. Ἡμῖν γάρ φησιν ὁ θεσπέσιος Ἰωάννης· Ἐν τῷ κόσμῳ ἦν, καὶ τῶν αὐτοῦ κτισμάτων οὐκ ἀπενοσφίζετο Θεὸς ὢν ὁ Λόγος, ἀλλ' ἦν αὐτὸς ζωοποιῶν τὰ ζωῆς μετέχοντα, καὶ συνέχων τὰ πάντα πρὸς τὸ εὖ εἶναι καὶ ζῆν· « Ἀλλ' ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. » Προσεκύνησε γὰρ τῇ κτίσει. Γέγονε δὲ μεθ' ἡμῶν, ὅτε τὴν καθ' ἡμᾶς ὁμοίωσιν ἀναλαβὼν, διὰ τῆς ἁγίας ἐγεννήθη Παρθένου, « Ὅτε καὶ ἐπὶ γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. » Καὶ μαρτυρήσει λέγων ὁ θεσπέσιος Δαβίδ· « Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται. » Τότε γέγονε καὶ καταφανὴς τοῖς ἔθνεσιν. Οὐ γὰρ ἔτι μόνον τὸ ἐξ Ἰσραὴλ ἐπαιδεύετο γένος, διὰ τῆς ἀρχαίας ἐκείνης ἐντολῆς· κατεχρυσοῦτο δὲ μᾶλλον τοῖς εὐαγγελικοῖς κηρύγμασιν ἡ ὑπ' οὐρανὸν, καὶ γέγονεν ἐν ἔθνει παντὶ καὶ ἐν πάσῃ δὲ χώρᾳ μέγα τὸ ὄνομα αὐτοῦ. Αὐτὸς γὰρ ἦν ἡ *προσδοκία* τῶν ἐθνῶν, κατὰ τὴν τοῦ προφήτου φωνὴν, καὶ αὐτῷ κάμψει « πᾶν γόνυ, ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται· ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός. » Συνδεδραμήκασι γὰρ διὰ πίστεως ἐπ' αὐτὸν, καὶ σὺν αὐτῷ κατῳκήκασιν ἐν τῇ ἁγίᾳ καὶ νοητῇ Σιὼν, οἱ ἐκ περάτων τῆς γῆς, ἐγνώκασί τε σαφῶς, ὅτι οὕτως ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, « ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ δέδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. » Ἐξαπέστειλε γὰρ ἡμῖν ἐξ οὐρανοῦ τὸν Υἱὸν αὐτοῦ ὁ Πατὴρ, Σωτῆρα καὶ Λυτρωτὴν, ἵνα πιστεύσαντες εἰς αὐτὸν, ἐν αὐτῷ τὸν Πατέρα ὀψώμεθα, καὶ ὡς εἰκόνα βλέποντες ἀκριβῆ τοῦ γεγεννηκότος τὸν ἐξ αὐτοῦ κατὰ φύσιν, ἐννοῶμεν τὸ ἀρχέτυπον. Τότε καὶ κλῆρος γέγονεν Ἰούδας Κυρίου, τουτέστι πᾶς ὁ ἐξομολογούμενός τε καὶ δοξολογῶν αὐτόν· *ἐξομολόγησις* γὰρ ὁ Ἰούδας ἑρμηνεύεται. Ὡς γὰρ ὁ Παῦλός φησιν, « Οὐχ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖος, οὐδὲ ἐν φανερῷ· καὶ σαρκὶ περιτομὴ, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖός ἐστι, καὶ

[49] Ezech. XXXIV, 16. [50] I Timoth. III, 15. [50] Joan. I, 10. [51] ibid. [52] Rom. I, 25. [53] Baruch III, 38. [54] Psal. XLIX, 3. [55] Malach. I, 11. [56] Gen. XLIX, 10; Agg. II, 8. [57] Philipp. II, 10, 11. [58] Joan. III, 16. [59] Joan. XIV, 7 seqq.; Coloss. I, 15. [60] Rom. II, 28, 29.

Digitized by Google

περιτομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι, οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ Θεοῦ. » Ὅσοι τοιγαροῦν τὴν ἐν πνεύματι περιτομὴν διὰ Χριστοῦ πεπλουτήκαμεν, κλῆρος αὐτοῦ γεγόναμεν « ἐπὶ τὴν γῆν τὴν ἁγίαν, » ἵνα τὴν ἄνω νοῶμεν πόλιν, τὴν νοητὴν Ἱερουσαλήμ, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός, ὁ φιλητήν τε αὐτὴν καὶ αἱρετὴν ποιούμενος. « Αἱρετιεῖ γάρ, φησίν, ἔτι τὴν Ἱερουσαλήμ. » Οὐκ ἀπίθανον δὲ πάλιν εἴπερ ἕλοιτό τις Ἱερουσαλὴμ οἴεσθαι καὶ νῦν ὠνομᾶσθαι τὴν Ἐκκλησίαν, ἣν καὶ Θεοῦ πόλιν ἀποκαλεῖ, λέγων ὁ θεσπέσιος Δαβίδ· « Καθάπερ ἠκούσαμεν, οὕτω καὶ εἴδομεν ἐν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν. »

A igitur circumcisionem in spiritu per Christum ut divitias acquisivimus, possessio ejus facti sumus « super terram sanctam, » ut superam civitatem meditemur, Jerusalem, quæ animo videtur, cujus et conditor Deus [61], qui ipsam amabilem et optabilem facit. « Eliget enim adhuc Jerusalem, » inquit. Non est insuper improbabile, si quis existimare volet, Jerusalem et nunc vocatam esse Ecclesiam, quam et Dei civitatem divinus David nominat, cum ait : « Sicut audivimus, ita et vidimus, in civitate Domini virtutum, in civitate Dei nostri [62]. »

Εὐλαβείσθω πᾶσα σὰρξ ἀπὸ προσώπου αὐτοῦ, διότι ἐγήγερται ἐκ νεφελῶν ἁγίων αὐτοῦ.

VERS. 13. *Timeat omnis caro a facie ejus, quia excitatus est e nubibus sanctis suis.*

ΙϚ'. Ἐπιφώνημα μὲν τοῦτο καλὸν καὶ ἐπωφελὲς, καὶ πρόσκλησις ἀγαθὴ, τοῖς ἐθέλουσιν εὐδοκιμεῖν, εἴτε παρ' αὐτοῦ γέγονε τοῦ Θεοῦ, εἴτε μὴν ἐκ προσώπου τοῦ προφητικοῦ. Πλὴν ἐκεῖνο περιαθρητέον. Ὡς γὰρ πάντη τε καὶ πάντως ἀπολουμένων οἵπερ ἂν αὐτῷ μὴ πιστεύσειαν, εὐλαβεῖσθαι προστέταχε· τοῦτο καὶ αὐτὸς ὁ Χριστὸς τὴν εἰς αὐτὸν πίστιν οὐ προσιεμένοις ἐπεφώνει τοῖς ἐξ Ἰσραήλ· « Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖσθε· » καὶ πάλιν, « Ὁ πιστεύων εἰς τὸν Υἱὸν, οὐ κρίνεται, ὁ δὲ μὴ πιστεύων, ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ Υἱοῦ τοῦ Θεοῦ. » Ταύτητοι καὶ λίθος προσκόμματος, καὶ πέτρα σκανδάλου κατωνόμασται Χριστός. Ὥσπερ γάρ ἐστιν ὁμολογουμένως καλὸν καὶ σωτήριον τὸ πίστει στεφανοῦν αὐτὸν, οὕτω καὶ ὀλέθρου πρόξενον, τὸ μὴ εὐλαβεῖσθαι τὸν δι' ἡμᾶς ἐν τοῖς καθ' ἡμᾶς γεγονότα, καὶ οὐχ ἑτέρου του χάριν, ἢ ἵνα σώσῃ τὸ ἀπολωλός. Ἐγηγέρθαι δὲ ἐκ νεφελῶν ἁγίων αὐτὸν νομιοῦμεν πάλιν, ὡς ἐξ ἠρεμίας τῆς πάλαι καὶ σιωπῆς ἀφιγμένον εἰς κίνησιν τῆς ἐν ἡμῖν φροντίδος, γεγονότα γε μὴν ἐκ σπέρματος ἁγίων Ἀβραὰμ, Ἰσαὰκ, Ἰεσσαὶ, καὶ Δαβὶδ, ἐκ τῶν σὺν ἐκείνοις γενεαλογουμένων, οὓς καὶ νεφέλας ἀποκαλεῖ, διά τοι τὸ ὑψοῦ φέρεσθαι τῶν ἁγίων τὸν νοῦν, καὶ παραιτεῖσθαι μὲν τὰ ἐπὶ τῆς γῆς καὶ φρόνημα τὸ κατερρίμμενον, ζητεῖ[ν] δὲ μᾶλλον τὰ ἄνω καὶ ἐν τοῖς οὐρανοῖς, καὶ μὴν καὶ τὸ ἐν τάξει νεφῶν, τοῖς νοητοῖς ὑετοῖς κατάρδειν ἑτέρους. Ὅτι δὲ τὴν ἀνάστασιν ἐννοεῖ, πληροφορήσει πάλιν αὐτὸς ὁ Σωτὴρ, διὰ τῆς τοῦ Ψάλλοντος φωνῆς οὕτω λέγων· « Ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν καὶ τοῦ στεναγμοῦ τῶν πενήτων νῦν ἀναστήσομαι. » Ἐγήγερται τοίνυν, τουτέστι, κεκίνηται λοιπὸν εἰς ἐπικουρίαν τοῖς ἐπὶ τῆς γῆς πεπραχόσιν ἀθλίως. Αὐτὸς δὲ ἡ τῶν κακῶν ἁπάντων λύσις, καὶ τῆς ἀρχαίας ἀρᾶς τὸ πέρας, καὶ ἀρχὴ τοῦ παντὸς ἀγαθοῦ, καὶ δοτὴρ ἐλπίδος τῆς εἰς αἰῶνα τὸν μέλλοντα.

B XVI. Pulchrum hoc, et utile epiphonema, et cohortatio bona volentibus bene audire, sive a Deo est, sive ex persona prophetæ. Verumtamen illud considerandum diligenter. Timere enim jubet, quasi perditis penitus, quicunque ipsi non crediderint. Hoc et ipse Christus Israelitis fidem in ipsum non admittentibus minabatur, cum diceret : « Amen dico vobis, nisi crediderit quia ego sum, moriemini in peccatis vestris [63]; » et iterum : « Qui credit in Filium, non judicatur; qui autem non credit, jam judicatus est, quia non credidit in nomine **672** Filii Dei [64]. » Idcirco et lapis offensionis et petra scandali dictus est Christus [65]. Quemadmodum enim citra dubitationem cujusdam laudabile et salutare est fide ipsum honorare, ita et exitiosum non timere, C qui propter nos nostra suscepit, nec alia de causa quam ut salvaret quod perierat [66]. Excitatum autem ipsum ex nubibus sanctis suis præterea putabimus, ut qui ex antiqua quiete et silentio ad motum sollicitudinis circa nos venerit, natum ex semine sanctorum Abraham, Isaac, Jesse, et David, et aliorum qui in ordine generationis deinceps recensentur, quos et nubes appellat, quod sanctorum mens sublime feratur, et terrena cogitataque humilia repudiet, et superna potius ac cœlestia quærat : quinetiam, more nubium, pluviis quæ intelliguntur nec apparent, alios irriget. Quod autem exsurrectionem intelligat, rursum Salvator ipse testificatur, voce Psalmographi ita loquens : « Propter miseriam inopum et gemitum pauperum, nunc exsurgam [67]. » D Excitatus est igitur, hoc est motus est de cætero ad ferendam opem miseris et afflictis super terram. Ipse autem malorum omnium est solutio, et veteris maledicti finis, et principium omnis boni, et largitor spei vitæ sempiternæ.

ΚΕΦΑΛ. Γ'.

CAP. III.

Καὶ ἔδειξέ μοι Κύριος Ἰησοῦν τὸν ἱερέα τὸν μέγαν ἑστῶτα πρὸ προσώπου ἀγγέλου Κυρίου.

VERS. 1, 2. *Et ostendit mihi Dominus Jesum sacerdotem magnum stantem ante faciem angeli Domini.*

[61] Hebr. xi, 10. [62] Psal. xlvii, 9. [63] Joan. viii, 24. [64] Joan. iii, 18. [65] 1 Petr. ii, 8. [66] Matth. xviii, 11. [67] Psal. xi, 6.

Digitized by Google

Et diabolus stabat a dextris ejus, ut adversaretur ei. Et dixit Dominus ad diabolum : Increpet Dominus in te, diabole, et increpet in te qui elegit Jerusalem. Nonne ecce hoc ut torris extractus ex igne?

A Καὶ ὁ διάβολος εἱστήκει ἐκ δεξιῶν αὐτοῦ, τοῦ ἀντικεῖσθαι αὐτῷ. Καὶ εἶπε πρὸς τὸν διάβολον· Ἐπιτιμήσαι Κύριος ἐν σοὶ, διάβολε, καὶ ἐπιτιμήσαι ἐν σοὶ ὁ ἐκλεξάμενος τὴν Ἰερουσαλήμ. Οὐκ ἰδοὺ τοῦτο ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρός;

XVII. Narratio visionem continet, verumtamen sensum habet historicum, sub ænigmate se insinuantem et ut imagine iterum Jesum describentem. Tenendum porro, prophetam visione jam re perfecta et ad exitum deducta verba facere. Est autem nequaquam fabulosus sermo, neque ab instituto alienus, neque otiosas narrationes acervat: verum, ut dixi, principio antequam evenirent, ista vidit, et annuntiare magnum operæ pretium ducit, dum ita erudiat et tutum reddat Israelem, ne similibus B sese delictis iterum involvat, iterumque captivus fiat, sciens se salvatum cum labore, et liberationem quoque ipsi opus erat gratiam **673** propemodum vel ipsis in cœlo angelis curæ ac sollicitudini fuisse. Ait ergo se vidisse stantem angelum, et coram eo Jesum filium Josedec sacerdotem magnum. Et angelus quidem typum et imaginem Christi gerebat : sacerdos autem totius populi personam sustinuisse potest intelligi : sic enim divina Scriptura eum accipit. Quare alicubi ad Mosen dicit Deus : « Et ecce ego accepi Levitas pro omnibus filiis Israel, dono dati sunt mihi [68]. » Quocirca nihil adversus decorum peccat oratio, pro omni populo sacerdotem accipiens. Postquam enim Israel, cultis idolis spretisque legibus per Mosen latis, abjectus est a facie C Dei, postmodum justa in eum ira expleta, misericordia a Deo est affectus, et denuo ad conspectum ejus revocatus. Et hoc, opinor, est, sub quodam integumento verborum, stare sacerdotem ante faciem angeli Domini. In ira quippe aversatur, et oculos removet a contemptoribus : contra miserans intuetur et respicit. Hinc et divinus Psaltes orabat ita : « Ne avertas faciem tuam a me, et ne declines in ira a servo tuo [69]. » Et iterum : « Respice in me, et miserere mei [70]. » Cæterum natura benignus et misericors Deus Israelem a peccato liberabat. Qui autem in illud induxerat Satanas stabat, nihilominus adversans, et se opponens illi, et deserens illum insuper, et, quod quidem ad arbitrium ac voluntatem ipsius at- D tinebat, misericordiam, ut peccatis obnoxio et impietatis criminibus irretito et nullius frugis tribui non sinens. « Stabat enim, inquit, ac dextris ejus, » quodam modo dextera destruens : non enim sinistras res nostras, sed dextras et laudabiles oppugnat. Hoc contigisse cuidam in Christum impiorum beatus David sentiebat dicens : « Diabolus stet a dextris ejus [71]. » Adversabatur ergo Satanas : sed angeli voce increpabatur. Audivit enim dicentem : « Increpet Dominus in te, diabole, et increpet Dominus in te, qui elegit Jerusalem. » Considera enim quomodo illico Deo infestum et supernis calculis

ΙΖ'. Ὅρασις μὲν τὸ διήγημα, πλὴν ἔχει λόγον ἱστορικὸν, αἰνιγματωδῶς εἰσβάλλοντα, καὶ ὡς ἐν εἰκόνι πάλιν τῷ Ἰησοῦ προσδιαγραφόμενον. Ἰστέον δὲ, ὅτι τῶν ἐν ταῖς ὁράσεσιν εἰς πέρας ἐκβεβηκότων, τοὺς περὶ αὐτῶν ὁ προφήτης ποιεῖται λόγους. Εἰκαιομυθὴς δὲ οὐδαμῶς, οὐδὲ μὴν κατόπιν τῶν ἐπιτεδευμάτων ἔρχεται, καὶ περιττῶν ἡμῖν διηγημάτων σωρεύει ὄχλον· ἀλλ', ὡς ἔφην, ἐν ἀρχαῖς πρὸ τῶν πραγμάτων τεθέαται ταῦτα, καὶ ἀπαγγέλλειν ποιεῖται περὶ πολλοῦ, σοφόν τε καὶ ἀσφαλῆ καθιστὰς τὸν Ἰσραὴλ, ἵνα μὴ τοῖς ἴσοις πταίσμασι περιπεσὼν, ἀλοίη καὶ δεύτερον, εἰδὼς, ὅτι σέσωσται μετὰ πόνου, καὶ μονονουχὶ φροντὶς γέγονε καὶ τοῖς ἐν οὐρανῷ ἀγγέλοις ἡ ἐπ' αὐτῷ λύτρωσίς τε καὶ χάρις. Ἔφη τοίνυν, ὅτι τεθέαται μὲν ἑστῶτα τὸν ἄγγελον, πρὸ προσώπου δὲ αὐτοῦ τὸν Ἰησοῦν τὸν Ἰωσεδὲκ, τὸν ἱερέα τὸν μέγαν. Καὶ ὁ μὲν ἄγγελος εἰς εἰκόνα καὶ τύπον εἱστήκει Χριστοῦ· ὁ δέ γε ἱερεὺς νοηθείη ἂν ἀντὶ παντὸς τοῦ λαοῦ· λαμβάνεται γὰρ οὕτω παρὰ ταῖς θείαις Γραφαῖς. Καὶ γοῦν ἔφη που πρὸς Μωσέα Θεός· « Καὶ ἰδοὺ ἐγὼ εἴληφα τοὺς Λευίτας ἀντὶ πάντων τῶν υἱῶν Ἰσραὴλ, δόμα δεδομένοι εἰσί μοι. » Ἔρχεται δὴ οὖν ὁ λόγος ἡμῖν οὐκ ἀπὸ σκοποῦ τοῦ πρέποντος, ἀντὶ παντὸς τοῦ λαοῦ τὸν ἱερέα δεχομένοις. Ἐπειδὴ γὰρ γέγονεν ὁ Ἰσραὴλ ἐκ προσώπου Θεοῦ, λελατρευκὼς εἰδώλοις, καὶ αὐτὸν δὲ τὸν διὰ Μωσέως ἀτιμήσας νόμον, εἶτα πληρωθείσης τῆς ἐπ' αὐτῷ δικαίας ὀργῆς, ἐλέηται παρὰ Θεοῦ, κέκληταί τε πάλιν εἰς ὄψιν αὐτοῦ. Καὶ τοῦτο, οἶμαι, ἐστὶν αἰνιγματωδῶς τὸ ἑστάναι τὸν ἱερέα πρὸ προσώπου ἀγγέλου Κυρίου. Ἐν ὀργῇ μὲν γὰρ ἀποστρέφεται, καὶ ἀποκομίζει τοὺς ὀφθαλμοὺς τῶν εἰωθότων καταφρονεῖν· οἰκτείρων γε μὴν ἐφορᾷ καὶ ἐπισκέπτεται. Καὶ γοῦν ὁ θεσπέσιος Ψαλμῳδὸς προσηύχετο, λέγων· « Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου. » Καὶ πάλιν· « Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με. » Ἀλλ' ὁ μὲν φύσει χρηστὸς καὶ φιλοικτίρμων Θεὸς ἠλευθέρου τῆς ἁμαρτίας τὸν Ἰσραήλ. Ὁ δέ γε εἰς ταύτην ἐμβεβληκὼς Σατανᾶς, εἱστήκει πάλιν ἀντικείμενός τε καὶ ἀντεξάγων αὐτῷ, καὶ καταγορεύων ἔτι, καὶ ὅσον ἦκεν εἰπεῖν εἰς τὸ αὐτῷ δοκοῦν, κατοικτείρεσθαι μὴ ἀφιείς, ὡς ἐν πλημμελ[ε]ίαις ὄντα, καὶ τοῖς τῆς δυσσεβείας ἐγκλήμασιν ἐνεχόμενον, καὶ οὐδὲν ἔχοντα δεξιόν. Εἱστήκει γὰρ, φησὶν, ἐκ δεξιῶν αὐτοῦ, τρόπον τινὰ παραλύων τὰ δεξιά· πολεμεῖ γὰρ οὐχὶ τοῖς σκαιοῖς ἡμῶν πράγμασιν, ἀλλὰ τοῖς δεξιοῖς καὶ ἐπαινουμένοις. Τ[οι]οῦτό τι παθεῖν ἐπηρᾶτό τινα τῶν εἰς Χριστὸν δεδυσσεβηκότων ὁ μακάριος Δαβὶδ, λέγων· « Καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ. » Ἀντέκειτο τοίνυν ὁ Σατανᾶς, πλὴν ἐπετιμᾶτο διὰ φωνῆς

[68] Num. III, 9, 10. [69] Psal. XXVI, 9. [70] Psal. XXIV, 16. [71] Psal. CVIII, 6.

Digitized by Google

ἀγγέλου. Ἦκουε γὰρ λέγοντος· « Ἐπιτιμήσαι Κύριος ἐν σοὶ, διάβολε, καὶ ἐπιτιμήσαι Κύριος ἐν σοὶ, ὁ ἐκλεξάμενος τὴν Ἰερουσαλήμ. » Ἄθρει γὰρ, ὅπως θεομάχον ἔδειξεν εὐθὺς, καὶ ταῖς ἄνωθεν ψήφοις ἀνοσίως ἀντιπράττοντα. Θεοῦ γὰρ οἰκτείροντος καὶ ἀπαλλάττοντος ἤδη πλημμελείας τὸν Ἰσραὴλ, εἰσδεξαμένου τε καὶ ἀπόλεκτον ἤδη ποιουμένου τὴν Ἰερουσαλὴμ, κατηγορῶν οὐ παύεται, καὶ κατακρίνειν ἀποτολμᾷ τοὺς ἠλεημένους. Οὐκοῦν ἀκόρεστον εἰς ὀργὰς διελέγχει δὴ λέγων· « Οὐκ ἰδοὺ τοῦτο ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρός; » Ὅμοιον γὰρ ὡς εἰ λέγοι τυχόν· Πεπλημμέληκεν ὁμολογουμένως ὁ Ἰσραὴλ, καὶ ταῖς σαῖς φιλοψογίαις ἐπεσχημένος ὁρᾶται. Πλὴν ἐκτέτικε δίκας· οὐ μετρίως, ἀνέτλη τὰς συμφορὰς, καὶ ἐξεσπάσθη μόλις, ὡς ἐκ πυρὸς δαλὸς ἡμίφλεκτος· οὕτω γὰρ τὰ ἐκ τῆς αἰχμαλωσίας ἀπεικονίσατο βλάβη. Ἄρτι καὶ μόλις τῆς ἀνηκέστου ταλαιπωρίας διέδρα τὴν φλόγα. Παῦσαι δὴ οὖν ἐγκαλῶν τοῖς ἠλεημένοις· « Θεὸς γὰρ ὁ δικαιῶν, τίς ὁ κατακρίνων; »

A impie obsistentem ostenderit. Deo siquidem miserante et Israelem jam peccatis exsolvente, eligenteque et electam reddente Jerusalem, accusare **674** non cessat, et misericordiam adeptos damnare audet. Quare ejus inexplebilem iram redarguit, inquiens: « Nonne ecce hoc ut torris extractus ex igne? » Perinde est enim ac si dicat fortasse: Peccavit Israel manifesto, et tuis criminationibus teneri videtur. Attamen non mediocriter punitus est, calamitates sustinuit, et vix ut torris semiustus ab igne extractus est: sic enim captivitatis detrimentorum et incommodorum quasi imaginem effinxit. Modo, et ægre quidem gravissimæ ærumnæ flammam effugit. Desine igitur misericordia dignatos accusare: « Deus enim si justificat, quis est qui condemnet[18]? »

Καὶ Ἰησοῦς ἦν ἐνδεδυμένος ἱμάτια ῥυπαρὰ, καὶ εἱστήκει πρὸ προσώπου τοῦ ἀγγέλου τοῦ Κυρίου. Καὶ ἀπεκρίθη, καὶ εἶπε πρὸς τοὺς ἑστηκότας πρὸ προσώπου αὐτοῦ, λέγων· Ἀφέλετε τὰ ἱμάτια τὰ ῥυπαρὰ ἀπ' αὐτοῦ. Καὶ εἶπε πρὸς αὐτόν· Ἰδοὺ ἀφῄρηκα τὰς ἀνομίας σου. Καὶ ἐνδύσατε αὐτὸν ποδήρη, καὶ ἐπίθετε κίδαριν καθαρὰν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ.

Vers. 3-5. *Et Jesus erat indutus vestibus sordidis, et stabat ante faciem angeli Domini. Et respondit (angelus) et dixit ad eos qui stabant ante faciem suam, dicens: Auferte vestimenta sordida ab eo. Et dixit ad eum: Ecce abstuli iniquitates tuas. Et induite eum veste talari, et imponite cidarim mundam super caput ejus.*

ΙΗ'. Παραδεχθέντος ἅπαξ εἰς τὸ παντὸς τοῦ λαοῦ πρόσωπον τοῦ λαχόντος ἱερουργεῖν, ἀπόχρη λοιπὸν, καθάπερ ἐγῷμαι, τοσοῦτον εἰπεῖν, ὅτι τὰ ῥυπαρὰ σύμβολον ἂν εἶεν οὐκ ἀσυμφανὲς τῆς ἀκαθαρσίας τοῦ λαοῦ. Κατημφιεσμένοι γὰρ ὥσπερ ταῖς σφῶν αὐτῶν ἁμαρτίαις, καὶ δυσαπόνιπτον ἔχοντες τῆς ἀσεβείας τὸν μῶμον, διετέλουν ἐν αἰχμαλωσίᾳ, ποιναῖς ὑπενηνεγμένοι, καὶ τῶν ἀνοσίως αὐτοῖς πεπλημμεληκότων ἀποτινύντες δίκας. Ἐπειδὴ δὲ κατηλέει Θεὸς, ἀπαλλάττεσθαι τῆς ἁμαρτίας προστέταχεν, ἐλευθεροῦσθαι τῶν ῥυπαρῶν, καὶ μεταμφιέννυσθαι τρόπον τινὰ τὴν δικαιοῦσαν χάριν. Κατανεύει δὲ αὐτοῖς τοῦ πόνου τὸ πέρας, καὶ τῶν συμβεβηκότων τὴν λύσιν. Ὅπου γὰρ ἁμαρτίας ἄφεσις, ἴσταται που καὶ τὸ ἀπαλλάττεσθαι δεῖν τῶν δι' αὐτὴν ἐπενηνεγμένων. Οὐκοῦν ἐν σχήματι Θεοῦ τοῖς ἑστηκόσι καὶ λειτουργοῦσιν αὐτῷ προστέταχεν ὁ μακάριος ἄγγελος ἀπελεῖν ἀπ' αὐτοῦ τὴν ῥυπῶσαν ἐσθῆτα, καὶ δὴ καί φησιν· « Ἰδοὺ ἀφῄρηκα τὰς ἀνομίας σου. » Εἶτα δεῖν ἔφη ποδήρη τε αὐτῷ καὶ κίδαριν ἐπὶ τὴν κεφαλὴν ἐσθῆναι καθαρὰν, ἵνα διὰ τούτου νενομισμένως ἀεί πως συντρέχῃ ταῖς τῶν λαῶν καταστάσεσι, καὶ τῆς ἱερωσύνης δόξα. Καύχημα μὲν γὰρ τοῖς ἱερουργοῖς, ἡ τῶν ὑπὸ χεῖρα καθαρότης, καὶ ἐν λαμπροῖς αὐχήμασι τὸ τῆς ἱερωσύνης ἔχουσιν εὐκλεὲς, εὐδοκιμοῦντος τοῦ λαοῦ, καὶ ἀμωμήτως ἰόντος ἐπὶ τὸ Θεῷ δοκοῦν, καὶ τρυφερὸν ὑποφέροντος τὸν αὐχένα τοῖς παρ' αὐτοῦ θεσπίσμασι, ταύτῃτοι καὶ εὐμενῆ καὶ φίλον ἔχοντος τὸν Πατέρα Θεόν. Ἐπίκλημα δὲ καὶ μῶμος, τῶν ὑπεζευγμένων ἡ ῥᾳθυμία, καὶ τὸ ἀπερισκέπτως ἔχεσθαι πρὸς τὸ πλημμελές. Ὥσπερ γὰρ ἐν ἁμαρτίαις

XVIII. Assumpto semel sacerdote ad totius populi personam repræsentandam, satis est, ut existimo, deinceps hoc tantum dicere, sordida vestimenta symbolum sive indicium esse posse haud ambiguum immunditiæ populi. Quasi enim peccatis suis convestiti et impietatis maculas vix eluendas habentes, captivitatem tolerabant, miseriis subjecti et nefarie commissorum pœnas luentes. Postquam autem misertus est Deus, a peccato liberos esse mandavit, et exui sordidis et indui aliquo modo justificante gratia. Innuit autem porro ipsis laborum et casuum finem. Ubi namque remittitur peccatum, illic etiam sequitur necessario malorum propter peccatum inflictorum depulsio. Quare nomine Dei astantibus et ministrantibus ipsi mandat beatus angelus auferre inquinatam vestem, additque: « Ecce abstuli iniquitates tuas. » Deinde ait cooperiendum veste talari, et cidarim mundam imponendam super caput ejus, ut ita legitime cum statu populi sacerdotii gloria semper conspiret. Gloriatio quippe sacerdotum est subjectorum puritas, et innocentia, **675** et honorem sacerdotii sui splendido sibi ornamento ducunt, cum populus fertur laudibus, citraque reprehensionem ad Dei voluntatem sese accommodat, delicatasque cervices ejus oraculis submittit, atque ob eam causam Deum Patrem amicum sibi ac benevolum habet. Contra vituperatio et ignominia illorum est subjectorum socordia, et cæci impetus ad peccandum. Ut enim populo peccatis obstricto sordida quodammodo erant et sacerdotis vestimenta, sic ubi rursum probari consueverit, purum erit et conspicuum sa-

[18] Rom. VIII, 34.

Digitized by Google

cerdotii munus, multamque apud Deum fiduciam obtinebit. Quamobrem divinus Paulus, gentibus Christi sacro Evangelio ministrato, cum ex incrementis ad virtutem eos inclarescere et ei firma fide inhærere cerneret, ita scribit: « Propter gloriationem vestram, fratres, quam habemus in Domino Jesu [75]. » Et rursum: « Gaudium et corona mea vos estis [76]. »

A

Vers. 6, 7. *Et angelus stabat. Et contestatus est angelus Domini ad Jesum, dicens: Hæc dicit Dominus omnipotens: Si in viis meis ambulaveris, et præcepta mea custodiveris, et tu dijudicabis domum meam, et custodies atrium meum, et dabo tibi conversantes in medio stantium istorum.*

B

XIX. In Jesu magno sacerdote Christum omnium Salvatorem descriptum accipimus, cujus item personam ut gereret, a principio Aaron sacerdos institutus est. Hoc autem in loco ad ipsum filium Josedec dictum asserimus: « Hæc dicit Dominus omnipotens: Si in viis meis ambulaveris, et præcepta mea custodiveris, et tu dijudicabis domum meam, » et quæ sequuntur. Non enim talia Christo dici queunt: qui est via, justificatio Dei, et Patris sui domum ipse dijudicavit, ut Filius potestatem exercens. Erat enim Moses fidelis famulus in omni domo Dei: at Christus ut Filius super domum ejus, cujus domus nos sumus [77]. Ergo ad filium Josedec ista dicta sunto, ad Christum minime. Pollicetur autem Deus sacerdotium retenturum etiam post tempora captivitatis, ut sacerdotes præsint Israeli, et sanctam illam civitatem moderentur. Quoniam enim, captivitate inducta, et sanctis concrematis et sacrificiis sublatis, arbitrabantur nonnulli Mosaica funditus abolenda, **676** et legem nihil amplius valituram, quamquam nondum præsente illo tempore quo Unigenitum natum hominem apparere oportebat, idcirco Deus docens Israelem sub antiquis moribus futurum et sub imperio sacerdotum ætatem habiturum, haud secus quam ante captivitatem necessario affirmat, si legem sincere custodierit, ipsum rursum domum ejus dijudicaturum, et prima gloria potiturum, eum in sacro ministerio etiam sanctis angelis adjuvantibus. Non enim dici potest veterem legem virtutibus intelligentibus destitutam fuisse. Si enim legalia illa typi et umbræ erant, ergo ad Dei gloriam peragebantur. Hoc opinor sibi velle: « Dabo tibi conversantes in medio stantium horum, » hoc est, propemodum una sacrificantes et sacris officiis simul fungentes angelos. Perpende porro quomodo ubique sacra Scriptura angelos stare pronuntiet, stationis vocabulo significans eos ignaviæ non succumbere, sed mentem velut erectam, et in-

C

D

ὄντος τοῦ λαοῦ, ῥυπαρά πως ἦν καὶ τὰ τοῦ ἱερέως ἐσθήματα· οὕτως εἰωθότος πάλιν εὐδοκιμεῖν, καθαρὸν ἔσται καὶ διαφανὲς τῆς ἱερωσύνης τὸ χρῆμα (1), καὶ ἐν πολλῇ παῤῥησίᾳ τῇ παρὰ Θεῷ. Καὶ γοῦν ὁ θεσπέσιος Παῦλος ἱερουργήσας τοῖς ἔθνεσι τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ ταῖς εἰς τὸ ἄμεινον ἐπιδόσεσιν εὐδοκιμοῦντας βλέπων, καὶ βεβαίαν ἔχοντας τὴν ἐπ' αὐτῷ πίστιν, ἐπιστέλλει λέγων· « Νὴ τὴν ἡμετέραν καύχησιν, ἀδελφοί, ἣν ἔχομεν ἐν Κυρίῳ Ἰησοῦ. » Καὶ πάλιν· « Χαρὰ καὶ στέφανός μου ὑμεῖς ἐστε. »

Καὶ ὁ ἄγγελος εἱστήκει. Καὶ διεμαρτύρατο ὁ ἄγγελος Κυρίου πρὸς Ἰησοῦν, λέγων· Τάδε λέγει Κύριος παντοκράτωρ· Ἐὰν ἐν ταῖς ὁδοῖς μου πορεύῃ, καὶ ἐν τοῖς προστάγμασί μου φυλάξῃ, καὶ σὺ διακρινεῖς τὸν οἶκόν μου, καὶ φυλάξεις τὴν αὐλήν μου, καὶ δώσω σοι ἀναστρεφομένους ἐν μέσῳ τῶν ἑστηκότων τούτων.

ΙΘ'. Εἰς ὑποτύπωσιν μὲν τοῦ πάντων Σωτῆρος Χριστοῦ παρεδεξάμεθα τὸν Ἰησοῦν τὸν ἱερέα τὸν μέγαν· τέθειτο γὰρ εἰς τοῦτο καὶ Ἀαρὼν ἐν ἀρχαῖς. Πλὴν ἔν γε τοῖς προκειμένοις πρὸς αὐτὸν εἰρῆσθαί φαμεν τὸν Ἰωσεδὲκ τὸ, « Τάδε λέγει Κύριος παντοκράτωρ· « Ἐὰν ἐν ταῖς ὁδοῖς μου πορεύῃ, καὶ ἐν τοῖς προστάγμασί μου φυλάσσῃ, καὶ σὺ διακρινεῖς τὸν οἶκόν μου, » καὶ τὰ τούτοις ἑπόμενα. Οὐ γὰρ ἂν εἴρητο τὰ τοιάδε Χριστῷ· αὐτὸς γάρ ἐστιν ἡ ὁδός, αὐτὸς τὸ δικαίωμα τοῦ Θεοῦ καὶ Πατρός, αὐτὸς διέκρινε τὸν οἶκον αὐτοῦ, κατεξουσιάζων ὡς Υἱός. Ἦν μὲν γὰρ ὁ θεσπέσιος Μωσῆς πιστὸς θεράπων ἐν ὅλῳ τῷ οἴκῳ τοῦ Θεοῦ· Χριστὸς δὲ ὡς Υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκός ἐσμεν ἡμεῖς. Οὐκοῦν εἰρήσθω μὲν πρὸς τὸν τοῦ Ἰωσεδὲκ τὰ τοιάδε, πρὸς δέ γε Χριστὸν οὐκέτι. Ἐπηγγέλλετο δὲ Θεὸς, τὴν κατὰ νόμον ἱερωσύνην κρατήσειν ἔτι καὶ μετά γε τοὺς τῆς αἰχμαλωσίας καιροὺς, ὥστε τοὺς ἱερατεύοντας κατάργειν τοῦ Ἰσραὴλ, καὶ τὴν ἁγίαν διέπειν πόλιν ἐκείνην. Ἐπειδὴ γὰρ συμβάσης τῆς αἰχμαλωσίας, καὶ τῶν ἁγίων ἐμπεπρησμένων, καὶ θυσίας οὐκέτι προσκεκομισμένης, ᾠοντό τινες πρὸς ἀνατροπὴν οἰχήσεσθαι παντελῆ τὰ Μωσέως, καὶ ἀπρακτήσειν τὸν νόμον, καίτοι μήπω παρόντος τοῦ καιροῦ, καθ' ὃν ἀναδείκνυσθαι ἐχρῆν ἐνηνθρωπηκότα τὸν Μονογενῆ· ταύτῃτοι Θεὸς ἀναπείθων, ὅτι τοῖς ἀρχαίοις ἔθεσιν ὑποκείσεται πάλιν ὁ Ἰσραὴλ, καὶ ὑπὸ χεῖρα πράξει τῶν ἱερέων, καθὰ καὶ πρὸ τῆς αἰχμαλωσίας, ἀναγκαίως φησὶν, ὡς εἰ γένοιτο γνήσιος νομοφύλαξ ὁ Ἰησοῦς, αὐτὸς πάλιν διακρινεῖ τὸν οἶκον αὐτοῦ, καὶ ἐν δόξῃ κείσεται τῇ πρώτῃ, συλλειτουργούντων αὐτῷ καὶ ἁγίων ἀγγέλων. Οὐ γάρ που φαμεν, ὡς ἔρημος ἦν δυνάμεων λογικῶν ὁ πάλαι νόμος. Εἰ γὰρ καὶ ἦν ἐν τύποις καὶ σκιαῖς τὰ ἐν νόμῳ, ἀλλ' οὖν εἰς δόξαν ἐτελεῖτο Θεοῦ. Τοῦτο οἶμαι δηλοῦν τὸ, « Δώσω σοι ἀναστρεφομένους ἐν μέσῳ τῶν ἑστηκότων τούτων, » τουτέστι, μονονουχὶ συνιερατεύοντας καὶ συλλειτουργοῦντας ἀγγέλους. Ἄθρει δὲ ὅπως πανταχοῦ τοὺς

[75] Rom. xv, 17. [76] Philipp. iv, 9. [77] Hebr. iii, 2-6.

(1) Cotelerius (*Monum. E. C.* II, 646) legit τχῆμα, *habitus*. Edit.

Digitized by Google

ἁγίους ἀγγέλους ἑστάναι· φησὶ τὸ Γράμμα τὸ ἱερὸν, τῷ τῆς στάσεως ὀνόματι καταδηλοῦν τὸ μὴ ὀκλάζειν αὐτοὺς εἰς τὸ ῥᾴθυμον, ἀλλ' οἷον ὀρθὴν ἀεὶ καὶ ἀσθενῆ οὐκ ἀνεχομένην τὴν διάνοιαν ἔχειν, ἑστῶσάν τε μετὰ Θεοῦ. Οὕτω καὶ ἐν τῷ Ἰεζεκιὴλ γεγραμμένον εὑρήσομεν περὶ τῶν Χερουβὶμ, ὅτι « Τὰ σκέλη αὐτῶν ὀρθά. » Κάμπτεται μὲν γὰρ, καὶ λίαν εὐκόλως, ἡ ἀνθρώπου διάνοια, καὶ ἔστιν εὐπετὴς εἰς γε τὸ θέλειν ἀῤῥωστῆσαι τὸ ῥᾴθυμον. Ἕστηκε δὲ ὥσπερ τῶν ἄνω πνευμάτων ἡ ἁγία πληθύς. Ταύτητοι καὶ πρὸς Σιὼν ἐλέγετο παρὰ Θεοῦ· « Στῆσον σεαυτὴν, Σιών. » Ἀνατίθει δὲ καὶ ὁ μακάριος Δαβὶδ τῷ Θεῷ τὰς χαριστηρίους ᾠδὰς, οὕτω λέγων· « Ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου. » Τὸ γὰρ ἀκλινὲς ἐν τούτοις καὶ τὸ πεπηγὸς τῆς γνώμης, τῷ τῆς στάσεως ὀνόματι κατεσήμηνεν ὁ πνευματοφόρος.

firmitatis expertem, et cum Deo stantem retinere. Ita et in Ezechiele scriptum invenimus de Cherubim : « Et pedes eorum recti [76]. » Curvatur enim, et quidem perfacile, mens humana, et pigritia levi negotio corripitur. Supernorum autem spirituum sancta multitudo stat quodammodo. Quare et Sioni dictum est a Deo : « Fac ut stes, Sion. » Offert item beatus David Deo cantica gratiarum actoria, ita dicens : « Statuit supra petram pedes meos [77]. » Quibus verbis ille spiritu plenus immobilitatem animique firmitudinem expressit.

Ἄκουε δὴ, Ἰησοῦ, ἱερεὺς ὁ μέγας, σὺ δὲ, καὶ οἱ πλησίον σου, καὶ οἱ καθήμενοι πρὸ προσώπου σου, διότι ἄνδρες τερατοσκόποι εἰσὶ, διότι ἰδοὺ ἐγὼ ἄγω τὸν δοῦλόν μου, Ἀνατολὴ ὄνομα αὐτῷ. Διότι ὁ λίθος, ὃν δέδωκα πρὸ προσώπου Ἰησοῦ, ἐπὶ τὸν λίθον τὸν ἕνα, ἑπτὰ ὀφθαλμοί εἰσιν.

VERS. *Audi igitur, Jesu, sacerdos magne, tu vero et proximi tui, et qui sedent ante faciem tuam, quia viri portentorum spectatores sunt, quia ecce ego adduco servum meum, Oriens nomen ipsi. Quia lapis quem dedi ante faciem Jesu, super lapidem unum, septem oculi sunt.*

Κ'. Διὰ τῶν ἀρτίως ἡμῖν εἰρημένων κατεπηγγέλλετο τῷ Ἰησοῦ, ἤγουν μᾶλλον, ὅπερ ἐστὶν ἀληθέστερον, τῇ κατὰ νόμον ἱερωσύνῃ, τὸ διακρίνειν τὸν οἶκον αὐτοῦ, καὶ κατάρχειν ἔτι λαοῦ, καὶ τῆς κατὰ νόμον λατρείας ἀποπεραίνειν τοὺς τύπους. Ἄθρει δέ μοι τὴν οἰκονομίαν, καὶ τῶν θείων διασκέψεων τὸ πολὺ λίαν εὐτεχνές· Ἔμελλε, καὶ οὐκ εἰς μακρὰν, μετατεθήσεσθαι τὰ ἐν νόμῳ πρὸς λατρείαν τὴν ἀληθινὴν, καὶ τῶν τύπων τὸ ἀκαλλὲς μεταχαράττεσθαί τε πρὸς ἀξιέραστόν τε καὶ πνευματικὴν πολιτείαν. Ἔμελλον ἀποσοβεῖσθαι τοῦ ἀμπελῶνος οἱ κυριοκτονήσαντες γεωργοὶ, καὶ ἐκδοθήσεσθαι τὸ χωρίον ἑτέροις, τοῖς ἁγίοις ἀποστόλοις δηλονότι καὶ εὐαγγελισταῖς, οἱ καρποφόρον αὐτὸ καὶ εὐανθὲς ἀποφαίνειν ἔμελλον, τῆς προὐργιαιτάτης ἀξιοῦντες φροντίδος. « Ἔμελλε βασιλεὺς δίκαιος βασιλεύειν, καὶ ἄρχοντες μετὰ κρίσεως ἄρχειν, » κατὰ τὴν τοῦ προφήτου φωνήν. Ἔμελλεν ἕτερος ἀνίστασθαι ἱερεὺς, οὐ κατὰ τὴν τάξιν Ἀαρὼν, ἀλλὰ « κατὰ τὴν τάξιν Μελχισεδὲκ, » τῶν ἁγίων λειτουργὸς, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος. Εἰσῆλθε γὰρ εἰς τὰ Ἅγια τῶν ἁγίων ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, « Οὐ δι' αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος, αἰωνίαν λύτρωσιν εὑράμενος, καὶ μιᾷ προσφορᾷ τελειώσας εἰς τὸ διηνεκὲς, κατὰ συνείδησιν τοὺς ἁγιαζομένους. » Ἵνα τοίνυν μὴ ψευδοεπής τε καὶ εἰκαιόμυθος ἀναφαίνηται Θεὸς, ἀεὶ καὶ διηνεκῶς τῇ κατὰ νόμον ἱερωσύνῃ ὑπισχνούμενος ἐποπτήσειν τε καὶ διακρίνειν τὸν οἶκον αὐτοῦ, ἀναγκαίαν ποιεῖται τοῦ κατὰ Χριστὸν μυστηρίου τὴν προαγόρευσιν, ἐμφαίνων, ὅτι καταλήξει μὲν τὰ ἐν νόμῳ, διακρινεῖ δὲ αὐτὸς τὸν ἴδιον οἶκον διὰ τοῦ ἰδίου γεννήματος, τουτέστι, τοῦ Υἱοῦ. Ταύτητοι μονονουχὶ καὶ διαμαρτύρεται αὐτόν τε τὸν Ἰησοῦν, καὶ τοὺς πλησίον αὐτοῦ, καὶ τοὺς καθημένους πρὸ προσώπου αὐτοῦ, ἵνα Λευίτας νοῶμεν καὶ ἱερέας. Ἀσιτ-

XX. Supra pollicebatur Jesu, imo certe, ut dicam verius, legali sacerdotio dijudicationem domus suæ, et principatum ultra in populum, et finitionem typorum, seu umbrarum cultus juxta legem recepti. Expende porro mihi œconomiam divinorumque consiliorum summam peritiam. Erant, nec multo post, ad cultum verum germanumque transferenda legalia, 677 typorumque ruditas in speciem amabilis et spiritualis politiæ immutanda. Erant abigendi a vinea agricolæ, Domini interfectores, et ager locandus aliis, sanctis apostolis videlicet et evangelistis, eum fructiferum et florentissimum utilissima sollicitudine sua reddituris [78]. « Erat rex justus regnaturus, et principes cum judicio imperaturi [79], » secundum vocem prophetæ. Surrecturus erat alius sacerdos, non secundum ordinem Aaron, sed « secundum ordinem Melchisedech [80], » sanctorum minister sacer, et tabernaculi veri, quod fixit Dominus, non homo [80*]. Intravit enim Sancta sanctorum Dominus noster Jesus Christus : « Non per sanguinem hircorum et vitulorum, sed per proprium sanguinem, æterna redemptione inventa, et una oblatione consummatis in perpetuum secundum conscientiam sanctificatis [81]. » Ne igitur falsa et inania locutus videatur Deus, legali sacerdotio pollicitus, ipsum semper atque in perpetuum domum suam inspecturum et judicaturum, mysterium Christi prænuntiare debuit, et ostendere desitura quidem legalia, se autem dijudicaturum domum suam per genitum ex sese, hoc est Filium. Quamobrem propemodum etiam contestatur et ipsum Jesum, et proximos ejus, et sedentes ante faciem ejus, puta Levitas et sacerdotes. Ordo enim Leviticus summo sacerdoti ministrans astabat : seniores autem sacerdotes, utillis superiores et sacratiores, juxta legem, concilii quoque honore condecorati sunt [82]. Portentorum porro spectatores illos

[76] Ezech. I, 7. [77] Psal. xxxix, 3. [78] Matth. xxi, 33-39. [79] Isa. xxxii, 1. [80] Psal. cix, 4. [80*] Hebr. viii, 2. [81] Hebr. ix, 12 ; x, 14. [82] Num. xvi, 2.

Digitized by Google

appellat, hoc est, semper quærentes signa videre, prodigiorum cupidos. Nescio enim quomodo gens Judæa ad hæc natura fertur. Itaque cum Christus fecisset quasi flagellum de funiculis, omnesque e templo ejecisset, dixissetque : « Auferte ista hinc, et nolite facere domum Patris mei, domum negotiationis, » accesserunt, et quæsierunt : « Quod signum ostendis quia hæc facis? et quis dedit tibi hanc potestatem [83] ? » Accesserunt et alii, cum hac petitione : « Magister, volumus a te signum videre [84]. » Idcirco, quoniam, inquit, viri sunt portentorum, seu miraculorum speculatores, discant tecum et futura, signorum quæ petunt perpetratorem semper potentissimum. Quisnam autem hic? « Ecce ego adduco servum meum, Oriens nomen ejus. » Deus igitur secundum naturam et ex Deo Patre apparuit Unigenitus, secundum hoc liber. **678** Nihilominus exinanivit semetipsum, secundum Scripturas [85], demittens se in id quod non erat, et appellatus servus propter naturam humanam, quamvis omnium Dominus esset, tanquam Deus. Sed idem et Oriens erat, id est, Sol justitiæ [86]. Exortus est enim, et illuminavit nos velut in tenebris degentes [87], et tantum non etiam tanquam nocte et veterno obrutos mundanis voluptatibus, mentisque oculum tenebris effusum habentes, excitavit ad vigiliam, et gratia sua nos illustravit. Hinc et sapiens Paulus nobis præcepit, hoc ipsum significans : « Nox præcessit, dies autem appropinquavit. Abjiciamus ergo opera tenebrarum, et induamur arma lucis, sicut in die honeste ambulemus [88]. » Et iterum : « Surge, qui dormis, et exsurge a mortuis, et illuminabit te Christus [89]. » Promulgat igitur ante insignia facta Salvatoris nostri, quæ præsens editurus est. Nominat servum, quoniam in servi forma venit; Orientem, quia lumen verum est, idem et dies, et clarus lucifer in mentibus exoriens et corda lucida efficiens. Insuper lapidem vocat : quin et datum ante faciem Jesu, et septem habere oculos autumat. Oportebat enim imprimis sacerdotium legale, cujus typum posuimus Jesum, quasi ante faciem et ante oculos habere semper lapidem electum, angularem, pretiosum, in fundamentum Sion decretum, multis oculis intuentem omnia [90]. Septem quippe integritatem perfectionemque declarare solent. Sterilis igitur dicitur parere septem [91]. Mille autem oculis omnia intueri, et inspicere res nostras divinam et ineffabilem Filii naturam non potest quispiam dubitare : « Vivus est enim sermo Dei, et efficax, et penetrabilior omni gladio ancipiti, et pertingens usque ad divisionem animæ et spiritus, compagum quoque et medullarum, et discretor cogitationum et intentionum cordis, et non est ulla creatura invisibilis in conspectu ejus. Omnia autem nuda et aperta sunt oculis ejus, » sicut scriptum est [92]. Υἱοῦ φύσις, οὐκ ἂν ἐνδοιάσειέ τις· « Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διικνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ

A ουργοῦν μὲν γὰρ τῷ ἀρχιερεῖ ἵστηκε τὸ τάγμα τὸ Λευϊτικόν· οἱ δέ γε πρεσβύτεροι ἱερεῖς, ὡς ἐκείνων ἀμείνους ἔτι, καὶ ἱερώτεροι κατὰ τὸν νόμον, καὶ τῇ συνεδρίᾳ τετίμηντο. Τερατοσκόπους γε μὴν αὐτοὺς ὀνομάζει, τουτέστιν, ἀεὶ σημεῖα ζητοῦντας ὁρᾷν, τῶν τεράτων ἐφιεμένους. Φύσει γάρ πως ἀεὶ τοιοῦτόν ἐστι τὸ τῶν Ἰουδαίων ἔθνος. Καὶ γοῦν, ὅτε ὁ Χριστὸς ποιήσας ὡσεὶ φραγέλλιον ἐκ σχοινίων, πάντας ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ, λέγων, « Ἄρατε ταῦτα ἐντεῦθεν, καὶ μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρός μου, οἶκον ἐμπορίου, » προσῆσαν λέγοντες· « Τί σημεῖον δεικνύεις, ὅτι ταῦτα ποιεῖς; καὶ τίς ἔδωκέ σοι τὴν ἐξουσίαν ταύτην; » Εὑρήσομεν δὲ καὶ ἑτέρους προσιόντας, καὶ λέγοντας αὐτῷ· « Διδάσκαλε, θέλομεν ἀπὸ σοῦ σημεῖον ἰδεῖν. » Οὐκοῦν ἐπειδήπερ, φησὶν,

B ἄνδρες εἰσὶ τερατοσκόποι, μανθανέτωσαν ἅμα σοὶ τὰ ἐσόμενα, καὶ σημείων ὧν αἰτοῦσιν ἀεὶ τὸν παναληθέστατον ἀποτελεστήν. Καὶ τίς δὴ οὖν οὗτός ἐστιν; « Ἰδοὺ ἐγὼ ἄγω τὸν δοῦλόν μου, Ἀνατολὴ ὄνομα αὐτῷ. » Θεὸς μὲν οὖν κατὰ φύσιν καὶ ἐκ Θεοῦ Πατρὸς πέφηνεν ὁ Μονογενὴς, καὶ ὡς τοῦτο ὑπάρχων, ἐλεύθερος. Ἀλλὰ κεκένωκεν ἑαυτὸν, κατὰ τὰς Γραφὰς, καθιεὶς εἰς ὅπερ οὐκ ἦν, καὶ κεχρημάτικε δοῦλος, διὰ τὸ ἀνθρώπινον, καίτοι Κύριος πάντων ὑπάρχων, ὡς Θεός. Ἀλλ' ἦν καὶ οὗτος Ἀνατολὴ, τουτέστι, δικαιοσύνης Ἥλιος. Ἀνέσχε γὰρ καὶ ἐπέλαμψεν οἷάπερ ἐν σκότει διατελοῦσιν ἡμῖν, μόνον δὲ οὐχὶ καὶ

C ὡς ἐν νυκτὶ καὶ ὕπνῳ κεχαρωμένους ταῖς κοσμικαῖς ἡδοναῖς, καὶ τῆς διανοίας τὸν ὀφθαλμὸν κατεσκοτισμένους, ἠγειρέ τε πρὸς νῆψιν, καὶ λαμπροὺς ἀπέφηνε τῇ παρ' ἑαυτοῦ χάριτι. Τοιγάρτοι καὶ ὁ σοφὸς ἡμῖν ἐπιστέλλει Παῦλος, αὐτὸ δὴ τοῦτο καταμηνύων· « Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγισεν. Ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτὸς, ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν. » Καὶ πάλιν· « Ἔγειρε, ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. » Προανακηρύττει τοιγαροῦν τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας τὰ λαμπρὰ κατορθώματα. Δοῦλον δέ φησιν αὐτὸν διά τοι, τὸ ἐνδούλου καθικέσθαι μορφῆ· Ἀνατολὴν δὲ, ὅτι φῶς ἐστι τὸ ἀληθινὸν αὐτὸς, καὶ ἡμέρα, καὶ λαμπρὸς ἑωσφόρος, εἰς νοῦν ἀνατέλλων, καὶ καταφαιδρύνων καρδίας. Ὀνομάζει δὲ πρὸς τούτῳ καὶ

D Λίθον αὐτὸν, καὶ μὴν καὶ δεδόσθαι φησὶ πρὸ προσώπου Ἰησοῦ, ἑπτά τε ἔχειν τοὺς ὀφθαλμοὺς διισχυρίζεται. Ἔδει γὰρ μάλιστα τὴν κατὰ νόμον ἱερωσύνην, ἧς εἰς τύπον ἐθήκαμεν τὸν Ἰησοῦν, οἱονεὶ πρὸ προσώπου καὶ πρὸ ὀφθαλμῶν ἔχειν διὰ παντὸς τὸν λίθον τὸν ἐκλεκτὸν, τὸν ἀκρογωνιαῖον, τὸν ἔντιμον, τὸν εἰς τὰ θεμέλια Σιὼν, τὸν πολλοῖς ὀφθαλμοῖς ἐφορῶντα τὰ πάντα. Τὸ γὰρ ἑπτὰ, τοῦ τελείως ἔχοντος ἀεί πως ἐστι σημαντικόν. Στεῖρα γοῦν λέγεται τεκεῖν ἑπτά. Ὅτι δὲ μυρίοις ὄμμασιν ἐφορᾷ πάντα καὶ ἐπισκέπτεται τὰ καθ' ἡμᾶς ἡ θεία τε καὶ ἀπόῤῥητος τοῦ

[83] Joan. II, 14-19. [84] Matth. XII, 38. [85] Philipp. II, 7, 8. [86] Malach. IV, 2. [87] Luc. I, 79. [88] Rom. XIII, 12, 13. [89] Ephes. V, 14. [90] Isa. XXVIII, 16; I Petr. II, 6. [91] I Reg. II, 5. [92] Hebr. IV, 12, 13.

Digitized by Google

κριτικὸς ἐνθυμήσεων, καὶ ἐννοιῶν καρδίας, καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ. Ἥντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, » κατὰ τὸ γεγραμμένον.

Ἰδοὺ ἐγὼ ὀρύξω βόθρον, λέγει Κύριος παντοκράτωρ, καὶ ψηλαφήσω πᾶσαν τὴν ἀδικίαν τῆς γῆς ἐκείνης ἐν ἡμέρᾳ μιᾷ.

A *Ecce ego fodiam foveam, dicit Dominus omnipotens, et contrectabo omnem iniquitatem terræ illius in die una.*

ΚΑ'. Ἔδειξεν ὄντως καὶ φῶς καὶ ἀνατολὴν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ ὅτι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου, τουτέστι, τοῖς πεπλανημένοις, ἀνατολῆς ἀνέλαμψε δίκην. Ἀλλ' ἦν ἀναγκαῖον, καὶ τὸ τῆς οἰκονομίας προαναφανῆναι πέρας, τουτέστι, τὸν ὑπὲρ ἡμῶν ἁπάντων θάνατον, ὃν ἑκὼν ἀνέτλη, σταυρῷ παραδοὺς τὸ ἴδιον σῶμα, ἐφ' ᾧ καὶ τὸ τῶν Ἰουδαίων προσκέκρουκεν ἔθνος, καὶ τῆς πρὸς αὐτὸν οἰκειότητος ἀποβέβληται. Ἐπειδὴ γὰρ οὐ συνέντες οἱ δείλαιοι, εἰκότως ἀπώλεσθον τῆς ἐλπίδος, καὶ κακοὶ κακῶς ἀπολώλασι, δειναῖς καὶ ἀφύκτοις ἐναλόντες συμφοραῖς· βόθρῳ δὴ οὖν παρεικάζει τὸν τοῦ Σωτῆρος σταυρόν. Πεπτώκασι γὰρ ὥσπερ εἰς βόθρον οἱ τὸ Δεσποτικὸν ἐκχέαντες αἷμα, καὶ σταυρῷ παραδοῦναι τολμήσαντες τὸν ἀρχηγὸν τῆς ζωῆς. Εἰ δὲ καὶ αὐτὸς ὁ Πατὴρ τὸν βόθρον ὀρωρυχέναι λέγοιτο, σκανδαλιζέσθω μηδείς· ἐννοείτω δὲ μᾶλλον, ὡς ἐκμεμέστωταί πως [τῆς] οἰκονομίας ὁ λόγος. Ὅμοιον γὰρ τοῦτό ἐστι τῷ διὰ Χριστοῦ σοφῶς τε καὶ ἀτρεκῶς εἰρημένῳ· « Εἰς κρῖμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέπωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. » Καίτοι, πῶς οὐκ ἀληθὲς εἰπεῖν, ὡς οὐ ταύτης ἕνεκα παραγέγονε τῆς αἰτίας, ἵνα τυφλοὶ γένωνταί τινες, ἀλλ' ἡ τῶν μὴ νοούντων φαυλότης μονονουχὶ καὶ διαβέβληκε τῆς ἀρίστης οἰκονομίας τὸν τρόπον; Οὐ γὰρ ἤθελον βλέπειν, καίτοι μετὸν αὐτοῖς τοῦ θείου φωτός. Οὕτω κἀνθάδε νοήσεις. Πέπομφε μὲν γὰρ τὸν Υἱὸν ὁ Πατὴρ, « ἵν' ὁ κόσμος σωθῇ δι' αὐτοῦ· » διὰ δὲ τῶν μὴ συνιέντων ἀπόνοιαν, γέγονε βόθρος καὶ πάγη τοῖς σταυρώσασιν ὁ ἀπεσταλμένος. Νενόμισται δὲ τάχα που καὶ ὀρύξαι τὸν βόθρον ὁ πεπομφώς. « Ὀρύξω δὴ οὖν τὸν βόθρον, φησὶ, καὶ ψηλαφήσω πᾶσαν τὴν ἀδικίαν τῆς γῆς ἐκείνης ἐν ἡμέρᾳ μιᾷ. » Τὸ δὲ, Ψηλαφήσω, φησὶν ἀντὶ τοῦ, Ζητήσω καὶ περιεργάσομαι λεπτῶς. Ἀπεκτόνασι μὲν γὰρ τοὺς ἁγίους προφήτας καὶ τοὺς κατὰ καιροὺς ἀπεσταλμένους οἰκέτας. Οὓς μὲν γὰρ ὕβρισαν, οὓς δὲ ἐλιθοβόλησαν, οὓς δὲ ἀπέκτειναν. Ἀλλ' ἦν ἀνεξίκακος ἔτι Θεός· οἰκέται γὰρ ἦσαν καὶ ὁμόδουλοι τοῖς ἀπεκτονόσιν οἱ πεπονθότες. Ἐπεὶ δὲ ἀχαλίνοις ὁρμαῖς εἰς τοῦτο διάττοντες, καὶ πολὺ βλέποντες εἰς ἀνοσιότητα, καὶ εἰς αὐτὸν ἐκτόπως πεπαρῳνήκασι τὸν Υἱὸν, καὶ εἰς τὸν ἐν τῷ σταυρῷ κατιόντα βόθρον, οὐκ ἀφῆκεν αὐτῶν ἀψηλάφητον τὴν ἁμαρτίαν. Ἐζήτησε γὰρ καὶ ποιναῖς ὑπέθηκε τοὺς ἠσεβηκότας, ἁπάσης τῆς Ἰουδαίων γῆς καθορίζων τὸν ὄλεθρον ἐν ἡμέρᾳ μιᾷ, καθ' ἣν ἔφασαν προσάγοντες αὐτὸν τῷ Πιλάτῳ· « Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. » Εἰ γὰρ καὶ μὴ συμβέβηκε παραχρῆμα τὰ ἐκ θείας ὀργῆς, εἰ μὴ ἐζήτηνται δίκας ὑπερθέσεως· δίκα ἀλλ' οὖν ἡ παρὰ Θεοῦ δικαία ψῆφος γέγονεν ἐπ' αὐτοῖς, ὄλεθρον, ὡς ἔφην, τῆς Ἰουδαίων

XXI. Ostendit Dominum nostrum Jesum Christum vere et lumen et orientem esse, et eum in tenebris atque umbra versantibus, **679** hoc est, seductis et errantibus, instar orientis refulsisse[93]. Sed oportebat etiam œconomiæ scopum ac metam prius declarare, hoc est mortem, quam pro nobis omnibus libens sustinuit, corpore suo ad crucem tradito, in quo et Judaica gens peccavit, et ab ejus amicitia depulsa est. Quoniam enim non intellexerunt miseri, spe sua merito sunt orbati, et mali male perierunt, atrocibus et ineluctabilibus calamitatibus circumventi[94]. Cum fovea igitur Salvatoris crucem comparat. Nam quasi in foveam deciderunt, qui Dominicum effudere sanguinem, et auctorem vitæ cruci affixerunt[95]. Quod si et ipse Pater fodisse foveam dicitur, nemo offendatur : sed illud cogitet potius, quam plenus sit sermo divinæ providentiæ ac dispensationis. Simile enim hoc est illi quod per Christum sapienter ac vere dictum est : « In judicium ego in hunc mundum veni, ut qui non vident, videant, et videntes cæci fiant[96]. » Quanquam vere dici potest, ipsum non propter hanc causam advenisse ut quidam cæci fierent, sed non intelligentium nequitia tantum non etiam œconomiæ modum criminata est. Non enim videre voluerunt, tametsi divinæ lucis copia illis fieret. Idem et hic intellige. Misit enim Filium Pater, « Ut mundus salvaretur per ipsum[97]. » Propter vecordiam autem non intelligentium qui missus est, fovea et laqueus crucifixoribus suis factus est. Ac fortasse etiam foveam fodisse existimandus est ipse qui misit. Ait igitur : « Fodiam foveam, et contrectabo omnem iniquitatem terræ illius in die una. » Contrectabo, inquit, pro, quæram, et adamussim indagabo. Prophetas enim sanctos et missos suis quosque temporibus servos occiderunt. Alios enim contumelia affecerunt, alios lapidarunt, alios jugularunt[98]. Verum tolerantiam adhuc adhibebat Deus : servi enim erant et conservi interficientium qui hæc patiebantur. Quoniam vero effrenata audacia eo prosiluerunt, et tantam impietatem consciverunt ut in ipsum Filium atrociter debaccharentur, et in foveam crucis lapsi sunt, peccatum eorum incontrectatum non præterivit. Quæsivit enim et pœnis subjecit impios, toti Judæorum regioni pestem et exitium decernens die una qua clamabant, Pilato eum offerentes : « Sanguis ejus super nos et super filios nostros[99]. » Etsi enim non statim iram divinam supplicium est consecutum, etsi non citra procrastinationem pœnæ sunt expetitæ, tamen justa Dei **680** sententia in eos lata est, per Judæam,

[93] Luc. I, 78. [94] Matth. XXI, 41. [95] Act. III, 15. [96] Joan. IX, 39. [97] Joan. III, 17. [98] Matth. XXI, 35. [99] Matth. XXVII, 25.

Digitized by Google

ut memoravi, diffusa pernicies. Itaque abductus est quidem Christus ad crucem, sequentibus feminis lamentantibus et plorantibus, ad quas conversus ait : « Filiæ Jerusalem, nolite flere super me, sed super vos ipsas flete, et super filios vestros [1]. » Traditi sunt enim in exitium et cædem, et evenit illis quod est apud Isaiam : « Terra vestra deserta, civitates vestræ succensæ igni, regionem vestram coram vobis alieni devorant ipsam, et desolata est, subversa a populis alienis [2]. »

A καταχέουσα γῆς. Καὶ γοῦν ἀπεκομίζετο μὲν ὁ Χριστὸς ἐπὶ τὸν σταυρὸν, εἵποντο δὲ καὶ γυναῖκες θρηνοῦσαί τε καὶ κλαίουσαι· εἶτα πρὸς ταύτας ἔφασκεν ἐπιστραφείς· « Θυγατέρες Ἱερουσαλὴμ, μὴ κλαίετε ἐπ' ἐμοὶ, πλὴν ἐφ' ἑαυταῖς κλαίετε καὶ ἐπὶ τοῖς τέκνοις ὑμῶν. » Παραδέδονται γὰρ εἰς ὄλεθρον καὶ σφαγὴν, καὶ συμβέβηκεν αὐτοῖς τὰ διὰ φωνῆς Ἡσαΐου· « Ἡ γῆ ὑμῶν ἔρημος, αἱ πόλεις ὑμῶν πυρίκαυστοι, τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσιν αὐτὴν, καὶ ἠρήμωται κατεστραμμένη ὑπὸ λαῶν ἀλλοτρίων. »

VERS. 10. *In die illa, dicit Dominus omnipotens, convocate unusquisque proximum suum subter vitem, et subter ficum suam.*

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος παντοκράτωρ, συγκαλέσατε ἕκαστος τὸν πλησίον αὐτοῦ ὑποκάτω ἀμπέλου καὶ ὑποκάτω συκῆς αὐτοῦ.

XXII. Malis omnibus obrutum iri, peccato eorum contrectato, qui quasi in foveam deciderint, propter Christum ab se in crucem actum, aperte prædixit. Credentibus autem et diligentibus eum id non damnosum, imo lætitiæ et jucundæ cujusdam delectationis materiam futurum utiliter prænuntiat. Attestatur hæc etiam justus Simeon. Ubi enim divinum infantem conspexit, ipsumque in ulnas accepit, sic prophetavit : « Ecce positus est hic in ruinam et in resurrectionem multorum, et in signum cui contradicetur [3]. » Ceciderunt enim, qui sanguinem justum super capita sua hauserunt, velut projecti, et jacentes, et pedibus diabolicis substrati : erecti sunt qui ex gentibus ad fidem venerunt. Et ipse Christus alicubi sanctis discipulis mortem in cruce sibi sustinendam prædicit. Quos ut tristes vidit, consolans addidit : « Mulier quando parit, tristitiam habet, quia venit hora ejus. Postquam autem peperit, gaudio gaudet, quia natus est homo in mundum. Et vos nunc quidem tristitiam habetis, iterum autem videbitis me, et gaudebit cor vestrum [4]. » Sic et excitatus a mortuis flentes in horto mulieres salutando allocutus est [5]. » Convenit porro etiam quemlibet eum diligentium super cruce et resurrectione dicere, « Convertisti planctum meum in gaudium mihi; conscidisti saccum meum, et circumdedisti me lætitia [6]. » Quomodo enim non evanuit luctus, et ablatæ sunt omnes lacrymæ ab omni facie, ut dicit propheta [7], Christo in vitam revocato, **681** et imperio mortis ab eo destructo ? Vita enim est natura sua [8], tanquam Deus, quamvis in carne apparuit. Itaque *die illa*, ait, hoc est illo tempore quo ex mortuis revixerit et ceciderint crucifixores, « convocate unusquisque proximum suum subter vitem et ficum. » Ac si quis volet talem sensum simplicem et obvium admittere, voces has spiritualium gaudiorum symbolum esse affirmabit. Præterea et illud non sine improbabilitate dici posse reor, ficum et vitem videri appellatam Ecclesiam, cujus item divinus Cantor meminit, supernum ac cœlestem sponsum, Christum scilicet, per ambagem compellans : « Uxor tua sicut vitis

B

C

D

ΚΒ'. Ὅτι μὲν ἐν παντὶ γενήσονται κακῷ, ψηλαφωμένης αὐτῶν τῆς ἁμαρτίας, οἱ καθάπερ εἰς βόθρον κατενηνεγμένοι, διά γε τὸ σταυρῶσαι Χριστὸν, προμεμήνυκεν ἐναργῶς. Ὅτι δὲ τοῖς πιστεύουσι, καὶ ἠγαπηκόσιν αὐτὸν, οὐκ ἀκερδὲς ἔσται τὸ χρῆμα, μᾶλλον δὲ καὶ πρὸς εὐφροσύνης καὶ τέρψεων ἐπιτερπῶν, προαγορεύει χρησίμως. Μαρτυρήσει δὲ τούτοις καὶ ὁ δίκαιος Συμεών. Ὅτε γὰρ τὸ θεῖον τεθέαται βρέφος, καὶ εἰς ἀγκάλας ἐδέξατο, προεφήτευσε, λέγων· « Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν, καὶ εἰς σημεῖον ἀντιλεγόμενον. » Πεπτώκασι γὰρ οἱ τὸ δίκαιον αἷμα ταῖς σφῶν αὐτῶν ἐπαντλήσαντες κεφαλαῖς, ὥσπερ ἐῤῥιμμένοι, καὶ κείμενοι, καὶ ὑπὸ πόδας ὄντες διαβολικούς· ὠρθώθησαν δὲ οἱ ἐξ ἐθνῶν. Καὶ αὐτὸς δέ που Χριστὸς, προανεφώνει μὲν τοῖς ἁγίοις μαθηταῖς τὸ ἐπὶ τῷ σταυρῷ πάθος· ἐπειδὴ δὲ γεγονότας ἐν κατηφείαις τεθέαται, παρεκάλει λέγων· « Ἡ γυνὴ ὅταν τίκτῃ, λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς. Ὅταν δὲ τέκῃ, χαρᾷ χαίρει, ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον. Καὶ ὑμεῖς νῦν μὲν λύπην ἔχετε, ὕστερον δὲ ὄψεσθέ με, καὶ χαρήσεται ὑμῶν ἡ καρδία. » Οὕτω καὶ ἐγηγερμένος ἐκ νεκρῶν, ταῖς ἐν τῷ κήπῳ κλαιούσαις γυναιξὶ προσεφώνει τὸ, Χαίρετε. Πρέποι δ' ἂν, καὶ ἕκαστον τῶν ἀγαπώντων αὐτὸν ἐπί γε τῷ σταυρῷ καὶ τῇ ἀναστάσει λέγειν· « Ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοὶ, διέῤῥηξας τὸν σάκκον μου, καὶ περιέζωσάς με εὐφροσύνην. » Πῶς γὰρ οὐκ οἴχεται μὲν ἐκ ποδῶν τὸ πενθεῖν, ἀφῄρηται δὲ πᾶν δάκρυον ἀπὸ προσώπου, κατὰ τὴν τοῦ προφήτου φωνὴν, ἐγηγερμένου Χριστοῦ, καὶ [τὸ] τοῦ θανάτου καταλύσαντος κράτος; Ζωὴ γάρ ἐστι κατὰ φύσιν ὡς Θεὸς, κἂν εἰ πέφηνεν ἐν σαρκί. Οὐκοῦν *τῇ ἡμέρᾳ ἐκείνῃ*, φησὶ, τουτέστι, κατ' ἐκεῖνο καιροῦ, καθ' ὃν ἀναβιῴη ἐκ νεκρῶν, πεπτωκότων τῶν ἐσταυρωκότων, συγκαλέσατε ἕκαστος τὸν πλησίον αὐτοῦ ὑποκάτω ἀμπέλου, καὶ ὑποκάτω συκῆς. Καὶ εἰ μὲν βούλοιτό τις ἁπλοῦν καὶ πρόχειρον τὸν τοιοῦτον εἰσδέχεσθαι νοῦν, τέρψεων εἶναι τῶν πνευματικῶν σύμβολον διαβεβαιώσεται τὰ ὠνομασμένα. Οὐκ ἀπίθανον δὲ εἶναί φημι πρὸς τούτῳ κἀκεῖνο εἰπεῖν, ὅτι συκῆν καὶ ἄμπελον ἔοικεν ἀποκαλεῖν τὴν Ἐκκλησίαν, ἧς καὶ ὁ θεσπέσιος Μελ-

[1] Luc. XXIII, 28. [2] Isa. I, 7. [3] Luc. II, 34. [4] Joan. XVI, 21, 22. [5] Joan. XX, 15-17. [6] Psal. XXIX, 12. [7] Isa. XXV, 8. [8] Joan. XIV, 6.

Digitized by Google

ψῦλς διαμένηται, λέγων αἰνιγματωδῶς πρὸς τὸν ἄνωθεν καὶ ἐξ οὐρανοῦ νυμφίον, τουτέστι, Χριστόν· « Ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα, ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου. » Ἔφη δέ που καὶ αὐτὸς ὁ τῶν ὅλων Θεός· « Αἱ ἄμπελοι κυπρίζουσιν, ἔδωκαν ὀσμὴν, ἡ συκῆ ἐξήνεγκεν ὀλύνθους· αὐτῆς. » Ὡς γὰρ ἤδη τῶν Ἐκκλησιῶν ἀρξαμένων ἐν κόσμῳ διὰ τῆς εἰς αὐτὸν εὐωδιάζειν πίστεως, τὰς ἀμπέλους ἔφη κυπρίζειν, καὶ μὴν καὶ ἐκφαίνεσθαι τοὺς ὀλύνθους· νοηθεῖεν ἂν καὶ οὗτοι, τῶν ἄρτι πεπιστευκότων ἡ οὔπω μὲν πέπειρος καὶ γλυκεῖα πληθὺς, ἐσομένη δὲ κατὰ βραχὺ, καὶ ταῖς εἰς τὸ ἄμεινον ἐπιδόσεσιν ἰοῦσα πρὸς τοῦτο. Ἀδρυνθέντες γὰρ, καὶ εἰς ἄνδρα τέλειον ἀναβεβηκότες τοῦ πληρώματος τοῦ Χριστοῦ, γλυκεῖς οἷάπερ ἐσόμεθα καρποὶ τῷ Θεῷ, καθάπερ μητρί τινι τῇ Ἐκκλησίᾳ προσπεφυκότες. Οὐκοῦν διά τε συκῆς καὶ ἀμπέλου νοουμένων τῶν Ἐκκλησιῶν, ὑπ' αὐταῖς ἐσόμεθα, καὶ ἐν αὐταῖς καταλύσομεν, προτροπάδην ἀλλήλοις ἐκεῖνο λέγοντες τὸ προφητικόν· « Δεῦτε, ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ. » Εἰ δὲ δὴ γένοιτο τούτου τυχεῖν, ἐπαίνου παντὸς ἀξιώσομεν τοὺς εἰς τοῦτο κεκληκότας, πάλιν ἐκεῖνο λέγοντες· « Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι· Εἰς οἶκον Κυρίου πορευσόμεθα. » Τέρψεως γὰρ ἡμῖν τῆς ἀνωτάτω τὸ χρῆμα καρπὸς νοοῖτ' ἂν εἰκότως. Τοιγάρτοι πάλιν ἐροῦμεν κατὰ τὸν Ψαλμῳδόν· « Μίαν ἠτησάμην παρὰ Κυρίου, ταύτην ζητήσω, τοῦ κατοικεῖν με ἐν οἴκῳ Κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, τοῦ θεωρεῖν με τὴν τερπνότητα Κυρίου, καὶ ἐπισκέπτεσθαι τὸν ἅγιον αὐτοῦ. »

A abundans, in lateribus domus tuæ [9]. » Ait et ipse universorum Deus quodam loco : « Vineæ florentes dederunt odorem suum, et ficus protulit grossos suos [10]. » Ut enim jam, Ecclesiis in mundo fide in ipsum inchoatis, vineas suavem spirare odorem, ac florere atque insuper grossos parere dicit : quorum nomine nuper fide initiatorum nondum matura et dulcis multitudo, futura autem paulatim et incrementis ad meliora huc progrediens intelligi potest. Adepti enim magnitudinem, « et in virum perfectum plenitudinis Christi [11] » evecti, dulces quasi fructus erimus Deo, Ecclesiæ velut matri agnati. Quapropter per ficum et vitem intellectis Ecclesiis, sub ipsis erimus, et in ipsis diversabimur, cohortandoque inter nos dicemus illud propheticum : B « Venite, ascendamus ad montem Domini, et ad domum Dei Jacob, et annuntiabit nobis viam suam, et ambulabimus in ea [12]. » Quod si assecuti fuerimus, omnimodis prædicabimus qui nos ad hoc vocarunt, dicemusque : « Lætatus sum in his qui dixerunt mihi : In domum Domini ibimus [13]. » Summa enim lætitia fructus noster intelligi jure queat. Proinde rursus illud Psalmographi exclamabimus : « Unam petivi a Domino, hanc requiram, ut inhabitem in domo Domini omnibus diebus vitæ meæ : ut videam voluptatem Domini, et visitem templum sanctum ejus [14]. »

C

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.

ΚΕΦΑΛ. Δ'.

Καὶ ἐπέστρεψεν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ, καὶ ἐξήγειρέ με, ὃν τρόπον, ὅταν ἐξεγερθῇ ἄνθρωπος ἐξ ὕπνου αὐτοῦ, καὶ εἶπε πρός με· Τί σὺ βλέπεις; Καὶ εἶπα· Ἑώρακα, καὶ ἰδοὺ λυχνία χρυσῆ ὅλη, καὶ τὸ λαμπάδιον ἐπάνω αὐτῆς, καὶ ἑπτὰ λύχνοι ἐπάνω αὐτῆς, καὶ ἑπτὰ ἐπαρυστρίδες τοῖς λύχνοις τοῖς ἐπάνω αὐτῆς, καὶ δύο ἐλαῖαι ἐπάνω αὐτῆς, μία ἐκ δεξιῶν τοῦ λαμπαδίου αὐτῆς, καὶ μία ἐξ εὐωνύμων.

TOMUS SECUNDUS.

682 CAP. IV.

VERS. 1-3. *Et reversus est angelus qui loquebatur in me, et suscitavit me sicut cum suscitatur homo de somno suo, et dixit ad me : Quid tu vides? Et dixi : Vidi, et ecce candelabrum aureum totum, et lampas super ipsum, et septem lucernæ super illud, et septem infusoria lucernis super ipsum; et duæ olivæ super illud, una a dextris lampadis ejus, et una a sinistris.*

ΚΓ'. Τὸ, Ἐπέστρεψεν, ἐν τούτοις οὐχ ὡς ἐκ τόπου νοήσομεν (εἴθισται γὰρ κομιδῇ), νομιοῦμεν δὲ μᾶλλον, τὴν ὡς ἐξ ὁράσεως τῆς ἐξ ἀμφοῖν ἐφ' ἑτέραν εὐθὺς καὶ γείτονα μεταφοίτησιν, δῆλον δὲ ὅτι πνευματικήν. Ἐπειδὴ δὲ νήψεως ἀκράτου χρεία καὶ τῆς ὑπὲρ νοῦν τὸν ἀνθρώπινον, ἔν γε δὴ μάλιστα τούτοις λεπτὴν ἐνεστᾶσι ἐπιγρήγορσιν τῷ προφήτῃ Θεὸς, μαθητεύοντος ἀγγέλου τοῦ λαλοῦντος ἐν αὐτῷ, ὡς δοκεῖν ἐξ ὕπνου διεγερθῆναι. Τοιαύτη γάρ πώς ἐστι τῆς ἐν ἡμῖν διανοίας ἡ κατάστασις, καὶ πολὺ δὴ μείων παρὰ τὴν οὖσαν ἐν τοῖς ἁγίοις ἀγγέλοις, ὥστε φαίη τις ἂν ἐγρήγορσιν μὲν τὰ ἐκείνων, ἐν ὕπνῳ δὲ ὥσπερ τὰ καθ' ἡμᾶς. Ἐπειδὴ δὲ ὁ θεσπέσιος ἄγγελος γνώμην τε καὶ νοῦν πρὸς τοῦτο δὴ παρ-

XXIII. Reversum esse hic non ut ex loco accipimus, id enim perquam ineptum esset : statuemus autem potius ex ambabus visionibus ad aliam statim et vicinam spiritualem utique transiri. Quoniam vero in his maxime singulari vigilantia opus est, et majore quam pro captu humano, acrem vigiliam immittit prophetæ Deus, docente angelo qui in ipso loquebatur, ut se e somno putaret excitatum. Talis est enim animi nostri conditio, multoque inferior quam in sanctis angelis, ut asseverare possit quispiam illos esse in perpetua vigilia, nos quasi in perpetuo somno. Postquam autem divinus angelus voluntatem, et mentem quoque eo inclinatam vidit, ut quod fiebat subtiliter satis

[9] Psal. cxxvii, 3. [10] Cant. II, 13. [11] Ephes. IV, 13. [12] Isa. II, 3. [13] Psal. cxxi, 1. [14] Psal. xxvi, 4.

Digitized by Google

perspicere posset, percontatur quidnam putet esse quæ monstrabantur. Tum propheta rursum certissimam visionis commemorationem inducit, dicens se vidisse candelabrum, totum aureum per totum, ac super ipsum lampadem; quin et lucernas septem, et eodem numero infusoria, olivas duas, unam a dextris lampadis, alteram a sinistris. Et ista quidem ostensa liquidius forsitan explanabunt quæ dicta sunt. Necesse est tamen visionis hujus intima curiosius indagantes, significatis attente considerandis diligentissime incumbere, et ea cum jam prædictis scite copulare. Ait igitur universorum Deus, se foveam fossurum, et contrectaturum omnem iniquitatem terræ illius in die una. Hortatur etiam alios, ut inter se sub vitem et ficum convocent. Nos scopum prophetiæ aperientes, dicebamus incredulis et agrestibus contemptoribus salutis per Christum partæ quamdam foveam exitialem esse fossam, **683** contumeliam scilicet crucis, et scelus cruentæ cædis Christi. Perierunt enim miseri, qui Dominum impie necaverunt. Iis autem qui dilexerunt adventum ejus delectationem, et delicias, et quid non tandem hujus generis contigisse? Fuerunt enim in Ecclesiis velut sub ficubus et vitibus. Sed ecce alio item modo propheta mysterium vidit. Aureum quippe candelabrum rursus Ecclesiam interpretamur, utpote honorabilem mundo, tanquam virtutibus illustrissimam ac splendidissimam, ut sublime admodum elevatam veræ cognitionis divinæ dogmatis, super qua lampas est, nempe Christus, de quo Deus et Pater: « Propter Sion non tacebo, et propter Jerusalem non quiescam, donec egrediatur ut lumen justitia mea, et salutare meum ut lampas accendetur [15]. » Hanc lampadem universum orbem illuminantem super candelabrum Deus et Pater posuit: « Ut omnes qui ingrediuntur lumen videant, et luceat omnibus qui in domo sunt [16]. » Septem autem sunt lucernæ, non habentes lumen proprium, sed inductum et externum, et olei affusione nutritum, quæ et ipsæ sanctos apostolos referunt, et evangelistas insuper, et qui singulis temporibus exstiterunt Ecclesiarum magistros, qui illuminationem a Christo veluti quosdam lychnos in animis et cordibus suis susceperunt, cui Spiritus sanctus alimenta suppeditavit, qui domesticis lumen præbent et credentes una cum lampade illuminant. Observa præterea, septem lucernis infusoria adfuisse, per quæ illis oleum infunderetur, lampadi non adfuisse. Quid ita? est enim lumen verum Filius, non externum, neque inductum, nec ab alio datum, cui facultas illuminandi contigerit, sed ipse est secundum naturam lumen: quod autem in sanctis est, ab ipso communicatum est. Testificatur id sapiens Joannes: « De plenitudine ejus, inquit, omnes accepimus [17]. » Ipse autem Filius verum lumen claritatis suæ participes factos mundi lumen appellabat. Ait etenim sanctis apo-

ἐνηνεγμένον τεθέαται, ὥστε καὶ ἀποχρώντως ἔχειν συνιέναι λεπτῶς τὴν ὅρασιν, διεπυνθάνετο λέγων, τί ἂν οἷοιτο ὑπάρχειν τὰ δεδειγμένα. Ἁπλανεστάτην γε μὴν ὁ προφήτης τῆς ὁράσεως τὴν ἀφήγησιν ἐποιεῖτο πάλιν, λυχνίαν ἐωρακέναι λέγων ὅλην δι' ὅλου χρυσῆν· ἐπάνω δὲ αὐτῆς τὸ λαμπάδιον, καὶ μὴν καὶ λύχνους ἑπτὰ, καὶ ἰσαρίθμους αὐτοῖς τὰς ἐπαρυστρίδας, ἐλαίας δύο, μίαν μὲν ἐκ δεξιῶν τοῦ λαμπαδίου, θατέραν γε μὴν κειμένην ἐξ εὐωνύμων. Καὶ ἡ μὲν ἐμφανεστέρα τῶν δεδειγμένων ἀπόδοσις εἴη ἂν οὐχ ἑτέρα παρὰ ταῦτα. Χρὴ δὲ τοὺς τῆς ἐσωτάτω τὸν νοῦν ἐνιέντας περιεργότερον, περιαθρεῖν εὖ μάλα πειρᾶσθαι τὰ δηλούμενα, καὶ συνδεῖν ἀστείως τοῖς ἤδη προειρημένοις καὶ τάδε. Ἔφη τοίνυν ὁ τῶν ὅλων Θεὸς, ὅτι καὶ βόθρον ὀρύξει, καὶ ψηλαφήσει πᾶσαν τὴν ἀδικίαν τῆς γῆς ἐκείνης ἐν ἡμέρᾳ μιᾷ. Προτρέπει δὲ καὶ ἑτέροις συγκαλεῖν ἀλλήλους ὑποκάτω ἀμπέλου καὶ ὑποκάτω συκῆς. Ἡμεῖς δὲ σαφῆ καθιστάντες τῆς προφητείας τὸν σκοπὸν, ἐλέγομεν ὅτι τοῖς μὲν ἀπειθεῖν ᾑρημένοις, καὶ ἀτιμάζουσιν ἀμαθῶς τὴν διὰ Χριστοῦ σωτηρίαν, βόθρος οἷά τις ὀρώρυκται κατακομίζων εἰς ὄλεθρον, ἡ ἐπὶ τῷ σταυρῷ παροινία, καὶ τῆς κατὰ Χριστοῦ μιαιφονίας τὰ ἐγκλήματα. Ἀπολώλασι γὰρ οἱ δείλαιοι Κυριοκτονήσαντες ἀνοσίως. Τοῖς γε μὴν ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ τέρψις τε καὶ τρυφὴ, καὶ τί γὰρ οὐχὶ τῶν τοιούτων ὑπῆρξε; Γεγόνασι γὰρ ὡς ὑπὸ συκαῖς καὶ ἀμπέλοις ταῖς Ἐκκλησίαις. Ἀλλ' ἰδοὺ καὶ καθ' ἕτερον τρόπον τοῦ μυστηρίου τὴν δύναμιν ὁ προφήτης τεθέαται. Τὴν γάρ τοι χρυσῆν λυχνίαν φαμὲν εἶναι πάλιν τὴν Ἐκκλησίαν, ὡς τετιμημένην ἐν κόσμῳ, διαφανεστάτην ἐν ἀρεταῖς, ὡς ὑψοῦ δὴ λίαν ἠρμένην τοῖς τῆς ἀληθινῆς θεογνωσίας δόγμασιν, ἐφ' ᾗ τὸ λαμπάδιον, τουτέστι, Χριστὸς, περὶ οὗ φησιν ὁ Θεὸς καὶ Πατήρ· « Διὰ Σιὼν οὐ σιωπήσομαι, καὶ διὰ Ἱερουσαλὴμ οὐκ ἀνήσω, ἕως ἂν ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη μου, τὸ δὲ σωτήριόν μου ὡς λαμπὰς καυθήσεται. » Τοῦτο γὰρ λαμπάδιον τὸ πᾶσαν καταφωτίζων τὴν ὑπ' οὐρανὸν, ἐπὶ τῇ λυχνίᾳ τέθεικεν ὁ Θεὸς καὶ Πατὴρ, « Ἵνα πάντες οἱ εἰσπορευόμενοι, τὸ φῶς βλέπωσι, καὶ λάμπῃ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. » Ἑπτὰ δὲ οἱ λύχνοι, φῶς οὐκ ἔχοντες ἴδιον, ἀλλ' ἐπακτὸν, καὶ ἔξωθεν, καὶ ταῖς δι' ἐλαίου χορηγίαις τρεφόμενον· σημαίνουσι δὲ καὶ αὐτοὶ τοὺς ἁγίους ἀποστόλους, καὶ μέντοι καὶ εὐαγγελιστὰς, καὶ τοὺς κατὰ καιρὸν τῶν Ἐκκλησιῶν διδασκάλους, δεχομένους μὲν οἷά τινας λύχνους εἰς νοῦν καὶ καρδίαν τὸν παρὰ Χριστοῦ φωτισμὸν, καὶ ταῖς τοῦ Πνεύματος χορηγίαις τρεφόμενον ἔχοντας, ἔντας γε μὴν τοῖς ἐν τῇ οἰκίᾳ τὸ φῶς, καὶ τῷ λαμπαδίῳ συγκαταυγάζοντας τοὺς πιστευκότας. Ἐπιτήρει δὲ, ὅτι τοῖς μὲν ἑπτὰ λύχνοις ἐπαρυστρίδες ἦσαν, δι' ὧν αὐτοῖς εἰσεχεῖτο τὸ ἔλαιον, ἐπαρυστρίδα γε μὴν τὸ λαμπάδιον οὐκ ἔχει. Διὰ ποίαν αἰτίαν; Φῶς μὲν γάρ ἐστι τὸ ἀληθινὸν ὁ Υἱὸς, οὐκ ἔξωθεν, οὐδ' ἐπακτὸν, οὔτε μὴν παρ' ἑτέρου δοτὸν τὸ καταφωτίζειν δύνασθαι λαχών· ἀλλ' αὐτὸς κατὰ φύσιν ὑπάρχων φῶς· μεθεκτόν γε μὴν ἐν

[15] Isa. LXII, 1. [16] Luc. XI, 33 [17] Joan. I, 16.

Digitized by Google

τοῖς ἁγίοις καὶ παρ' αὐτοῦ. Καὶ πληροφορήσει λέγων ὁ σοφὸς Ἰωάννης, ὅτι « Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν. » Φῶς δὲ ὑπάρχων τὸ ἀληθινὸν ὁ Υἱός, φῶς ὠνόμαζε τοῦ κόσμου τοὺς τῆς παρ' αὐτοῦ λαμπρότητος ἐν μεθέξει γεγενημένους. Ἔφη γὰρ τοῖς ἁγίοις ἀποστόλοις· « Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. » Αἱ δύο γε μὴν ἐλαῖαι, μία ἐκ δεξιῶν, καὶ μία ἐξ εὐωνύμων τοῦ λαμπαδίου κείμεναι, τοὺς δύο λαοὺς ὑποσημαίνουσι, μονονουχὶ καὶ ἐν κύκλῳ περιεστῶτας Χριστόν. Τετίμηνται γὰρ ὡς ἠλεημένοι τῇ τοιᾷδε στάσει. Καὶ οἱ μὲν ἦσαν ἐκ τῆς καλλιελαίου, τουτέστι, τῆς Ἰουδαίων Συναγωγῆς· οἱ δὲ τῆς ἀγρίου μὲν ἐξέφυσαν, τουτέστι, τῆς ἐξ ἐθνῶν πληθύος. Πλὴν ἐγκεντρισθέντες εἰς τὴν καλλιέλαιον, κοινωνοὶ γεγόνασι τῆς πιότητος τῆς ῥίζης, κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνήν. Ἄθρει δὲ ὅπως ἐπὶ τὴν λυχνίαν ὁμοῦ τῷ λαμπαδίῳ καὶ οἱ λύχνοι, καὶ αἱ δύο ἐλαῖαι. Σύνεστι γὰρ ἡμῖν ἐν Ἐκκλησίᾳ Χριστὸς, καὶ τῶν πεπιστευκότων ἡ ἠλεημένη πληθὺς καταλάμπεται μὲν τῷ παρ' αὐτοῦ φωτὶ, φωτίζεται δὲ καὶ διὰ λύχνων, οἳ μεθεκτὸν ἔχουσι καὶ παρ' αὐτοῦ τὸ φῶς. Ἰστέον δὲ, ὅτι καὶ ἐν τῇ κατασκευῇ τῆς ἁγίας σκηνῆς ἔκειτο μὲν εἰς τὰ Ἅγια τῶν ἁγίων ἑπτὰ λύχνους ἔχουσα λυχνία χρυσῆ. Προσέταττε δὲ Θεὸς τῷ Ἀαρὼν, λέγων, ὅτι « Κατὰ πρόσωπον τῆς λυχνίας ἐκ τοῦ νοτίου μέρους φανοῦσιν οἱ ἑπτὰ λύχνοι. » Οὐ γὰρ τοῖς κατόπιν αὐτῆς ὁ διὰ τῶν λύχνων δέδοται φωτισμὸς, ἀλλὰ τοῖς ὡς ἐν προσώπῳ Χριστοῦ διὰ τῆς πίστεως ἐνηνεγμένοις. Καὶ γοῦν Ἰουδαῖοι κατόπιν ὥσπερ αὐτοῦ καὶ εἰς νῶτα κείμενοι, κατεσκοτισμένον ἔχουσι τὸν νοῦν. Οἱ δὲ ἐξ ἐθνῶν πιστεύσαντες, εἰς πρόσωπον ἔχουσι τοὺς λύχνους· ἐλεύθερος γὰρ αὐτοῖς καὶ ἀπαραπόδιστος παντελῶς ὁ διὰ τῶν ἁγίων γέγονε φωτισμός. Ἐκαίετο δὲ καὶ λύχνος εἷς ἐν τῇ πρώτῃ σκηνῇ· τῆς εὐαγγελικῆς παιδεύσεως κατόπιν ἰοῦσαν τὴν νομικὴν τοῦ πράγματος ἡμῖν κατασημαίνοντος. Θέα γὰρ ὅπως, οἷς ἐν μὲν τῇ πρώτῃ σκηνῇ εἷς ἐκαίετο λύχνος, τοῖς γε μὴν εἰς τὰ Ἅγια τῶν ἁγίων ἑπτὰ λύχνοι καὶ τὸ λαμπάδιον ἀμφιλαφεστάτην ὥσπερ ἐνίεσαν τὴν αὐγήν.

A stolis : « Vos estis lux mundi [18]. » Jam duæ olivæ, una a dextris, et altera a sinistris lampadis positæ, duos populos insinuant, quasi in orbem Christum circumstantes. Nam ut misericordiam adepti, statione hujusmodi dignati sunt. Et illi quidem erant ex bona oliva, nimirum ex Synagoga Judæorum : hi ex oleastro geniti, hoc est ex gentium multitudine [19]. **684** Veruntamen inserti in bonam olivam, pinguedinem radicis attraxerunt, ut scribit beatus Paulus [20]. Perpende jam quomodo super candelabrum simul cum lampade etiam lucernæ et duæ olivæ sunt. Est enim nobiscum in Ecclesia Christus, et credentium multitudo misericordiam consecuta, ejus lumine illuminatur ; illustratur præterea per lucernas, quæ ab ipso similiter communicatum lumen continent. Ne ignores porro, etiam in structura sancti tabernaculi positum fuisse in Sancta sanctorum candelabrum aureum, septem lucernas sustinens. Mandavit enim Deus Aaron in hunc modum : « Versus faciem candelabri ex parte australi lucebunt septem lucernæ [21]. » Non enim iis qui a tergo candelabri sunt, illuminatio per lucernas data est, sed iis qui quasi faciem Christi per fidem respiciunt [22]. Quare Judæi quasi r tro ipsum, et in tergo positi, tenebris obscuratum habent cor. Qui autem ex gentibus crediderunt, in facie habent lucernas, quibus libera et sine ullo impedimento per sancta contigit illuminatio. Ardebat autem et lucerna una in aditu tabernaculi : qua re significabatur legalem institutionem evangelicæ a tergo ire. Vide enim quo pacto, quibus in principio tabernaculi una lucerna ardeat, in Sancta sanctorum ingressos septem lucernæ et lampas quasi largissimo splendore perfundebant.

Καὶ ἐπηρώτησα, καὶ εἶπα πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοὶ, λέγων· Τί ἐστι ταῦτα, Κύριε ; Καὶ ἀπεκρίθη ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ, καὶ εἶπε πρός με, λέγων· Οὐ γινώσκεις τί ἐστι ταῦτα ; Καὶ εἶπα· Οὐχὶ, Κύριε. Καὶ ἀπεκρίθη, καὶ εἶπε πρός με, λέγων· Οὗτος ὁ λόγος Κυρίου πρὸς Ζοροβάβελ, λέγων· Οὐκ ἐν δυνάμει μεγάλῃ, οὐδὲ ἐν ἰσχύϊ, ἀλλὰ ἐν Πνεύματί μου, λέγει Κύριος παντοκράτωρ.

Vers. 4-6. *Et interrogavi, et dixi ad angelum qui loquebatur in me, dicens : Quid sunt hæc, Domine ? Et respondit angelus qui loquebatur in me, et dixit ad me, dicens : Non cognoscis quid sunt hæc ? Et dixi : Non, Domine. Et respondit, et dixit ad me, dicens : Iste sermo Domini ad Zorobabel, dicens : Non in fortitudine magna, neque in robore, sed in Spiritu meo, dicit Dominus omnipotens.*

ΚΔ'. Ὅτι καὶ ἀμείνων καὶ ἱερώτερος τῆς ἐν ἡμῖν διανοίας ὁ τῶν νοητῶν δυνάμεων νοῦς, καὶ ἐν ἀσυγκρίτοις ὑπεροχαῖς τὰ καθ' ἡμᾶς ὑπερκείμενος, καὶ ἐντεῦθεν ἂν μάθοις. Ἐπέστρεψε μὲν γὰρ ὁ ἄγγελος, ὡς ὁ προφήτης φησὶ, καὶ ἐξήγειρεν αὐτὸν, « ὃν τρόπον ὅταν ἐξεγερθῇ ἄνθρωπος ἐκ τοῦ ὕπνου αὐτοῦ. » Εἰ γὰρ δή συγκρίνειν ἔλοιτό τις ὡς πρός γε τὸν ταῖς ἄνω δυνάμεσιν ἑνόντα νοῦν, τῆς ἀνθρωπίνης διανοίας τὸ μέτρον, μειονεκτούμενον εὑρήσει τοσοῦτον, ὅσον ἂν νοοῖτο κατόπιν ἐλθεῖν καὶ τῆς τῶν νηφόντων διανοίας τὰ ἐν τοῖς ὕπνοις ἀδρανῆ φαν-

XXIV. Virtutum quas animo videmus, mentem nostra mente præstantiorem, et sanctiorem, nostrisque rebus incomparabilibus excellentiis superiorem esse, etiam hinc discas. Reversus est enim angelus, ut ait propheta, et excitavit eum, « velut cum excitatur homo de somno suo. » Nam si quis vim supernarum virtutum cum intelligentia humana comparare voluerit, hanc illa tanto inferiorem perspiciet, quantum scimus vigilantium cogitationibus cedere dormientium visa, sive **685** somnia. Excitatus est igitur propheta ad vigiliam : nihilomi-

[18] Matth. v, 14. [19] Rom. xi, 17 seqq. [20] Ibid. 17. [21] Exod. xxv, 37 ; Num. viii, 2. [22] Psal. lxxxiii, 10.

Digitized by Google

nus etiam sic tardus est ad percipienda quæ ostenduntur. Ideirco justissime percontatur, et ea angelo declarante cognoscere petit. Angelus eum nescire illorum significationem propemodum obstupescit, et num vere nesciat interrogat. Propheta ignorantiam aperte confitente et tarditatem suam non erubescente, obscuritatem visi deinceps enucleat; et, tanquam ex imagine manifesta et in oculis incurrente, scopum in ea latentem explanat. Inquit enim : « Hic est sermo Domini ad Zorobabel, dicens : Non in fortitudine magna, nec in robore, sed in Spiritu meo, dicit Dominus omnipotens. » Perinde fortasse ac si dicat, omnia hæc visa, aliquando finem suum assecutura, non humana virtute administrata, nec in robore corporali, sed in virtute Spiritus sancti, et ut ex divino nutu. Factus est siquidem homo nostri similis Unigenitus : verumtamen non bellavit corporali modo, ut Ecclesiam quasi quoddam candelabrum mundo erigeret : neque sumptis armis sensum tangentibus, et cohortibus bellicosis duos populos sibi adjunxit, aut duas lucernas animo aspectabiles candelabro imposuit, sed in robore Spiritus sancti creavit in Ecclesiis primum apostolos, deinde prophetas, et evangelistas, et reliquum omnem sanctorum cœtum, divinis charismatibus eos implens, et irrigatione Spiritus ubertim pinguefaciens [23]. Itaque non in fortitudine magna, nec in robore carnali, sed in virtute Spiritus a Christo spoliatus est Satanas, cum quo et adversariarum potestatum globi ceciderunt, vocatique sunt ad agnitionem Dei per fidem et qui ex Israel, et qui aliquando « creaturæ potius servierant quam Creatori [24]. » Exhibitæ sunt etiam in Ecclesiis lucernæ, id est sancti, una lucentes cum lampade, Christo, inquam. Fuerunt namque, ut quidem est apud sapientissimum Paulum, « luminaria in mundo, verbum vitæ continentes [25]. » Quod autem Emmanuel non manu, seu potentia humana, sed viribus suis tanquam Deus mundum salvaverit, testatus est et per Oseam, apud quem ista leguntur : « Filiorum autem Juda miserebor, et salvabo eos in Domino Deo suo, et non salvabo eos in arcu, neque in gladio, neque in bello, neque in curribus, neque in equis, neque in equitibus. » Peraccommodate autem verbum factum est ad Zorobabel **686** de tribu Juda genus ducentem, qui id temporis sedem regni Hierosolymis obtinebat. Etenim ne adeo insignibus admirandisque operibus sibi prænuntiatis expeditionem aliquando suscipiendam, et prœlia facienda arbitraretur, ab hujusmodi frivolis et humanis cogitationibus eum deterrendum putavit, potiusque sentire jussit, divinam efficacitatem, et facultatem non humanam, sed Christi talia molientis esse. Meminimus porro nos dicere, et ipsum Zorobabelem, ut ex tribu Juda procreatum et regem, significare Christum, conjuncto etiam Jesu filio Josedec, ut simul et in una per-

A τάσματα Ἐγήγερται δὴ οὖν ὁ προφήτης εἰς νῆψιν, ἀλλὰ καὶ οὕτως ἔχων, οὐδὲν ἧττόν ἐστι βραδὺς πρός γε τὸ δύνασθαι, φημὶ, συνιέναι τὰ δεικνύμενα. Ταύτητοι, καὶ μάλα εἰκότως, ἀναπυνθάνεταί τε καὶ ἀξιοῖ μαθεῖν παρὰ τοῦ διασαφοῦντος ἀγγέλου. Ὁ δὲ ὅτι οὐ συνῆκε μονονουχὶ κατατέθηπέ πως, καὶ εἰ μὴ ἀληθῶς εἰδείη διερωτᾷ. Τοῦ δὲ διαῤῥήδην ὡμολογηκότος τὴν ἄγνοιαν, καὶ τὸ δυσμαθὲς οὐκ αἰσχυνομένου, καταλευκαίνει λοιπὸν τὸ ἐκ τῆς ὁράσεως αἴνιγμα, καὶ οἷον ὡς ἐξ εἰκόνος ἐμφανοῦς τε καὶ ὁρωμένης τὸν ἐν αὐτῇ λεληθότως ἐγκείμενον διερμηνεύει σκοπόν. « Οὗτος γὰρ, φησὶν, ὁ λόγος Κυρίου πρὸς Ζοροβάβελ, λέγων· Οὐκ ἐν δυνάμει μεγάλῃ, οὐδὲ ἐν ἰσχύϊ, ἀλλ' ἐν Πνεύματί μου, λέγει Κύριος παντοκράτωρ. » Ὅμοιον ὡς εἰ λέγοι τυχὸν, ὅτι πάντα B ταῦτα τὰ ὁρώμενα εἰς πέρας ἥξει κατὰ καιροὺς, οὐκ ἀνθρωπείᾳ δυνάμει κατορθούμενα, οὔτε μὴν ἐν ἰσχύϊ σαρκικῇ, ἀλλ' ἐν δυνάμει Πνεύματος ἁγίου, καὶ ὡς ἐκ θείων διανευμάτων. Γέγονε μὲν γὰρ ἄνθρωπος καθ' ἡμᾶς ὁ Μονογενὴς· πλὴν οὐ πεπολέμηκε σαρκικῶς, ἵνα καθάπερ τινὰ λυχνίαν ἀναστήσῃ τῷ κόσμῳ τὴν Ἐκκλησίαν· οὐχ ὅπλα κινήσας αἰσθητὰ, καὶ μαχίμων φάλαγγας παρέστησεν ἑαυτῷ τοὺς δύο λαοὺς, ἢ τοὺς λύχνους τοὺς νοητοὺς ἐπέθηκε τῇ λυχνίᾳ, ἀλλ' ἐν ἰσχύϊ Πνεύματος ἁγίου κεχειροτόνηκεν ἐν ταῖς Ἐκκλησίαις πρῶτον ἀποστόλους, δεύτερον προφήτας καὶ εὐαγγελιστὰς, καὶ τὴν ἄλλην ἅπασαν τῶν ἁγίων ὁμήγυριν, θείων αὐτοὺς χαρισμάτων ἀναπιμπλὰς, καὶ τῇ τοῦ Πνεύματος χύσει καταπιαίνων πλουσίως. Οὐκοῦν οὐκ ἐν δυνάμει μεγάλῃ. οὐδὲ ἐν C ἰσχύϊ τῇ σαρκικῇ παρὰ Χριστοῦ, ἀλλ' ὡς ἐν δυνάμει Πνεύματος ἐσκυλεύετο μὲν ὁ Σατανᾶς, ἔπιπτον δὲ σὺν αὐτῷ καὶ τὰ τῶν ἀντικειμένων δυνάμεων στίφη, καὶ ἐκαλοῦντο πρὸς θεογνωσίαν διὰ τῆς πίστεως, οἵ τε ἐξ Ἰσραὴλ καὶ οἱ πάλαι « τῇ κτίσει παρὰ τὸν κτίστην λελατρευκότες. » Ἀνεδείκνυντο δὲ καὶ ἐν ταῖς Ἐκκλησίαις οἱ λύχνοι, τουτέστιν, οἱ ἅγιοι, συνεκλάμποντες τῷ λαμπαδίῳ, φημὶ δὴ, Χριστῷ. Γεγόνασι γὰρ, ὡς γοῦν ὁ σοφώτατος γράφει Παῦλος, « φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες. » Ὅτι δὲ οὐκ ἀνθρωπείᾳ χειρὶ σέσωκε τὴν ὑπ' οὐρανὸν, ἀλλ' ἰδίαις δυνάμεσιν ὡς Θεὸς ὁ Ἐμμανουὴλ, διεμαρτύρατο λέγων καὶ διὰ φωνῆς Ὡσηέ. Ἔχει γὰρ οὕτω· « Τοὺς δὲ υἱοὺς Ἰούδα ἐλεήσω, καὶ σώσω αὐ- D τοὺς ἐν Κυρίῳ Θεῷ αὐτῶν, καὶ οὐ σώσω αὐτοὺς ἐν τόξῳ, οὔτε ἐν ῥομφαίᾳ, οὔτε ἐν πολέμῳ, οὐδὲ ἐν ἅρμασιν, οὐδὲ ἐν ἵπποις, οὐδὲ ἐν ἱππεῦσιν. » Εὖ δὲ δὴ σφόδρα πρὸς Ζοροβάβελ ὁ λόγος ἦν, τὸν ἐξ Ἰούδα φυλῆς, διέποντα τὸ τηνικαῦτα τοὺς τῆς βασιλείας θώκους ἐν Ἱερουσαλήμ. Ἵνα γὰρ μὴ τῶν οὕτω λαμπρῶν καὶ ἀξιαγάστων κατορθωμάτων αὐτῷ προαπηγγελμένων πολέμους οἷοιτο, καὶ μάχας συγκροτηθήσεσθαι κατὰ καιροὺς, ἐξίστησιν ἀναγκαίως αὐτὸν τῶν οὕτω σαθρῶν καὶ ἀνθρωπίνων ἐννοιῶν, διακεῖσθαι δὲ μᾶλλον προστέταχεν, ὅτι θεοπρεπὴς ἡ ἐνέργεια, καὶ ἡ δύναμις οὐκ ἀνθρωπίνη, τοῦ διαπεραίνοντος τὰ τοιάδε Χριστοῦ. Μεμνήμεθα δὲ, ὅτι καὶ

[23] I Cor. XII, 28. [24] Rom. I, 25. [25] Philipp. II, 16.

Digitized by Google

αὐτὸν τὸν Ζοροβάβελ ὡς ἐκ φυλῆς Ἰούδα, καὶ βασιλέα παραδηλοῦν ἐλέγομεν ἐφ' ἑαυτῷ τὸν Χριστόν, συνημμένου δὲ καὶ Ἰησοῦ τοῦ Ἰωσεδέκ, ἵν' ἐν ταυτῷ νοοῖτο βασιλεύς τε ἅμα καὶ ἀρχιερεὺς ὁ Ἐμμανουήλ.

A sona Emmanuel et rex et summus sacerdos intelligatur.

Τίς εἶ σὺ, τὸ ὄρος τὸ μέγα, τὸ πρὸ προσώπου Ζοροβάβελ, τοῦ κατορθῶσαι; Καὶ ἐξοίσω τὸν λίθον τῆς κληρονομίας, ἰσότητι χάριτος χάριτα αὐτῆς.

VERS. 7. *Quis es tu, mons ille magnus, ante faciem Zorobabel, ut instaures? Et educam lapidem hæreditatis, æqualitate gratiæ gratium ejus.*

ΚΕ'. Δυσέφικτον μὲν κομιδῇ τὸ προκείμενον· πλὴν ἐροῦμεν ἡμεῖς τό γε ὡς ἄριστα καὶ ὀρθῶς ἔχειν ὑπειλημμένον. Ἔοικε τοίνυν ὁ λόγος μονονουχὶ καὶ ἐπιτιμᾶν τῷ ὄρει τῷ μεγάλῳ, τουτέστι, τῷ Σατανᾷ κατεξανισταμένῳ τε καὶ ἀντεξάγοντι τῷ Χριστῷ, τῆς αὐτοῦ δυστροπίας τὴν δύναμιν, ὃ δὴ καὶ ἐν τοῖς ἀνωτέρω πάλιν ἡμῖν αἰνιγματωδῶς κατεγράφετο. Ἔφη γὰρ ὁ προφήτης τεθεᾶσθαι μὲν Ἰησοῦν τὸν ἱερέα τὸν μέγαν ἑστῶτα πρὸ προσώπου τοῦ ἀγγέλου Κυρίου, τὸν δέ γε διάβολον ἑστῶτα ἐκ δεξιῶν αὐτοῦ, τοῦ ἀντικεῖσθαι αὐτῷ. Ὅτι γὰρ, ὅσον ἐνεχώρει, καὶ ἦν ἐπ' αὐτῷ, πεπολέμηκέ τε καὶ ἀντεγήγερται δεινῶς ταῖς τοῦ Σωτῆρος οἰκονομίαις, καλοῦντος πρὸς σωτηρίαν τὴν ὑπ' οὐρανὸν, προσκυνητὴν ἴδιον ἀποφαίνειν ἤθελε, παραδεικνὺς μὲν αὐτῷ, εἰ δὴ προσπεσεῖν ἕλοιτο καὶ προσκυνῆσαι αὐτῷ'. Εἶτα καὶ ἐξ αὐτοῦ τοῦ χοροῦ τῶν ἁγίων ἀποστόλων τὸν προδότην ἥρπασε μαθητὴν, ἀναπείσας ὄργανον τῆς Ἰουδαίων γενέσθαι σκαιότητος. Ἐπιπλήττει δὴ οὖν ὁ λόγος αὐτῷ, καί φησι· « Τίς εἶ σὺ, τὸ ὄρος τὸ μέγα, τὸ πρὸ προσώπου τοῦ Ζοροβάβελ, τοῦ κατορθῶσαι; » Τὸ δὲ, *Τίς εἶ σύ;* νοητέον οὐχ ὡς ἐθέλοντος ἀναμαθεῖν, τίς δὴ ἄρα καὶ πόθεν ἐστὶν (οὐ γὰρ ἂν ἠγνόησε Θεὸς ὤν), ἀλλ' οἷον κατασμικρύνοντος καὶ οὐδενὸς ἀξιοῦντος λόγου, κἂν εἰ μέγα τε εἴη καὶ δυσάντητον ὄρος, καὶ ἐμποδὼν κείμενον κατορθοῦν ἐθέλοντι τοιάδε Χριστῷ, οὗ καὶ εἰς τύπον ὁ Ζοροβάβελ, καθάπερ ἤδη προείπομεν. Καίτοι γὰρ ἀπαράκλητον ἔχων τὴν δυστροπίαν ὁ δράκων ὁ ἀποστάτης, πεπάτηται παρὰ Χριστοῦ πόνου τε καὶ ἱδρῶτος δίχα. Θεὸς γὰρ ἦν κατὰ φύσιν ὁ πάντας νικῶν. Ἢ τοίνυν κατὰ τὸν τοιόνδε τινὰ τρόπον προσβαλοῦμεν τοῖς εἰρημένοις, ἢ καὶ ἕτερος, εἰ δοκεῖ. Ἔφη μὲν γὰρ, ὅτι οὐκ ἀνθρωπείᾳ δυνάμει κατορθωθήσεται τῷ κόσμῳ τὰ πρὸς ζωήν. Καὶ στήσεται μὲν ἡ λυχνία, τὸ λαμπάδιον ἔχουσα, τουτέστι, Χριστὸν, ἐκλάμψουσι δὲ οἱ λύχνοι, καὶ μὴν καὶ ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων τοῦ λαμπαδίου αἱ δύο πάντως ἐλαῖαι στήσονται, τοὺς δύο λαοὺς σημαίνουσαι. Εἶθ' ὥσπερ ἀναπυνθανομένου τινὸς καὶ λέγοντος· Τίς ἄρα εἶ σὺ, ὁ τὰ οὕτω μεγάλα πολέμου δίχα πάντως καὶ ἀμογητὶ κατορθώσειν ὑπισχνούμενος; προσυπακούεται λέγων ὁ Θεὸς καὶ Πατήρ· « Ἐγὼ τὸ ὄρος τὸ μέγα, τὸ πρὸ προσώπου Ζοροβάβελ, τοῦ κατορθῶσαι· » τουτέστιν, Ἐγώ εἰμι ἡ πάντα ὑπεραίρουσα φύσις, ἡ θεοπρεπέσιν ὑψώμασιν εἰς τὴν ὑπερεπέκεινα πάντων διάττουσα δόξαν, κατὰ καιροὺς ἀρκέσειν μέλλουσα πρὸς κατόρθωσιν τῶν ἐπηγγελμένων, καὶ πρὸ προσώπου Ζοροβάβελ. Οὐ γὰρ ἠγνόει Χριστὸς τὸν ἑαυτοῦ Πα-

XXV. Difficillimus intellectu locus propositus: verumtamen quod rectissime atque optime dici posse existimavimus, id in medium afferemus. Videtur itaque sermo quadam objurgatione incessere montem magnum, puta Satanam contra Christum insurgentem, et perversitatis suæ potentiam, quasi aciem contra promoventem, quod item supra, quanquam sub velamine, nobis describebatur. Dicebat enim propheta se vidisse Jesum sacerdotem magnum stantem coram angelo Domini, et diabolum stantem a dextris ejus, ut adversaretur ei. Quin enim, quantum licuit et in ipso fuit, oppugnaverit, et vehementer insurrexerit contra œconomiam Salvatoris, mundum ad salutem vocantis, nemo dubitabit, si cogitaverit primum quidem accessisse ad jejunantem in deserto, et mundi Salvatorem intuitum, se ab illo adorari concupivisse, cum illi omnia regna mundi ostendens dixisset omnia fore ipsius, si procidere in genua et se adorare non recusaret[96]. Deinde ex ipso choro sanctorum apostolorum proditorem Judam arripuit, cui persuasit ut Judæorum feritatis instrumentum fieret. Increpatur itaque his verbis: « Quis es tu, mons magne, ante faciem Zorobabel, ut instaures? Illud Quis es, non ita accipiendum, quasi nosse cupiat quis tandem et unde sit. Non enim ignorabat, utpote Deus. Sed quasi extenuet, et nihili faciat, quamvis magnus mons esset, et cui facile resisti non posset, et impedimentum objectum Christo hæc instaurare volenti, **687** cujus typus Zorobabel, ut jam diximus. Etsi enim sit implacabilis nequitia draconis apostatæ, tamen citra laborem sudoremque a Christo conculcatus est. Erat enim natura Deus, omnes exsuperans. Aut igitur tali quodam modo dicta verba explicabimus, aut alio, si placebit. Dixit enim, non humana virtute mundo vitam instauraturum. Et stabit quidem candelabrum, lampadem habens, hoc est Christum: lucebunt autem lucernæ. Præterea a dextra lævaque lampadis duæ olivæ omnino stabunt, duos populos adumbrantes. Postea, quasi sciscitante quopiam ac dicente: Quis igitur es tu, qui tam ardua nullo bello et sine labore feliciter constituturum spondes? subauditur respondens Deus et Pater: « Ego mons ille magnus ante faciem Zorobabel, ut instaurem: » id est ego sum omnibus supereminens natura, divinis celsitudinibus ad gloriam sublimissimam omnium emicans, quæ suo tempore ad promissa fideliter et ante faciem Zorobabel præstanda sufficiet. Non enim

[96] Matth. IV, 1 seqq.

Digitized by Google

ignorabat Christus Patrem suum : sed quasi quemdam adjutorem insignium suarum actionum eum faciebat, cum diceret : « A me ipso facio nihil. Pater autem in me manens, ipse facit opera [27]. » Operabatur enim ut per propriam virtutem per Filium, per quem et ab initio creatis omnibus, merito est admirabilis . . . a sapientissimo Daniele iterum Deus et Pater mons nominatur, unde et lapis sine manibus præcisus est, qui et aurum, argentum, æs, ferrum comminuit [28]. Quæ etiam Christi imago fuit. Natus enim ex Deo Patre Filius, supra quam dici aut mente capi potest, contrivit regna, ut deinceps penes eum sit omne imperium : « Flectetur enim ipsi omne genu, et omnis lingua confitebitur quia Dominus Jesus Christus in gloria est Dei Patris [29]. » Itaque ut ex monte Dei et Patris summus angularis et electus lapis resectus Deus, factus est nobis hæreditas [30]. Vocati quippe sumus in adoptionem filiorum per ipsum [31], scriptique hæredes Dei viventis, æqualitate gratiæ gratiam lucrifacientes. Hoc vero quid est ? Data est quidem gratia antiqua illa et decantata : liberati sunt enim ex Ægypto secundum corpus, servile jugum dominationis quo premebantur a cervicibus dejecerunt, per medium mare traducti sunt, comederunt manna in solitudine, **688** pedibus flumina transierunt, Jordanem videlicet, in terram promissionis introducti sunt. Hæc igitur gratia illa prima. Verum in æqualitate et similitudine antiquæ illius gratiæ gratia impertita est a Christo, qui factus est nobis lapis ut fundamentum, sive summus angularis, et rursum hæres ut Filius. Per illum quippe hæredes Dei instituti sumus [32]. Quomodo igitur in æqualitate primæ gratiæ secunda ? Quæ in illis fiebant secundum carnem, sive sensum, hæc Christus secundum spiritum et intellectum præstitit. Eripuit nos e servitute diabolica, ceu ex luto et latere [33]. Liberavit affectionibus mundanis et carnalibus immunditiis. Velut per mare transitum concessit : fluctus enim hujus vitæ et acerbitatem ejus sollicitudinum præterivimus. Comedimus panem de cœlo (mystice loquimur), Jordanem transivimus, circumcisionem in spiritu suscepimus [34], hæreditatem audivimus supernam civitatem, vere sanctam terram cujus et Christus ipse meminit cum ait : « Beati mites, quoniam ipsi possidebunt terram [35]. » Puto autem ego sapientissimum quoque evangelistam Joannem hoc ipsum significare velle, cum dicit de Christo : « De plenitudine ejus nos omnes accepimus, et gratiam pro gratia. Quia lex per Mosen data est, gratia et veritas per Jesum Christum facta est [36]. » Minister enim et mediator veteris illius gratiæ Moses fuit ; secundæ autem gratiæ Christus, quæ similitudinem prioris illius habet. Typi enim quidam erant ad veritatem, sive veritatis decus parturientes, tanto melioris et excellentioris, quanto quæ sensibus ea quæ sola intelligentia

A τέρα, ἀλλ' ὥσπερ τινὰ συνεργάτην τῶν ἰδίων κατορθωμάτων ἐποιεῖτο λέγων· « Ἀπ' ἐμαυτοῦ ποιῶ οὐδέν. Ὁ δὲ Πατὴρ ὁ ἐν ἐμοὶ μένων, ποιεῖ τὰ ἔργα αὐτός. » Εἰργάζετο γὰρ ὡς διὰ δυνάμεως ἰδίας τοῦ Υἱοῦ, δι' οὗ καὶ ἐν ἀρχαῖς τὰ πάντα πρὸς τὸ εἶναι παρενεγκὼν εἰκότως θαυμάζεται..... παρὰ τῷ σοφωτάτῳ Δανιὴλ, ὡς ὄρος ἡμῖν ὠνόμασται πάλιν ὁ Θεὸς καὶ Πατήρ, ἐξ οὗ καὶ λίθος ἄνευ χειρὸς ἐτμήθη, ὃς καὶ ἐλέπτυνε τὸ χρυσίον, τὸν ἄργυρον, τὸν χαλκὸν, τὸν σίδηρον, καὶ ἦν εἰς τύπον καὶ τόδε Χριστοῦ. Γεγενημένος γὰρ ἐκ Θεοῦ Πατρὸς ἀπορρήτως καὶ ὑπὲρ νοῦν ὁ Υἱὸς, συνέτριψε τὰς βασιλείας, ἵν' αὐτῷ λοιπὸν τὸ κατὰ πάντων κράτος ἀνάπτηται· « Κάμψει γὰρ αὐτῷ πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ B Πατρός. » Οὐκοῦν ὡς ἐξ ὄρους τοῦ Θεοῦ καὶ Πατρὸς ἀκρογωνιαῖος καὶ ἐκλεκτὸς ἀποτμηθεὶς λίθος ὁ Θεὸς, γέγονεν ἡμῖν κληρονομία. Κεκλήμεθα γὰρ εἰς υἱοθεσίαν δι' αὐτοῦ, καὶ κληρονόμοι γεγόναμεν Θεοῦ ζῶντος, ἰσότητι χάριτος χάριτα κερδαίνοντες. Καὶ τί δὴ τοῦτο ; Δέδοται μὲν γὰρ χάρις τις τῷ Ἰσραὴλ, ἡ ἀρχαία τε ἐκείνη καὶ διαβόητος· λελύτρωνται γὰρ ἐξ Αἰγύπτου σαρκικῶς, τὴν ἐπηρτημένην αὐτοῖς ἐκ πλεονεξίας ἀπεσείσαντο δουλείαν, διεβιβάσθησαν διὰ θαλάσσης μέσης, ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ, διῆλθον ἐν ποδὶ ποταμοὺς (διεπεραιώσαντο γὰρ οὕτω τὸν Ἰορδάνην), εἰσεκομίσθησαν εἰς τὴν γῆν τῆς ἐπαγγελίας. Αὕτη δὴ οὖν ἡ χάρις ἡ πρώτη. Ἀλλ' ἐν ἰσότητι καὶ ὁμοιότητι τῆς ἀρχαίας ἐκείνης χάριτος, C χάρις δέδοται παρὰ Χριστοῦ, ὃς γέγονεν ἡμῖν, λίθος μὲν ὡς θεμέλιος, ἦγουν ἀκρογωνιαῖος, κληρονόμος δὲ πάλιν, ὡς Υἱός. Γεγόναμεν γὰρ δι' αὐτοῦ κληρονόμοι Θεοῦ. Πῶς οὖν ἐν ἰσότητι τῆς πρώτης χάριτος ἡ δευτέρα ; Ἃ γὰρ ἐπ' ἐκείνοις ἐπράττετο σαρκικῶς, ἦγουν αἰσθητῶς, ταῦτα τετελείωκεν ἐφ' ἡμῖν ὁ Χριστὸς πνευματικῶς τε καὶ νοητῶς. Ἐξεῖλετο δουλείας διαβολικῆς, ὡς ἐκ πηλοῦ καὶ πλινθείας. Ἀπῆλλαξε τῶν ἐν κόσμῳ παθῶν καὶ τῶν σαρκικῶν ἀκαθαρσιῶν. Διεβίβασεν ὡς διὰ θαλάσσης· παρεδράμομεν γὰρ τὸν κλύδωνα τοῦ παρόντος βίου, καὶ τῆς ἐν αὐτῷ φροντίδος τὸ πικρόν. Ἐφάγομεν ἄρτον ἐξ οὐρανοῦ (μυστικὸς ὁ λόγος), διεβιβάσθημεν τὸν Ἰορδάνην, περιτομὴν ἐσχήκαμεν τὴν ἐν πνεύματι, κεκληρονομήκαμεν τὴν ἄνω πόλιν, τὴν ἀληθῶς ἁγίαν D γῆν, ἧς καὶ αὐτὸς ὁ Χριστὸς διεμέμνητο, λέγων· « Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. » Οἶμαι δὲ ἔγωγε καὶ τὸν σοφώτατον εὐαγγελιστὴν Ἰωάννην, αὐτὸ δὴ τοῦτο βούλεσθαι δηλοῦν, εἰ λέγοι περὶ Χριστοῦ, ὅτι « Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος. Ὅτι ὁ νόμος διὰ Μωσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. » Διάκονος μὲν γὰρ καὶ μεσίτης τῆς ἀρχαίας ἐκείνης χάριτος γέγονεν ὁ Μωσῆς· τῆς γε μὴν δευτέρας χάριτος ὁ Χριστὸς. Ἐχούσης μὲν ὁμοιότητα πρὸς ἐκείνην (τύποι γὰρ ἦσαν ὡς πρὸς ἀλήθειαν, ἦγουν τὸ τῆς ἀληθείας ὠδίνοντες

[27] Joan. xiv, 10. [28] Dan. ii, 34. [29] Philipp. ii, 10, 11. [30] Ephes. ii, 20. [31] Ephes. i, 5 [32] Rom. viii, 17. [33] Exod. i, 14. [34] Exod. xvi, 1 ; Joan. vi, 31. [35] Matth. v, 4. [36] Joan. ii, 16, 17.

Digitized by Google

κάλλος), ἀμείνονος δὲ καὶ ὑπερκειμένης, ὅσῳ καὶ τῶν αἰσθητῶν ὑπερφέροι ἂν εἰκότως τὰ νοητά. Καὶ μαρτυρήσας γράφει ὁ Παῦλος, ὅτι κρείττονος διαθήκης γέγονεν ἔγγυος Ἰησοῦς.

A comprehenduntur antocellunt. Accedit testis Paulus cum scribit [37], melioris testamenti mediatorem esse Jesum.

Καὶ ἐγένετο λόγος Κυρίου πρός με, λέγων· Αἱ χεῖρες Ζοροβάβελ ἐθεμελίωσαν τὸν οἶκον τοῦτον, καὶ αἱ χεῖρες αὐτοῦ ἐπιτελέσουσιν αὐτόν, καὶ ἐπιγνώσῃ διότι Κύριος παντοκράτωρ ἐξαπέσταλκέ με πρὸς σέ.

VERS. 8, 9. *Et factus est sermo Domini ad me, dicens : Manus Zorobabel fundaverunt domum istam, et manus ejus complebunt eam, et scies quia Dominus omnipotens misit me ad te.*

ΚΖ'. Ἰδοὺ δὴ πάλιν ἡμῖν ἐν αἰσθητοῖς πράγμασι καταγράφει τὰ νοητά, καὶ τῶν διὰ Χριστοῦ παραδόξως τετελεσμένων παρατίθησιν εἰς τύπον τὸ διὰ χειρὸς Ζοροβάβελ κατὰ καιροὺς ἐκπεπερασμένον. Ἐπειδὴ γὰρ, ἀλούσης τῆς Βαβυλωνίων ὑπὸ Περσῶν καὶ Κύρου, τῶν τῆς δουλείας ἀνεῖντο δεσμῶν οἱ ἐξ Ἰσραὴλ, καὶ δὴ καὶ ἀνῆκον εἰς Ἱεροσόλυμα, Δαρείου λοιπὸν τὴν Χαλδαίων διέποντος ἀρχὴν, προῦτρεπε Θεὸς τοὺς ὑπονοστήσαντας τὸν θεῖον εὐθὺς ἀναδείμασθαι ναὸν, βασιλεύοντος μὲν Ζοροβάβελ, ἱερατεύοντός γε μὴν Ἰησοῦ τοῦ Ἰωσεδέκ. Καὶ ἥπτοντο μὲν τοῦ ἔργου, καὶ δὴ καὶ ἐν πρώταις κρηπίδων καταβολαῖς τὸ ἔργον ἦν, ἦρτο δὲ καὶ ὑψοῦ τὰ τείχη λοιπὸν, εἶτα μεταξὺ κωλυόντων τινῶν, καὶ ἐμποδὼν γεγονότος τοῦ φθόνου τῶν περιοίκων ἐθνῶν, γέγονέ τις ἀνακωχὴ, καὶ σπουδασμάτων τῶν ἐπὶ τοῖς ἔργοις ἀνάβλησις. Ἀνέντος δὲ πάλιν αὐτοῖς τοῦ Θεοῦ τὸ δύνασθαι κατορθοῦν, τετελείωται μόλις ὁ νεὼς, Ἰησοῦ μὲν ἱερατεύοντος, Ζοροβάβελ γε μὴν ἐφεστηκότος καὶ βασιλεύοντος. Ἀλλ' ἐν τούτοις μὲν ὁ τῆς ἱστορίας συμπεπέρασται λόγος. Ἐπειδὴ δὲ εἰς τύπον Χριστοῦ παρείληπται παρ' ἡμῶν ὁ ἐκ τῆς Ἰούδα φυλῆς Ζοροβάβελ, φέρε δὴ λέγωμεν ὅπως τε καὶ τίνα τρόπον ἦρξατο μὲν αὐτὸς οἰκοδομεῖν τὸν οἶκον Κυρίου, τετελείωκε δ' αὖ ὁ νοητὸς καὶ πνευματικός. Κατεστήσατο μὲν γὰρ ἐν ἀρχαῖς οἰκόν τινα καὶ ἀναύλισμα θεοπρεπὲς αὐτῷ τε καὶ τῷ Πατρὶ, τὴν Ἰουδαίων Συναγωγήν. Οὕτω γὰρ αὐτὴν ὠνόμαζε, περὶ τοῦ πανσόφου Μωσέως εἰπών· « Ἐὰν γένηται προφήτης ἐξ ὑμῶν Κυρίῳ, ἐν ὁράματι αὐτῷ γνωσθήσομαι, καὶ ἐν ὕπνῳ λαλήσω αὐτῷ. Οὐχ οὕτως ὡς ὁ θεράπων μου Μωσῆς, ἐν ὅλῳ τῷ οἴκῳ μου πιστός ἐστιν. » Οὐκοῦν τεθεμελίωται μὲν ὥσπερ οἶκος διὰ Χριστοῦ· καθῄρηται δὲ μεταξύ. Καὶ γοῦν ὁ προφήτης Ἱερεμίας ὡς πεπτωκότα τε καὶ σεσεισμένον κατωλοφύρετο, λέγων· « Οἶκος Ἰσραὴλ ἔπεσεν, οὐκ ἔστιν ὁ ἀναστήσων αὐτόν. » Πλὴν ἐγήγερται διὰ Χριστοῦ καὶ μετεσκευάσθη πρὸς τὸ ἀμεινον, εἰσκεκομισμένων αὐτῷ τῶν ἐθνῶν, καὶ ἀναδειχθείσης ἐν κόσμῳ τῆς Ἐκκλησίας, « ἥτις ἐστὶν οἶκος Θεοῦ ζῶντος, » ἧς τοῦ κάλλους γέγονεν ἐραστὴς ὁ τῶν ὅλων Κύριος καὶ Θεός. Ὅτι γὰρ ἀσυγκρίτως ἀμείνων παρὰ τὸν πρῶτον ὁ ἐν ἐσχάτοις καιροῖς ἐγηγερμένος ναὸς, τοῦτέστιν, ἡ Ἐκκλησία, πεπληροφόρηκεν εἰπὼν διὰ φωνῆς Ἀγγαίου τοῦ προφήτου· « Τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃς εἶδε τὸν οἶκον τοῦτον ἐν τῇ δόξῃ αὐτοῦ τῇ ἔμπροσθεν; Καὶ πῶς ὑμεῖς βλέπετε αὐτὸν νῦν

XXVI. En, rursum in rebus quas sensu attingimus, eas quæ solum intelliguntur describit, et a Christo admirabiliter perpetratorum typum proponit id quod per manum Zorobabel aliquando confectum fuit. Postquam enim Babyloniis a Cyro Persarum rege subactis servitute exsoluti sunt Israelitæ, et insuper Hierosolymam redierunt, **689** Dario postea Chaldæorum regnum procurante, hortatus est Deus reduces ut ante omnia divinum templum reædificarent, rege quidem Zorobabele, principe autem sacerdotum Jesu filio Josedec [38]. Jamque ad opus aggrediebantur, et prima fundamenta jacta erant, et muri in altum educti, cum, prohibentibus quibusdam et invidia finitimarum gentium impediente, a labore cessatum est et operum studia prolata. Deo autem ad opus rite conficiendum rursus facultatem suppeditante, vix tandem absolutum est, Jesu summum gerente sacerdotium, Zorobabele autem rerum potiente. Et his quidem historia continetur [39]. Quia vero pro typo Christi Zorobabelem de tribu Juda ortum assumpsimus, age, dicamus quomodo et qua ratione cœperit ipse quidem ædificare domum Domini : sed mente conceptus, et spiritualis Zorobabel eam postea perfecerit et consummaverit. Constituit enim principio domum quamdam et mansionem divinam sibi et Patri Judæorum Synagogam. Sic namque illam appellavit, de sapientissimo omnium Mose ita loquens : « Si fuerit propheta ex vobis Domino, in visione illi cognoscar et in somno loquar ei. Non sic ut servus meus Moses, in omni domo mea fidelis est [40]. » Ergo fundata est tanquam domus per Christum, sed intervallo eversa. Quare propheta Jeremias ut concussam et collapsam deplorat in hæc verba : « Domus Israel cecidit, et non est qui denuo excitet eam. » Verumtamen per Christum excitata, et in aliam melioremque formam mutata est, introductis in ipsam gentibus, et exhibita in mundo Ecclesia, « quæ est domus Dei viventis [41], » cujus pulchritudinem universorum Dominus ac Deus adamavit. Etenim templum extremis temporibus excitatum, Ecclesiam scilicet, infinitis partibus primo præstare satis superque docuit, per prophetam Aggæum ita loquens : « Quis est ex vobis homo qui vidit domum hanc in gloria sua priore? Et quomodo vos videtis ipsam nunc sicut non existentem in conspectu vestro [42] ? » Et infra : « Quia magna erit gloria

[37] Hebr. v [38] I Esdr. iv, 1 seqq. Agg. i, 12-14. [39] Num. xii, 6, 7. [41] I Tim. iii, 15 [42] Agg. ii, 4.

Digitized by Google

domus istius novissimæ super primam, dicit Dominus omnipotens [48]. » Verumenimvero ista historice duntaxat intelligere, quin magnæ insaniæ sit dubitandum non est, si quis cogitaverit quonam modo posterior gloria templi Dei præstantior prioris gloria videri queat: nam illud incendit ac diripuit Babylonius Nabuchodonosor : **690** hoc autem post illud exstructum post tempus captivitatis, nihilominus a Romanis incensum ac spoliatum est, ipsaque Hierosolyma et Judæa universa [49]. Non igitur ad veritatem sufficit historica narratio. Major autem et præstantior gloria posterior quam prior, Ecclesia assumpta « in templum sanctum, in habitaculum Dei in Spiritu [50]. » Superædificamur enim super fundamenta apostolorum et prophetarum, per omnem contactum suppeditatæ operationis cujusque membri coaptati atque compositi, et veluti inter nos fœdus ineuntes in unitatem fidei et dilectionis per Spiritum, ad efficiendum templum sanctum. Lapides enim vivi sumus [51]. Quamobrem divinus Paulus credentium multitudinem nunc quidem Dei agriculturam, nunc Dei ædificationem vocavit [52] : cujus ut sapiens architectus fundamentum posuit Jesus Christus, cui omnes innitimur, per quem et stamus, et templum nominamur, ipsum habentes in mente et in corde, per Spiritum habitantem et manentem [53].

καθὼς οὐχ ὑπάρχοντα ἐνώπιον ὑμῶν; » Καὶ μεθ' ἕτερα· « Διότι μεγάλη ἔσται ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην, λέγει Κύριος παντοκράτωρ. » Ἀλλ' ὅτι μὲν μόνον ἱστορικῶς τὰ τοιάδε νοεῖν ἀπόπληκτον, οὐκ ἂν ἐνδοιάσειέ τις, ἐννενοηκώς, ὅτι πῶς ἂν νοοῖτο προφερεστέρα τῆς πρώτης, ἡ ἐν ἐσχάτοις δόξα τοῦ θείου ναοῦ, εἴπερ ἐκεῖνον μὲν κατενέπρησε καὶ διήρπασεν ὁ Βαβυλώνιος Ναβουχοδονόσωρ· τὸν δὲ μετ' ἐκεῖνον ἐγηγερμένον μετὰ τὸν τῆς αἰχμαλωσίας καιρὸν, οὐδὲν ἧττον Ῥωμαῖοι κατενέπρησαν, συγκαταβῤῥώσαντες αὐτῷ καὶ [τ]αὐτὰ Ἱεροσόλυμα, καὶ ἅπασαν δὲ τὴν Ἰουδαίων χώραν; Οὐκουν ἀπόχρη πρὸς ἀλήθειαν ἡ τῆς ἱστορίας ἀπόδοσις. Ἀμείνων δὲ καὶ προφερεστέρα τῆς πρώτης ἡ τελευταία δόξα, παραληφθείσης τῆς Ἐκκλησίας « εἰς ναὸν ἅγιον, εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν πνεύματι. » Ἐποικοδομούμεθα γὰρ ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, διὰ πάσης ἁφῆς τῆς ἐπιχορηγίας τῆς κατ' ἐνέργειαν ἑκάστου μέλους συναρμολογούμενοι, καὶ συντιθέμενοι, καὶ οἱονεί πως ἀλλήλοις συμβαίνοντες εἰς ἑνότητα πίστεως καὶ ἀγάπης ἐπὶ τοῦ Πνεύματος εἰς ναὸν ἅγιον. Λίθοι γάρ ἐσμεν ζῶντες. Καὶ γοῦν ὁ θεσπέσιος Παῦλος τὴν τῶν πεπιστευκότων πληθὺν, ποτὲ μὲν Θεοῦ γεώργιον, ποτὲ δὲ δὴ οὖν καὶ οἰκοδομὴν ὠνόμαζε Θεοῦ· καὶ ὁ σοφὸς ἀρχιτέκτων θεμέλιον τέθεικεν, οὗτος δέ ἐστιν Ἰησοῦς ὁ Χριστὸς, ᾧ δὴ πάντες ἐρηρείσμεθα, δι' οὗ καὶ ἑστήκαμεν, καὶ ναοὶ χρηματίζομεν, αὐτὸν ἔχοντες εἰς νοῦν καὶ καρδίαν ἐνῳκηκότα τε καὶ ἐνηυλισμένον διὰ τοῦ Πνεύματος.

XXVII. Non est de mox futuris visio; sed potius de deducendis ad propositum finem, ut temporibus adventus omnium nostrum Salvatoris Christi, qui in extrema tempora sæculi hujus incidit: cæterum non ita diu post hanc prophetiam editam, sive templum per manum Zorobabel excitatum. Si quis igitur, inquit, despexerit medios dies parvos et paucos, sive nihil pependerit dilationem, non mœstus propter hoc, omnino omni lætitia replebitur. Gaudebit enim, et videbit lapidem stanneum in manu Zorobabel. *Stanneum* vero lapidem Christum nominat. Causam si quis nosse volet, mox dixerim et quæ aliis videntur, et nobis quoque probantur. Aiunt enim stannum ex ære et plumbo temperari, atque idcirco nec omnino carere duritie, nec vacare etiam mollitudine. **691** Nos quoque quodammodo ex deitate quæ vi nulla frangi ac debilitari potest, et ex humana natura, affectionibus quasi obnoxia, Emmanuelem componimus. Sciendum porro adamantem quoque plumbo facile confringi, ut aiunt, cum tamen id per aliam materiam non patiatur. Dicimus ergo Christum, quamvis benignum valde longeque valentissimum, et ut Deum nulla præditum sævitia, ceu adamantem quemdam confringere Sa-

ΚΖ'. Οὐ περὶ τῶν εὐθὺς ἐσομένων ἡ δρασις, ἐνεχθησομένων δὲ μᾶλλον εἰς πέρας, ὡς ἐν καιροῖς τῆς ἐπιδημίας τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, ἣ γέγονε μὲν ἐν ἐσχάτοις τοῦ παρόντος αἰῶνος καιροῖς· πλὴν οὔ τοι πολλοῖς μετὰ ταῦτα χρόνοις τῆς προκειμένης ἡμῖν προφητείας, ἤτοι τῆς οἰκοδομῆς τοῦ ναοῦ τοῦ διὰ χειρὸς Ζοροβάβελ ἐγηγερμένου. Εἴ τις οὖν ἄρα, φησὶν, ἐξουδενώσειε τὰς μεταξὺ μικρὰς καὶ εὐαριθμήτους ἡμέρας, ἤγουν οὐδὲν ἡγήσαιτο τὴν ἀνάβλησιν, οὐκ ἀκηδιάσας πρὸς τοῦτο, πάντη τε καὶ πάντως ἀπάσης ἔσται θυμηδίας ἔμπλεως. Χαρήσεται γὰρ, καὶ ὄψεται τὸν λίθον τὸν κασσιτέρινον ἐν χειρὶ Ζοροβάβελ. *Κασσιτέριον* δὲ λίθον ὠνόμασε τὸν Χριστόν. Καὶ εἴ τις βούλοιτο τὴν αἰτίαν ἀναμαθεῖν, φαίην ἂν εὐθὺς τὰ δοκοῦντά τισι, καὶ ἡμῖν αὐτοῖς ὀρθῶς ἔχειν ὑπειλημμένα. Οἱ μὲν γάρ φασι τὸν κασσίτερον ἀπό τε χαλκοῦ καὶ μολίβδου τὴν σύγκρασιν ἔχειν, καὶ ταύτης ἕνεκα τῆς αἰτίας οὔτε τοῦ εἶναι σκληρὸν ἀπηλλάχθαι παντελῶς, οὔτε μὴν ἀναίνεσθαι τὸ ἔχειν καὶ μαλθακῶς. Συντίθεμεν δὲ καὶ ἡμεῖς κατὰ τοιόνδε τινὰ τρόπον τὸν Ἐμμανουὴλ ἔκ τε τῆς ὀθραύστου θεότητος, καὶ ἐκ τῆς οἱονεί πως ἐμπαθοῦς ἀνθρωπότητος. Ἰστέον δὲ, ὅτι καὶ τὸν ἀδάμαντα λίθον μολίβδῳ φασὶν εὐκόλως συνθραύε-

Vers. 10. *Quis enim despexit in dies parvos? Et lætabuntur, et videbunt lapidem stanneum in manu Zorobabel. Septem isti oculi Domini sunt, respicientes super omnem terram.*

Διότι τίς ἐξουδένωσεν εἰς ἡμέρας μικράς; Καὶ χαρήσονται, καὶ ὄψονται τὸν λίθον τὸν κασσιτέριον ἐν χειρὶ Ζοροβάβελ. Ἑπτὰ οὗτοι ὀφθαλμοὶ Κυρίου εἰσὶν, οἱ ἀποβλέποντες ἐπὶ πᾶσαν τὴν γῆν.

[48] Agg. II, 10. [49] IV Reg. XXV, 1 seqq. [50] Ephes. II, 21. [51] I Petr. II, 5. [52] I Cor. III, 9. [53] Ibid. 10-17.

Digitized by Google

σθαι, καίτοι τοῦτο παθεῖν δι' ἑτέρας ὕλης οὐκ ἀνεχόμενον. Φαμὲν οὖν, ὅτι καίτοι χρηστὸς ὢν ἄγαν, καὶ παναλκὴς ὁ Χριστὸς, καὶ τὸ ἀπηνὲς οὐκ ἔχων ὡς Θεὸς, οἷον ἀδάμαντά τινα συνθραύει τὸν Σατανᾶν, περὶ οὗ γέγραπται· « Ἡ καρδία αὐτοῦ πέπηγεν ὥσπερ λίθος. Ἕστηκε δὲ ὥσπερ ἄκμων ἀνήλατος. » Δοκεῖ γε μὴν καὶ ἑτέρως τὸν κασσίτερον, εἶτ' οὖν τὸν μόλιβδον εἰς ἀποκάθαρσιν τὴν διὰ πυρὸς τῆς ἑτέρας ὕλης ἀναγκαίως παραλαμβάνεσθαι, μάλιστα δὲ τοῖς τὰ ἐξ ἀργύρου τεχνουργεῖν εἰωθόσι τὸ χρῆμά ἐστιν ἀναγκαῖον. Καὶ γοῦν ἔφη που Θεὸς διὰ φωνῆς Ἱερεμίου πάλιν αὐτὸ δὴ τοῦτο αἰνιγματωδῶς· « Ἐξέλιπε φυσητὴρ ἀπὸ πυρὸς, ἐξέλιπε μόλιβδος, εἰς κενὸν ἀργυροκοπεῖ, πονηρίαι αὐτῶν οὐκ ἐτάκησαν. » Κασσιτέρῳ τοίνυν, ἤγουν μολίβδῳ, παρεικάζει Χριστὸν, ὡς ἐκτήκοντα τοὺς ῥύπους, ὡς ἀπαλλάττοντα τῶν περιττῶν, ὡς ἀποκαθαίροντα νοητῶς. Εἰ δή τις οὖν ἄρα κατευμεγεθήσειε, φησὶ, τῆς τῶν μεταξὺ καιρῶν εἰσβολῆς, καὶ οὐδὲν ἡγήσοιτο τὰς διὰ μέσου μικρὰς ἡμέρας, χαρήσεται μὲν, « καὶ ὄψεται τὸν λίθον τὸν κασσιτέρινον ἐν χειρὶ Ζοροβάβελ. » Καὶ τί δὴ ἄρα ἐστὶ τὸ ἐν χειρὶ Ζοροβάβελ; Ἡ θεόπνευστος Γραφὴ τὴν χεῖρα δέχεται καὶ εἰς δύναμιν, καὶ εἰς ἐξουσίαν. Ἐν δυνάμει δὴ οὖν, ἤγουν καὶ ἐν ἐξουσίᾳ τῇ τοῦ Ζοροβάβελ ὄψεται τὸν λίθον τὸν κασσιτέρινον, τουτέστι, Χριστόν. Ζοροβάβελ μὲν γὰρ, ὡς ἔφην, ἐκ φυλῆς τοῦ Ἰούδα βεβασίλευκε τῶν ἐξ Ἰσραήλ. Ἐβασίλευσε δὲ καὶ ὁ Χριστὸς ἐπὶ τὸν Ἰσραὴλ, οὐκ ἐν τάξει τῇ καθ' ἡμᾶς, ἤγουν μετρητὴν καὶ χρόνῳ πεπερασμένην τὴν βασιλείαν ἔχων· ἀλλ' ὡς Θεὸς ἀληθῶς, εἰς ἀπεράντους αἰῶνας ἐκτεινομένην· καὶ μαρτυρήσει λέγων ὁ μακάριος Γαβριὴλ τῇ ἁγίᾳ Παρθένῳ περὶ αὐτοῦ, ὅτι τέξεται υἱὸν, καὶ καλέσει τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Προσεπάγει δὲ, ὅτι « Καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰσραὴλ εἰς τοὺς *αἰῶνας*, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. » Ἐν χειρὶ δὴ οὖν Ζοροβάβελ, τουτέστιν, ὡς ἐν δυνάμει τε καὶ ἐξουσίᾳ τῇ τοῦ Ζοροβάβελ ὀφθήσεται κατὰ καιροὺς ὁ λίθος ὁ κασσιτέρινος. Ἐπιφέρει δὲ τούτοις εὐθὺς τῆς προφητείας ὁ λόγος· « Ἑπτὰ οὗτοι ὀφθαλμοὶ Κυρίου εἰσὶν, οἱ ἐπιβλέποντες ἐπὶ πᾶσαν τὴν γῆν. » Καὶ τίνες ἂν εἶεν οὗτοι πάλιν; Ἢ γὰρ τοὺς ἑπτὰ λύχνους, οὓς τεθέαται ἐν τῷ λαμπαδίῳ, κέκληκεν ὀφθαλμοὺς Κυρίου, ἵνα νοῶμεν τοὺς ἁγίους, δι' ὧν ἡ σύμπασα καταφωτίζεται γῆ, καὶ ἐπισκοπῆς ἀξιωθεῖσα φαίνεται τοῖς παρὰ Θεοῦ· ἤγουν ἐκεῖνο, οἶμαί που, κατασημαίνειν ἐροῦμεν, ὡς οὐκ ἀμελήσει τῶν ἰδίων κτισμάτων ὁ τῶν ὅλων Θεὸς καὶ Πατήρ· ἀλλ' οἷον πολλοῖς τε καὶ ἀΰπνοις ὄμμασι τὰ πάντα περιεθρῶν, χαριεῖται τοῖς ἐπὶ τῆς γῆς τὸν λίθον τὸν κασσιτέρινον, τουτέστι, Χριστὸν, δι' οὗ γέγονε καὶ εἰς ἡμᾶς ὁ τῆς κατασκέψεως, εἶτ' οὖν ἐπισκέψεως τρόπος. « Ἐπεσκέψατο γὰρ ἡμᾶς Ἀνατολὴ ἐξ ὕψους, » κατὰ τὸ γεγραμμένον. Καὶ εἴπερ ἐσμὲν σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους, οὐδὲν οἶμαι τὸ ἀπεικὸς, ἐν ὀφθαλμῶν τάξει τοὺς ἁγίους μυσταγωγοὺς

A tanam, de quo scriptum exstat : « Cor ejus induratum est plus quam lapis. Stetit autem sicut incus impulsata [49]. » Et alioqui stannum, sive plumbum ad purgationem per ignem alterius metalli assumi cernitur necessario, potissimum apud fabros argentarios. Quocirca Deus alicubi per Jeremiam rursus hoc ipsum, licet obscurius dicit : « Defecit sufflatorium ab igne, defecit plumbum, frustra argentarius argentum concidit, malitiæ eorum non sunt liquefactæ [50]. » Quare stanno, sive plumbo Christum comparat ut abstergentem sordes, ut auferentem supervacua, ut purgantem secundum intellectum. Unde si quis interjectione mediorum temporum nihil fuerit conturbatus, et pro nihilo duxerit parvos dies intercedentes, gaudebit « et videbit lapidem B stanneum in manu Zorobabel. » Quid vero est, in manu Zorobabel ? Divinitus inspirata Scriptura manum accipit et pro virtute, et pro potestate. In virtute igitur, sive etiam in potestate Zorobabelis videbit lapidem stanneum, hoc est, Christum. Zorobabel etenim, ut dixi, de tribu Juda natus, Israeli præfuit. Et Christus quoque regnavit super Israel, non more nostro, sive circumscriptum et tempore certo definitum regnum tenens : sed ut vere Deus ad infinita sæcula se porrigens, attestante beato Gabriele ac beatæ Virgini de eo dicente, parituram filium, et vocaturam nomen ejus Jesum. » Addit, « daturum illi Dominum Deum sedem David patris ejus, et regnaturum super domum Israel in sempiternum, et regni ejus non fore finem [51]. » In manu C ergo Zorobabel, hoc est in virtute et potestate Zorobabelis, videbitur aliquando lapis ille stanneus. Annectit protinus his propheticus sermo : « Septem hi oculi Domini sunt respicientes super omnem terram. » Quinam isti oculi ? **692** Aut enim septem lucernas quas vidit ad lampadem, vocavit oculos Domini, ut intelligamus sanctos, per quos universa terra illuminatur, et divina visitatione dignata cernitur : aut certe illud, opinor, significare dicemus, Deum et Patrem universorum creaturas suas non neglecturum, sed tanquam multis et semper vigilibus oculis omnia circumspicientem, donaturum mortalibus lapidem stanneum, hoc est Christum, per quem et nos visitavit, sive respexit. « Visitavit enim nos Oriens ex alto, » ut scriptum est [52]. Et quo- D niam sumus corpus Christi, et membra de membro [53], non arbitror improbabile, si sanctos rerum divinarum doctores, ut aliis excellentiores et sublimiores, oculos appellatos, et ut ego sentio, hanc ob causam etiam episcopos nominatos dicamus. Speculatur itaque per illos in ipsum credentes Dominus noster Jesus Christus. Deinum lapis stanneus alio quoque modo Christus potest intelligi. Stannum enim disjuncta conjungit, vim conglutinandi habens. Fecit quiddam tale et nobis Christus, siquidem verum est, eum in unum novum hominem duos populos condidisse, « facientem pacem, et

[49] Job XLI, 15. [50] Jerem. VI, 29. [51] Luc. I, 31, 32. [52] Luc. I, 78. [53] I Cor. XII, 27.

Digitized by Google

reconciliantem in uno corpore ambos in unitatem per spiritum [84]. » Unde lapis summus angularis est nuncupatus, connectens ad unitatem duos populos, ut dixi. Copulavit item angelos in terra degentibus : nos ipsos quoque per se Deo et Patri consociavit, destructo peccato, quod interjacebat, et ceu murus nos ab eo secludebat.

A τεθεῖσθαι λέγειν, ὡς τῶν ἄλλων προὔχοντας καὶ ὑπερκειμένους, ταύτητοι καὶ ἐπισκόπους ὠνομασμένους, καθάπερ ἐγὼμαι. Κατασκέπτεται δὲ δι' αὐτῶν τοὺς εἰς αὐτὸν πιστεύοντας ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός. Λίθος γε μὴν κασσιτέρινος, καὶ καθ' ἕτερον ἂν νοοῖτο τρόπον ὁ Χριστός. Ὁ γάρ τοι κασσίτερος συνάπτει πρὸς ἕνωσιν τὰ διῃρημένα, κολλητικὴν ἔχων τὴν φύσιν. Πέπραχε δέ τι τοιοῦτον καὶ εἰς ἡμᾶς ὁ Χριστὸς, εἴπερ ἐστὶν ἀληθὲς, ὡς εἰς ἕνα καινὸν ἄνθρωπον τοὺς δύο κτίζει λαοὺς, « Ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάσσων ἐν ἑνὶ σώματι τοὺς ἀμφοτέρους, εἰς τὴν διὰ πνεύματος ἕνωσιν. » Ὅθεν καὶ λίθος ἀκρογωνιαῖος ὠνόμασται, συνδέων εἰς ἕνωσιν τοὺς δύο λαοὺς, ὡς ἔφην. Συνῆψε δὲ καὶ ἀγγέλους τοὺς ἐπὶ τῆς γῆς· ἀλλὰ καὶ ἡμᾶς δι' αὐτοῦ τῷ Θεῷ καὶ Πατρὶ, τὴν μεταξὺ κειμένην καὶ πάλαι διατειχίζουσαν καθελὼν ἁμαρτίαν.

VERS. 11-14. *Et respondi, et dixi ad eum : Quid duæ olivæ, quæ a dextris candelabri et a sinistris ? Et interrogavi secundo, et dixi ad eum : Quid hi duo rami olivarum, qui in manibus duarum narium aurearum, infundentium et retrahentium infusoria aurea ? Et dixit ad me : Non scis quid sunt hæc ? Et dixi : Nequaquam, Domine. Et ait : Isti duo filii pinguedinis astiterunt Domino omnis terræ.*

Καὶ ἀπεκρίθην, καὶ εἶπα πρὸς αὐτόν· Τί αἱ δύο ἐλαῖαι αὗται, αἱ ἐκ δεξιῶν τῆς λυχνίας, καὶ ἐξ εὐωνύμων; Καὶ ἐπηρώτησα ἐκ δευτέρου, καὶ εἶπα πρὸς αὐτόν· Τί οἱ δύο κλάδοι τῶν ἐλαιῶν, οἱ ἐν ταῖς χερσὶ τῶν δύο μυξωτήρων τῶν χρυσῶν, τῶν ἐπιχεόντων καὶ ἐπαναγόντων τὰς ἐπαρυστρίδας τὰς χρυσᾶς; Καὶ εἶπε πρός με· Οὐκ οἶδας τί ἐστι ταῦτα; Καὶ εἶπα· Οὐχί, Κύριε. Καὶ εἶπεν· Οὗτοι οἱ δύο υἱοὶ τῆς πιότητος παρεστήκασι Κυρίῳ πάσης τῆς γῆς.

XXVIII. Animus sanctorum discendi cupidissimus est. Proinde nihil in visione ostensorum prophetæ prætermittit, et perlibenter sciscitatur, et de singulis exactius inquirit, quidnam significati complectantur. Oportebat igitur ita poscenti voce angeli declarari, cujus rei symbolum essent, quæ a dextris et sinistris **693** lampadis stabant olivæ duæ. Curiosius itaque indagat, et discere cupit. Vide autem, quomodo iterato percontetur, modumque percontationis ad veritatem quasi immutet. Duas enim olivas nominavit in principio : sed mentis oculo acutius visa intuitus, non amplius olivas, sed ramos olivarum nominat. Scite itaque interroganti explicat mox beatus angelus, et ait ipsos esse duos filios pinguedinis, ut lætantes, et oleo Christi in deliciis viventes, et gratia Spiritus affatim pinguescentes. Misericordiam enim obtinuimus, justificati gratis per fidem [85], et propter communionem sancti Spiritus consortes divinæ ejus naturæ effecti [86]. Itaque in oleo et lucernis duorum populorum fundatio et assistentia intelligitur. In lumine enim est vocatio nostra, et ut in oleo quod est a Deo : quandoquidem vere nobis dicere concessum est, nos misericordiam consecutos, a morte et peccato liberatos, et veterrima servitute cervices nostras expeditas. Illuminati autem sumus, unum natura Deum agnoscentes, et e tenebris quibus nos error multiplicis idololatriæ involverat, egressi. Verum quid sibi velint olivæ, et quid moverit beatum prophetam, ne amplius olivas, sed ramos potius olivarum dicendas putaret, age disquiramus. Bona igitur, seu frugifera oliva Judæorum Synagoga, agrestis oliva gentium multitudo vocata est. Sic enim ipsarum beatus Paulus meminit, credentes ex gentibus alloquens : « Si enim tu ex na-

ΚΗ'. Φιλομαθὴς ἄγαν τῶν ἁγίων ὁ νοῦς. Τοιγάρτοι παρίησι μὲν ὁ προφήτης τῶν ἐν τῇ ὁράσει δεικνυμένων οὐδὲν, φιλοπευστεῖ δὲ, καὶ λίαν, καὶ περὶ ἑκάστου λεπτῶς ἀναπυνθάνεται τὸ, τί ἂν βούλοιτο δηλοῦν. Ἔδει τοίνυν οὕτως ἔχοντι γνώμης διατρανοῦσθαι διὰ τοῦ τῆς ἀγγέλου φωνῆς, τίνος ἂν εἴη σύμβολον ἡ εἰς δεξιόν τε καὶ εὐώνυμον τοῦ λαμπαδίου στάσις τῶν ἐλαιῶν. Ταύτητοι περιεργάζεται, καὶ ἀναμανθάνειν ἀξιοῖ. Ἄθρει δὲ ὅπως δευτέραν ἐπάγει τὴν πεῦσιν, καὶ μὴν καὶ μεταπλάττει πως εἰς τὸ ἀτρεκὲς τὸν τῆς ἐρωτήσεως τρόπον. Δύο μὲν γὰρ ἐλαίας ὠνόμαζεν ἐν ἀρχαῖς· λεπτότερον δέ πως τῆς διανοίας τὸν ὀφθαλμὸν τοῖς ὁρωμένοις ἐνιεὶς, οὐκ ἔτι μὲν ἐλαίας, κλάδους δὲ μᾶλλον ὠνόμαζεν ἐλαιῶν. Ἐρομένῳ δὴ οὖν εὐτέχνως ἀποφαίνεται λοιπὸν ὁ μακάριος ἄγγελος, καὶ φησιν αὐτοὺς τοὺς δύο εἶναι υἱοὺς τῆς πιότητος, ὡς εὐφραινομένους τε καὶ ἐνσπαταλῶντας ἐλαίῳ τῷ παρὰ Χριστοῦ, καὶ τῇ τοῦ Πνεύματος χάριτι πλουσίως πιαινομένους. Ἠλεήθημεν γὰρ, δικαιούμενοι δωρεὰν διὰ τῆς πίστεως, καὶ κοινωνοὶ τῆς θείας αὐτοῦ φύσεως ἀναδεδειγμένοι, διὰ τοῦ μετασχεῖν ἁγίου Πνεύματος. Οὐκοῦν ἐν ἐλαίῳ τε καὶ λύχνοις ἡ τῶν δύο λαῶν ἵδρυσίς τε καὶ παράστασις. Ἐν φωτὶ γὰρ ἡμῶν ἡ κλῆσις, καὶ ὡς ἐν ἐλαίῳ τῷ παρὰ Θεοῦ· εἴπερ ἐστὶν ἀτρεκὲς εἰπεῖν, ὡς ἠλεήμεθα μὲν, θανάτου καὶ ἁμαρτίας ἀπηλλαγμένοι, καὶ δουλείας τῆς ἀρχαιοτάτης ἀπολύσαντες τὸν αὐχένα. Πεφωτίσμεθα δὲ, ἕνα τὸν φύσει Θεὸν ἐπιγινώσκοντες, καὶ τῆς πολυθέου πλάνης τὸν σκότον ἐκβεβηκότες. Ἀλλὰ τίς ἂν εἴη καὶ ὁ τῶν ἐλαιῶν λόγος, τί δὲ ἄρα τὸ πεπεικὸς τὸν μακάριον προφήτην, μὴ δὴ χρῆναι λέγειν αὐτὰς ἐλαίας μὲν ἔτι, κλάδους δὲ μᾶλλον ἐλαιῶν, φέρε δὴ, φέρε περιαθρήσωμεν. Καλλιέλαιος μὲν τοίνυν ἡ τῶν Ἰουδαίων κεχρημάτικε Συναγωγὴ, ἀγριέλαιός γε μὴν τῶν ἐθνῶν ἡ πλη-

[84] Ephes. II, 16. [85] Rom. III, 24. [86] II Petr. I, 4.

Digitized by Google

θύς. Οὕτω γὰρ αὐτῶν διαμέμνηται καὶ ὁ μακάριος Παῦλος, λέγων πρὸς τοὺς ἐξ ἐθνῶν πιστεύσαντας· « Εἰ γὰρ σὺ ἐκ τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου, καὶ παρὰ φύσιν ἐνεκεντρίσθης εἰς καλλιέλαιον, πολλῷ μᾶλλον οὗτοι οἱ κατὰ φύσιν ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ. » Οὐκοῦν καλλιέλαιος μὲν ἡ Συναγωγή, καθάπερ ἔφην ἄρτίως, ἀγριέλαιος δὲ ἡ τῶν ἐθνῶν ἀγέλη. Οἱ μὲν γὰρ, τὴν διὰ νόμου παίδευσιν ἔχοντες, οὐκ ἄκαρποι διετέλουν· οἱ δὲ ἦσαν σφηκῶν ἀγρίων ἐνδιαιτήματα, πλήρη δαιμονίων ἔχοντες τὸν νοῦν, καὶ ἄκαρποι παντελῶς. Πλὴν οὔτε πᾶσα ἡ τῶν Ἰουδαίων Συναγωγὴ τὴν εἰς Υἱὸν παρεδέξατο πίστιν, οὔτε μὴν ὅλη τῶν ἐθνῶν ἡ πληθύς· ἐξεσπασμένοι δὲ ὥσπερ ἐφ' ἑκάστης ἠλέηνται πολλοὶ, καὶ κέκληνται διὰ τῆς πίστεως εἰς τὸν διὰ τοῦ Πνεύματος φωτισμόν. Κλάδοι δὴ οὖν ἐλαιῶν οἱ ἀπεσπασμένοι νοοῖντ' ἂν εἰκότως, οἳ καὶ ἠλέηνται διὰ τῆς χάριτος, καὶ ὡς ἐν φωτὶ γεγόνασι τοῦ λαμπαδίου, τουτέστι, Χριστοῦ, καὶ τῶν ἑπτὰ συναναλαμπόντων λύχνων, τουτέστι, τῆς τῶν ἁγίων πληθύος. Ἄθρει δὲ ὅπως ὁ θεσπέσιος ἄγγελος εἰς εἰκόνα καὶ ὑποτύπωσιν τοῦ Ἐμμανουὴλ παραδέχεται τὸ λαμπάδιον. Τεθειμένων γὰρ τῶν κλάδων ἐκ δεξιῶν αὐτοῦ, καὶ ἐξ εὐωνύμων (οὓς καὶ υἱοὺς τῆς πιότητος ὠνόμασε δύο), παρεστάναι φησὶν αὐτοὺς τῷ Κυρίῳ πάσης τῆς γῆς, τῆς παραστάσεως ἐν τύποις κατασημαινούσης εὖ μάλα τὴν οἰκειότητα τὴν πνευματικὴν, καὶ τὸ ἕτοιμον τῆς γνώμης εἰς γε τὸ δεῖν ὑποκεῖσθαί τε καὶ ὑπηρετεῖν αὐτῷ. Ὧδε γὰρ ἂν νοοῖτο Χριστὸς παραστήσας ἑαυτῷ τὴν Ἐκκλησίαν, τὴν ἐκ δύο λαῶν συναγηγερμένην. Κατὰ τοῦτον, οἶμαι, τὸν τρόπον τῷ τῆς παραστάσεως ὀνόματι καὶ ὁ θεσπέσιος Μωσῆς κατεκαλλύνετο, Θεοῦ πρὸς αὐτὸν εἰρηκότος· Σὺ δὲ αὐτοῦ στῆθι μετ' ἐμοῦ. Οὐ γὰρ ἀπόβλητος ἡ διὰ νόμου παίδευσις παρά γε τῷ πάντα εἰδότι Θεῷ. Διὰ ποίαν αἰτίαν; Παιδαγωγεῖ γὰρ εἰς Χριστὸν καὶ ὡς ἐν τύποις καὶ σκιαῖς αὐτὴν ἡμῖν ὠδίνει τὴν ἀλήθειαν, καὶ τοῦτο ἡμᾶς πιστώσεται λέγων αὐτὸς ὁ Χριστὸς πρὸς τοὺς ἀπιστοῦντας Ἰουδαίους· « Εἰ ἐπιστεύετε Μωσεῖ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψε. »

A turali oleastro excisus es, et contra naturam insertus es in bonam olivam, quanto magis ii, qui secundum naturam suæ olivæ inserentur [87]? » Est ergo bona oliva Synagoga, ut jam dixi, agrestis autem grex gentium. Illi enim per legem eruditi, semper erant frugiferi : at isti vesparum atrocium diversoria, mentem habentes plenam dæmonibus, et infructuosi ac steriles omnino. Verumtamen nec tota Judæorum Synagoga fidem in Filium suscepit, nec gentium universitas, sed quasi utrinque extracti, misericordiam adepti sunt multi, et per fidem ad illuminationem per Spiritum vocati sunt. Rami ergo olivarum qui extracti sunt, convenienter intelligi queant, qui et misericordiam per gratiam invenerunt, et velut in lumen lampadis, hoc B est, Christi, et septem collucentium lucernarum, hoc est, sanctorum multitudinis evaserunt. **694** Animadverte insuper quomodo sacer angelus ad imaginem et descriptionem Emmanuelis lampadem assumat. Positis enim ramis a dextris ejus et sinistris (quos et duos filios pinguedinis nominat), astare illos dicit Domino universæ terræ, assistentia hoc loco familiaritatem et promptam voluntatem ad ei obtemperandum ministrandumque significante. Sic enim potest intelligi Christus fecisse sibi astare Ecclesiam ex duobus populis congregatam. Hoc modo, opinor, nomine assistentiæ etiam divinus Moses ornatus est, cum Deus ad eum loqueretur : « Tu vero sta illic mecum [88]. » Non enim legalem institutionem Deus omnia sciens abjicit. Quam ob causam? Quia est pædagogus ad Christum [89], et tanC quam in typis et umbris ipsam nobis veritatem parturit. Testis Christus ipse, sic affando Judæos incredulos, « Si crederetis Mosi, utique crederetis et mihi; de me enim ille scripsit [90]. »

ΚΕΦΑΛ. Ε'.

Καὶ ἐπέστρεψα, καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ ἴδον, καὶ ἰδοὺ δρέπανον πετόμενον. Καὶ εἶπε πρός με· Τί σὺ βλέπεις; Καὶ εἶπα· Ἐγὼ ὁρῶ δρέπανον πετόμενον μήκους πήχεων εἴκοσι, καὶ πλάτους πήχεων δέκα. Καὶ εἶπε πρός με· Αὕτη ἡ ἀρὰ ἡ ἐκπορευομένη ἐπὶ πρόσωπον πάσης τῆς γῆς. Διότι πᾶς ὁ κλέπτης ἐκ τούτου ἕως θανάτου ἐκδικηθήσεται, καὶ πᾶς ὁ ἐπίορκος ἐκ τούτου ἕως θανάτου ἐκδικηθήσεται. Καὶ ἐξοίσω αὐτὸ, λέγει Κύριος παντοκράτωρ, καὶ εἰσελεύσεται εἰς τὸν οἶκον τοῦ κλέπτου, καὶ εἰς τὸν οἶκον τοῦ ὀμνύοντος τῷ ὀνόματί μου ἐπὶ ψεύδει, καὶ καταλύσει ἐν μέσῳ τοῦ οἴκου αὐτοῦ, καὶ συντελέσει αὐτὸν, καὶ τὰ ξύλα αὐτοῦ, καὶ τοὺς λίθους αὐτοῦ.

CAP. V.

D VERS. 1-4. *Et conversus sum, et levavi oculos meos, et vidi, et ecce falx volans. Et dixit ad me : Quid tu vides? Et dixi : Ego video falcem volantem, longitudinis cubitorum viginti, et latitudinis cubitorum decem. Et dixit ad me : Hæc maledictio quæ egreditur super faciem universæ terræ. Quia omnis fur ex hoc usque ad mortem punietur : et omnis perjurus ex hoc usque ad mortem cruciabitur. Et educam illud, dicit Dominus omnipotens, et ingredietur in domum furis, et in domum jurantis in nomine meo in mendacio, et requiescet in medio domus ejus, et consumet eam, et ligna ejus, et lapides ejus.*

ΚΘ'. Τὸ, *ἐπέστρεψα*, πάλιν ἐν τούτοις, οὐκ ἄν, οἶμαι, τις ἐκλάβοιτο ἐπὶ τόπου· ἀλλ' ὡς ἐν ἀμείψει πάλιν τῇ καθ' ἑτέραν ὅρασιν. Ἐκκοπτομένης γὰρ

XXIX. Iterum in his verbum *conversus sum*, nemo, ut existimo, de loco interpretabitur, sed de mutatione secundum alteram visionem. Priore enim

[87] Rom. xi, 24. [88] Deut. v, 31. [89] Galat. iii, 24. [90] Joan. v, 46.

Digitized by Google

veluti præcisa, visioneque ad aliam contemplationem transeunte, nomine conversionis id quod evenit tacite indicat. Mentis igitur oculos in altum tollit, deinde falcem avis instar in sublime elatam, et quasi in totum orbem desilientem videt. **695** Ea erat perquam lata et longa. Nam viceni cubiti longitudo ejus, cujus dimidium latitudo continebat. Quærente rursum angelo quid esset, et propheta respondente, se nescire : « Hæc, inquit ille, est maledictio egrediens super faciem universæ terræ, » et pœnis respondentibus induens perjurum, et cum eo furem. Et quod quidem ad manifestiorem hujus ostenti declarationem attinet, nulla est difficultas. Maledictio enim divina fures et cum his pejerare solitos plane occupabit, et propemodum falce protervos demetens, fenum tectorum reddet [61], et igni alimentum dabit, et in domum viri ingressa, talem rursus ipsum conficiet, et agitabit strenue. Censeo porro causas proficiendi studio curiosius perscrutandas, ob quas præsens quam in manibus habemus visio cæteris adjungi debuit. Quare (inquiet aliquis æquitatis studiosorum) cum plurima peccata committerentur in vita, et tum filii Israel diversis se criminibus commaculassent, solis furibus et perjuris supplicium falcis ingruisse dicit, sive egredi maledictionem, detondentem quos deprehenderit, et consumentem penitus ? Ad hæc respondemus, Deum singulis temporibus conducentia locutum esse per prophetas sanctos audientibus semper consulentem. Illo igitur tempore viventibus hanc visionem maxime notam esse oportebat. Causas subjiciemus, et opportunissimam fuisse demonstrabimus. Etenim simul atque Chaldæa relicta, et a jugo servitutis vindicati Israelitæ in Judæam reverterunt, Hierosolymamque receperunt, cum eos veteribus illis delictis modum ponere, et regressos ad salutaria, anteacta emendare, et liberatorem, voluntati ejus serviendo recreare conveniret, nihilominus in scelere perseverabant, præscripta legum libere violantes. Nam cum vetuisset Moses conjugia cum alienigenis mulieribus [62], illi hujus mandati securi, cum filiabus vicinarum gentium corpora copulabant, alienorumque liberorum patres efficiebantur, et insuper sanctam civitatem impio semine replebant. Erant porro quidam inter illos honoratiores ab hujuscemodi piaculo haud immunes, quod Esdras deflebat ; quin et accedens ad divinam domum pro impiis fundebat preces. **696** Quid postmodum evenerit, ex scriptis ejus cognoscemus, ubi ita legimus : « Et postquam orans Esdras quod erat exposuit flens et humi cadens coram templo, collecti sunt ad eum ab Hierosolymis turbæ multæ nimis, viri et mulieres et adolescentes : magnus enim erat fletus in populo. Et respondens Jechonias filius Jeeli de filiis Israel, dixit Esdræ : Nos prævaricati sumus in Dominum Deum, et duximus nobis uxores alienas de populis terræ, et cohabitat illis om-

ὥσπερ τῆς πρώτης, καὶ μεταφοιτώσης τῆς ὄψεως ἐπὶ θεωρίαν ἑτέραν, τῷ τῆς ἐπιστροφῆς ὀνόματι τὸ συμβὰν ὑποφαίνει. Αἴρει τοίνυν εἰς ὕψος τῆς διανοίας τοὺς ὀφθαλμούς, εἶτα δρέπανον ὁρᾷ, πτηνοῦ δίκην, ὑψοῦ τε ἠρμένον, καὶ οἷον εἰς πᾶσαν διᾴττον τὴν γῆν. Ἦν δὲ δὴ λίαν εὐρύ τε καὶ εὔμηκες. Εἰκοσάπηχυ μὲν γὰρ τὸ μῆκος αὐτῷ, ἐν ἡμίσει δὲ τούτου τὸ πλάτος. Ἐρομένου δὲ τοῦ ἀγγέλου, τί ἂν εἴη πάλιν, καὶ μὴ εἰδέναι φάσκοντος τοῦ προφήτου, « Αὕτη, φησὶν, ἡ ἀρὰ ἡ ἐκπορευομένη ἐπὶ πρόσωπον πάσης τῆς γῆς, » καὶ ταῖς αὐτῇ πρεπούσαις ἐνιεῖσα ποιναῖς τὸν ἐπίορκον, καὶ σὺν αὐτῷ τὸν κλέπτην. Καὶ ὅσον μὲν ἥκει εἰς ἐμφανεστέραν δήλωσιν τὴν ἐπί γε τῷ δεδειγμένῳ, δυσχερὲς οὐδέν. Ἀρὰ γὰρ θεία πάντη τε καὶ πάντως κατανεμηθήσεται τοὺς κλέπτας, καὶ προσέτι σὺν τούτοις τοὺς ψευδορκεῖν εἰωθότας καὶ μονονουχὶ δρεπάνῳ τοὺς ὑβριστὰς ἀποκείρουσα, χόρτον ἀποφανεῖ δωμάτων, καὶ πυρὶ δώσει τροφὴν, καὶ εἰς οἶκον ἀνδρὸς εἰσελῶσα, τοιοῦτον συντελέσει τε πάλιν αὐτὸν, καὶ καταδονήσει γεννικῶς. Χρῆναι δὲ οἶμαι φιλομαθῶς πολυπραγμονεῖν τὰς αἰτίας, ἐφ' αἷς ἡ παροῦσα, καὶ ἐν χερσὶν ἡμῖν ὅρασις, ὡς ἀναγκαία ταῖς ἄλλαις συνεισκεκόμισται. Ἀνθ' ὅτου δὲ, φαίη τις ἂν τῶν ἐπιεικεστέρων, πλείστων τε ὅσων πλημμελημάτων ὄντων κατὰ τὸν βίον, καὶ μὴν ἐν διαφόροις ὄντων αἰτιαμάτων τὸ τηνικάδε τῶν ἐξ Ἰσραὴλ, κατὰ μόνων κλεπτῶν τε καὶ ψευδομοτῶν τὴν διὰ τοῦ δρεπάνου ποινὴν ἐπηρτῆσθαί φησιν, ἤγουν ἐκπορεύεσθαι τὴν ἀρὰν, ἀποκείρουσαν τοὺς ἀλισκομένους, καὶ συντελοῦσαν εἰς ἄπαν ; Πρὸς δὴ τὰ τοιαῦτά φαμεν, ὅτι τὰ ἑκάστῳ χρήσιμα καιρῷ διὰ τῶν ἁγίων προφητῶν ἐλάλει Θεὸς, ἀεί πως ὠφελῶν τοὺς ἀκούοντας. Ἦν οὖν ἀναγκαῖον τοῖς τὸ τηνικάδε μάλιστα ταύτην σαφῆ γενέσθαι τὴν ὅρασιν. Ἐπίσομεν δὲ τὰς αἰτίας, ἐπικαιροτάτην οὖσαν δεικνύντες. Ἐπειδὴ γὰρ τὴν τῶν Χαλδαίων ἀφέντες μόλις οἱ ἐξ Ἰσραὴλ, καὶ τὸν τῆς δουλείας ἀπολυσάμενοι ζυγὸν, ἀπενόστησαν εἰς τὴν Ἰουδαίαν, καὶ ἦσαν ἐν τοῖς Ἱεροσολύμοις, δέον ἀπέχεσθαι τῶν ἀρχαίων ἐκείνων πλημμελημάτων, καὶ ταῖς εἰς τὸ ἄμεινον ἀναδρομαῖς ἐπανορθοῦν τε τὰ φθάσαντα, καὶ κατευφραίνειν τὸν λυτρωτὴν, τὰ αὐτῷ δοκοῦντα πληροῦν ἠρημένους, οὐδὲν ἧττον ἦσαν ὁποῖοι καί ποτε, παραλύοντες ἀφυλάκτως τὸ τῷ νόμῳ δοκοῦν. Ἀποφάσκοντος γὰρ τοῦ Μωσέως τὸ δεῖν αὐτοὺς ἀλλοφύλοις ἐπιμίγνυσθαι γυναιξὶν, αὐτοὶ τῶν τεθεσπισμένων ὀλίγα πεφροντικότες, ταῖς τῶν ὁμόρων ἐθνῶν συνεπλέκοντο θυγατράσι, καὶ τέκνων ἦσαν ἀλλοτρίων πατέρες, καὶ ἀνοσίου σπέρματος πλήρη πάλιν ἀποφαίνοντες τὴν ἁγίαν πόλιν. Ἦσαν δέ τινες καὶ τῶν ἐν αὐτοῖς ἐπιφανεστέρων τοῖς τοιούτοις ἐνισχημένοι πταίσμασιν, οὗ δὴ γεγονότος κατεθρήνει μὲν ὁ Ἔσδρας, καὶ δὴ καὶ τὸν θεῖον οἶκον καταλαβών, τὰς ὑπέρ γε τῶν ἠσεβηκότων ἐποιεῖτο λιτάς. Εἶτα εἰ γενέσθαι συμβέβηκεν, ἐξ αὐτῶν εἰσόμεθα τῶν αὐτῷ γεγραμμένων· ἔχει δὲ οὕτω· « Καὶ ὅτε προσευχόμενος Ἔσδρας ἀνθωμολογεῖτο, κλαίων, χαμαιπετὴς ἔμπροσθεν τοῦ ἱεροῦ, ἐπισυνήχθησαν

[61] Psal. CXXVIII, 6. [62] Exod. XXXIV, 16 ; Deut. VII, 3 seqq.

Digitized by Google

πρὸς αὐτὸν ἀπὸ Ἱεροσολύμων ὄχλοι πολλοὶ σφόδρα, ἄνδρες, καὶ γυναῖκες, καὶ νεανίαι· κλαυθμὸς γὰρ ἦν μέγας ἐν τῷ πλήθει. Καὶ φωνήσας Ἰεχονίας Ἰεήλου τῶν υἱῶν Ἰσραὴλ εἶπεν Ἔσδρᾳ· « Ἡμεῖς ἡμάρτομεν εἰς Κύριον τὸν Θεὸν, καὶ συνῳκίσαμεν ἑαυτοῖς γυναῖκας ἀλλογενεῖς ἀπὸ τῶν ἐθνῶν τῆς γῆς, καὶ σύνεστιν αὐταῖς πᾶς Ἰσραήλ. Ἐν τούτῳ γενέσθω ἡμῖν ὁρκωμοσία πρὸς τὸν Κύριον, ἐκβαλεῖν πάσας τὰς γυναῖκας ἡμῶν, τὰς ἐκ τῶν ἀλλογενῶν, σὺν τοῖς τέκνοις αὐτῶν, ὡς ἐκρίθη σοὶ καὶ ὅσοι πειθαρχοῦσι τῷ νόμῳ. Ἀνάστα, ἐπιτέλει· πρὸς σὲ γὰρ τὸ πρᾶγμα, καὶ ἡμεῖς μετὰ σοῦ ἰσχὺν ποιεῖν. Καὶ ἀναστὰς Ἔσδρας, ὥρκισε τοὺς φυλάρχους τῶν ἱερέων, καὶ Λευιτῶν παντὸς Ἰσραὴλ ποιῆσαι κατὰ ταῦτα, καὶ ὤμοσαν. » Ὁμωμοκότι δὴ οὖν τῷ νόμῳ δοκοῦντα πληροῦν, ἦν πως ἀναγκαῖον ἐπαρτῆσαι τὴν ἀρὰν, τὴν τοῖς ψευδορκεῖν εἰωθόσιν ἀπηνῶς ἐπιθρώσκουσαν, ἵνα καὶ γένοιντο φύλακες τῶν ὁμωμοσμένων. Ἐπειδὴ δὲ οἰκοδομουμένου τοῦ θείου ναοῦ πολλὴ χρημάτων ἄθροισις ἦν, τοῦτο μὲν Δαρείου νέμοντος, τοῦτο δὲ τοῦ λαοῦ προσκεκομικότος, εἶτά τινας ἦν εἰκὸς τῶν τὰ τοιάδε διοικεῖν ἐπιτεταγμένων ἀπονοσφίζεσθαί τινα τῶν εἰς δόξαν Θεοῦ προσκεκομισμένων. Ταύτῃ τοι καὶ κατὰ κλεπτῶν λέναι τὴν ἀρὰν μάλα φησὶν, ἵνα καὶ αὐτοὶ λημμάτων αἰσχρῶν γεγονότες ἀμείνους, μὴ τῶν ἱερῶν ἅπτοιντο χρημάτων, εἰς ἰδίας αὐτὰ δαπανῶντες χρείας. Αὕτη μὲν οὖν ἡ τῆς ὁράσεως πρόφασις. Χρὴ δὲ δεδιέναι τὴν ἀρὰν, καὶ τὴν τοῦ δρεπάνου τομὴν τούς τε κλέπτειν ἢ ψευδορκεῖν εἰωθότας, ὅτι πάντη τε καὶ πάντως εἰς πέρας οἴσει Θεὸς τὰ διωρισμένα, καὶ οὔτε κλεπτῶν, οὔτε μὴν τῶν ἑτέρων φείσεται. Ποιεῖται γάρ πως ἀεὶ κατεστυγμένους, τοὺς τῆς θείας αὐτοῦ καταφρονοῦντας δόξης, καὶ τοὺς ἁπλήστῳ γνώμῃ τῶν οὐδὲν αὐτοῖς προσηκόντων ἐφιεμένους.

A nis Israel. In hoc percutiamus fœdus cum Domino ad ejiciendum omnes mulieres nostras ex alienigenis, cum liberis ipsarum, ut judicatum est a te, et omnibus qui huic legi obtemperant. Surge, fac, ad te enim negotium pertinet, et nos tecum ad confortandum. Et surrexit Esdras, et adjuravit principes sacerdotum et Levitarum totius Israel ut facerent secundum hæc; et juraverunt [65]. » Cum jurassent igitur de legum decretis exsequendis, necessarium erat maledictionem supra caput esse, quæ pejerare solitos inclementer invadit, ut juratis starent. Postquam autem templo divino exædificando grandis pecunia exacta est, partim Dario donante, partim populo offerente, verisimile erat, quosdam ad eam dispensandam constitutos quædam ad Dei gloriam oblata avertere [66]. Quare et B maledictionem furibus superventuram rectissime dicit, ut et ipsi a turpi quæstu invicti, pecuniam sacram ne attingerent, ad privatos usus eam conferentes. Atque hæc visionis est occasio. Formidanda autem est maledictio et falcis sectio furto et perjurio assuetis, quoniam Deus ad exitum omnino perducet quæ decrevit, et neque furibus, neque aliis parcet. Odit enim semper divinam suam gloriam contemnentes, et animo inexplebili nihil ad se pertinentia concupiscentes.

Καὶ ἐξῆλθεν ὁ ἄγγελος, ὁ λαλῶν ἐν ἐμοὶ, καὶ C *εἶπε πρός με· Ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου, καὶ ἴδε τὸ ἐκπορευόμενον τοῦτο. Καὶ εἶπα· Τί ἐστι; Καὶ εἶπε· Τοῦτο τὸ μέτρον τὸ ἐκπορευόμενον. Καὶ εἶπεν· Αὕτη ἡ ἀδικία αὐτῶν ἐν πάσῃ τῇ γῇ. Καὶ ἰδοὺ τάλαντον μολίβδου ἐξαιρόμενον, καὶ ἰδοὺ γυνὴ μία ἐκάθητο ἐν μέσῳ τοῦ μέτρου. Καὶ εἶπεν· Αὕτη ἐστὶν ἡ ἀνομία. Καὶ ἔρριψεν αὐτὴν εἰς μέσον τοῦ μέτρου, καὶ ἔρριψε τὸν λίθον τοῦ μολίβδου εἰς τὸ στόμα αὐτῆς.*

VERS. 5-8. *Et egressus est angelus qui loquebatur in me, et dixit ad me: Suspice oculis tuis, et vide quid est hoc quod egreditur. Et dixi: Quid est? Et dixit: Hæc est mensura quæ egreditur. Et dixit: Hæc est iniquitas eorum in omni terra. Et ecce talentum plumbi elevatum, et ecce mulier una sedebat in medio mensuræ. Et dixit: Hæc est iniquitas. Et projecit eam in medium mensuræ, et projecit lapidem plumbi in os ejus.*

Α'. Φθάσας ἔφην, τῆς εἰς τὸν προφήτην σαφηνείας ἀρχόμενος, ὅτι μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον, ἅπερ ἐν τῷ καιρῷ τῆς αἰχμαλωσίας τέθεινται, ταῦτα τοῖς λελυτρωμένοις ἀφηγεῖται χρησίμως. Ἐπειδὴ γὰρ αὐτοὺς ἐθεᾶτο καταῤῥᾳθυμοῦντας ἄγαν τοῦ χρῆναι πληροῦν τὰ νενομισμένα, καὶ ἀποκλίναντας μὲν D ἀκαθέκτως εἰς γε τὸ σφίσιν αὐτοῖς ἡδύ τε καὶ φίλον, ὀλίγα δὲ παντελῶς τῶν διὰ Μωσέως πεφροντικότας νόμων (συνεπλέκοντο γὰρ καὶ ἀλλοφύλοις γυναιξὶ, καὶ ἤδη τινὲς ὁλοτρόπως ἔξω βαίνοντες τοῦ εἰκότος, ἐτελέσθησαν εἰδώλοις, καί τινα πρὸς τούτοις ἔδρων ἃ μηδὲ θέμις εἰπεῖν)· ἀναγκαίαν ὁ προφήτης τῶν δραμάτων ποιεῖται τὴν ἀφήγησιν, ἵν' εἰδεῖεν οἱ λελυτρωμένοι μόλις, ὁποίαις ἀνθρώπων καὶ ἀγίων ἀγγέλων λιταῖς τὸ χρῆμα κερδαίνοντες αὐτοὶ, κατὰ σφῶν παραθήγουσι πάλιν τὸν τῶν ὅλων Θεὸν, ταῖς τῶν ἁρ-

697 XXX. Initio declarationum mearum in hunc prophetam docui, eum post reditum e Babylone, quæ tempore captivitatis acciderint, libertate potitis fructuose narrare. Quoniam enim eos ad sancita legum præstanda vehementer segnes perspiciebat, et ad voluptates suas explendas toto impetu declinasse, et leges Mosi in postremis ducere cœpisse (implicuerant enim sese peregrinis mulieribus, et jam nonnulli metas æquitatis penitus egressi, idolis initiati erant, et insuper faciebant quæ proferre pudor vetat), necessario prophetæ quæ acta sunt commemorat, ut cognoscant liberati tandem, quibus hominum sanctorumque angelorum precibus libertatem adepti, contra semetipsos denuo universorum Deum concitent, a pristinis delictis tanquam morbis correpti. Ait ergo:

[65] I Esdr. x, 1, 9. [66] I Esdr. vi, 1 seqq.

Digitized by Google

« Egressus est angelus qui loquebatur in me. » Quo egressus ? aut ubi tandem erat ? Ab ostensione falcis ad propositam visionem, de mensura scilicet, facta est egressio. Tollit ergo propheta in altum oculos, quibus ad sublimia percurrenda exercitatis fas sit cum divina virtute mysterium contemplari. Quærit igitur quid sit, quod ostenditur. Tum angelus : « Hæc est, inquit, mensura quæ egreditur. Hæc est iniquitas eorum in omni terra. » Jam quid mensura sit, videndum est. Dicimus itaque natura bonum et hominum amantem esse universorum Dominum. Peccantes enim tolerat, et inique agentes sustinet, uniuscujusque pœnitentiam exspectans. Quod si quis etiam diu peccando processerit, supremamque Dei patientiam expertus fuerit, tum denique pœnis subjicietur, et tam diuturnæ socordiæ prætexere nihil poterit : nec illum quisquam a pœnis, commissis ejus paribus eripiet. Quapropter Christus populo Judæorum, impotenti vesania ad quidvis nefarium ruenti, inquit : « Et vos implestis mensuram patrum vestrorum [65]. » Mensura igitur quæ apparebat, peccatorum populi in ipsum cumulatam multitudinem ostendebat. In mensura porro mulier sedebat, Iniquitatis modum consummans, et velut per se capacitatem implens : fortassis etiam supereffusa, et qua exstabat, prospiciens. « Et ecce, inquit, talentum plumbi **698** elevatum, et projecit illud in os ejus. » Describit autem nobis iniquitatem visio in habitu mulierculæ : typus enim voluptatis atque etiam infirmitatis est mulier : et omnis iniquitas non aliter committitur, nisi voluptate aliqua ad malum inescante, et infirmitate mentis ad hoc consentiente. Nam si mens in se firma et virilis fuerit, nunquam se ad vitium deflecti patietur. Si autem emollita et incantata ad voluptatem, molestiam sentiet. Pingitur ergo, et congruenter valde, specie mulieris iniquitas. Plumbi autem talentum elevatum et obturans os ejus, nihil aliud, opinor, potest intelligi, præter Dominum nostrum Jesum Christum, qui per crucem pretiosam exaltatus, et iniquitates nostras sustulit in corpus suum super lignum [66], et chirographum contra nos triumphavit [67], ut, sicut ait divinus cantor : « Omnis iniquitas oppilet os suum [68]. » Plumbo autem et ipse comparatur : assumitur enim, ut dixi, plumbum ab argentariis artificibus ad purgationem eorum quæ conflantur. Talis quodammodo virtus Christi in nobis. Si enim in mentem et cor venerit, omnes sordes prorsus abstergit. Censent quidam, projectum esse plumbum in os iniquitatis, velut Deo illud obturante, et immodice ultra peccatores accusare non permittente. Idcirco et quasi fine circumscribitur, omnium miseratore Deo uniuscujusque pœnam sceleribus proportione respondentem definiente.

χαίων αἰτιαμάτων ἐμπλεκόμενοι λαβαῖς. Ἔφη τοίνυν, ὅτι « Ἐξῆλθεν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί. » Ἐξῆλθε δὲ ὅποι; ποῦ γὰρ ἦν ὅλως; Οὐκοῦν ἐκ τῆς τοῦ δρεπάνου δείξεως ἐπὶ τὴν προκειμένην ὅρασιν, τὴν ἐπί γε, φημί, τῷ μέτρῳ, τὸ τῆς ἐξόδου γέγονε χρῆμα. Αἴρει γε μὴν ὁ προφήτης εἰς ὕψος τοὺς ὀφθαλμούς, οἷς διάττειν ὑψοῦ μεμελετηκόσι, πρέποι ἂν εἰκότως τὸ καὶ θείᾳ δυνάμει καταθρεῖν μυστήριον. Ἤρετο δὴ οὖν τί ἄρα ἔστι τὸ δεικνύμενον. Ὁ δὲ πρὸς αὐτόν· « Τοῦτο, φησί, τὸ μέτρον τὸ ἐκπορευόμενον. Αὕτη ἐστὶν ἡ ἀδικία αὐτῶν ἐν πάσῃ τῇ γῇ. » Καὶ τί δὴ τὸ μέτρον, ἀναλογίζεσθαι χρή. Καὶ δὴ καί φαμεν, ὅτι φύσει χρηστὸς, καὶ φιλάνθρωπος ὁ τῶν ὅλων Δεσπότης. Πλημμελοῦσι γὰρ ἀνεξικακεῖ, καὶ παρανομούντων ἀνέχεται, περιμένων τὴν ἑκάστου μετάγνωσιν. Εἰ δὲ δή τις ἴοι καὶ μέχρι πολλοῦ πρὸς τὸ πλημμελὲς, καὶ εἰς πέρας ἥκοι λοιπὸν τῆς αὐτῷ νεμηθείσης ἀνεξικακίας, τὸ τηνικάδε λοιπὸν ποιναῖς ὑποκείσεται, καὶ λόγος αὐτῷ τῆς οὕτω μακρᾶς ῥᾳθυμίας οὐδείς, οὐδ' ἂν ἐξέλοιτο τοῦ χρῆναι λαβεῖν ἰσομέτρους αὐτῶν, ὧν ἂν φαίνοιτο δεδρακὼς τὰς δίκας. Καὶ γοῦν ἔφη που Χριστὸς πρὸς τοὺς τῶν Ἰουδαίων δήμους ἀχαλίνοις ἀπονοίαις πρὸς πᾶν τῶν ἐκτόπων διάττοντας· « Καὶ ὑμεῖς ἀνεπληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν. » Οὐκοῦν μέτρον ἦν τὸ ὁρώμενον, τῆς τῶν λαῶν πλημμελείας ἐφ' ἑαυτῷ δεικνύον τὴν ἀναπλήρωσιν. Ἐνίδρυτο δὲ τῷ μέτρῳ γυνὴ, τῆς ἀνομίας πληροῦσα τὸν τόπον, καὶ οἷον ἀναπιμπλᾶσα δι' ἑαυτῆς τὸ κεχωρηκὸς, τάχα που καὶ ὑπερχεομένη, καὶ τῷ περιττῷ διακύπτουσα. « Ἀλλ' ἰδού, φησὶ, τάλαντον μολίβδου ἐξαιρόμενον, καὶ ἔῤῥιψεν αὐτὸ εἰς τὸ στόμα αὐτῆς. » Γράφει δὲ ἡμῖν τὴν ἀνομίαν ἡ ὅρασις εἰς τὸ τοῦ γυναίου σχῆμα· τύπος γὰρ ἡδονῆς ἡ γυνὴ, καὶ μέντοι καὶ ἀσθενείας· ἀνομία δὲ πᾶσα ὁρῷτο ἂν οὐχ ἑτέρως, πλὴν ὅτι διά τινος ἡδονῆς δελεαζούσης ἐπὶ τὸ φαῦλον. συμβαινούσης πρὸς τούτῳ καὶ τῆς εἰς νοῦν ἀσθενείας. Εἰ μὲν γὰρ εἴη βεβηκὼς ἐφ' ἑαυτῷ, καὶ ἀνδρεῖος ὁ νοῦς, οὐκ ἂν ἕλοιτο παθεῖν τὴν εἰς τὸ φαῦλον ῥοπήν. Εἰ δὲ δὴ μαλακισθείη τε καὶ γοητευθείη πρὸς ἡδονὴν, πείσεται τὸ λυποῦν. Γράφεται δὴ οὖν, καὶ μάλα ὀρθῶς, εἰς ἀνομίαν ἡ γυνή. Μολίβδου δὲ τάλαντον τὸ ἐξαιρόμενον, καὶ μὴν καὶ ἐμφράττον τὸ στόμα αὐτῆς, νοηθείη ἂν οὐχ ἕτερον, οἶμαι, παρὰ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ὃς ὑψώθη διὰ τοῦ τιμίου σταυροῦ, καὶ τὰς ἀνομίας ἡμῶν ἀνήνεγκεν ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον, τεθριάμβευκέ τε τὸ καθ' ἡμῶν χειρόγραφον. Ἵνα, καθά φησιν ὁ θεσπέσιος Μελῳδὸς, « Πᾶσα ἀνομία ἐμφράξῃ τὸ στόμα αὐτῆς. » Μολίβδῳ δὲ καὶ αὐτὸς παρεικάζεται· παραλαμβάνεται δὲ, ὡς ἔφην, ὁ μόλιβδος παρὰ τῶν ἀργυροχοεῖν εἰωθότων, εἰς ἀποκάθαρσιν τῶν χωνευομένων. Τοιαύτη δέ πως τοῦ Χριστοῦ ἡ δύναμις ἐν ἡμῖν. Εἰ γὰρ εἰς νοῦν γένοιτο καὶ καρδίαν, πάντα δὴ πάντως ἐκτήκει ῥύπον. Δοκεῖ δέ τισιν ἐῤῥίφθαι τὸν μόλιβδον εἰς τὸ τῆς ἀνομίας στόμα, οἷον ἐμφράττοντος αὐτὸ τοῦ Θεοῦ, καὶ πέρα μέτρου καταδοᾶν τῶν ἡμαρτηκότων οὐκ ἐφιέντος ἔτι. Ταύτῃ γὰρ δή τοι καὶ μέτρῳ περισχοινίζεται, συναναμετροῦντος, οἶμαί που, τοῦ πάντας οἰκτείροντος Θεοῦ τὰς τῶν πταισμάτων ἐγκλήμασι τὰς ἐφ' ἑκάστῳ δίκας.

[65] Matth. xxiii, 32. [66] I Petr. ii, 24. [67] Coloss. ii, 14. [68] Psal. cvi, 42.

Digitized by Google

Καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ ἴδον, καὶ ἰδοὺ δύο γυναῖκες ἐκπορευόμεναι, καὶ πνεῦμα ἐν ταῖς πτέρυξιν αὐτῶν, καὶ αὗται εἶχον πτέρυγας ἔποπος, καὶ ἀνέλαβον τὸ μέτρον ἀναμέσον τῆς γῆς, καὶ ἀναμέσον τοῦ οὐρανοῦ. Καὶ εἶπα πρὸς τὸν ἄγγελον, τὸν λαλοῦντα ἐν ἐμοί· Ποῦ αὗται ἀποφέρουσι τὸ μέτρον; Καὶ εἶπε πρός με· Οἰκοδομῆσαι αὐτῷ οἶκον ἐν γῇ Βαβυλῶνος, καὶ ἑτοιμάσαι, καὶ θήσουσιν αὐτὸ ἐκεῖ ἐπὶ τὴν ἑτοιμασίαν αὐτοῦ.

A

B

C

D

VERS. 9, 10. *Et levari oculos meos, et vidi, et ecce duæ mulieres egredientes, et spiritus in alis ipsarum, et ipsæ habebant alas upupæ, et elevaverunt mensuram inter terram et cœlum. Et dixi ad angelum, qui loquebatur in me : Quo istæ deferunt mensuram ? Et dixit ad me : Ut ædificent ei domum in terra Babylonis, et præparent, et ponant illam ibi super præparationem suam.*

ΚΑ'. Τί ἂν βούλοιτο δηλοῦν τῶν γυναικῶν ἡ ξυνωρίς, ἢ τίνος ἂν εἶεν εἰς τύπον, ἀναγκαῖον οἶμαί που καὶ πρό γε τῶν ἄλλων εἰπεῖν. Ἔφη τοίνυν ὁ Θεὸς τῷ προφήτῃ Ἰεζεχιήλ· « Υἱὲ ἀνθρώπου, δύο γυναῖκες ἦσαν, θυγατέρες μητρὸς μιᾶς, καὶ ἐξεπόρνευσαν ἐν τῇ Αἰγύπτῳ, ἐν τῇ νεότητι αὐτῶν ἐπόρνευσαν, ἐκεῖ ἔπεσον οἱ μαστοὶ αὐτῶν. » Προσετίθει δὲ τούτοις, σαφέστερον καθιστὰς τὸ διηγγελμένον, « καὶ τὰ ὀνόματα αὐτῶν, Σαμάρεια ἡ Ὁολὰ, καὶ Ἰερουσαλὴμ ἡ Ὁολιβά. » Μία μὲν γὰρ ἦν [ἐν] ἀρχαῖς ἡ τῶν Ἰουδαίων συναγωγή. Κατὰ δέ γε τὸν καιρὸν τῆς τοῦ Ῥοβοὰμ βασιλείας, ἀπορραγεῖσαι τῶν ἄλλων αἱ δέκα φυλαὶ, κατῳκήκασι Σαμάρειαν, καὶ πεπορνεύκασιν ἐπὶ ταῖς δαμάλεσι ταῖς χρυσαῖς, ἃς κατεσκεύασεν Ἱεροβοὰμ υἱὸς Ναβάτ. Πλὴν οὐκ ἔξω τῆς αἰτίας γέγονε . . . . . τουτέστιν, Ἰερουσαλήμ· ἐκπεπόρνευκε γὰρ καὶ αὕτη κατὰ πολλοὺς τρόπους, τοῦτο μὲν εἰδώλοις προσκεκυνηκότων τινῶν, καὶ θυόντων τῇ Βαὰλ, τῇ Ἀστάρτῃ, τοῖς βουνοῖς, ἡλίῳ, σελήνῃ καὶ ἄστροις ἑτέροις· τοῦτο δὲ πρὸς πᾶσαν ἑτοίμως ὄντων ἀκαθαρσίαν, καὶ παρ' οὐδὲν τὰ διὰ τοῦ πανσόφου Μωσέως τεθεσπισμένων τιθέντων. Τὰς δύο δὴ οὖν τῶν ἐξ Ἰσραὴλ συναγωγὰς δυσὶ γυναιξὶν ἀφομοιοῖ πάλιν. ἡ ὅρασις, ἃς καὶ πτέρυγας ἔποπος ἐσχηκέναι φησὶν, ἵνα τὴν ἐνοῦσαν αὐτοῖς ἀκάθαρτον γνώμην καὶ τὸ πρὸς πᾶν ὁτιοῦν τῶν ἐκτόπων εὐπετὲς εὖ μάλα κατασημήνειεν. Ὁ μὲν γὰρ ἔποψ στρουθίον ἐστὶν οὐκ ἄσημον, φιλοβόρβορον δὲ καὶ κοπροβόρον, καὶ ταῖς σκωλήκων ἀγέλαις ἀγρίως ἐπιμαινόμενον, καὶ τροφὴν ἀεὶ ποιεῖσθαι κατειθισμένον τὴν ἐσχάτην ἀκαθαρσίαν. Τοιοῦτος δέ πως καὶ τοῖς εἰδωλολατροῦσιν ὑπέστι νοῦς. Οὐκ ἔρχεται κατευθὺ τοῦ πρέποντος· ἀλλ' ἔξω φέρεται τοῦ εἰκότος, τὸν θεῖον οὐκ οἶδε νόμον. Ἔστι δὲ ἁπάσης ἀκαθαρσίας ἔμπλεως, καὶ πᾶν εἶδος φαυλότητος ἡγεῖται τροφήν. Ταύτῃτοι καὶ πτέρυγας ἔποπος ἐνηρμόσθαι τοῖς γυναίοις ὁ τῆς ὁράσεως ἔφη λόγος, τὴν ἴσην ἐκείνων γνώμην καὶ αὐτοῖς ἐνεῖναι διδάσκων. Ἀναλαμβάνουσι δὲ τὸ μέτρον τῇ ἀνομίᾳ μεμεστωμένον. Δεῖ γὰρ ἑκάστην ψυχὴν τῷ ἰδίῳ καταφορτίζεσθαι βάρει, τῷ τῆς ἁμαρτίας, φημί. Ἐπειδὴ δὲ ἴσα τε ἀμφοῖν καὶ ἀδελφὰ τὰ ἐγκλήματα, τῆς τε Σαμαρείας, φημὶ, καὶ τῆς Ἰερουσαλὴμ, ταύτῃτοι καὶ ἐν ἴσῳ τρόπῳ κατηχθεσμέναι τῷ μέτρῳ καὶ τῇ ἀνομίᾳ, πνεύματος ἐμπίπτοντος ταῖς πτέρυξιν αὐτῶν, ὀξεῖ καὶ ἀπαραποδίστῳ φέρονται δρόμῳ πρὸς τὴν τῶν ἀλλοφύλων χώραν, δῆλον δὲ ὅτι τὴν τῶν Βαβυλωνίων.

XXXI. Quid par mulierum indicet, et cujus rei typum gerat, ante omnia exponendum censeo. Ait itaque Deus prophetæ Ezechieli : « Fili hominis, duæ mulieres erant, filiæ matris unius, et fornicatæ sunt in Ægypto, in adolescentia sua fornicatæ sunt, illic ceciderunt ubera earum [69]. « Addit his, illustrans **699** quod nuntiabat, « et nomina earum, Samaria, sive Oola, et Jerusalem, sive Ooliba [70]. » Principio enim una fuit Judæorum synagoga. Regnante autem Roboam, abruptæ ab aliis decem tribus, habitarunt Samariam, et fornicatæ sunt in vitulis aureis, quos fecit Jeroboam filius Nabat [71]. Cæterum non sine causa factum est. . . . . hoc est, Jerusalem : ipsa enim quoque multis modis fornicata est, quibusdam tum idola adorantibus, et sacrificantibus Baal, Astartæ, collibus, Soli, Lunæ, sideribus reliquis : tum ad omnem immunditiam cupide abeuntibus, et divina mandata sapientissimi Mosis nec hili facientibus. Duas itaque Synagogas Israelis duabus mulieribus iterum hac visione comparat : quas et alas upupæ habuisse affirmat, ut impuram earum, mentem et ad quæcunque nefaria facilitatem appositissime declaret. Upupa enim notum est genus passeris, amans cœni, et stercorivorum, et in greges crabronum ferocius insaniens, et immundissima quæque pro alimento usurpare solitum. Talis quodammodo mens etiam idololatris inest. Non recto itinere ad honestum contendit, sed extra id, quod consentaneum est fertur. Dei legem non novit, plena omni immunditia, et omne genus improbitatis cibum suum ducens. Idcirco et alas upupæ mulierculis aptatas sermo visionis narrat, similem quoque mentem et judicium illis inesse docens. Capessunt autem mensuram iniquitate repletam. Oportet enim quamlibet animam suo onere onerari, peccati inquam. Quia vero paria sunt ambarum et cognata peccata, Samariæ nimirum et Jerusalem, ideo eodem quoque modo oneratæ mensura et iniquitate, spiritu alis earum incidente, celeri ac non impedito cursu ad alienigenarum regionem Babyloniorum utique feruntur. Immundo enim spiritu ad peccandum eas impellente, et iniquitate prægravante, in captivitatem abstractæ, et sub pedes inimicorum redactæ sunt. Postquam autem dixit beatus angelus, eos deferre mensuram ad ædificandam ipsi domum in terra Babylonis, accipiamus hoc licet pro signo,

[69] Ezech. XXIII, 1, 3. [70] Ibid. 4. [71] III Reg. XII, 28 seqq.

Digitized by Google

filios Israel diu apud hostes victuros, quod et domus iniquitati ædificatur, **700** et veluti sedes ac statio ipsi apud hostes paratur. Id quod eventus monstravit. Vix enim septuagesimo anno finito, vinculis servitutis levati sunt.

Τοῦ γὰρ ἀκαθάρτου πνεύματος συνωθοῦντος αὐτὰς εἰς τὸ πλημμελὲς, καὶ τῇ ἀνομίᾳ καταφορτίζοντος, ἀπεκομίσθησαν εἰς αἰχμαλωσίαν, καὶ ὑπὸ πόδας πεπτώκασι τῶν ἐχθρῶν. Ἐπειδὴ δέ φησιν ὁ μακάριος ἄγγελος, ὡς ἀποφέρουσι τὸ μέτρον οἰκοδομῆσαι αὐτῷ οἰκίαν ἐν γῇ Βαβυλῶνος, ἀναγκαῖον ἡμᾶς ἐκεῖνο νοεῖν, ὡς ἔστι σημεῖον τοῦ μακρὸν παρ' ἐχθροῖς διατελέσαι χρόνον τοὺς ἐξ Ἰσραὴλ, τὸ καὶ οἶκον οἰκοδομεῖσθαι τῇ ἀνομίᾳ, καὶ οἷον ἵδρυσίν τινα καὶ στάσιν αὐτῇ γίνεσθαι παρ' ἐχθροῖς. Ὃ δὴ καὶ τετέλεσται. Μόλις γὰρ αὐτοῖς ἑβδομηκοστοῦ πληρωθέντος ἔτους, τῶν τῆς δουλείας ἀνεῖ[ν]ται δεσμῶν.

CAP. VI.

ΚΕΦΑΛ. Ϛ'.

VERS. 1-8. *Et conversus sum, et levavi oculos meos, et vidi, et ecce quatuor currus egredientes de medio duorum montium, et montes erant montes ærei. In curru primo equi rufi, et in curru secundo equi nigri, et in curru tertio equi albi, et in curru quarto equi varii et multicolores. Et respondi, et dixi ad angelum qui loquebatur in me : Quid sunt hæc, domine? Et respondit angelus qui loquebatur in me, et dixit : Hæc sunt quatuor venti cæli, qui egrediuntur ut assistant Domino omnis terræ. In quo erant equi nigri, egrediebantur super terram aquilonis, et albi egrediebantur post eos. Et varii exibant super terram austri, et multicolores egrediebantur, et inspiciebant ut irent et circumirent terram. Et dixit : Ite, et circuite terram. Et circuierunt terram. Et clamavit, et locutus est ad me, dicens : Ecce qui egrediuntur super terram aquilonis, et requiescere fecerunt furorem meum super terram aquilonis.*

Καὶ ἐπέστρεψα, καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ ἴδον, καὶ ἰδοὺ τέσσαρα ἅρματα ἐκπορευόμενα ἐκ μέσου δύο ὀρέων, καὶ τὰ ὄρη ἦν ὄρη χαλκᾶ. Ἐν τῷ ἅρματι τῷ πρώτῳ ἵπποι πυρροί, καὶ ἐν τῷ ἅρματι τῷ δευτέρῳ ἵπποι μέλανες, καὶ ἐν τῷ ἅρματι τῷ τρίτῳ ἵπποι λευκοί, καὶ ἐν τῷ ἅρματι τῷ τετάρτῳ ἵπποι ποικίλοι, καὶ ψαροί. Καὶ ἀπεκρίθην, καὶ εἶπα πρὸς τὸν ἄγγελον, τὸν λαλοῦντα ἐν ἐμοί· Τί ἐστι ταῦτα, κύριε; Καὶ ἀπεκρίθη ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ, καὶ εἶπε· Ταῦτά ἐστιν οἱ τέσσαρες ἄνεμοι τοῦ οὐρανοῦ, οἱ ἐκπορεύονται παραστῆναι τῷ Κυρίῳ πάσης τῆς γῆς. Ἐν ᾧ ἦσαν ἵπποι οἱ μέλανες, ἐξεπορεύοντο ἐπὶ γῆν βορρᾶ, καὶ οἱ λευκοὶ ἐξεπορεύοντο κατόπισθεν αὐτῶν. Καὶ οἱ ποικίλοι ἐξεπορεύοντο ἐπὶ γῆν νότου, καὶ οἱ ψαροὶ ἐξεπορεύοντο, καὶ ἐπέβλεπον τοῦ πορεύεσθαι, τοῦ περιοδεῦσαι τὴν γῆν. Καὶ εἶπε· Πορεύεσθε, καὶ περιοδεύσατε τὴν γῆν. Καὶ περιώδευσαν τὴν γῆν. Καὶ ἀνεβόησε, καὶ ἐλάλησε πρός με, λέγων· Ἰδοὺ οἱ ἐκπορευόμενοι ἐπὶ γῆν βορρᾶ, καὶ ἀνέπαυσαν τὸν θυμόν μου ἐν γῇ βορρᾶ.

XXXII. Docuit ante, suis ipsorum laqueis captos, et catenis peccatorum suorum constrictos, sicut scriptum est [13], in ignotam regionem discessisse, habitasseque apud hostes, insuetum servitutis jugum perpetientes. Cæterum et tempora liberationis redigere in memoriam oportebat; quare insertis aliis eorum meminit. Doctus est enim propheta compendio omnia genti olim eventura. Ergo quatuor currus in medio montium æreorum dicimus esse regna illustrissima, quæ in totidem mundi climatis, sive ad quatuor ventos suis ætatibus claruerunt. Montes æreos dici conjicio duas mundi partes. **701** Quidam enim orbem totum in Europam et Asiam dividunt, cujus partes æreæ propter firmitatem undequaque, et immobilitatem, et quia lædi non possunt. Psallit enim alicubi divinus David universitatis Opifici : « Fundasti terram, et permanet ordinatione tua [14]. » Hæc igitur ut a quatuor ventis regna cæteris, ut diximus, potentiora multamque sortita gloriam egressa sunt assistere Dominatori omnis terræ. Assistentia inserviendi modum ostendit : servierunt enim nutibus ejus, fueruntque robusta et inclyta per ipsum, quod illis emolumento fuit. Nam si quid præclare gesserunt, regionesque et urbes expugnarunt, eo annuente tantum valuerunt. Etenim si verum dicit propheta : « Non est malum in civitate, quod non fecit Dominus [15], » (no-

ΛΒ'. Προϋπέδειξεν ὅτι τοῖς σφῶν αὐτῶν ἐναλόντες βρόχοις, καὶ σειραῖς τῶν ἰδίων ἁμαρτημάτων κατεσφιγμένοι, κατὰ τὸ γεγραμμένον, εἰς ἀλλοδαπὴν ἀπῴχοντο, καὶ κατῳκήκασι παρ' ἐχθροῖς, τὸν ἀήθη τῆς δουλείας ἀνατλάντες ζυγόν. Ἀλλ' ἦν ἀναγκαῖον καὶ τῶν τῆς λυτρώσεως διαμεμνῆσθαι καιρῶν, καὶ δὴ ποιεῖται τὴν δήλωσιν, προεμπεπλεγμένων ἑτέρων. Ἐδιδάσκετο γὰρ ὁ προφήτης συλλήδδην ἅπαντα, τὰ τῷ ἔθνει συμβησόμενα κατὰ καιρούς. Τὰ τέσσαρα τοίνυν ἅρματα, τὰ ἐν μέσῳ τῶν ὀρέων τῶν χαλκῶν, φαμὲν εἶναι πάλιν τὰς τῶν ἄλλων βασιλειῶν ἐπισημοτέρας, τὰς ἐν τοῖς τέσσαρσι κλίμασιν, ἤγουν ἀνέμοις, τοῖς ὑπ' οὐρανὸν κατὰ καιροὺς ἀναδεδειγμένας. Ὄρη δὲ οἶμαι λέγεσθαι τὰ χαλκᾶ τὰ δύο τῆς οἰκουμένης τμήματα. Τέμνουσι γάρ τινες εἰς Εὐρώπην τε καὶ Ἀσίαν τὴν σύμπασαν γῆν· χαλκᾶ δὲ αὐτοῖς τὰ μέρη, διά τε τὸ ἐρηρεῖσθαι διαπαντὸς, καὶ ἀκλονήτως ἔχειν, καὶ μηδεμιᾶς ἀνέχεσθαι βλάβης. Ψάλλει γάρ που καὶ ὁ θεσπέσιος Δαβὶδ πρὸς τὸν τῶν ὅλων Δημιουργόν· « Ἐθεμελίωσας τὴν γῆν, καὶ διαμένει τῇ διατάξει σου. » Αὗται δὴ οὖν αἱ ὡς ἐκ τῶν τεσσάρων ἀνέμων βασιλεῖαι, τῶν ἄλλων, ὡς ἔφημεν, ἀλκιμώτεραι, καὶ πολὺ λαχοῦσαι τὸ εὐκλεὲς, ἐξῆλθον παραστῆναι τῷ Κυρίῳ πάσης τῆς γῆς. Ἡ δέ γε παράστασις, τὸν τῆς δουλείας ἡμῖν ὑποφαίνει τρόπον· δεδουλεύκασι γὰρ τοῖς αὐτοῦ νεύμασι, καὶ γεγόνασιν ἰσχυραί τε καὶ διαβόητοι δι' αὐτοῦ, καὶ τοῦτο κα-

[13] Prov. v, 22. [14] Psal. cxviii, 90. [15] Amos III, 6.

Digitized by Google

κερδάκασιν. Εἰ γάρ τι καὶ δεδράκασι, καὶ κατηνδρίσαντο χωρῶν ἢ πόλεων, αὐτοῦ κατανεύοντος, εἰς τοῦτο δὴ πάλιν προῆλθον ἰσχύος. Εἰ γάρ ἐστιν ἀληθὴς ὁ προφήτης λέγων· « Οὐκ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησε· » κακίαν δέ φαμεν ἐν τούτοις τὴν κάκωσιν· πῶς ἂν ἐκεῖναι κατίσχυσαν ἐθνῶν καὶ χωρῶν, μὴ οὐχὶ δὴ πάλιν, αὐτοῦ τὸ κατισχύσαι νέμοντος οἰκονομικῶς; Τίνες δὲ δὴ καὶ αἱ βασιλεῖαι, καιρὸς ἤδη λέγειν. Οὐκοῦν ἐν μὲν τῷ ἅρματι τῷ πρώτῳ, φησὶν, ἵπποι πυρροί, τῆς Χαλδαίων βασιλείας ἀνατυποῦντες ἐφ' ἑαυτοῖς τὴν ὠμότητα. Πυρρότης γὰρ ἡμῖν τὴν αἵματος χύσιν ὑπαινίττοιτο ἂν, κατά γε τὸ εἰκός· φιλαίματοι γὰρ λίαν οἱ Βαβυλώνιοι· εἶλον γὰρ αὐτοὶ τὴν Ἰουδαίαν, καὶ τὰς ἐν τῇ Σαμαρείᾳ πόλεις, φειδοῦς ἁπάσης ἐξῃρημένης. Ἐν δὲ τῷ ἅρματι τῷ δευτέρῳ ἵπποι μέλανες. Ἔοικε δὲ τὴν Περσῶν τε καὶ Μήδων τὴν ὑπό γε Κύρῳ, φημὶ, βασιλείαν ὑποδηλοῦν. Μέλαν δὲ καὶ τούτοις περιτέθεικε χρῶμα, διὰ τὸ, οἶμαι, πλεῖστόν τε ὅσον καὶ ἀμέτρητον τοῖς Χαλδαίοις ἔθνεσιν ἐπιρρῖψαι θάνατον, καὶ ὅλην αὐτοῖς τὴν χώραν ἐν πένθει γενέσθαι παρασκευάσαι. Πένθους δὲ καὶ θανάτου τὸ φαιὸν ἂν εἴη σύμβολον. Λευκοὺς δὲ εἶναί φησι τοὺς ἐν ἅρματι τῷ τρίτῳ, τὴν Ἑλλήνων που τάχα καὶ Μακεδόνων ὑποφαίνων ἀρχὴν, εἶτ' οὖν τὴν Ἀλεξάνδρου βασιλείαν. Λευκοὶ δὲ, ὅτι καὶ ἀβροδίαιτοι, καὶ ἐν λευκαῖς ὡς ἐπίπαν στολαῖς τὰ Ἑλλήνων ἔθνη· καὶ ὅτι τὴν γλῶτταν σαφεῖς, τῆς βαρβάρου φωνῆς τὸ οἱονεὶ σκοτεινὸν οὐκ ἔχοντες. Ἐν δὲ τῷ τετάρτῳ, φησὶν, ἅρματι ἵπποι τινὲς ἦσαν ποικίλοι καὶ ψαροί· ἰστέον δὲ, ὅτι ἡ τῶν Ἑβραίων ἔκδοσις, καὶ ἕτεροι δέ τινες τῶν ἄλλων ἑρμηνευτῶν, ἀντὶ τοῦ, *ψαροί*, τεθείκασι τὸ, *ἰσχυροί*. Πλὴν καὶ ταύτην εἶναί φαμεν τὴν Ῥωμαίων βασιλείαν, ἀεί πως ἔχουσαν ἐν τοῖς κατὰ καιροὺς βεβασιλευκόσι τὸ ποικίλον εἰς τὸ εὐμαθὲς, καὶ βαθύ πως εἰς φρένας. Συνετώτατοι γὰρ καὶ πρός γε τούτῳ καὶ ἀλκιμώτατοι γεγόνασί τε καὶ εἰσὶν, οἱ τὰ τῆς Ῥωμαίων ἀρχῆς διέποντες κράτη. Τέθεινται δὲ καὶ τελευταῖοι μετὰ τοὺς πρώτους κατά γε τοὺς χρόνους. Ἴδωμεν δὲ καὶ τὴν ἑκάστου τῶν ἁρμάτων, ἤγουν βασιλείας, ἔξοδον, ὅπου τε διανένευκε, καὶ ἐπὶ τίσιν ἔρχεται. Σαφεστάτη γὰρ οὕτω γένοιτ' ἂν ἡμῖν ἡ τῆς θεωρίας ἀπόδοσις. Τέσσαρα μὲν γὰρ ὁ προφήτης εἶναί φησι, διαμέμνηται δὲ τριῶν, καὶ σεσίγηκε τοῦ πρώτου τὴν ἔξοδον. Ἀναμνήσω δὲ διὰ βραχέων, ὡς ἔφην. Ἐν μὲν γὰρ τῷ πρώτῳ φησὶ πυρροὺς εἶναι τοὺς ἵππους. Ἄρχεται δὲ ἀπὸ τοῦ δευτέρου, καί φησιν· « Ἐν ᾧ ἦσαν οἱ ἵπποι οἱ μέλανες, ἐξεπορεύοντο ἐπὶ γῆν βορρᾶ, καὶ οἱ λευκοὶ ἐξεπορεύοντο κατόπισθεν αὐτῶν. Καὶ οἱ ποικίλοι ἐξεπορεύοντο ἐπὶ γῆν νότου. » Εἰ δὲ δὴ προσεπάγει τοὺς *ψαροὺς*, οὐ τεσσάρων ἁρμάτων διαμεμνήσεται· τοὺς γὰρ αὐτοὺς εἶναι δεδώκαμεν τοῖς ποικίλοις. « Ἐν γὰρ τῷ ἅρματι τῷ τετάρτῳ, φησὶν, ἦσαν ἵπποι ποικίλοι καὶ ψαροί. » Οὐκοῦν τριῶν διαμέμνηται, σιωπήσας τὸ πρῶτον Τίς οὖν ἄρα ἐστὶ τῆς ὅλης οἰκονομίας ὁ λόγος, φέρε τοῖς εὐμαθεστέροις, ὡς ἔνι, λέγωμεν. Τοὺς πυρροὺς εἶναι διεβεβαιούμεθα τὴν φιλαίματον τῶν Χαλδαίων ἀρχὴν,

A mine mali hoc loco afflictionem accipimus) quomodo regna illa gentes et regiones domuissent, si ipse ut domare possent administratorie illis non donavisset? Quæ autem regna ista fuerint, sequitur ut dicamus. In curru igitur primo, inquit, equi rufi, Chaldæorum monarchiæ crudelitatem repræsentantes. Rufus enim color sanguinis profusionem nobis apte insinuat; sanguinarii enim vehementer Babylonii: ipsi enim Judæam et urbes Samariæ citra omnem misericordiam vastaverunt. In curru secundo equi nigri. Quo Persarum et Medorum sub Cyro monarchiam, inquam, videtur significare. Niger color his tribuitur, quod longe plurimas et immensas in Chaldæa gente strages ediderunt, totumque regnum in luctum conjecerunt. Luctus au-
B tem et mortis symbolum niger color est. In tertio ait esse albos, Græcorum fortasse et Macedonum imperium, sive Alexandri regnum subindicans. Albi autem, quia delicate viventes, et albis vestibus pene omnes gaudentes Græciæ populi: et quia in loquendo perspicui citra linguæ barbaræ velut tenebras. In quarto curru, inquit, equi erant varii et multicolores; scias licet, Hebræam editionem, et quosdam interpretes pro ψαροί, *multicolores*, posuisse ἰσχυροί, *validi*, seu robusti. Verumtamen hanc Romanorum monarchiam esse dicimus, quæ semper inter diversis temporibus regnantes varietate docilitatis **702** et alta intelligentia valuit. Prudentissimi enim et insuper fortissimi fuerunt, et sunt, Romani principatus imperium administrantes. Ponuntur autem loco postremo a primis, secundum
C tempora. Consideremus jam uniuscujusque currus, seu monarchiæ egressum, quo inclinet, et quo tendat. Sic enim quam planissime quod consideramus explanabimus. Quatuor quidem inquit esse propheta, sed trium egressus meminit, primi tacet. Repetam paucis quod dixi. In primo ait rufos esse equos. Incipit autem a secundo, et ait: « In quo erant equi nigri, egrediebantur ad terram aquilonis, et albi sequebantur eos. Et varii egrediebantur ad terram australem. » Sed quamvis addat *multicolores*, non ideo quatuor currus memorabit: nam eosdem esse cum variis ponimus. Ait enim: « In curru quarto erant equi varii et multicolores. » Trium meminit, primo præterito. Quæ sit ergo to-
D tius œconomiæ ratio, age docilioribus pro virili nostra aperiamus. Equos rufos asseruimus esse cruentum Chaldæorum imperium, quod funditus totam Judæam evertit, et incensis ejus urbibus Israelem captivum abduxit; nomine nigrorum, Persarum Medorumque monarchiam accepimus. In albis porro Alexandri et Macedonum imperium describebatur, quæ ambo Chaldææ arma intulerunt, eamque bello acerrimo occuparunt, primum quidem Cyrus, postea Alexander, qui et ipsum Darium cepit juxta Issum, ut vocatur, urbem Ciliciæ, infinitis Persarum millibus interemptis. Fama est, magnum ossium acervum excitatum de iis, qui ibidem occubuerunt; incisum est quoque epitaphium in hæc verba:

ἕ. καὶ πᾶσαν ἐκποδὼν ἤρηκε τὴν Ἰουδαίων, καὶ τὰς ἐν αὐτῇ κατεμπιπρῶσα πόλεις, ἀπεκόμισεν εἰς αἰ-

Digitized by Google

χμαλωσίαν τὸν Ἰσραὴλ· τοὺς δέ γε μέλανας τὴν Περσῶν τε καὶ Κύρου βασιλείαν εἶναι παρεδεξάμεθα. Ἐγράφετο δὲ καὶ ἐν τοῖς λευκοῖς ἡ Ἀλεξάνδρου τε καὶ Μακεδόνων. Ἄμφω δὲ αὗται κατεστράτευσαν τῆς Χαλδαίων γῆς, εἶλόν τε αὐτὴν κατὰ κράτος· πρῶτον μὲν γὰρ Κῦρος, εἶτα μετ' ἐκεῖνον Ἀλέξανδρος, ὃς καὶ αὐτὸν ἦρηκε τὸν Δαρεῖον περὶ τὴν καλουμένην Ἰσσὸν (Κιλίκων δὲ αὕτη πόλις), ἀναριθμήτους Περσῶν μυριάδας ἀπεκτονώς. Φασὶ γοῦν, ὅτι σωρὸς μὲν ὀστῶν συνεγήγερται μέγας τῶν ἐκεῖσε πεπτωκότων· ἐγκεκόλαπται δὲ καὶ γραφή, τοιοῦτον ἔχουσα·

Ad Issi mœnia juxta fluctum maris Cilicis
Turbulentum, Persarum jacemus myriades,
Opus Alexandri Macedonis, qui olim regem
Darium ultima via sequebamur.

A Ἰσσοῦ ἐπὶ προβολῇσιν, ἀλὸς παρὰ κῦμα Κ[ιλίσσης
Ἄγριον, αἱ Περσῶν κείμεθα μυριάδες,
Ἔργον Ἀλεξάνδροιο Μακηδόνος, οἳ ποτ' ἄνακτι
Δαρείῳ πυμάτην οἶμον ἐφειπόμεθα.

Quoniam enim verisimile erat, non mediocriter doliturum Israel audientem de monarchia Chaldæorum, a quibus erat vastatus, ideo, ne ad tristitiam provocare videretur, idque intempestive, propheta eorum mentione utiliter supersedet. **703** Quod autem eos summe exhilarat, id enarrat luculenter, de monarchia Cyri, inquam, et Alexandri, qui tantum non ad vindicandam crudelitatem in Israelem a superbis Chaldæis expromptam missi sunt. Hinc apposuit, ut ex persona Dei : « Ecce egredientes super terram aquilonis requiescere fecerunt furorem meum in terra aquilonis : » fuit enim aquiloni propior Chaldæorum regio, et iratus est Babyloniis universorum Deus. Quod patet ex verbis ejus manifesto : « Zelavi Jerusalem et Sion zelo magno, et ira magna ego irascor super gentes quæ superimpositæ sunt. Quia ego quidem iratus sum modice, ipsi vero superpositi sunt in mala. » Postquam autem pœnas Chaldæa perpendit, Cyro totam cum Persis et Medis vastante, et post eum Alexandro, idcirco inquit : « Egredientes super terram aquilonis requiescere fecerunt furorem meum in terra aquilonis [98]. » Cæterum tacita prudenter Chaldæorum impressione (præterivit enim, ut dixi, equos rufos), etiam Romanorum imperium non tacuit. Ait enim : « Varii egrediebantur super terram austri. » Perpende vero, quam scite et quasi per transennam verba sua explicet. Post crucem enim Salvatoris, Vespasianus et hujus filius Titus Judæam populationibus incursarunt, et ipsam sanctam civitatem incenderunt. Verum dextre propheta, « Egrediebantur, inquit, super terram austri : » maxime enim ad austrum vergit Judæorum regio. Adhæc ipsi varii et multicolores jussi sunt circumire terram, et circuierunt etiam. Domuerunt enim totum sub sole mundum, imperaverunteque orbi terrarum universo, Deo bene adjuvante indeque illustri gloria decorante principes Romanorum, cum tanquam Deus præsciret futuræ pietatis ipsorum magnitudinem.

B Ἐπειδὴ γὰρ ἦν εἰκὸς, οὐ μετρίως ἀλγῆσαι τὸν Ἰσραὴλ τὰ περὶ τῆς τῶν Χαλδαίων ἀκούοντα βασιλείας, ὑφ' ἧς καὶ πεπόρθηται, ταύτῃτοι χρησίμως, ὡς ἂν μὴ δοκοίη κατερεθίζειν εἰς λύπας, καὶ τοῦτο οὐκ ἐν καιρῷ, παρατρέχει μὲν ὁ προφήτης τὸν ἐπ' αὐτοῖς λόγον. Τὸ δὲ δὴ μάλιστα κατευφραίνον αὐτοὺς ἐξηγεῖται λαμπρῶς, τὰ περὶ τῆς Κύρου, φημὶ, βασιλείας, καὶ μέντοι τῆς Ἀλεξάνδρου, οἳ μονονουχὶ καὶ ἐστάλησαν, τῆς εἰς τὸν Ἰσραὴλ ὠμότητος ἐξαιτοῦντες λόγον τὴν Χαλδαίων ἀλαζονείαν. Διὰ τοῦτο προσέθηκεν ὡς ἐκ προσώπου τοῦ Θεοῦ· « Ἰδοὺ οἱ ἐκπορευόμενοι ἐπὶ γῆν βορρᾶ, ἀνέπαυσαν τὸν θυμόν μου ἐν γῇ βορρᾷ· » βορειοτέρα γάρ πως τῶν Χαλδαίων ἡ χώρα· ἐπεμήνισε δὲ τοῖς Βαβυλωνίοις ὁ τῶν ὅλων Θεός. Σαφὲς δ' ἂν γένοιτο καὶ τοῦτο πάλιν, αὐτοῦ λέγοντος ἐναργῶς· « Ἐζήλωκα τὴν Ἱερουσαλὴμ καὶ τὴν Σιὼν ζῆλον μέγαν, καὶ ὀργὴν μεγάλην ἐγὼ ὀργίζομαι ἐπὶ τὰ ἔθνη τὰ συνεπιτιθέμενα. Ἀνθ' ὧν ἐγὼ μὲν ὠργίσθην ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά. » Ἐπειδὴ δὲ ποινὰς ἐξέτισε τῶν Χαλδαίων ἡ γῆ, Κύρου μὲν πᾶσαν Πέρσαις τε ὁμοῦ καὶ Μήδοις καταδηοῦντος, τοῦ δὲ Ἀλεξάνδρου μετ' ἐκεῖνον, ταύτῃτοί φησιν, ὅτι « Οἱ ἐκπορευόμενοι ἐπὶ γῆν βορρᾶ, ἀνέπαυσαν τὸν θυμόν μου, ἐν γῇ βορρᾷ. » Ἡλὴν σωπήσας οἰκονομικῶς ὁ προφήτης τῶν Χαλδαίων τὴν

C ἔφοδον (παραδεδράμηκε γὰρ, ὡς ἔφην, τοὺς ἵππους τοὺς πυρρούς), οὐκέτι σεσίγηκε τὰ τῆς Ῥωμαίων ἀρχῆς. « Οἱ γὰρ ποικίλοι, φησὶν, ἐξεπορεύοντο ἐπὶ γῆν νότου. » Ἄθρει δὲ ὅπως εὐτέχνως καὶ οἷον ἐν παραδρομῇ ποιεῖται τοῦ λόγου τὴν ἀπόδοσιν. Μετὰ γάρ τοι τὸν τοῦ Σωτῆρος σταυρὸν, Οὐεσπασιανὸς καὶ ὁ τούτου παῖς Τίτος κατέδραμον τὴν Ἰουδαίων γῆν, καταψιλοῦντες ἅπασαν, καὶ τὴν ἁγίαν αὐτὴν κατεμπρῶντες πόλιν. Ἀλλ' εὐφυῶς ὁ προφήτης τὸ, « Ἐξεπορεύοντο, φησὶν, ἐπὶ γῆν νότου· » νοτιωτάτη γὰρ τῶν Ἰουδαίων ἡ χώρα. Αὐτοὶ δὴ πάλιν οἱ ποικίλοι καὶ ψαροὶ προσετάττοντο περιοδεῦσαι τὴν γῆν, καὶ δὴ καὶ περιωδεύκασι· κεκρατήκασι γὰρ τῆς ὑπ' οὐρανὸν, καὶ κεκυριεύκασιν ἁπάσης τῆς γῆς, Θεοῦ συννεύοντος, καὶ τὴν ἐπὶ τῷδε λαμπρὰν ἀνάπτοντος δόξαν, τοῖς τὰ Ῥωμαίων διέπουσι κράτη· προηπίστατο γὰρ, ὡς Θεὸς, τῆς ἐσομένης αὐτῶν εὐσεβείας τὸ μέγεθος.

Vers. 9-15. *Et factus est sermo Domini ad me, dicens : Accipe de captivitate a principibus, et ab utilibus ejus, et ab his qui cognoverunt eum, et ingredieris tu in die illa in domum Josiæ Sophoniæ filii, re-*

D *Καὶ ἐγένετο λόγος Κυρίου πρός με, λέγων· Λαβὲ τὰ ἐκ τῆς αἰχμαλωσίας παρὰ τῶν ἀρχόντων, καὶ παρὰ τῶν χρησίμων αὐτῆς, καὶ παρὰ τῶν ἐπεγνωκότων αὐτὴν, καὶ εἰσελεύσῃ σὺ ἐν*

[98] Zachar. I, 14, 15.

Digitized by Google

τῇ ἡμέρᾳ ἐκείνῃ εἰς τὸν οἶκον Ἰωσίου τοῦ Σοφονίου, τοῦ ἥκοντος ἐκ Βαβυλῶνος. Καὶ λήψῃ ἀργύριον καὶ χρυσίον, καὶ ποιήσεις στεφάνους, καὶ ἐπιθήσεις ἐπὶ τὴν κεφαλὴν Ἰησοῦ τοῦ Ἰωσεδὲκ, τοῦ ἱερέως τοῦ μεγάλου. Καὶ ἐρεῖς πρὸς αὐτόν· Τάδε λέγει Κύριος παντοκράτωρ· Ἰδοὺ ἀνὴρ, Ἀνατολὴ ὄνομα αὐτῷ, καὶ ὑποκάτωθεν αὐτοῦ ἀνατελεῖ, καὶ οἰκοδομήσει τὸν οἶκον Κυρίου, καὶ αὐτὸς λήψεται ἀρετὴν, καὶ καθιεῖται, καὶ κατάρξει ἐπὶ τοῦ θρόνου αὐτοῦ, καὶ ἔσται ὁ ἱερεὺς ἐκ δεξιῶν αὐτοῦ, καὶ βουλὴ εἰρηνικὴ ἔσται ἀναμέσον ἀμφοτέρων. Ὁ δὲ στέφανος ἔσται ὑπομένουσι, καὶ τοῖς χρησίμοις αὐτῆς, καὶ τοῖς ἐπεγνωκόσιν αὐτὴν, καὶ εἰς χάριτα τοῖς υἱοῖς Σοφονίου, καὶ εἰς ψαλμὸν ἐν οἴκῳ Κυρίου. Καὶ οἱ μακρὰν ἀπ' αὐτῶν ἥξουσι, καὶ οἰκοδομήσουσιν ἐν τῷ οἴκῳ Κυρίου, καὶ γνώσεσθε, διότι Κύριος παντοκράτωρ ἀπέσταλκέ με πρὸς ὑμᾶς. Καὶ ἔσται ἐὰν εἰσακούοντες εἰσακούσητε τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ὑμῶν.

A *nientis ex Babylone. Et accipies argentum et aurum, et facies coronas, et pones super caput Jesu filii Josedec sacerdotis magni. Et dices ad* **704** *eum: Hæc dicit Dominus omnipotens: Ecce vir, Oriens nomen ipsi, et subter eum orietur, et ædificabit domum Domini. Et ipse accipiet virtutem, et sedebit, et imperabit, super throno suo, et erit sacerdos a dextris ejus, et consilium pacificum erit inter utrumque. At corona erit expectantibus, et utilibus ejus, et his qui cognoverunt eam, et in gratiam filiis Sophoniæ, et in psalmum in domo Domini. Et qui longe ab eis venient, et ædificabunt in domo Domini, et scietis quia Dominus omnipotens misit me ad vos. Et erit, si audientes audieritis vocem Domini Dei vestri.*

ΚΓ'. Ὁ λόγος ἦν τῷ Θεῷ πρὸς τὸν μακάριον προφήτην Ζαχαρίαν, ἤτοι δι' αὐτοῦ πρὸς πάντας περὶ τοῦ Ζοροβάβελ, ὃς ἦν μὲν ἐκ φυλῆς τοῦ Ἰούδα, καθηγεῖτο δὲ τῶν ἐξ Ἰσραὴλ, καλούσης αὐτὸν εἰς τοῦτο τῆς βασιλευούσης φυλῆς. Τίνα δὲ ἦν τὰ περὶ αὐτοῦ λεγόμενα παρὰ Θεοῦ, προαναμνήσομεν ἀναγκαίως. Ἔφη τοίνυν· « Αἱ χεῖρες Ζοροβάβελ ἐθεμελίωσαν τὸν οἶκον τοῦτον, καὶ αἱ χεῖρες αὐτοῦ ἐπιτελέσουσιν αὐτόν. » Ἀλλ' ἦν σὺν αὐτῷ τῷ θεμελιοῦντι τὸν οἶκον, καὶ μὴν καὶ ἀποπεραίνοντι καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ ὁ ἱερεὺς ὁ μέγας. Ταύτητοι προστέταχεν ὁ τῶν ὅλων Θεὸς τῷ θεσπεσίῳ προφήτῃ τὰ ἐκ τῆς αἰχμαλωσίας λαβεῖν παρὰ τῶν ἀρχόντων, καὶ παρὰ τῶν χρησίμων αὐτῆς, καὶ παρὰ τῶν ἐπεγνωκότων αὐτήν. Τίνες δ' ἂν εἶεν οὗτοι, ποῖα δὲ καὶ τὰ ἐκ τῆς αἰχμαλωσίας, ἀφηγήσομαι χρειωδῶς. Ἀνεκομίσθησαν ἐκ τῆς Βαβυλῶνος οἱ ἐξ Ἰσραὴλ, οὐ χύδην, ἢ πεφυρμένως, ἀλλ' ἐν κόσμῳ τε καὶ τάξει, κατὰ γένη καὶ κατὰ φυλὰς, προεκκειμένους ἔχοντες καὶ καθηγητὰς, ὡς ἐν τῷ Ἔσδρᾳ γέγραπται. Ἐπειδὴ δὲ ἀφίκοντο λοιπὸν εἰς Ἱεροσόλυμα, Θεοῦ τὸν ναὸν ἐγείρειν ἐπαναγκάζοντος, ἔστησαν τὸ γαζοφυλάκιον, ἵνα καὶ ἄθροισις γένοιτο χρημάτων εἰς τὴν τῶν ἔργων κατασκευὴν, καὶ εἰς τὰς τῶν ἱερέων στολὰς, καὶ εἰς τὰς τεταγμένας αὐτοῖς κατὰ νόμον θυσίας· τέτακται δὲ τῶν χρημάτων ταμίας, Ἰωσίας υἱὸς Σοφονίου. Προστάττει δὴ οὖν ὁ τῶν ὅλων Θεὸς, ἀπὸ τῶν προσκεκομισμένων παρὰ τῶν ἀρχόντων τῆς αἰχμαλωσίας, ἃ καὶ ἦν ἀπόθετα παρὰ τῷ Ἰωσίᾳ, χρυσίον καὶ ἀργύριον λαβεῖν, εἶτα κατασκευάσαι στεφάνους, ἐπιθεῖναί τε αὐτοὺς ἐπὶ τὴν κεφαλὴν Ἰησοῦ τοῦ Ἰωσεδὲκ, τοῦ ἱερέως τοῦ μεγάλου, φάναι τε αὐτῷ περὶ τοῦ Ζοροβάβελ· « Ἰδοὺ ἀνὴρ, Ἀνατολὴ ὄνομα αὐτῷ. » Τὸ δὲ *ἀνατολὴ* τῶν Ἑβραίων ἡ ἔκδοσις τῷ τοῦ βλαστήματος ὀνόματι κατεσήμηνε. « Καὶ ὑποκάτωθεν αὐτοῦ ἀνατελεῖ, » τουτέστιν, ἐκ τῆς αὐτοῦ ῥίζης ἀναφύσει. « Λήψεται δὲ καὶ ἀρετὴν, » τουτέστιν, εὐπρέπειαν, ἤτοι δόξαν· ἐκδεδώκασι γὰρ οὕτως οἱ ἕτεροι τῶν ἑρμηνευτῶν. Προσετίθει δὲ τούτοις, ὡς ἄμφω μὲν, Ἰησοῦς καὶ Ζοροβάβελ, ἐπὶ τὸν αὐτὸν καθεδοῦνται θρόνον, ὡς

B XXXIII. Alloquebatur Deus beatum prophetam Zachariam, sive per ipsum omnes amicos Zorobabel, principis Israel, tribu regia, unde prodierat, illum ad regnum vocante. Quid autem de ipso dictum sit a Deo, prius a me commemorari necesse est. Ait ergo: « Manus Zorobabel fundarunt domum hanc, et manus ejus perficient eam [76]. » Sed fundanti domum, atque etiam perficienti, socius et adjutor erat Jesus filius Josedec sacerdos magnus. Quocirca præcepit universorum Deus sancto prophetæ, allata de captivitate accipere a principibus, et ab utilibus ejus, et ab his qui cognoverunt eam. Quinam isti fuerint, et quæ sint illa de captivitate, commode exponam. Israelitæ e Babylone redierunt non confusi, nec permisti, sed agminibus compositis, et ordine, secundum genera et tribus, antesignanos et duces habentes, ut in Esdra legimus [77]. Postquam igitur jam Hierosolymam venerunt, Deo ædificationem templi urgente, gazophylacium cum ad pecuniam pro opere conficiendo, tum ad vestes sacerdotales et ad sacrificia lege præscripta colligendam Josia Sophoniæ filio quæstore ac dispensatore præfecto instituerunt. Mandat itaque universorum Deus de his quæ e captivitate secum attulerant principes, quæque apud Josiam deposita manebant, aurum argentumque accipi: deinde parari coronas, easque in caput Jesu filii Josedec sacerdotis magni imponi, dicique illi de Zorobabel: **705** « Ecce vir, Oriens nomen ejus. Vocem *oriens*, Hebræa editio voce germinis expressit. » Et subter eum exorietur, » hoc est, ut ex ejus radice germinabit. « Accipiet autem virtutem, » hoc est, decorem, sive gloriam, quomodo alii interpretes ediderunt. Adjecit his, ambos, Jesum et Zorobabel, super eodem solio sessuros, ut commune sit regnum etiam sacerdotium procuranti, et dignitas sacerdotii etiam cum regnante communicetur; futuramque amborum unam pacificam et consentientem voluntatem, ut in nullo prorsus discrepare videantur. Deinde jubet coronas fieri, splendidum donarium, quod offeratur

[76] Zachar. IV, 9. [77] I Esdr. XI, 12.

Digitized by Google

Deo in domo ejus, gratiam concilians, et gloriam pariens offerentibus, Josiæ, inquam, et captivitatis utilibus, et principibus ejus. Dedicari autem non frustra : sed ut cantoribus templi, et sacris psaltis cantandi argumentum sit. Tunc, inquam, « et qui longe ab illis, » hoc est, qui de aliis gentibus venient, et adorabunt Dominum. Eventura autem ista affirmat, si velint obedientiæ ornamento se venerabiles reddere, et audire vocem Domini Dei. Actum demum, ubi prænuntiata exitus comprobaverit, haud dubie cognituros prophetam missum esse ut Dei voluntatem ipsis aperiret, non autem ut pro more quorumdam mentientium cordis sui sensa loqueretur, verax potius, nec falsitatis nuntius. Hæc facillima et obvia est historiæ explicatio.

A εἶναι κοινὸν τὸ τῆς βασιλείας καὶ τῷ μετὰ χεῖρας ἔχοντι τὴν ἱερουργίαν, τό γε μὴν τοῦ ἱερέως καὶ αὐτῷ προσκεῖσθαι τῷ βασιλεύοντι· ἔσται δὲ ἀμφοῖν καὶ βούλημα εἰρηνικὸν, ὡς κατά τι γοῦν ὅλως μὴ ἑτερογνωμονοῦντας ὁρᾶσθαι. Εἶτα τοὺς στεφάνους λαμπρὸν γίνεσθαι προστέταχεν ἀνάθημα, τῷ Θεῷ εἰσκεκομισμένον εἰς τὸν οἶκον αὐτοῦ, ὥστε καὶ εἰς χάριν, ἤτοι καύχημα, γενέσθαι τῶν προσαγηοχότων, Ἰωσίου τε, φημὶ, καὶ τῶν τῆς αἰχμαλωσίας χρησίμων, καὶ τῶν ἀρχόντων αὐτῆς. Ἀνατεθεῖναι δὲ, οὐ μάτην, ἀλλ' ὥστε καὶ ᾠδῆς γενέσθαι πρόφασιν τοῖς ᾠδοῖς τοῦ ναοῦ καὶ ἱεροψάλταις. Τότε γε δή φημι « καὶ οἱ μακρὰν ἀπ' αὐτῶν, » τουτέστιν, οἱ ἐκ τῶν ἑτέρων ἐθνῶν ἥξουσι, καὶ προσκυνήσουσι τῷ Κυρίῳ. Συμβήσεσθαι δὲ τὰ τοιάδε φησὶν, εἴπερ ἕλοιντο τῷ τῆς εὐπειθείας κατασεμνύνεσθαι κόσμῳ, καὶ ἀκούειν τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ. Καὶ τότε λοιπὸν εἰς πέρας ἐκβεβηκότων τῶν προηγγελμένων, ἐπιγνώσεσθαι σαφῶς, ὅτι τὰ παρὰ Θεοῦ σαφῆ καταστήσων ὁ προφήτης ἀπεστάλη, καὶ οὐχὶ δὴ μᾶλλον κατά τινας τῶν ψευδοεπεῖν εἰωθότων, τὰ ἀπὸ καρδίας αὐτοῖς λαλήσει, καὶ ἀληθῆς δὲ μᾶλλον, καὶ οὐ ψευδάγγελος. Αὕτη μὲν ἡ ἑτοιμοτάτη καὶ πρόχειρος τῶν ἐν ἱστορίαις ἀποδοσις.

Certum est porro, dubitaturum neminem, ad Christi mysterium rem spectare, si bene indagetur. Confirmavimus enim ab initio, in Zorobabel et Jesu informatum esse Christum, et sigillatim in utrovis, et in ambobus conjunctim, ut unum. Est enim idem et rex Israel, et magnus sacerdos, « Sanctus, innocens, impollutus [78]. » Quoniam vero de tribu Juda progenerati regnum administrabant, et orti de tribu Levi sacerdotii munus obibant, ideo per duos in unum Dominum transformatur, ut patet. Quare si dicat Deus de Zorobabel, « Manus Zorobabel fundarunt domum istam, et manus ejus perficient eam [79], » historice quidem de eo dictum accipies; secundum aliud vero quod intelligitur, ad Christum referes. Ipse enim factus est nobis fundamentum, et super ipsum omnes spiritualiter in templum sanctum ædificati sumus; ipse nobis **706** principium et finis est. Nos enim sanctificatos in Spiritu, præclarumque et sanctum habitaculum sibi et Patri, deleto peccato funditus et corruptione abolita, exhibuit. Ipse enim est Jesus sacerdos magnus, et sonat quidem Jesus *salus populi*. Sic namque divinus Gabriel ad Virginem : « Et ecce, concipies in utero, et paries filium, et vocabis nomen ejus Jesum [80]; ipse enim salvum faciet populum suum a peccatis eorum [81]. » Josedec autem redditur *justitia Dei*. Justificati enim in ipso per fidem [82], et a sordibus veterum peccatorum abluti sumus. Ipse nos captivos liberavit [83], et a servitute, quam mente capimus nos exemit, et tanquam ex peregrina et alienigenarum regione, ex diabolica seductione ad Dei cognitionem, et sanctorum civitatem eximiam, vere sanctam Jerusalem, quæ est Ecclesia, reduxit. Quapropter recta et inculpata fide, et virtutum ornamentis hymnisque gratias agentibus a nobis coronatur. Et coronæ quidem illæ aureæ et argenteæ erant, et

B Δῆλον δὲ ὅτι τὸ χρῆμα τὸ Χριστοῦ μυστήριον, εἰ ἐρευνῷτο καλῶς, οὐκ ἂν ἐνδοιάσειέ τις. Διεβεβαιώμεθα γὰρ ἐξ ἀρχῆς, ὡς ἔν γε τῷ Ζοροβάβελ καὶ μέντοι, καὶ Ἰησοῦ διαμεμορφῶσθαι Χριστὸν, καὶ ἀνὰ μέρος ἐν ἑκατέρῳ, καὶ ἐν ἀμφοῖν συλλήβδην, ὡς ἕνα. Ἔστι γὰρ ἐν ταυτῷ καὶ βασιλεὺς τοῦ Ἰσραὴλ, καὶ μέγας ἀρχιερεὺς, « Ὅσιος, ἄκακος, ἀμίαντος. » Ἐπειδὴ δὲ οἱ μὲν ἐκ φυλῆς Ἰούδα τοὺς τῆς βασιλείας διεῖπον θώκους, οἱ δὲ τῆς Λευΐ τέθειντο πρὸς ἱερωσύνην, ταύτητοι σαφῶς διὰ τῶν δυοῖν εἰς ἕνα μορφοῦται Κύριον. Οὐκοῦν εἰ λέγοι Θεὸς περὶ τοῦ Ζοροβάβελ, ὡς « Αἱ χεῖρες Ζοροβάβελ ἐθεμελίωσαν τὸν οἶκον τοῦτον, καὶ αἱ χεῖρες αὐτοῦ ἐπιτελέσουσιν αὐτὸν, » ἱστορικώτερον μὲν ἐπ' ἐκείνου, νοήσεις δὲ ἐπὶ Χριστὸν νοητῶς. Αὐτὸς γὰρ ἡμῶν γέγονε θεμέλιος, C καὶ αὐτῷ πάντες ἐποικοδομούμεθα πνευματικῶς, *εἰς* ναὸν ἅγιον· αὐτὸς ἡμῶν ἡ ἀρχὴ καὶ τὸ πέρας. Παρίστησι γὰρ ἡμᾶς ἡγιασμένους ἐν πνεύματι, λαμπρόν τε καὶ ἱερὸν ἐνδιαίτημα ἑαυτῷ τε καὶ τῷ Πατρὶ, περιῃρημένης εἰς ἅπαν τῆς ἁμαρτίας, καὶ κατηργημένης τῆς φθορᾶς. Αὐτὸς γάρ ἐστιν Ἰησοῦς ἱερεὺς ὁ μέγας, καὶ ἑρμηνεύεται μὲν Ἰησοῦς *σωτηρία λαοῦ*. Οὕτω γὰρ καὶ ὁ θεσπέσιος Γαβριὴλ πρὸς τὴν Παρθένον φησίν· « Καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ, καὶ τέξεις υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ. » Ἰωσεδὲκ δὲ νοεῖται *δικαιοσύνη Θεοῦ*. Δεδικαιώμεθα γὰρ ἐν αὐτῷ διὰ πίστεως, καὶ τῶν ἀρχαίων αἰτιαμάτων τὸν ῥύπον ἀπενιψάμεθα. Αὐτὸς ἡμᾶς αἰχμαλώτους ὄντας ἐῤῥύσατο, καὶ τῆς νοητῆς δουλείας ἐξείλετο, καὶ οἱάπερ ἐξ ἀλλοδαπῆς καὶ τῆς ἀλλοφύλων D τῆς δαιμονιώδους ἀπάτης ἀνακεκόμικεν εἰς θεογνωσίαν, καὶ εἰς τὴν τῶν ἁγίων καλλίπολιν, τὴν ἁγίαν ἀληθῶς Ἱερουσαλὴμ, ἥτις ἐστὶν ἡ Ἐκκλησία. Διὸ τοῦτο στεφανοῦται πρὸς ἡμῶν ὀρθῇ καὶ ἀνεπιπλήκτῳ πίστει, καὶ τοῖς εἰς ἀρετὴν αὐχήμασιν, ὕμνοις τε τοῖς χαριστηρίοις. Καὶ οἱ μὲν τὸ τηνικάδε στέφανοι

[78] Hebr. VII, 26. [79] Zachar. IV, 9. [80] Luc. I, 31. [81] Matth. I, 21. [82] Rom. V, 1. [83] Galat. IV, 31.

Digitized by Google

χρυσοῖ τε ἦσαν, καὶ ἀργυροῖ, καὶ ἐξ ὕλης κατεσκευάζοντο τῆς φθαρτῆς. Οἱ δέ γε πρὸς ἡμῶν πεπλεγμένοι τε καὶ ἀνημ[μ]ένοι, γήϊνον μὲν ἔχουσιν οὐδέν· συντέθεινται δὲ μᾶλλον ἐκ τῆς τῷ Θεῷ πρεπούσης δόξης. Ἀνατίθεμεν γὰρ αὐτῷ ὡς χρυσὸν μὲν, τῶν περὶ αὐτοῦ δογμάτων τὴν ἁπλανῆ θεωρίαν· ὡς ἄργυρον δὲ, τὴν ἐξ ἔργων ἀγαθῶν φαιδρότητα νοητήν. Ἔστι δὲ καὶ ἑτέρως στέφανός τε καὶ δόξα Χριστοῦ, τῶν παρ' αὐτοῦ σεσωσμένων ἡ σωτηρία. Σέσωσται γὰρ οὐκ ἔθνος ἕν, καθάπερ ἀμέλει καὶ πάλαι διὰ Μωσέως ὁ Ἰσραὴλ, ἀλλ' ὅλη λοιπὸν ὑπ' οὐρανόν· ἔπρεπε γὰρ καὶ τοῦτο τῷ Χριστῷ. Ἄθρει δὲ, ὅπως παρὰ τῶν χρησίμων αὐτῆς καὶ τῶν ἐπεγνωκότων αὐτὴν τὰ εἰς τὴν τῶν στεφάνων κατασκευὴν προσκομίζονται. Οἱ γὰρ λαῶν ἡγούμενοι, καὶ εἰς ἀρχὰς τεθειμένοι τὰς τοιάσδε παρὰ Θεοῦ, καὶ οἱ τὸν τῆς ἀρχαίας ἡμῶν αἰχμαλωσίας εἰδότες τρόπον, χρήσιμοί τε τοῖς λελυτρωμένοις, ὡς καθηγηταὶ, καὶ διδάσκαλοι καὶ νουθετεῖν καὶ ἀποκομίζειν εὖ μάλα πρὸς ἐννομωτάτην ζωὴν, αὐτοὶ τὰ ὑπὲρ ἁπάντων προσάγουσι δῶρα, τὰ τῶν ἀδυνάτων ἀσθενήματα πληροῦντες δι' ἑαυτῶν. Ἐπιτεθειμένων δὲ τῶν στεφάνων ἐπὶ τὴν κεφαλὴν Ἰησοῦ, λέγεται πρὸς αὐτὸν περὶ τοῦ Ζοροβάβελ· « Ἰδοὺ ἀνὴρ, Ἀνατολὴ ὄνομα αὐτῷ, καὶ ὑποκάτωθεν αὐτοῦ ἀνατελεῖ. » Τεθέαται τὸν Ἰησοῦν στεφανούμενον ὡς ἱερέα, καὶ προὔχοντα δὲ ὁρᾷ πάλιν αὐτὸν ὡς ἔν γε τῷ Ζοροβάβελ, καὶ ἐν δόξῃ τῇ βασιλικῇ. Σύνες δὴ, ὅτι αὐτός ἐστιν ἡ Ἀνατολὴ, τουτέστι, τὸ βλάστημα, περὶ οὗ φησιν ὁ θεσπέσιος Ἡσαΐας· « Ἀνατελεῖ ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται. » Ἀνεθάλομεν δὲ ἡμεῖς ὑποκάτω αὐτοῦ. Ῥίζα γὰρ γέγονεν ὁ Χριστὸς τῆς ἀνθρωπότητος, ἤτοι τῶν διὰ πίστεως κεκλημένων δευτέρα, καὶ οὐ κατά γε τὴν πρώτην, φημὶ δὴ τὸν Ἀδὰμ, ἀλλ' ἐν ἀμείνοσιν ἀσυγκρίτως· ἀνεθάλομεν γὰρ εἰς φθορὰν οὐκέτι καὶ εἰς θάνατον διὰ τὴν ἁρὰν, ἀλλ' εἰς ζωήν τε καὶ ἀφθαρσίαν, ῥίζαν ἔχοντες τὴν ζωὴν, τουτέστι, Χριστόν. Καὶ ὥσπερ ἐστὶν αὐτὸς μὲν ἡ ἄμπελος, ἡμεῖς δὲ τὰ κλήματα, προσπεφυκότες αὐτῷ διὰ τῆς ἐν Πνεύματι κοινωνίας· οὕτω καὶ ῥάβδος καὶ βλάστημα μὲν αὐτὸς, ἤγουν φυὴ, καὶ ἀνατολὴ, ἡμεῖς δὲ ἐπ' αὐτῷ βεβλαστήκαμεν, καὶ ἀνεθάλομεν εἰς ἀφθαρσίαν, ὡς ἔφην, καὶ ζωήν. Αὐτὸς ᾠκοδόμησε τὸν οἶκον Κυρίου. Ἔστι δὲ καὶ ἁπάσης ἐμπλεως ἀρετῆς, τουτέστιν, εὐκλείας τῆς Θεῷ πρεπωδεστάτης. « Ἐκάλυψε γὰρ οὐρανοὺς καὶ ἀρετὴ αὐτοῦ, καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ, » καθά φησιν ὁ προφήτης Ἀββακούμ. Γέγραφε δέ που καὶ ὁ σοφὸς Ἰωάννης, ὅτι « Τεθεάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας. » Κεκάθικεν ἐπὶ θρόνου, βεβασίλευκεν ὡς Θεὸς, καὶ ἔστι σύνεδρος τῷ ἰδίῳ Πατρὶ, καὶ συγκατάρχει τῶν ὅλων. Ὅτι δὲ Ζοροβάβελ τε καὶ Ἰησοῦς ἀλλήλοις ὥσπερ εἰς ἑνότητα συνημμένοι κατασημήνειαν εὖ μάλα Χριστὸν, ἔδειξε προστιθεὶς, ὡς περί γε τοῦ Ζοροβάβελ· « Καὶ ἔσται ὁ ἱερεὺς ἐκ δεξιῶν αὐτοῦ, » τουτέστιν, ἐν τιμῇ τε καὶ δόξῃ. « Καὶ βουλὴ εἰρηνικὴ ἔσται ἀνὰ μέσον ἀμφοτέρων. » Ἔστι

ex materia peritura fiebant. Atquæ a nobis plectuntur imponunturque, terrenum nihil habent: quin potius ex gloria Deo digna compositæ sunt. Etenim loco auri dogmatum de ipso veram certamque intelligentiam, argenti autem ex bonis operibus nitorem animo aspectabilem offerimus. Est aliter corona et gloria Christi salvatorum ab ipso salus. Salvata est enim non una gens, quemadmodum scilicet olim per Mosen Israel, sed quidquid etiam gentium sub cœlo est: hoc quippe Christum decebat. Jam nunc vide, quomodo ab utilibus ejus, et his qui cognoverunt eam ad coronam efficiendam necessaria conferantur. Principes enim populi, et in magistratibus hujusmodi a Deo locati, et quibus antiquæ captivitatis nostræ ratio nota est, quique utiles sunt liberatis ut duces, et magistri ad admonendum et deducendum rectissimo itinere ad vitam legibus congruentissimam, ipsi dona pro omnibus offerunt, infirmitates imbecillium per se explentes. Impositis autem coronis super caput Jesu, de Zorobabele illi dicitur: « Ecce vir, Oriens nomen illi, et subter eum exorietur. » Vidit Jesum coronatum ut sacerdotem, et rursus eumdem præcellentem, et in gloria regali videt, ut in Zorobabel. **707** Intellige igitur ipsum esse Orientem, hoc est, germen, de quo divinus Isaias: « Exorietur virga de radice Jesse, et flos de radice ejus ascendet [84]. » Regerminavimus enim nos subter eum. Radix quippe fuit Christus humanæ naturæ, sive per fidem vocatorum altera, non secundum primam humanitatem, Adamum videlicet, sed citra comparationem præstantior: regerminavimus siquidem non amplius in corruptionem et mortem propter maledictionem, sed in vitam et incorruptionem, radicem habentes vitam, hoc est, Christum. Et sicut ipse est vitis, nos autem palmites [85], agnati illi per communionem in Spiritu: ita et virga, et germen ipse, sive productio et oriens, nos autem super ipso germinavimus, et refloruimus in incorruptionem et vitam, ut dixi. Ipse ædificavit domum Domini. Est porro et omni virtute plenus, hoc est, gloria Deo maxime conveniente. « Operuit enim cœlos virtus ejus, et laudis ejus plena est terra, » ut habet propheta Habacuc [86]. Scribit item alicubi sapiens Joannes: « Vidimus gloriam ejus, gloriam quasi Unigeniti a Patre, plenum gratiæ et veritatis [87]. » Sedit super throno, regnavit ut Deus, et assidet Deo Patri, et simul imperat omnibus. Zorobabel autem et Jesum inter se ut ad unitatem conjunctos aptissime significare Christum posse, ostendit quod addit tanquam de Zorobabel: « Et erit sacerdos a dextris ejus, » hoc est, in honore et gloria. « Et consilium pacificum erit inter utrumque. » Est enim ipse, ut jam docui, rex simul et summus sacerdos, ut per duos pro uno Emmanuele numeratus. Verumtamen non carebit mercede labor Christum coronantium: sed fructus inde perceptus creabit eis memoriam sempiternam.

[84] Isa. xi, 1. [85] Joan. xv, 5. [86] Habac. iii, 3. [87] Joan. i, 14.

Digitized by Google

Vera porro se dicere confirmat, cum adjungit : « Corona autem erit exspectantibus, et utilibus ejus, et qui cognoverunt eam, et in gratiam filiis Sophoniæ, et in psalmum in domo Domini. » Erit enim in gratiam iis qui consecraverint oblata, et erunt illa occasio laudum divinarum. Principum enim pietas cæteris via charitatis erga Deum efficitur. Coronato autem a nobis Christo, tunc etiam gentium multitudo ad aquitionem ejus properabit, et qui procul sunt propter errorem, per fidem vocabuntur, « et ædificabunt in domo Domini. » Quænam ædificabunt? Seipsos videlicet, cooptantes sanctis, et componentes **708** in fide ad unitatem cum iis qui sunt ex Israel, Christo summo angulari lapide[88], et connectente in concordiam per se, quæ olim disjuncta fuerant. « Condidit enim duos populos in unum novum hominem, faciens pacem, et reconcilians in corpore suo Patri omnia[89]. » Quæ cum evenerint jam, sanctis prophetis suffragium veritatis dabimus, manifeste cognoscentes, Deum locutum esse in ipsis, et mysterium Christi nobis prænuntiasse.

A γὰρ αὐτὸς, ὡς ἤδη προεῖπον, βασιλεύς τε ἅμα καὶ ἀρχιερεὺς, ὡς διὰ δυοῖν εἰς ἕνα γραφόμενος τὸν Ἐμμανουήλ. Πλὴν οὐκ ἄμισθος ὁ πόνος τοῖς στεφανοῦσι Χριστὸν, ἀλλ' εἰς ἀτελεύτητον αὐτοῖς δραμεῖται μνήμην ἡ καρποφορία. Ὅτι δὲ ἀτρεκὴς ὁ λόγος, ἐμπεδοῖ προστιθεὶς· « Ὁ δὲ στέφανος ἔσται τοῖς ὑπομένουσι, καὶ τοῖς χρησίμοις αὐτῆς, καὶ τοῖς ἐπεγνωκόσιν αὐτὴν, καὶ εἰς χάριτα τοῖς υἱοῖς Σοφονίου, καὶ εἰς ψαλμὸν ἐν οἴκῳ Κυρίου. » Ἔσται γὰρ εἰς χάριν τοῖς ἀνατεθεικόσι τὰ προσκεκομισμένα, γενήσονται δὲ καὶ δοξολογίας πρόφασις. Ἡ γὰρ τῶν ἡγουμένων εὐσέβεια, τῆς εἰς Θεὸν ἀγάπης ὁδὸς τοῖς ἑτέροις γίνεται. Στεφανουμένου δὲ πρὸς ἡμῶν τοῦ Χριστοῦ, τότε καὶ ἡ τῶν ἐθνῶν ἀγέλη δραμεῖται πρὸς ἐπίγνωσιν αὐτοῦ, καὶ οἱ μακρὰν ὄντες διὰ τὴν πλάνησιν, κεκλήσονται διὰ πίστεως, « Καὶ οἰκοδομήσουσιν ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. « Τίνα δὲ οἰκοδομήσουσιν; ἑαυτοὺς δηλονότι συναρμολογοῦντες τοῖς ἁγίοις, καὶ συντιθέντες ἐν πίστει πρὸς ἕνωσιν τοῖς ἐξ Ἰσραὴλ, ὄντος ἀκρογωνιαίου Χριστοῦ, καὶ συνείροντος εἰς ὁμοψυχίαν δι' ἑαυτοῦ τὰ πάλαι διῃρημένα. « Ἔκτισε γὰρ τοὺς δύο λαοὺς εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάσσων ἐν τῷ σώματι αὐτοῦ τὰ πάντα πρὸς τὸν Πατέρα. » Ὧν εἰς πέρας ἐκδεδηκότων, ἐπιψηφιούμεθα τοῖς ἁγίοις προφήταις τὸ ἀτρεκὲς, ἐγνωκότες σαφῶς, ὡς ἦν Θεὸς ἐν αὐτοῖς ὁ λαλῶν καὶ προαναφωνῶν ἡμῖν τὸ Χριστοῦ μυστήριον.

B

CAP. VII.

VERS. 1-3. *Et factum est in quarto anno, sub Dario rege, factus est sermo Domini ad Zachariam quarta mensis noni, qui est Chasleu. Et misit in Bethel Sarasar, et Arseber rex et viri ejus, ut propitiarent Dominum, loquens ad sacerdotes qui in domo Domini omnipotentis, et ad prophetas, dicens : Ingressa est huc in quinto mense sanctificatio, juxta quod fecerunt jam pluribus annis.*

ΚΕΦΑΛ. Ζ'.

Καὶ ἐγένετο ἐν τῷ τετάρτῳ ἔτει, ἐπὶ Δαρείου τοῦ βασιλέως, ἐγένετο λόγος Κυρίου πρὸς Ζαχαρίαν τετράδι τοῦ μηνὸς τοῦ ἐνάτου, ὅς ἐστι Χασλεῦ. Καὶ ἐξαπέστειλεν εἰς Βαιθὴλ Σαρασὰρ, καὶ Ἀρσεβὲρ ὁ βασιλεὺς, καὶ οἱ ἄνδρες αὐτοῦ ἐξιλάσασθαι τὸν Κύριον, λέγων πρὸς τοὺς ἱερεῖς τοὺς ἐν τῷ οἴκῳ Κυρίου παντοκράτορος, καὶ πρὸς τοὺς προφήτας, λέγων· Εἰσελήλυθεν ὧδε ἐν τῷ μηνὶ τῷ πέμπτῳ τὸ ἁγίασμα, καθότι ἐποίησαν ἤδη ἱκανὰ ἔτη.

C

XXXIV. Post ostensionem visionum verba alia a Deo facta sunt, brevi tempore interlapso. Ante visiones enim scriptum est : « In quarta et vicesima undecimi mensis, qui est mensis Sabat, anno secundo Darii, factum est verbum Domini ad Zachariam filium Barachiæ, filium Addo prophetæ, dicens[90]. » In adductis autem theorematis aliud tempus post illud exprimitur. In quarto enim anno, quarta mensis noni, qui est Chasleu, voce Hebraica videlicet, prophetæ quædam divina visio oblata est. Occasionem narratio historiæ etiam atque etiam declarabit. Non enim aliter quidam, nisi hoc modo propositorum verborum sententiam concipient. Omnino enim quinam fuerint Sarasar, et Arseber rex, et comites ejus, ante alia dicendum est. Præterea quid sanctificatio in quinto mense : item interrogationis modus quonam respiciat, et quod sit interrogantium consilium.

ΛΔ'. Μετὰ τὴν τῶν ὁράσεων ἀπόδειξιν ἕτεροι περὶ Θεοῦ γεγόνασι λόγοι, μικροῦ μεταξὺ διιππεύσαντος χρόνου. Πρὸ μὲν γὰρ τῶν ὁράσεων γέγραπται, ὅτι « Ἐν τῇ τετράδι καὶ εἰκάδι τοῦ ἑνδεκάτου μηνὸς, οὗτός ἐστιν ὁ μὴν ὁ Σαβὰτ, ἐν τῷ δευτέρῳ ἔτει Δαρείου, ἐγένετο λόγος Κυρίου πρὸς Ζαχαρίαν τὸν τοῦ Βαραχίου, υἱὸν Ἀδδὼ τοῦ προφήτου, λέγων. » Ἐν δέ γε τοῖς προκειμένοις ἡμῖν θεωρήμασιν ἕτερος μετ' ἐκεῖνον ὁρίζεται χρόνος. Ἐν γὰρ τῷ τετάρτῳ ἔτει τῇ τετράδι τοῦ μηνὸς τοῦ ἐνάτου, ὅς ἐστι Χασλεῦ, κατὰ τὴν Ἑβραίων φωνὴν δηλονότι, μεταπεφοίτηκε τῷ προφήτῃ τῆς θεοπτίας ὁ τρόπος. Τίς δὲ ἡ πρόφασις, ἡ τῆς ἱστορίας ἀφήγησις εὖ μάλα σαφηνιεῖ. Συνιέναι γὰρ οὐχ ἑτέρως τινὲς πλὴν ὅτι κατὰ τουτονὶ τὸν τρόπον τῶν προκειμένων τὸν νοῦν. Τίνες γὰρ ὅλως, ὅ τε Σαρασὰρ καὶ Ἀρσεβὲρ ὁ βασιλεὺς, καὶ οἱ ἄνδρες οἱ μετ' αὐτοῦ, πῶς οὐκ ἀναγκαῖον καὶ πρό γε τῶν ἄλλων ἀναμαθεῖν· τί τε τὸ ἁγίασμα τὸ ἐν τῷ πέμπτῳ μηνί· καὶ μὴν καὶ αὐτὸς ὁ τῆς ἐρωτήσεως τρόπος, ὁποῖ ποτὲ βλέπει, καὶ τίς ἂν γένοιτο τῶν ἐρομένων ὁ σκοπός;

D

Regnante igitur Osee filio Ela super decem tribus

Βασιλεύοντος τοίνυν Ὡσηὲ τοῦ υἱοῦ Ἠλὰ τῶν δέκα

[88] Ephes. II, 20. [89] ibid. 15, 16. [90] Zach. I, 1.

Digitized by Google

φυλῶν τῶν ἐν τῇ Σαμαρείᾳ, καὶ πολὺ διανενευκότος εἰς ἀπόστασιν (λελάτρευκε γὰρ εἰδώλοις), παροξύνεται Θεὸς ἐπὶ τὸν Ἰσραήλ. Εἶτα κατεστράτευσε τῆς χώρας ὁ Σαλμανασὰρ βασιλεὺς Ἀσσυρίων, εἶλε τὴν Σαμάρειαν, καὶ ἀπῴκησε μὲν τὸν Ἰσραήλ, παρεσκεύασε δέ τινας τῶν ἐκ τῆς Χαλδαίων χώρας κατοικῆσαι τὴν γῆν, ἵνα δὴ γένοιτο Περσῶν, ὡς ἐκεῖθεν ἔχουσα λοιπὸν τοὺς οἰκήτορας. Ἔχεις τὴν ἱστορίαν ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν. Γέγραπται γὰρ οὕτως· « Ἐν ἔτει δωδεκάτῳ Ἀχὰζ βασιλέως Ἰούδα, ἐβασίλευσεν Ὡσηὲ υἱὸς Ἠλᾶ ἐν Σαμαρείᾳ ἐπὶ Ἰσραὴλ ἐννέα ἔτη. Καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου, πλὴν οὐχ ὡς οἱ βασιλεῖς Ἰσραήλ, οἱ ἦσαν ἔμπροσθεν αὐτοῦ. Ἐπ' αὐτῷ ἀνέβη Σαλμανασὰρ βασιλεὺς Ἀσσυρίων, καὶ ἐγενήθη αὐτῷ Ὡσηὲ δοῦλος. » Καὶ μεθ' ἕτερα πάλιν· « Καὶ ἀπῳκίσθη Ἰσραὴλ εἰς Ἀσσυρίους ἕως τῆς ἡμέρας ταύτης. Καὶ ἦγαγε βασιλεὺς Ἀσσυρίων ἐκ Βαβυλῶνος τὸν ἐκ Χουθὰ ἀπὸ Ἀϊὰ, καὶ ἀπὸ Αἰμὰθ, καὶ Σεπφαρουαΐμ, καὶ κατῳκίσθησαν ἐν ταῖς πόλεσι Σαμαρείας, ἀντὶ τῶν υἱῶν Ἰσραὴλ, καὶ ἐκληρονόμησαν τὴν Σαμάρειαν. » Οὗτοι δὴ οὖν, οἱ κλῆρον ἑλόντες τὸν Σαμαρειτῶν, καὶ κατῳκηκότες τὴν γῆν, καὶ τέκνων τάχα που γεγόνασι πατέρες, καὶ τοῖς Ἰουδαίων ἔθνεσι προσνενεύκασι, τὰς τῶν λεόντων ἐφόδους κατορῥωδήσαντες, καὶ αὐτῶν γεγόνασι Σαρασὰρ, καὶ Ἀρβεσὲρ, ὃς καὶ ὠνόμασται βασιλεὺς, διά τοι τὸ καθηγεῖσθαι τὸ τηνικάδε τῶν ἐν Σαμαρείᾳ κατοικισθέντων ἐκ τῆς Περσῶν. Καὶ ταῦτα μὲν περὶ τῶν ἀνδρῶν. Περὶ δέ γε τοῦ ἁγιάσματος, φέρε δὴ πάλιν τὰ εἰκότα λέγωμεν.

in Samaria, insigni desertore, « servivit enim idolis, » 709 irascitur Deus Israeli. Deinde Salmanasar Assyriorum rex provinciam armis invadit, Samariam occupat, Israelem migrare cogit, et quosdam de regione Chaldæorum vicissim incolas immittit, ut Persarum propria fieret, siquidem inde incolas deinceps haberet. Historiam habes libro quarto Regum in hæc verba : « In anno duodecimo Achaz regis Juda regnavit Osee filius Ela in Samaria super Israel novem annis. Et fecit malum in conspectu Domini, verumtamen non sicut reges Israel, qui fuerunt ante eum. Sub eo ascendit Salmanasar rex Assyriorum, et factus est ei Osee servus [91]. » Et infra : « Et translatus est Israel in Assyrios usque in diem hanc. Et adduxit rex Assyriorum de Babylone Echuta ab Aia, et ab Æmath, et Sepharvaim, et collocati sunt in urbibus Samariæ pro filiis Israel, et possederunt Samariam [92]. » Hi sunt igitur, qui Samaritarum sortem regionemve insederunt, et incoluerunt, ac liberos forte genuerunt, et ad Judæorum mores seu ritus inclinarunt, leonum incursus formidantes, e quorum numero fuerunt Sarasar, et Arbeser, qui et rex nominatus est, quod dux eorum, ac princeps esset, qui in Samariam ex Persis habitatum commigrarunt. Et hæc quidem de viris. De sanctificatione vero age nunc verisimilia dicamus.

Οὐκοῦν πρὶν ἁλῶναι τὴν Ἰουδαίαν παρὰ τοῦ Ναβουχοδονόσορ, ὁ μακάριος προφήτης Ἰωὴλ ἀνακέκραγε τὸ συμβησόμενον. Καὶ δὴ καὶ πενθεῖν τοῖς ἱερεῦσι παρεκελεύετο, καὶ προσέτι καὶ τοῖς ὑπὸ χεῖρα λαοῖς, καὶ ὅσον οὐδέπω τῆς μὲν Ἱερουσαλὴμ ὑπὸ πόδας ἐσομένης ἐχθρῶν, κατεμπρησθησομένου δὲ καὶ αὐτοῦ τοῦ θείου ναοῦ. Ἔφη δὲ οὕτως· « Περιζώσασθε, καὶ κόπτεσθε, οἱ ἱερεῖς· θρηνεῖτε, οἱ λειτουργοῦντες θυσιαστηρίῳ, εἰσέλθετε, ὑπνώσατε ἐν σάκκοις, λειτουργοῦντες Θεῷ, ὅτι ἀπέσχηκεν ἐξ οἴκου Θεοῦ ὑμῶν θυσία καὶ σπονδή. Ἁγιάσατε νηστείαν, κηρύξατε θεραπείαν, συναγάγετε πρεσβύτας, πάντας κατοικοῦντας γῆν, εἰς οἶκον Θεοῦ ὑμῶν, καὶ κράξατε πρὸς Κύριον ἐκτενῶς· Οἴμοι εἰς ἡμέραν! » Καὶ ταῦτα μὲν ὁ προφήτης. Τίνα δὲ δὴ τρόπον διεπεραίνετο τὰ προηγγελμένα, σαφηνιῶ πάλιν, αὐτὸ παραθεὶς τὸ Γράμμα τὸ ἱερόν. Γέγραπται δὲ οὕτως ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν· « Ἐν τῷ μηνὶ τῷ πέμπτῳ, τῇ ἑβδόμῃ τοῦ μηνὸς, οὗτος ἐνιαυτὸς ἐννεακαιδέκατος τῷ Ναβουχοδονόσορ βασιλεῖ Βαβυλῶνος, ἦλθε Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος, ἑστὼς ἐνώπιον βασιλέως Βαβυλῶνος εἰς Ἱερουσαλὴμ, καὶ ἐνέπρησε τὸν οἶκον Κυρίου, καὶ τὸν οἶκον τοῦ βασιλέως, καὶ πάντας τοὺς οἴκους Ἱερουσαλήμ. » Εἶτα κεχειροτόνηκεν ἐπὶ τὸν περιλειφθέντα δῆμον ἐξ Ἰσραὴλ τὸν Γοδολίαν, ἐν μηνὶ τῷ ἑβδόμῳ, ὃν ὑπελθὼν ἐχειρώσατο καὶ ἀπέκτεινεν Ἰσμαὴλ υἱὸς Ναθανίου, υἱοῦ Ἐλισάβα, ἐκ τοῦ σπέρματος τῶν βασιλέων·

Itaque antequam Judæa a Nabuchodonosore subigeretur, beatus propheta Joel quod futurum erat proclamavit. Quin etiam sacerdotes, et insuper subjectum ipsis populum, quasi mox Jerusalem sub pedibus hostium futura, ipso quoque divino templo inflammato, ad luctum hortatus est. Sic autem ait : « Accingimini, et plangite, sacerdotes, lamentamini, qui ministratis altari, ingredimini, dormite in saccis, ministrantes Deo, quia defecit de domo Dei vestri sacrificium et libatio. Sanctificate jejunium, prædicate curationem, congregate seniores, omnes habitantes terram in domum Dei vestri, et clamate ad Dominum vehementer : Heu mihi in diem [93]! » Et hæc quidem propheta. Quonam autem modo prædicta contigerint, jam docebo, verbis sacræ Scripturæ recitatis. Sic enim exstat in quarto Regum : « In mense quinto 710 septima mensis, anno decimo nono regis Nabuchodonosor venit Nabuzardan princeps coquorum, stans coram rege Babylonis, Hierosolymam, et succendit domum Domini, et domum regis, et omnes domus Jerusalem [94]. » Deinde reliquis populi Israelis Godoliam præposuit mense septimo, quem insidiis aggressus cepit, et obtruncavit Ismael, filius Nathaniæ, filii Elisaba, semine regio oriundus : in hanc enim sententiam scriptum legimus. Itaque postquam contigit in mense quinto die septima Hierosolymam capi, templum succendi, et insuper occidi Godoliam

[91] IV Reg. xvii, 1-3. [92] ibid. 23, 24. [93] Joel i, 13, 15. [94] IV Reg. xxv, 8.

Digitized by Google

mense septimo, qui remanserant Judæi, fortassis in memoriam dictorum a propheta Jeremia regressi, statuerunt, ut ex omnibus locis finitimis quinti mensis die septimo omnes Hierosolymam ascenderent, et jejunium sanctificarent, et planctum susciperent, quasi super mortuo, et quodammodo super cadavere templi ejularent, et super urbe crémata ex posterioribus consiliis profectas lacrymas effunderent. Existimabant autem se modum hunc Dei colendi ipsi gratum sapientissime invenisse. Porro degebat adhuc Israel sub jugo impositæ servitutis, nec de divino templo quisquam erat sollicitus. Ast ubi ex Persis et Medis reverterunt, et sanctam civitatem de integro habitarunt, et divinum templum repararent, visum est, quod solebat, non jam in tempore, nec cum ratione fieri. Magis enim tanquam a præteritis ad hilaritatem transire, et celebrare dies festos, et hymnis libertatis auctori gratias agere conveniebat. Dubitantes igitur de quibus sermo est, Sarazar, et Arseber, mittunt quosdam interrogatum sacerdotes et prophetas: « Ingressa est huc sanctificatio in mense quinto, sicut fecerunt jam annis multis, » hoc est, num, qui Hierosolymis habitant, cum ipsis lugeant, consuetudinemque in forma sanctificationis usitatam recipiant, etiam excitato templo, et soluta captivitate. Sanctificabant enim jejunium, ut dixi, sicut fecerant inde ab annis multis. Captivo enim Israele tempus luctus et ipsi constanter servabant, jejunium sanctificantes, ut jam prius diximus. Est ergo dubitantium interrogatio, utrum adhuc præstanda sit sanctificatio et luctus, quamvis templo reædificato: **711** aut certe abstinendum in posterum, causa luctus remota scilicet.

γέγραπται γὰρ ὡδί. Οὐκοῦν ἐπειδήπερ συμβέβηκεν ἐν τῷ πέμπτῳ μηνὶ, καὶ ἐν ἡμέρᾳ τῇ ἑβδόμῃ ἀλῶναι μὲν τὰ Ἱεροσόλυμα, κατεμπρησθῆναι δὲ τὸν ναὸν, προσαποθανεῖν δὲ καὶ τὸν Γοδολίαν ἐν τῷ ἑβδόμῳ μηνὶ, τάχα που πρὸς ἀνάμνησιν τῆς τοῦ προφήτου φωνῆς, οἱ κατάλοιποι τῶν Ἰουδαίων ἐνηνεγμένοι τετυπώκασιν (1), ἐξ ἁπάσης τῆς περιοικίδος ἐν μηνὶ τῷ πέμπτῳ ἐν τῇ ἑβδόμῃ τοῦ μηνὸς ἀναβαίνειν ἅπαντας εἰς Ἱεροσόλυμα, καὶ ἁγιάσαι μὲν νηστείαν, κομμὸν δὲ τίθεσθαι καθάπερ ἐπὶ νεκρῷ καὶ ἐποιμώζειν κειμένῳ τρόπον τινὰ τῷ ναῷ, τῇ τε πόλει κατεμπρησθείσῃ τὸ ἐκ τῆς ὑστεροβουλίας δάκρυον ἐπιχεῖν. Ἔρρωτο δὲ ὅτι λατρείας αὐτοῖς τῆς ἀρεσκούσης Θεῷ τρόπος οὗτος πάνσοφος ἐξηύρηται. Ἀλλ' ἐπράττετο μὲν, ἔτι [τοῦ] Ἰσραὴλ ὑπὸ τὸν τῆς αἰχμαλωσίας κειμένου ζυγὸν, οὐδεμιᾶς δὲ φροντίδος τοῦ θείου τετυχηκότος ναοῦ. Ἐπειδὴ δὲ ἐπανῆλθον, τὴν Περσῶν ἀφέντες καὶ Μήδων, καὶ κατῳκήκασι τὴν ἁγίαν πόλιν, καὶ εἶτα τὸν θεῖον ἀνεδείμαντο νεών, ἐδόκει πως τὸ ἔθος αὐτοῖς οὐκ ἐν καιρῷ καὶ λόγῳ πράττεσθαι λοιπόν. Ἔδει γὰρ μᾶλλον ὡς ἀπό γε τῶν γεγενημένων μεταχωρῆσαι πρὸς εὐθυμίαν, καὶ πληροῦν ἑορτὰς, καὶ χαριστηρίους ἀνάπτειν ᾠδὰς τῷ κεκληκότι πρὸς ἐλευθερίαν αὐτούς. Ἐνδοιάζοντες δὴ οὖν οἱ περὶ ὧν ὁ λόγος, Σαρασάρ τε καὶ Ἀρσεβὲρ, πέμπουσί τινας ἐρησομένους τοὺς ἱερεῖς, καὶ τοὺς προφήτας· « Εἰσελήλυθεν ὧδε τὸ ἁγίασμα ἐν τῷ μηνὶ τῷ πέμπτῳ, καθότι ἐποίησαν ἤδη ἱκανὰ ἔτη· » τουτέστιν, εἰ συνεδραμήκασιν οἱ πενθεῖν εἰωθότες ἐν τοῖς Ἱεροσολύμοις, καὶ εἰ παρεδέξαντο τὴν συνήθειαν αὐτοῖς, τὴν ὡς ἐν τρόπῳ γεγενημένην ἁγιάσματος, καίτοι καὶ ἐγηγερμένου τοῦ θείου ναοῦ, καὶ λελυμένης τῆς αἰχμαλωσίας. Ἠγίασαν γὰρ, ὡς ἔφην, νηστείαν καθὰ δεδράκασιν ἐκ πολλῶν ἐτῶν. Αἰχμαλώτου γὰρ ὄντος τοῦ Ἰσραὴλ, διατετελέκασι καὶ αὐτοὶ τὸν τοῦ πένθους τηροῦντες καιρὸν, καὶ ἁγιάζοντες τὴν νηστείαν, καθάπερ ἤδη προεῖπον. Οὐκοῦν ἐνδοιαζόντων ἡ ἐρώτησις, πότερον χρὴ πληροῦν ἔτι τὸ ἁγίασμα, καὶ πένθος, καὶ μετά γε τὴν ἔγερσιν τοῦ ναοῦ· ἦγουν ἀποσχέσθαι λοιπὸν, τῆς τοῦ πένθους αἰτίας ἐκποδὼν οἰχομένης.

VERS. 4-7. *Et factus est sermo Domini virtutum ad me, dicens: Dic omni populo terræ, et ad sacerdotes, dicens: Si jejunaveritis, aut planxeritis in quintis, aut in septimis, et ecce septuaginta anni, nunquid jejunium jejunastis mihi? Et si comederitis, aut biberitis, nonne vos comeditis, et vos bibitis? nonne ista verba sunt, quæ locutus est Dominus in manibus prophetarum, qui ante fuerunt? quando erat Jerusalem habitata, et abundans, et civitates ejus in circuitu, et montana, et campestris habitata est.*

Καὶ ἐγένετο λόγος Κυρίου τῶν δυνάμεων πρὸς ἐμὲ, λέγων· Εἶπον πρὸς ἅπαντα λαὸν τῆς γῆς, καὶ πρὸς τοὺς ἱερεῖς, λέγων· Ἐὰν νηστεύσητε, καὶ κόψησθε ἐν ταῖς πέμπταις, ἢ ἐν ταῖς ἑβδόμαις, καὶ ἰδοὺ, ἑβδομήκοντα ἔτη, μὴ νηστείαν νενηστεύκατέ μοι; Καὶ ἐὰν φάγητε, ἢ πίητε, οὐχ ὑμεῖς ἐσθίετε, καὶ ὑμεῖς πίνετε; Οὐχ οὗτοι οἱ λόγοι, οὓς ἐλάλησε Κύριος ἐν χερσὶ τῶν προφητῶν τῶν ἔμπροσθεν; Ὅτε ἦν Ἱερουσαλὴμ κατοικουμένη. καὶ εὐθηνοῦσα, καὶ αἱ πόλεις κυκλόθεν αὐτῆς, καὶ ἡ ὀρεινὴ, καὶ ἡ πεδινὴ κατῳκεῖτο.

XXXV. Quærebant quidam, ut jam docui, de ea quæ vocatur sanctificatio, a sacerdotibus et prophetis, qui, ut credibile fit, cum preces obtulissent, et quid talia cupide sciscitantibus liquido respondérent, apud se diligenter cogitassent, secutum est verbum a Deo, breve, ac minime longum, nihilque continens involutum: sed ut ita dicamus, nudum,

ΛΕ'. Ἤροντό τινες, ὡς ἤδη προεῖπον, περὶ τοῦ ἐπίκλην ἁγιάσματος, τούς τε ἱερέας καὶ τοὺς προφήτας, κατὰ δὲ τὸ εἰκὸς, προσαγορεύοντες τὰς λιτὰς, καὶ ὅτι προσήκοι τοῖς τὰ τοιάδε φιλοπευστεῖν ἠρημένοις ἀποκρίνεσθαι σαφῶς διεσπουδακότων, εἶτά τις ὁ λόγος ὁ παρὰ Θεοῦ, βραχύς τε καὶ οὐ μακρὸς, καὶ οὐδὲν ἔχων τὸ περισκεπές· ἀλλ' ἵν' οὕτως εἴπωμεν,

(1) Vox corrupta, ut apparet: aut expone *decretum fecerunt, et obsignarunt*, a τυπόω.

Digitized by Google

γυμνὸς, καὶ εὐαπάλλακτος τὴν τοῦ συμφέροντος γνῶσιν. Τί γὰρ δὴ τὸ χρῆμα, φησὶν, εἰ καὶ νενηστεύκατε τυχὸν ἐν ταῖς πέμπταις καὶ ἐν ταῖς ἑβδόμαις; ἢ ποία τις ὅλως κατόρθωσις ἀρετῆς, τὸ ἐπολολύζειν ἁμαθῶς ξύλοις τε καὶ λίθοις ἐμπεπρησμένοις; Τίνα δὲ τρόπον τοῖς παρ' ὑμῶν δρωμένοις ἐφήδοιτ' ἂν ὁ Θεὸς, ὅτε τῶν ἀναγκαίων εἰς δνησιν πεπραχότες οὐδὲν, οἴεσθε κατὰ σφᾶς τὰ πάντα ἄριστα κατορθοῦν; Εἰ γὰρ τῆς τοιαύτης δεδέημαι νηστείας, καὶ ἐπαινεῖν ἄξιον νομικὸν γυναικοπρεπῆ, διὰ ποίαν αἰτίαν ἑβδομηκοστὸν ἔτος διατετελε[ύ]κατε, φησὶν, οὐ νενηστευκότες; Διατρίβοντες γὰρ ἔτι παρὰ τοῖς Βαβυλωνίοις, οὐ νηστείαν τετελέκασι δημοτελῆ, ἀλλ' οὐδέτερόν τι κατὰ τὸν νόμον τὸν Μωσέως ἀποπεραίνειν ἐσπουδακότες ἀλοΐεν ἄν. Εἶτα πῶς ἠλέησα, φησὶ, καὶ τῆς τῶν κρατούντων χειρὸς ἐξειλόμην, καὶ (1) πιεῖν, οὐκ ἐμοὶ μᾶλλον ἢ ἑαυτοῖς χαρίζεσθε τὸ χρῆμα. Οὐκοῦν τοῦ νηστεύοντος εἰκῆ, καὶ ἐπ' οὐδενὶ τῶν χρησίμων καὶ τὸ δάκρυον ἀνωφελὲς, καὶ ἄμισθος ὁ ἱδρώς. Οὐχ οὗτοι οἱ λόγοι εἰσὶ τῶν προφητῶν τῶν ἔμπροσθεν, ὅτε ἦν Ἱερουσαλὴμ κατοικουμένη, καὶ εὐθηνοῦσα, περιεχομένη[ἴσ. περιχεομένη] τε τοῖς ἀγαθοῖς, καὶ ἀπημάντοις ἔτι ταῖς ἰδίαις ἐπαυχοῦσα πόλεσι, ταῖς τε ἐν τῇ ὀρεινῇ καὶ τῇ πεδινῇ; Ἔφη μὲν γὰρ ὁ προφήτης Ἰωὴλ, ὅτι δεῖ πρεσβυτέρους θρηνεῖν, ἱερέας τε καὶ λαοὺς, καὶ πρός γε δὴ τούτοις καὶ ἁγιάσαι νηστείαν. Καὶ ὁ τῆς παραινέσεως σκοπὸς ἐκάλει πρὸς μετάγνωσιν. Οὐ γὰρ περιμένειν ἤθελε τῶν συμβεβηκότων τὴν πεῖραν, ἵνα καὶ ἐμπρησθέντα καταθρηνῆτε τὸν ναὸν, ἀλλ' ἵνα πρὸ πείρας, ὡς ἔφην, κομμοῖς τε καὶ θρήνοις ἐκμειλισσόμενοι τὸν Θεὸν, ἔξω γένησθε τῶν κακῶν. Οὐκοῦν οὐχ οὗτοί εἰσιν οἱ λόγοι τῶν προφητῶν τῶν ἔμπροσθεν; οὓς ἠγνοηκότες ὑμεῖς εἰκῆ κατοιμώζετε, καὶ λίθοις κειμένοις τὸ ἐξ ἀμαθείας δάκρυον ἐπιστάζεσθε. Καίτοι δέον ἐπανορθοῦν τῆς ἑαυτῶν πολιτείας τὴν ὁδὸν, καὶ τὴν εὐκλεᾶ καὶ ἀμώμητον ἰέναι τρίβον, κατορθοῦν εὖ μάλα δὲ ἐγνωκότας τὸ τῷ νομοθέτῃ δοκοῦν.

A et in quo facile utilitatem deprehendas. Quid enim magnum est, inquit, etiamsi jejunastis forte quintis et septimis, aut quod virtutis officium super lignis et lapidibus exustis ululare? Quonam autem modo Deus factis vestris delectetur, quando nihil conducibile cum feceritis, optima quæque legitime fecisse statuitis? Nam si hujusmodi jejunium requiro, et feminis dignum institutum laudabile est, quid est quod per septuaginta annos non jejunastis? Etenim apud Babylonios degentes, publice non jejunabant, neque illos quidpiam aliud ex lege Mosis studiose exsequentes vidisses. Deinde misertus sum, inquit, et de manu dominantium vos eripui, et comeditis ac bibitis, non mihi potius quam vobis gratificantes. Quare frustra et inutiliter jeB junantis etiam lacrymæ inanes sunt, et sudor mercede caret. Nonne isti sermones sunt prophetarum priorum, quando habitabatur Jerusalem, et abundabat, et circumfluebat bonis, et de suis urbibus cum montanis tum campestribus adhuc salvis et incolumibus lætabatur? Ait enim propheta Joel [91], lamentandum senioribus, sacerdotibus et populo, et præterea sanctificandum jejunium. **712** Hortationis scopus erat vocare ad pœnitentiam. Non enim exspectare eos volebat, dum ipsa malorum experientia docerentur, ut ita templum crematum deflentis, inquit, sed ut ante experientiam, ut dixi, ejulatibus lamentisque Deum mitigantes, mala evadatis. Quamobrem, nonne isti sunt sermones, inquit, prophetarum priorum? quorum ignari vos C frustra ejulatis, et lapides humi jacentes non sine stultitia lacrymis perfunditis. Atqui oportebat mores suos corrigere, et laudabili semita citra cujusquam reprehensionem ambulare, voluntati legislatoris probe et omnibus numeris parere cupientes.

Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ζαχαρίαν, λέγων· Τάδε λέγει Κύριος παντοκράτωρ· Κρῖμα δίκαιον κρίνετε, καὶ ἔλεος, καὶ οἰκτιρμὸν ποιεῖτε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ καὶ χήραν, καὶ ὀρφανὸν, καὶ προσήλυτον, καὶ πένητα μὴ καταδυναστεύετε, καὶ κακίαν ἕκαστος τοῦ ἀδελφοῦ αὐτοῦ μὴ μνησικακείτω ἐν ταῖς καρδίαις ὑμῶν.

VERS. 8-10. *Et factus est sermo Domini ad Zachariam, dicens : Hæc dicit Dominus omnipotens : Judicium justum judicate, et misericordiam et miserationem facite unusquisque erga fratrem suum, et viduam, et pupillum, et advenam, et pauperem ne opprimatis, et malitiæ unusquisque fratris sui ne memineritis in cordibus vestris.*

ΛϚ'. Κατακιβδηλεύσας τὸ πένθος, ὡς ἄχρηστον καὶ ἀνωφελὲς, καὶ τὸν εἰκαῖον αὐτῶν ἱδρῶτα διαχλευάσας, ἀποκομίζει πρὸς τὸ ὅτι μάλιστα τελοῦν εἰς ὄνησιν, καὶ τῆς ἀνδανούσης αὐτῷ πολιτείας σαφῆ τε καὶ ἐναργῆ καταστήσας τὴν ὁδὸν, καταλευκαίνει γε ὥσπερ αὐτοῦ τε τοῦ νόμου καὶ τῶν προφητῶν τὸν νοῦν. Ἐφήδεται γὰρ ὁ νομοθέτης ὀρθῷ τε καὶ ἀμωμήτῳ κρίματι, ἐκτετίμηται δὲ καὶ λίαν ἐσπουδασμένως ἔλεόν τε καὶ φιλαλληλίαν, καὶ ἐπαινεῖν ἀξιοῖ τὴν εἰς ὀρφανοὺς ἀγάπησιν, καὶ φειδὼ τὴν ἐπὶ γυναίοις χηρίᾳ κατηχθεσμένοις. Ἀποσείεταί γε μὴν

D XXXVI. Rejecto luctu ut infructuoso et inutili, et inani eorum labore irriso, ad summam eos utilitatem deducit, et vitæ sibi acceptæ via perspicue manifesteque munita, tam legis ipsius quam prophetarum sensum quadantenus declarat. Lætatur enim legislator recto et inculpabili judicio, misericordiam vero et mutuum gratificandi inserviendique studium in primis honorat, et dilectionem in orphanos, lenitatemque erga mulieres viduitatis onus sustinentes laudandam censet. Avaritiam autem et infirmiorum oppressionem ut profanam

[91] Joel I, 13 seqq.

(1) Desunt quædam voces : sensus tamen est plenus.

Digitized by Google

repellit. Vult autem sic affectos esse benignos, et injuriarum immemores. Ait porro et Christus alicubi : « Dimittite, et dimittetur vobis [95]. » Quin et orantes dicere docuit : « Dimitte nobis debita nostra, sicut et nos dimittimus debitoribus nostris [96]. » Dimittit enim peccata dimittentibus aliis misericors Deus : « Viæ autem eorum qui injuriarum meminerunt, ad mortem tendunt, » ut in libro Proverbiorum est legere [97].

ὡς βέβηλον τὴν πλεονεξίαν, καὶ ἥπερ ἂν γένηται κατὰ τῶν ἀσθενεστέρων συντριβή. Βούλεται δὲ εἶναι τοὺς ταῦτα φρονεῖν ἠρημένους χρηστοὺς καὶ ἀμνησικάκους. Ἔφη δέ που καὶ αὐτὸς ὁ Χριστός· « Ἄφετε, καὶ ἀφεθήσεται ὑμῖν. » Καὶ μὴν καὶ προσευχομένους ἐδίδαξε λέγειν· « Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. » Ἀνίησι μὲν γὰρ ἐγκλήματα τοῖς ἀνιεῖσιν ἑτέρους ὁ φιλοικτίρμων Θεός, « Ὁδοὶ δὲ μνησικάκων εἰς θάνατον, » κατὰ τὸ ἐν βίβλῳ Παροιμιῶν γεγραμμένον.

Vers. 11-14. *Et non paruerunt ut attenderent, et dederunt dorsum contemnens, et aures suas aggravarunt ne audirent, et cor suum posuerunt inobediens, ne audirent legem meam, et sermones quos misit* **713** *Dominus omnipotens in spiritu suo, in manibus prophetarum priorum. Et facta est ira magna a Domino omnipotente. Et erit sicut dixit. Et non audierunt eum. Sic clamabunt, et non exaudiam eos, dicit Dominus omnipotens, et ejiciam eos ad omnes gentes quas non cognoverunt, et terra desolabitur post eos a perambulante et revertente. Et posuerunt terram electam in desolationem.*

Καὶ ἠπείθησαν τοῦ προσέχειν, καὶ ἔδωκαν νῶτον παραφρονοῦντα, καὶ τὰ ὦτα αὐτῶν ἐβάρυναν τοῦ μὴ ἀκούειν, καὶ τὴν καρδίαν ἔταξαν ἀπειθῆ τοῦ μὴ ἀκοῦσαι τοῦ νόμου μου, καὶ ἐπὶ τοὺς λόγους, οὓς ἐξαπέστειλε Κύριος παντοκράτωρ ἐν πνεύματι αὐτοῦ, ἐν χερσὶ τῶν προφητῶν τῶν ἔμπροσθεν. Καὶ ἐγένετο ὀργὴ μεγάλη παρὰ Κυρίου παντοκράτορος. Καὶ ἔσται, ὃν τρόπον εἶπε. Καὶ οὐκ εἰσήκουσαν αὐτοῦ. Οὕτως κεκράξονται, καὶ οὐ μὴ εἰσακούσω αὐτῶν, λέγει Κύριος παντοκράτωρ, καὶ ἐκβαλῶ αὐτοὺς εἰς πάντα τὰ ἔθνη, ἃ οὐκ ἔγνωσαν, καὶ ἡ γῆ ἀφανισθήσεται κατόπισθεν αὐτῶν ἐκ διοδεύοντος καὶ ἐξ ἀναστρέφοντος. Καὶ ἔταξαν γῆν ἐκλεκτὴν εἰς ἀφανισμόν.

XXXVII. Testificatur, eos non destitisse contra se irritare universorum judicem. Nam cum liceret sanctorum prophetarum sermonibus obtemperare, et jussa legislatoris generose complecti, ipsi vitam laude dignam legibusque per omnia consonam, et iter virtutis rectum velis remisque fugientes, præfracti fuerunt, et verba quibus erudiebantur flocci pendentes, corde inflexibili ac pene ferreo fuerunt. Neutiquam enim desierunt Dei verbum convitiis proscindere, et illud apportantes, prophetarumque officio fungentes acerbe et impie objurgare, quamvis in Spiritu sancto loquerentur. Eo autem jam feritatis et delirationis omnem admonitionem repudiantis processerant, ut pœnitere nollent, donec prænuntiata mala sentirent : et ita in supplicia a Deo irato illis injuncta inciderunt. Jam cum Deus hic dicit : « Ejiciam eos ad omnes gentes, et desolabitur terra a perambulante et revertente, » ceu prophetica prædictione prolata hæc intelligamus. Ejecti sunt enim ad Persas et Medos, et jam experti sunt captivitatem, et desolata terra, et regio optima omnium « posita, ut contextus habet, in desolationem, » perambulantes, seu revertentes nullos habens. Alios enim bellum consumpserat ; alii cum servitutis jugo in captivitatem abierant. Quocirca et hæc, ut alia, prædictorum loco accipiemus. Verbis autem divinis non obedire detrimentosum, imo perniciosum esse, etiam ex casibus antiquorum videre licet, nec multis ad id probandum opus est, cum res cuilibet manifesta sit, qui semel promptæ obedientiæ bona cognoverit.

ΛΖ'. Πεπληροφόρηκε διὰ τούτων, ὅτι παραθήγοντες οὐ διαλελοίπασι κατὰ σφῶν τὸν τῶν ὅλων κριτήν. Ἔξον γὰρ αὐτοὺς τοῖς τῶν ἁγίων προφητῶν κατατεθεῖσθαι λόγοις, καὶ τὸ ἀντιφέρεσθαι γενικῶς τοῖς τοῦ νομοθέτου θελήμασι, ῥίπτοντας ὡς ἀπωτάτω, τὴν εὐκλεᾶ καὶ ἐννομωτάτην ἀνθελέσθαι ζωὴν, καὶ τὴν ἀμώμητον ἰέναι τρίβον, σκληροὶ γεγόνασι, καὶ ἐν οὐδενὶ τεθείκασι λόγῳ τὸν παιδευτὴν, ἀκαμπῆ τε καὶ ἄτεγκτον ἐσχήκασι τὴν καρδίαν. Κατέληξαν γὰρ οὐδαμῶς τοὺς θείους ἐκτόπως ὑβρίζοντες λόγους, καὶ τοῖς τούτων διακομισταῖς, οἳ τὸ τῆς προφητείας ἐχείριζον χρῆμα, δεινῶς τε καὶ ἀνοσίως ἐπιπλήττοντες, καίτοι λαλοῦντας ἐν ἁγίῳ Πνεύματι. Εἰς τοῦτο δὲ ἤδη κατώλισθον ἀγριότητος καὶ ἀνουθετήτου ἰηρίας, ὡς μὴ ἐλέσθαι μετανοεῖν ἄχρις ἂν αὐτοῖς εἰς πεῖραν ἐξέβη τὰ προηγγελμένα, καὶ ὑποπεπτώκασι τοῖς ἐκ θείας ὀργῆς ἐπενηνεγμένοις. Εἰ δὲ δὴ λέγοι Θεὸς ἐν τούτοις, ὅτι « Ἐκβαλῶ αὐτοὺς εἰς πάντα τὰ ἔθνη, ἀφανισθήσεται δὲ καὶ ἡ γῆ ἐκ διοδεύοντος καὶ ἀναστρέφοντος, » ὡς ἐν προαγορεύσει προφητικῇ τὰ τοιάδε πάλιν εἰρῆσθαι νοήσομεν. Ἐκβέβληνται μὲν γὰρ εἰς Πέρσας καὶ Μήδους, καὶ ἤδη πεπείρανται τῆς αἰχμαλωσίας, ἠρήμωται δὲ καὶ ἡ γῆ, καὶ ἡ πασῶν ἀρίστη χώρα « τέτακται, καθά φησιν ὁ λόγος, εἰς ἀφανισμὸν, » οὐκ ἔχουσα διοδεύοντας, ἢγουν ἀναστρεφομένους. Οἱ μὲν γὰρ δεδαπάνηνται τῷ πολέμῳ· οἱ δὲ τῷ τῆς δουλείας κατηχθεσμένοι ζυγῷ, δεδραμήκασιν εἰς αἰχμαλωσίαν. Οὐκοῦν ὡς ἐν προαγορεύσει καὶ τάδε τοῖς ἄλλοις συνειρῆσθαι νοήσομεν. Ὅτι δὲ τὸ τοῖς θείοις λόγοις ἀπειθεῖν ἐπιζήμιον, μᾶλλον δὲ καὶ ὀλέθρου πρόξενον, καὶ ἐξ αὐτῶν ἂν τις ἴδοι τῶν τοῖς ἀρχαίοις συμβεβηκότων· καὶ οὐ μακρῶν ἄν τις δέοιτο λόγων πρὸς ἀπόδειξιν, ἀλλ' ἔστι τὸ χρῆμα παντὶ τῷ σαφὲς, τῷ γε εἰδότι ἅπαξ τὰ ἐκ τῆς εὐπειθείας ἀγαθά.

[95] Luc. VI, 37. [96] Matth. VI, 12. [97] Prov. XII, 28.

Digitized by Google

ΤΟΜΟΣ ΤΡΙΤΟΣ.

ΚΕΦΑΛ. Η'.

Καὶ ἐγένετο λόγος Κυρίου παντοκράτορος πρὸς μὲ, λέγων· Τάδε λέγει Κύριος παντοκράτωρ· Ἐζήλωσα τὴν Ἰερουσαλὴμ καὶ τὴν Σιὼν ζῆλον μέγαν, καὶ θυμῷ μεγάλῳ ἐζήλωσα αὐτήν.

ΛΗ'. Τὸ ἀπειθὲς καὶ ἐξήνιον τῶν ἀρχαιοτέρων, καὶ ἐξ αὐτῶν σφισι συμβεβηκότων ἀποχρώντως διαβεβληκὼς, καὶ ὅτι γένοιτο πάντων αὐτοῖς τῶν κακῶν πρόξενον ἀποφήνας, μεταβιβάζει τὸν λόγον ἐπὶ τὰ ἐξ ἡμερότητος ἀγαθὰ, καὶ πειρᾶται λοιπὸν τοὺς τῆς εὐημερίας αὐτοῖς ἐπαγγέλλεσθαι καιροὺς, καὶ τοῖς κατ' εὐχὴν ἀγαθοῖς καταπιαίνειν πλουσίως, ὡς ἤδη μὲν δίκας ἐκτετικότας, ὧν ἀνοσίως πεπαρῳνήκασιν, ἐκνενιμμένους δὲ ὥσπερ τῆς ἀρχαίας φαυλότητος τὰ ἐγκλήματα διά τοι τοῦ κεκολάσθαι παρ' ἐχθροῖς, καὶ τὸν τῆς δουλείας ἀνατλῆναι ζυγόν. Κατακέκραγε δὲ ὥσπερ τῆς τῶν Βαβυλωνίων ὠμότητος, οἳ πέρα παντὸς ἰόντες θράσους, δεδράκασιν εἰς αὐτοὺς, ἃ μηδὲ αὐτὸς ὁ θεῖος ἤθελε θυμός. Ἔφη γὰρ ἐναργῶς, ὅτι « Ἐγὼ μὲν ὠργίσθην ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά. » — « Ἐζήλωκα δὴ οὖν τὴν Ἰερουσαλὴμ, » τουτέστι, τὸν ὑπὲρ αὐτῆς εἰσδέδεγμαι ζῆλον, καὶ θυμῷ μεγάλῳ ἐζήλωσα αὐτήν· ὅμοιον ὡς εἰ λέγοι· Συμβήσεται τοῖς Βαβυλωνίοις ἐξ ἀντιστρόφου παθῶν ὧν δεδράκασιν ἀπηνέστερα, καὶ τοῖς οὕτω πεπορθηκόσιν ἐποίσω τὰ ἐξ ὀργῆς.

Τοῦτο πεπλήρωκεν ὁ Χριστός. Λελυπημένος γὰρ ἐφ' ἡμῖν τοῖς ἀθλίως ἀπολωλόσι, καὶ οἷον ζηλώσας τὴν Ἐκκλησίαν, τῶν αὐτῶν μὲν τῶν δαιμονίων τὰ στίφη, τὸν δέ γε τῆς ἐκείνων ἀπονοίας ἐπιστάτην τῆς καθ' ἡμᾶς ἐκβέβληκε τυραννίδος, ἐλευθέραν τῆς ἐκείνου σκαιότητος ἀποφήνας λοιπὸν τῶν προσκυνούντων αὐτῷ τὴν ὁμήγυριν.

Τάδε λέγει Κύριος· Ἐπιστρέψω ἐπὶ Σιὼν, καὶ κατασκηνώσω ἐν μέσῳ Ἰερουσαλὴμ, καὶ κληθήσεται Ἰερουσαλὴμ πόλις ἀληθινὴ, καὶ τὸ ὄρος Κυρίου παντοκράτορος ὄρος ἅγιον.

ΛΘ'. Πληροῖ μὲν τὰ πάντα Θεὸς, καὶ τῆς ἀπορρήτου φύσεως αὐτοῦ τὰ πάντα μεστά. Πλὴν ἀποφοιτῶν ἔσθ' ὅτε λέγεται τῶν ἡμαρτηκότων, οὐ ταῖς κατὰ τόπον διαστάσεσι χωριζόμενος (εὔηθες γὰρ τὸ ὧδε νοεῖν), ἀλλὰ τῷ μηκέτι θέλειν προσκεῖσθαι, καὶ φειδοῦς καὶ ἀγάπης ἀξιοῦν. Τοιοῦτον δὲ εἶναί φαμεν καὶ αὐτὸν τῆς ὀργῆς τρόπον. Οὐκοῦν ἐτράπετο μὲν εἰς ψευδολατρείας ὁ Ἰσραὴλ, καὶ ἐκπεπόρνευκεν ἡ Ἰερουσαλήμ. Ἀπεφοίτησε δὲ ὥσπερ ὁ τῶν ὅλων Θεὸς, καὶ τοῖς ἐξ ἀποστροφῆς ὑπέθηκε κακοῖς. Ἐπειδὴ δὲ κατοικτίρει λοιπὸν, τὸ Ἐπιστρέψω φησὶ, τουτέστιν, ἀποπεπαύσομαι τῆς ὀργῆς, ἐπισκοπῆς ἀξίαν ἀποφανῶ, καὶ οἶκον ἐμὸν ποιήσομαι πάλιν. Ὥσπερ δὲ ἀποστραφέντος αὐτοῦ, τὸ ὄρος τὸ ἅγιον, τουτέστιν, ὁ ἐν τοῖς Ἱεροσολύμοις νεὼς οὐκέτι σεπτός τις εἶναι ἐδόκει παρά γε τοῖς ὁρῶσιν ἐμπεπρησμένον· οὕτω δὴ πάλιν ἐγηγερμένου, καὶ ἐν αὐτῷ κατοικεῖν ἐλομένου Θεοῦ, τὸ ἐπ' αὐτῷ πάλιν ἀνανεωθήσεται σέ-

[98] Zachar. I, 14.

TOMUS TERTIUS.

714 CAP. VIII.

VERS. 1, 2. *Et factum est verbum Domini omnipotentis ad me, dicens : Hæc dicit Dominus omnipotens : Zelavi Jerusalem et Sion zelo magno, et ira magna zelavi eam.*

XXXVIII. Postquam inobedientiam et contumaciam antiquorum, et mala inde profecta satis est insectatus, omniumque miserarum ipsis causam esse ostendit, orationem ad bona placabilitatis transfert, et studet deinceps felicia tempora illis promittere, optatorumque bonorum copia eos impinguare, ut qui jam pœnas impiorum facinorum dederint, perque hostiles clades et toleratum servitutis jugum veteris nequitiæ scelera quasi eluerint. Exclamat autem aliquo modo contra crudelitatem Babyloniorum, qui omnis audaciæ fines egressi, designaverint in eos quæ neque ipse Deus iratus voluerit. Dixit enim supra aperte : « Ego quidem iratus sum parum, ipsi autem superimpositi sunt in mala. » — « Zelavi igitur Jerusalem [98], » hoc est, super ipsa suscepi zelum, et indignatione magna zelavi ipsam ; ac si dicat : Continget Babyloniis vicissim pati, et quidem immaniora quam perpetraruni, et vastatoribus tantis iratus malum dabo.

Hoc implevit Christus. Dolens enim super nobis misere perditis, et velut zelatus Ecclesiam, ipsorum dæmonum turmas eorumque dementiæ præsidem ab imperio in nos depulit, cum ipsum adorantium multitudinem de cætero ab ejus immanitate asseruit.

VERS. 3. *Hæc dicit Dominus : Revertar ad Sion, et habitabo in medio Jerusalem, et vocabitur Jerusalem civitas vera, et mons Domini omnipotentis mons sanctus.*

XXXIX. Implet omnia Deus, et natura ejus ineffabili referta sunt omnia. Verumtamen nonnunquam discedere dicitur a peccatoribus, non loci intervallis ab iis separatus, quod putare stultum esset, sed in eo quod esse cum illis, veniaque et amore dignari eos recusat. Talem quoque ipsam iræ rationem esse dicimus. **715** Conversus est igitur ad falsos deos colendos Israel, et fornicata est Jerusalem. Recessit autem quodammodo universorum Deus, et quæ aversionem ejus sequuntur, subjecit eam malis. Quoniam vero in posterum miseretur, Revertar, inquit, hoc est, quiescam ab ira, inspectione eam dignabor, et domum meam rursus faciam. Quemadmodum autem eo averso mons sanctus, hoc est, templum Hierosolymis non amplius venerandum videbatur iis qui illud incensum intuebantur ; ita denuo eodem excitato, et in ipso habitare instituente Deo, veneratio ejusdem reno-

Digitized by Google

vata est; vera autem civitas vocabitur Jerusalem, non jam, ut olim, diis manu fabricatis et simulacris Deum mentientibus cultum divinum tribuens, sed unum, et natura et verum Deum omni genere bonitatis colens, ut in futurum legibus convenienter vivere velit, et ad omnia facile obediens.

Accommodabis porro non inepte hujusmodi voces ei qui propter nos ut unus ex nobis factus est, Dei Filius, qui cum in forma Patris esset, et æqualis ei per omnia, « seipsum exinanivit, forma servi accepta, et factus est homo, et egenus propter nos, ut nos illius inopia divites essemus [99]. » Ergo qui olim propter transgressionem in Adam, « et quia incumbit cogitatio hominis ad mala ab adolescentia sua [1], » juste aversus est, ad nos denuo, ut ex naturali mansuetudine reversus est, et Ecclesiam habitavit, civitatemque et habitaculum sanctum sanctificatos effecit. Ait enim alicubi de electa, Ecclesia utique : « Hic habitabo, quoniam elegi eam [2]. » Psallit et beatus David : « Gloriosa dicta sunt de te, civitas Dei [3]. » Hanc nobis item propheta Isaias indicavit : « Erit in novissimis diebus manifestus mons Domini, et domus Dei in summitate montium, et elevabitur super colles, et venient ad eum omnes gentes [4]. » Conspicua est enim Ecclesia Christi, et velut in monte posita patet omnibus. Vocata est deinde etiam *vera*, neutiquam typis et umbris serviens, sed veritatem complexa potius, quæ est Christus, et adorationem in spiritu ac veritate usurpans [5].

βας, ἀληθινὴ δὲ πόλις κληθήσεται ἡ Ἱερουσαλήμ, οὐκέτι καθὰ καὶ πάλαι τοῖς χειροκμήτοις θεοῖς καὶ τοῖς ψευδωνύμοις ἐνδάλμασι προσκομίζουσα τὰς λατρείας· ἀλλὰ τὸν ἕνα καὶ φύσει καὶ ἀληθινὸν Θεὸν θεραπεύουσα ταῖς ἐπιεικείαις, διὰ τοῦ ζῆν ἐννόμως ἐλέσθαι λοιπὸν, καὶ ταῖς εἰς πᾶν ὁτιοῦν εὐπειθείαις.

Περιθείης δ' ἂν εἰκότως τὰς τοιάσδε φωνὰς τῷ δι' ἡμᾶς καθ' ἡμᾶς γεγονότι Λόγῳ, ὃς ὑπάρχων ἐν μορφῇ τοῦ γεγεννηκότος, καὶ ἐν ἰσότητι κατὰ πᾶν, « ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβὼν, καὶ γέγονεν ἄνθρωπος, καὶ ἐπτώχευσε δι' ἡμᾶς, ἵνα ἡμεῖς τῇ αὐτοῦ πτωχείᾳ πλουτήσωμεν. » Οὐκοῦν ὁ πάλαι διά τε τὴν ἐν Ἀδὰμ παράβασιν, « καὶ τὸ ἐγκεῖσθαι τὴν διάνοιαν τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος, » δικαίως ἀποστραφεὶς, ἐπέστρεψε πρὸς ἡμᾶς ὡς ἐξ ἐμφύτου λοιπὸν ἡμερότητος, καὶ κατῴκησε τὴν Ἐκκλησίαν, πόλιν τε καὶ ἐνδιαίτημα σεπτὸν ἐποιήσατο τοὺς ἡγιασμένους. Ἔφη γάρ που περὶ αἱρετῆς, δῆλον δὲ ὅτι τῆς Ἐκκλησίας· « Ὧδε κατοικήσω, ὅτι ἡρετισάμην αὐτήν. » Ψάλλει δὲ καὶ ὁ μακάριος Δαβίδ· « Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ. » Ταύτην ἡμῖν κατεμήνυσε καὶ ὁ προφήτης Ἡσαΐας, λέγων· « Ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος Κυρίου, καὶ ὁ οἶκος τοῦ Θεοῦ ἐπ' ἄκρων τῶν ὀρέων, καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν, καὶ ἥξουσιν ἐπ' αὐτὸν πάντα τὰ ἔθνη. » Περίοπτος γὰρ ἡ Ἐκκλησία Χριστοῦ, καὶ οἷάπερ ἐν ὄρει κειμένη, τοῖς ἁπανταχοῦ γνωρίζεται. Κέκληται δὲ καὶ *ἀληθινὴ*, ἥκιστα μὲν τύποις ἢ σκιαῖς λατρεύουσα· παραδεξαμένη δὲ μᾶλλον τὴν ἀλήθειαν, ἥ ἐστι Χριστὸς, καὶ τὴν ἐν πνεύματι καὶ ἀληθείᾳ πληροῦσα προσκύνησιν.

VERS. 4, 5. *Hæc dicit Dominus omnipotens : Adhuc sedebunt seniores et anus in plateis Jerusalem, unusquisque virgam sive scipionem suum habens in manu sua, præ multitudine* **716** *dierum. Et plateæ civitatis replebuntur puerulis et puellis ludentibus in plateis ejus.*

Τάδε λέγει Κύριος παντοκράτωρ· Ἔτι καθήσονται πρεσβύτεροι καὶ πρεσβύτεραι ἐν ταῖς πλατείαις Ἱερουσαλὴμ, ἕκαστος τὴν ῥάβδον αὐτοῦ ἔχων ἐν τῇ χειρὶ αὐτοῦ, ἀπὸ πλήθους ἡμερῶν. Καὶ αἱ πλατεῖαι τῆς πόλεως πλησθήσονται παιδαρίων καὶ κορασίων παιζόντων ἐν ταῖς πλατείαις αὐτῆς.

XL. Judæorum gente bello absumpta, urbes eorum ab incolis vacuas, et domos cum elegantibus earum structuris et operibus dirutas conspici oportebat. Verum ecce reversis ab hostibus quamvis diuturnam pacem daturum se pollicetur, quam Græci accommodatissime κουροτρόφον, puerorum nutricem, appellarunt. Natos quippe ad pubertatem perducit, et juventam ingressis viam ad senectutem velut sternit, nemine vastante, non bello atterente, non pugna devorante. Existimandum igitur, et meritissimo, in pace urbes tametsi latas et longas, tamen angustas visum iri, et minores quam incolarum pro multitudine. Talem sententiam præterea ex dictis elicimus. Ait enim sessuros in plateis Jerusalem seniores et anus, virgas quibus mediocriter imbecillam senectutem consolentur, et baculum pro manuductore habentes. Quæ res laudatio est temporum, et longæ pacis, perducentis ad juventutis annos infantes, et

Μ'. Δαπανήσαντος τοῦ πολέμου τὸ τῶν Ἰουδαίων ἔθνος, συμβέβηκεν ἀναγκαίως κενὰς τῶν κατῳκηκότων τὰς παρ' αὐτοῖς γενέσθαι πόλεις, οἴκους τε κατερριμμένους ὁρᾷν, καὶ τῶν ἐν αὐτοῖς κατασκευασμάτων τὰ κάλλη. Ἀλλ' ἰδοὺ, τροπωθέντων αὐτοῖς τῶν ἐχθρῶν, κἂν μακρὰν εἰρήνην χαριεῖσθαι κατεπαγγέλλεται, ἣν, καὶ μάλα ὀρθῶς, Ἑλλήνων παῖδες ὀνομάζουσι *κουροτρόφον*. Τοὺς μὲν γὰρ τικτομένους ἀνακομίζει πρὸς ἥβην, τοῖς δὲ ἥβῃ γεγονόσι νέοις ἁπλοῖ τρόπον τινὰ τὴν εἰς γῆρας ὁδὸν, κατιδηοῦντος οὐδενὸς, οὐ πολέμου συντρίβοντος, οὐ δαπανώσης μάχης. Ὑποτοπητέον δὴ οὖν, καὶ μάλα ὀρθῶς, ὡς ἐν εἰρήνῃ τὰς πόλεις, κἂν εὐρεῖαί τε εἶεν καὶ μακραὶ, στενὰς ἀποφαίνεσθαι, καὶ ἡττῆσθαι τῷ πλήθει τῶν κατῳκηκότων. Τοιοῦτόν τινα οὖν ὠδίνει πάλιν ἡμῖν τὸ προκείμενον. Ἔφη γάρ ὅτι καθεδοῦνται πρεσβύτεροι καὶ πρεσβύτεραι ἐν ταῖς πλατείαις Ἱερουσαλὴμ, ῥάβδοις μόλις τὸ ἐκ τοῦ γήρως ἀναλκὶ μετρίως

[99] Philipp. II, 9; II Cor. VIII, 9. [1] Gen. VIII, 21. [2] Psal. CXXXI, 14. [3] Psal. LXXXVI, 3. [4] Isa. II, 2. [5] Joan. IV, 23, 24.

Digitized by Google

παραμυθούμενοι, καὶ βακτηρίαν ἔχοντες χειραγωγόν. Ἔπαινος δὲ τὸ χρῆμά ἐστι καιρῶν, καὶ βαθείας εἰρήνης, ἀνακομιζούσης μὲν ἐφ' ἥβην τὰ βρέφη, πεμπούσης δὲ καὶ εἰς γῆρας τοὺς ἤδη τελοῦντας ἐν ἀνδράσι, καὶ τὸν τῆς ζωῆς ἅπαντα χρόνον ἀμαχεὶ παραθέ[ο]ντας. Εἰ δὲ δὴ μέλλοιεν ὀρχεῖσθαι μὲν ἐν ἅστει μειράκια, κόρια τε χορεύειν ἐν μέσαις πλατείαις, ἔχοι ἂν καὶ τοῦτο σαφῆ τὴν ἀπόδειξιν τοῦ μηδεμίαν αὐτῶν φροντίδα κατηρῆσθαι πικράν· οὐ γὰρ ἂν ἠνέσχοντο παιζόντων τινῶν, εἰ κατηφείας ἦν ὁ καιρός.

A mittentis ad senectutem, qui jam virilem togam induerunt, et omne tempus vitæ immunes a militia transmittunt. Quod si etiam saltent in urbe adolescentuli, puellæque choros ducant in medio plateārum, ostendere et hinc dilucide licebit, nulla eos cura graviore angi : non enim quemquam ludere paterentur, si tristitiæ tempus esset.

Γέγονε δὴ καὶ ἡμῖν αὐτοῖς εἰρήνη Χριστὸς, ὃς καὶ πάντα συντρίψας πόλεμον, μεστὴν ἀπέφηνε ἁγίων τὴν Ἐκκλησίαν. Καὶ πολλοὶ μὲν τὰς φρένας ἐν αὐτῇ, μυρίοι τε ὅσοι καὶ ἐξαίρετοι, οἷς καὶ ὁ σοφὸς Ἰωάννης ἐπιστέλλει, λέγων· « Γράφω ὑμῖν, Πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. » Παῖδες δὲ ὥσπερ ἄνηβοι καὶ κόρια μικρὰ τῶν ἄρτι πεπιστευκότων ἡ νηπιωτάτη πληθὺς, μονονουχὶ τοῖς πνευματικοῖς σκιρτήμασι τὴν ἁγίαν ὄντως καταχαλλύνουσα πόλιν, τουτέστι, τὴν Ἐκκλησίαν. Οἷς καὶ τὸ λέγειν ἁρμόσειεν ἂν· « Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν. » Εἰ δὲ δὴ λέγοιντο καὶ ἐπερείδεσθαι ῥάβδῳ τυχὸν οἱ πρεσβῦται, νοήσεις ὅτι μικροὺς καὶ μεγάλους ὑποστηρίζει Χριστὸς, ἡ ῥάβδος ἡ ἐξ Ἰεσσαὶ καὶ τῆς δυνάμεως ὠνομασμένη, ἣν ἐκ τῆς ἄνω Σιὼν πέπομφεν ἡμῖν ὁ Θεὸς καὶ Πατὴρ, ὡς χαίροντας ἡμᾶς ἐπὶ τούτῳ λέγειν· « Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου αὗταί με παρεκάλεσαν. »

Factus est igitur et nobis ipsis pax Christus [6], qui et omne bellum contrivit [7], et Ecclesiam sanctis implevit. Et prudentia quidem præstantes, et electi in ea innumerabiles inveniuntur, quibus et sapiens Joannes scribit in hunc modum : « Scribo vobis, patres, quoniam cognovistis eum qui ab initio est [8]. » Velut impuberes autem pueri et puellæ parvulæ sunt recens fidem complexorum infantissima multitudo, propemodum spiritualibus saltationibus sanctam civitatem, puta Ecclesiam, revera condecorantes. Quibus apposite dicas : « Venite, exsultemus Domino, jubilemus Deo salutari nostro [9]. » Et quamvis dicantur senes forte baculo se sustentare, intellige parvos et magnos a Christo sustentatum iri, qui virga Jesse [10] et virtutis [11] est nominatus, quam ex superna Sion nobis emisit Deus et Pater, ut idcirco gaudentes dicamus : « Virga tua et baculus tuus ipsa me consolata sunt [12]. »

B

Τάδε λέγει Κύριος παντοκράτωρ· Εἰ ἀδυνατήσει ἐνώπιον τῶν καταλοίπων τοῦ λαοῦ τούτου ἐν ταῖς ἡμέραις ἐκείναις, μὴ καὶ ἐνώπιόν μου ἀδυνατήσει; λέγει Κύριος παντοκράτωρ.

717 VERS. 6. *Hæc dicit Dominus omnipotens : Si impossibile erit coram reliquiis populi hujus in diebus illis, numquid et coram me impossibile erit? dicit Dominus omnipotens.*

C

ΜΑ'. Τὰ μεγάλα καὶ ὑπερφυῆ τῶν πραγμάτων δέχεταί πως ἐφ' ἑαυτοῖς τὸ ἀπιστεῖσθαι φιλεῖν, καὶ οὐκ ἀθαύμαστον ἔχει τὴν εἰς πέρας διεκδρομήν. Καὶ γοῦν ἡ Σάρρα διαγελᾷ μὲν ἐξ ἀπιστίας τὴν ἐπί γε τῷ Ἰσαὰκ ὑπόσχεσιν, εἰς γῆρας ὁρῶσα, καὶ τοῖς τῆς ἀνθρωποτητος νόμοις ἀντιθεῖσα τὸ ἀμήχανον. Πλὴν ἐκτέτοκε παρ' ἐλπίδα, βάσιμον αὐτῇ τὸ χρῆμα τιθέντος Θεοῦ. Ἦν οὖν ἄρα καὶ σφόδρα εἰκὸς καταδονεῖσθαι ταῖς διψυχίαις τοὺς ἐκ τῆς αἰχμαλωσίας λελυτρωμένους, καὶ οὐ σφόδρα θαῤῥεῖν, ὡς εἰς τοσαύτην αὐτοῖς εὐημερίαν βαδιεῖται τὰ πράγματα, ὡς ἀνάμεστον μὲν γενέσθαι τὴν Ἱερουσαλὴμ τῶν γεγηρακότων, καὶ πάντων ὁρᾶσθαι χοροὺς ἐν αὐτῇ καὶ κορασίων ὀρχήματα, καὶ τὰ ἐκ βαθείας εἰρήνης ὑπάρξειν ἀγαθά. Κατεθεῶντο γὰρ τείχη κατερῥιμμένα, οἰκίας ἐμπεπρησμένας, ἁπάσας δὲ τὰς ἐν κύκλῳ πόλεις θηρίων ἀγρίων ἐνδιαιτήματα, διά τοι τὸ κεκενῶσθαι παντελῶς τῶν κατοικούντων αὐτὰς, καὶ ἀγροὺς μὲν τοὺς πάλαι παμφόρους τε καὶ εὐανθεῖς ἀκανθῶν ὑπάρχειν μεστοὺς, οὐδὲν ἔχοντας τῶν ὡρίμων, διολωλὸς δὲ εἰς ἅπαν τῶν ἀγροίκων τὸ γένος. Ἦν οὖν ἐντεῦθεν, ὡς ἔφην, ἀπιστεῖν εἰκὸς, ὡς εἰς πέρας αὐτοῖς ἐκβήσεται τὰ ἐπηγγελμένα. Ταύτῃ τοι θεὸς διψυχεῖν οὐκ ἐᾷ· θαρσεῖν δὲ κελεύει, καὶ ἐμπε-

XLI. Res magnæ et eminentes prope incredibiles videri solent, nec sine admiratione ad finem suum decurrunt. Quare Sara ut incredula ridet promissa de concipiendo Isaac, senectutem respiciens, et humanæ naturæ legibus impossibilitatem opponens [13]. Verumtamen peperit præter spem, cum ei Deus negotium expeditum et quasi mcabile reddidisset. Erat igitur vehementer conveniens, captivitate liberatos ancipiti cogitatione distrahi, nec ita multum confidere, res ipsorum adeo felices ac beatas fore, ut repleretur Jerusalem senibus, et chori puerorum puellarumque saltationes in ea cernerentur, et diuturnæ pacis commoda exsisterent. Contemplabantur enim muros excisos, domus concrematas, et omnes urbes circumcirca ferarum immanium cubilia, quod incolis omnino viduatæ essent, et agros quondam fertilissimos et florentissimos spinarum refertos, nihil habentes maturum, et agrestium seu rusticorum genus deletum penitus. Hinc igitur, ut dixi, de promissis ad rem ipsam conferendis ambigere haud absurdum erat. Quod Deus non sinit, sed confidendum hortatur, et confirmat eos hunc in modum : « Si impossibile erit coram reliquiis populi hujus in diebus illis, numquid et coram me impossibile erit? »

D

[6] Ephes. II, 14. [7] Osee, II, 18. [8] I Joan. II, 13. [9] Psal. xciv, 1, 2. [10] Isa. xi, 1. [11] Psal. cix, 2. [12] Psal. xxii, 4. [13] Gen. xviii, 10.

Digitized by Google

Quod enim vobis est impossibile, Deo ut omnipotenti est factu facile. Ipse enim est Dominus virtutum, voluntate efficiens quæ naturæ metas longe excedunt, et citra moram placita sua ad exitum perveheit. Ait porro alicubi Judæis Deus et Pater, res præclaras ex adventu Salvatoris nostri orituras prænuntians : « Videte, contemptores, et resipiscite, et admiramini, quia opus ego operor in diebus vestris, quod non credetis, si quis narraverit vobis [15]. » Quod enim ad sermonem nostrum attinet, omnem admirationem sermonemque incarnationis mysterium superat : similiter inde ad nos profecta beneficia. Quomodo enim non fide propemodum caret, Verbum ex Deo natum unitum esse corpori, et suscepisse formam servi [16], et sustinuisse crucem [16], contumeliasque et verbera, et vesana Judæorum opprobria pertulisse? Aut quomodo quis non summopere admiretur **718** œconomiæ exitum, quando destructum est peccatum, destructa mors, profligata corruptio, et homo olim fugitivus gratia adoptionis filiorum deinceps illustratus cernitur? Itaque dicat Christus propter hæc ipsa : « Si impossibile erit coram reliquiis populi hujus in diebus illis, numquid et coram me impossibile erit? » Omnia enim illi levia et plana sunt : et volenti quidpiam eximium facere, nihil, opinor, obnitetur.

A δοί, λέγων· « Εἰ ἀδυνατήσει ἐνώπιον τῶν καταλοίπων τοῦ λαοῦ τούτου ἐν ταῖς ἡμέραις ἐκείναις, μὴ καὶ ἐνώπιόν μου ἀδυνατήσει; » Ὃ γάρ ἐστιν ἡμῖν ἀμήχανον, εὐκατόρθωτον δηλαδὴ τῷ πάντα ἰσχύοντι Θεῷ. Ἔστι γὰρ αὐτὸς ὁ τῶν δυνάμεων Κύριος, θελήσει πληρῶν καὶ τὰ λίαν ὑπερφυῆ, καὶ εἰς πέρας ἄγων ἀμελλητὶ τὸ δοκοῦν. Ἔφη δέ που πρὸς Ἰουδαίους ὁ Θεὸς καὶ Πατήρ, τὰ ἐκ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας προαναφωνῶν κατορθώματα· « Εἴδετε, οἱ καταφρονηταί, καὶ ἐπιβλέψατε, καὶ θαυμάσατε, ὅτι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν, ὃ οὐ μὴ πιστεύσητε, ἐάν τις ἐκδιηγῆται ὑμῖν. » Ὅσον μὲν γὰρ ἥκει εἰς λόγους τοὺς ἐν ἡμῖν, ὑπὲρ θαῦμα καὶ λόγον καὶ αὐτὸ τὸ τῆς ἐνανθρωπήσεως μυστήριον· οὐδὲν δὲ ἧττον καὶ τὰ ἐντεῦθεν ἡμῖν B ἐκβεβηκότα κατορθώματα. Πῶς γὰρ οὐκ ἀπιστίας ἐγγὺς τὸν ἐκ Θεοῦ φύντα Λόγον ἑνωθῆναι σαρκὶ, καὶ ἐν τῇ τοῦ δούλου γενέσθαι μορφῇ, καὶ ὑπομεῖναι σταυρὸν, ὕβρεις τε καὶ αἰκίας ὑπενεγκεῖν, καὶ τῆς Ἰουδαίων ἀδελτηρίας τὰς παροινίας; Ἢ πῶς οὐκ ἄν τις ὑπεραγάσαιτο τῆς οἰκονομίας τὴν ἔκβασιν, ὅπου καθῄρηται μὲν ἡ ἁμαρτία, κατήργηται δὲ καὶ ὁ θάνατος, καὶ ἀπελήλαται φθορὰ, καὶ ὁ πάλαι δραπέτης ἄνθρωπος τῇ τῆς υἱοθεσίας χάριτι κατηγλαϊσμένος ὁρᾶται λοιπόν; Οὐκοῦν λεγέτω Χριστὸς ἐπί γε τούτοις αὐτοῖς· « Εἰ ἀδυνατήσει ἐνώπιον τῶν καταλοίπων τοῦ λαοῦ τούτου ἐν ταῖς ἡμέραις ἐκείναις, μὴ καὶ ἐνώπιόν μου ἀδυνατήσει; » Λεῖα γὰρ πάντα αὐτῷ καὶ ἱππήλατα, καί τι τῶν ἀναγκαίων ἐθέλοντι κατορθοῦν, εἴη ἄν, οἶμαι, τὸ ἀντιστατοῦν οὐδέν.

Vers. 7, 8. *Hæc dicit Dominus omnipotens : Ecce ego denuo salvo populum meum de terra orientis, et de terra occidentis, et adducam eos, et habitabo in medio Jerusalem, et erunt mihi in populum, et ego ero eis in Deum in veritate et justitia.*

C *Τάδε λέγει Κύριος παντοκράτωρ· Ἰδοὺ ἐγὼ ἀνασώζω τὸν λαόν μου ἀπὸ γῆς ἀνατολῶν, καὶ ἀπὸ γῆς δυσμῶν, καὶ εἰσάξω αὐτοὺς, καὶ κατασκηνώσω ἐν μέσῳ Ἰερουσαλὴμ, καὶ ἔσονταί μοι εἰς λαὸν, κἀγὼ ἔσομαι αὐτοῖς εἰς Θεὸν, ἐν ἀληθείᾳ καὶ δικαιοσύνῃ.*

XLII. Salvavit quidem et olim Deus progeniem Israel, bello dispersos Hierosolymam congregans, et habitans inter illos, dum templum divinum instaurari, rursum sacrificiis sese placari, et precibus coli, et festis diebus agendis honorari permittit. Cæterum quod dicit se rursum salvare populum suum ex oriente et occidente, quadrabit in Emmanuelem, qui totum sub cœlo mundum vocavit, cum per fidem ceu verriculo a mundi finibus usque homines conclusit, et universam gentium multitudinem in vere D sanctam et fama inclytam civitatem, quæ est « Ecclesia Dei viventis [17], » et cœlestis Jerusalem, congregavit. Habitasse autem illum in medio ejus quis dubitet? Factus est siquidem similis nostri, « et cum hominibus conversatus est [18] » in carne. Id quod per alium prophetam Deus prænuntiavit, « Confide, non dissolvantur manus tuæ. Dominus Deus tuus potens in te salvabit te, adducet super te lætitiam, et innovabit te in charitate sua [19]. » Quin et nobiscum est : non enim reliquit nos orphanos [20]; pro se autem misit Paracletum, et per ipsum adest diligentibus se, quod testatur illis verbis : « Ecce ego vobis-

ΜΒ'. Σέσωκε μὲν καὶ πάλαι Θεὸς τοὺς ἐξ αἵματος Ἰσραὴλ, κατεσκεδασμένους τῷ πολέμῳ συναγείρων εἰς Ἱεροσόλυμα, καὶ κατοικήσας ἐν αὐτοῖς, διά γε τοῦ καὶ τὸν θεῖον ἐγεῖραι ναὸν, καὶ ἐφεῖναι πάλιν αὐτοῖς ταῖς κατὰ νόμον θυσίαις καταμειλίσσεσθαί τε καὶ ἀποπεραίνειν εὐχὰς, καὶ ἀποπληροῦν ἑορτάς. Πλὴν τὸ ἀνασώζειν τὸν ἴδιον φάναι λαὸν ἐξ ἀνατολῶν καὶ δυσμῶν, πρέποι ἂν εἰκότως τῷ Ἐμμανουὴλ, ὃς πᾶσαν ἐκάλεσε τὴν ὑπ' οὐρανὸν, σαγηνεύσας διὰ τῆς πίστεως τοὺς ἐκ περάτων τῆς γῆς, καὶ πᾶσαν ἐθνῶν ἀγέλην συναγηγερκὼς εἰς τὴν ἁγίαν ἀληθῶς καὶ διαβόητον πόλιν, ἥτις ἐστὶν « Ἐκκλησία Θεοῦ ζῶντος, » ἡ ἐπουράνιος Ἱερουσαλήμ. Ὅτι δὲ καὶ ἐσκήνωσεν ἐν μέσῳ αὐτῆς, πῶς ἔστιν ἀμφιβαλεῖν; Γέγονε γὰρ καθ' ἡμᾶς, « καὶ τοῖς ἀνθρώποις συνανεστράφη » μετὰ σαρκός. Καὶ τοῦτο ἡμῖν δι' ἑτέρου προφήτου Θεὸς προανεφώνει, λέγων· « Θάρσει, Σιὼν, μὴ παρείσθωσαν αἱ χεῖρές σου. Κύριος ὁ Θεὸς δυνατὸς ἐν σοὶ σώσει σε, ἐπάξει ἐπὶ σὲ εὐφροσύνην, καὶ καινιεῖ σε ἐν τῇ ἀγαπήσει αὐτοῦ. » Ἀλλὰ καὶ σύνεστιν ἡμῖν· οὐ γὰρ ἀφῆκεν ἡμᾶς ὀρφανοὺς, πέπομφε δὲ ἡμῖν ἀνθ' ἑαυτοῦ τὸν Παράκλητον, καὶ

[15] Habac. I, 5; Act. XIII, 41. [16] Philipp. II, 6, 7. [17] Hebr. XII, 2. [17] I Tim. III, 15. [18] Baruch III, 38. [19] Sophon. III, 16, 17. [20] Joan. XIV, 18.

Digitized by Google

σύνεστι δι' αὐτοῦ τοῖς ἀγαπῶσιν αὐτὸν, καὶ πληροφορήσει, λέγων· « Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. » Γέγονε τοίνυν αὐτοῦ λαὸς οἵ ποτε οὐ λαοὶ, καὶ οἱ τῶν λίθων προσκυνηταὶ, τὴν ἀρχαίαν καὶ βέβηλον καταμυσαττόμενοι πλάνησιν, Θεὸν αὐτὸν ἐπεγραψάμεθα, καὶ τοῦτον « ἐν ἀληθείᾳ καὶ δικαιοσύνῃ. » Οὐ γὰρ ἐν ἴσῳ τοῖς τοῦ γράμματος φίλοις, τύποις καὶ σκιαῖς προσκείμεθα, παραδεξάμενοι δὲ μᾶλλον εἰς νοῦν καὶ καρδίαν τὴν τῶν εὐαγγελικῶν κηρυγμάτων λαμπρότητα, τὴν ἀληθῆ τελοῦμεν λατρείαν, καὶ τῆς ἀνδρανούσης αὐτῷ δικαιοσύνης ἁπλῆξ ἐχόμενοι, τὴν ἐν πνεύματι πληροῦμεν προσκύνησιν. « Πνεῦμα γὰρ ὁ Θεὸς, » καθά φησιν αὐτὸς ὁ Υἱὸς, « καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. »

A cum sum omnibus diebus, usque ad consummationem sæculi[21]. » Factus est igitur populus ejus, qui aliquando non populus[22] : et qui lapides adorare solebamus, veterem et impurum errorem detestantes, ipsum nobis Deum ascivimus, et hunc « in veritate et justitia. » Non enim sicut quibus littera cordi est, typis et umbris adhæremus : quin potius admissa in animum evangelicarum prædicationum claritate, **719** verum cultum exhibemus, et quam ille probat justitiæ affixi, adorationem in spiritu præstamus. « Spiritus enim est Deus, » ut ipse Filius dixit : « et adorantes eum, in spiritu et veritate oportet adorare[23]. »

Τάδε λέγει Κύριος παντοκράτωρ· Κατισχυέτωσαν αἱ χεῖρες ὑμῶν τῶν ἀκουόντων ἐν ταῖς ἡμέραις ταύταις τοὺς λόγους τούτους ἐκ στόματος τῶν προφητῶν, ἀφ' ἧς ἡμέρας τεθεμελίωται ὁ οἶκος Κυρίου παντοκράτορος, καὶ ὁ ναὸς ἀφ' οὗ ᾠκοδόμηται.

B VERS. 9. *Hæc dicit Dominus omnipotens : Confortentur manus vestræ, qui auditis in diebus istis sermones hos ex ore prophetarum, ex qua die fundata est domus Domini omnipotentis, et templum ex quo ædificatum est.*

ΜΓ'. Ὑπισχνεῖται μὲν τοῖς ἀγαπῶσιν αὐτὸν ὁ τῶν ὅλων Θεὸς τὰ ὑπὲρ ἐλπίδα, πολλάκις, ψευδομυθεῖ δὲ οὐδαμῶς, ἀλλ' ἰδίᾳ δυνάμει καὶ ἀπορρήτοις τισὶν ἐνεργείαις ἀποπεραίνει κατὰ καιροὺς, ἅπερ ἂν βούλοιτο, καὶ λίαν ἀκονιτί. Πρέποι δ' ἂν ἡμᾶς οὐκ ἀσθενοῦντας τῇ πίστει, πάντη τε καὶ πάντως ἐπιμαρτυρεῖν αὐτῷ, τὸ πάντα δύνασθαι διαπεραίνειν εὐκόλως· ἀνδρίζεσθαι δὲ πρὸς ἔργα δι' ὧν ἐσόμεθα λαμπροὶ, καὶ τὸν εὐκλεῆ τῆς ἐπιεικείας ἀποκερδανοῦμεν στέφανον, καταπείθεσθαί τε τοῖς παρ' αὐτοῦ λόγοις, καὶ ποδηγοὺς ποιεῖσθαι σπουδάζειν τοὺς, οἵπερ ἂν εἶεν κατὰ καιροὺς τῶν θείων ἡμῖν θεσπισμάτων ἀπλανέστατοι διακομισταί. Κατεπηγγέλλετο δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διὰ τῶν ἁγίων προφητῶν τὰ ἐκ τῆς ἐνανθρωπήσεως ἀγαθὰ, καὶ ὅσον μὲν ἥκει εἰς ἀνθρωπίνας ἐννοίας, ἀπιστίαν, ὡς ἔφην, οὐ μακρὰν τὸν λόγον ἐτίθει, τῶν χαρισμάτων τὸ μέγεθος ἀφηγούμενος. Ἀλλ' ἐν πίστει πεποιήμεθα καὶ τὰ ὑπὲρ ἔννοιαν, τοῖς τῆς εὐσεβείας ὑφηγηταῖς εὐαφῆ τρόπον τινὰ καὶ εὐήνιον τὸν τῆς διανοίας δεδωκότες αὐχένα. Καιρὸς δὲ ὁ πρέπων ταῖς τῶν ἀγαθῶν χορηγίαις, καὶ τῇ παρ' ἡμῶν αὐτῶν ὑποταγῇ τῆς Ἐκκλησίας ἡ ἀνάδειξις. Θέα γὰρ ὅπως καὶ τὰ πρὸς ἡμῶν προσέταττεν ὁ τῶν ὅλων Θεὸς κατισχύειν, καὶ ἔργα πληροῦν, καὶ τοῖς τῶν προφητῶν κατατίθεσθαι λόγοις, « ἀφ' ἧς ἡμέρας τεθεμελίωται ὁ οἶκος Κυρίου παντοκράτορος, καὶ ὁ ναὸς ἀφ' οὗ ᾠκοδόμηται. »

XLIII. Diligentibus se universorum Deus crebro omni spe majora promittit, nec fallit ullo modo, sed virtute sua et inexplicabilibus quibusdam efficientiis præstat suis temporibus, et facillime quæ voluerit. Decet autem nos in fide non labantes testimonium dare, eum efficere omnia nullo negotio posse : et viros nos præbere ad opera per quæ claritudinem consequemur, et probitatis coronam gloriosam acquiremus ; obtemperare demum ejus sermonibus, et studere duces sequi illos qui per tempora nobis divina oracula nulla erroris suspicione apportant et explanant. Promisit autem Dominus noster Jesus Christus per sanctos prophetas bona ex incarnatione promanatura, et quod ad cogitationes quidem humanas attinet, incredibilem orationem attulit, ut dixi paulo ante, cum magnitudinem beneficiorum exponerem. Verum fidei mandavimus quæ in cogitationem nostram non cadebant, pietatis ducibus cervicem mentis nostræ quodammodo contrectabilem et habenis facile parentem subjicientes. Tempus autem bonorum largitioni et obedientiæ nostræ opportunum, est Ecclesia proposita. Vide enim quomodo et quæ officii nostri sunt, universorum Deus confortare jubet, et opera obire, et prophetarum dictis assentiri, « a die quo fundata est domus Domini omnipotentis, et ex quo templum ædificatum est. »

Διότι πρὸ τῶν ἡμερῶν τούτων ὁ μισθὸς ἀνθρώπων οὐκ ἔσται εἰς ὄρησιν, καὶ ὁ μισθὸς τῶν κτηνῶν οὐχ ὑπάρξει, καὶ τῷ ἐκπορευομένῳ καὶ τῷ εἰσπορευομένῳ οὐκ ἔσται εἰρήνη ἀπὸ τῆς θλίψεως. Καὶ ἐξαποστελῶ πάντας τοὺς ἀνθρώπους, ἕκαστον πρὸς τὸν πλησίον αὐτοῦ.

VERS. 10. *Quia ante dies illos merces hominum non erit in lucrum, et merces jumentorum non subsistet, et egredienti et ingredienti non erit pax præ tribulatione. Et emittam omnes homines, unumquemque ad proximum suum.*

ΜΔ'. Ἡ τῶν Ἑβραίων ἔκδοσις οὐχ ὡς ἐπὶ μέλλοντος καιροῦ ποιεῖται τοὺς λόγους, χρόνον δὲ τίθησι τὸν παρῳχηκότα. « Πρὸ γὰρ τῶν ἡμερῶν ἐκείνων,

XLIV. Hebræa editio non habet verbum futuri temporis, sed præteriti. Ait enim, « Ante dies illos merces **720** hominum non erat in lucrum, et merces

[21] Matth. xxviii, 20. [22] Osee ii, 24. [23] Joan iv, 24.

Digitized by Google

jumentorum non erat. » Et, « Ingredienti et egredienti non erat pax. » Est autem valde consentanea oratio, cujus veritatem narrationis auctoritas confirmat. Tale enim quiddam significare vult. Venerunt Babylone in sanctam civitatem Israelitæ, sed in loco non erat eis sanctificatio, templo pridem diruto : non erat sacrificium et libatio, altari everso. Deinde hortatus est eos universorum Deus ut ante omnia ipsis tam necessariorum curam præcipuam gererent, templumque de integro construerent, divinumque in eo altare rursus erigerent, ut legibus instituta decentissime peragere, et universorum Deum conciliare possent. Ast illi variis de causis differebant, nunc pecuniæ fingentes inopiam, nunc ædificare prohibentium perversitatem prætexentes. Et cum insuper Deum offenderent, crebris et alia post aliam plagis feriebantur, sterilitatibus, inquam, cœli corruptionibus, et vicinorum populorum impressionibus et incursionibus. Criminis autem loco universorum Deus illis inertiam objicit, ita per prophetam Aggæum loquens : « Populus hic dicit : Non venit tempus ædificandi domum Domini. Si tempus quidem vobis est habitare in domibus concavis, domus autem Domini ista non ædificata est [31]. » Cum enim, ut dixi, in socordiam et negligentiam maxime conducibilium præcipitassent, crebris egestatibus et bellis a vicinis multabantur. Postquam autem templum reædificarunt, supplicia desierunt, et suppetebant illis omnia, utebanturque rebus secundissimis. Idcirco ait : « Ante dies istos, » hoc est, priusquam erigeretur templum, « merces hominum non erat ad lucrum, et merces jumentorum non erat. » Agricolæ enim sine mercede, et nullis plane fructibus collectis, cum bobus una delassatis ab agro discedebant. « Sed neque ingredientibus aut egredientibus pax erat. » Ingredientes et egredientes de urbe in urbem aliquando, aut mercaturæ faciendæ, aut alius negotii causa proficiscentes nominat. Itaque nec illis pax, inquit, a finitimis populis qui vexabant, ut dixi, Israel, et quilibet consanguineum seu fratrem seu vicinum ut hostem capitalem intuebatur.

Sciendum vero, priusquam hominis naturam Dei Filius susciperet, et Ecclesia constitueretur, nullam fuisse mercedem hominibus, neque **721** jumentis. Nam in hac vita ratione excellentes, et prudentiæ opinione insignes, et qui homines numerari possent, infructuosam et inutilem operam in discipulis ponebant, et neque singulare quippiam litteris consignabant, neque aliis aut intelligendo, aut loquendo prodesse poterant. Similiter qui vulgari et pecudum more vitam ducebant, absque mercede permanebant : nequibant enim quidquam Deo probatum agere. Sed neque erat omnino pax in terra, grege dæmonum omnia permiscente et mundum tumultu implente, ut

A φησιν, ὁ μισθὸς τῶν ἀνθρώπων οὐκ ἦν εἰς ὄνησιν, καὶ ὁ μισθὸς τῶν κτηνῶν οὐχ ὑπῆρχε. » Καὶ πάλιν, « Τῷ ἐκπορευομένῳ καὶ τῷ εἰσπορευομένῳ οὐκ ἦν εἰρήνη. » Ἔχει δὲ καὶ σφόδρα τὸ εἰκὸς ὁ λόγος, καὶ τὸ ἀληθὲς ἐν τούτοις παρίστησι τῶν διηγημάτων ἡ δύναμις. Βούλεται γάρ τι τοιοῦτον ὑποδηλοῦν. Ἦκον μὲν γὰρ ἐκ Βαβυλῶνος εἰς τὴν ἁγίαν πόλιν οἱ ἐξ Ἰσραήλ· ἀλλ' οὐκ ἦν αὐτοῖς ἁγίασμα τῷ τόπῳ, κατασεσεισμένου τοῦ πάλαι ναοῦ· οὐκ ἦν θυσία καὶ σπονδὴ, μὴ ἑστῶτος θυσιαστηρίου. Εἶτα προὔτρεπεν ὁ τῶν ὅλων Θεὸς, τῶν οὕτως αὐτοῖς ἀναγκαίων προὐργιαιτάτην θέσθαι φροντίδα, καὶ ἀναδείμασθαι μὲν τὸν ναὸν, ἀνορθῶσαι δὲ καὶ τὸ θεῖον ἐν αὐτῷ θυσιαστήριον, ὡς ἂν ἔχοιεν ἀποπεραίνειν εὖ μάλα τὰ νενομισμένα, καὶ καταμειλίσσεσθαι τὸν τῶν ὅλων

B Θεόν. Οἱ δὲ ποικίλως διανεβάλ[λ]οντο, ποτὲ μὲν χρημάτων πλαττόμενοι σπάνιν, ποτὲ δὲ τῶν κωλυόντων οἰκοδομεῖν δυστροπίας πραφασιζόμενοι. Εἶτα προσκρούοντες πρὸς τοῦτο Θεῷ, συχναῖς καὶ ἀλλεπαλλήλοις ἐπαίοντο πληγαῖς, ἀκαρπίαις δὴ λέγω, καὶ ἀνεμοφθορίαις, καὶ τῶν ὁμόρων ἐθνῶν ἐφόδοις καὶ καταδρομαῖς. Ἐπίκλημα δὲ αὐτοῖς ἐποιεῖτο ὁ τῶν ὅλων Θεὸς τὸ ῥᾴθυμον, οὕτω λέγων διὰ φωνῆς Ἀγγαίου τοῦ προφήτου· « Ὁ λαὸς οὗτος λέγουσιν· Οὐχ ἥκει ὁ καιρὸς τοῦ οἰκοδομῆσαι τὸν οἶκον Κυρίου. Εἰ καιρὸς μὲν ὑμῖν ἐστι τοῦ οἰκεῖν ἐν οἴκοις κοιλοστάθμοις, ὁ δὲ οἶκος Κυρίῳ οὐκ ᾠκοδόμηται. » Ἀναπεπτωκότες γὰρ, ὡς ἔφην, εἰς ῥᾳθυμίας, ταῖς τῶν ἀναγκαίων ἐνδείαις κατεπαίοντο συνεχῶς καὶ πολέμοις τοῖς γείτοσιν. Ἐπειδὴ δὲ ἀνεγηγέρκασι τὸν

C ναὸν, πέπαυται τὰ ἐξ ὀργῆς, πάντα δὲ ἦν ἅλις αὐτοῖς, καὶ πολὺ τῆς εὐημερίας παρέκειτο πλάτος. Ταύτῃ τοι φησί· « Πρὸ τῶν ἡμερῶν τούτων, » τουτέστι, πρὶν ἀναστῆναι τὸν ναὸν, « ὁ μισθὸς τῶν ἀνθρώπων οὐκ ἦν εἰς ὄνησιν, καὶ ὁ μισθὸς τῶν κτηνῶν οὐχ ὑπῆρχεν. » Ἀμισθοι γὰρ οἱ γηπόνοι, καὶ οὐδὲν ὅλως συναγηγερκότες, ὁμοῦ τοῖς συγκεκμηκόσι βουσὶν ἀπηλλάττοντο τῶν ἀγρῶν. « Ἀλλ' οὐδὲ τοῖς ἐκπορευομένοις ἢ τοῖς εἰσπορευομένοις ἦν εἰρήνη. » Εἰσπορευομένους δὲ καὶ ἐκπορευομένους τοὺς ἐκ πόλεως εἰς πόλιν ἰόντας ἐσθ' ὅτε φησὶν, ἢ τὸ ἐμπορικὸν ἔχοντας ἐπιτήδευμα, ἦγουν καὶ ἑτέρων ἕνεκα πραγμάτων. Οὐκοῦν οὐδὲ ἐκείνοις εἰρήνη, φησὶ, τῶν ὁμόρων ἐθνῶν ἐκλελυπηκότων, ὡς ἔφην, ἔτι τὸν Ἰσραὴλ, καὶ ἑκάστου βλέποντος ὡς ἕνα τῶν ὅτι μάλιστα ἐχθρῶν τὸν ἐγγὺς ἐξ αἵματος, ἢ καὶ ἀδελφὸν, ἢ καὶ γείτονα.

D Ἰστέον δὲ, ὅτι πρὶν ἐνανθρωπῆσαι τὸν Μονογενῆ, καὶ ἀναδειχθῆναι τὴν Ἐκκλησίαν, οὐδεὶς ἦν τοῖς ἀνθρώποις μισθὸς, οὔτε μὴν τοῖς κτήνεσιν. Οἵ τε γὰρ ἐν τῷδε τῷ βίῳ λογικώτεροι, καὶ συνέσεως ἔχοντες δόξαν, οἱ δὴ καὶ ἄνθρωποι νομισθεῖεν ἄν, ἀκερδῆ καὶ ἄχρηστον τὴν ἐν τοῖς λόγοις εἶχον σπουδὴν, οὔτε συγγράφοντές τι τῶν ἀναγκαίων, οὔτε μὴν νοεῖν ἢ λαλεῖν ἑτέροις δυνάμενοι. Ὁμοίως δὲ καὶ οἱ τὸν ἀγελαῖον καὶ κτηνώδη τρίβοντες βίον ἄμισθοι διετέλουν· οὐ γὰρ ἦν ἐργάσασθαί τι τῶν ἐπαινουμένων παρὰ Θεῷ. Ἀλλ' οὐδὲ ἦν ὅλως ἐπὶ γῆς εἰρήνη, τῆς τῶν δαιμονίων ἀγέλης διακυκώσης τὰ πάντα, καὶ θορύβου μεστὴν ἀποφαινούσης τὴν γῆν.

[31] Agg. I, 2, 4.

Digitized by Google

ὡς εἶναι τὰ πάντων πράγματα καὶ μέντοι τὰς διανοίας ὡς ἐν δονήσει καὶ σάλῳ, καὶ τὸ βεβηκὸς οὐκ ἔχειν.

A res atque adeo mentes omnium velut quassarentur et fluctibus pulsarentur, nec firmitudinis quidquam haberent.

Καὶ νῦν οὐ κατὰ τὰς ἡμέρας τὰς ἔμπροσθεν ἐγὼ ποιήσω τοῖς καταλοίποις τοῦ λαοῦ τούτου, λέγει Κύριος παντοκράτωρ· ἀλλ' ἢ δείξω εἰρήνην. Ἡ ἄμπελος δώσει τὸν καρπὸν αὐτῆς, καὶ ἡ γῆ δώσει τὰ γεννήματα αὐτῆς, καὶ ὁ οὐρανὸς δώσει τὴν δρόσον αὐτοῦ, καὶ κατακληρονομήσω τοῖς καταλοίποις τοῦ λαοῦ μου τούτου ταῦτα πάντα.

VERS. 11, 12. *Et nunc non juxta dies qui ante fuerunt ego faciam reliquiis populi hujus, dicit Dominus omnipotens : sed monstrabo pacem. Vinea dabit fructum suum, et terra dabit germina sua, et cœlum dabit rorem suum, et possidere faciam reliquias populi mei omnia hæc.*

ΜΕ'. Συμμεθίστησι ταῖς ὀργαῖς καὶ τὰ ἐξ αὐτῶν συμβαίνοντα, καὶ ἀποδραμεῖσθαί φησιν ὁμοῦ τοῖς τῶν πλημμελημάτων καιροῖς τὰς δίκας. Πεπαυμένης γὰρ τῆς ἁμαρτίας, μᾶλλον δὲ ἤδη ποινὰς τὰς ὑπὲρ αὐτῆς ἐκτετικότος τοῦ Ἰσραὴλ, καταλήξειν ἔφη τὰς συμφορὰς, καὶ μάλα εἰκότως, καὶ ἀπρακτήσειν ἔτι B τὴν τῶν ἀνιαρῶν ἔφοδον. Βεβούλευται γὰρ ἐπ' αὐτοῖς οὐκ ἀδελφὰ τοῖς πρώτοις, ἀλλ' ὅσα βλέπει πρὸς ἡμερότητα. Ταῦτα δὲ ἦν εἰρήνης ἐπίδοσις, καὶ ἀμφιλαφὴς τῶν ἡδίστων αὐτοῖς χορηγία, ὡς εὔβοτρυν μὲν ὁρᾶσθαι τὴν ἄμπελον, βαθὺ δὲ κομῶσι ληΐοις τὴν ἀρόσιμον γῆν τοὺς τῶν γηπόνων ἱδρῶτας ἀμείβεσθαι, οὐρανοῦ δηλονότι μονονουχὶ καὶ συνθέοντος, καὶ δρόσοις καταπιαίνοντος ἀγροὺς καὶ τὰ ἐν αὐτοῖς. Ἕψεται γὰρ πάντως τοῖς τοῦ Δεσπότου νεύμασιν οὐρανός τε καὶ γῆ, καὶ ἁπαξαπλῶς ἡ κτίσις. Κλῆροι δὲ ταῦτα τῷ Ἰσραὴλ, Θεοῦ κατευρύνοντος τὴν εὐημερίαν, καὶ παντὸς ἀκαροῦ ἀπαλλάττοντος.

XLV. Cum ira etiam inde provenientia submovet, et ait, cum temporibus peccandi simul pœnas recessuras. Facto enim fine peccandi, imo Israele jam plagis propter peccatum punito, desituras promittit calamitates, juste admodum, et in posterum nihil triste in eos incursurum : decrevisse enim in illos priorum dissimilia, ex media nimirum mansuetudine. Hæc erant, pacis incrementum, et rerum ipsis jucundissimarum larga suppeditatio, ut vinea botris frequens cerneretur, arva densis segetibus colonorum sudoribus responderent, cœlo utpote quasi concurrente, et roribus rura, et ruris opes ad pinguitudinem nutriente. Plane enim Domini nutus cœlum et terra, et generatim creatura omnis sequitur. Hæ fuerunt sortes Israel, Deo felicitatem dilatante, et omni molestia liberante.

Ἁρμόσειε δ' ἂν ὁ ἐπὶ τῷδε λόγος τῷ πάντων ἡμῶν Σωτῆρι Χριστῷ. Πρὸ μὲν γὰρ τῶν τῆς ἐπιδημίας καιρῶν ἐβαδίζομεν ἕκαστος κατὰ τὸ αὐτῷ δοκοῦν, κτηνώδη καὶ ἀλογώτατον διαβιοῦντες βίον, καὶ ταῖς τῶν δαιμονίων ἀπάταις συνεζευγμένοι. Ἐπεὶ δὲ πεπτωκότας μονονουχὶ, καὶ κατερριμμένους εἰς γῆν, καὶ ὑπὸ πόδας ὄντας ἐχθρῶν ὤκτειρεν ὁ Πατὴρ, οὐκέτι « πεποίηκεν ἡμῖν κατὰ τὰς ἡμέρας τὰς ἔμπροσθεν. » Οὐ γὰρ περιεῖδεν ἔτι πλεονεκτουμένους, καὶ ὑπὸ τυράννῳ πράττοντας ὠμῷ, πρὸς πᾶν ὁτιοῦν τῶν αἰσχίστων ἡμᾶς ἀποφέροντι· δέδωκε δὲ μᾶλλον ἡμῖν τὴν ἐξ οὐρανῶν εἰρήνην τουτέστι Χριστὸν, ὃς καὶ ἀπάσης ἡμῖν τῆς εὐκαρπίας τῆς νοητῆς δεδώρηται χορηγίαν. Ἐμπεπλήσμεθα γὰρ σίτου τε καὶ οἴνου, καὶ δεδώρηκεν ἡμῖν ἡ ἄμπελος ἡ ἀληθινὴ, τουτέστι, Χριστὸς, τὸν ἑαυτῆς καρπὸν, τὸν εὐφραίνοντα καρδίαν ἀνθρώπου, κατὰ τὸ γεγραμμένον. Αὐτὸς δὲ ὑπάρχει καὶ ὁ κόκκος τοῦ σίτου, καὶ τὸ δράγμα τὸ ἱερόν· αὐτὸς ἡμῖν ἀπεφάνθη ζωὴ, ἀπέδειξε δὲ καὶ εὐανθεστάτους, ταῖς ἐξ οὐρανοῦ καταπιαίνων δρόσοις, δῆλον δὲ ὅτι ταῖς νοηταῖς καὶ διὰ τοῦ πνεύματος, ὧν καὶ ὁ θεσπέσιος Δαβὶδ διαμέμνηται, λέγων· « Ὡς δρόσος Ἑρμὼν ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών. » Ταῦτα δὲ ἡμῖν ἐν κλήρου μοίρᾳ παρὰ Θεοῦ, καὶ μερὶς ἀγαθὴ, ἐπείτοι γεγόναμεν Ἰσραὴλ, τουτέστι, νοῦς ὁρῶν Θεόν· τεθεάμεθα γὰρ ἐν Υἱῷ τὸν Πατέρα.

Sermo hic Christo Salvatori omnium nostrum aptabitur. Nam ante tempora adventus ejus ambulabamus unusquisque juxta arbitrium suum, vitam pecudum et a ratione alienissimam viventes, et dæmonum fraudibus irretiti [28]. Ast ubi collapsos quodammodo, et prostratos, et sub inimicorum pedibus jacentes miseratus est Pater, non amplius « fecit nobis secundum dies priores. » 722 Non enim passus est nos ultra subjugari, et sub crudeli tyranno degentes, ad quidvis indignissimum abduci ; sed pacem de cœlo impertivit, hoc est Christum, qui et omnis fertilitatis quæ mente comprehenditur ubertatem nobis largitus est. Repleti enim sumus frumento et vino [26] : et dedit nobis vera vitis [27], hoc est, Christus fructum suum lætificantem cor hominis, sicut scriptum est [28]. Ipse est et granum frumenti [29], et sacer manipulus; ipse factus est nobis vita [30], redditque florentissimos cœlesti rore inebrians, intelligibili, inquam, et spirituali, cujus et divinus David meminit : « Sicut ros Hermon, qui descendit super montes Sion [31-32]. » Hæc nobis a Deo sors et pars bona contigit, postquam facti sumus Israel, hoc est, mens Deum videns : in Filio enim Patrem vidimus [33].

Καὶ ἔσται ὃν τρόπον ἦτε ἐν κατάρᾳ ἐν τοῖς ἔθνεσιν, ὁ οἶκος Ἰούδα καὶ οἶκος Ἰσραὴλ, οὕτως

VERS. 13. *Et erit sicut eratis in maledictione inter gentes, domus Juda et domus Israel, sic salvabo vos,*

[28] Ephes. II, 2, 3. [26] Joel II, 19. [27] Joan. XV, 1. [28] Psal. CIII, 15; Eccl. XL, 20. [29] Joan. XII, 24, 25. [30] Joan. XI, 25. [31-32] Psal. CXXXII, 3. [33] Joan. XIV, 9.

Digitized by Google

et eritis in benedictione. Confidite et confortamini in manibus vestris.

XLVI. In captivitatem ducti Israelitæ, et victorum iniqua imperia perferentes, etiam maledicti sunt vocati, dicentibus quibusdam, quod a vero non abhorret, Ne mihi contingat quod Israeli. Ubi autem eos salvavit misericors Deus, et in pristina bona sunt restituti, cum calamitatibus opinionem quoque maledictorum habere desierunt. Benedicti sunt enim, et æque ut olim beati fuerunt, Deo supernis bonis eos oblectante, et totius securitatis velut campos ipsis pandente.

Quod in nobis ipsis verum conspicitur. Eramus enim maledicti, gregibus dæmonum subditi, et ad omne genus improbitatis illorum scelere devoluti [35]. Ast ubi Deum universorum opificem cognovimus, et a Christo cogniti sumus, tunc, tunc cantare intra nosmetipsos didicimus : « Benedicti nos a Domino, qui fecit cœlum et terram [36]. » Quoniam autem ad tantum honorem et gloriam vocati sumus, bonis operibus operam dare nos necesse est, et affectiones vitiosas viriliter debellare, et peccatum exsecrari, et in evangelicis legibus servandis excellere, et ad id quod Deo gratum est rite efficiendum incumbere. Audivimus enim acclamantem nobis, **723** « Confidite et confortamini in manibus vestris. » Adepti porro sumus a Christo, ut confidere debeamus : vicit enim pro nobis mundum [36], et conculcavit hostes, et templum suum a morte invictum ostendit, et iniquitatis os obturavit, ut et nos in his clarescamus [37]. Vicit enim, ut dixi, non sibi, sed nobis infirmis, quibus bona victoriæ suæ comparavit.

VERS. 14, 15. *Quia hæc dicit Dominus omnipotens : Sicut cogitavi ut affligerem vos, cum provocassent ad iram me patres vestri, dicit Dominus omnipotens, et non me pœnituit ; sic paratus sum, et cogitavi in diebus istis, ut beneficiam Jerusalem et domui Juda. Confidite.*

XLVII. Divinis consiliis nihil posse obsistere, rursum etiam ex his liquet. Quod enim Deus decreverit, et voluerit facere, id profecto prorsus eveniet. Sic enim per Isaiam loquitur, naturæ suæ vires potentissimas demonstrans : « Et dixi : Omne consilium meum stabit, et omnia quæcunque cogitavi faciam [38]. » Quocirca ex iis quæ ipsos divina ira sæviente perpeti contigit, ex his ipsis, inquam, apertissime licet intelligere, etiam lætitiæ viam eis dilatari, volente Deo et felicitatem indulgente, imo ex benignitate sua cupiente potius ut omnibus bonis redundent. Quemadmodum enim, inquit, volentem vos affligere propter multa peccata vestra nihil cohibuit : ita et bona cogitanti et satis afflictos misericordia prosequi volenti nihil

διασώσω ὑμᾶς, καὶ ἔσεσθε ἐν εὐλογίᾳ. Θαρσεῖτε καὶ κατισχύετε ἐν ταῖς χερσὶν ὑμῶν.

ΜΖ'. Αἰχμάλωτοι γεγονότες οἱ ἐξ Ἰσραὴλ, καὶ ταῖς τῶν ἐλόντων πλεονεξίαις ἐνειλημμένοι, κεχρηματίκασι καὶ ἐπάρατοι, φασκόντων τινῶν, κατά γε τὸ εἰκός· Οὕτω μὴ γενοίμην ὡς ὁ Ἰσραήλ. Ἐπειδὴ δὲ σέσωκέ τε αὐτοὺς ὁ φιλοικτίρμων Θεὸς, καὶ ἐν τοῖς ἀρχαίοις γεγόνασιν ἀγαθοῖς, συναποβεβλήκασι ταῖς συμφοραῖς καὶ τὸ δοκεῖν εἶναι κατηραμένοι. Ηὐλόγηνται γὰρ, καὶ οὐδὲν ἧττον γεγόνασι ζηλωτοὶ καθὰ καὶ πάλαι, Θεοῦ κατευφραίνοντος τοῖς ἄνωθεν ἀγαθοῖς, καὶ ἀπάσης αὐτοῖς εὐθυμίας ἁπλοῦντος τὴν μέθεξιν.

Τοῦτο δὲ αὐτὸ καὶ ἐφ' ἡμῶν αὐτῶν ἀληθὲς ὂν ὁρᾶται πάλιν. Ἦμεν γὰρ ἐπάρατοι, ταῖς τῶν δαιμονίων ἀγέλαις ὑπεζευγμένοι, καὶ πρὸς πᾶν εἶδος φαυλότητος διὰ τῆς ἐκείνων δυστροπίας κατενηνεγμένοι. Ἐπειδὴ δὲ Θεὸν ἐγνώκαμεν τὸν τῶν ὅλων δημιουργὸν, καὶ ἐγνώσθημεν τῷ Χριστῷ, τότε δὴ, τότε καὶ ἀναμέλπειν ἐφ' ἑαυτοῖς δεδιδάγμεθα· « Εὐλογημένοι ἡμεῖς τῷ Κυρίῳ τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν. » Ἐπειδὴ δὲ εἰς τοῦτο κεκλήμεθα τιμῆς τε καὶ δόξης, φιλεργεῖν ἀναγκαῖον, καὶ κατανδρίζεσθαι τῶν παθῶν, καὶ στυγητὴν ποιεῖσθαι τὴν ἁμαρτίαν, καὶ τοῖς εὐαγγελικοῖς ἐμπρέπειν νόμοις, καὶ ἐπείγεσθαι κατορθοῦν τὸ ἀρέσκον τῷ Θεῷ. Ἀκηκόαμεν γὰρ ἐπιφωνοῦντος ἡμῖν· « Θαρσεῖτε καὶ κατισχύετε ἐν ταῖς χερσὶν ὑμῶν. » Ἐσχήκαμεν δὲ παρὰ Χριστοῦ τὸ χρῆναι θαρσεῖν· νενίκηκε γὰρ ὑπὲρ ἡμῶν τὸν κόσμον, καὶ πεπάτηκεν ἐχθροὺς, καὶ θανάτου κρείττονα τὸν οἰκεῖον ἔδειξε ναὸν, καὶ τὸ τῆς ἀνομίας ἐνέφραξε στόμα, ἵνα καὶ ἡμεῖς δι' αὐτὸν ἐν τούτοις εὐδοκιμῶμεν. Νενίκηκε γὰρ, ὡς ἔφην, οὐχ ἑαυτῷ μᾶλλον, ἀλλ' ἡμῖν τοῖς ἠσθενηκόσι, τὰ ἐκ τοῦ νικῆσαι κατορθῶν ἀγαθά.

Διότι τάδε λέγει Κύριος παντοκράτωρ· Ὃν τρόπον διενοήθην τοῦ κακῶσαι ὑμᾶς, ἐν τῷ παροργίσαι με τοὺς πατέρας ὑμῶν, λέγει Κύριος παντοκράτωρ, καὶ οὐ μετενόησα· οὕτω παρατέταγμαι καὶ διανενόημαι ἐν ταῖς ἡμέραις ταύταις, τοῦ καλῶς ποιῆσαι τὴν Ἱερουσαλὴμ καὶ τὸν οἶκον Ἰούδα. Θαρσεῖτε.

ΜΖ'. Ὅτι ταῖς θείαις βουλαῖς τὸ ἀντιστατοῦν οὐδὲν, κἀκ τῶνδε ὃν πάλιν ἐφίησι νοεῖν. Ὃ γὰρ ἂν βουλεύσαιτο Θεὸς, καὶ ἕλοιτο πληροῦν, τοῦτο δὴ πάντως ἐκβήσεται. Οὕτω που καὶ διὰ φωνῆς Ἡσαΐου φησὶ, τῆς αὐτοῦ φύσεως τὸ παναλκὲς ἀποφαίνων· « Καὶ εἶπα· « Πᾶσά μου ἡ βουλὴ στήσεται, καὶ πάντα ὅσα βεβούλευμαι ποιήσω. » Οὐκοῦν ἐξ ὧν συνέβη παθεῖν αὐτοὺς ἐπενηνεγμένης τῆς θείας ὀργῆς, ἐκ τούτων αὐτῶν συνιέναι, καὶ μάλα σαφῶς, ἔστιν, ὅτι καὶ ἡ τῆς εὐθυμίας αὐτοῖς κατευρύνεται τρίβος ἐθέλοντός γε αὐτοῦ καὶ ἐφιέντος εὐημερεῖν, μᾶλλον δὲ καὶ ὀρέγοντος φιλανθρωπίᾳ τὸ ἐν παντὶ χρῆναι γενέσθαι καλῷ. Ὥσπερ γὰρ, φησὶ, κακοῦν ὑμᾶς ἐθέλοντα διὰ πολλὴν ἁμαρτίαν ἀπεῖρξεν οὐδέν· οὕτω καὶ χρηστὰ βουλευομένῳ, καὶ κατοικτείρειν

[35] II Petr. II, 12-14. [36] Psal. cxvIII, 15. [36] Joan. xvI, 33. [37] Psal. cvI, 2 seqq. [38] Isa. xLvI, 10.

Digitized by Google

ἐθέλοντι πεπονθότας ἀρκούντως οὐδὲν ἔσται τὸ ἐμποδών. « Παρατέταγμαι γὰρ εὖ ποιῆσαι τὴν Ἱερουσαλὴμ καὶ τὸν οἶκον Ἰούδα. » Ἐμφαντικὴ δὲ λίαν ἡ λέξις. Οὐ γὰρ ἔφη μόνον, ὅτι Βεβούλευμαι καὶ διανενόημαι τυχὸν, ἀλλ' εἰς τοῦτο προῆλθον γνώμης καὶ τῆς ἐφ' ὑμῖν ἡμερότητος, ὥστε καὶ παρατέταγμαι· τοῦτο δέ ἐστι σκέψεως ἐντόνου μήνυσις ἐναργής. Κατασφραγίζει δὲ τὴν ὑπόσχεσιν εἰς ἀλήθειαν, τὸ « Θαρσεῖτε » προστιθείς.

Οὕτω καὶ ἡμᾶς αὐτοὺς διὰ τῆς πίστεως κεκλημένους εἰς ἐπίγνωσιν ἀληθείας ἀσφαλίζεται Χριστός. Ὥσπερ γὰρ πρὸ τῆς κλήσεως πρὸς πᾶν εἶδος φαυλότητος κατωλισθηκότας, παραδέδωκε μὲν εἰς ἀδόκιμον νοῦν, ἐκάκωσε δὲ δι' ἀκαθαρσίαν· οὕτω καὶ ἐν ταῖς ἡμέραις ταύταις διενοήθη τε καὶ παρατέτακται, καθά φησιν αὐτός, εἰς γε τὸ εὖ ποιῆσαι τὴν Ἐκκλησίαν καὶ τὸν οἶκον Ἰούδα, τουτέστιν, ἡμᾶς τοὺς ἐξομολογουμένους αὐτῷ, εὐφημίαις καταγεραίροντας ὡς Δεσπότην, ὡς Σωτῆρα καὶ Λυτρωτήν· *αἵρεσις* γὰρ ὁ Ἰούδας ἑρμηνεύεται. Οἶκος δὲ Ἰούδα καὶ ἑτέρως νοοῖτ' ἂν ἡ Ἐκκλησία. Κεχρημάτικε γὰρ οἶκος Χριστοῦ, ὃς ἀνατέταλκεν ἐξ Ἰούδα, κέκληται δὲ οὕτω καὶ παρὰ τῇ θεοπνεύστῳ Γραφῇ. Καὶ γοῦν ὁ πατριάρχης Ἰακὼβ οὕτως αὐτοῦ διαμέμνηται, λέγων· « Ἰούδα, σὲ αἰνέσαιαν οἱ ἀδελφοί σου. » Καὶ πάλιν· « Ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης. » Ἀνέβη γὰρ ὁ Χριστὸς ἐκ ῥίζης Ἰεσσαὶ, καὶ καθάπερ ἀπὸ βλαστοῦ τῆς ἁγίας Παρθένου, βακτηρία καὶ ῥάβδος δυνάμεως, κατὰ τὴν τοῦ προφήτου φωνήν. Ἡμῖν οὖν ἄρα καὶ τὸ « Θαρσεῖτε » λέγεται, καὶ μάλα εἰκότως. « Ὅπλῳ γὰρ εὐδοκίας » ἐστεφάνωσεν ὁ Πατὴρ τῇ διὰ Χριστοῦ σωτηρίᾳ καὶ χάριτι.

Οὗτοι οἱ λόγοι οὓς ποιήσετε. Λαλεῖτε ἀλήθειαν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, καὶ κρῖμα εἰρηνικὸν κρίνετε ἐν ταῖς πύλαις ὑμῶν, καὶ ἕκαστος τὴν κακίαν τοῦ πλησίον αὐτοῦ μὴ λογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν, καὶ ὅρκον ψευδῆ μὴ ἀγαπᾶτε· διότι ταῦτα πάντα ἐμίσησα, λέγει Κύριος παντοκράτωρ

ΜΗ'. Οὐκ ἀπειθεῖν ἑλομένοις καὶ εἰς ἐξίτηλον πολιτείαν ἀποφοιτᾷν, ἠγαπηκόσι δὲ μᾶλλον τὴν εὐθεῖαν διαστείχειν ὁδὸν, καὶ τὴν εὐαγῶς ἠρημένοις, ἐπαγγέλλεται Θεὸς τὰ ἐκ τῆς ἰδίας ἡμερότητος ἐπιδώσειν ἀγαθὰ, καὶ μὴν καὶ παρατετάχθαι πρὸς τὸ χρῆναι λοιπὸν εὖ ποιεῖν αὐτούς. Ἥκιστα μὲν γὰρ ψευδοεπεῖς ὁρᾶσθαι προστέταχε, ποιεῖσθαι δὲ μᾶλλον ἐν ἀτρεκείᾳ τοὺς λόγους, ὀρθότητα δὲ τὴν ἐπὶ τοῖς κρίμασιν ἀγαπᾷν, καὶ τὴν ἐφ' ἑκάστῳ πράγματι ῥᾳδίαν εὐθῆ τε καὶ ἀνεπίπληκτον πάντη τε καὶ πάντως ἐκφέρειν, οὐ λημμάτων αἰσχρῶν ἥττωμένους, οὐκ εἰς κέρδη βλέποντας αἰσχρὰ, καὶ χρημάτων ἕνεκα τὴν τοῦ δικαίου προδιδόντας χάριν, ἀλλ' εἰς μόνον ὁρῶντας τὸ ἀνδάνον Θεῷ· ἀνιέντας δὲ καὶ ἀδελφοῖς, εἰ δή πού τι παραπταίσειαν ἢ ὁρῶντες, ἢ λέγοντες, καὶ προσέτι τούτοις παρωθουμένους εὖ μάλα τὸ ψευδορκεῖν· μεμισηκέναι γὰρ διισχυρίζεται καὶ τοιάδε τῶν κακῶν.

A erit impedimento. « Paratus sum enim benefacere Jerusalem et domui Juda. » Magna est in voce emphasis. Non enim tantum ait, puta, Deliberavi et cogitavi, sed eo processi voluntatis et mansuetudinis erga vos, ut et me paraverim, seu instruxerim, quæ est intentæ commentationis minime dubia significatio. Obsignat autem promissionis veritatem, adjiciendo, « Confidite. »

Sic et nos ipsos per fidem vocatos in agnitionem veritatis securos reddit Christus. Sicut enim ante vocationem in omne genus vitiorum delapsos in reprobum sensum tradidit [49], et propter immunditiam dire multavit: sic et in diebus istis cogitavit et instructus est, ut ait ipse, ut benefaciat Ecclesiæ et domui B Juda, hoc est, nobis, qui confitemur ei, ut Dominum, et Salvatorem, et Liberatorem laudibus venerantes: **724** siquidem voci Juda notio laudis subjecta est. Aliter item Ecclesia domus Juda queat intelligi. Appellata est enim domus Christi, qui ex Juda ortus est, quo etiam nomine a divinitus inspirata Scriptura nuncupatur. Itaque patriarcha Jacob his verbis ejus meminit: « Juda, te laudent fratres tui [50]. » Et rursum: « Ex germine, fili mi, ascendisti [51]. » Ascendit enim Christus ex radice Jesse [52], et velut e germine sanctæ Virginis, baculus et virga virtutis, juxta prophetæ vocem [53]. Nobis igitur etiam « Confidite » dicitur, et æquissime. « Scuto enim bonæ voluntatis, » salute et gratia per Christum Pater coronavit nos [54]. C

Vers. 16, 17. *Isti sunt sermones quos facietis. Loquimini veritatem unusquisque ad proximum suum, et judicium pacificum judicate in portis vestris, et unusquisque malum contra amicum suum ne cogitetis in cordibus vestris, et juramentum mendax ne diligite: quia hæc omnia odi, dicit Dominus omnipotens.*

XLVIII. Quibus cordi est non detrectare imperium nec vitæ genus vanum persequi, sed recto itinere ingredi et sancte vivere malunt, iis Deus mansuetudinis suæ bona daturum, atque etiam instructum se fore ad iis deinceps benefaciendum pollicetur. Mandavit enim minime falsiloquos videri, sed veros D potius sermones edere, et judiciorum integritatem diligere, et de unaquaque re sententiam sinceram nullique vituperationi affinem penitus, citra turpis lucri cupiditatem pronuntiare, non turpem quæstum spectantes [55], et pecuniarum causa Dei gratiam prodentes, sed solum Dei beneplacitum intuentes: condonantes item fratribus, si quid illi eos aut verbo aut facto læserint, et præter ista studiose perjurium fugientes: odisse enim se mala hujuscemodi affirmat.

[49] Rom. I, 28 seqq. [50] Gen. XLIX, 8. [51] Ibid. 9. [52] Isa. XI, 1. [53] Psal. CIX, 2. [54] Psal. V, 13. [55] I Timoth. III, 8.

Digitized by Google

Perpende porro quomodo nihil typicum aut umbratile facere jubeat. Non enim imperat immolare boves, nec incendere thura, sed veluti gracilem quamdam et tornatilem, et tantum non evangelicam vitam eos exercere postulat. Quoniam enim in his pauca nobis de Salvatoris adventu indicata sunt, dcirco et mandatum induci necesse fuit, quod divina ejus jussa loquerctur. Si enim decet nos divina verba sequentes loqui veritatem, **725** quæ Christi sunt omnino disseremus: Christus enim est veritas[46]. Ideo et sapientissimus Petrus paratissimos nos esse præcepit ad respondendum « cuivis rationem nos poscenti de ea quæ in nobis est spe[47]. » Quod si quæ Christi sunt loqui assueverint, et eum in lingua semper habuerint, et animo et corde meditati fuerint, justi plane erunt, et excellentes, pacificique et mites, et insuper patientes, et pejerare nescientes, quin penitus nec jurantes. Meminerunt enim illud dicere : « Sit autem sermo vester : Est, est, et, Non, non [48]. »

A Ἄθρει δὲ ὅπως οὐδὲν ἐπιτάττει δρᾶν τῶν ἐν σκιαῖς ἢ τύποις. Οὐ γάρ τοι χρῆναι βουθυτεῖν, οὐδὲ μὴν λιβάνῳ τιμᾶν ἐντέλλεται, ἀλλ' οἷον ἰσχνήν τινα, καὶ τετορνευμένην, μόνον δὲ οὐχὶ καὶ εὐαγγελικὴν ἐπασκῆσαι βούλεται ζωήν. Ἐπειδὴ γὰρ ὁ βραχὺς ἡμῖν ἐν τούτοις περὶ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας πεποίηται λόγος, ταύτῃ τοι καὶ ἀναγκαίως ἐντολὴ συνεισάγεται τὰ δι' αὐτοῦ λαλοῦσα θεσπίσματα. Εἰ γὰρ δὴ προσήκει τοῖς θείοις ἡμᾶς ἑπομένους λόγοις λαλεῖν τὴν ἀλήθειαν, τὰ Χριστοῦ πάντως διαλεξόμεθα· Χριστὸς γάρ ἐστιν ἡ ἀλήθεια. Διὰ τοῦτο καὶ ὁ σοφώτατος Πέτρος ἑτοιμοτάτους ἡμᾶς γενέσθαι προστέταχε πρὸς ἀπολογίαν « παντὶ τῷ ἐρωτῶντι ἡμᾶς λόγον περὶ τῆς οὔσης ἐν ἡμῖν ἐλπίδος. » Εἰ δὲ δὴ τὸ Χριστοῦ λαλεῖν εἰθισμένοι, καὶ αὐτὸν ἔχοντες ἐπὶ γλώσσης ἀεὶ, καὶ νοῦ, καὶ καρδίας, μελέτην πεποιημένοι, δίκαιοί που πάντως εἶεν ἄν, καὶ τῇ κατὰ πᾶν ὁτιοῦν ὀρθότητι διαπρέποντες, εἰρηνικοί τε καὶ πρᾶοι, καὶ πρός γε τούτῳ καὶ ἀνεξίκακοι, καὶ ψευδορκεῖν οὐκ εἰδότες, μᾶλλον δὲ οὐδὲ ὀμνύντερ ὅλως. Διαμέμνηνται γὰρ λέγοντος αὐτοῦ· « Ἔστω δὲ ὑμῶν ὁ λόγος τὸ Ναὶ, ναὶ, καὶ τὸ Οὒ, οὔ. »

B

Vers. 18, 19. *Et factus est sermo Domini omnipotentis ad me, dicens : Hæc dicit Dominus omnipotens : Jejunium quartum, et jejunium quintum, et jejunium septimum, et jejunium decimum erunt domui Juda in gaudium, et in lætitiam, et in festivitates bonas, et lætabimini, et veritatem et pacem diligite*

Καὶ ἐγένετο λόγος Κυρίου παντοκράτορος πρὸς μὲ, λέγων· Τάδε λέγει Κύριος παντοκράτωρ. Νηστεία ἡ τετρὰς, καὶ νηστεία ἡ πέμπτη, καὶ νηστεία ἡ ἑβδόμη, καὶ νηστεία ἡ δεκάτη ἔσονται τῷ οἴκῳ Ἰούδα εἰς χαρὰν, καὶ εὐφροσύνην, καὶ εἰς ἑορτὰς ἀγαθὰς, καὶ εὐφρανθήσεσθε, καὶ τὴν ἀλήθειαν καὶ τὴν εἰρήνην ἀγαπήσατε.

XLIX. Necessarium duco discendi cupidis rursum prius exponere causas jejuniorum, de quibus hoc loco dicitur, et quod sit quartum, quodnam quintum, et reliqua, septimum scilicet, et decimum. Sic enim opportune et apte quæ sit mandatorum vis deinde enucleando, adjungemus. Igitur capta sancta civitate, et exusto templo, et Israele simul cum vasis sacris in captivitatem abducto [49], qui salvi restabant in Judæa, dies quibus hæc pati contigisset odiosos et exsecrabiles habebant, factisque cœtibus planctus lamentationesque suscipiebant, cibo se ut in jejuniis abstinentes. Quæ autem unoquoque dierum a nobis modo dictorum evenerint, age exponamus. Ait ergo beatus Jeremias : « Et factum est in anno nono regni ejus, Sedeciæ utique, in mense decimo, decima mensis venit Nabuchodonosor rex Babylonis, et omnis exercitus ejus contra Jerusalem, et circumvallarunt eam, et ædificaverunt circum eam lapidibus quadris, et venit civitas in angustias usque ad undecimum annum regis Sedeciæ, in mense quarto, nona die mensis. Et invaluit fames in civitate, et non erant panes populo terræ; et dirupta est civitas, et omnes viri bellatores egressi sunt nocte via urbis inter muros **726** et antemurale, quod erat versus hortum regis [50]. » Postea cæde liberorum Sedeciæ et exoculatione ejus intersita, ita pergit : « In mense quinto, decima mensis venit Nabuzardan princeps coquorum, qui stabat ante faciem regis Babylonis, in Jerusalem, et succendit domum Domini, et

C

D

Μθ'. Ἀναγκαῖον οἶμαι τοῖς φιλομαθέσι προαφηγήσασθαι πάλιν τῶν ἐνθάδε λεγομένων νηστειῶν τὰς αἰτίας, καὶ ποία ἡ τετρὰς, τίς δὲ ἡ πέμπτη, καὶ αἱ τούτων ἑφεξῆς ἑβδόμη τε καὶ δεκάτη. Προσεποίσομεν γὰρ οὕτως ἐπὶ καιροῦ καὶ ἐν κόσμῳ λοιπὸν τῶν προστεταγμένων τὴν δύναμιν. Οὐκοῦν μετὰ τὸ ἁλῶναι τὴν ἁγίαν πόλιν, καὶ κατεμπρησθῆναι τὸν ναὸν, ἀποκομισθῆναι δὲ ὁμοῦ τοῖς ἱεροῖς σκεύεσιν αἰχμάλωτον τὸν Ἰσραὴλ, οἱ σεσωσμένοι τε καὶ περιλειφθέντες κατὰ τὴν Ἰουδαίαν, τὰς ἡμέρας, ἐν αἷς τὰ τοιάδε παθεῖν συμβέβηκεν ἀποφράδας ἡγοῦντο καὶ στυγητὰς, καὶ δὴ κατὰ πληθὺν συνθέοντες, κομμὸν ἐποιοῦντο καὶ θρῆνον, ἀσιτοῦντες ὡς ἐν νηστείαις. Τίνα δὲ δὴ τὰ συμβεβηκότα καὶ ἐν ἑκάστῃ τῶν ἀρτίως ἡμῖν εἰρημένων ἡμερῶν, φέρε λέγωμεν. Ἔφη τοίνυν ὁ μακάριος Ἱερεμίας· « Καὶ ἐγένετο ἐν τῷ ἔτει τῷ ἐννάτῳ τῆς βασιλείας αὐτοῦ, δῆλον δὲ ὅτι Σεδεκίου, ἐν τῷ μηνὶ τῷ δεκάτῳ, δεκάτῃ τοῦ μηνὸς ἦλθε Ναβουχοδονόσωρ βασιλεὺς Βαβυλῶνος, καὶ πᾶσα ἡ δύναμις αὐτοῦ ἐπὶ Ἱερουσαλὴμ, καὶ περιεχαράκωσαν αὐτὴν, καὶ περιῳκοδόμησαν αὐτὴν τετραπόδοις λίθοις κύκλῳ, καὶ ἦλθεν ἡ πόλις εἰς συνοχὴν, ἕως ἑνδεκάτου ἔτους τῷ βασιλεῖ Σεδεκίᾳ, ἐν μηνὶ τῷ τετάρτῳ, ἐννάτῃ τοῦ μηνός. Καὶ ἐστερεώθη ὁ λιμὸς ἐν τῇ πόλει, καὶ οὐκ ἦσαν ἄρτοι τῷ λαῷ τῆς γῆς, καὶ διεκόπη ἡ πόλις, καὶ πάντες οἱ ἄνδρες οἱ πολεμισταὶ ἐξῆλθον νυκτὸς κατὰ τὴν ὁδὸν τῆς πόλεως ἀναμέσον τοῦ τείχους καὶ τοῦ προτειχίσματος, ὃ ἦν κατὰ τὸν κῆπον τοῦ βασιλέως. » Εἶτα δὴ μέσον παρ-

[46] Joan. xiv, 6. [47] II Petr. iii, 15. [48] Matth. v, 37. [49] IV Reg. xxv, 9. [50] Jerem. lii, 4-7.

Digitized by Google

εἰθεὶς τῶν Σεδεκίου παίδων τὴν σφαγὴν, αὐτοῦ δὲ τὴν τύφλωσιν, ἔφη πάλιν· « Ἐν μηνὶ τῷ πέμπτῳ, δεκάτῃ τοῦ μηνὸς ἦλθε Ναβουζάρδαν ὁ ἀρχιμάγειρος, ὁ ἑστηκὼς κατὰ πρόσωπον τοῦ βασιλέως Βαβυλῶνος εἰς Ἰερουσαλὴμ, καὶ ἐνέπρησε τὸν οἶκον Κυρίου, καὶ τὸν οἶκον βασιλέως, καὶ πάσας τὰς οἰκίας τῆς πόλεως, καὶ πᾶσαν οἰκίαν μεγάλην ἐνέπρησεν ἐν πυρὶ, καὶ πᾶν τεῖχος Ἰερουσαλὴμ κύκλῳ καθεῖλεν ἡ δύναμις τῶν Χαλδαίων ἡ μετὰ τοῦ ἀρχιμαγείρου. » Ἀκούεις ὅπως ἐν τῷ δεκάτῳ ἔτει πεπολιόρκηκεν ὁ Ναβουχοδονόσωρ τὴν Ἰερουσαλὴμ, εἶτα τῷ τετάρτῳ μηνὶ τοῦ δεκάτου ἔτους διακεκόφθαι φησὶ τὴν πόλιν· ἐν δὲ τῷ πέμπτῳ μηνὶ καὶ αὐτὸν ἐμπεπρῆσθαι τὸν ναὸν καὶ ἅπασαν δὲ τὴν πόλιν διισχυρίζεται παρὰ τοῦ ἀρχιμαγείρου. Ἀποφράδας δὴ οὖν τὴν τετάρτην, καὶ τὴν πέμπτην, καὶ τὴν δεκάτην ἡμέραν ἐποιοῦντο, δι' ἃς εἶπον αἰτίας. Τίς δὲ καὶ ἡ ἑβδόμη, πάλιν εἰπεῖν ἀναγκαῖον. Ἐπειδὴ γὰρ εἶλε τὴν Ἰερουσαλὴμ ὁ ἀρχιμάγειρος, κεχειροτόνηκε τὸν Γοδολίαν εἰς καθηγητὴν τοῖς καταλοίποις τῶν Ἰουδαίων ἐν τοῖς Ἱεροσολύμοις· εἶτα τοῦτο δεδρακὼς ἀπῆλθεν εἰς Βαβυλῶνα. Ἐπειδὴ δὲ τοῦτο οὕτω πεπράχθαι μεμαθήκασιν οἱ περισωθέντες ἐξ Ἰουδαίων, συνέδραμον ἐν τοῖς Ἱεροσολύμοις, καὶ ἦσαν ἐν ἐλπίσι τοῦ κατοικεῖν ἐπὶ τὴν γῆν. Ἀλλ' ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ, καθὰ γέγραπται, τὸν Γοδολίαν ἀνεῖλεν ὁ Ἰσμαὴλ· καὶ διεσπάρη πᾶς ὁ λαὸς τότε, καὶ ἀπέδραμον εἰς τὴν Αἴγυπτίων, καὶ διολώλασιν ἐκεῖ. Στυγητὴν οὖν ἐποιοῦντο καὶ τὴν ἑβδόμην ἡμέραν, καὶ αὐτὸν δὲ τὸν μῆνα, ταύτης ἕνεκεν τῆς αἰτίας. Ἥδε μὲν οὖν τῶν νηστειῶν ἡ πρόφασις. Ἐπειδὴ δὲ ἀκήλυθον ἦν, πεπαυμένων τῶν ἐξ ὀργῆς, καὶ ἀνακομισθέντος τοῦ Ἰσραὴλ εἰς Ἱεροσόλυμα, καὶ τῶν σκυθρωπῶν παρεληλακότων, μὴ νηστεύειν ἔτι καὶ κόπτεσθαι, μεταπλάττεσθαι κελεύει τὸ πένθος εἰς εὐθυμίαν, ἥδεσθαί τε μᾶλλον ἐφ' οἷς ἔχουσι λαβόντες παρὰ Θεοῦ, ἧγουν διὰ μνήμης ἔχειν τὰ ἐφ' οἷς τετιμώρηνται κατὰ καιροὺς, πλημμελοῦντες ἀφυλάκτως, καὶ πρὸς πᾶν ὁτιοῦν τῶν ἐκτόπων ἀνάλδην ὠλισθηκότες

A domum regis, et omnes domos urbis, et omnem domum magnam combussit igni, et omnem murum Jerusalem in circuitu evertit exercitus Chaldæorum, qui erat cum principe coquorum [51]. » Audis quo pacto « mense decimo anni noni » anno decimo Nabuchodonosor Hierosolymam obsederit; deinde quarto mense anni undecimi diruptam esse civitatem. In mense autem quinto etiam ipsum templum et totam urbem a principe coquorum inflammatam narrat. Atros igitur, seu nefastos quartum, et quintum, et decimum dies propter causas a me dictas numerabant. Quæ autem septima fuerit, præterea dicendum est. Postquam enim princeps coquorum Jerusalem evertit, Godoliam principem Judæis, qui Hierosolymis remanserant, creavit: quo facto Babylonem repetivit. Quod ubi cognoverunt superstites B Judæi, Hierosolymam cum spe ibidem habitandi confluxerunt. Sed mense septimo Godoliam occidit Ismael; et dissipatus est omnis populus tunc, confugitque in Ægyptum, ubi periit [52]. Hanc ob causam et septimum diem et ipsum mensem abominati sunt. Atque hæc est jejuniorum occasio. Et quoniam consequens erat, cessantibus plagis, et Israele Hierosolymam reverso, et tristibus finitis ultra non jejunare et plangere, luctum mutare lætitia et gaudere potius jubet de bonis a Deo acceptis, sive meminisse, ob quæ olim puniti fuerint, cum liberrime sceleribus se commacularent, et ad quidvis nefarium nullo pudore ruerent.

Δέδρακε τοῦτο καὶ εἰς ἡμᾶς ὁ Χριστός. Ἔστρεψε C γὰρ « ἡμῖν τὸν κοπετὸν εἰς χαρὰν, διέῤῥηξε τὸν σάκκον καὶ περιέζωσεν εὐφροσύνην, » κατὰ τὴν τοῦ Ψάλλοντος φωνήν. Ἐπαιτιώμεθα δὲ οὐδαμῶς, ὅτι Θεὸν οὐκ εἰδότες ποτὲ, καὶ προσκυνοῦντες τῇ κτίσει παρὰ τὸν κτίσαντα, πεπτώκαμεν ὑπὸ πόδας ἐχθρῶν, καὶ εἰς νοῦν ἀδόκιμον παρεδόθημεν· εὐχαριστοῦμεν δὲ μᾶλλον ἐφ' οἷς ἠλεήμεθα, καὶ σεσώσμεθα, « καὶ ἐκ χειρὸς ἐχθρῶν λελυτρώμεθα, » καὶ τὴν ἁγίαν οἰκοῦμεν πόλιν, τουτέστι τὴν Ἐκκλησίαν, ἠξιώμεθά τε λοιπὸν εὐχαῖς καὶ θυσίαις ταῖς πνευματικαῖς καταγεραίρειν αὐτὸν, ἀγαπῶμεν δὲ καὶ ὡς εἰρήνην, καὶ ἀλήθειαν, καὶ θυμηδίας τῆς ἀνωτάτω πρόφασιν τὸ χρῆμα καταλογίζεσθαι παρὰ τῆς θείας δεδιδάγμεθα Γραφῆς. « Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν· » αὐτὸς, ὡς ἔφην, ἡ ἀλήθεια· δι' αὐτὸν ἐσμεν ἐν ἐλπίσιν ἀγαθαῖς, καὶ ἐν τῷ κατευφραίνεσθαι δεῖν, κατηφείας ἅπασης ἐξῃρημένης

Fecit hoc etiam nobis Christus. Convertit enim « planctum nostrum in gaudium, conscidit saccum nostrum, et circumdedit nos lætitia, » ut Psaltes canit [53]. Nec conquerimur ulla ex parte, quod cum aliquando Deum ignorantes, et creaturam potius quam Creatorem adorantes sub pedes hostium nostrorum redacti, et in sensum reprobum traditi sumus [54]: quin gratias agimus, **727** quod misericordiam et salutem consecuti, « et de manu inimicorum liberati [55] » sanctam civitatem, hoc est Ecclesiam incolimus, et digni sumus habiti qui deinceps votis et sacrificiis spiritualibus ipsum veneremur; et charum habeamus, et eam rem pacem, et veritatem, et summæ jucunditatis occasionem reputare a divina Scriptura docti sumus. « Ipse enim est pax D nostra [56]: » ipse, ut dixi, veritas [57]: propter ipsum bene speramus, et omni mœstitudine profligata triumphamus.

Τάδε λέγει Κύριος παντοκράτωρ· Ἔτι ἥξουσι λαοὶ πολλοὶ, καὶ κατοικοῦντες πόλεις πολλὰς, καὶ συνελεύσονται κατοικοῦντες πέντε πόλεις

VERS. 20-22. *Hæc dicit Dominus omnipotens: Adhuc venient populi multi, et habitantes civitates multas, et congregabuntur habitantes quinque civitates*

[51] Jerem. LII, 12-14. [52] Jerem. XL. 8-17; LI, 1, seqq.; IV Reg. XXV, 23 seqq. [53] Psal. XXIX, 12. [54] Rom. I, 25 seqq. [55] Luc. I, 74. [56] Ephes. II, 14. [57] Joan. XIV, 6.

Digitized by Google

in unam civitatem, dicentes : Eamus ut deprecemur faciem Domini, et quæramus faciem Domini omnipotentis. Vadam et ego, et venient populi multi et gentes multæ, ut quærant faciem Domini omnipotentis in Jerusalem, et ut propitient faciem Domini.

εἰς μίαν πόλιν, λέγοντες· *Πορευθῶμεν δεηθῆναι τοῦ προσώπου Κυρίου καὶ ἐκζητῆσαι τὸ πρόσωπον Κυρίου παντοκράτορος. Πορεύσομαι κἀγώ, καὶ ἥξουσι λαοὶ πολλοὶ, καὶ ἔθνη πολλὰ ἐκζητῆσαι τὸ πρόσωπον Κυρίου παντοκράτορος ἐν Ἱερουσαλὴμ, καὶ τοῦ ἐξιλάσασθαι τὸ πρόσωπον Κυρίου.*

L. Convertente Christo luctum nostrum in gaudium, et in diem festum, et in lætitias bonas, et transferente in jucunditatem lamenta, non jam de vocatis ad salutem singuli in fide accedent, et cum Deo per sanctificationem conjungentur, sed civitates inter se ad hoc deinceps hortabuntur, venientque catervatim omnes gentes, prioribus semper acclamantibus qui posteriores sunt, « Vadam et ego. » Scriptum est enim : « Ferrum ferrum acuit, vir autem acuit faciem alterius [58]. » Semper enim aliorum alacritas aliis ad bona consectanda stimulus invenitur. Quis est vero urbibus, sive gentibus finis propositus? propitiare et exquirere faciem Domini, hoc est Christum, qui est imago simillima Dei et Patris [59], « et figura substantiæ ejus, et splendor gloriæ [60], » de quo et divinus David : « Faciem tuam illumina super servum tuum [61]. » Illuminavit enim pax et facies, ut dixi, Dei et Patris, ipsum habentes benevolum ac propitium ; et peccati noxas repellemus « justificati per fidem : non ex operibus justitiæ quæ fecimus nos, sed secundum magnam misericordiam suam [62]. » Misericors enim et bonus est, et ad se accedentibus peccata dimittit [63]. **728** Ipsum exquirentes servandis legum sanctis omnino invenimus, et per ipsum Deo ac Patri adhæremus : « Ipse enim est pax nostra » quod Scripturæ testantur [64].

Ν'. Μεταπλάττοντος τοῦ Χριστοῦ τὸ πένθος ἡμῶν εἰς χαρὰν, καὶ εἰς ἑορτὴν, καὶ εἰς εὐφροσύνας ἀγαθὰς, καὶ μεθιστῶντος εἰς θυμηδίαν τοὺς ὀδυρμοὺς, οὐ καθ' ἕνα λοιπὸν, φησὶ, τῶν καλουμένων εἰς σωτηρίαν ἡ ἐν πίστει πρόσοδος, καὶ ἡ πρὸς Θεὸν οἰκείωσις δι' ἁγιασμοῦ· ἀλλ' αἱ μὲν πόλεις ἀλλήλας εἰς τοῦτο παροτρυνοῦσι λοιπὸν, ἥξει δὲ κατὰ πληθὺν πάντα τὰ ἔθνη, τοῖς εἰς τοῦτο φθάσασιν ἐπιφωνούντων ἀεὶ τῶν δευτέρων τὸ, « Πορεύσομαι κἀγώ. » Γέγραπται γὰρ, ὅτι « Σίδηρος σίδηρον ὀξύνει, ἀνὴρ δὲ παροξύνει πρόσωπον ἑτέρου. » Παράκλησις γὰρ ἀεί πως ἑτέροις εἰς τὸ χρῆναι πληροῦν τὸ ἀγαθὸν, ἢ τινων εὑρίσκεται προθυμία. Τίς δὲ δὴ ταῖς πόλεσιν, ἤτοι τοῖς ἔθνεσιν, ὁ σκοπός ; τὸ ἐξιλάσασθαί τε καὶ ἐκζητῆσαι τὸ πρόσωπον Κυρίου, τουτέστι, Χριστὸν, ὃς ἐστιν εἰκὼν ἀπαράλλακτος τοῦ Θεοῦ καὶ Πατρὸς, « καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, καθὰ γέγραπται, καὶ ἀπαύγασμα τῆς δόξης, » περὶ οὗ φησι καὶ ὁ θεσπέσιος Δαβίδ· « Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου. » Ἀπέλαμψε γὰρ ἡ εἰρήνη, καὶ τὸ πρόσωπον, ὡς ἔφην, τοῦ Θεοῦ καὶ Πατρὸς· αὐτὸν ἔχοντες εὐμενῆ καὶ ἵλεων, καὶ τὴν ἐκ τῆς ἁμαρτίας διακρουσόμεθα βλάβην « δικαιούμενοι διὰ πίστεως, οὐκ ἐξ ἔργων δικαιοσύνης ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ πολὺ αὐτοῦ ἔλεος. » Φιλοικτίρμων γάρ ἐστι καὶ ἀγαθὸς, καὶ ἀφίησιν ἐγκλήματα τοῖς προσιοῦσιν αὐτῷ. Αὐτὸν ἐκζητοῦντες διὰ τοῦ χρῆναι πληροῦν καὶ δι' αὐτοῦ κολλώμεθα τῷ Θεῷ καὶ Πατρί· « Καὶ τὰ νενομισμένα, πάντη τε καὶ πάντως εὑρίσκομεν, γὰρ αὐτός ἐστιν ἡ εἰρήνη ἡμῶν, » κατὰ τὰς Γραφάς.

Vers. 23. *Hæc dicit Dominus omnipotens : In diebus illis apprehendent decem viri ex omnibus linguis gentium : et apprehendent fimbriam unius hominis Judæi, dicentes : Ibimus tecum, quia audivimus quod Deus vobiscum est.*

Τάδε λέγει Κύριος παντοκράτωρ· Ἐν ταῖς ἡμέραις ἐκείναις ἐπιλήψονται δέκα ἄνδρες ἐκ πασῶν τῶν γλωσσῶν τῶν ἐθνῶν, καὶ ἐπιλήψονται τοῦ κρασπέδου ἀνδρὸς Ἰουδαίου, λέγοντες· Πορευσόμεθα μετὰ σοῦ, διότι ἀκηκόαμεν ὅτι ὁ Θεὸς μεθ' ὑμῶν ἐστιν.

LI. Quonam modo per urbes et gentes accessuri sint quærentes faciem Domini, rursum declarat. Inquit enim, « Erit in diebus illis, » hoc est illo tempore, quando « apprehendent decem viri unum Judæum, dicentes : Ibimus tecum. » Per denarium perfectum accedentium numerum intellige : perfectionis enim symbolum est hic numerus. Quod autem sanctis apostolis ex gentibus adhærentes eamdem cum illis viam ambulare instituerint, justificati per fidem in Christo [65], manifeste ostendit, ipsam formam, seu gestum, ut ex imagine accuratissime effictam proferens. Parvi enim pueri nonnunquam patrem sequi gestientes, comprehensa ora vestis ejus, illis tactibus velut adjuti, et a veste pendentes, ci-

ΝΑ'. Τίνα δὴ τρόπον ἡ κατὰ πόλεις τε ὁμοῦ καὶ ἔθνη γενήσεται πρόσοδος τῶν ἐπιζητούντων τὸ πρόσωπον Κυρίου, διατρανοῖ πάλιν. « Ἔσται γὰρ, φησὶν, ἐν ταῖς ἡμέραις ἐκείναις, » τουτέστι, κατ' ἐκεῖνο καιροῦ, ὅτε « ἐπιλήψονται δέκα ἄνδρες ἑνὸς Ἰουδαίου, λέγοντες· Πορευσόμεθα μετὰ σοῦ. » Διὰ μὲν οὖν τῶν δέκα τὸν τέλειον τῶν προσιόντων νοήσεις ἀριθμόν· τελειότητος γὰρ σύμβολον ὁ δέκατός ἐστιν ἀριθμός. Ὅτι δὲ τοῖς ἁγίοις ἀποστόλοις οἱ ἐξ ἐθνῶν κολλώμενοι τὴν αὐτὴν ὥσπερ ἐκείνοις βαδίζειν ὁδὸν ἐπεχείρουν δικαιούμενοι διὰ πίστεως τῆς ἐν Χριστῷ, καθίστησιν ἐναργὲς, καὶ τὸ σχῆμα λέγων, ὡς ἐξ εἰκόνος διαπεπλασμένον εὖ μάλα. Οἱ γὰρ μικροὶ τῶν παίδων ἐν τοῖς ἰδίοις πατράσιν ἑλκυστὸ ποτε καταχε-

[58] Prov. xxvii, 17. [59] II Cor. iv, 4. [60] Hebr. i, 3. [61] Psal. cxviii, 135. [62] Tit. iii, 5-7. [63] Joel ii, 13. [64] Ephes. ii, 14. [65] Rom. v, 1.

Digitized by Google

λευθεῖν, ἐπιδραξάμενοι τοῦ κρασπέδου, οἷον ἐπικουρούμενοι ταῖς ἁφαῖς, καὶ τῶν ἐσθημάτων ἀπαρτώμενοι ἁπλανῆ τε καὶ ἀσφαλῆ ποιοῦνται τὴν βάδισιν. Κατὰ τὸν ἴσον, οἶμαι, τρόπον καὶ οἱ τῇ κτίσει λελατρευκότες παρὰ τὸν τῶν ὅλων Δημιουργὸν, πατέρας γνησίους ἐπιγραφόμενοι τοὺς τῶν εὐαγγελικῶν δογμάτων εἰσηγητὰς, καὶ συναπτόμενοι δι' ὁμοψυχίας, ἕπονται τε αὐτοῖς, νηπιάζοντες ἔτι τὰς γνώμας, καὶ εἰς τὴν ὁμοίαν ἴενται τρίβον, ζηλωταὶ που πάντως ἀναδεικνύμενοι τῆς αὐτῶν πολιτείας, καὶ ταῖς ἀεὶ πρὸς τὸ ἄμεινον ἐπιδόσεσιν « εἰς ἄνδρα τέλειον ἀναβαίνοντες, καὶ εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ. » Ἕπονται δὲ διὰ ποίαν αἰτίαν; Πεπληροφόρηνται γὰρ, ὅτι ὁ Θεὸς μετ' αὐτῶν ἐστι, τουτέστιν, ὁ Ἐμμανουήλ· ἑρμηνεύεται γὰρ, « Ὁ Θεὸς μεθ' ἡμῶν. » Ὅτι δὲ οὐ μόνων ἔσται τῶν ἐξ αἵματος Ἰσραὴλ ἡ τὸ τηνικάδε κλῆσις, ἁπάντων δὲ μᾶλλον τῶν ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐθνῶν, διαμεμήνυκεν εἰπὼν, ὡς ἐκ πασῶν ἔσονται τῶν γλωσσῶν οἱ ἐπιδραττόμενοι τοῦ κρασπέδου. Πότε δὲ κέκληνται τὰ ἔθνη πρὸς ἐπίγνωσιν ἀληθείας, καὶ πότε βεβούληνται ἐκζητῆσαι τὸ πρόσωπον Κυρίου, ἐξιλάσασθαί τε αὐτὸν, καὶ τοῖς ἁγίοις ἀποστόλοις τὴν αὐτὴν ὥσπερ διαστείχειν ὁδὸν, εἰ μὴ ὅτε γέγονε καθ' ἡμᾶς ὁ Μονογενὴς; ὃς ἐστι « προσδοκία ἐθνῶν· » τὰ ἔθνη ὅσα ἐποίησας ἥξουσι καὶ προσκυνήσουσιν αὐτῇ τῶν ἐθνῶν ἡ πληθύς.

tra errorem periculumque gradiuntur. Eodem modo, opinor, et qui rebus conditis servierunt potius quam universorum Conditori, pro germanis patribus cooptantes evangelicorum dogmatum explanatores, et per concordiam illis colligati, sequuntur eos, infantes adhuc judiciis, et simili via incedunt, eorum vitæ imitatores manifesti, et perpetuis ad meliora incrementis « in virum perfectum, et in mensuram ætatis plenitudinis Christi [66] » evadentes. Quamobrem autem sequuntur? Certo enim credunt Deum, hoc est Emmanuelem cum illis esse : redditur enim « Nobiscum Deus. » Vocationem porro illam non tantum filiorum Israel, sed omnium per orbem gentium fore, docet cum ait, ex omnibus fore linguis qui apprehendent fimbriam. Quando autem vocatæ sunt gentes ad agnitionem veritatis, et quando voluerunt exquirere faciem Domini, et eum propitiare, et cum sanctis apostolis quasi eadem via ingredi, 729 nisi quando nostram naturam induit Unigenitus? qui est « exspectatio gentium [67]; » cui cantat etiam divinus David : « Omnes gentes quascunque fecisti, venient et adorabunt coram te, Domine [68]. » Per ipsum enim et ipsa gentium multitudo salvata est.

ΚΕΦΑΛ. Θ'.

Λῆμμα λόγου Κυρίου ἐν γῇ Ἀδράχ, καὶ Δαμασκοῦ ἀνάπαυσις αὐτοῦ, διότι Κύριος ἐφορᾷ ἀνθρώπους, καὶ πάσας φυλὰς τοῦ Ἰσραὴλ. Καὶ Ἐμὰθ ἐν τοῖς ὁρίοις αὐτῆς.

NB'. Οὐκ ἄτραχυ μὲν τὸ προκείμενον, δυσέφικτος δὲ κομιδῇ καὶ αὐτὴ τῶν λέξεων ἡ συνθήκη. Πλὴν ὡς ἔνι λελέξεται πρὸς ἡμῶν. Τά γε μὴν ἐφ' οἷς εἰρῆσθαι ταῦτα νομιοῦμεν, εἰκότως προαγορεύειν ἀνάγκη· νοηθείη γὰρ ἂν ὧδέ τε καὶ μόλις τῆς προφητείας ὁ νοῦς. Ὅτε τοίνυν τῶν τῆς αἰχμαλωσίας δεσμῶν ἀνείθη τε καὶ ἀπήλλακται κατὰ καιροὺς ὁ Ἰσραὴλ, ἦκόν τε λοιπὸν εἰς τὴν Ἰουδαίαν, καὶ ἀνατειχίζειν ἐπεχείρουν τὴν Ἱερουσαλὴμ, τότε δὴ, τότε τὰ περίοικα τῶν ἐθνῶν, οἵ τε τὴν Σαμάρειαν οἰκοῦντες, καὶ οἱ τὰς τῆς Παλαιστίνης, καὶ μὴν καὶ Φοινίκης νεμόμενοι πόλεις, κατεδάκνοντο φθόνῳ, ὁμοῦ δὲ καὶ ἐδεδίεσαν, μὴ ἄρα δὴ πάλιν ἀνενεγκόντων αὐτοῖς τῶν πραγμάτωνεἰς τὸ ἀπ' ἀρχῆς, καὶ εἰς πληθὺν ἀμέτρητον ἐκτεινομένου τοῦ γένους, εἶτα πάλιν ἔχοντες τὴν οὕτω δυσάλωτον καὶ εὐπυργοτάτην, καταστρατεύοιντο πάλιν αὐτῶν, καὶ ἀμαχόν τινα, καθὰ καὶ πάλαι, κατεξαναστήσειαν αὐτῶν τὴν χεῖρα, ταύτῃ τοι τειχίζειν ἐθέλοντας διακωλύειν ἤθελον, πικροὺς ἀρτύοντες λόγους, καὶ μὴν καὶ ἐφόδους ληστρικὰς ἱστάντες αὐτοῖς. Ἦκον δὲ εἰς τοῦτο βασκανίας καὶ φθόνου, ὥστε καὶ γεγράφασι τῷ Περσῶν βασιλεύοντι τὸ τηνικάδε τὰ ἐν τῷ Ἔσδρᾳ κείμενα. Ἔχει δὲ οὕτως· « Βασιλεῖ Ἀρταξέρξῃ κυρίῳ. οἱ παῖδές σου· Ῥάθυμος ὁ τὰ πραττόμενα γρά-

CAP. IX.

VERS. 1, 2. *Assumptio verbi Domini in terra Adrach, et Damasci requies ejus, quia Dominus respicit homines, et omnes tribus Israel. Et Emath in finibus ejus.*

LII. Locus salebrosus, et verborum ista series difficilis ad intelligendum. Verumtamen, quantum in nobis est, eam enodabimus. Porro explicandum prius de quibus ista dicta merito existimemus. Sic enim, et vix tamen vaticinii sensus liquebit. Quando igitur captivitatis vinculis emissus liberatus est olim Israel, et ita in Judæam revenit, et Jerusalem instaurare occepit, tunc, tunc vicinæ gentes, Samaritæ, et Palæstini, et Phœnices, invidia ardentes, timentesque simul ne, rebus illorum ad pristinam incolumitatem revocatis, et genere in immensum aucto, cum urbem haberent expugnatu difficilem ac munitissimam, deinde ipsos bello lacesserent, et invictum, ut olim, contra se exercitum adducerent, his de causis muros ædificare aggressos impedire conati sunt, verba amarulenta jactantes, et populationibus in eos grassantes. Eo autem obtrectationis et invidiæ prodierunt, ut regi Persarum per id tempus scriberent, quæ ab Esdra recitantur his verbis propemodum : « Regi Artaxerxi domino, servi ejus, Rathymus actorum scriba, et Semelius scriba, et reliqui de consilio, et judices in Cœlesyria et Phœnice. Nosse te convenit, rex, Judæos Babylonem traductos venisse in provinciam nostram, et urbem

[66] Ephes. IV, 13. [67] Gen. XLIX, 10. [68] Psal. LXXXV, 8.

Digitized by Google

hanc perfidam et improbam de integro condere, et fora ejus parare, et mœnia ac templum excitare. Persuasum sit tibi, si ita pergant, nec tributa pensitaturos, nec parituros, sed in reges calcitraturos, et ad imperandum quam ad obediendum promptiores futuros. **730** Dum ergo illi in constructione templi laborant et enituntur, placuit nobis scribere ad te, rex, et rem tanti momenti non negligere [69]. » Itaque cum captum et servientem Israelem non mediocriter derisissent, liberatoque tandem et vinculis absoluto rursum nihilominus insultarent, et immueris eum molestiis divexarent, multis modis insidiantes, et neque divinum templum instaurare, neque mœnibus urbem cingere sinentes, necesse fuit Deum ipsis irasci, et eos in manus Israelis tradere. Finitis enim operibus, et templo condito, omnibus eorum urbibus devastatis, captivos earum incolas fecerunt, atque opes immensas collegerunt. Ait igitur : « Assumptio verbum Domini in terra Adrach, et Damasci, » hoc est, qui in manibus nobis est sermo a Deo, contra terram Adrach, et Damasci fiet, quin et Emath, quæ est in finibus ejus, Damasci videlicet. Terra autem Adrach regio utique est Orientis, cui finitima est Emath « quæ est Epiphania, paulo supra Antiochiam, et Damascus, quæ est Phœnicum et Palæstinæ metropolis. Subjicientur autem et metropoles, et quæ ipsis subjectæ sunt urbes. Quare igitur assumptio contra illas? Quia et in ipsis fuit requies ejus, hoc est, omnium dominantis Dei. Requievit porro, quia punitas vidit. Non enim tacuisset qui intuetur omnia, veniaque et visitatione dignatur electum genus, Israelem scilicet. Intuetur enim homines universorum Deus, et uniuscujusque viam considerat, et injuriam facientes ulciscitur, pœnas iratus infligit, injuriam autem passos salvat [70]. Tenendum autem memoria, eum etiam supra de quatuor curribus loquentem, et equitum speciem describentem addidisse deinde : « Ecce qui egrediuntur super terram aquilonis requiescere fecerunt iram meam in terra aquilonis. » Requiescit autem quodammodo inimica malis ira Domini, cum, qui eum plurima et effrenate peccando offenderunt, pœnas luerint.

A φων, καὶ Σεμέλιος ὁ γραμματεὺς, καὶ οἱ ἐπίλοιποι τῆς βουλῆς αὐτῶν, καὶ κριταὶ οἱ ἐν τῇ Κοίλῃ Συρίᾳ καὶ Φοινίκῃ. Γινώσκειν σε δεῖ, βασιλεῦ, ὅτι Ἰουδαῖοι οἱ εἰς Βαβυλῶνα ἀναχθέντες, ἐληλύθασιν εἰς τὴν ἡμετέραν, καὶ τὴν τε πόλιν τὴν ἀποστάτιν καὶ πονηρὰν οἰκοδομοῦσι, καὶ τὰς ἀγορὰς ἐπισκευάζουσι ταύτης, καὶ τὰ τείχη, καὶ τὸν ναὸν ἀνεγείρουσιν. Ἴσθι μέντοι γε, τούτων γενομένων, οὔτε φόρους αὐτοὺς τελεῖν ὑπομενοῦντας, οὔτε δὲ ὑπακούειν ἐθελήσοντας· ἀλλὰ καὶ βασιλεῦσιν ἀντιστήσονται, καὶ ἄρχειν μᾶλλον, ἢ ὑπακούειν ἐθελήσουσιν. Ἐνεργουμένων οὖν τῶν περὶ τὸν ναὸν καὶ σπουδαζομένων, καλῶς ἔχειν ἔδοξεν ἡμῖν γράψαι σοι, βασιλεῦ, καὶ μὴ περιιδεῖν τὸ τοιοῦτον. » Οὐκοῦν ἐπειδήπερ ἐαλωκότι τῷ Ἰσραὴλ καὶ παθόντι τὴν αἰχμαλωσίαν ἐπετώθαζον B οὐ μετρίως, ἀνασεσωσμένων δὲ μόλις, καὶ δεσμῶν ἀνεμένων πάλιν οὐδὲν ἧττον ἐπέθρωσκον, μυρίους τε ὅσους αὐτὸν ἐνίεσαν πόνους, πολυτρόπως ἐπιβουλεύοντες, καὶ οὔτε τὸν θεῖον ἐγείρειν ἐῶντες ναὸν, οὔτε μὴν τειχίζειν τὴν πόλιν, παρωξύνετο Θεὸς ἐπ' αὐτοῖς ἀναγκαίως, καὶ παρέδωκεν αὐτοὺς εἰς χεῖρας Ἰσραήλ. Πεπαυμένων γὰρ τῶν ἔργων, ἐγηγερμένου τε τοῦ ναοῦ, πάσας αὐτῶν τὰς πόλεις καταδηώσαντες εἷλόν τε ὑπὸ χεῖρα τοὺς ἐν αὐταῖς, καὶ χρημάτων γεγόνασιν ἀναριθμήτων δεσπόται. « Λῆμμα τοίνυν λόγος Κυρίου, φησὶν, ἐν γῇ Ἀδραχ καὶ Δαμασκοῦ· » τουτέστιν, Ὁ ἐν χερσὶν ἡμῖν λόγος ὁ παρὰ Θεοῦ, κατά τε τῆς γῆς Ἀδραχ καὶ τῆς Δαμασκοῦ γενήσεται, καὶ μέντοι καὶ Ἡμὰθ, ἥτις ἐστὶν ἐν τοῖς ὁρίοις αὐ- C τῆς, δῆλον δὲ ὅτι τῆς Δαμασκοῦ. Γῇ δὲ Ἀδραχ, χώρα που πάντως ἐστὶ κατὰ τὴν ἐφ' ἡμῶν κειμένη, ἧς γείτων ἡ τε Ἡμὰθ, ἥτις ἐστὶν Ἐπιφάνεια τῆς Ἀντιοχέως προσωτέρα βραχὺ, καὶ ἡ Δαμασκὸς, ἥ ἐστι Φοινίκων τε καὶ Παλαιστίνης μητρόπολις. Ὑποκείσονται δὲ δηλονότι σὺν ταῖς μητροπόλεσι καὶ πόλεις αἱ ὑπ' αὐταῖς. Διατί τοίνυν κατ' αὐτῶν τὸ λῆμμα; Ὅτι δὴ ἐν αὐταῖς γέγονεν ἀνάπαυσις αὐτοῦ, τουτέστι, τῶν πάντων κρατοῦντος Θεοῦ. Ἀναπέπαυται δὲ, ὅτι τεθέαται τετιμωρημένας. Οὐ γὰρ ἂν σεσίγηκεν ὁ πάντα ἐφορῶν, φειδοῦς τε καὶ ἐπισκέψεως ἀξιῶν τὸ ἀπόλεκτον γένος, τουτέστι, τὸν Ἰσραήλ. Ἐφορᾷ γὰρ ἀνθρώπους ὁ τῶν ὅλων Θεὸς, καὶ τὴν ἑκάστου τρίβον κατασκέπτεται, καὶ τοῖς μὲν ἀδικοῦσιν ἐπιφέρει τὰ ἐξ ὀργῆς, ἐκρύεται δὲ τοὺς ἀδικουμένους. Μεμνῆσθαι δὲ ἀναγκαῖον, ὅτι καὶ ἐν τοῖς προλαβοῦσι τὸν περὶ τῶν τεσσάρων ἁρμάτων εἰσκομίσας λόγον καὶ τὰς τῶν ἱππέων ἰδέας, προστέθεικε πάλιν· « Ἰδοὺ οἱ ἐκπορευόμενοι ἐπὶ γῆν βορρᾶ, ἀνέπαυσαν τὸν θυμόν μου ἐν γῇ βορρᾷ. » Ἀναπαύεται δὲ ὥσπερ ὁ μισοπόνηρος τοῦ Δεσπότου θυμὸς, ἐκτετικότων τὰς δίκας τῶν αὐτῷ προσκεκρουκότων διὰ πλείστην ὅσην καὶ ἀχάλινον ἁμαρτίαν.

Vers. 3, 4. *Tyrus et Sidon, quoniam sapientes fuerunt nimis, et ædificavit Tyrus munitiones sibi, thesaurizavit argentum quasi pulverem, et congregavit aurum ut lutum viarum. Propterea possidebit Dominus eam, et percutiet in mari fortitudinem ejus, et ipsa in igne consumetur.*

731 LIII. Consentiunt cum verbis eventa urbium, contra quas assumptionem Domini factam affirmavit. Incipit autem a Tyro et Sidone, quæ præ

D *Τύρος καὶ Σιδὼν, διότι ἐφρόνησαν σφόδρα, καὶ ᾠκοδόμησε Τύρος ὀχυρώματα ἑαυτῇ, ἐθησαύρισεν ἀργύριον ὡς χοῦν, καὶ συνήγαγε χρυσίον ὡς πηλὸν ὁδῶν. Διὰ τοῦτο κληρονομήσει Κύριος αὐτὴν, καὶ καταξει εἰς θάλασσαν δύναμιν αὐτῆς, καὶ αὐτὴ ἐν πυρὶ καταναλωθήσεται.*

ΝΓ'. Ἐπιτρέχει τῷ λόγῳ συμβεβηκότα ταῖς πόλεσι, καθ' ὧν γεγενῆσθαι διισχυρίσατο τὸ λῆμμα Κυρίου. Ἄρχεται δὲ ἀπό τε τῆς Τύρου καὶ τῆς Σι-

[69] 1 Esdr. iv, 9, 16. [70] Prov. v, 21 ; Job xxxi, 4 sqq.

Digitized by Google

δῶνος, αἳ δὴ μάλιστα τῶν ἄλλων διαφερόντως τετίμητο, προέχουσαι μὲν ἰσχύϊ, καὶ πλούτῳ, καὶ ταῖς ἀνδρίαις τῶν κατῳκηκότων, ἔχουσαι δὲ ὥσπερ ὑπὸ χεῖρα τὰς ἄλλας, καὶ τῶν ὁμόρων ὑπερκείμεναι. Οὐκοῦν ἐπειδήπερ, φησὶν, ὑψηλὴν ἀνασπῶσι τὴν ὀφρὺν Σιδών τε καὶ Τύρος, οἴονται δὲ εἶναι δεινοί τε καὶ ἄθραυστοι, καὶ τεθαρσήκασι μὲν ἐπ' ὀχυρώμασι, τουτέστι τειχῶν περιβολαῖς, ἤγουν καὶ ἑτέροις πράγμασι, δι' ὧν ἂν εὖ ἔχοι καὶ σώζοιτο πόλις, πεφρονήκασι δὲ καὶ ἐπὶ πλούτῳ μέγα, ταύτῃ τοι μαθήσονται διὰ πείρας αὐτῆς, ὅτι Κύριος κληρονομήσει αὐτήν. Πεπορθηκότων γὰρ αὐτὴν τῶν ἐξ Ἰσραὴλ, ἤγουν Οὐεσπασιανοῦ καὶ Τίτου, κληρονομηθήσεσθαί φησιν αὐτὴν παρὰ Θεοῦ. Καὶ γὰρ ἦν αὐτὸς ὁ παραδιδοὺς, καὶ ὑπὸ χεῖρα τιθεὶς τῶν ἡρηκότων αὐτήν. Ῥωμαῖοι γὰρ τοῖς ἰδίοις ὑποφέροντες σκήπτροις τὴν σύμπασαν γῆν, τοῖς μὲν εἴκουσιν ἀμαχεὶ πρᾷοί τε ἦσαν καὶ προσηνεῖς· τοῖς γε μὴν ἀντεξάγειν ἐθέλουσιν ἐπεφύοντο καὶ αὐτοὶ δριμεῖς τε καὶ ἄμαχοι. Καταπρησθήσεσθαι δὴ οὖν φησιν αὐτὴν κατεσπασμένων ἐν θαλάσσῃ τῶν ὀχυρωμάτων, καὶ διηρπασμένου τοῦ πλούτου, εἰ καὶ ἦν ὡς χοῦς τὸ χρυσίον, καὶ ὡς πηλὸς ὁδῶν τὸ ἀργύριον αὐτῆς. Ἔμποροι γὰρ γεγόνασι δεινοὶ, καὶ φιλοκερδέστατοι λίαν, οἱ τῆς Τύρου οἰκήτορες, καὶ περί γε τούτου πλατὺς καὶ μακρὸς πεποίηται λόγος ἐν τοῖς Ἰεζεχιὴλ τοῦ προφήτου συγγράμμασιν. Οὐδὲν οὖν ἄρα τοὺς Θεῷ προσκρούοντας ὀνήσει ποτὲ τοὺς ἐπιτωθάζοντας ἁγίοις, εἰ δή πού τι συμβαίη παθεῖν αὐτούς, πλατὺ δὲ γελῶντας εἰ δοκιμάζοι Θεὸς τῶν ἰδίων τὴν πίστιν. Ἀπονήσει γὰρ αὐτῶν πᾶν ὀχύρωμα, τουτέστι, πᾶσα περιβολὴ, καὶ πᾶς ἀσφαλείας μᾶλλον οὗτος τοῖς εἰωθόσι καταδῃοῦν τῆς εἰς τοῦτο προθυμίας ὁλκός.

A cæteris erant honoratissimæ, præstantes viribus, et divitiis, et incolarum fortitudine, et alias quasi in potestate habentes, et confinibus superiores. Quoniam igitur, inquit, supercilium tollunt Tyrus et Sidon, arbitranturque se potentes et inconcussas, et spem reponunt in munitionibus, hoc est in muris quibus ambiuntur, sive in rebus aliis quibus floreat et salva sit civitas, de divitiarum etiam copia sibi plaudunt, idcirco ipsa experientia discent quod Dominus possidebit eam. Expugnatam enim ab Israelitis, aut Vespasiano et Tito, possessum iri a Domino inquit. Ipse enim erat qui tradidit et in manus occupantium dedit. Romani namque totum orbem in ditionem suam redigentes, ultro se dedentibus clementes et benignos, resistentibus acres, et invictos sese præbebant. Ipsam igitur conflagraturam B dicit, detractis in mare munitionibus, et distractis divitiis ejus, quamvis aurum ejus sit ut pulvis, et ut lutum platearum argentum ejus. Erant siquidem mercatores periti, et lucri appetentissimi Tyri incolæ, de quo copiose admodum Ezechiel propheta. Nihil igitur unquam proficient Deum offendentes et sanctos criminantes, et effuse irridentes, si quid Deo suorum fidem probanti illos perpeti contigerit. Inutile enim evadet omne eorum munimentum, hoc est, omne quo circumdantur ac sepiuntur, et præsidium quodvis, et divitiæ nihil commodi afferent, quin potius populatoribus addent animos.

Ἴδοι δ' ἄν τις καὶ νῦν τοὺς Ἕλλήνων παῖδας μέγα μὲν φρονοῦντας ἐπὶ σοφίᾳ κοσμικῇ, καὶ ὥσπερ ἐπὶ ὀχυρώμασι, ταῖς ἐκ πολυπλόκων συλλογισμῶν ἀπάταις, μόνον δὲ οὐχὶ τὴν ἰδίαν πλάνησιν, τῇ τῆς εὐγλωττίας δυνάμει διατειχίζοντας, καὶ καταπλουτοῦντας λίαν, τὸ ὡς ἐν λέξει λαμπρὸν ὡς ἄργυρον, καὶ ὡς ἐν τάξει χρυσοῦ τὸ ἐν νοήμασι τίμιον. Πλὴν καὶ οὕτως ἔχοντας κεκληρονόμηκεν ὁ Χριστός. Καθῄρηται μὲν γὰρ τὰ ὀχυρώματα, τουτέστι, πεπτώκασι τὰ ἐξ ἀπάτης εὑρέματα, διήρπασται δὲ καὶ τὸ χρυσίον, καὶ τὸ ἀργύριον. Οἱ γάρ τοι κατὰ καιροὺς τῶν Ἐκκλησιῶν προεστηκότες, ἄνδρες ἐλλόγιμοι, καὶ σοφοὶ, τῆς ἐκείνων εὐγλωττίας τὴν δύναμιν εἰς ἑαυτοὺς ἁρπάσαντες, ἱερὸν ἀνάθημα πεποίηνται τῷ Θεῷ τοὺς τῆς πίστεως ἐπαγωνιζόμενοι λόγους, καὶ τῆς παρ' ἐκείνοις ἀπάτης πλείστην τε ὄσην, καὶ ἀληθῆ ποιούμενοι τὴν κατάῤῥῆσιν. Πεπράχασι τοιοῦτον καὶ οἱ ἐξ Ἰσραήλ. Χρησάμενοι γὰρ παρὰ τῶν Αἰγυπτίων σκεύῃ χρυσᾷ καὶ ἀργυρᾷ, καὶ σκυλεύσαντες τοὺς πλεονεκτήσαντας, προσήγαγον ταῦτα κατὰ τὴν ἔρημον τῷ παναγίῳ Θεῷ κατασκευαζομένης τῆς ἁγίας σκηνῆς, καὶ τῶν ἐν αὐτοῖς σκευῶν ἱερῶν. Οὐκοῦν οἱ διὰ σοφίας κοσμικῆς καὶ λόγου φαιδρότητος οἰκοδομοῦντες τὴν Ἐκκλησίαν, διαρπάζουσί τε τοὺς Ἕλλήνων παῖδας, καὶ οἰονεὶ τὸ χρυσίον αὐτῶν, καὶ τὸ ἀργύριον ἐκ πολλῆς ἄγαν ἐπιεικείας καταπλουτήσαντες, κλῆρον αὐτὸν ποιοῦνται

C Atque adeo nunc quoque videas Græcos ob mundanam sapientiam efferri, et velut in propugnaculis in multifariis syllogismorum fallaciis, et propemodum errorem suum facundiæ vi tanquam muro sepientes, ac mirum in modum locupletes dictione splendida ut argento, et sensis animi præclaris ut auro. Verumtamen etiam sic comparatos possedit Christus. Destructæ sunt enim munitiones, hoc est ceciderunt inventa fallaciæ, direptum est aurum et argentum. Qui enim suis quique temporibus **732** Ecclesiis præfuerunt, viri eloquentes et sapientes, eorum eloquentiæ facultatem ad se derivatam, sacrum Deo anathema fecerunt, pro fidei doctrina decertantes, et imposturam ipsorum uberrime verissimeque refutantes. Hoc etiam fecerunt Israelitæ[71]. D Mutuati enim ab Ægyptiis vasa aurea et argentea, et spoliatis iniquis dominis, ea in solitudine Deo sanctissimo obtulerunt, fabricato inde tabernaculo, et vasis sacris ad usum ejus. Ergo qui per sapientiam mundanam, et sermonis splendorem Ecclesiam ædificantes Græcos diripiunt, et quasi auro eorum et argento æquissime ditescunt, faciunt ea possessionem Domino, ad gloriam ejus spectantia aliis loquentes, et illorum quidem munitionem evertentes, et quæ intelligitur sanctam civitatem, nempe Ecclesiam ædificantes.

[71] Exod. III, 21, 22.

Digitized by Google

Θεοῦ, τὰ εἰς δόξαν αὐτοῦ λαλοῦντες ἑτέροις, καὶ τὰ μὲν ἐκείνων ὀχυρώματα καταστρέφοντες, οἰκοδομοῦντες δὲ νοητῶς τὴν ἁγίαν πόλιν, τουτέστι τὴν Ἐκκλησίαν.

VERS. 5, 6. *Videbit Ascalon, et timebit: et Gaza, et dolebit nimis; et Accaron, quia confusa est a spe sua. Et peribit rex de Gaza, et Ascalon non habitabitur. Et alienigenæ habitabunt in Azoto, et destruam superbiam alienigenarum.*

LIV. Bello, et prœliis regionem invadentibus, fidentiores et bona spe erectiores sunt aliquando urbes ejus. Credunt enim de hostibus aut multitudine incolentium, aut firmitate mœnium, et scientia militari victoriam relaturos. Quod si quæpiam de ipsis capiatur, quæ potentissima dici poterat, tunc sane, tunc quælibet timori succumbit, et spem abjicit, effugiendi, inquam, et ut prostrata jam lamentatur. Capta igitur adeo conspicua, et validissima, et divitiis referta : « Timebit, inquit, Ascalon, et Gaza dolebit, B atque etiam Accaron. » Urbes sunt Palæstinorum. Dolebit autem, « quia confusa est a spe sua. » Putabant enim Tyriorum vires sibi quoque ad auxilium satis fore. Sed postquam eversas viderunt, de spe deciderunt. Et Gazæ quidem princeps evanescet inquit, utpote disperditus. Habitabunt autem alienigenæ in Azoto, bello consumptis, ut consentaneum est indigenis. Addit his, « Destruam alienigenas, » sive Palæstinos, quos, ut consuevit, alienigenas appellat. Possint, si cui placebit, et ad alias gentes quæ vexarunt Israelem, hæc verba transferri, **733** confines, et Judæorum vicinas. Cæterum hæc a nobis iterum ut litteræ accommodata dicta sunto.

Ὄψεται Ἀσκάλων, καὶ φοβηθήσεται· καὶ Γάζα, καὶ ὀδυνηθήσεται σφόδρα· καὶ Ἀκκαρών, ὅτι ἠσχύνθη ἀπὸ τῆς ἐλπίδος αὐτῆς. Καὶ ἀπολεῖται βασιλεὺς ἐκ Γάζης, καὶ Ἀσκάλων οὐ μὴ κατοικηθῇ. Καὶ κατοικήσουσιν ἀλλογενεῖς ἐν Ἀζώτῳ, καὶ καθελῶ ὕβριν ἀλλοφύλων.

ΝΔ'. Ὅτε πολέμου καὶ μάχης ἐμβολὴ κατανέμεται χώραν, εὐθαρσέστεραί πώς εἰσι, καὶ ἐν ἐλπίσιν ἔσθ' ὅτε χρησταῖς, αἱ κατ' αὐτὴν πόλεις. Οἴονται γάρ, ὅτι περιέσονται τῶν ἐχθρῶν ἢ τῷ πλήθει τῶν ἐνοικούντων αὐταῖς, ἢ τειχῶν ὀχυρότητι, καὶ ταῖς τῶν τακτικῶν ἐπιστήμαις. Εἰ δὲ δή γένοιτο τῶν παρὰ σφισιν ἁλῶναί μίαν, ἥπερ ἂν λέγοιτο δυνατωτάτη, τότε δή, τότε πᾶσα μὲν ὀκλάζει πρὸς δέος, ἀποσείεται δὲ τὴν ἐλπίδα, τὴν τοῦ φυγεῖν δύνασθαι φημὶ, καὶ ὡς πεσοῦσα θρηνεῖ. Ἀλούσης δὴ οὖν τῆς οὕτω διαφανοῦς, καὶ ἀλκιμωτάτης, καὶ πλούτῳ κομώσης, « Φοβηθήσεται μὲν, φησὶν, ἡ Ἀσκάλων, καὶ ὠδυνηθήσεται Γάζα, καὶ μὴν καὶ Ἀκκαρών. » Πόλεις δὲ αὗται τῶν Παλαιστινῶν. Ὀδυνηθήσεται δὲ, « ὅτι ἠσχύνθη ἀπὸ τῆς ἐλπίδος αὐτῆς. » Ἔφοντο μὲν γὰρ, ὅτι καὶ αὐταῖς ἰσχύσει πρὸς ἐπικουρίαν ἡ Τυρίων ἰσχύς. Ἐπειδὴ δὲ κειμένην τεθέανται, ταύτῃ τοι λοιπὸν ἀπωλισθήκασι τῆς ἐλπίδος. Καὶ ὁ μὲν Γάζης ἡγούμενος οἰχήσεται, φησὶν, ἀπολωλὼς δηλονότι. Κατοικήσουσι δὲ ἀλλογενεῖς ἐν Ἀζώτῳ, δεδαπανημένων, κατὰ τὸ εἰκὸς, τῷ πολέμῳ τῶν αὐθιγενῶν. Ἐπιλέγει δὲ τούτοις, ὅτι « Καθελῶ τοὺς ἀλλοφύλους, » ἤτοι τοὺς Παλαιστινοὺς, οὓς ὀνομάζει συνήθως. Ἦκοι δ' ἂν, εἴ γέ τῳ δοκεῖ, καὶ καθ' ἑτέρων ἐθνῶν ὁ λόγος τῶν ἠδικηκότων τὸν Ἰσραὴλ, οἵ καὶ ἦσαν ὅμοροι, καὶ τῆς Ἰουδαίων γείτονες. Ἀλλὰ ταυτὶ μὲν ἡμῖν, ὡς πρός γε τὸν ἐν γράμμασι λόγον, εἰρήσεται πάλιν.

Sciendum autem, ut dixi, nonnunquam Ecclesia C persecutionem patiente, invadi eam horribiliter, et irrideri ab hostibus, clamantibus forte, Euge, euge, ut scriptum est [72]. Verumtamen succurrens Christus, omnem eorum potentiam confringet, templum suum excitans, et insidiatoribus iratissimus supplicia imponens, et ceu quasdam urbes, hæresum synagogas, et insuper idololatrarum greges impios humo affligens.

Εἰδέναι δὲ ἀναγκαῖον, ὅτι διωκομένης, ὡς ἔφην, ἔσθ' ὅτε τῆς Ἐκκλησίας, συνεπιφύονταί τε δεινῶς, καὶ ἐπιμειδιῶσιν οἱ ἐχθροὶ, τάχα που λέγοντες τὸ, Εὖγε, εὖγε, κατὰ τὸ γεγραμμένον. Πλὴν ἐπαμύνει Χριστὸς, καὶ ἅπασαν μὲν αὐτῶν συνθραύσει δύναμιν, τὸν ἴδιον ἐγείρων ναὸν, ἐπιφέρων δὲ τοῖς ἐπιβουλεύουσι τὰ ἐξ ἀκράτου θυμοῦ, καὶ ὥσπερ τινὰς πόλεις τὰς τῶν αἱρέσεων κατασείων συναγωγὰς, καὶ πρὸς ταύταις ἔτι τὰ εἰδωλολατρῶν ἀνόσια στίφη.

VERS. 7. *Et auferam sanguinem eorum de ore illorum, et abominationes eorum de medio dentium eorum. Et relinquentur et isti Deo nostro, et erunt ut tribunus in Juda, et Accaron sicut Jebusæus.*

LV. Etiam isti Israelem devorarunt, et instar ferarum ora quasi sanguine polluta habuerunt. Quia D vero idololatræ, et superstitionibus dediti erant, propemodum semper in lingua, sive in dentibus suarum abominationum imprecationes ferebant, ubique sursum et deorsum quod dicitur, manufacta deos vocitantes, et lapidibus sensu vacantibus dicentes : « Deus meus es tu, et tu genuisti me [73]. » Cæterum cum ita immaniter adversus Israelem se

Καὶ ἐξαρῶ τὸ αἷμα αὐτῶν ἐκ στόματος αὐτῶν, καὶ τὰ βδελύγματα αὐτῶν ἐκ μέσου ὀδόντων αὐτῶν. Καὶ ὑπολειφθήσονται καὶ οὗτοι τῷ Θεῷ ἡμῶν, καὶ ἔσονται ὡς χιλίαρχος ἐν Ἰούδᾳ, καὶ Ἀκκαρὼν ὡς Ἰεβουσαῖος.

ΝΕ'. Κατεδηδόκασι μὲν καὶ οὗτοι τὸν Ἰσραὴλ, καὶ οἷά τινες θῆρες μονονουχὶ καὶ αἵματι πεφυρμένον εἶχον τὸ στόμα. Ἐπειδὴ δὲ ἦσαν εἰδωλολάτραι, καὶ ταῖς τῶν ματαίων θεραπείαις προσκείμενοι, ἀεί πως ἐπὶ γλώττης, ἦγουν ἐπ' ὀδόντων εἶχον τῶν ἰδίων βδελυγμάτων τὰς κλήσεις, ἄνω τε καὶ κάτω θεοὺς ὀνομάζοντες τὰ χειρόκμητα, καὶ λίθοις ἀψύχοις κατὰ τὸν προφήτην λέγοντες· « Θεός μου εἶ σὺ, καὶ σὺ ἐγέννησάς με. » Ἀλλ' ἐκτετίχασι μὲν τὴν αὐτοῖς

[72] Psal. xxxix, 16. [73] Jerem. II, 27.

Digitized by Google

προσήκουσάν τε καὶ ἀποχρῶσαν δίκην, πεπλημμεληκότες ἀγρίως εἰς τὸν Ἰσραήλ. Πλὴν οὐκ εἰς ἅπαν διολώλασι, προαθροῦντος Θεοῦ τὴν ἐσομένην αὐτῶν ἐκ στόματος αὐτῶν, (1) τουτέστιν, εἰ καὶ οἷά τινες θῆρες μονονουχὶ κατερρόφησαν τὸν Ἰσραήλ, ἀλλ' ἥξει καιρὸς, καθ' ὃν ἔσονται καθαροὶ, καὶ τῆς ἐπὶ τούτοις αἰτίας ἀπηλλαγμένοι. Δικαιωθήσονται γὰρ ἐν πίστει καὶ αὐτοὶ, καὶ τὸν ἐκ τῆς ἀρχαίας φαυλότητος ἀπολούσονται μολυσμόν. Ἐξαρῶ δὲ καὶ τὰ ὀνόματα « τῶν βδελυγμάτων αὐτῶν ἐκ μέσου ὀδόντων αὐτῶν· » διαμεμνήσονται γὰρ οὐκέτι τῶν ψευδωνύμων θεῶν, οὔτε μὴν ὀνομάσουσιν αὐτούς. « Ὑπολειφθήσονται δὲ καὶ αὐτοὶ τῷ Θεῷ ἡμῶν, » καθάπερ ἀμέλει καὶ αὐτὸς ὁ Ἰσραήλ· σέσωσται μὲν γὰρ καὶ αὐτοῦ τὸ κατάλειμμα, καίτοι δεδυσσεβηκότος εἰς αὐτὸν τὸν Ἐμμανουήλ. Ἐπειδὴ δὲ κεκλημένη τῶν ἐθνῶν ἡ πληθὺς τοῖς ἐξ αἵματος Ἰσραὴλ πιστεύσασι συνήφθη πνευματικῶς, Χριστοῦ σύνδοῦντος εἰς ἕνωσιν, « Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, κτίσας τε τοὺς δύο λαοὺς εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάσσων τοὺς ἀμφοτέρους ἐν ἑνὶ Πνεύματι πρὸς τὸν Πατέρα, » ταύτῃ τοι φησὶν ὅτι ἔσονται ὡς χιλίαρχος ἐν Ἰούδα, τουτέστιν εἰς τοῦτο προβήσονται γνησιότητος, τῆς ὡς ἐν πίστει τε καὶ ἐπιεικείᾳ, φημὶ, ὥστε καὶ ἐξ αὐτῶν ἀρχηγοὺς γενέσθαι τοῦ Ἰούδα. Ἔσται δὲ καὶ ὁ Ἀκκαρὼν, τουτέστιν, ὁ ἀλλογενὴς, ὁ ἐκ γῆς Φυλιστιείμ, ὡς ὁ Ἰεβουσαῖος, τουτέστιν ὡς αὐτὸς ὁ κάτοικος τῶν Ἱεροσολύμων λαός. Ἐκαλεῖτο γὰρ ἡ Ἱερουσαλὴμ Ἰεβοῦς ἐν ἀρχαῖς· οὐκοῦν Ἰεβουσαῖος ὁ Ἱεροσολυμίτης ἐνθάδε νοεῖται. Πολλοὶ δὲ χιλίαρχοι, τουτέστιν ἡγεμόνες, καὶ προεστηκότες λαῶν καὶ ἐξ ἐθνῶν γεγόνασι, καὶ σύνεισιν ἀνὰ πᾶσαν τὴν οἰκουμένην. Τὸ δὲ ἐν Ἰούδα νοήσεις ἐπὶ τοὺς αἰνεῖν εἰωθότας, τουτέστιν ἡμᾶς τοὺς ἐν πίστει κεκλημένους, οἳ στεφανοῦν εἰθίσμεθα ταῖς ἀκαταλήκτοις δοξολογίαις τὸν κεκληκότα Χριστόν.

A gessissent, quas debuerunt, et quantum satis fuit pœnarum eidem dederunt. Verumtamen non ad unum perierunt, cessationem lanienæ ab ore Ipsorum Deo prævidente : hoc est, tametsi ut belluæ Israelem propemodum deglutiverunt, veniet tamen tempus, quo puri et in his ab omni culpa liberi erunt. Justificabuntur enim in fide ipsi quoque, et iniquitatum priscarum sortes eluent. Auferet autem et nomina « abominationum ipsorum, et de medio dentium ipsorum : » nec enim amplius falsorum deorum mentionem inferent, nec nominabunt eos. « Relinquentur porro et isti Deo nostro, » sicut nimirum et ipse Israel : nam et ejus reliquiæ salvatæ sunt, quantumvis erga ipsum Emmanuelem scelerati exstiterint. Qua vero vocata ex gentibus B multitudo de sanguine Israel prognatis, et credentibus spiritualiter copulata est, Christo eos in unitatem copulante, « Ipse enim est pax nostra, qui fecit utraque unum, et qui medium parietem dissolvit, et duos populos in unum novum hominem condidit, faciens pacem, et reconcilians ambos **734** in uno Spiritu ad Patrem [75], » idcirco inquit, futuros ut tribunum in Juda, hoc est ad tantam fidei bonitatisque sinceritatem processuros, ut ex ipsis etiam principes Juda evadant. Erit item et Accaron, hoc est alienigena, et Philistæus ut Jebusæus, hoc est ut ipse incola Hierosolymorum populus. Olim siquidem Jerusalem Jebus dicebatur; quare Jebusæi nomine hoc loco Hierosolymita intelligitur. Multi autem tribuni, hoc est duces et C moderatores populorum etiam ex gentibus fuerunt, et sunt simul per universum orbem. Ast nomine Juda eos qui laudare consueverunt accipies, nempe nos in fide vocatos, qui perennibus hymnis Christum a quo vocati sumus, celebrare solemus.

Καὶ ὑποστήσομαι τῷ οἴκῳ μου ἀνάστημα, τοῦ μὴ διαπορεύεσθαι, μηδὲ ἀνακάμπτειν, καὶ οὐ μὴ ἐπέλθῃ ἐπ' αὐτοὺς οὐκέτι ἐξελαύνων, διότι νῦν ἑωράκασιν ἐν τοῖς ὀφθαλμοῖς μου.

Vers. 8. *Et substituam domui meæ erectionem, ne pertranseat, nec revertatur, et non superveniat super eos ultra abigens, quia viderunt in oculis meis.*

Νῦν. Ἰδοὺ δὴ σαφῶς ἀνάστημά τε καὶ τεῖχος ὀνομάζει Χριστὸν, δι' οὗ καὶ ἐμπεπυργώμεθα, κατ' εὐδοκίαν δὲ δηλονότι, καὶ θέλησιν τοῦ Θεοῦ καὶ Πατρός. Οἶκος γὰρ νοητὸς, καὶ οἰκοδομὴ Θεοῦ, κατὰ τὴν τοῦ Παύλου φωνὴν, ἡμεῖς που πάντως ἐσμὲν, οἱ πεπιστευκότες, εἴπερ ἐστὶν ἀληθὲς, ὡς ἐν ταῖς καρδίαις ἡμῶν διὰ τοῦ πνεύματος κατοικεῖ, καὶ τοῖς ἀγαπῶσιν αὐτὸν ἐναυλίζεται. Ἔφη γὰρ αὐτὸς διὰ προφήτου φωνῆς· « Ὅτι κατοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν Θεὸς, καὶ αὐτοὶ ἔσονταί μοι λαός. » Ἀνάστημα δὴ οὖν τὸ ἐγηγερμένον διὰ βουλῆς τοῦ Πατρὸς τῇ Ἐκκλησίᾳ Χριστὸς, ἵνα μηκέτι, καθὰ καὶ πάλιν, διοδεύσωσί τινες, καὶ ἀνακάμ-

LVI. En Christum perspicue erectionem et murum nominat, per quem et in altum exsurgimus, D juxta beneplacitum et voluntatem Dei et Patris. Domus enim sub intelligentiam cadens, et ædificatio Dei, secundum Pauli vocem [76], nos sumus plane qui credidimus : siquidem verum est, eum in cordibus nostris per spiritum habitare [77], et in his qui diligunt ipsum commorari [78]. Ait enim ipse per prophetam : « Quoniam inhabitabo in illis, et inambulabo inter illos, et ero illorum Deus, et ipsi erunt mihi populus [79] » Erectio igitur voluntate Patris Ecclesiæ excitata Christus est, ne ultra, sicut quondam, pertranseant quidam, et revertantur, in-

[75] Ephes. II, 14-16. [76] I Cor. III, 9. [77] Ephes. III, 17. [78] Joan. XIV, 23. [79] Levit. XXVI, 11, 12.

(1) Desideratur vocabulum accusandi casu, quod expressimus Latine. *Interpres.*

Digitized by Google

ter nos sursum et deorsum circumeuntes, et velut desertam viam calcantes, et corda nostra omnibus noxiis implentes. Ait enim alicubi de Israelitis, quæ erat vetus vinea possessori suo : « Auferam maceriam ejus, et erit in direptionem; et destruam murum ejus, et erit in conculcationem [79]. » At nobis qui eum in carne apparuisse cognovimus, murus, et sepes ipse Emmanuel excitatus est, virtute ineffabili circumdans nos, et ab animis nostris abigens immundos dæmonas, nec pedibus illorum nos substerni sustinens. Quare et propheta ad illum : « Et vocaberis ædificator maceriarum, et semitas quæ in medio sunt quiescere facies [80]. » Quemadmodum enim qui vineas incultas sepibus munire solent, vias per medium tollunt, **735** nec commeantium pedibus illas teri patiuntur : ita et Dominus noster Jesus Christus seipsum nobis ceu murum solidissimum circumdans, et angelicis copiis nos circumvallans, efficit, ut calcari jam non possimus. Dixit insuper, non superventurum ipsis ultra abigentem. Olim enim captivi tenebamur, et ad quidvis nefarium facillime ducebamur, euntes prompte, agente ferenteque nos Satana, et ex his in illa tantum non impellente. Verum et istud sustulit Christus. Non enim veniet contra nos deprædator : non irruet, sicut prius, ut ipsi libet. Fixi enim sumus in Christo, tutumque et firmatum habemus cor, non amplius ad ea quæ non conveniebant dejecti, non cultum multorum deorum ingredientes, non ad errorem abacti : sed quasi in fidem et charitatem erga Deum ingressi, ut ideo lætabundi dicamus : « Et statuit supra petram pedes meos [81]. » Cum porro dicit, « Quia nunc vidi oculis meis, » clare ostendit tempus adventus Salvatoris tempus visitationis esse. « Visitavit enim nos Oriens ex alto [82]; » et, ut inquit David, « Dominus e cœlo super terram prospexit [83], » quanquam olim propter peccatum quo obstringebamur, non curatione, non venia, non dilectione, non alio quopiam simili nos dignaretur, sed aversaretur. Quare etiam conturbati sumus, quod et beatus David testatur : « Avertente te faciem tuam turbabuntur, et in pulverem suum revertentur [84]. » Quoniam autem nunc, hoc est tempore adventus vidimus oculis ejus, salutem, et misericordiam, et quid non tandem omni sermone majus et admirabile consecuti sumus ? τουτέστι κατὰ τὸν τῆς ἐπιδημίας καιρὸν ἑωράκαμεν ἐν καὶ τί γὰρ οὐχὶ τῶν ἐπέκεινα λόγου, καὶ ἀξιαγάστων

πτωσιν, ἐν ἡμῖν ἄνω τε καὶ κάτω περιιόντες, καὶ οἷά τινα κεχερσωμένην πατοῦντες ὁδὸν, καὶ βλάβης ἁπάσης ἀναπιμπλάντες ἡμετέρας καρδίας. Ἔφη μὲν γάρ που περὶ τῶν ἐξ Ἰσραὴλ, ὃς ἦν ἀρχαῖος ἀμπελὼν τῷ κτησαμένῳ (1), ὅτι « Ἀφελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγὴν, καὶ καθελῶ τὸν τεῖχον αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα. » Ἡμῖν δὲ τοῖς ἐπεγνωκόσι τὴν ἐπιφάνειαν αὐτοῦ, τεῖχος ἐγήγερται, καὶ φραγμὸς αὐτὸς ὁ Ἐμμανουὴλ, ἀῤῥήκτῳ δυνάμει περιβάλλων, καὶ ἀποσοβῶν τῶν ἡμετέρων διανοιῶν τοὺς ἀκαθάρτους δαίμονας, καὶ τοῖς ἐκείνων οὐκ ἀφιεὶς ὑπεστρῶσθαι ποσί. Τοιγάρτοι καὶ ὁ προφήτης πρὸς αὐτὸν, « Καὶ κληθήσῃ, φησὶν, οἰκοδόμος φραγμῶν καὶ τὰς τρίβους τὰς ἀνὰ μέσον παύσεις. » Ὥσπερ γὰρ οἱ περιφράττειν εἰωθότες ἀμπελῶνας κεχερσωμένους, τὰς διὰ μέσου παύουσι τρίβους, οὐκ ἐῶντες ὑπὸ τοῖς τῶν ἄνω τε καὶ κάτω παριόντων πατεῖσθαι ποσίν· οὕτω καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἑαυτὸν ἡμῖν τεῖχος οἷάπερ ἄῤῥηκτον περιθεὶς, καὶ ἀγγελικαῖς δυνάμεσι περιφράττων ἔξω τοῦ πατεῖσθαι γενέσθαι παρεσκεύασεν. Ἔφη δὲ πρὸς τούτοις, ὅτι οὐκέτι οὐ μὴ ἔλθῃ ἐπ' αὐτοὺς ἐξελαύνων. Πάλαι μὲν γὰρ ἦμεν αἰχμάλωτοι, καὶ εὐπαρακόμιστοι κομιδῇ πρὸς πᾶν ὁτιοῦν τῶν ἐκτόπων ὄντες εὐκόλως, ἄγοντός τε ἡμᾶς καὶ φέροντος τοῦ Σατανᾶ, καὶ ἐκ τούτων εἰς ἐκεῖνα μονονουχὶ καὶ ἐλαύνοντος. Ἀλλ' ἔπαυσε καὶ τοῦτο Χριστός. Οὐ γὰρ ἥξει καθ' ἡμῶν ὁ λεηλατῶν· οὐκ ἐμβάλῃ καθὰ καὶ πρώην εἰς γε τῷ αὐτῷ δοκοῦν. Πεπήγμεθα γὰρ ἐν Χριστῷ, ἀσφαλῆ τε καὶ ἱδρυμένην ἐσχήκαμεν τὴν καρδίαν, οὐκέτι κατασειόμενοι πρὸς ἃ μὴ προσῆκεν· οὐκ ἐμβαίνοντες εἰς πολυθεΐαν, οὐκ ἐξελαυνόμενοι πρὸς πλάνησιν· ἀλλ' οἷον ἐμβεβηκότες ἐν πίστει τε καὶ ἀγάπῃ τῇ εἰς Θεὸν, ὡς χαίροντας ἐπὶ τούτῳ λέγειν· « Καὶ ἔστησεν διὰ πέτραν τοὺς πόδας μου. » Λέγων δὲ, « Ὅτι νῦν ἑώρακα ἐν τοῖς ὀφθαλμοῖς μου, » ἐπισκοπῆς ὄντα καιρὸν κατέδειξεν ἐναργῶς τὸν τῆς τοῦ Σωτῆρος ἐπιδημίας. « Ἐπεσκέψατο γὰρ ἡμᾶς ἀνατολὴ ἐξ ὕψους, » καὶ ᾗ φησιν ὁ Δαβὶδ, « Κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψεν, » καίτοι πάλαι διὰ τὴν ἐν ἡμῖν ἁμαρτίαν οὐ θεραπείας ἀξιῶν οὐ φειδοῦς ἢ ἀγάπης, οὐχ ἑτέρου τινὸς τῶν τοιούτων ὅλως· ἀλλ' οἱονεί πως ἀπεστραμμένος. Ταύτῃ τοι καὶ τετεράγμεθα, καὶ μαρτυρεῖ λέγων ὁ μακάριος Δαβὶδ· « Ἀποστρέψαντός σου τὸ πρόσωπον, ταραχθήσονται, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. » Ἐπειδὴ δὲ νῦν, τοῖς ὀφθαλμοῖς αὐτοῦ, σεσώσμεθά τε καὶ ἠλεήμεθα, καὶ ἀληθῶς κεκερδήκαμεν;

TOMUS QUARTUS.

VERS. 9. *Gaude vehementer, filia Sion, prædica, filia Jerusalem. Ecce rex tuus venit tibi justus, et salvans, ipse mansuetus, et ascendens super subjugalem, et pullum novum.*

ΤΟΜΟΣ ΤΕΤΑΡΤΟΣ.

Χαῖρε σφόδρα, θύγατερ Σιὼν, κήρυσσε, θύγατερ Ἰερουσαλήμ. Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος, καὶ σώζων, αὐτὸς πρᾶος, καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον, καὶ πῶλον νέον.

[79] Isa. v, 5. [80] Isa. LVIII, 12. [81] Psal. XXXIX, 3. [82] Luc. I, 78. [83] Psal. XLII, 3. [84] Psal. CIII, 29.

(1) Ita legendum conjicio, pro ἠγησαμένῳ, nisi malis interpretari *Domino suo*.

Digitized by Google

NZ. Ἀναφανδὸν ἐν τουτοις διακηρύττει λοιπὸν τοῦ Σωτῆρος ἡμῶν τὴν ἀνάδειξιν, ὡς οὐδὲν ὅλως ὁρᾶσθαι τὸ ἀνιᾶν. Χαίρειν μὲν γὰρ προστέταχεν ἀναγκαίως τῇ νοητῇ Σιὼν, ἅτε δὴ καὶ πάσης ἡμῶν κατηφείας ἐξῃρημένης; Ποῦ γὰρ ἔτι τὸ κατηφὲς, καὶ ἐπὶ τίσιν ἂν γένοιτο πρὸς ἡμῶν τὸ κατοιμώζειν ὅλως, ἀπεληλαμένης τῆς ἁμαρτίας, καὶ τοῦ θανάτου πεπατημένου, κεκλημένης τε τῆς ἀνθρώπου φύσεως εἰς ἐλεύθερον ἀξίωμα, καὶ τῇ τῆς υἱοθεσίας κατεστεμμένης χάριτι, καὶ τοῖς ἄνωθεν, καὶ ἐξ οὐρανοῦ χαρίσμασι κατηγλαϊσμένης; Ἐπιτήρει δὲ, ὅτι τὴν τοῦ Σωτῆρος ἡμῶν παρουσίαν εὐαγγελιζόμενος, εὐθὺς θυγατέρα τὴν Σιὼν ἀποκαλεῖ. Σφόδρα δὴ οὖν χρῆναι χαίρειν αὐτὴν εὖ μάλα προστέταχεν, ἀνακηρύττειν τε παρεγγυᾷ τῇ Ἱερουσαλὴμ, ὡς ἤδη παρέσται, καὶ ἀναδειχθήσεται μετὰ σαρκὸς ὁ βασιλεὺς αὐτῆς, δίκαιος, καὶ σώζων. Δεδικαίωκε γὰρ ἡμᾶς ἐν πίστει Χριστὸς, καὶ τὴν τῆς σωτηρίας κατευρύνει τρίβον τοῖς προσιοῦσιν αὐτῷ. Ἔστι δὲ πρὸς τούτοις καὶ πρᾶος, οὐ νομικὴν προσφέρων ἀποτομίαν, οὐδὲ θανάτῳ τιμωρούμενος τοὺς παραβαίνοντας ἐντολὴν, σώζων δὲ μᾶλλον ἐξ ἡμερότητος, καὶ ἀνιστὰς τοὺς ὠλισθηκότας. Ἀνέγνωμεν δὲ ὅτι « Τὸ γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ. » Γράμμα μὲν γὰρ ὁ κολαστὴς ἐστιν νόμος, ἡ σκιὰ, καὶ ὁ τύπος· πνεῦμα δὲ ζωοποιοῦν ἐστιν ὁ Χριστὸς, ἐν πνεύματι γὰρ καὶ ἀληθείᾳ δεδιδάγμεθα προσκυνεῖν διὰ τῆς εὐαγγελικῆς παιδεύσεως. Ὅτι δὲ καὶ ἐπιβέβηκεν ἐπὶ πῶλον νέον, οὕτω τε εἰσέφρησεν ἐν τοῖς Ἱεροσολύμοις, οὐ μακρῷ πρὸς πληροφορίαν δεήσει λόγου. Ἀπόχρη γὰρ εἰς πίστιν ἡμῖν ὁ θεσπέσιος εὐαγγελιστὴς γεγραφὼς τὰ τοιάδε. Ἐπεκάθητο μὲν γὰρ τῷ πώλῳ Χριστὸς, εἵπετό γε μὴν ἡ τεκοῦσα· καὶ σημεῖον ἡμῖν ἀναγκαιοτάτου πράγματος τὸ δρώμενον ἦν. Ἐπανεπαύσατο γὰρ ὁ Χριστὸς τῷ νέῳ λαῷ, τουτέστι τῷ κεκλημένῳ πρὸς ἐπίγνωσιν ἀληθείας τῷ εἰδωλολατροῦντί ποτε. Οἷα γάρ τις ἦν πῶλος, οὕπω δεδαμασμένος, οὔτε μὴν εἰδὼς βαδίζειν ὀρθῶς· οὐ γάρ που τῷ θείῳ πεπαιδαγώγητο νόμῳ. Ἀλλ' ὁ πάντας ἄγων εἰς εὐτεχνίαν πνευματικὴν, προὐπέθηκε μὲν ἑαυτῷ τὸν πῶλον. Ἕψεται δὲ ὅτι κατὰ καιροὺς καὶ ἡ τῶν Ἰουδαίων Συναγωγὴ, διὰ τῆς ἑπομένης ὄνου δέδωκε νοεῖν, καίτοιγε ἐν χρόνῳ τῷ κατὰ τὴν κλῆσιν τὸ πρεσβύτερον ἔχουσα· προεισκέκλητο γὰρ διὰ Μωσέως καὶ προφητῶν. Ἐπειδὴ δὲ προσκέκρουκε τῷ σώζοντι βασιλεῖ (οὐ γάρ τοι προσήκατο τὴν πίστιν), ταύτῃ τοι δικαίως τοῦ πώλου κατόπιν ἔρχεται μόλις, καὶ γέγονεν εἰς οὐρὰν, τουτέστι παρακολούθημα, καὶ ὀπίσω τῶν ἐξ ἐθνῶν, καὶ ἡ πρώτη γέγονεν ἐσχάτη. Ἄθρει δὲ, ὅπως εἰς ἐσχάτην ἀλογίαν ἀποκομισθεῖσαν ἔδειξε τὴν ἀνθρώπου φύσιν, « ὁ νεφροὺς εἰδὼς καὶ καρδίας. » Ὄνῳ γὰρ παρεικάζεται τῇ λίαν ἀλογωτάτῃ καὶ ἡ τῶν Ἰουδαίων Συναγωγὴ, καὶ αὐτὴ δὲ τῶν ἐθνῶν ἡ πληθύς. Οἱ μὲν γὰρ λελατρευκότες τῇ κτίσει παρὰ τὸν κτίσαντα Θεόν· οἱ δὲ τὸν παιδαγωγὸν ἀτιμάζοντες νόμον, ἔξω νοῦ καὶ φρενὸς γεγόνασιν ἀγαθῆς, καὶ

A LVII. Manifeste his verbis Salvatoris nostri præsentiam deinceps promulgat, ut tristitiæ relictus locus omnino nullus videatur. Jubet enim Sionem quæ intelligitur gaudere serio, veluti omni mœrore nostro dissipato. Cur enim adhuc mœreamus, aut quid rerum nostrarum tandem deploremus, peccato depulso, conculcata morte, et humana natura ad libertatem et **736** dignitatem vocata, et gratia adoptionis filiorum [85] condecorata, supernisque ac cœlestibus charismatis illustrata? Observa porro, eum Salvatoris nostri adventum evangelizantem, statim Sion filiam nominare. Quare justissime ipsam majorem in modum gaudere jubet, et annuntiare Jerusalem hortatur, jam adfuturum, et in carne appariturum regem suum, justum et Salva-
B torem. Justificavit enim nos in fide Christus [86], et ad se accedentibus semitam salutis dilatat. Est insuper mansuetus, non legalem afferens severitatem, nec mandatum violantes capite puniens: sed ex mansuetudine potius, et lapsos erigens. Legimus autem, « Littera occidit, spiritus vivificat [87]. » Littera enim est lex punitrix, et umbra et figura: spiritus vivificans est Christus [88]: in spiritu enim et veritate per evangelicam institutionem docti sumus adorare [89]. Ascendisse autem pullum novum, et ita ingressum Hierosolymam, ad firmam probationem verbis multis non est opus. Sufficit enim nobis divinus evangelista, apud quem istud scriptum est [90]. Insedit quippe pullo Christus sequente ejus
C matre: quæ res nobis quiddam maxime singulare indicavit. Quievit enim Christus super novo populo, hoc est ad agnitionem veritatis vocato, qui aliquando idola venerabatur. Instar pulli quippe erat, nondum domitus, necque recta sciens ingredi, utpote divina lege nondum institutus. Sed qui omnes ad spiritualem scientiam deducit, sibi pullum destinavit. Secuturam autem aliquando Synagogam, per asinam sequentem nos docet, quamvis tempore vocationis antecedat: per Mosen enim et prophetas vocata est. Quia vero in regem Salvatorem peccavit (non enim fidem admisit), idcirco pullum sequitur, et facta est in caudam, hoc est sequela, et post gentes, et quæ fuit prima, evasit ultima. Animadverte porro, quomodo ad extremam dementiam deflexisse ostendat humanam naturam, « qui cognoscit renes et
D corda [91]. » Asino enim, animanti a ratione sejunctissimæ et Judæorum Synagoga, et gentium populus comparantur. Hæ namque creaturæ potius quam creatori Deo servierunt [92]: illi legem pædagogum [93] seu institutorem aspernantes, bonam mentem amiserunt, **737** et in omne genus scelerum declinarunt. « Comparati enim sunt jumentis insipientibus, et similes facti sunt illis [94], » ut Psaltes ait. Est alioqui et immunditiæ symbolum asinus: profanum quippe animal et damnatum a lege [95]. Tales omnino sunt errore vagantes, et libenter in peccatis sese volutantes.

[85] Rom. VIII, 5. [86] Galat. II, 16. [87] II Cor. XV, 45. [88] I Cor. XV, 45. [89] Joan. IV, 24. [90] Matth. XXI, 1 seqq. [91] Psal. VII, 10. [92] Rom. I, 25. [93] Galat. III, 24. [94] Psal. XLVIII, 21. [95] Exod. XIII, 13.

Digitized by Google

πρὸς πᾶν εἶδος φαυλότητος ἀπονενευκότες. « Παρασυνεβλήθησαν γὰρ τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοίωνται αὐτοῖς, » κατὰ τὴν τοῦ Ψάλλοντος φωνήν. Ὄνος δὲ καὶ ἑτέρως ἀκαθαρσίας σύμβολον· ἀνίερον γὰρ τὸ ζῶον, καὶ τὴν ἐκ νόμου κατάρρησιν ἔχον. Τοιοῦτοι δὲ πάντως οἱ πλανώμενοι καὶ φιλαμαρτήμονες.

VERS. 10. *Et disperdet quadrigas ex Ephraim, et equum de Jerusalem, et disperdet arcum bellicum, et multitudinem, et pacem ex gentibus, et dominabitur aquarum a mari usque ad mare, et a fluminibus usque ad extitus terræ.*

A *Καὶ ἐξολοθρεύσει ἅρματα ἐξ Ἐφραΐμ, καὶ ἵππον ἐξ Ἰερουσαλήμ, καὶ ἐξολοθρευθήσεται τόξον πολεμικὸν, καὶ πλῆθος, καὶ εἰρήνην ἐξ ἐθνῶν, καὶ κατάρξει ὑδάτων ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν ἕως διεκβολῶν γῆς.*

LVIII. Unigenitum hominem natum, diligentium se pedibus subjectarum « principatus, et potestates, et mundi rectores [96], » hoc est detestabiles dæmoniorum turbas, et subditarum ipsis omnes inimicos quique cernuntur, quique non cernuntur, et contriturum omne bellum, e bonis pacis eos exhilaraturum, sub tegumento verborum propheticus sermo nobis demonstrat. Invaserunt enim aliquando Babylonii Hierosolymitas, atque etiam nonnullæ gentes finitimæ equis, et curribus, et arcubus eos sunt adortæ, ut legimus [97], atque ita subjugatos acerbe vexarunt. Ab eventu igitur Christi præclariorum operum splendorem ostendit, cum ait : Qui salvat, justus, et mansuetissimus rex veniet quidem, nec multo post hæc tempora. Verumtamen non magna cum multitudine satellitum, non stipatores, non mille rerum militarium gnaros secum habens. Adeo autem in moderatione animi exercitatus, ut etiam vix pullum asinarium ascendat [98]. Ast virtute tantus erit tantumque proderit in se confidentibus, ut auferat currus Ephraim, et equum abstrahat ab Jerusalem, dispersat etiam arcum bellicum, et summam pacem in longum per omnes gentes extendat. Ephraim nominat decem tribus in Samaria; Jerusalem incolas ejus, Judam scilicet et Benjamin. Argumentum igitur securitatis et pacis propheticus sermo nobis proponit. Non enim facile incursabitur, inquit, civitas sancta ab iis qui eam affligere conantur, adeoque dilatabit regnum suum Salvator ejus, ut imperet toti Judææ, a mari usque ad flumina. Hi enim sunt exitus terræ, hoc est fines et termini. Psallit quodam loco et divinus David **738** de Synagoga Judæorum ut de vite loquens : « Extendit palmites suos usque ad mare, et usque ad flumina propagines ejus [99]. » Definitur enim tellus Judæorum mari, et regione ad austrum, et Indica, et quæ dicitur Media fluminum. Verum se intra istos fines regnum Christi minime continebit. Progreditur autem oratio ut ab exemplo porticulari ad universum et generalissimum. Non enim in Judæa sola, sed in toto orbe regnabit, et a finibus ad fines potestas ejus propagata est.

ΝΗ'. Ὅτι γενόμενος ἄνθρωπος ὁ Μονογενὴς, τοῖς τῶν ἀγαπώντων αὐτὸν ὑποφέρειν ἐμελλε ποσὶν « ἀρχάς τε καὶ ἐξουσίας, καὶ τοὺς κοσμοκράτορας τοῦ κόσμου τούτου, » τουτέστι τὰ βδελυρὰ τῶν δαιμονίων στίφη, πάντα τε αὐτοῖς ὑποτάσσειν ἐχθρὸν ὁρατόν τε καὶ ἀόρατον, καὶ πάντα συντρίβειν πόλεμον, καὶ τοῖς ἐξ εἰρήνης κατευφραίνειν ἀγαθοῖς, αἰνιγματωδῶς ἡμῖν ὁ προφητικὸς ὑποφαίνει λόγος. Ἦεσαν μὲν γὰρ κατὰ καιροὺς κατὰ τῶν Ἱεροσολύμων οἱ Βαβυλώνιοι, B καὶ μὴν καὶ ἕτεροί τινες τῶν ὁμόρων ἐθνῶν ἵπποις τε καὶ ἅρμασιν ἐποχούμενοι, καὶ βάλλοντες τόξοις, κατὰ τὸ γεγραμμένον, κατεχειροῦντό τε οὕτω, καὶ πικροῖς ἐνίεσαν πόνοις. Ἀπὸ γοῦν τοῦ συμβαίνειν εἰωθότος, τῶν ἐπὶ Χριστοῦ κατορθωμάτων τὴν λαμπρότητα δηλοῖ. Ὁ γάρ τοι σώζων, φησὶν, ὁ δίκαιός τε καὶ πραότατος βασιλεὺς, ἀφίξεται μὲν, καὶ οὐκ εἰς μακράν. Πλὴν οὐ πολλῷ πλήθει τῶν ὑπασπιστῶν, οὐ δορυφόρους, οὐ μυρίους ἔχων τοὺς εἰδότας τὰ τακτικά. Ἐπασκήσας τε οὕτως ἐν ἤθει τὸ μέτριον, ὥστε καὶ μόλις ἐπιβῆναι τοῦ πώλου. Πλὴν ἔσται τοσοῦτος εἰς ἀρετὴν, ὀνήσει τε οὕτω τοὺς ἐπ' αὐτῷ πεποιθότας, ὡς περιελεῖν μὲν ἅρματα ἐξ Ἐφραΐμ, ἀποστῆσαι δὲ καὶ ἵππων ἐξ Ἱερουσαλήμ, ἐξολοθρεῦσαι δὲ καὶ τόξον πολεμικὸν, καὶ εἰρήνην ἁπλῶσαι C βαθεῖαν, τὴν ἐκ πάντων τῶν ἐθνῶν. Ἐφραΐμ δέ φησι τὰς ἐν τῇ Σαμαρείᾳ δέκα φυλὰς, Ἱερουσαλὴμ δὲ τοὺς ἐν αὐτῇ κατοικήσαντας, Ἰούδας δὲ οὕτω καὶ Βενιαμίν. Οὐκοῦν ἀσφαλείας ὑπόθεσιν, καὶ εἰρήνης ἡμῖν ὁ προφητικὸς εἰσκομίζει λόγος. Οὐ γὰρ ἂν γένοιτο, φησὶν, εὐκατάδρομος τοῖς ἐθέλουσι κακοῦν ἡ ἁγία πόλις, κατευρυνεῖ δὲ οὕτω τὴν ἑαυτοῦ βασιλείαν ὁ σώζων αὐτὴν, ὡς ὅλης κατάρξαι τῆς Ἰουδαίας, ἀπὸ θαλάσσης ἕως ποταμῶν. Αὗται γάρ εἰσιν αἱ διεκβολαὶ τῆς γῆς, τουτέστι τὰ πέρατα. Ψάλλει δέ που καὶ ὁ θεσπέσιος Δαβὶδ, ὡς περὶ ἀμπέλου λέγων τῆς Ἰουδαίων Συναγωγῆς· « Ἐξέτεινε τὰ κλήματα αὐτῆς ἕως θαλάσσης, καὶ ἕως ποταμῶν τὰς παραφυάδας αὐτῆς. » Τερματίζεται γὰρ ἡ τῶν Ἰουδαίων θαλάσσῃ τε, καὶ χώρᾳ τῇ πρὸς νότον, καὶ Ἰνδικῇ, D καὶ τῇ καλουμένῃ Μέσῃ τῶν ποταμῶν. Ἀλλ' οὐκ ἐν τούτοις τοῖς ὅροις ἡ Χριστοῦ βασιλεία, πολλοῦ γε καὶ δεῖ. Ἕρπει δὲ ὁ λόγος ὡς ἐκ μερικοῦ παραδείγματος ἐπὶ τὸ καθόλου, καὶ γενικώτατον. Βεβασίλευκε γὰρ οὐ τῆς Ἰουδαίας μόνης, ἀπάσης δὲ μᾶλλον τῆς ὑπ' οὐρανὸν, καὶ ἀπὸ περάτων εἰς πέρατα τὰ τῆς ἐξουσίας αὐτοῦ κατευρύνεται.

VERS. 11, 12. *Et tu in sanguine testamenti emisisti vinctos tuos de lacu non habente aquam. Sedebitis in munitione vincti congregationis, et*

Καὶ σὺ ἐν αἵματι διαθήκης ἐξαπέστειλας δεσμίους σου, ἐκ λάκκου οὐκ ἔχοντος ὕδωρ. Καθήσεσθε ἐν ὀχυρώμασι δέσμιοι τῆς συναγω-

[96] Ephes. VI, 12. [97] Psal. XIX, 8. [98] Matth. XXI, 1 seqq. [99] Psal. LXXIX, 12.

Digitized by Google

γῆς, καὶ ἀντὶ μιᾶς ἡμέρας παροικεσίας σου διπλᾶ ἀνταποδώσω σοι.

A *pro una die peregrinationis tuæ duplicia reddam tibi.*

ΝΘ'. Μέτεισιν ὁ λόγος ἐπ' αὐτὸν ἤδη δίκαιόν τε καὶ σώζοντα βασιλέα, καὶ μέν τοι καὶ πρᾶον, τουτέστι Χριστὸν, καὶ τὰ λαμπρὰ, καὶ ἀξιάγαστα τῆς ἐπιδημίας αὐτοῦ κατορθώματα καθίστησιν ἐναργῆ. « Κεκένωκε γὰρ ἑαυτὸν » ἑκὼν, γενόμενος ἄνθρωπος, ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος. « Ὑπέμεινε δὲ καὶ σταυρὸν, αἰσχύνης καταφρονήσας, » καὶ τέθεικε τὴν ἑαυτοῦ ψυχὴν, τῆς ἁπάντων ζωῆς ἀντάλλαγμα, κατεκτήσατο τῷ Θεῷ καὶ Πατρὶ τὴν ὑπ' οὐρανὸν ἐν αἵματι διαθήκης αἰωνίου, ἧς ἦν τύπος τὸ διὰ τοῦ πανσόφου Μωσέως τοῖς ἀρχαιοτέροις ἐπιῤῥανθέν. « Λαβὼν γὰρ, φησὶ, Μωσῆς τὸ αἷμα αὐτό τε τὸ βιβλίον, καὶ πάντα τὸν λαὸν ἐῤῥάντισε, λέγων· Τοῦτο τὸ αἷμα τῆς διαθήκης ἧς διέθετο πρὸς ὑμᾶς ὁ Θεός. » Ἀλλ' ἐκεῖνα μὲν τύποι, καὶ τῆς ἀληθείας μόρφωσις ἦν. Αὐτὴ δὲ λοιπὸν ἡ ἀλήθεια Χριστὸς, ὁ πάντας ἡμᾶς ἀγοράσας ἐν αἵματι διαθήκης. « Ἐκλελυτρώμεθα γὰρ, ὡς ὁ αὐτοῦ φησι μαθητὴς, οὐ φθαρτοῖς ἀργυρίῳ ἢ χρυσίῳ, ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου, καὶ ἀσπίλου Χριστοῦ. » Σὺ τοίνυν, φησὶν, ὦ δικαιότατε καὶ πραότατε βασιλεῦ, ἐν αἵματι διαθήκης τοὺς σοὺς γεγονότας δεσμίους (τουτέστιν οὓς δεσμοῖς ἀγάπης κατέσφιγξας, καὶ ταῖς σαῖς ζεύγλαις ὑπενεγκεῖν, καὶ καταδῆσαι σαφῶς τὴν τῆς διανοίας πέπεικας αὐχένα) ἐξαπέστειλας, τουτέστιν ἐξεκόμισας, ἤγουν ἐξήγαγες, ἢ ἀνῆκας « ἐκ λάκκου οὐκ ἔχοντος ὕδωρ. » Σημαίνειν δὲ διὰ τούτου φαμὲν αὐτὸν ἢ τὸν ᾅδην, τὸν οὐκ ἔχοντα ζωὴν, ἐκδεξόμεθα γὰρ εἰς τύπον ζωῆς τὸ ὕδωρ, ἤγουν ᾅδην καταλογιούμεθα, καὶ μάλα ὀρθῶς, τὴν ἐπί γε τοῖς ψευδωνύμοις θεοῖς ἀπάτην. Βόθρος γὰρ ἀληθῶς τὸ χρῆμά ἐστιν, εἰς ὃν εἴπερ τις ὅλως κατολισθήσει, ζωῆς ἀμοιρήσει τῆς εἰς αἰῶνα τὸν μέλλοντα. Ὅτι δὲ κεκένωκε τὸν ᾅδην ἀποθανὼν ὁ Χριστὸς, καὶ ἀνῆκε τοῖς ἐν φυλακῇ πνεύμασι τὰς κάτω πύλας, παντί που σαφές. Ἔφη δέ που καὶ ὁ τῶν ὅλων Θεὸς διὰ φωνῆς Ἱερεμίου περὶ τῶν ἐξ Ἰσραὴλ, καταλελειπότων μὲν αὐτὸν, τραπομένων δὲ φληνάφως εἰς ἀπάτην εἰδωλομανῆ· « Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἐπὶ πλεῖον σφόδρα, λέγει Κύριος· ὅτι δύο, καὶ πονηρὰ ἐποίησεν ὁ λαός μου. Ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν. » Ὥσπερ γάρ ἐστι πηγὴ ζωῆς, καὶ πηγὴ ζωοποιὸς ἡ ὀρθή τε καὶ ἁπλανὴς περὶ Θεοῦ γνῶσις· οὕτως ἄνυδροι, καὶ οἱονεὶ λάκκοι συντετριμμένοι νοηθεῖεν ἂν τὰ τῆς εἰδωλολατρείας ἀθύρματα, καὶ ἡ περὶ αὐτοῦ πλάνησις. Εἶτα πρὸς αὐτοὺς διαλέγεται τοὺς δεσμίους, καὶ εἰς ἐλπίδας αὐτοὺς ἀγαθὰς παραθήγει, λέγων· « Καθήσεσθε ἐν ὀχυρώματι δέσμιοι τῆς συναγωγῆς. » Καὶ ὀχύρωμα μὲν, καθάπερ ἐγῷμαι, τὴν Ἐκκλησίαν ἀποκαλεῖ ὡς τετειχισμένην ἐν Χριστῷ, καὶ ἀκλονήτως ἔχουσαν. Κάθησιν δέ φησι τὸ οἷον ἱδρυμένον ἐν πίστει. Γέγραπται γὰρ περὶ Θεοῦ· « Ὅτι σὺ καθήμενος εἰς τὸν

LIX. Transit nunc oratio ad ipsum justum, et Salvatorem, atque etiam mansuetum regem, id est Christum, et illustria atque admiranda adventus ejus opera declarat. « Exinanivit enim semetipsum[1] » libens, homo factum unigenitum Dei Verbum. « Sustinuit crucem, confusione contempta[2] » et pro omnium vita animam suam commutavit, Deo et Patri mundum in sanguine testamenti æterni acquisivit, cujus typus fuit sanguis per Mosen sapientissimum veteribus aspersus. Inquit enim : « Accepto Moses sanguine et libro ipso, aspersit omnem populum, dicens : Hic est sanguis testamenti, quod disposuit ad vos Deus[3].» Sed illa quidem typi, et B veritatis simulacrum fuerunt : successit ipsa veritas Christus, qui omnes nos in sanguine testamenti mercatus est. « Redempti enim sumus non corruptibilibus auro vel argento, ut discipulus ejusdem ait, sed pretioso sanguine tanquam agni immaculati, et incontaminati Christi[4].» Tu igitur, inquit, justissime et mansuetissime rex, in sanguine testamenti vinctos tuos (hoc est, quos vinculis charitatis constrinxisti, quibusque persuasisti, uti mentis cervicem jugo tuo submitterent, et palam illigarent) emisisti, hoc est extulisti, sive eduxisti, sive dimisisti « ex lacu non habente aquam.» Quibus verbis aut infernum, ubi non est vita, significari dicimus ; aquam enim pro symbolo vitæ accipiamus licet; aut certe infernum convenientissime falsorum deorum C fallaciam interpretabimur. **739** Vere enim fovea est, in quam si quis penitus deciderit, vita futura ac sempiterna carebit. Evacuasse autem infernum Christum mortuum, et spiritibus in custodia detentis aperuisse portas inferas, neminem latet. Inquit et alicubi universorum Deus per Jeremiam de Israelitis desertoribus suis, et ad fallaciam insani deorum cultus stulte conversis : « Obstupuit cœlum super hoc, et inhorruit plurimum vehementer, dicit Dominus : quia duo mala fecit populus meus. Me dereliquerunt fontem aquæ viventis, et foderunt sibi lacus contritos, qui non poterunt aquam continere[5]. » Quemadmodum enim fons vitæ, et fons vivificans est recta et erroris expers Dei cognitio : D ita velut lacus inaquosi, et contriti idololatriæ ludicra, et aberrationes ab ipsa possunt intelligi. Deinde ipsos vinctos compellans, ad spem bonam eos erigit : « Sedebitis in munitione vincti congregationis. » Munitionem, ut mihi videtur Ecclesiam appellat, ut munitam in Christo, et inconcussam. Sessionem dicit in fide quamdam stabilitatem. Scriptum est enim de Deo : « Quoniam tu sedens in sæcula[6], » hoc est stabilem et inconcussam naturam habens. Eritis igitur securi, inquit, firmitatem fidei habentes, ô vincti congregationis meæ, quæ est in Christo justificatorum sancta multitudo. Non autem caritu-

[1] Philipp. II, 7. [2] Hebr. XII, 2. [3] Exod. XXIV, 8. [4] 1 Petr. I, 18. [5] Jerem. II. 13. [6] Psal. XXVIII, 10.

Digitized by Google

ram mercede eorum in omnibus rebus arduis patientiam et stabilitatem in dilectione Dei, significat, cum adjungit : « Et pro una die peregrinationis tuæ duplicia reddam tibi. » Quod dicere vult, tale est. Peregrini enim, et advenæ sunt omnes sancti, et brevis est valde cujusque hominis vita in corpore, ut idcirco eam propter summam brevitatem cum uno die comparare fortasse possis. Itaque pro uno die peregrinationis tuæ, inquit, hoc est pro brevi, et modico tempore hujus vitæ, quam in corpore degis, dupliciter, et affatim te remunerabo. Ait et alicubi Christus: « Mensuram bonam et confertam, et coagitatam et supereffluentem dabunt in sinum vestrum [7]. » Haud enim æqualia actionibus nostris præmia exspectamus : sed cum magno auctario, cum dator sit munificus.

A αἰῶνα, » τουτέστιν ἱδρυμένην ἔχων καὶ ἀκατάσειστον φύσιν. Ἔσεσθε δὴ οὖν ἐν ἀσφαλείᾳ, φησὶ, τὸ βεβηκὸς ἔχοντες εἰς πίστιν, ὦ δέσμιοι τῆς ἐμῆς συναγωγῆς εἶεν δ' ἂν οὗτοι τῶν ἐν Χριστῷ δεδικαιωμένων ἡ ἁγία πληθύς. Ὅτι δὲ οὐκ ἄμισθον ἔχουσι τὴν ἐφ' ἅπασι τοῖς ἀρίστοις ὑπομονὴν, καὶ μὴν τὸ ἐρηρεισμένον εἰς ἀγάπησιν τὴν ἐπὶ Θεῷ, κατασημαίνει, λέγων· « Καὶ ἀντὶ μιᾶς ἡμέρας παροικίας σου, διπλᾶ ἀντ-αποδώσω σοι. » Καί τι τοιοῦτον ἐστὶν ὃ βούλεται λέγειν. Πάροικοι μὲν γὰρ ἐπὶ γῆς, καὶ παρεπίδημοι πάντες εἰσὶν οἱ ἅγιοι, βραχὺς δὲ λίαν ὁ ἐν σώματι βίος ἀνθρώπου παντὸς, κἂν εἴ τις αὐτὸν ὀλίγον ὄντα παντελῶς, ὡς τάχα που καὶ ἡμέρᾳ παρεικάζεσθαι μιᾷ. Οὐκοῦν ἀντὶ μιᾶς ἡμέρας τῆς παροικίας σου, φησὶ, τουτέστιν ἀντὶ βραχέος τε καὶ συνεσταλμένου

B χρόνου τῆς ἐν σώματι ζωῆς διπλᾶς τε καὶ ἐν πλεονασμῷ τὰς ἀμοιβὰς ἀποδώσω. Ἔφη δέ που καὶ ὁ Χριστὸς, ὅτι « Μέτρον καλὸν, πεπιεσμένον, καὶ σεσαλευμένον, καὶ ὑπερεκχυνόμενον δώσουσιν εἰς τὸν κόλπον ὑμῶν. » Οὐ γάρ που τὰς ἰσοστάθμους ὧν ἂν δράσαιμεν προσδοκῶμεν ἀμοιβὰς, ἀλλ' ἐν προσθήκῃ πολλῇ, πλουσιόδωρος γὰρ ὁ διδούς.

Vers. 13. *Quoniam tetendi te mihi, Juda, ut arcum, implevi Ephraim.*

Διότι ἐνέτεινά σε ἐμαυτῷ, Ἰούδα, ὡς τόξον, ἔπλησα τὸν Ἐφραΐμ.

740 LX. Quonam modo vocanda sit, et per fidem ingressura gentium multitudo, miser contra futurus, qui olim triumphabat, hoc est Satanas, spoliatus adoraturus, quos cupidissime acquisierat, adhuc declarat. Alloquitur autem quasi sanctos apostolos, sive magistros ex Israel, qui et gentium regiones percursantes, ad agnitionem veritatis indigenas vocarunt, et reti suo concluserunt. Ait ergo : « O Juda, intendi te mihi arcum, » hoc est per te jaculis tangam adversarios : et « Te, o Ephraim, implevi. » Quod quid sit, dicam quoque. Cum enim sagittarii ferratum arcum curvantes, nervum ad pectus addunt, tunc arcum implere dicuntur, et sagittam volantem, sive telum jaciunt. Est igitur idem diverse dictum. Arcum te feci, inquit, o Juda ; implevi etiam te, Ephraim. Judas porro et Ephraim universum genus Israeliticum complectuntur. Itaque ante alios ex Judæis credentes velut arcum fecit, eo animi provectos, ut gentes instituerent, et a seductis dæmonum greges abigerent, ferirentque Satanam, et universe divinis decretis adversantes, et doctrinæ sacræ inde proficiscenti repugnantes. Sic alicubi et divinus David ad universorum Deum et Salvatorem : « Sagittæ tuæ salutis acutæ, o potens, populi sub te cadent, in corde inimicorum regis [8]. » Feriunt enim inimicos Dei et Patris in cor, et renes intus sagittæ potentis [9], hoc est Christi. Rursum sagittæ ejus sunt qui docent errantes, et natura et vere Deum nescientes. Feriunt autem, non ad mortem, sed ad charitatem in Christo eos deducent, ut et sub ipso feriant. Qualis est quæ in Canticis canticorum sponsa describitur, dicens expresse : « Vulnerata charitatis ego sum [10]. » Evasisse autem fortissimos ac validissimos divinos discipulos, testificatur de ipsis in spiritu loquens sapiens Psalmographus : « Sicut

C

Ξ'. Τίνα δὴ τρόπον κληθήσεταί τε καὶ εἰσελάσει διὰ τῆς πίστεως ἡ ἐξ ἐθνῶν ἀγέλη, ταλαιπωρήσει δὲ καὶ ὁ πάλαι τρυφῶν, τουτέστιν ὁ Σατανᾶς, τῶν ἐκ πλεονεξίας αὐτῷ πεπορισμένων προσκυγητῶν ἐξωθούμενος, διατρανοῖ πάλιν ἐν τούτοις. Ποιεῖταί γε μὴν τὸν λόγον, ὡς πρὸς τοὺς ἁγίους ἀποστόλους, ἤτοι τοὺς ἐξ Ἰσραὴλ διδασκάλους, οἳ καὶ τὴν τῶν ἐθνῶν ἐκπεριθέοντες χώραν, εἰς ἐπίγνωσιν ἀληθείας ἐκάλουν τε καὶ σεσαγηνεύκασι τοὺς ἐν αὐτῇ. « Ὦ Ἰούδα, τοίνυν φησὶν, ἐνέτεινά σε ἐμαυτῷ τόξον, » τουτέστι διὰ σοῦ τοξεύσω τοὺς ὑπεναντίους· καὶ « σὲ δὲ, ὦ Ἐφραΐμ, ἔπλησα. » Καὶ τί δὴ τοῦτό ἐστιν, ἐρῶ πάλιν. Ὅτε γὰρ τῆς τοξείας οἱ ἐπιστήμονες νευρὰν μὲν μαζῷ, τοῦ δὲ τόξου τὸν σίδηρον ἄγουσιν ἐγγὺς, τότε πλῆσαι τὸ τόξον λέγονται, βάλλουσι καὶ διιπτάμενον τὸν ἰὸν, ἤτοι τὸ βέλος. Ἔστι τοίνυν αὐτὸ διαφόρως πεφαμένον. Τόξον σε πεποίημαι, φησὶν, ὦ Ἰούδα, ἔπλησα δὲ καί σε, ὦ Ἐφραΐμ. Ἰούδας δὲ καὶ Ἐφραΐμ ἅπαν ἐστὶ τὸ γένος τὸ ἐξ Ἰσραήλ. Οὐκοῦν τόξον ὥσπερ τι πεποίηται τοὺς ἐξ Ἰουδαίων πεπιστευκότας πρὸ τῶν ἄλλων, καὶ γνώμης εἰς τοῦτο προεληλυθότας, ὡς ἔθνη παιδαγωγεῖν, καὶ τῶν πλανωμένων ἀποσοβεῖν τὰς τῶν δαιμόνων ἀγέλας, καταπαίειν τε τὸν Σατανᾶν, καὶ ἁπαξαπλῶς τοὺς τοῖς θείοις δόγμασιν ἀντεξάγοντας, καὶ τοὺς ταῖς δι' αὐτῶν μαχομένους μυσταγωγίαις. Οὕτω πού φησι καὶ ὁ θεσπέσιος Δαβὶδ πρὸς τὸν τῶν ὅλων Σωτῆρα καὶ Θεόν· « Τὰ βέλη σου ἠκονημένα, δυνατέ· λαοὶ ὑποκάτω σου πεσοῦνται· ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως. » Πλήττουσι μὲν γὰρ τοὺς ἐχθροὺς τοῦ Θεοῦ καὶ Πατρὸς εἰς καρδίαν ἔσω, καὶ νεφροὺς τὰ τοῦ δυνατοῦ βέλη, τουτέστι Χριστοῦ. Βέλη δὲ αὐτοῦ πάλιν οἱ μυσταγωγοὶ, τοὺς δέ γε πεπλανημένους, καὶ τὸν φύσει τε καὶ ἀληθῶς Θεὸν οὐκ εἰδότας. Πλήττουσιν οὐκ εἰς θάνατον, ἀλλ' εἰς ἀγάπην αὐτοὺς ἀποφέροντες τὴν ἐν Χριστῷ, ἵνα καὶ ὑποκάτω τῶ-

D

[7] Luc. VI, 38. [8] Psal. XLIV, 6. [9] Psal. CXIX, 4. [10] Cant. V, 7.

Digitized by Google

πτοιεῦ (1) αὐτοῦ. Ὁποία τις ἐστὶν ἐν τῷ Ἄσματι τῶν ἀσμάτων γραφομένη νύμφη, λέγουσα σαφῶς, ὅτι « Τετρωμένη ἀγάπης ἐγώ εἰμι. » Ὅτι δὲ γεγόνασιν ἀλκιμώτατοι, καὶ εὐσθενεῖς οἱ θεσπέσιοι μαθηταί, πιστώσεται λέγων περὶ αὐτῶν ὁ σοφὸς Ψαλμῳδὸς ἐν πνεύματι· « Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως οἱ υἱοὶ τῶν ἐκτετιναγμένων. » Ἐκτετιναγμένους μὲν γὰρ τοὺς ἐξ Ἰσραὴλ ἀποκαλεῖ, ὡς τῆς θείας χάριτος ἐκπεπτωκότας διά τοι τὸ ἐμπαροινῆσαι Χριστῷ. Οἵ γε μὴν αὐτῶν υἱοί, βέλη γεγόνασιν ὡς ἐκ χειρὸς δυνατοῦ πεμπόμενα. Ἔφη δέ που καὶ ὁ Ἀμβακοὺμ ὡς πρὸς αὐτὸν δὴ πάλιν τὸν Ἐμμανουὴλ περὶ τῶν ἁγίων ἀποστόλων· « Βολίδες σου πορεύσονται εἰς φέγγος ἀστραπῆς ὅπλων σου. »

A sagittæ in manu potentis, ita filii excussorum [11]. » Excussos enim oriundos de Israele nominat, ut qui Dei gratia propter debacchationes in Christum exciderint. Quorum filii tamen sagittæ fuerunt, ut de manu potentis emissæ. Ait et Habacuc quasi ad ipsum Emmanuelem de sanctis apostolis: « Jacula tua ibunt in luce coruscationis armorum tuorum [12]. »

Καὶ ἐπεγερῶ τὰ τέκνα σου Σιὼν ἐπὶ τὰ τέκνα τῶν Ἑλλήνων, καὶ ψηλαφήσω σε ὡς ῥομφαίαν μαχητοῦ.

741 *Et suscitabo filios tuos, Sion, super filios Græcorum, et attrectabo te quasi gladium pugnatoris.*

ΞΑ'. Ἰδοὺ δή, σαφῶς τοὺς ἐξ Ἰουδαίων μυσταγωγοὺς τόξον ἴδιον ὀνομάζει. Ποῖα γὰρ τὰ τέκνα τῆς Σιὼν τὰ κατὰ τῶν Ἑλληνικῶν κατεξιστάμενα τέκνων, εἰ μὴ οἱ θεσπέσιοι μαθηταί, καὶ οἱ τῶν Ἐκκλησιῶν κατὰ καιροὺς ἡγούμενοι, « καὶ τῆς ἀληθείας ὀρθοτομοῦντες τὸν λόγον; « Σιὼν γὰρ ἡ νοητή, πῶς ἂν ἑτέρα νοοῖτο παρὰ τὴν Ἐκκλησίαν; Καταθλοῦσι δὲ τῶν τέκνων τῶν Ἑλληνικῶν, καὶ καταστρατεύονται τῶν πεπλανημένων, Θεοῦ τεθεικότος αὐτοὺς ὡς ῥομφαίαν μαχητοῦ. Οὕτω καὶ ὁ θεσπέσιος Παῦλος τὸν ἐν Χριστῷ νοούμενον στρατιώτην κατακαλλύνων ὁρᾶται. « Θώρακα μὲν γὰρ τὸν τῆς ἐν Χριστῷ δικαιοσύνης » περιτίθησιν αὐτῷ· καὶ μὴν καὶ « τὴν τοῦ σωτηρίου περικεφαλαίαν. » Εἶτα δίδωσι « τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ. » Ταύτῃ δὴ οὖν τῇ μαχαίρᾳ κατὰ τῶν Ἑλληνικῶν κεχρημένοι τέκνων, ἀποκείρουσι μὲν τὴν ἐν αὐτοῖς βλαστοῦσαν ἀπάτην, καὶ τὸν τομώτατον τοῦ Θεοῦ λόγον ἐπιφέροντες αὐτοῖς, « ὃς ἐστι ζῶν τε καὶ ἐνεργὴς, » τὸ πονηρὸν καὶ ἀκάθαρτον ἐκκόπτουσι πνεῦμα, ἵνα δύναιντο λοιπὸν νῷ καθαρῷ τε καὶ ἐλευθέρῳ, καὶ τῆς ἀληθοῦς θεογνωσίας παραδέξασθαι λόγον.

LXI. En doctores sacros ex Judæis liquido arcum suum vocat. Quinam enim filii Sion insurgentes contra filios Græcorum, nisi divini discipuli, et Ecclesiarum suis quique temporibus præsides, « Et recte tractantes verbum Dei [13]? » Nam Sion quæ animo videtur, quomodo alia præter Ecclesiam intelligatur? Oppugnant autem filios Græcorum, et bello lacessunt errore seductos, Deo illis utente ut gladio bellatoris. Sic et divinus Paulus militem Christi ornare cernitur. « Thorace enim justitiæ [14] » in Christo illum induit : præterea « galea salutis [15]. » Insuper dat ei « gladium spiritus, quod est verbum Dei [16]. » Hoc igitur gladio contra Græcos usi, pullulantem in illis falsam doctrinam amputant, et Dei sermonem maxime « penetrabilem, vivum et efficacem [17] » illis adhibentes, nequam et immundum spiritum exscindunt, ut de cætero mente pura et libera, et a dæmonum servitute expedita, veræ cognitionis Dei sermonem suscipere queant.

Καὶ ἔσται Κύριος ἐπ' αὐτοὺς, ὀφθήσεται, καὶ ἐξελεύσεται ὡς ἀστραπὴ βολὶς αὐτοῦ.

VERS. 14. *Et erit Dominus super eos, apparebit, et egredietur sicut fulgur sagitta ejus.*

ΞΒ. Ὅτι καὶ συνέσται Κύριος ὁ Θεὸς αὐτοῖς, καὶ συνασπιεῖ, καταδηώσει τε τοὺς ἀνθεστηκότας διὰ τούτων ὑποδηλοῖ. « Ἔσται γὰρ, φησὶ, Κύριος ἐπ' αὐτοὺς, » δῆλον δὲ ὅτι τοὺς ἀνθίστασθαι μεμελετηκότας τοῖς ἱερουργοῦσι τὸ Εὐαγγέλιον αὐτοῦ. Ἑκάστη δὲ βολὶς μυσταγωγὸς, ἢ ἀπόστολος· βέλει γὰρ ἤτοι βολίδι παρεικάζει πάλιν αὐτοὺς Θεοῦ πέμποντος, ὡς ἀστραπὴ δὲ δραμεῖται, φησὶ, δῆλον δὲ ὅτι καταυγάζουσα, καὶ τοῖς ἁπάντων ὀφθαλμοῖς ἀμογητὶ προσπίπτουσα. Γεγόνασι δὲ οὕτω λαμπροὶ καὶ οἱ θεσπέσιοι μαθηταὶ, καὶ τῶν τοῦ Σωτῆρος Εὐαγγελίων κήρυκες, καὶ οἱ μετ' ἐκείνους, λαῶν ἡγούμενοι, καὶ προεστηκότες Ἐκκλησιῶν, ὡς ἀγνοῆσαι μηδένα τῆς ἐνούσης αὐτοῖς ἀρετῆς τὴν φαιδρότητα. Καὶ τοῦτο αὐτὸ δηλῶν, ἔφασκεν ὁ Σωτήρ· « Οὐδεὶς λύχνον ἅψας, καλύπτει αὐτὸν σκεύει, ἢ ὑποκάτω κλίνης τίθησιν, ἀλλ' ἐπὶ λυχνίας, ἵνα οἱ ἐκπορευόμενοι βλέ-

LXII. Docet Dominum Deum illis adfuturum, unaque pugnaturum, et resistentes eversurum. Ait enim : « Erit Dominus super eos, » utique super eos, qui ministris Evangelii ipsius objicere sese constituerunt. Quælibet autem sagitta est institutor, sive apostolus. Telo enim, sive sagittæ a Deo emissæ rursum eos comparat ; addit, cursuram ut fulgur, illuminantem videlicet, et omnium oculis citra nixum allabentem. Evaserunt autem adeo clari ac fulgentes, tum divini discipuli, tum præcones Evangelii Salvatoris, et qui eos secuti sunt populorum rectores et præsides Ecclesiarum, ut claritudinem virtutis eorum nemo ignoraverit. Atque hoc ipsum significans aiebat Salvator : « Nemo accendit lucernam, et ponit eam sub modio, aut sub lecto, sed super candelabrum, ut ingredientes lumen videant [18]. » Et iterum: « Sic luceat lux vestra

[11] Psal. CXXVI, 4. [12] Habac. III, 11. [13] II Timoth. II, 15. [14] Ephes. VI, 14. [15] ibid. 17. [16] ibid. [17] Hebr. IV, 12. [18] Matth. V, 15.

(1) Lege πίπτοιεν, *cadant*. COTELER *Monum. Eccl. Gr* III, 562.

Digitized by Google

coram hominibus, ut videant opera vestra bona, et glorificent Patrem vestrum qui in cœlis est [19]. »

πωσι τὸ φῶς. » Καὶ πάλιν ἑτέρωθι· « Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. »

742 VERS. 15, 16. *Et Dominus omnipotens in tuba clanget; et ibit in commotione minarum suarum. Dominus omnipotens protegit eos, et consument eos, et obruent eos in lapidibus fundæ, et ebibent sanguinem eorum sicut vinum, et implebunt ut phialas altare. Et salvabit eos Dominus in die illa sicut oves populum suum.*

Καὶ Κύριος παντοκράτωρ ἐν σάλπιγγι σαλπιεῖ, καὶ πορεύσεται ἐν σάλῳ ἀπειλῆς αὐτοῦ. Κύριος παντοκράτωρ ὑπερασπιεῖ αὐτῶν, καὶ καταναλώσουσιν αὐτοὺς, καὶ καταχώσουσι ἐν λίθοις σφενδόνης, καὶ ἐκπίονται τὸ αἷμα αὐτῶν ὡς οἶνον, καὶ πλήσουσι ὡς φιάλας θυσιαστήριον. Καὶ σώσει αὐτοὺς Κύριος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὡς πρόβατα λαὸν αὐτοῦ.

LXIII. Commilitonem et armorum socium, ut dixi, claris verbis ipsis adjungit universorum Deum, adeo instructum, et simul certare cupidum, ut jam hostiliter ingruere, imo pedem conferre, et quidquid in se est virium in hostes, et in ipsorum robur effundere videatur. Rectissime porro inquit, bellum facturum non iis qui per fidem ad justificationem tanquam sagena capti sunt: sed divinæ prædicationi infeliciter obnitentibus, quos et Paulus notavit, cum dixit: « Ostium enim mihi magnum, et evidens apertum est, et adversarii multi [19]. » Canet igitur, inquit, tuba Dominus. Locutus est enim Dominus prædicationem evangelicam, quæ omnes terras pervasit, quando audiri potest ab omnibus mysterium: erat enim tenui voce, et lingua tardus Moses, quare etiam vix per solam Judæam exaudiebatur [20]. At sermo de Christo talibus terminis nequaquam continetur. Nam ut buccina egregia et sonantissima, omnium auribus ubique insonuit. « Ibit autem ceu in commotione minarum suarum, » et sic proteget satellites suos, ut adversarii quasi ab igne consumantur, et tantum non etiam fundæ lapidibus eos universe verberantes obruent. « Ebibent item sanguinem eorum, » hoc est, veluti quædam belluæ insilientes, facile superabunt et occident eos. Ad hæc offerent phialas sanguine occumbentium plenas, ut libationem aliquam ad altare. Est enim suavis odor Deo, et acceptabile sacrificium, errantes salvari prohibentium interitus. Si enim interfectores corporum misericordiam non merentur, sed pari potius supplicio multandi sunt, quid de corruptoribus et jugulatoribus animarum dicemus?

ΞΓ'. Συνασπιστὴν, ὡς ἔφην, καὶ σύνοπλον αὐτοῖς παρίστησιν ἐναργῶς ὁ λόγος, τὸν τῶν ὅλων Θεὸν, παραταττόμενον οὕτω, καὶ συναθλεῖν ἡρημένον, ὡς ἤδη δοκεῖν καὶ ἐξηρτῆσθαι πολεμικῶς, καὶ οἷον χωρεῖν μᾶλλον, καὶ τῇ κατ' ἐχθρῶν ὅλῃ χρῆσθαι δυνάμει, καὶ τῆς ἐνούσης εὐσθενείας αὐτοῖς. Καταστρατεύεσθαί γε μὴν εὖ μάλα φησὶν, οὐχὶ τῶν διὰ πίστεως εἰς δικαίωσιν σαγηνευομένων, ἀλλὰ τῶν ἀθλίως ἀνθεστηκότων τῷ θείῳ κηρύγματι, οὓς καὶ ὁ Παῦλος κατεσήμηνε, λέγων· « Θύρα γάρ μοι ἀνέῳγε μεγάλη καὶ ἐναργὴς, καὶ οἱ ἀντικείμενοι πολλοί. » Σαλπιεῖ τοίνυν ὁ Κύριος, φησὶν, ἐν σάλπιγγι. Λελάληκε γὰρ ὁ Κύριος τὸ κήρυγμα τὸ εὐαγγελικὸν, εἰς πᾶσαν διάττον τὴν ὑπ' οὐρανὸν, ἐξάκουστον γὰρ τοῖς ἅπασι χοῦ τὸ μυστήριον· ἦν μὲν γὰρ ἰσχνόφωνος, καὶ βραδύγλωσσος ὁ Μωσῆς, τοιγάρτοι καὶ μόλις ἠκούετο κατὰ μόνην τὴν Ἰουδαίαν. Ἥκιστά γε μὴν ἐν τούτοις ἐστὶν ὁ περὶ Χριστοῦ λόγος. Ἀναπεφώνηκε γὰρ οἷά τις σάλπιγξ λαμπρὰ, καὶ εὐηχεστάτη, καὶ ταῖς ἁπάντων ἀκοαῖς ἐνιεῖσα τὴν διαπρύσιον. « Βαδιεῖται δὲ ὥσπερ ἐν σάλῳ ἀπειλῆς αὐτοῦ, » καὶ ὑπερασπιεῖται οὕτω τῶν ἑαυτοῦ δορυφόρων, ὡς οἷον ὑπὸ πυρὸς δαπανᾶσθαι τοὺς ἀνθισταμένους, μόνον δὲ οὐχὶ καὶ σφενδόνης λίθοις αὐτοὺς καταχώσουσι καταπαίοντες γεννικῶς. Ἐκπίονται δὲ καὶ τὸ αἷμα αὐτῶν, τουτέστιν οἷά τινες θῆρες ἐπιθρώσκοντες περιέσονται ῥᾳδίως, καὶ νεκροὺς ἀποφανοῦσι. Προσκομιοῦσι δὲ τῷ τῶν πεπτωκότων αἵματι φιάλας πεπληρωμένας, καθάπερ τινὰ σπονδὴν ἐπὶ τὸ θυσιαστήριον. Εὐωδία γὰρ τῷ Θεῷ, καὶ θυσία δεκτὴ τῶν οὐκ ἐώντων σώζεσθαι τοὺς πεπλανημένους ὁ θάνατος. Εἰ γὰρ τῶν σωμάτων τοὺς φονευτὰς οὐκ ἄξιον ἐλεεῖσθαι, ὑποφέρεσθαι δὲ μᾶλλον ταῖς δίκαις, τὰ ἴσα παθόντας, τί ἂν τις λέγοι περὶ τῶν οἱ ψυχῶν ὀλετῆρες γεγόνασι καὶ φθορεῖς.

Quales haberi quoque possunt præstantes inter Græcos, et mundanæ sapientiæ gloriam consecuti, quibus crebro in ore sunt dii deæque, et qui ad creaturam magis quam ad **743** Creatorem colendum sollicitant, et cuilibet elemento Deo debitum honorem consecrant. Atqui mundum, non solum quandiu ipsi vivebant, sed etiam ad tempora consequentia seduxerunt. Multa enim millia diversis ætatibus illorum mendactis persuasi, et frigidis atque anilibus fabellis auscultantes perierunt. Sublati sunt itaque e medio in posterum tales. Eva-

Εἶεν δ' ἂν οὗτοι πάλιν οἱ Ἑλλήνων λογάδες, καὶ τῆς ἐν κόσμῳ σοφίας ἡμμένοι τὴν δόξαν, οἱ ἄνω τε καὶ κάτω θεοὺς καὶ θεὰς ὀνομάζοντες, καὶ τῇ κτίσει παρὰ τὸν ποιητὴν ἀναπείθοντες προσκυνεῖν, καὶ ἑκάστῳ τῶν στοιχείων τὴν Θεῷ πρέπουσαν ἀνατιθέντες δόξαν, καίτοι πεπλανήκασι τὴν ὑπ' οὐρανὸν, καὶ οὐχὶ δὴ μόνον κατά γε τὸν χρόνον τῆς ἐν σώματι ζωῆς· ἀλλὰ καὶ εἰς χρόνους τοὺς ἐφεξῆς. Μύριοι γὰρ ὅσοι κατὰ καιροὺς διολώλασι τῆς ἐκείνων ψευδοεπείας ἡττώμενοι, καὶ ψυχροῖς καὶ γραώδεσι μυθαρίοις προσεσχηκότες. Ἀνῄρηνται δὴ οὖν οἱ τοιοῖδε

[19] Matth. v 16. [19'] I Cor. xvi, 9. [20] Exod. iv, 10.

Digitized by Google

λοιπόν. Οἴχεται γὰρ τῆς ἐκείνων συγγραφῆς ἡ βεβήλωσις, ἀπρακτοῦσιν οἱ μῦθοι, καὶ οἷον ἐκπέποται τὸ αἷμα αὐτῶν. Τοῖς γὰρ τῆς ἀληθείας δόγμασι καθάπερ τισὶ λίθοις τοῖς ἐκ σφενδόνης καταπαλόμενοι καταχώννυνται, καὶ γέγονεν, ὡς ἔφην, εὐωδία Θεῷ τῆς ἐκείνων ἀθυροστομίας ἡ ἀπώλεια, « Καὶ σέσωκε Κύριος ὡς πρόβατα τὸν λαὸν αὐτοῦ. » Ἐπειδὴ γάρ ἐστι τῶν ὅλων αὐτὸς ποιητὴς, λαὸς αὐτοῦ λέγοιντο ἂν εἰκότως καὶ οἱ πάλαι πλανώμενοι, οὓς ὡς ἀγέλην ἀπεληλαμένην ὑπὸ λῃστῶν σέσωκεν ὁ Κύριος, τοὺς ψευδοποίμενας ἐκβαλὼν, καὶ ὑπὸ χεῖρα τιθεὶς ἰδίαν τὸ ἀνθρώπινον γένος. Ἔστι γὰρ αὐτὸς ὁ ποιμὴν ὁ καλὸς, ὁ τιθεὶς τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν προβάτων.

Διότι λίθοι ἅγιοι κυλίονται ἐπὶ τῆς γῆς αὐτοῦ. Ὅτι εἴ τι ἀγαθὸν αὐτοῦ, καὶ εἴ τι καλὸν παρ' αὐτοῦ, σῖτος νεανίσκοις, καὶ οἶνος εὐωδιάζων εἰς παρθένους.

ΞΔ'. Λίθους μὲν ἁγίους τοὺς ἐν τῇ γῇ τοῦ Θεοῦ κυλιομένους τοὺς ἐν ταῖς Ἐκκλησίαις κατὰ καιροὺς ἁγίους, οἵπερ ἂν γένοιντο μυσταγωγοὶ καὶ διδάσκαλοι κατωνομάσθαι φαμέν. Σύμμορφοι γὰρ γεγόνασι « τῷ λίθῳ τῷ ἐκλεκτῷ, καὶ ἀκρογωνιαίῳ, καὶ ἐντίμῳ, τῷ τεθειμένῳ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς εἰς τὰ θεμέλια Σιών. » Εἰ δὲ λίθος ὁ θεμέλιος, οἱ συναρμολογούμενοί τε καὶ συμβιβαζόμενοι, καὶ εἰς ναὸν ἅγιον ἀνιστάμενοι τῷ Θεῷ, λίθοι καὶ αὐτοὶ πιθανῶς ὀνομάζονται. Κυλίεσθαί γε μὴν αὐτοὺς εὖ μάλα φησὶ, τὸ πρὸς πᾶν ὁτιοῦν τῶν ἁγίων οἱονεί πως εὔστροφον, καὶ γοργὸν, διὰ τούτου σημαίνων. Οἱ γάρ τοι περιφερεῖς, ἤγουν σφαιροειδεῖς τῶν λίθων, ὄκνου παντός εἰσιν ἀμείνους, καὶ τῶν ἄλλων εἰς κίνησιν ἑτοιμότεροι, εἴ τις ἔλοιτο κινεῖν· εὐάγωγος δὲ λίαν εἰς τὸ τῷ Θεῷ δοκοῦν τῶν ἁγίων ὁ νοῦς. Οὕτως οὖν ἡμῖν ἐχόντων τῶν λίθων, πρέποι ἂν ἡμᾶς διακεῖσθαι καὶ ἀραρότως. Ὅτι εἴ τι ἀγαθὸν, αὐτοῦ, καὶ εἴ τι καλὸν, παρ' αὐτοῦ, δῆλον δὲ ὅτι τοῦ πάντα ἡμῖν τὰ πρὸς εὐσέβειαν διανέμοντος Θεοῦ. Ποῖα δὲ ταῦτα ἐστί; « Σῖτος νεανίσκοις, καὶ οἶνος εὐωδιάζων εἰς παρθένους. » Τοῖς μὲν γὰρ ἀνδριζομένοις, καὶ νεανικῷ φρονήματι πρὸς τὸ αὐτῷ δοκοῦν ἀπονευκόσι, καὶ πληροῦν ἑλομένοις τὸ ἀγαθὸν, δοθήσεται παρ' αὐτοῦ καὶ ἔτι μείζων ἰσχὺς, ὡς ἐν σίτῳ νοουμένη· « Στηρίζει γὰρ ἄρτος καρδίαν ἀνθρώπου. » Τοῖς γε μὴν ἤδη διηγνισμένοις, καὶ ἀμόλυντον ἔχουσι τὸν νοῦν, οἱ καὶ σεμναῖς καὶ ἁγίαις παρθένοις παρεικάζοιντο ἂν εἰκότως, οἶνος δοθήσεται νοητὸς, ἡ περὶ Θεοῦ δηλονότι σαφής τε καὶ ἀκιβδήλευτος γνῶσις, « ἡ κατευφραίνουσα καρδίαν ἀνθρώπου. » Οὐκοῦν νεανίσκοι τε καὶ παρθένοι, οἱ κατά γε τοὺς ἀρτίως ἡμῖν ἀποδοθέντας λόγους, εἰς εὐρεῖάν τε καὶ ἀμφιλαφῆ μέθεξιν τῶν ἄνωθεν ἀγαθῶν κεκλήσονταί τε εἰκότως, καὶ ἀκούσονται Θεοῦ λέγοντος· « Φάγετε, καὶ πίετε, καὶ μεθύσθητε οἱ πλησίον. » Πλησίον γάρ οἱ τοιοίδε Θεοῦ· καὶ οὐ σχέσει τοπικαῖς· ληρία γὰρ τοῦτο νοεῖν, ἢ φρονῆσαι· παραστήματι δὲ διανοίας τῷ λίαν ἀλκιμωτάτῳ, καὶ τῇ πρὸς πᾶν ὁτιοῦν τῶν ἀρίστων ἐφέσει, καὶ ἀγάπῃ τῇ εἰς αὐτόν. Ὥσπερ γὰρ ἐξίστησιν ἡμᾶς, καὶ οἷον

A nescit enim scriptorum illorum vanitas, fabulæ nihil agunt, et sanguis eorum quodammodo epotus est. Veritatis quippe dogmatis veluti quibusdam lapidibus e funda percussi obruuntur, et tanquam suavis odor Deum afflavit exstincta eorum loquacitas : « Et salvavit Dominus ut oves populum suum. » Quoniam enim ipse est conditor omnium, merito item populus ejus dicentur, qui olim erraverant; quos ut gregem a latronibus abactum Christus salvavit, falsis pastoribus ejectis, et genere humano in tutelam suam recepto. Ipse enim est pastor bonus, qui ponit animam suam pro ovibus suis[20].

VERS. 16,17. *Quia lapides sancti volvuntur super terram ejus. Quia si quid bonum illius, et si quid* B *bonum ab eo, frumentum juvenibus, et vinum boni odoris ad virgines.*

LXIV. Lapides sanctos qui in terra ejus volvuntur, quibusque temporibus Ecclesiarum sanctos, qui mystagogorum magistrorumque officio fungi possint, nominatos esse, affirmamus. Conformes enim sunt « lapidi electo, et summo angulari, et pretioso, posito a Deo et Patre in fundamenta Sion[21]. » Quod si fundamentum lapis, coaptati, et coagmentati, et in templum sanctum Domino erecti, etiam ipsi non inepte lapides nominantur. Volvi autem illos appositissime dicit, ut ad quidvis sanctorum agilitatem celeritatemque declaret. Lapides enim orbiculares, seu rotundi, citra ullam difficultatem mobilissimi sunt, si quis eos impellere vo- C luerit : sic animus sanctorum ad omnia Deo grata obeunda est versatilis. Quoniam igitur lapides ita se habent, docet nos congruenter animatos esse. Quia si quid bonum ejus est, et si quid honestum, ab ipso est, nempe a Deo omnia nobis ad pietatem largiente. Quæ sunt autem ista ? « Frumentum juvenibus, 744 et vinum odoratum ad virgines. » Viros enim se præbentibus, et animose ejus beneplacitum curantibus, et virtuti servire cupientibus, dabitur ab eo majus adhuc robur, quod in frumento intelligitur : « Panis siquidem cor hominis confirmat[22]. » Purgatis vero, et animum gerentibus incontaminatum, qui et venerabilibus et sanctis virginibus comparari jure queant, vinum dabi- D tur, quod intelligentiæ patet, Dei nimirum plena et germana cognitio, « lætificans cor hominis[23]. » Quocirca adolescentes et virgines, juxta rationes modo a nobis explicatas, ad amplam et copiosam bonorum supernorum communionem merito vocabuntur, audientque Deum dicentem : « Comedite, et bibite, et inebriamini, propinqui[24]. » Hi enim sunt propinqui Dei : non affectione secundum locum : quod sine ineptia intelligi aut cogitari non potest; sed animi præsentia longe robustissima, et desiderio ad quidvis optimum, et charitate erga illum. Quomodo enim deturbat nos, et quasi longius abducit improbitas : sic virtus nos Deo sistit, id quod nos

[20] Joan. x, 14, 15. [21] Isa. xxviii, 16. [22] Psal. ciii, 15. [23] Eccli. xl, 20. [24] Cant. 5, 1.

Digitized by Google

disjungit, et intercedit, peccatum, inquam. e medio removens.

Ἀποφέρει μακρὰν ἡ ψαυλότης· οὕτω Θεῷ παρίστησιν ἡ ἀρετή, τὸ διιστῶν ἡμᾶς, καὶ μεσολαβοῦν ἐκ μέσου γενέσθαι παρασκευάζουσα, φημὶ δὴ τὴν ἁμαρτίαν.

CAP. X.

ΚΕΦΑΛ. Ι'.

Vers. 1 *Petite a Domino pluviam in horas, matutinam, et serotinam.*

LXV. Quemadmodum enim neque frumentum in agris citra laborem provenerit, neque vinea multum ac bonum vinum protulerit : ita et in nobis nulla exsistere poterit fertilitas spiritualis, nisi Deus instar pluviæ eloquiorum suorum revelationem in animos et corda nostra demiserit, notitiamque nobis Veteris ac Novi Testamenti, hoc est legalis et evangelici, quasi instillaverit : hæ namque matutina et serotina pluviæ fuerint. Non esse autem infructuosam cognitionem et commentationem spiritualem legis, quin eam erudire nos per figuras et umbras ad mysterium Christi, probat Salvator, Judæis ipse loquens : « Ne putetis me accusaturum vos apud Patrem : est qui accusat vos Moses vester, in quem vos sperastis. Si enim crederetis Mosi, crederetis forsitan et mihi ; de me enim ille scripsit [25]. » Ait et alicubi de Scribis et Pharisæis, ut ex legali institutione ad **745** meliorem, hoc est evangelicam vocatis : « Ideo omnis scriba doctus in regno cœlorum similis est homini patrifamilias, qui profert de thesauro suo nova et vetera [26]. » Petentes igitur a Deo legalem et evangelicam scientiam, et nos dignos exhibentes qui obtineamus, utique accipiemus, et in animum thesauros congeremus, vetera et nova colligentes, et mentem ubertate maxima cumulantes.

Αἰτεῖσθε παρὰ Κυρίου ὑετὸν καθ' ὥραν, πρώϊμον, καὶ ὄψιμον.

ΞΕ'. Ὥσπερ γὰρ οὔτε σῖτος ἐν ἀγροῖς γένοιτ' ἂν πόνου δίχα, οὔτ' ἂν εὔβοτρύς τε καὶ εὔοινος ἀμπελὼν· οὕτω καὶ ἐν ἡμῖν οὐκ ἂν γένοιτό τις εὐκαρπία πνευματικὴ, μὴ οὐχὶ Θεοῦ καθιέντος ὑετοῦ δίκην εἰς νοῦν, καὶ καρδίαν τῶν ἑαυτοῦ λογίων τὴν ἀποκάλυψιν, καὶ γνῶσιν ἡμῖν οἱονεὶπερ ἐνστάζοντος τοῦ τε Ἀρχαίου καὶ Νέου Γράμματος, τουτέστι τοῦ νομικοῦ καὶ τοῦ εὐαγγελικοῦ· ὑετοὶ γὰρ οἱ τοιοῖδε πρώϊμός τε καὶ ὄψιμος εἶεν ἄν. Ὅτι δὲ οὐκ ἀσυντελὴς εἰς ὄνησιν ἡ τοῦ νόμου γνῶσις, καὶ θεωρία πνευματικὴ, παιδαγωγεῖ δὲ μᾶλλον ἡμᾶς διὰ τύπου, καὶ σκιᾶς ἐπὶ τὸ Χριστοῦ μυστήριον, πιστώσεται λέγων αὐτὸς ὁ Σωτὴρ τοῖς Ἰουδαίων δήμοις· « Μὴ δοκεῖτε ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν Πατέρα· ὁ κατηγορῶν ὑμῶν Μωσῆς, εἰς ὃν ὑμεῖς ἠλπίκατε. Εἰ γὰρ ἐπιστεύετε Μωσεῖ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. » Ἔφη δέ που καὶ περὶ τῶν Γραμματέων καὶ Φαρισαίων, ὡς ἐκ νομικῆς παιδεύσεως καλουμένων ἐπὶ τὴν εὐαγγελικήν· « Διὰ τοῦτο πᾶς γραμματεὺς μαθητευθεὶς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὁμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά. » Οὐκοῦν αἰτοῦντες παρὰ Θεοῦ τήν τε νομικὴν καὶ εὐαγγελικὴν ἐπιστήμην ἀξίους τε τοῦ λαβεῖν ἑαυτοὺς παραστήσαντες, ληψόμεθα πάντως, καὶ τοὺς εἰς νοῦν ἔσω πληρώσομεν θησαυροὺς, παλαιά τε καὶ νέα συλλέγοντες, πλείστης τε ὅσης πνευματικῆς εὐκαρπίας ἀναμεστοῦντες τὸν νοῦν.

Vers. 2. *Dominus fecit phantasias, et pluviam hibernam dabit eis, unicuique herbam in agro. Quoniam loquentes locuti sunt labores, et divini visiones falsas, et insomnia falsa loquebantur, vane consolabantur. Ideo exaruerunt ut non habentes pluviam, et afflicti sunt sicut oves, quia non erat sanatio.*

Κύριος ἐποίησε φαντασίας, καὶ ὑετὸν χειμερινὸν δώσει αὐτοῖς, ἑκάστῳ βοτάνην ἐν ἀγρῷ. Διότι οἱ ἀποφθεγγόμενοι ἐλάλησαν κόπους, καὶ οἱ μάντεις ὁράσεις ψευδεῖς, καὶ τὰ ἐνύπνια ψευδῆ ἐλάλουν, μάταια παρεκάλουν. Διὰ τοῦτο ἐξηράνθησαν ὡς οὐκ ἔχοντες ὑετὸν, καὶ ἐκακώθησαν ὡς πρόβατα, διότι οὐκ ἦν ἴασις.

LXVI. Occulta quadam sententia hic locus prægnans est, quam prius a me perspicue declarandam existimo : sic enim consilium et scopum prophetæ in verbis recitatis studiosi percipient. Erat enim illi sermo de sanctis, quos et lapides sanctos nominabat [27], iisque frumentum imprimis convenire affirmabat, ut viriliter agentibus, sive juvenibus, atque etiam vinum beneolens, quod essent virgines, id est, casti et incontaminati. « Qui enim sunt Christi Jesu, carnem suam crucifixerunt cum vitiis, et concupiscentiis, » ut divinus Paulus scribit [28]. Præcepit autem ipsis petere pluviam matutinam et serotinam ; deinde errantium mentione interjecta, velut causam adducit, cur nec frumentum, nec vinum habeant ipsi, nec pluviis, quæ intellectu perspiciuntur, irri-

ΞΣ'. Ὡδίνει τινὰ κεκρυμμένην ἔννοιαν τὸ προκείμενον, ἣν ἀναγκαῖον, οἶμαί που, προδιατρανοῦσθαι σαφῶς, συνεῖεν γὰρ οὕτω τῶν τοῦ προφήτου ῥημάτων τὸν σκοπὸν οἱ φιλεπιστήμονες. Ἦν μὲν γὰρ ὁ λόγος αὐτῷ περὶ τῶν ἁγίων, οὓς καὶ λίθους ἁγίους ὠνόμαζε, σῖτόν τε αὐτοῖς ὅτι μάλιστα πρέπειν ἔφασκεν, ὡς ἀνδριζομένοις, ἤγουν νεανίσκοις, καὶ μὴν καὶ οἶνον εὐωδιάζοντα, διά τοι τὸ εἶναι παρθένους, τουτέστιν ἁγνούς τε καὶ ἀβεβήλους. « Οἱ γὰρ τοῦ Χριστοῦ Ἰησοῦ, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι, καὶ ταῖς ἐπιθυμίαις, » καθά φησιν ὁ θεσπέσιος Παῦλος. Αἰτεῖν δὲ αὐτοῖς προστέταχε καὶ ὑετὸν πρώϊμον καὶ ὄψιμον· εἶτα μεταξὺ τῆς περὶ τῶν πλανωμένων παρεμβαλούσης μνήμης, τὴν αἰτίαν ὥσπερ ἀποδίδωσιν ἐν τούτοις, τοῦ μήτε σῖτον, μήτε μὴν

[25] Joan. v, 45, 46. [26] Matth. xiii, 52. [27] Zachar. ix, 10. [28] Galat. v, 24.

Digitized by Google

οἶνον ἔχειν αὐτὰς, ἀλλ οὐδὲ ὑετοῖς κατάρδεσθαι τοῖς νοητοῖς, ὡς ἐντεῦθεν αὐτοὺς μὴ ἔχειν ἐν ἀγρῷ βοτάνην. Καὶ ὁ μὲν λόγος ὡς ἐπὶ πραγμάτων ἐκπεποίηται τῶν αἰσθητῶν· ἡ γε μὴν ἐν αὐτοῖς θεωρία λεπτή τε ἄγαν ἐστι, καὶ πολὺ λίαν ἔχουσα τὸ εἰλικρινές. Θεοῦ γὰρ, φησὶ, ποιοῦντος φαντασίας, τουτέστιν ἀστραπὰς, καὶ ὑετὸν τῇ γῇ τὸν χειμερινὸν χέοντος, ὃς ἐστι χρήσιμος. καὶ μὴν καὶ ἑκάστῳ, τῶν ἐν ἀγροῖς δηλονότι, διδόντος βοτάνην, πεπλανήκασιν ἐκείνους οἱ ἀποτρεγγόμενοι, τουτέστιν, οἱ ψευδοεπεῖς τε καὶ ψευδηγόροι, καὶ μαντείας λέγοντες τὰς ἀπό γε τῆς σφῶν καρδίας. Οὗτοι λελαλήκασι κόπους, τουτέστιν οὐ τὰ εἰς ἀνάπαυσιν τοῖς πιστεύουσιν αὐτοῖς, ἀλλὰ δι' ὧν ἀνάγκη καμεῖν, Θεῷ προσκρούοντας, καὶ παρορωμένους. Οἱ δέ γε μάντεις καὶ τὰ ἐνύπνια ψευδῆ ἐλάλουν, εὐηχοῦντες αὐτοῖς δηλονότι τὰ καταθύμια, καὶ χρησταῖς μὲν ἐλπίσι καταπιπίνοντες, φάσκοντες δὲ ἀληθὲς οὐδέν· ἀλλ' εἰς ἀπάτην καὶ πλάνησιν ἀποφέροντας, ἥκιστα μὲν καταδεικνύοντές σφισι τὸν τῶν πνευματικῶν δοτῆρα καὶ χορηγόν· ἀναπείθοντες δὲ μᾶλλον αἰτεῖν τὴν εὐημερίαν παρὰ τῶν ψευδωνύμων θεῶν. « Ταύτῃ τοι, φησὶν, ἐξηράνθησαν, ὡς οὐκ ἔχοντες ὑετὸν, καὶ ἐκακώθησαν ὡς πρόβατα. » Οὐ γὰρ ἦν βοτάνη, « οὐκ ἦν ἴασις. » Οὐ γὰρ ἦν αὐτοῖς ὁ κατάδεσμῶν τὸ συντετριμμένον, ὁ ἀνιστῶν τὸ κατερραγμένον, ὁ ἀνακτώμενος τὸ κεκακωμένον. Προσεκτέον δὴ οὖν, οὐχὶ τοῖς ἀποφθεγγομένοις τὰ μάταια, ψευδοεπέσι τε καὶ βωμολόχοις, καὶ ἐνυπνιασταῖς· Θεῷ δὲ μᾶλλον τῷ εἰς νοῦν ἡμῖν ἐναστράπτοντι τῆς ἀληθοῦς θεογνωσίας τὸ φῶς, καὶ νοητοὺς ὑετοὺς καταχέοντι, τὰς διὰ τοῦ ἁγίου Πνεύματος παρακλήσεις, λέγω, καὶ βοτάνην ἀναφύοντι τοῖς ἐν ἀγρῷ, τουτέστι πάλιν, εὐανθεστάτην ὥσπερ ἡμᾶς κατανέμοντι πόαν, τῆς θεοπνεύστου Γραφῆς τὴν ἀμώμητον γνῶσιν. « Ἄνθρωπος μὲν γὰρ ἐν τιμῇ ὢν, οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. » Ἀλλ' εἰ ἔλοι πως εἰς νοῦν τῶν θείων λογίων τὴν γνῶσιν, καὶ τροφῆς μετάσχοι τῆς πνευματικῆς, τότε δὴ, τότε τὴν νωθείαν ἀποβαλὼν, ἐν τιμῇ πάλιν ἔσται, λογισμῷ τῷ σώφρονι διοικούμενος, καὶ τὴν ἀνθρώπῳ πρέπουσαν ἀναλαβὼν (1) φρένα.

Ἐπὶ τοὺς ποιμένας κεκώφυνθη ὁ θυμός μου, καὶ ἐπὶ τοὺς ἀμνοὺς ἐπισκέψομαι.

ΞΖ'. *Ποιμένας* ἐν τούτοις, καθάπερ ἐγῷμαι, τοὺς ψευδοπροφήτας καὶ ψευδομάντεις ἀποκαλεῖ, καὶ τοὺς τῆς ἀπάτης καθηγητὰς, ὀλεθρόν τε καὶ πάγιν γεγονότας τοῖς, οἳ τῆς ἀληθοῦς περὶ Θεοῦ δόξης ἡμαρτηκότες, τὴν αὐτῷ πρέπουσαν τιμὴν, καὶ λατρείαν ἀνατεθείκασι τῇ κτίσει, καὶ προσεκύνησαν τοῖς ἔργοις τῶν ἰδίων χειρῶν, καθὰ γέγραπται.

Οὐκ ἀπίθανον δὲ τοῖς ψευδομάντεσι καὶ τοὺς τῶν Ἑλλήνων συνάψαι λογάδας, οἳ δὴ σοφοὶ δοκοῦντες ἄγαν, ταῖς ἑαυτῶν εὐγλωττίαις τοὺς αὐτοῖς προσκειμένους πεπλανήκασι, καὶ ὥσπερ τινὲς ποιμένες οὐκ ἀγαθοὶ κατεβόσκησαν ἐν ἀκάνθαις, καὶ εἰς πολλὴν ἀχρειότητα σαθρῶν ἐννοιῶν. Τί γὰρ παρ' ἐκείνοις

A gentur, ut inde in agris herbam non habeant. Et verba quidem tanquam de rebus sensum tangentibus fiunt, sed quam continent theoriam, subtilis est admodum, et purissima. Inquit enim, Deo faciente phantasias, hoc est fulgura, et pluviam hibernam terris utilem effundente, et cuique, agrestium videlicet, herbam suppeditante, seduxerunt eos, qui loquuntur, hoc est falsiloqui, et mendaces, et vaticinia de corde suo proferentes. Illi locuti sunt labores, hoc est non ad requiem credentium illis; sed per quæ cogerentur versari in miseria, ut Deum offendentes, et ab eo despecti. **746** Porro arioli etiam somnia falsa loquebantur, mulcentes eorum aures videlicet rebus jucundis, et bona spe pascentes, nihil tamen verum dicentes: sed in fraudem et errorem B abripientes, minimeque spiritualium datorem et suppeditatorem illis ostendentes; quin persuadentes, uti felicitatem potius a diis commentitiis exposcerent. « Ideo, inquit, exaruerunt, ut non habentes pluviam, et afflicti sunt, ut oves. » Non enim erat herba, « non erat sanatio. » Neque enim erat inter eos qui alligaret quod contritum, qui erigeret quod confractum, qui recrearet quod afflictum erat [30]. Attendendum igitur, non loquentibus vana, mendacibusque et assentatoribus et somniatoribus, sed Deo potius, lumine veræ cognitionis divinæ in animum coruscanti, et pluvias intellectiles, Spiritus sancti consolationes, inquam, demittenti et herbam agrestibus producenti, quod est, velut in viridissima herba, in cognitione nulli reprehensioni obnoxia, C ac divinitus inspiratæ Scripturæ nos pascenti. « Homo enim cum in honore esset, non intellexit: comparatus est jumentis insipientibus, et similis factus est illis [30]. » Sed si notitiam divinorum eloquiorum in pectus admiserit, et de alimento spirituali participaverit, tum demum spurius esse desinens, prudenti ratione gubernatus, et cogitationibus homine dignis susceptis, rursum in honore erit.

VERS. 3. *Super pastores concitatus est furor meus, et super agnos visitabo.*

LXVII. *Pastores* hoc loco, ut arbitror, pseudoprophetas et falsos vates, et magistros erroris appel- D lat, pestemque et laqueum iis, qui vera de Deo opinione relicta, honorem et cultum ipsi proprium creaturæ dedicarunt, et opera manuum suarum adoraverunt, sicut scriptum est [31].

Nec alienum est falsis vatibus etiam Græcos quosdam quasi majorum gentium adjungere, qui cum sapientissimi numerarentur, eloquentia sua ipsis adhærentes seduxerunt, et ut pastores non boni in spinis, et in multa vanitate cogitationum inutilium paverunt. Quid enim apud illos ad cogni-

[30] Ezech. XXXIV, 4. [30] Psal. XLVIII, 13. [31] Psal. CXIII, 4 seqq.

(1) Aubertus, ἀναβαλών. EDIT.

Digitized by Google

tionem veritatis conducit? Ili dignissimi sunt qui a Deo puniantur. Non enim tantummodo suas animas perdiderunt, sed insuper aliorum in errorem induxerunt, ut dixi, verborum ampullis mendacium quasi inaurantes, **747** et oratione ad deceptionem abutentes. Visitat autem agnos, miseratus videlicet, et ex fallacia ad agnitionem veritatis transferens, et ex vagis erroribus in viam rectam impellens. Sicut enim res poscebat, ut injuriosis in eos pro magnitudine injuriarum supplicia irrogarentur; ita rursum cum divina mansuetudine, et justo judicio, conjunctissimum erit, benignam in eos qui talia passi sunt ferre sententiam. Oportebat enim, oportebat, inquam, salvari inique tractatos, Deo se ab eis antea læsum obliviscente, et pastorum fraudibus magis, ac præter voluntatem subactos pœna liberante.

A τὸ εἰς ἐπίγνωσιν ἀληθείας ὠφελοῦν; Κατὰ τούτων ἂν γένοιτο, καὶ τὰ ἐκ θείας ὀργῆς, καὶ μάλα αἰσίως. Ὠλόθρευσαν γὰρ οὐχὶ δὴ μόνον τὰς ἑαυτῶν ψυχάς, ἀλλὰ πρὸς ταύταις καὶ τὰς ἑτέρων πεπλανήκασιν, ὡς ἔφην, τῷ τῆς λέξεως κόμπῳ μονονουχὶ καταχρυσοῦντες τὸ ψεῦδος καὶ τὴν τοῦ λόγου χρείαν δαπανῶντες εἰς φεναξισμούς. Ἐπισκέπτεταί γε μὴν τοὺς ἀμνούς, οἰκτείρων δηλονότι, καὶ μετατιθεὶς ἐξ ἀπάτης εἰς τὴν τῆς ἀληθείας ἐπίγνωσιν, καὶ ἐκ τοῦ περιπλανᾶσθαι μετασοβῶν εἰς εὐθεῖαν ὁδόν. Ὥσπερ γὰρ ἦν ἀκόλουθον, τοῖς ἠδικηκόσιν αὐτοὺς τὴν τοῖς ἀδικήμασι πρέπουσαν ἐπαρτῆσαι δίκην· οὕτω δὴ πάλιν θεοπρεποῦς ἡμερότητος, καὶ ψήφου δικαίας ἀμειρήσειεν ἂν οὐδαμῶς, τὸ ἐπὶ τοῖς παπονθόσι φιλάνθρωπον κρῖμα. Ἔδει γὰρ, ἔδει σώζεσθαι τοὺς ἠδικημένους, B ἀμνησικακοῦντος Θεοῦ, καὶ ποινῆς ἀπαλλάττοντος τοὺς ταῖς ἐκείνων πλεονεξίαις τάχα που καὶ ἀβουλήτως ὑπενηνεγμένους.

VERS. 4, 5. *Et visitabit Dominus Deus omnipotens gregem suum domum Juda, et ponet eos ut equum decorum suum in prælio, et ex ipso respexit, et ex ipso posuit arcum in spiritu furoris. Et ex ipso egredietur omnis abactor in idipsum, et erunt quasi bellatores conculcantes lutum inviis in bello, et bellabunt, quia Dominus cum eis.*

Καὶ ἐπισκέψεται Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ τὸ ποίμνιον αὐτοῦ τὸν οἶκον Ἰούδα, καὶ τάξει αὐτοὺς ὡς ἵππον εὐπρεπῆ αὐτοῦ ἐν πολέμῳ, καὶ ἐξ αὐτοῦ ἐπέβλεψε, καὶ ἐξ αὐτοῦ ἔταξε τὸ τόξον ἐν πνεύματι θυμοῦ, καὶ ἐξ αὐτοῦ ἐξελεύσεται πᾶς ὁ ἐξελαύνων ἐν τῷ αὐτῷ. Καὶ ἔσονται ὡς μαχηταὶ πατοῦντες πηλὸν ἐν ταῖς ὁδοῖς ἐν πολέμῳ, καὶ παρατάξονται, διότι Κύριος μετ' αὐτῶν.

LXVIII. Quonam modo pastores male multaturus sit, visiturusque et recuperaturus agnos, clare ostendit. Productis enim ex Judæis mundi doctoribus sanctis apostolis et evangelistis, per eos Græciæ sapientes debellavit, et ab eorum garrulitate agnos eripuit, fallaciæque laqueis extricatos, in veram, et nulli culpæ affinem Dei cognitionem transtulit. Ait ergo: « Visitabit gregem suum domum Juda. » Faciet autem eum velut equum decorum, et bellicosissimum, quo quasi spiritualiter vectus, Græcorum linguam, ut dixi, oppugnabit eorumque sapientiæ deformitatem, et omnis fructus vacuitatem patefaciet. Quin enim per Græcorum dispersiones divini discipuli tanquam equi quidam fuerint, adversus eorum loquacitatem, et Deo exosam fallaciam tantum non hinnientes, quis dubitet? cum Christus de beato Paulo dicat ad Ananiam, « Vade, quoniam vas electionis mihi est iste, ut portet nomen meum coram gentibus, et regibus, et filiis Israel[22]. » Et Habacuc quasi Dominum nostrum Jesum Christum alloquens: « Quoniam ascendet super equos tuos, et equitatio tua salus » Inquit igitur: « Ponet ipsum, ut equum decorum in bello, et ex ipso respexit[23]. » Proinde ac si dicat: **748** Consideravit non quidem ut Deus ad ministerium prædicationis evangelicæ idoneos, elegit autem de tribu Juda, et ex ipsis prædicatores constituit. Voluit enim eos suæ voluntatis ministros, et adjutores, et gratiæ ab ipso donandæ velut mediatores et dispensatores fieri. Præterea *ex ipso*, inquit, hoc est Juda in furore intentus est arcus

ΞΗ'. Τίνα δὴ τρόπον ἐποίσει μὲν τοῖς ποιμέσι τὰ ἐξ ὀργῆς, ἐπισκέψεται δὲ καὶ ἀνασώσει τοὺς ἀμνούς, C καθίστησιν ἐναργές. Ἀναδείξας γὰρ ἐξ Ἰουδαίων τοὺς τῆς οἰκουμένης μυσταγωγοὺς, τοὺς ἁγίους ἀποστόλους καὶ εὐαγγελιστὰς, κατηγωνίσατο μὲν δι' αὐτῶν τοὺς Ἑλλήνων σοφοὺς, ἐξείλετο δὲ τοὺς ἀμνοὺς, τῆς ἐκείνων ἀθυροστομίας, καὶ τῶν τῆς ἀπάτης βρόχων ἀπαλλάξας, μετέστησαν εἰς θεογνωσίαν τὴν ἀληθῆ καὶ ἀμώμητον. « Ἐπισκέψεται τοίνυν, φησὶ, τὸ ποίμνιον αὐτοῦ τὸν οἶκον Ἰούδα. » Ποιήσεται δὲ αὐτὸν οἷον ἵππον εὐπρεπῆ καὶ πολεμικώτατον, ἐφ' ᾧ νοητῶς μονονουχὶ καὶ ἐποχούμενος, τῆς Ἑλλήνων, ὡς ἔφην, καταστρατεύσεται γλώττης, καὶ τῆς ἐνούσης αὐτοῖς σοφίας καταγράψει τὸ ἀκαλλὲς, καὶ ἀνόητον. Ὅτι γὰρ ἐν ταῖς Ἑλλήνων διασποραῖς οἱ θεσπέσιοι γεγόνασι μαθηταὶ οἷά τινες ἵπποι, μονονουχὶ καταχρεμετίζοντες τῆς παρ' αὐτοῖς ἀθυροστομίας, καὶ θεοστυγοῦς ἀπάτης, πῶς ἂν ἐνδοιάσειέ τις; Χριστοῦ D λέγοντος περὶ τοῦ μακαρίου Παύλου πρὸς Ἀνανίαν· « Πορεύου, ὅτι σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν τε καὶ βασιλέων καὶ υἱῶν Ἰσραήλ. » Ἔφη δέ που καὶ ὁ Ἀμβακοὺμ ὡς πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· « Ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου, καὶ ἡ ἱππασία σου, σωτηρία. » Οὐκοῦν « τάξει αὐτὸν, φησὶν, ὡς ἵππον εὐπρεπῆ ἐν πολέμῳ, καὶ ἐξ αὐτοῦ ἐπέβλεψεν. » Ὅμοιον ὡς εἰ λέγοι· Κατεσκέψατο μὲν ὡς Θεὸς τοὺς ἐπιτηδείους εἰς διακονίαν τῶν εὐαγγελικῶν κηρυγμάτων, ἀπολέκτους γε μὴν ἐποιήσατο τοὺς ἐξ Ἰούδα, καὶ ἐξ αὐτῶν ἔταξεν. Εἵλετο γὰρ αὐτοὺς τῶν ἰδίων

[22] Act. IX, 15. [23] Habac. III, 8.

Digitized by Google

θελημάτων ὑπηρέτας γενέσθαι, καὶ ὑπουργοὺς, καὶ τῆς παρ' αὐτοῦ χάριτος οἱονεὶ μεσίτας, καὶ διακόνους. Ἔτι δέ φησιν, ἐξ *αὐτοῦ*, τουτέστι τοῦ Ἰούδα τὸ ἐν θυμῷ τεινόμενον τόξον κατὰ τῶν ὑπεναντίων. Ἐξ αὐτοῦ δὲ πάλιν « ἐξελεύσεται καὶ ἐξαλαύνων ἐν τῷ αὐτῷ. » Ἐξελαύνοντα δὲ, ὡς γε οἶμαι, φησὶ τὸν λεηλατοῦντά τε καὶ αἰχμαλωτίζοντα.

A contra adversarios. Ex ipso insuper « egredietur et abactor in idipsum. » Abactorem, puto, appellat prædatorem et captivos ducentem.

Δεδράκασι δὲ τοῦτο οἱ θεσπέσιοι μαθηταὶ, τοὺς ἐξ Ἑλλήνων ἁρπάζοντες, καὶ τῷ μεγάλῳ προσκομίζοντες βασιλεῖ, φημὶ δὴ Χριστῷ, ἵνα ὑπ' αὐτῷ τε εἶεν, καὶ τὰ αὐτοῦ φρονεῖν ἕλοιντο, τῆς τοῦ διαβόλου πλεονεξίας ὀψὲ, καὶ μόλις ἀποσεισάμενοι τὸν ζυγόν. Κατηνδρίσαντο δὲ οὕτω τῶν παρ' Ἕλλησι σοφῶν οἱ θεσπέσιοι μαθηταὶ, ὡς ἤδη πως δοκεῖν πηλὸν ταῖς τριόδοις διερριμμένον συμπατεῖν. Καὶ γὰρ ἦν Κύριος μετ' αὐτῶν, « Ὁ ποιῶν μεγάλα, καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός. » Ἐπεφώνει δέ που καὶ ὁ Χριστὸς, τοῖς πιστεύσασιν εἰς αὐτόν· « Ἰδοὺ δέδωκα ὑμῖν πατεῖν ἐπάνω ὄφεων, καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. » Ἰστέον δὲ ὅτι πνευματικὴν μὲν ἡμεῖς ἐξυφαίνοντες θεωρίαν, τὰ τοιαῦτά φαμεν.

Fecerunt hoc sancti discipuli, de Græcis rapientes, quos magno regi, Christo, inquam, obtulerunt, ut sub ipso essent, et quæ ejus sunt sapere vellent, diabolicæ servitutis jugo sero, et vix tandem excusso. Adeo autem contra Græcorum sapientes strenue divini discipuli se gesserunt, ut jam quodammodo lutum in triviis jacens conculcare viderentur. Etenim Dominus erat cum ipsis, « Qui facit magna, et inscrutabilia, gloriosa, et ingentia, quorum non est numerus [36]. » Compellat et Christus alicubi credentes in se: « Ecce dedi vobis potestatem calcandi supra serpentes et scorpiones, et supra omnem virtutem inimici [38]. » Sciendum porro, nos, spiritualem interpretationem contexentes hæc dicere.

B

Ἰουδαίοις γε μὴν οὐχ ὧδε ἔχειν τὸ χρῆμα δοκεῖ, δέχονται δὲ μᾶλλον ἱστορικῶς, καί φασιν, ὅτι μετὰ τὸν τῆς αἰχμαλωσίας καιρὸν πεπολέμηκεν αὐτοῖς, ὁ ἐπίκλην Ἐπιφανὴς Ἀντίοχος πλείστην τε ὅσην συναγαγὼν ἐκ τῆς Ἑλλήνων χώρας τῶν μαχομένων τὴν ἄθροισιν, καὶ μὴν καὶ ταῖς παρ' ἑτέρων ἐπικουρίαις ὠφρυωμένος. Ἀλλ' ὡς αὐτοί φασι, νενίκηκεν ὁ Ἰσραὴλ, καὶ τῆς ἐκείνου σκαιότητος τὴν ἀμείνω δόξαν ἀπηνέγκατο. Τότε γὰρ συμβέβηκε καὶ τοὺς ἐκ Μακκαβαίων μεμαρτυρηκότας τὸν τῆς εὐδοκιμήσεως ἀναδήσασθαι στέφανον. Παρακομίζουσι δὲ τῶν αὐτοῖς δοκούντων εἰς ἀπόδειξιν τά τε ἀρτίως ἡμῖν εἰρημένα, καὶ τὰ ὀλίγῳ κατόπιν, ἔχουσι δὲ οὕτως· « Διότι ἐνέτεινά σε ἐμαυτῷ, Ἰούδα, ὡς τόξον, ἔπλησα τὸν Ἐφραὶμ, καὶ ἐπεγερῶ τὰ τέκνα σου, Σιὼν, ἐπὶ τὰ τέκνα τῶν Ἑλλήνων, καὶ ψηλαφήσω σε ὡς ῥομφαίαν μαχητοῦ, καὶ ἔσται Κύριος ἐπ' αὐτοὺς, καὶ ἐξελεύσεται ὡς ἀστραπὴ βολὶς αὐτοῦ. Καὶ Κύριος παντοκράτωρ ἐν σάλπιγγι σαλπιεῖ, καὶ πορεύσεται ἐν σάλῳ ἀπειλῆς αὐτοῦ. Κύριος παντοκράτωρ ὑπερασπιεῖ αὐτῶν. »

At Judæis diversum placet, qui hæc historice potius accipiunt, affirmantque, post tempus captivitatis hostiliter eos invasisse Antiochum cognomento Epiphanem cum copiis e Græcia infinitis, et ab aliis gentibus auxiliaria contracta manu, unde supercilium tollebat. Sed ut ipsi confitentur, vicit Israel, et de illius immanitate gloriam, sibi comparavit. Tunc enim contigit Machabæos martyrio virtutem confessos, celebritatis corona redimiri [39]. Ad probationem sententiæ suæ modo et paulo supra a nobis dicta producunt, quæ hunc in modum habent: « Quoniam tetendi mihi te, Juda, ut arcum implevi Ephraim, et excitabo filios tuos Sion super filios Græcorum, et contrectabo te ut gladium bellatoris. Et erit Dominus super eos, et egredietur ut fulgur jaculum ejus. Et Dominus omnipotens tuba canet, et ibit in commotione minarum ejus. Dominus omnipotens proteget eos [37]. »

C

Καὶ καταισχυνθήσονται ἀναβάται ἵππων, καὶ κατισχύσω τὸν οἶκον Ἰούδα, καὶ τὸν οἶκον Ἰωσὴφ σώσω, καὶ κατοικιῶ αὐτοὺς, ὅτι ἠγάπηκα αὐτούς.

Vers. 6. *Et confundentur ascensores equorum,* **749** *et confortabo domum Juda, et domum Joseph salvabo, et habitare faciam eos, quia delexi eos.*

D

Ξθ'. Φασὶ δὴ πάλιν οἱ τοῖς Ἰουδαϊκοῖς συναγορεύοντες διηγήμασιν, ὅτι συγκεκροτημένης τῆς πρὸς Ἕλληνας μάχης, οἱ μὲν ἐκείνων ἱππεῖς διολώλασι, κεκρατήκασί γε μὴν οἱ ἐξ αἵματος Ἰσραὴλ, ὡς κατοικῆσαι τὴν χώραν αὐτοὺς, δῆλον δὲ ὅτι τὴν Ἰουδαίαν, παντὸς ἐλευθέρους δείματος, καὶ οὐδενὸς τὸ παράπαν ἀποικισθέντος, ἦγουν αἰχμαλώτου γεγενημένου. Ἡμεῖς δὲ τοῖς πρώτοις συμβαίνουσάν τε καὶ ἀδελφὴν ποιεῖσθαι σπουδάζοντες τὴν τῶν νοημάτων ἀπόδοσιν, ἀναβάτας ἵππων τοὺς κατηῤῥαγμένους οὐχ ἑτέρους εἶναί φαμεν, ἢ τοὺς τῶν Ἑλληνικῶν δογμάτων προεστηκότας, καὶ ἀπάτης τῆς θεομισοῦς ὑπερασθλεῖν εἰωθότας, ὧν κατερῥαγμένων κεκράτηκεν ὁ

LXIX. Asseverant rursum Judaicis narrationibus patrocinantes, pugna cum Græcis inita, illorum equites periisse, vicisse Israelitas, ut regionem suam, Judæam nempe, habitarent omni terrore vacui, nemine omnino abducto, seu captivo facto. At nos prioribus convenientem, et germanam explicationem sensuum afferre studentes, ascensores equorum confusos non alios esse contendimus quam Græcorum dogmatum præsides, et seductionis Deo exosæ propugnatores, quibus prostratis vicit Judas, et salvata est quoque domus Joseph. Significatur autem per hæc Israeliticus sanguis, et genus, sive justificatorum in Christo multitudo, in animo et

[36] Job v, 9. [38] Luc. x, 19. [39] II Mach. vi, 7. [37] Zachar. ix, 13, 14.

Digitized by Google

corde Judæam circumferentium, et circumcisionem sortitorum in spiritu, et mentem gerentium, quæ videt Deum [38], hoc enim Latine sonat Israel. Quia vero dilecti sunt a Deo, ideo et in habitatione collocati, hoc est firmam in omnibus felicitatibus permansionem adepti sunt. Scriptum est enim : « Dominus habitare facit unanimes in domo [39]. » Ait et alicubi divinus Isaias de eo qui vitam agit virtute singularem : « Ambulans in justitia qui odit iniquitatem et injustitiam, et manus abstinens a muneribus. Obturans aures, ut non audiat judicium sanguinis, et claudens oculos, ut non videat iniquitatem hic habitabit in excelsa spelunca petræ fortis [40]. » Probabiliter etiam dicemus, domum datam a Deo sanctis Ecclesiam, sive supernas mansiones ; quam rem omni admiratione dignam censet et beatus David, sic universorum Salvatorem alloquens : « Beati qui habitant in domo tua, in sæcula sæculorum laudabunt te [41]. »

A Ἰούδας, σέσωσται δὲ καὶ ὁ οἶκος Ἰωσήφ. Κατασημαίνεται δὲ διὰ τούτων τὸ ἐξ Ἰσραὴλ αἷμά τε καὶ γένος, ἤγουν ἡ τῶν ἐν Χριστῷ δεδικαιωμένων πληθὺς, τὸν εἰς νοῦν καὶ καρδίαν περιφέροντες Ἰουδαῖον, καὶ περιτομὴν λαχόντες τὴν ἐν πνεύματι, καὶ νοῦν ἔχοντες ὁρῶντα Θεόν· ἑρμηνεύεται γὰρ οὕτως ὁ Ἰσραήλ. Ἐπειδὴ δὲ ἠγάπηνται παρὰ Θεοῦ, ταύτῃ τοι καὶ κατῳκίσθησαν, τουτέστιν ἐρηρεισμένην ἐσχήκασι τὴν ἐφ' ἅπασι τοῖς ἁρίστοις διαμονήν. Γέγραπται γὰρ, ὅτι « Κύριος κατοικίζει μονοτρόπους ἐν οἴκῳ. Ἔφη δέ που καὶ ὁ θεσπέσιος Ἡσαΐας περὶ τοῦ ἐξαίρετον ἀσκοῦντος βίον· « Πορευόμενος ἐν δικαιοσύνῃ, μισῶν ἀνομίαν καὶ ἀδικίαν, καὶ τὰς χεῖρας ἀπεχόμενος ἀπὸ δώρων. Βαρύνων τὰ ὦτα, ἵνα μὴ ἀκούσῃ κρίσιν αἵματος, καὶ μύων τοὺς ὀφθαλμοὺς, B ἵνα μὴ ἴδῃ ἀδικίαν, οὗτος οἰκήσει ἐν ὑψηλῷ σπηλαίῳ πέτρας ὀχυρᾶς. » Οὐκ ἀπίθανον δὲ καὶ οἶκον δεδόσθαι λέγειν παρὰ Θεοῦ τοῖς ἁγίοις τὴν Ἐκκλησίαν, ἤγουν τὰς ἄνω μονάς· καὶ δὴ καὶ παντὸς ἀξιοῖ τὸ χρῆμα θαύματος ὁ μακάριος Δαβὶδ, οὕτω λέγων πρὸς τὸν ὅλων Σωτῆρα καὶ Θεόν· « Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε. »

Vers. 7. *Et erunt quemadmodum quando non abjeceram eos, quia ego Dominus Deus eorum, et exaudiam eos, et erunt quasi pugnatores Ephraim.*

Καὶ ἔσται ὃν τρόπον οὐκ ἀπεστρεψάμην αὐτοὺς, διότι ἐγὼ Κύριος ὁ Θεὸς αὐτῶν, καὶ ἐπακούσομαι αὐτῶν, καὶ ἔσονται ὡς μαχηταὶ τοῦ Ἐφραΐμ.

LXX. Confusis Græciæ sapientibus, qui et equites appellati sunt, confortaturum sese promittit, et habitatione donaturum misericordia gavisos, addens, « Quia dilexi eos. » Et quid emolumenti ex eo percepturi sint, quod a Deo dilecti sunt, sequentibus explanat : **750** « Sicut, inquit, cum non abjeceram eos. » Non enim eos penitus neglexi, sed visitavi, etiam periculis conflictantes, « Quia ego Dominus Deus ipsorum, » hoc est eorum supplices preces exaudiam, « et erunt ut pugnatores Ephraim. » Ac si rursum dicat, aliquando per animi et mentis imbecillitatem velut dissoluti et jacentes eo jam fortitudinis spiritualis progredientur, ut de cætero Ephraimitis, quorum nomen in laude est, æquales videantur, hoc est de genere Judæorum apostolis, et evangelistis. Hi enim bellatores fuerunt, intelligentiæ non sensui patentes, oppugnantes inimicos, ferientes adversarios, et vincentes « principatus, potestates, et dominationes, et spiritualia nequitiæ [42], » et sacræ prædicationis adversarios citra pugnam superantes. Fuerunt item ex gentium populis vocati per fidem ad agnitionem Christi viri sancti, et spiritu Dei pleni, et tanquam bellatores Ephraim. Bellatores enim fuerunt : pro viribus namque apostolorum vivendi genus, illorumque virtutem iisdem vestigiis incedendo æmulantes, ipsi quoque intrepide contra veritatis inimicos, contraque vitia et peccata decertarunt.

Ο'. Κατηχυμμένων τῶν παρ' Ἕλλησι καὶ σοφῶν, οἳ καὶ ἱππεῖς ὠνομάσθησαν, κατισχύσειν ἐπαγγέλλεται, καὶ κατοικίσειν τοὺς ἠλεημένους, ἐπιφέρων, C « Ὅτι ἠγάπηκα αὐτούς. » Καὶ τί κερδανοῦσιν ἐκ τοῦ ἠγαπῆσθαι παρὰ Θεοῦ, διερμηνεύεται πάλιν, « Ὥσπερ, φησὶν, ὅτε οὐκ ἀπεστρεψάμην αὐτούς. » Οὐ γὰρ περιεῖδον εἰς ἅπαν, ἐπεσκεψάμην δὲ κεκινδυνευκότας, διότι ἐγὼ Κύριος ὁ Θεὸς αὐτῶν, τουτέστι ποιήσομαι δεκτὰς τὰς παρ' αὐτῶν λιτὰς, καὶ ἔσονται ὡς μαχηταὶ τοῦ Ἐφραΐμ. » Ὅμοιον ὡς εἰ λέγοι πάλιν· οἳ ποτε διὰ νοῦ καὶ φρενὸς ἀσθένειαν οἷονεὶ παρειμένοι τε καὶ κείμενοι, ἰσχύος εἰς τοῦτο ἤδη τῆς πνευματικῆς ἐνεχθήσονται ὡς ἤδη πως ἐν ἴσῳ τετάχθαι δοκεῖν τοῖς ἐξ Ἐφραΐμ ηὐδοκιμηκόσι, τουτέστι τοῖς ἐξ Ἰουδαίων ἀποστόλοις τε καὶ εὐαγγελισταῖς. Μαχηταὶ γὰρ οἱ τοιοῖδε γεγόνασι νοητοὶ, καταθλοῦντες ἐχθρῶν, βάλλοντες τοὺς ὑπεναντίους, καὶ νικῶντες μὲν « ἀρχὰς, δυνάμεις τε καὶ κυριότητας, καὶ τὰ D πνευματικὰ τῆς πονηρίας, » κρατοῦντες δὲ ἀμαχεὶ τῶν ἀνθεστηκότων τοῖς ὁσίοις κηρύγμασι. Γεγόνασι δὲ καὶ ἐκ τῆς τῶν ἐθνῶν πληθύος κεκλημένοι διὰ πίστεως εἰς ἐπίγνωσιν τοῦ Χριστοῦ, ἄνδρες ἅγιοι καὶ πνευματοφόροι, καὶ ὡς μαχηταὶ τοῦ Ἐφραΐμ. Μαχηταὶ γὰρ γεγόνασι· κατὰ γὰρ τὸ ἐγχωροῦν τὴν τῶν ἀποστόλων πολιτείαν, καὶ τὴν ἐκείνων ἰχνηλατοῦντες ἀρετὴν κατηνδρίσαντο καὶ αὐτοὶ, κατὰ τῶν τῆς ἀληθείας ἐχθρῶν, καὶ παθῶν, καὶ ἁμαρτίας.

Et lætabitur cor eorum quasi in vino, et filii eorum videbunt, et lætabuntur, et gaudebit cor eorum in Domino.

Καὶ χαρήσεται ἡ καρδία αὐτῶν ὡς ὑπ οἴνῳ, καὶ τὰ τέκνα αὐτῶν ὄψονται, καὶ εὐφρανθήσονται, καὶ χαριεῖται ἡ καρδία αὐτῶν ἐπὶ τῷ Κυρίῳ.

[38] Rom. II, 25 seqq. [39] Psal. CXII, 9. [40] Isa. XXXIII, 15, 16. [41] Psal. LXXXIII, 5. [42] Ephes. VI, 12.

Digitized by Google

ΟΑ'. Τῶν οἴνου ἐκπεπωκότων ἐκμελὴς ἀεί πώς ἐστιν ὁ νοῦς, καὶ φροντίδος καταφρονητής. Προσίεται γὰρ οὐχὶ τὸ καταλυπεῖν εἰωθὸς, ἀνεῖται δὲ ὥσπερ, καὶ μερίμνης ἀπάσης κατευμεγεθεῖ. Εἰ τοίνυν γένοιντο, φησὶν, ὡς μαχηταὶ τοῦ Ἐφραΐμ, τότε δὴ, τότε καὶ τὴν ἐπί γέ σφισιν αὐτοῖς εἰσδέξονται θυμηδίαν, ὡς δὲ λαμπροὶ καὶ εὐδόκιμοι τῇ τῶν ἐσομένων ἀγαθῶν ἐλπίδι κατευφρανθήσονται, καὶ τῆς ἐξαιρέτου πολιτείας ἕξουσι μιμητὰς, τοὺς ἐξ αὐτῶν γεγονότας υἱοὺς, πνευματικοὺς δηλονότι. Τοιοῦτος ἦν καὶ ὁ θεσπέσιος Παῦλος, τοῖς δι' αὐτοῦ κεκλημένοις ἐπιστέλλων τε καὶ λέγων· « Κἂν μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ' οὐ πολλοὺς πατέρας. Ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. » Οὐκοῦν τὰ ἐξ αὐτῶν ἐσόμενα τέκνα « ὄψονται καὶ εὐφρανθήσονται. » Γεγονότα γὰρ ἐν θεωρίαις ταῖς ἐπὶ Χριστῷ, καὶ τοῦ μυστηρίου τὴν δύναμιν ἐκμεμαθηκότα, καὶ ταῖς τοῦ Πνεύματος χορηγίαις πεφωτισμένα, πράξουσι δεξιῶς, καὶ τὴν ἐπ' αὐτῷ τῷ Σωτῆρι Χριστῷ θυμηδίαν εἰσδέξονται, καὶ αὐτὸν ποιήσονται χαράν τε καὶ τέρψιν, καὶ ἀγαλλίασιν ψυχῆς καὶ καρδίας. Γένοιτο δ' ἂν καὶ τοῦτο σαφὴς ἀπόδειξις τοῦ ζῆν ἐλέσθαι θεοφιλῶς. Οἱ μὲν γὰρ τοῖς ἐν κόσμῳ πράγμασι τῆς ἑαυτῶν διανοίας ἀπονέμοντες τὴν ῥοπὴν, καὶ νενευκότες εἰς τὰ αἰσχίω, χαίρουσιν ἐπ' αὐτοῖς, καὶ θυμηδίαν ποιοῦνται τὸ χρῆμα, καὶ γεγήθασιν ἐπὶ σαρκὸς ἡδοναῖς, καὶ ταῖς ἑτέραις τοῦ παρόντος βίου τρυφαῖς ἐνσπαταλᾷν εἰωθότες, ὀλίγου παντελῶς ἀξιοῦσι λόγου τὰ παρὰ Θεῷ. Οἱ δὲ ἐξ ὅλης καρδίας ζητοῦντες αὐτὸν, καὶ ταῖς ἐπ' αὐτῷ θεωρίαις καταπιαινόμενοι, καὶ τῆς διανοίας παραδέξονται θυμηδίας.

A LXXI. Eorum qui vinum biberunt mens semper quasi inconcinna et absona est, curisque salutem dicit. Nec enim quidquam tristificum admittit, sed laxatur quodammodo, et omnibus sollicitudinibus dominatur. Si igitur fuerint, inquit, ut bellatores Ephraim, tunc, tunc animi ipsorum gaudio perfundentur, et ut illustres probatique futurorum bonorum spe lætabuntur, et eximiæ vitæ suæ imitatores ex se natos filios suos, spirituales puta, habebunt. Talis erat et divinus Paulus, per se vocatis ita scribens ac dicens : « Etsi decem millia pædagogorum habeatis in Christo, sed non multos patres. In Christo enim Jesu per Evangelium ego vos genui [44]. » Nascituri igitur ex illis filii « videbunt et lætabuntur. » Nam progeniti in meditationibus rerum Christi, et virtute mysterii percepta, et largitionibus Spiritus illuminati, feliciter habebunt, et quæ est in Christo Salvatore, jucunditatem haurient, ipsumque gaudium, 751 et delectationem, et exsultationem animæ atque cordis sibi facient. Potest et hoc manifestum esse indicium, eos statuisse Deum vita et moribus diligere. Qui enim rebus mundanis animum suum applicant, et ad inhonesta se abjiciunt, gaudent in ipsis, et ea sibi materiam oblectamenti deligunt, lætanturque in voluptatibus carnis, et aliis præsentis vitæ deliciis assueti, divinas res in postremis numerant. Qui autem ex toto corde ipsum quærunt, et contemplationibus de ipso saginantur, et mentis oculum dilatant, voluptatibus quæ in ipso et solo sunt, perfruentur.

B

Σημανῶ αὐτοῖς, καὶ εἰσδέξομαι αὐτοὺς, διότι λυτρώσομαι αὐτοὺς, καὶ πληθυνθήσονται καθότι ἦσαν πολλοί. Καὶ σπερῶ αὐτοὺς ἐν λαοῖς, καὶ οἱ μακρὰν μνησθήσονταί μου, καὶ ἐκθρέψουσι τὰ τέκνα αὐτῶν, καὶ ἐπιστρέψουσι.

C VERS. 8, 9. *Significabo eos, et suscipiam eos, quia redimam eos, et multiplicabuntur, sicut erunt multi. Et seminabo eos in populis, et qui de longe, recordabuntur mei, et enutrient filios suos, et convertentur.*

ΟΒ'. Διαμέμνηται πάλιν τῆς Ἰουδαίων ἀγάπης, καὶ δὴ καὶ ὑπισχνεῖται συλλέγειν αὐτοὺς κατεσκεδασμένους, καὶ ἐξ ἁπάσης γῆς συναγείρειν εἰς τὴν Ἰουδαίαν, ὡς ἀπονοσφίζεσθαι παντελῶς οὐδένα. Καὶ τίνα τρόπον ἡ ἄθροισις ἔσται, κατασημαίνει πάλιν. Τοὺς μὲν γὰρ μελιττοκόμους φασὶ σημεῖά τινα ποιεῖν, ἢ συρίζοντας, ἤγουν ἕτερ' ἄττα δρᾷν εἰωθότας, οὕτω τε συλλέγειν τὰ τῶν μελιττῶν ἔθνη, τῶν σίμβλων ἀποικοστήσαντα. Εἴρηται δέ τι τοιοῦτον καὶ διὰ φωνῆς Ἡσαΐου. « Καὶ ἔσται γὰρ, φησὶν, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, συριεῖ Κύριος μυίαις, οἱ κυριεύουσι μέρος ποταμοῦ D Αἰγύπτου, καὶ τῇ μελίσσῃ, ἣ ἐστιν ἐν χώρᾳ Ἀσσυρίων. » Ἕτεροι δέ φασι, καὶ τοῖς τοῦ πολέμου καιροῖς, εἰ δή συμβαίνει διασκίδνασθαί πως τοὺς μαχητὰς, ἢ διώκοντας ἢ διωκομένους, αἴρεσθαί τι σημεῖον ὑψοῦ παρὰ τῶν στρατηγῶν, εἰς ὃ καὶ ἀφορῶντες, συναθροίζονταί τε καὶ εἰς τὸν αὐτὸν ἀνόπιν ἴενται χῶρον. Ὑποφαίνει δέ τι τοιοῦτον καὶ τὸ παρὰ τῷ προφήτῃ κείμενον Ἡσαΐᾳ· « Καὶ ἔσται ὡς ἱστὸς ἐπ' ὄρους, καὶ ὡς σημεῖον φέρων ἐπὶ βουνοῦ. » Οὐκοῦν

LXXII. Meminit rursum charitatis in Judæos, et insuper collecturum eos dispersos, et ex omnibus terris congregaturum in Judæam promittit, ut nemo plane desideretur. Modum autem hujus futuræ congregationis deinceps ostendit. Aiunt enim mellarios signa quædam edere, aut sibilare, aut alia nescio quæ solere, et ita examina ad alvearia deserta revocare. Tale quidpiam et per Isaiam dictum est. Ait enim : « Et erit in die illa, sibilabit Dominus muscis, quæ dominantur parti fluminis Ægypti, et api quæ est in regione Assyriorum [45]. » Alii aiunt et belli tempore, si milites dissipari contingat, dum aut fugientes insequuntur, aut ipsi insequentes fugiunt, tolli ex edito loco signum a ducibus, quod intuentes congregantur, et eodem se recipiunt. Demonstrat simile quiddam et quod apud prophetam Isaiam exstat. « Et erit sicut malus navis super montem, et quasi signum ferens super collem [46]. » Ex eo igitur quod fieri assolet, similitudinem trahit. Ait enim : « Significabo eis, et susci-

[44] I Cor. IV, 15. [45] Isa. VII, 18. [46] Isa. XXX, 17.

Digitized by Google

piam eos. » Excitatum est enim nobis signum magnum et insigne, crux Salvatoris, per quod etiam accepti evasimus Deo et Patri. Præterea redempti sumus, et in multitudinem immensam excrevimus, qui credidimus. Quia vero adjecit, « Et seminabo eos in populis, et longe distantes ab illis venient, et recordabuntur mei, » rursum illud dicimus, nec id a scopo aberrantes, multum enim probabilitatis habet. **752** Quasi disseminati sunt in multis gentibus et in omni regione atque urbe divini discipuli et Evangelii præcones, effeceruntque ut remotissimi a Deo, propter interpositum peccatum et errorem, recordarentur ipsius, et universorum Salvatorem ac procreatorem, quamvis aliquando creaturam pro numine coluissent, et ideo amicitia Dei excidissent, animo complecterentur. Itaque divinus Paulus per ipsum vocatos in agnitionem Christi alloquens, « Nunc autem vos, inquit, qui aliquando procul, facti estis prope [66]. » Venient igitur memores Dei. Non dissimile quiddam nobis beatus propheta Jeremias insinuat, velut Israelem alloquens : « Qui procul estis recordamini Domini, et Jerusalem ascendat in cor vestrum [67]. » Quod si omnino ejus, qui est natura Deus, memores fuerint, tunc, tunc ad spirituale robur tantos progressus habebunt, ut et filios generent, et sermonibus pietatis suos liberos enutriant, et in hoc ipso glorientur. Scribit et beatus Paulus per ipsum educatis, et in virum perfectum atque in ætatem plenitudinis Christi adductis [68], jam quidem, [Gaudium et corona mea [69]] jam, « Per vestram gloriationem quam habeo in Christo Jesu [70] : » — « Corona enim senum filii filiorum, ut scriptum est [71] : gloria autem filiorum patres ipsorum. »

A ἐκ τοῦ γίνεσθαι πεφυκότος δέχεται τὴν ὁμοίωσιν. « Σημανῶ γὰρ, φησὶν, αὐτοῖς, καὶ εἰσδέξομαι αὐτούς. » Ἐγήγερται γὰρ σημεῖον ἡμῖν μέγα καὶ ἐπιφανὲς ὁ τοῦ Σωτῆρος σταυρὸς, δι' οὗ καὶ γεγόναμεν δεκτοὶ τῷ Θεῷ καὶ Πατρί. Καὶ μὴν καὶ ἐκλελυτρώμεθα, καὶ εἰς πληθὺν ἀμέτρητον ἐξεδράμομεν οἱ πεπιστευκότες. Ἐπειδὴ δὲ προσέθηκεν, ὅτι « Καὶ σπερῶ αὐτοὺς ἐν λαοῖς, καὶ οἱ μακρὰν ἀπ' αὐτῶν ἥξουσι, καὶ μνησθήσονταί μου, » πάλιν ἐκεῖνό φαμεν, καὶ οὐκ ἀπὸ σκοποῦ· πολὺ γὰρ ἔχει τὸ εἰκὸς ὁ λόγος. Κατεσπάρησαν γὰρ ὥσπερ ἐν πολλοῖς ἔθνεσι καὶ ἐν ἁπάσῃ δὲ χώρᾳ καὶ πόλει οἱ θεσπέσιοι μαθηταὶ καὶ τῶν θείων Εὐαγγελίων κήρυκες, καὶ τοὺς ἀποτάτω γεγονότας Θεοῦ διὰ τὴν μεσολαβήσασαν ἁμαρτίαν τε καὶ πλάνην μνησθῆναί τε αὐτοῦ, καὶ εἰς νοῦν B ἐλεῖν παρεσκεύασαν τὸν τῶν ὅλων Σωτῆρα καὶ γενεσιουργὸν, καίτοι πάλαι τῇ κτίσει τὸ σέβας ἀνάπτοντας, ταύτῃτοι καὶ τῆς πρὸς Θεὸν οἰκειότητος ἐκπεφοιτηκότας. Καὶ γοῦν ὁ θεσπέσιος Παῦλος τοῖς δι' αὐτοῦ κεκλημένοις εἰς ἐπίγνωσιν τοῦ Χριστοῦ προσεφώνει, λέγων· « Νυνὶ δὲ ὑμεῖς, οἵ ποτε ὄντες μακρὰν, ἐγενήθητε ἐγγύς. » Ἥξουσι δὴ οὖν μνησθέντες τοῦ Θεοῦ. Καίτοι τοιοῦτον ἡμῖν ὁ μακάριος προφήτης Ἱερεμίας ὑπαινίττεται, λέγων ὡς πρός γε τὸν Ἰσραήλ· « Οἱ μακρόθεν, μνήσθητε τοῦ Κυρίου, καὶ Ἱερουσαλὴμ ἀναβήτω ἐν τῇ καρδίᾳ ὑμῶν. » Εἰ δὲ δὴ μνησεῖεν (1) ὅλως τοῦ κατὰ φύσιν Θεοῦ, τότε δὴ, τότε καὶ πνευματικῆς εὐρωστίας βαδιοῦνται πρὸς τοῦτο, ὥστε καὶ τέκνων αὐτοὺς γενέσθαι πατέρας, καὶ τοῖς εἰς εὐσέβειαν λόγοις ἐκθρέψαι τὰ ἴδια τέκνα, καὶ ἐπ' αὐτῷ δὴ τούτῳ σεμνύνεσθαι. Γράφει δέ που καὶ ὁ θεσπέσιος Παῦλος τοῖς δι' αὐτοῦ τεθραμμένοις, καὶ εἰς ἄνδρα τέλειον ἀναβεβηκόσι, καὶ εἰς μέτρον ἡλικίας ἥκουσι τῆς ἐν Χριστῷ, ποτὲ μὲν, « Χαρὰ καὶ στέφανός μου· » ποτὲ δὲ πάλιν, « Νὴ τὴν ὑμετέραν καύχησιν ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ· » — « Στέφανος γὰρ γερόντων τέκνα τέκνων, κατὰ τὸ γεγραμμένον· καύχημα δὲ τέκνων, πατέρες αὐτῶν. »

C

VERS. 10. *Et convertam eos de terra Ægypti, et de Assyriis suscipiam illos, et in Galaaditin, et in Libanum introducam eos, et non relinquetur ex eis ullus.*

Καὶ ἀποστρέψω αὐτοὺς ἐκ γῆς Αἰγύπτου, καὶ ἐξ Ἀσσυρίων εἰσδέξομαι αὐτούς, καὶ εἰς τὴν Γαλααδῖτιν, καὶ εἰς τὸν Λίβανον εἰσάξω αὐτούς, καὶ οὐ μὴ ὑπολειφθῇ ἐξ αὐτῶν οὐδείς.

LXXIII. Quando Nabuchodonosor Judæam armis subjugavit, sacratissimumque templum, et ipsa urbs Hierosolyma conflagravit, tunc et universus Israel est afflictatus [72]. Alii siquidem in Assyrios et Medos captivi sunt abducti : alii, qui eorum crudelitatem evadere et effugere potuerunt, timentes, et paribus implicari ærumnis horrentes, ultro se ad Ægyptios contulerunt, servitutisque apud eos jugum necessitate compulsi subierunt. Itaque postquam eos congregaturum undique pollicitus est, meminit et locorum in quos abducti sunt : alii captivi facti, ut dixi ; alii intolerandis terroribus ad ea quæ nolebant exsequenda adacti.

ΟΓ'. Ὅτε τὴν Ἰουδαίαν εἶλε μὲν κατὰ κράτος ὁ Ναβουχοδονόσωρ, ἐμπέπρητο δὲ καὶ ὁ θεῖος νεὼς αὐτά τε τὰ Ἱεροσόλυμα, τότε καὶ ἅπας τεταλαιπώρηκεν ὁ Ἰσραήλ. Οἱ μὲν γὰρ εἰς Ἀσσυρίους καὶ Μήδους αἰχμάλωτοι γεγονότες ἀπεκομίζοντο· οἱ δὲ τῆς ἐκείνων ὠμότητος ἔξω γεγονότες, καὶ διαφυγεῖν ἰσχύσαντες, δεδιότες καὶ παραιτούμενοι τὸ ἐναλῶναι τοῖς ἴσοις, αὐτόμολοί τε πρὸς Αἰγυπτίους ἦσαν, καὶ τῆς ὑπ' ἐκείνοις θητείας τὸν ἀδούλητον μὲν, πλὴν ἐξ ἀνάγκης ἐπερρίμμενον ὑποδεδραμήκασι ζυγόν. Οὐκοῦν ἐπειδήπερ συναγείρειν αὐτοὺς πανταχόθεν ἐπηγγέλλετο, διαμέμνηται καὶ τόπων εἰς οὓς καὶ ἀπεκομίσθησαν· οἱ μὲν, αἰχμάλωτοι γεγονότες, ὡς ἔφην, οἱ δὲ ἀφορήτοις δείμασι πρὸς τὰ παρὰ γνώμην αὐτοῖς συνωθούμενοι.

D

[66] Ephes. II, 13. [67] Jerem. LI, 50. [68] Ephes. IV, 13. [69] Philipp. IV, 1. [70] Rom. XV, 17. [71] Prov. XVII, 6. [72] IV Reg. XXV, 8 seqq.

(1) Lego διαμνησθεῖεν

Digitized by Google

Ἐπειδὴ δὲ τῆς πνευματικῆς ἑρμηνείας μεταποιεῖσθαι πρέπει τοῖς ὅτι μάλιστα φιλοθεωτάτοις καὶ πνευματικοῖς, φαμὲν, ὅτι τῆς τῶν ἀοράτων ἐχθρῶν χώρας, ἤτοι χειρὸς ἐξέλκειν αὐτοὺς ἐπαγγέλλεται, καὶ πάντὸς μὲν δείματος ἐλευθεροῦν· αἰχμαλώτους δὲ ὄντας, καὶ οἷον ὑφ' ἑτέρους κειμένους, μονονουχὶ καὶ ἀναμορφοῦν εἰς ἐλευθερίαν. Ἢ καὶ καθ' ἕτερον τρόπον, σκοτισμοῦ καὶ συγχύσεως ἀπαλλαγήσεσθαί φησιν· Αἴγυπτος μὲν γὰρ *σκοτισμός*, Βαβυλὼν δὲ *σύγχυσις* ἑρμηνεύεται. Ἀδιαφορεῖ δὲ πλειστάκις ὁ λόγος, Ἀσσυρίους τε καὶ Βαβυλωνίους εἰς ἔθνος καταλογιζόμενος ἕν, διά τοι τὸ ὑφ' ἑνὶ κεῖσθαι σκήπτρῳ, καὶ μίαν ἐπ' αὐτοὺς τετάχθαι τὴν βασιλείαν. Ἀελυτρωμένους δὴ οὖν ἐκ τῆς τῶν πλεονεκτούντων χειρὸς, εἰσκομιεῖν ἐπαγγέλλεται εἴς τε τὴν Γαλααδῖτιν (μοῖρα δὲ αὕτη τῆς Ἰουδαίων γῆς ἡ πamφορωτάτη καὶ εὔκαρπος) καὶ μὴν καὶ εἰς τὸν Λίβανον, καὶ τοῦτο ὄρος εὔξυλόν τε καὶ μέγα τῆς Ἰουδαίων τε καὶ Φοινίκων γῆς ἐν μεθορίοις κείμενον. Σημαίνεται δὲ δι' ἀμφοῖν ἐκεῖνο, οἶμαί που. Ἀπαλλάξας γὰρ ἡμᾶς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὡς ἐξ Αἰγύπτου καὶ Ἀσσυρίων, τουτέστι, τῆς τῶν αἰχμαλωτισάντων πλεονεξίας, πονηροὶ δὲ οὗτοι καὶ ἀκάθαρτοι δαίμονες, εἰσκεκόμικεν οἷάπερ εἰς γῆν εὔξυλόν τε καὶ λιπαρωτάτην τὴν Ἐκκλησίαν, ἐν ᾗ πολὺς μὲν λίαν ὁ τῶν εὐδοκιμούντων καρπὸς, οὐκ εὐαρίθμητοι δὲ τῶν ἁγίων κεφαλαὶ, ὑψοῦ τε ἠρμέναι δι' ἀρετὴν, καὶ οἷον ἐν τάξει κέδρου ἀνατεθηλυῖαι (1), καὶ περὶ αὐτῶν λέγοιτο, καὶ σφόδρα εἰκότως, τὸ διὰ φωνῆς τοῦ Δαβὶδ, πρὸς τὸν τῶν ὅλων Θεόν· « Αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας. » Θεοῦ γὰρ γεώργιον τοὺς ἐν πίστει δεδικαιωμένους ὠνόμαζε σαφῶς καὶ ὁ θεσπέσιος Παῦλος.

A **753** Quia vero spiritualem interpretationem Dei amantissimos et spirituales capessere æquum est, dicimus eum promittere se de regione, sive manu hostium inaspectabilium eos erepturum, et omni formidine soluturum : captivos autem et velut aliis subjacentes quasi in libertatem transformaturum. Aut etiam secundum aliam intelligentiam, tenebris et confusione liberatum iri dicit : Ægyptum enim *tenebras*, Babylonem *confusionem* reddunt. Sæpissime autem sine discrimine Assyrii et Babylonii pro una gente usurpantur, quod uni sceptro subditi et sub uno regno essent. Liberatos igitur de manu dominantium, et in Galaaditin (pars fuit Judææ, fructuum omnis generis feracissima) et insuper in Libanum introducturum spondet ; et hic mons est B ingens et speciosis refertus arboribus, in confinibus Judæorum ac Phœnicum situs. Per utrumque porro illud, opinor, significatur. Cum nos Dominus noster Jesus Christus tanquam ex Ægypto et Assyriis liberasset, hoc est, ex potestate eorum quorum captivi eramus, puta malignorum et immundorum dæmonum, ceu in terram nemorosam et opimissimam, in Ecclesiam introduxit, in qua uberrimi spectatorum hominum fructus et innumerabilia capita sanctorum, per virtutem in fastigio locatorum, et instar cedrorum in altum efflorescentium, de quibus verissime illud Davidis ad Deum universorum protuleris : « Cedri Libani quas plantasti [53]. » Dei enim agriculturam in fide justificatos expresse etiam divinus Paulus nominavit [54].

Καὶ διελεύσονται ἐν θαλάσσῃ στενῇ, καὶ πατάξουσιν ἐν θαλάσσῃ κύματα, καὶ ξηρανθήσεται πάντα τὰ βάθη τῶν ποταμῶν, καὶ ἀφαιρεθήσεται πᾶσα ὕβρις Ἀσσυρίων, καὶ σκῆπτρον Αἰγύπτου περιαιρεθήσεται, καὶ κατισχύσω αὐτοὺς ἐν Κυρίῳ Θεῷ αὐτῶν, καὶ ἐν τῷ ὀνόματι αὐτοῦ καταkαυχήσονται, λέγει Κύριος.

C Vers. 11, 12. *Et pertransibunt in mar angusto, et percutient in mari fluctus, et siccabuntur omnia profunda fluviorum, et auferetur omnis superbia Assyriorum, et sceptrum Ægypti tolletur, et confortabo eos in Domino Deo ipsorum, et in nomine ejus gloriabuntur, dicit Dominus.*

ΟΔ'. Ὡς ἐξ ὁμοιότητος τῶν τοῖς ἀρχαιοτέροις δεδωρημένων τοῖς εἰς Χριστὸν πιστεύουσι τῆς ἐπικουρίας ἡ ὑπόσχεσις. Ὥσπερ γὰρ τὴν Ἐρυθρὰν διεβιβάσθη θάλασσαν ὁ Ἰσραὴλ, τῶν ἐν αὐτῇ κατευμεγεθησας κυμάτων, ἐπάγη γὰρ ὡσεὶ τεῖχος τὰ ὕδατα, Θεοῦ τὸ χρῆμα παραδόξως περαίνοντος, καὶ ὥσπερ ποδὶ διεβίβασαν τὸν Ἰορδάνην· οὕτω, φησὶν, οἱ διὰ Μωσέως κεκλημένοι πρὸς ἐπίγνωσιν τοῦ Χριστοῦ, καὶ ταῖς τῶν ἁγίων ἀποστόλων μυσταγωγίαις ἀνασεσωσμένοι, διαπεραιώσονται μὲν οἷά τινα θάλασσαν ἀγρίως κατακυμαίνουσαν τοῦ παρόντος βίου τὸν κλύδωνα, καὶ τύρβης ἔξω γεγονότες κοσμικῆς, σχολαίοι λατρεύουσι τῷ κατὰ φύσιν ὄντι Θεῷ. Διαβήσονται δὲ καὶ πειρασμοὺς, οἷά τινας ποταμοὺς ἐπικλύζοντας, ὡς ἐπ' αὐτῷ δὴ τούτῳ χαίροντας λέγειν· « Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, εἰπάτω δὴ Ἰσραὴλ, εἰ μὴ ὅτι

LXXIV. Juxta ea quæ donata sunt veteribus, similitudine quadam auxilium in Christum credentibus promittitur. Quemadmodum enim traductus est per mare Rubrum Israel, et fluctibus ejus imperavit, instarque muri aquæ riguerunt, Deo id mirabiliter agente [55] ; et sicut **754** sicco pede Jordanem transierunt [56] : ita, inquit, per Mosen vocati ad agnitionem Christi, et sanctorum apostolorum sacris institutionibus salutem consecuti, D quasi mare quoddam turbinibus et procellis agitatum, præsentis vitæ fluctus transmittent, et tumultu mundano expediti, vacui servient ei qui est natura Deus. Transibunt item tentationes veluti quosdam fluvios inundantes, ut hoc ipso gaudentes dicant : « Nisi quia Dominus erat in nobis, dicat nunc Israel; nisi quia Dominus erat in nobis, dum in-

[53] Psal. cm, 16. [54] I Cor. m, 9. [55] Exod. xiv, 15 seqq. [56] Josue m, 1 seqq.

(1) Erat ἀνατεθῄλας, quod non respondebat participio præcedenti.

Digitized by Google

surgerent homines contra nos, forsitan vivos deglutissent nos. Dum irasceretur furor eorum in nos, forsitan aqua absorbuisset nos. Torrentem pertransivit anima nostra, forsitan pertransisset anima nostra aquam intolerabilem [87]. » Quemadmodum porro, inquit, captivus factus Israel, atque ad Assyrios et Medos abductus, illorum insolentiam sive dominatum effugit, qui eum premere semper armisque lacessere consueverant : eodem modo liberati per Christum prævalebunt inimicis sub aspectum venientibus et non venientibus, et qui ad servitutem nolentes adigebant, et ut captivos vinculis e stulta eorum voluntate sumptis coercebant. Sed et his prævalebunt, eorumque superbiam et dominationem effugient, Deo confortante, in quo et gloriabuntur. Placemus enim nobis in Christo, et ipsum robur nostrum ducimus, et ipso nitimur, et totam vitæ nostræ spem in eo defigimus. Non enim legatus, non angelus, sed ipse Dominus salvavit nos [88]; et ut dicit beatus Psalmicen, « Deus noster refugium et virtus, auxiliator in tribulationibus quæ invenerunt nos nimis [89]. »

A Κύριος ἦν ἐν ἡμῖν, ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς. Ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτῶν ἐφ' ἡμᾶς, ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς. Χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν, ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον. » Ὥσπερ δὲ, φησὶν, αἰχμάλωτος γεγονὼς ὁ Ἰσραὴλ, καὶ εἰς Ἀσσυρίους τε καὶ Μήδους ἀπενηνεγμένος, διέδρα τὰς ἐκείνων ὕβρεις ἤτοι πλεονεξίας, ἀεὶ προσκειμένων καὶ πολεμεῖν εἰωθότων αὐτοῖς· κατὰ τὸν ἴσον τρόπον, φησὶν, οἱ λελυτρωμένοι διὰ Χριστοῦ, κρείττους ἔσονται τῶν ἐχθρῶν, ὁρατῶν δηλονότι καὶ ἀοράτων, οἳ μονονουχὶ καὶ κατεδιάζοντο πρὸς ἀβούλητον δουλείαν αὐτοὺς, καὶ οἷον αἰχμαλώτους γεγονότας τῆς ἐξ ἰδίας σκαιότητος συνείχον δεσμοῖς. Ἀλλὰ καὶ τούτων ἔσονται κρείττους, ὕβρεις B τε τὰς παρ' ἐκείνων διαφεύξονται καὶ πλεονεξίας, Θεοῦ κατισχύοντος, ἐφ' ᾧ καὶ καυχήσονται. Μέγα γὰρ φρονοῦμεν ἐπὶ Χριστῷ, καὶ αὐτὸν ἰσχὺν πεποιήμεθα, καὶ ἐπ' αὐτῷ τεθαῤῥήκαμεν, καὶ τῆς ἑαυτῶν ζωῆς ὅλας ἔχομεν τὰς ἐλπίδας. Οὐ γὰρ πρέσβυς, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς· καὶ ᾗ φησιν ὁ μακάριος Ψαλμῳδὸς, « Ὁ Θεὸς ἡμῶν καταφυγὴ, καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα.

CAP. XI.

VERS. 1, 2. *Aperi, Libane, portas tuas, et comedat ignis cedros tuas. Ululet pinus, quia cecidit cedrus, quia vehementer miseri facti sunt optimates. Ululate, quercus Basanitidis, quia succisus est saltus consitus.*

LXXV. Dictarum significationem nunc ad alios quosdam sensus accommodat. Nam cum quod satis est, et aptissime narrasset de vocatione gentium in Christo per fidem, futuram super eo incredulitatem Israelitarum, **755** tempore quo homo inter nos fuit videlicet, luculenter prænuntiat, et hac de causa incendendum templum ipsum, atque etiam Hierosolymam, et insuper subigendas ipsas urbes Israel, et cum ipsis incolis perituras. Hæc autem per manus Romanorum patrata sunt, aliquando in Judæam Vespasiano et Tito arma moventibus. Et est, ut apparet, supervacaneum minutatim singula percensere, quæ Judæorum urbibus, sive populis, propter debacchationem in Christum evenerunt, cum volentibus Josephi historiam legere liceat, et inde quæ libuerit singula accurate cognoscere. Transit igitur ad eos qui erant de sanguine Israel. Et Libano quidem comparat Judæam : quamobrem ? Est enim Libanus mons decoris arboribus et silvis densissimis conspicuus. Judæorum autem regio populosissima, et innumerabilibus incolis frequentissima, et quasi cedros aut pinus procerissimas, et aliis magis visendas, sacerdotes, inquam, et suis temporibus ex tribu Juda regnantes, et qui principatus ornamentis eminentes, tota provincia noti

ΚΕΦΑΛ. ΙΑ'.

Διάνοιξον, ὁ Λίβανος, τὰς θύρας σου, καταφαγέτω πῦρ τὰς κέδρους σου. Ὀλολυξάτω πίτυς, διότι πέπτωκε κέδρος, ὅτι μεγάλως μεγιστᾶνες ἐταλαιπώρησαν. Ὀλολύξατε, δρύες τῆς Βασανίτιδος, ὅτι κατεσπάσθη ὁ δρυμὸς ὁ σύμφυτος.

ΟΕ'. Μεθίστησι νῦν ἐφ' ἑτέρων τινὰ νοημάτων ὁδὸν τῶν λεγομένων τὴν δήλωσιν. Ἀποχρῶσαν δὲ τὴν ἀφήγησιν εὖ μάλα πεποιημένος τὴν περί γε τῆς τῶν ἐθνῶν κλήσεως τῆς ἐν Χριστῷ διὰ πίστεως, τὴν ἐσομένην ἐπ' αὐτῷ δυσπείθειαν τῶν ἐξ Ἰσραὴλ κατὰ τὸν τῆς ἐνανθρωπήσεως δηλονότι καιρὸν, προαφηγεῖται σαφῶς, καὶ ὅτι ταύτης ἕνεκα τῆς αἰτίας κατεμπρησθῆναι δεῖ τὸν ναὸν αὐτὸν, καὶ μέντοι τὰ Ἱεροσόλυμα, προσαλῶναι δὲ καὶ αὐτὰς τοῦ Ἰσραὴλ τὰς πόλεις, καὶ συνδιολεῖσθαι τοῖς ἐνοικοῦσιν αὐτάς. Πέπρακται δὲ ταῦτα διὰ χειρὸς τῶν Ῥωμαίων, στρατηγούντων κατὰ καιρὸν Οὐεσπασιανοῦ τε καὶ Τίτου. D Καὶ περιττὸν, ὡς ἔοικεν, ἀφηγεῖσθαι λεπτῶς ἕκαστα τῶν συμβεβηκότων ταῖς τῶν Ἰουδαίων πόλεσιν, ἤτοι δήμοις, τῆς εἰς Χριστὸν ἕνεκα παροινίας· ἔξὸν τοῖς ἐθέλουσι τοῖς Ἰωσήπου συγγράμμασιν ἐντυχεῖν, ἀναμαθεῖν τε σαφῶς, ἅπερ ἂν ἕλοιντο λεπτῶς. Μεταχωμίζει δὴ οὖν τὸν λόγον ἐπὶ τοὺς ἐξ αἵματος Ἰσραήλ. Καὶ Λιβάνῳ μὲν παρεικάζει τὴν Ἰουδαίαν, διὰ ποίαν αἰτίαν; Εὔξυλον μὲν γὰρ ὄρος ὁ Λίβανος, καὶ δρυμοῖς ἀμφιλαφέσι κατάκομον. Πολυανθρωποτάτη δὲ καὶ ἡ τῶν Ἰουδαίων χώρα, καὶ ἀριθμοῦ κρείττονα τὴν τῶν ἐνοικούντων ἔχουσα πληθὺν, καὶ οἷον κέδρους ἢ πίτυς εὐμηκεστάτας, τοὺς τῶν ἄλλων περιφανεστέρους, ἱερέας τέ φημι καὶ τοὺς ἐκ φυλῆς

[87] Psal. CXXIII, 1-5. [88] Hebr. II, 16. [89] Psal. XLV, 1.

Digitized by Google

Ἰούδα κατὰ καιροὺς βασιλεύοντας, οἳ καὶ τῆς ἡγεμονίας αὐχήμασιν ὑπερανεστηκότες, γνώριμοί τε ἦσαν τοῖς ἀνὰ πᾶσαν τὴν χώραν, ὑψοῦ τε ἠρμένην ἔσχον τὴν δόξαν. Ἐπειδὴ δὲ δεδυσσεβήκασιν εἰς Χριστόν· « Ἦραν γὰρ τὴν κλεῖδα τῆς γνώσεως, καὶ οὔτε αὐτοὶ εἰσῆλθον, οὔτε τοὺς εἰσερχομένους ἀφῆκαν εἰσελθεῖν, » καὶ τελευταῖον ἐταύρωσαν, καίτοι καὶ ἐπεγνωκότες ὅτι αὐτός ἐστιν ὁ κληρονόμος· ταύτῃτοι δικαίως ἅρδην ἀπολώλασιν οἴκοις τε ὁμοῦ καὶ πόλεσι, καὶ φιλτάτοις. Οὐκοῦν αἰνιγματωδῶς Λίβανον μὲν, ὡς ἔφην, τὴν Ἰουδαίαν ἀποκαλεῖ, δένδροις δὲ τοῖς εὐμηκεστάτοις παρεικάζει τοὺς ἐν αὐτῇ προὔχοντας, ὡς τῶν ἄλλων ὑπερῃρμένους καὶ πολὺ λίαν ὑπερφέροντας, ὅτι δὲ ἔμελλεν ἁλῶναί τε ῥᾳδίως, καὶ ὡς ἀπώλετο πόλις εἰσχεόμενον μὲν παραδέξασθαι τὸν τῶν Ῥωμαίων στρατὸν, δαπανηθῆναί τε οὕτως, ὡσανεὶ καὶ δρυμὸς ἐπενεχθείσης φλογὸς, κατασημαίνει, λέγων· « Διάνοιξον, ὁ Λίβανος, τὰς θύρας σου, καὶ καταφαγέτω πῦρ τὰς κέδρους σου. Ὀλολυξάτω πίτυς, διότι πέπτωκε κέδρος. » Καὶ γέγονε μὲν ἐκ μεταφορᾶς ὁ λόγος. Ὀνομάσας γὰρ Λίβανον, ἤγουν ὄρει τὴν τῶν Ἰουδαίων χώραν ἀπεικάσας, ἀναγκαίως πίτυΐ τε καὶ δρυσὶ παρεικάζει τοὺς ἐν αὐτῇ. Ὅτι δὲ περὶ ἀνθρώπων ὁ λόγος, ἀταλαίπωρον ἰδεῖν. Ἔφη γὰρ εὐθὺς, ὅτι μεγάλως μεγιστᾶνες ἐταλαιπώρησαν. Καὶ τίς ἂν νοοῖτο τῆς ταλαιπωρίας ὁ τρόπος, παρέδειξεν εἰπών, πῇ μὲν, ὅτι « Ὀλολυξάτω πίτυς, διότι πέπτωκε κέδρος. » Καταδηούσης γὰρ τῆς Ῥωμαίων χειρὸς τὰς ἐν τῇ Ἰουδαίᾳ πόλεις, συνέβαινε καθ' ἡμέραν τοὺς ἐν αὐταῖς ἁλίσκεσθαι λαμπρούς. Οἱ δὲ μήπω τοῦτο πεπονθότες, κατωλοφύροντο τοὺς ἑαλωκότας, καὶ τὸν ἐπί γε σφισιν αὐτοῖς εἰσεδέχοντο θρῆνον, ἄθυμοι δὲ ἦσαν καὶ περιδεεῖς, ὡς αὐτίκα δὴ μάλα τοῦτο αὐτὸ πεισόμενοι καὶ αὐτοί. Τοῦτο οἶμαι δηλοῦν τὸ, « Ὀλολυξάτω πίτυς, ὅτι πέπτωκε κέδρος. » Δρύας γε μὴν Βασανίτιδος τάχα που τοὺς ἐν τοῖς Ἱεροσολύμοις ἀποκαλεῖ. Βασανῖτις μὲν γὰρ χωρίον ἐστὶν ἐν τῇ Ἰουδαίᾳ, εὔγεών τε καὶ παμφορώτατον, καὶ ὕψηλὰ λίαν ἐκτρέφον τὰ δένδρα. Ἐπειδὴ δὲ τῶν ἄλλων ἦσαν ἐν τοῖς Ἱεροσολύμοις ἀμείνους, ἱερέας δέ φημι καὶ τοὺς τῶν λαῶν ἡγουμένους, Βασανίτιδος αὐτοὺς ἀπεκάλεσε δρύας, οἳ δὴ καὶ τεθρηνήκασιν εἰκότως, διά τοι τὸ κατασπασθῆναι τὸν δρυμὸν τὸν σύμφυτον. Ἐμάνθανον γὰρ ὅτι τῶν ἀνὰ πᾶσαν τὴν χώραν οἷά τις δρυμὸς ἡ πληθὺς δεδαπάνηται, οἷον πελέκεσιν ἐκκοπτομένη ταῖς τῶν πολεμούντων ἀγρίαις ἐμβολαῖς. Σύμφυτον δὲ δρυμὸν, ὃν δὴ καὶ κατεσπάσθαι φησὶν, οὐδὲν ἧττον νοήσεις καὶ αὐτὴν τὴν ἐν Ἱεροσολύμοις πληθύν· λιμῷ τε γὰρ καὶ πολέμῳ διολώλασιν, ἐπολολυζόντων αὐτοῖς τῶν τῆς Βασανίτιδος δρυῶν, τουτέστι, τῶν ἡγουμένων.

A erant, sublimique gloria florebant, continens. Postquam autem Christum impie habuerunt : « Tulerunt enim clavem scientiæ, et neque ipsi introierunt, neque ingredi volentes permiserunt [60], » et tandem crucifixerunt, quamvis scirent ipsum hæredem esse [61]; idcirco jure funditus cum domibus, et urbibus, et uxoribus atque liberis interierunt. Quare sub ænigmate Libani nomine Judæam, ut dixi, nuncupat : cum arboribus autem celsissimis primores et proceres ejus confert, ut cæteris sublimiores et perquam eminentes. Perituram autem urbem facile, ut etiam periit, infundentem se suscipiendo Romanorum exercitum, atque ita instar silvæ injecta flamma consumendam significat cum dicit : « Aperi, Libane, portas tuas, et comedat ignis cedros tuas. B Ululet pinus, quia cecidit cedrus. » Metaphoricus est sermo. Nam cum Libanum appellasset, sive monti Judæorum regionem comparasset, necessario pinui et quercubus ejus incolas similes facit. De hominibus autem verba fieri, nihil negotii est videre. Mox enim ait, magnates majorem in modum factos esse miseros. Hoc genus miseriæ ostendit aliquo modo, subjiciens : « Ululet pinus, quia cecidit cedrus. » Exercitu enim Romano **756** urbes Judææ devastante, quotidie earum principes cives capiebantur. Quibus autem ea calamitas nondum evenerat, captos et semetipsos lamentis et lacrymis prosequebantur, erantque in mœrore et metu magno, ut brevissimo post tempore idem et ipsi perpessuri. Hoc sibi velle opinor, « Ululet pinus, C quia cecidit cedrus. » Quercus autem Basanitidis Hierosolymitanos forsitan vocat. Basanitis enim est regiuncula in Judæa, ubere gleba, et fertilissima, et admodum altas educens arbores. Et quoniam Hierosolymis reliquis erant nobiliores, sacerdotes, inquam, et populi rectores, Basanitidis quercus eos nominavit, qui sane propter consitum saltum succisum non immerito ejularunt. Cognoscebant siquidem multitudinem per totam regionem haud secus quam saltum absumptam esse, hostium immani irruptione veluti securibus excisam. Consitum autem saltum, quem et succisum dicit, nihilominus et ipsum vulgus Hierosolymitanum intellige, quod fame et bello periit, ululantibus super ipso quercubus Basanitidis, hoc est, primoribus.

Φωνὴ θρηνούντων ποιμένων, ὅτι τεταλαιπώρηκεν ἡ μεγαλοσύνη αὐτῶν. Φωνὴ ὠρυομένων λεόντων, ὅτι τεταλαιπώρηκε τὸ φρύαγμα Ἰορδάνου.

D Vers. 3. *Vox ejulantium pastorum, quoniam misera facta est magnificentia eorum. Vox rugientium leonum, quoniam miser factus est fremitus Jordanis.*

ΟΖ'. Ἐμφανεστέραν τούτοις ὧν ἔφην ἀρτίως ποιεῖται τὴν δήλωσιν. Οὐ γὰρ ἔτι πίτυν ἢ δρῦν ὀνομάζει, ἀπημφιεσμένος δὲ τοὺς τῶν Ἰουδαϊκῶν ταγμάτων σημαίνει καθηγητὰς, οὓς καὶ ὀλοφύρεσθαί φησι, καὶ οἷον φωνὰς ἀνιέναι, κατοιμώζοντας, ὅτι τεταλαιπώ-

LXXVI. His verbis luculentius ea quæ dixi explanat. Non enim amplius pinum aut quercum nuncupat, sed nude Judaicorum ordinum principes ac duces significat, quos et ejulare, et tanquam voces emittere, ac lamentari propter afflictam

[60] Luc. xi, 52. [61] Matth. xxi, 33 seqq.

Digitized by Google

ipsorum magnificentiam testatur. Facti sunt enim miserabiles et abjecti, miserique et despicatissimi, quamvis olim honoribus circumfluerent. Postquam enim apparuerunt pastores per Christum, hoc est divini discipuli, merito falsorum pastorum magnificentia redacta est ad miseriam. Accusabat enim eos gregis Dominus per prophetas sanctos, ita loquens : « O pastores dispergentes et disperdentes oves pascuæ eorum [62]. » Et iterum : « Quia pastores stulte egerunt, et Dominum non quæsierunt, propter hoc non intellexit omnis grex, et dispersus est [63]. » Promittit autem credentibus in ipsum germanos pastores daturum, sic rursum **757** dicens : « Et inducam vos in Sion, et dabo vobis pastores secundum cor meum, et pascent vos pastores cum scientia [64]. » Quinam isti? Divini discipuli, et Ecclesiarum suis quique temporibus præsides atque rectores, « recte tractantes verbum veritatis [65], » et qui sciant subjectum sibi gregem ad quamvis utilitatem spiritualem deducere. Itaque lamentati sunt falsi pastores, quia in miseriam vertit eorum magnificentia, id quod nobis et alio modo significat, adjungens : « Vox rugientium leonum, quia miser factus est fremitus Jordanis. » Vere enim rugitus est leonum vox, quam edunt, propter famem, et quia cibo carent plorantes. Et de leonibus etiam divina Scriptura sic loquitur. Comperti sunt igitur Judaicorum ordinum principes ut leones rugientes, esurientes et plorantes, quod non haberent a populis oblationes, decimas, primitias, dona grati animi. Postquam enim gregem amiserunt, de cætero fenore, quod ex eo capiebant, recreati non sunt.

Quod si quis censeat, etiam instar leonum rugisse contra Christum Scribas et Pharisæos (clamabant enim in ipsum, et voces ex odio et invidia, et mera insania jaciebant, Samaritanum [66], et ebriosum, et ex fornicatione natum [67] affirmantes, et « Tolle, tolle, crucifige [68], » dicentes), verisimiliter sentiet etiam hic. Verumtamen quamvis super eo rugitus dederint, facti sunt miseri non mediocriter, « Quia miser factus est fremitus Jordanis. » Quod quid sibi velit, dicam quoque. Præterfluit Jordanis Hierichuntem, circum quem magna vis leonum horrendum in modum rugientium, et accolas incredibili terrore concutientium. Tales erant moribus Scribæ et Pharisæi, contra plebeios et gregarios rugientes, et tenuiores potentiæ suæ terriculis consternantes. « Verum miser factus est leonum terror. » Hoc est quod ait, « fremitus Jordanis. » Ac fremitus quidem est ex equorum et mulorum naribus cum feroci spiritu emissus sonitus; sed etiam in iis dicitur qui de se præclare sentiunt. Hinc divinus David de iis qui

A ρηκεν ἡ μεγαλοσύνη αὐτῶν. Γεγόνασι γὰρ οἰκτροὶ, καὶ κατερριμμένοι, ἐλεεινοί τε καὶ ἀτιμώτατοι, καίτοι πάλαι περιφανεστέραν ἔχοντες δόξαν. Ἐπειδὴ γὰρ ἀνεδείχθησαν οἱ διὰ Χριστοῦ ποιμένες, τουτέστιν, οἱ θεσπέσιοι μαθηταὶ, τεταλαιπώρηκεν εἰκότως ἡ τῶν ψευδοποιμένων μεγαλοσύνη. Ἠτιᾶτο μὲν γὰρ αὐτοὺς ὁ τῆς ἁγέλης Δεσπότης, διὰ προφητῶν ἁγίων οὕτω λέγων· « Ὦ οἱ ποιμένες οἱ διασκορπίζοντες καὶ ἀπολλύντες τὰ πρόβατα τῆς νομῆς αὐτῶν. » Καὶ πάλιν· « Ὅτι οἱ ποιμένες ἠφρονεύσαντο, καὶ τὸν Κύριον οὐκ ἐζήτησαν· διὰ τοῦτο οὐκ ἐνόησε πᾶσα ἡ νομὴ, καὶ διεσκορπίσθη. » Ἐπηγγέλλετο δὲ τοῖς εἰς αὐτὸν πιστεύουσι τοὺς γνησίους ἀναδείξειν ποιμένας, οὕτω πάλιν εἰπών· « Καὶ εἰσάξω ὑμᾶς εἰς
B Σιὼν, καὶ δώσω ὑμῖν ποιμένας κατὰ τὴν καρδίαν μου, καὶ ποιμανοῦσιν ὑμᾶς ποιμαίνοντες μετ' ἐπιστήμης. » Τίνες δὲ οὗτοι; Οἱ θεσπέσιοι μαθηταὶ, καὶ οἱ τῶν Ἐκκλησιῶν κατὰ καιροὺς ἡγούμενοι, « τὸν τῆς ἀληθείας ὀρθοτομοῦντες λόγον, » καὶ εἰς πᾶν ὁτιοῦν τῶν τελούντων εἰς ὄνησιν τὴν πνευματικὴν, ἀποκομίζειν εἰδότες τὰ ὑπὸ χεῖρα θρέμματα. Οὐκοῦν τεθρηνήκασιν οἱ ψευδοποίμενες, ὅτι τεταλαιπώρηκεν ἡ μεγαλοσύνη αὐτῶν· σημαίνει δὲ τοῦτο καὶ καθ' ἕτερον τρόπον ἡμῖν, ἐπιφέρων· « Φωνὴ ὠρυομένων λεόντων, ὅτι τεταλαιπώρηκε τὸ φρύαγμα τοῦ Ἰορδάνου. » Ὠρυγμὸς μὲν γάρ ἐστι κυρίως ἡ τῶν λεόντων φωνὴ, ἣν ἂν ποιοῦντο, κλαίοντες ἐπὶ λιμῷ τε καὶ ἀσιτίᾳ. Δέχεται δὲ τοῦτο καὶ ἐπὶ λεόντων ἡ θεία
C Γραφή. Κατεφωρῶντο τοίνυν οἱ τῶν Ἰουδαϊκῶν προεστηκότες ταγμάτων ὡς λέοντες ὠρυόμενοι, πεινῶντές τε καὶ κλαίοντες, διά τοι τὸ μὴ ἔχειν τὰς ἐκ τῶν λαῶν καρποφορίας, δεκάτας, ἀπαρχὰς, εὐχαριστήρια. Ἐπειδὴ γὰρ τῆς ἁγέλης ἐκπεπτώκασιν, οὐκ ἔτι τοῖς ἐξ αὐτῆς κατηυφραίνοντο τόκοις.

Εἰ δὲ δή τις οἴοιτο καὶ ὡς ἐν τάξει λεόντων κατωρύεσθαι τοῦ Χριστοῦ τοὺς Γραμματεῖς τε καὶ Φαρισαίους (κατεκεκράγεισαν γὰρ αὐτοῦ, καὶ τὰς ἐκ φθόνου καὶ βασκανίας καὶ ἀκράτου μανίας κατηφίσαν φωνὰς, Σαμαρείτην λέγοντες, μέθυσον ἀποκαλοῦντες καὶ ἐκ πορνείας γεγεννημένον, καὶ, « Ἆρε, ἆρε, σταύρου αὐτὸν, » [βοῶντες]), τὰ εἰκότα φρονήσει καὶ οὗτος. Πλὴν εἰ καὶ ἐπωρύοντο, τεταλαιπώρηκασιν οὐ μετρίως, « Ὅτι τεταλαιπώρηκε τὸ
D φρύαγμα τοῦ Ἰορδάνου. » Καὶ τί δὴ τοῦτό ἐστιν, ἐρῶ πάλιν. Παραῤῥεῖ μὲν ὁ Ἰορδάνης τὴν Ἰεριχὼ, πλεῖστοι δὲ ὅσοι περὶ αὐτὸν οἱ λέοντες, καταβρυχόμενοί τε δεινῶς, καὶ ἀφόρητον τοῖς ἐνοικοῦσιν ἐνιέντες τὸ δεῖμα. Τοιοῦτοι δὲ ἦσαν τοὺς τρόπους οἱ Γραμμάτεῖς καὶ οἱ Φαρισαῖοι, τῶν ἀγελαίων καταβρυχόμενοι, καὶ τοῖς ἐκ τῆς ἐξουσίας καταπτοοῦντες δείμασι (1) τοὺς ἀσθενεστέρους. « Ἀλλὰ τεταλαιπώρηκεν ὁ τῶν λεόντων φόβος. » Τοῦτο δὲ εἶναί φησι « τὸ φρύαγμα τοῦ Ἰορδάνου. » Καὶ φρύαγμα μὲν ἔστιν ἡ ἵππων τε καὶ ἡμιόνων διὰ μυκτήρων ἐχὴ

[62] Jerem. xxiii, 1. [63] Jerem. x, 21. [64] Jerem. iii, 15. [65] II Tim. ii, 15. [66] Joan. viii, 48. [67] Matth. xi, 19. [68] Joan. xix, 15.

(1) Ed. Aub., δείγμασι, *documentis*. Edit.

Digitized by Google

καθιεμένη τε καὶ ἀγρίῳ φυσήματι συνεκπίπτουσα· λαμβάνεται δὲ καὶ ἐπὶ τοῦ μεγαλοφρονεῖν. Ἔφη γοῦν ὁ θεσπέσιος Δαβὶδ περὶ τῶν εἰς Χριστὸν πεπαρῳνηκότων· « Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; » Ὅταν οὖν φρύαγμα τοῦ Ἰορδάνου λέγῃ, νοήσεις τὸ φρόνημα, καὶ οὐχὶ πάντως τοῦ ποταμοῦ, ἀλλὰ τῶν περὶ αὐτὸν λεόντων· ἀπὸ γὰρ τόπων ἔοθ' ὅτε τὰ ἐν αὐτοῖς σημαίνεται.

A in Christum sunt debacchati : « Quare fremuerunt gentes, et populi meditati sunt inania [69] ? » Quando igitur dicit fremitum Jordanis, intellige spiritus, non utique fluminis, sed leonum qui juxta inveniuntur : a locis enim nonnunquam quæ in iis sunt significantur.

Τάδε λέγει Κύριος παντοκράτωρ· Ποιμαίνετε τὰ πρόβατα τῆς σφαγῆς, ἃ οἱ κτησάμενοι κατέσφαζον, καὶ οὐ μετεμέλοντο, καὶ οἱ πωλοῦντες αὐτά, ἔλεγον· Εὐλογητὸς Κύριος, καὶ πεπλουτήκαμεν, καὶ οἱ ποιμένες αὐτῶν οὐκ ἔφασκον οὐδὲν ἐπ' αὐτοῖς.

758 Vers. 4, 5. *Hæc dicit Dominus omnipotens : Pascite oves occisionis, quas qui possederunt, interficiebant, et non agebant pœnitentiam, et qui vendebant eas, dicebant : Benedictus Dominus, et divites facti sumus, et pastores earum non patiebantur quidquam super eis.*

ΟΖ'. Πρὸς αὐτοὺς ὁ λόγος τοὺς θρηνοῦντας ποιμένας, καὶ ἐν τάξει λεόντων ὠρυομένους, οἷς καὶ ἐφίησιν ἔτι τὰ τῆς σφαγῆς κατανέμειν πρόβατα, καίτοι κατημελημένως λίαν, ὡς παπρασκομένοις τε καὶ σφαζομένοις μηδ' ὅσον εἰπεῖν ἐπαλγῆσαι βραχύ. Ὥσπερ γὰρ οἱ τῶν ποιμένων ἀνεπιεικέστεροι, καὶ πρὸς μόνα βλέποντες τὰ ψφισι καθ' ἡδονὴν, μικρὰ φροντίζοντες κομιδῇ τοῦ τῆς ἀγέλης Δεσπότου, τὰ μὲν σφάζουσιν ἀνηλεῶς, τὰς θηρῶν ἐφόδους ἀπομιμούμενοι, ἃ δὲ καὶ παπράσκουσιν, οὐδὲν, ὡς ἔφην, ἐπαλγοῦντες ὅλως, ἐπιγαννύμενοι δὲ τοῖς τῶν λημμάτων ἐκτοπωτάτοις, καὶ φιλοκερδίας τῆς οὔτως αἰσχρᾶς ἡττώμενοι· κατὰ τὸν ἴσον, οἶμαι, τρόπον καὶ οἱ τῶν Ἰουδαϊκῶν ἡγούμενοι δήμων, τῶν ὑπ' αὐτοῖς ποιμνίων ἠφειδηκότες ἁλοῖεν ἄν, καὶ ἀδρύνοντες μὲν τὸν ἑαυτῶν πλοῦτον, κατευρύνοντες δὲ ὥσπερ ἀπλήστῳ χειρὶ τὰ βαλάντια. Καὶ γοῦν ἔφασκεν ὁ Σωτὴρ, τοιούτους ὄντας ἐλέγχων· « Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον, καὶ τὸ ἄνηθον, καὶ τὸ κύμινον, καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν, καὶ τὸ ἔλεος, καὶ τὴν πίστιν. » Ἰσχνολογοῦντες γὰρ οὕτως, ὡς καὶ μέχρι τῶν εὐτελεστάτων τοῖς μὴ προσάγουσι τὰς δεκάτας κατὰ νόμον ἐπιτιμᾷν, τῶν βαρυτέρων, ἤτοι τῶν ἀναγκαιοτέρων καὶ λυσιτελῶν ὅτι μάλιστα θεσπισμάτων οὐδένα παντελῶς ἐποιοῦντο λόγον. Ὅτι δὲ ἦσαν ποιμένες οὐκ ἀγαθοὶ, μᾶλλον δὲ πρὸς μόνα βλέποντες κέρδη, σαφηνιεῖ λέγων καὶ διὰ φωνῆς Ἰεζεχιήλ· « Ὦ οἱ ποιμένες Ἰσραὴλ, μὴ βόσκουσιν οἱ ποιμένες ἑαυτούς; Οὐ τὰ πρόβατα βόσκουσιν οἱ ποιμένες; Ἰδοὺ τὸ γάλα κατεσθίετε, καὶ τὰ ἔρια περιβάλλεσθε, καὶ τὸ παχὺ σφάζετε, καὶ τὰ πρόβατά μου οὐ βόσκετε. » — « Καταβόσκετε τοίνυν, φησὶ, τὰ πρόβατα τῆς σφαγῆς, » τουτέστιν, ἃ τὰ ὅσον οὐδέπω τεθνηξόμενα τῇ Ῥωμαίων χειρί· ἤγουν ἃ ὑμεῖς αὐτοὶ σφάζετε, καίτοι τάξιν ἐπέχοντες τῶν ποιμένων. Οὐ γάρ που πάρεστιν ὁ καιρὸς, καθ' ὃν ἥξουσιν εἰς σφαγήν. Μετὰ γάρ τοι τὴν τοῦ Σωτῆρος ἐπιδημίαν τοῖς τῶν Ῥωμαίων ξίφεσιν ἡ τῶν Ἰουδαίων πληθὺς δεδαπάνηται, καίτοι λίαν ἐπ' αὐτοῖς ἀνεξικακήσαντος τοῦ Θεοῦ. Ὅτι δὲ τῶν ποιμένων γεγόνασι κλῆρος οἱ ὑπὸ χεῖρα λαοὶ, κατέδειξεν εἰπών· « Ἃ οἱ κτησάμενοι κατέσφαζον, καὶ οὐ μετεμέλοντο. »

LXXVII. Ad eosdem pastores lamentantes et instar leonum rugientes sermo dirigitur, quibus adhuc permittit pascere oves occisionis, tametsi negligentissime, ut qui venditis et occisis illis nec ad momentum temporis quidem dolerent. Quemadmodum enim pastores iniquiores, et solas voluptates suas spectantes, et gregis Dominum nec hili pendentes, alias oves crudeliter mactant, ferarum impetus imitantes, alias vendunt, nihil penitus, ut dixi, earum vicem dolentes, sed improbissimis quæstibus gaudentes, et cupiditati adeo turpis lucri succumbentes : eodem modo et populi Judaici gubernatores greges suos male curasse videas, et exaggerasse suas divitias, et velut inexplebili manu marsupia ingerendo dilatasse. Quocirca aiebat Salvator, tales reprehendens : « Væ vobis, Scribæ et Pharisæi hypocritæ, quia decimatis mentam, et anethum, et cyminum, et graviora legis omittitis, judicium et misericordiam, et fidem [70]. » Tam exacti enim, et minutim rationes subducentes, ut etiam rerum vilissimarum decimas secundum legis præscriptum non offerentes increparent, graviorum sive magis necessariorum et utilissimorum mandatorum Dei nullam omnino curam suscipiebant. Fuisse autem pastores non bonos, sed tantum lucra sua sectantes, declarat etiam per Ezechielem, his verbis : « O pastores Israel, num pascunt pastores semetipsos? Nonne pastores pascere solent oves? Ecce lac comeditis, et lanis operimini, et quod crassum est occiditis, et oves meas non pascitis [71]. » Inquit ergo : « Pascite oves occisionis, » hoc est, aut mox Romanorum manu morituras, aut quas ipsimet occiditis, quamvis pastorum ordine et loco sitis. Nondum enim adest tempus quo jugulabuntur. Post adventum namque Salvatoris, et diuturnam Dei erga illos tolerantiam, Romanorum gladiis Judæorum multitudo consumpta est. Pastorum autem sortem factam quibus præerant populos ita docet : **759** « Quas qui possederunt, interficiebant, et non agebant pœnitentiam. » Sicut enim Dominicam mente aspectabilem vineam, Israelem, inquam, sive hominem Juda, recens plantatam [72] et dilectam, suam sortem fecerunt : ita et greges quodammodo possederunt,

[69] Psal. II, 1. [70] Matth. XXIII, 23. [71] Ezech. XXXIV, 2, 3. [72] Isa. V, 7.

Digitized by Google

decerpentes eorum fructus, et rem suam semper amplificantes, volentibusque rapinam permittentes. Ergo qui possederunt occidebant : vendentes autem dicebant : « Benedictus Dominus, et divites facti sumus. » Possunt hi intelligi judices, judiciorum integritatem cauponantes, et quasi valere jubentes legem Mosis, quamvis aperte dicat : « Non accipies personam in judicio, quia judicium Dei est[73]. » Jucundum enim et amicum erat illis vendere in unaquaque causa judicium iis qui emere vellent. Id quod etiam ex vocibus sanctorum planum fiet. Ait enim quidam sanctorum prophetarum de Jerusalem : « Duces ejus cum muneribus judicabant[74]. » Divinus autem Habacuc propemodum vociferatur contra Deum : « Usquequo, Domine, clamabo, et non exaudies? vociferabor ad te vim patiens, et non salvabis? Quare ostendisti mihi labores et dolores, videre miseriam et impietatem? Ex adverso mei factum est judicium, et judex accipit. Propterea dissipata est lex, et non deducitur in finem judicium, quia impius opprimit justum. Propter hoc egredietur judicium perversum[75]. » Quamobrem ex injustis quæstibus divitias congregantes, et justitiam pervertentes, et judicia in qualibet causa pretio addicentes, esse possunt judices ipsi, ut modo dixi, qui dicunt : « Benedictus Dominus, et divites facti sumus. » In quo ut amentissimi et audacissimi reprehendi queant. Fingunt enim se benedicere Deo, perinde ac si ipsius concessu liceat ex iniquitatibus colligere, et e sanguinibus ditescere. Atqui ex vero officio judicia exercentes illud præstabat dicere : « Benedictus Dominus, » illustrati divinorumque mandatorum sinceri observatores comperti sumus, justam in quavis causa sententiam pronuntiantes. Est igitur dolus et dedecus speciosus sermo, nisi faciamus quæ placeant Deo.

Ὥσπερ γὰρ δεσποτικὸν ὄντα τὸν νοητὸν ἀμπελῶνα, φημὶ δὴ τὸν Ἰσραὴλ, ἤτοι τὸν ἄνθρωπον τοῦ Ἰούδα, τὸ νεόφυτον, τὸ ἠγαπημένον, βίον ἐποιήσαντο κλῆρον· οὕτω καὶ τὰ ποίμνια μονονουχὶ κατεκτήσαντο, δρεπόμενοι μὲν τοὺς ἑαυτῶν καρποὺς, καὶ ἀεί πως ἐν πλεονασμοῖς τὸν ἑαυτῶν ποιοῦντες κλῆρον, ἀνιέντες δὲ τοῖς ἐθέλουσιν διαρπαγήν. Οὐκοῦν οἱ μὲν κτησάμενοι κατέσφαζον· οἱ δὲ πωλοῦντες ἔλεγον· « Εὐλογητὸς Κύριος, καὶ πεπλουτήκαμεν. » Νοηθεῖεν δ' ἂν καὶ οὗτοι κριταὶ, τὴν ἐν τοῖς κρίμασιν ὀρθότητα καπηλεύοντες, μόνον δὲ οὐχὶ καὶ ἐρρῶσθαι φράσαντες τῷ διὰ Μωσέως νόμῳ, καίτοι λέγοντι σαφῶς· « Οὐ λήψῃ πρόσωπον ἐν κρίσει, ὅτι ἡ κρίσις τοῦ Θεοῦ ἐστιν. » Ἦν γὰρ αὐτοῖς ἡδύ τε καὶ φίλον τὸ καταπωλεῖν τοῖς ἐθέλουσι τὴν ἐφ' ἑκάστῳ πράγματι κρίσιν. Καὶ τοῦτο πάλιν ἡμῖν ἐναργὲς ἔσται διὰ φωνῆς ἁγίων. Ἔφη μὲν γάρ τις τῶν ἁγίων προφητῶν περὶ τῆς Ἱερουσαλήμ· « Οἱ ἡγούμενοι αὐτῆς μετὰ δώρων ἔκρινον. » Ὁ δέ γε θεσπέσιος Ἀββακοὺμ μονονουχὶ κατακέκραγε Θεοῦ, λέγων· « Ἕως τίνος, Κύριε, κεκράξομαι, καὶ οὐ μὴ εἰσακούσῃ, βοήσομαι πρὸς σὲ ἀδικούμενος, καὶ οὐ σώσεις; Ἵνα τί μοι ἔδειξας κόπους καὶ πόνους, ἐπιβλέπειν ταλαιπωρίαν καὶ ἀσέβειαν; Ἐξεναντίας μου γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει. Διὰ τοῦτο διεσκέδασται νόμος, καὶ οὐ διεξάγεται εἰς τέλος κρῖμα, ὅτι ὁ ἀσεβὴς καταδυναστεύει τὸν δίκαιον. Ἕνεκεν τούτου ἐξελεύσεται τὸ κρῖμα διεστραμμένον. » Οὐκοῦν οἱ ἐξ ἀδίκων λημμάτων συναγείροντες πλοῦτον, καὶ παρευθύνοντες μὲν τὸ δίκαιον, καταπωλοῦντες δὲ ὥσπερ τὰς ἐφ' ἑκάστῳ πράγματι κρίσεις, εἶεν ἂν οἱ κριταὶ, καθάπερ ἔφην ἀρτίως, αὐτοί· καὶ φασιν· « Εὐλογητὸς Κύριος, καὶ πεπλουτήκαμεν. » Ἀνούστατοι δὲ καὶ παραβολώτατοι καὶ τοῦτο λέγοντες ἐξελέγχοιντο ἂν εἰκότως. Ὡς γὰρ Θεοῦ διδόντος ἐξ ἀδικιῶν συλλέγειν, καὶ ἐξ αἱμάτων πλουτεῖν, εὐλογεῖν ὑποπλάττονται. Ἀλλ' ἦν ἄμεινον ἐκεῖνο λέγειν, τὸ κρίνειν ὀρθῶς ἐκτετιμηκότες· « Εὐλογητὸς Κύριος· » λαμπροὶ γὰρ ἀναδεδείγμεθα, καὶ τῶν θείων θεσπισμάτων γνήσιοι φύλακες, ὀρθὴν ἐφ' ἑκάστῳ πράγματι τὴν ψῆφον ἐκφέροντες. Ἀπάτη δὴ οὖν ἡ χρηστολογία καὶ μῶμος, εἰ μὴ πράττοιτο πρὸς ἡμῶν τὰ ἐφ' οἷς ἂν ἡσθείη Θεός.

Vers. 6, 7. *Propter hoc non parcam ultra super habitantes terram, dicit Dominus. Et ecce ego trado homines, unumquemque in manus proximi sui, et unumquemque in manus* 760 *regis ejus. Et concident terram, et non eruam de manu eorum, et pascam oves occisionis in Chananitide.*

ΟΗ'. *Διὰ τοῦτο οὐ φείσομαι οὐκ ἔτι ἐπὶ τοὺς κατοικοῦντας τὴν γῆν, λέγει Κύριος. Καὶ ἰδοὺ ἐγὼ παραδίδωμι τοὺς ἀνθρώπους, ἕκαστον εἰς χεῖρας τοῦ πλησίον αὐτοῦ, καὶ ἕκαστον εἰς χεῖρας βασιλέως αὐτοῦ. Καὶ κατακόψουσι τὴν γῆν, καὶ οὐ μὴ ἐξέλωμαι ἐκ χειρὸς αὐτῶν, καὶ ποιμανῶ τὰ πρόβατα τῆς σφαγῆς εἰς τὴν Χαναανῖτιν.*

LXXVIII. Minatur gregibus exitium simul... quia quamvis liceret eis sub summi universorum pastoris, Christi puta, tutelam confugere et sub ipso esse, maluerunt tamen in fidem occidentium et vendentium inscite sese tradere. Induit enim hominem unigenitum Dei Verbum : ac præterea non obscure dixit, tum eorum inscitiam, tum suam in suscepta pro nobis œconomia germanitatem ostendens : « Ego

Ἀπειλεῖ τοῖς ποιμνίοις ὀλεθρόν τε ὁμοῦ (1)..... ὅτι καίτοι μετὸν αὐτοῖς τὴν τοῦ πάντων ἀρχιποιμένος, φημὶ δὴ Χριστοῦ, χεῖρά τε ὑποδραμεῖν καὶ ὑπ' αὐτῷ γενέσθαι, μᾶλλον προσκεχωρήκασιν ἀμαθῶς τοῖς κατασφάζουσί τε καὶ καταπωλοῦσιν αὐτούς. Γέγονε μὲν γὰρ ἄνθρωπος ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, καὶ δὴ καὶ ἔφατεν ἐναργῶς, τήν τε ἐκείνων σκαιότητα καταδεικνὺς, καὶ τῆς ἐφ' ἡμῖν οἰκονομίας

[73] Deut. I, 17. [74] Mich. III, 11. [75] Habac. I, 1-4.

(1) Etiam hoc loco parum, aut nihil desideratur ad sententiam. *Interpres.*

Digitized by Google

τὸ γνήσιον· « Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. » Ἰουδαῖοι δὲ οἱ τάλανες, καίτοι τῶν μισθωτῶν ποιμένων κατα- βοῆσαι δέον, τοῦτο μὲν οὐ δεδράκασι, τὸν δὲ ἀγαθὸν ποιμένα, τὸν ἀντάλλαγμα τῆς ἁπάντων ζωῆς τὴν ἑαυτοῦ τιθέντα ψυχήν, κατὰ μυρίους ὅσους λελυπή- κασι τρόπους, καταλεύοντες, ὀνειδίζοντες, καὶ τὸ τελευταῖον, ἀπύλωτον ἐπ' αὐτῷ διανοίγοντες στόμα. Κατακεκράγασι γὰρ ὁμοῦ τοῖς ἰδίοις καθηγηταῖς, λέγοντες τῷ Πιλάτῳ· « Αἶρε, αἶρε, σταύρου αὐτόν, » καὶ αὐτὸ δὲ τὸ δίκαιον αἷμα ταῖς σφῶν αὐτῶν ἐπη- ντλήκασι κεφαλαῖς. Ἔφασκον γὰρ πάλιν· « Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. » — « Διὰ τοῦτο τοίνυν, φησὶν, οὐκέτι φείσομαι ἐπὶ τοὺς κατοικοῦν- τας τὴν γῆν. » Οὐ γὰρ ἔτι φειδοῦς ἠξίωνται παρὰ Θεοῦ· δέδονται δὲ μᾶλλον ἕκαστος εἰς χεῖρας τοῦ πλησίον αὐτοῦ, καὶ εἰς χεῖρας βασιλέως, ἤγουν ἄρ- χοντος αὐτοῦ. Ἐσταυρώκασι μὲν γὰρ τὸν Ἐμμα- νουὴλ, καὶ γεγόνασι Κυριοκτόνοι, ἔμπλεῴ τε πάσης ἀνοσιότητος. Πλὴν ἐκάλει Θεὸς εἰς μετάγνωσιν, καὶ οὐκ εὐθὺς ἐπετίθει τὰ ἐξ ὀργῆς. Τριακοστοῦ δὲ ἤδη παρῳχηκότος ἔτους, μετὰ τὸν τοῦ Σωτῆρος σταυρὸν, ἀπεφοίτησε μὲν εἰρήνη τῆς Ἰουδαίων χώρας, πόλε- μοι δὲ ἦσαν πανταχοῦ πόλεως ἐπὶ πόλιν ἰούσης, καὶ τῶν ἐν ἑκάστῃ τεμνομένων εἰς διαφοράς, καὶ μαχο- μένων ἀλλήλοις, ὡς ἐν ἴσῳ φαίνεσθαι κακῷ τὰ παρὰ σφῶν αὐτῶν τοῖς ἐκ τοῦ πολέμου συμβεβηκόσι. Κεκρατήκασι γὰρ τῆς Ἰουδαίων χώρας οἱ ἀνδρειότα- τοι τῶν Ῥωμαίων στρατηγοὶ, καὶ αὐτοῖς ἀνδράσι κατεμπιπρῶντες πόλεις, τοῖς τῆς δουλείας αὐτὴν ὑπέθεσαν ζυγοῖς. Οἱ δέ γε διαφυγεῖν ἰσχύσαντες, τὰς τῶν ἐθνῶν κατῳκήκασι χώρας, ὅ καὶ μέχρι νῦν ἔστιν ἰδεῖν. Καὶ τοῦτο οἶμαι δηλοῦν, ὅταν λέγῃ· « Ποιμανῶ τὰ πρόβατα τῆς σφαγῆς εἰς τὴν Χανανῖτιν, τουτέστιν, εἰς τὴν Χαναναίων χώραν τε καὶ γῆν. Χαναναῖοι δὲ τὰ ἔθνη, παρ' οἷς τὰ πρόβατα τῆς σφαγῆς καὶ εἰς δεῦρό πως ἔτι παρὰ Θεοῦ ποιμαίνονται, ἤγουν δο- κοῦσι ποιμαίνεσθαι. Τηροῦσι γὰρ ἔτι τόν τινα κατὰ νόμον, καὶ οὐχ ὁλοτρόπως τῶν ἀρχαίων κατημεληκό- τας ἐθῶν κατίδοι τις ἄν. Καὶ γοῦν περιτέμνονται τὴν σάρκα, καὶ σαββατίζουσι, καὶ ἕτερα ἄττα πρὸς τούτοις καὶ φροντίδος ἀξιοῦσι καὶ λόγου. Καὶ τοῦτο ἦν ἄρα τὸ διὰ φωνῆς προφήτου παρὰ Θεοῦ λελεγμέ- νον· « Καὶ ἔσομαι αὐτοῖς εἰς ἁγίασμα μικρὸν ἐν ταῖς χώραις, οὗ ἐὰν εἰσέλθωσιν ἐκεῖ. » Τοὺς δέ γε ἀνὰ πᾶσαν τὴν Ἰουδαίαν, καὶ μέντοι τὴν Ἱερουσαλὴμ ἐμφυλίους πολέμους, καὶ τοὺς ἐν ἑκάστῃ πόλει, σαφῶς ἀναγέγραφεν ὁ τὰς Ἰουδαίων τραγῳδῶν συμφορὰς, Ἰώσηπος οὗτος ἦν, ἀνὴρ ἐλλόγιμος καὶ σοφός.

A sum pastor bonus [76]. » Infelices autem Judæi mercenarios ut debuerunt non accusarunt : contra, bonum pastorem, qui animam suam pro ovium vita posuit [77], mille modis violarunt, lapidantes, exprobrantes, et postremo impudens os adversus ipsum aperientes. Simul enim cum primoribus suis apud Pilatum alte clamarunt : « Tolle, tolle, crucifige eum [78], » et ipsum sacrum sanguinem in capita sua hauserunt. Sic enim rursum aiebant : « Sanguis ejus super nos, et super filios nostros [79]. » Idcirco inquit : « Propter hoc non parcam ultra super habitantes terram. » Non enim amplius venia dignati sunt a Deo, sed traditi potius unusquisque in manus proximi sui, et in manus regis sive principis sui. B Sustulerunt enim in crucem Emmanuelem, et interfectores Domini, ac pleni omni impietate evaserunt. Nihilominus Deus ad pœnitentiam eos vocavit, nec illico supplicio est persecutus. Tricesimo autem anno jam elapso post actum in crucem Salvatorem, pax Judæam deseruit, bellis flagrantem undique, dum urbs urbem invadit, dum cives ubique in contraria studia scinduntur, et bellis intestinis dimicant, ut invicem damni tantum, quantum ab hostibus externis acciperent. Subjugarunt enim Judæorum regionem Romanorum duces fortissimi, et incolis cum urbibus incendio deditis, servitutis eam jugo subjecerunt. Ast quibus fugæ se obtulit occasio, gentium provincias incoluerunt, quod et hodie videmus. Atque hoc, opinor, vult, cum dicit : « Pascam oves C occisionis in Chananitide, » id est in Chananæorum regione ac terra. Chananæi gens est, apud quam oves occisionis ad hunc usque diem a Deo pascuntur, aut videntur saltem pasci. **761** Adhuc enim nonnulla secundum legem servant, nec priscos ritus ad unum cernuntur abjecisse. Itaque carnem circumcidunt, et Sabbatum agunt, et alia insuper cordi habent. Et hoc erat nempe a Deo per prophetam dictum : « Et ero illis in sanctificationem parvam in regionibus quo ingredientur illuc [80]. » Civilia autem bella per totam Judæam, et in urbe qualibet perspicue commemoravit Josephus, vir eloquens et eruditus, qui Judæorum calamitates tragice descripsit.

Καὶ λήψομαι ἐμαυτῷ δύο ῥάβδους, τὴν μὲν μίαν ἐκάλεσα Κάλλος, καὶ τὴν ἑτέραν ἐκάλεσα Σχοινισμα, καὶ ποιμανῶ τὰ πρόβατα.

D *Et assumam mihi duas virgas, unam vocavi Decorem, et alteram vocavi Funiculum, et pascam oves.*

Οθ'. Κατὰ πολλοὺς ἡμῖν τρόπους παρὰ ταῖς θεο- πνεύστοις Γραφαῖς ἡ ῥάβδος νοεῖται. Ποτὲ μὲν γὰρ σημαίνει τὴν βασιλείαν, ὡς ὅταν λέγηται τῷ Χριστῷ· « Ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου. » Ποτὲ δὲ ἰσχύν, ὡς ἔν γε τῷ φάναι· « Ῥάβδον δυνά- μεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιών. » Ἐκλαμβά- νεται δὲ καὶ παιδεία, καὶ ἐπιστήμη ἔσθ' ὅτε ποιμαν-

LXXIX. In divinis Scripturis variam notionem habet vocabulum *virga*. Aliquando enim regnum significat, ut cum Christo dicitur : « Virga directionis virga regni tui [81]. » Aliquando robur seu vires, ut ibi : « Virgam virtutis emittet Dominus ex Sion [82]. Exponitur item nonnunquam institutio, et scientia pastoritia. Itaque rursum voce prophetæ Filio dici-

[76] Joan. x, 11. [77] ibid. 15. [78] Joan. xix, 15. [79] Matth. xxvii, 25. [80] Ezech. xi, 16. [81] Psal. xliv, 7. [82] Psal. cix, 2.

Digitized by Google

tur : « Pasce populum tuum in virga [83]. » Cæterum in verbis recitatis, virgæ modos pastoralis scientiæ geminumque genus laudabilis institutionis significant. Assumit autem virgas « pastor bonus, qui ponit animam suam pro ovibus, » id est Christus, ut in ipsis pascat oves suas. Olim enim (puta antequam hominis natura se vestiret) , cum esset Deus et legislator, ex Deo Λόγος Verbum pascebat Israelem, veluti una virga legali institutione utens. Sic enim per prophetam eum alicubi alloquitur : « Ego pascebam te in solitudine [84]. » Ast postquam nostri similis factus est homo [85], duas virgas assumpsit. Pascit enim, ut adoratores suos, per fidem nimirum justificatos et sanctificatos in spiritu lepalibus simul et evangelicis præceptis, non ad boves immolandos impellens, neque ut oblationibus secundum legem studeamus nos docens, sed jubens potius, uti cultum in spiritu tanquam incruentum sacrificium celebremus. Conversa est enim et mutata umbra in veritatem : et quæ in figura fiebant, characterem, et formam elegantiæ **762** Christianæ, et evangelicæ vitæ induerunt. Nomina præterea virgis sunt, uni quidem Decor quæ est Testamentum Novum, pulchrum et admiratione dignum, quod ipse Filius locutus est, « Speciosus præ filiis hominum [87] ; » alteri Funiculus, id est, pars, ut intelligamus legem solitam erudire separatum Deo funiculum. Scriptum est enim : « Quando dividebat Altissimus gentes, ut dispergeret filios Adam, constituit terminos gentium juxta numerum angelorum Dei, et fuit pars Domini populus ejus Jacob, funiculus hæreditatis ejus Israel. » Hisce igitur duabus virgis magnus pastorum princeps oves suas pasturum spondet ; et vero spopondit. In unam quippe caulam qui ex Israel, et qui ex gentibus erant conduxit, et illis legalem evangelicamque doctrinam in nutrimentum apponit, et quasi quamdam spiritualem herbam fruendam suppeditat, et affatim eos saginat.

τική. Εἴρηται γοῦν πάλιν διὰ φωνῆς προφήτου πρὸς τὸν Υἱόν· « Ποίμαινε λαόν σου ἐν ῥάβδῳ. » Ἀλλ' ἔν γε τοῖς προειρημένοις σημαίνουσιν αἱ ῥάβδοι τρόπους ἡμῖν ποιμενικῆς ἐπιστήμης, καὶ διττὸν παιδεύσεως εἶδος, κατά γε τὸ ἀμωμήτως ἔχειν δοκοῦν. Δέχεται δὲ τὰς ῥάβδους « ὁ ποιμὴν ὁ καλὸς, ὁ τὴν ψυχὴν αὐτοῦ θεὶς ὑπὲρ τῶν προβάτων, » τουτέστι, Χριστὸς, ἵνα ἐν αὐταῖς καταποιμάνῃ τὰ ἴδια πρόβατα. Πάλαι μὲν γὰρ (τουτέστι, καὶ πρὸ τῶν τῆς ἐνανθρωπήσεως χρόνων) Θεὸς ὢν, καὶ νομοθέτης, ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος κατέβοσκε τὸν Ἰσραὴλ, οἱονεὶ ῥάβδῳ μιᾷ χρώμενος, τῇ κατὰ νόμον παιδείᾳ. Ἔφη γάρ που διὰ προφήτου φωνῆς πρὸς αὐτόν· « Ἐγὼ ἐποίμαινόν σε ἐν τῇ ἐρήμῳ. » Ἐπειδὴ δὲ γέγονε καθ' ἡμᾶς ἄνθρωπος, δύο δέχεται ῥάβδους. Κατανέμει γὰρ ὥσπερ τοὺς ἰδίους προσκυνητὰς, τοὺς διὰ πίστεως δηλονότι δεδικαιωμένους, καὶ ἡγιασμένους ἐν πνεύματι, νομικοῖς τε ἅμα καὶ εὐαγγελικοῖς θεσπίσμασιν, οὐ βουθυτεῖν ἀναπείθων, οὔτε μὴν ταῖς κατὰ νόμον προσαγωγαῖς προσκεῖσθαι διδάσκων· ποιεῖσθαι δὲ μᾶλλον προστεταχὼς τῆς ἐν πνεύματι λατρείας τὴν δύναμιν εἰς ἀναιμάκτου θυσίας τρόπον. Μετατέθειται γὰρ ἡ σκιὰ πρὸς ἀλήθειαν, καὶ μετακεχάρακται τὰ ἐν τύποις εἰς ἀστειότητα πολιτείας τῆς ἐν Χριστῷ τε καὶ εὐαγγελικῆς. Ὀνόματα δὲ καὶ ταῖς ῥάβδοις, τῇ μὲν μιᾷ Κάλλος, ἥτις ἐστὶ Διαθήκη Νέα, καλὴ καὶ ἀξιοθαύμαστος, ἣν αὐτὸς λελάληκεν ὁ Υἱὸς, « Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· » ἡ γε μὴν ἑτέρα Σχοίνισμα, τουτέστι μερὶς, ἵνα νοῶμεν τὸν νόμον, τὸ ἀφορισθὲν τῷ Θεῷ σχοίνισμα παιδαγωγεῖν εἰωθότα. Γέγραπται γάρ· « Ὅτε διεμέριζεν Ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδὰμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ, καὶ ἐγενήθη μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακὼβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ. » Ταύταις δὴ οὖν ταῖς δυσὶ ῥάβδοις ὁ μέγας ἀρχιποίμην κατανεμήσειν ἐπαγγέλλεται τὰ αὐτοῦ πρόβατα, καὶ ἀτρεκὴς ὁ λόγος. Συνεκόμισε γὰρ εἰς μίαν αὐλὴν τούς τε ἐξ Ἰσραὴλ, καὶ μέντοι τοὺς ἐξ ἐθνῶν, νομικήν τε ἅμα καὶ εὐαγγελικὴν παίδευσιν αὐτοῖς παρατιθεὶς εἰς τροφὴν, καὶ οἷά τινα πόαν πνευματικὴν χορηγῶν εἰς μέθεξιν, καὶ καταπιαίνων πλουσίως.

VERS. 8, 9. *Et auferam tres pastores in mense uno, et gravabitur anima mea super eos. Etenim animæ eorum rugiebant super me. Et dixi : Non pascam vos. Quod moritur moriatur, et quod deficit deficiat, et reliqua devorent, unusquisque carnes proximi sui.*

Καὶ ἐξαρῶ τοὺς τρεῖς ποιμένας ἐν μηνὶ ἑνὶ, καὶ βαρυνθήσεται ἡ ψυχή μου ἐπ' αὐτούς. Καὶ γὰρ αἱ ψυχαὶ αὐτῶν ἐπωρύοντο ἐπ' ἐμέ. Καὶ εἶπα· Οὐ ποιμανῶ ὑμᾶς. Τὸ ἀποθνῆσκον ἀποθνησκέτω, καὶ τὸ ἐκλεῖπον ἐκλιπανέτω, καὶ τὰ κατάλοιπα κατεσθιέτωσαν, ἕκαστος τὰς σάρκας τοῦ πλησίον αὐτοῦ.

LXXX. Dante enim se jam in conspectum vero et bono pastore, æquissimum erat utique, imo et necessarium mercenarios et falsos pastores removeri, hoc est, Judæorum secundum legem duces et magistros : quorum alii occidebant oves, nec agebant pœnitentiam : alii eas vendentes dicebant : « Benedictus Dominus, et jam divites facti sumus. » Jam vero quos nomine trium pastorum appellet, et

Π'. Ἀναδειχθέντος γὰρ ἤδη τοῦ ἀληθινοῦ τε καὶ ἀγαθοῦ ποίμενος, ἦν δήπου καὶ μάλα εἰκὸς, μᾶλλον δὲ ἤδη καὶ ἀναγκαῖον, ἐκ μέσου γενέσθαι λοιπὸν τοὺς μισθωτοὺς καὶ ψευδοποίμενας, τουτέστι, τοὺς τῶν Ἰουδαίων κατὰ νόμον καθηγητάς· ὧν οἱ μὲν κατέσφαζον τὰ πρόβατα, καὶ οὐ μετεμέλοντο· οἱ δὲ δὴ πωλοῦντες αὐτὰ ἔλεγον· « Εὐλογητὸς Κύριος, καὶ πεπλουτήκαμεν. » Εἶτα τί δή ποτε καὶ φαίη τις ἂν

[83] Mich. VII, 14. [84] Joan. X, 15. [85] Osee XIII, 5. [86] Philipp. II, 7. [87] Psal. XLIV, 3. [88] Deut. XXXII, 8, 9.

Digitized by Google

ποιμένας αὐτοὺς ὀνομάζει τρεῖς, τίνα δὲ τρόπον A quonam modo auferantur, ut dicit, mense uno, age
ἐξαίρονται, καθά φησιν, ἐν μηνὶ ἑνὶ, φέρε δὴ λέγω- ad fidem conciliandam locis e sacra Scriptura pro-
μεν, τὰ ἐκ τῶν ἱερῶν Γραμμάτων παρατιθέντες εἰς latis disseramus. Existimo igitur tres pastores no-
πίστιν. Οἶμαι δὴ οὖν, ὅτι τρεῖς ὀνομάζει ποιμένας, minari : et sacerdotio fungentes secundum legem, et
τούς τε κατὰ νόμον ἱερατεύοντας, καὶ τοὺς τεταγμέ- judices populi constitutos, et præter hos sacrarum
νους κριτὰς τοῦ λαοῦ· καὶ προσέτι τούτοις τοὺς Litterarum interpretes, aut legum peritos ; hi siquidem
γραμματοεισαγωγεῖς, ἤτοι τοὺς νομικούς· κατέβοσκον γὰρ Israelem pascebant. Et quidem qui sacerdotii
οὗτοι τὸν Ἰσραήλ. Καὶ οἱ μὲν ἱερωσύνης honores gerebant, ex sola tribu Levi genus duce-
ἔχοντες δόξαν, ἐκ μόνης ἦσαν τῆς φυλῆς Λευΐ, καὶ bant, ac de iis dictum est a Malachia : « Labia sa-
περὶ αὐτῶν ἔφη Μαλαχίας· « Χείλη ἱερέως φυλάξε- cerdotis custodient scientiam, et legem requirent ex
ται κρίσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος ore ejus [89]. » Qui autem judicandi potestatem obti-
αὐτοῦ. » Οἱ δὲ δὴ λαχόντες τοῦ κρίνειν τὴν ἐξουσίαν, nebant, ipsi quoque delecti, verum ex omni tribu
ἀπόλεκτοι μὲν καὶ αὐτοὶ, πλὴν ἐκ πάσης ἀνεδείκνυντο φυλῆς. Κατὰ τὸν ἴσον δὲ, οἶμαι, τρόπον καὶ οἱ creabantur. Ad eumdem modum sacrarum Litterarum
γραμματοεισαγωγεῖς, ἦγουν, καθάπερ ἔφην ἀρτίως, interpretes, sive, ut modo dixi, **763** legisperiti, qui
οἱ νομικοὶ, τοῖς εἰς τὸ κρίνειν τεταγμένοις ἀεὶ προσ- B judicibus semper assidentes, in unaquaque causa
εδρεύοντες, καὶ τὰ τοῦ νόμου γράμματα παρακομί- verba legis ad confirmationem adducebant. Ministros igitur sacros divinorum mysteriorum ex
ζοντες εἰς ἀπόδειξιν τὴν ἐφ' ἑκάστῳ πράγματι. Ὅτι sola tribu Levi prodiisse, demonstrare nihil attinet.
μὲν οὖν, ὡς ἔφην, τῶν θείων μυστηρίων οἱ ἱερουργοὶ Ex omnibus autem tribubus selectos fuisse judices,
ἐκ μόνης ἦσαν τῆς τοῦ Λευΐ φυλῆς, οὐδενὸς ἂν δέοιτο ut etiam legis gnaros, docebit plane Moses in Deu-
πρὸς ἀπόδειξιν λόγου. Ὅτι δὲ ἐκ πάσης φυλῆς ἀπό- teronomio, ita dicens filiis Israel : « Judices et ma-
λεκτοι οἱ κρίνοντες, ὡς νομομαθεῖς, ἐλαμβάνοντο, gistros constitues tibi in omnibus urbibus tuis, quas
πληροφορήσει λέγων ὁ μακάριος Μωσῆς ἐν τῷ Dominus Deus tuus dat tibi per tribus, et judica-
Δευτερονομίῳ τοῖς υἱοῖς Ἰσραήλ· « Κριτὰς καὶ bunt populum judicium justum. Non declinabunt ju-
γραμματοεισαγωγεῖς καταστήσεις ἑαυτῷ ἐν πάσαις dicium justum, non cognoscent personam, neque
ταῖς πόλεσί σου, αἷς Κύριος ὁ Θεός σου δίδωσί σοι accipient munera : nam munera excæcant oculos
κατὰ φυλὰς, καὶ κρινοῦσι τὸν λαὸν κρίσιν δικαίαν. sapientum, et tollunt verba justorum [90]. » Tres
Οὐκ ἐκκλινοῦσι κρίσιν, οὐκ ἐπιγνώσονται πρόσωπον, igitur pastores sunt sacerdotes, et judices, et legum
οὐδὲ λήψονται· τὰ γὰρ δῶρα ἐκτυφλοῦσιν ὀφθαλμοὺς docti.
σοφῶν, καὶ ἐξαίρει λόγους δικαίων. » Τρεῖς οὖν ἄρα ποιμένες, ἱερεῖς τε καὶ κριταὶ καὶ τῶν νομικῶν
γραμμάτων ἐπιστήμονες, τουτέστιν οἱ νομικοί.

Εὑρήσομεν δὲ καὶ αὐτὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν C Palam porro est et Dominum nostrum Jesum
τὸν Χριστὸν ταλανίζοντα διηρημένως Φαρισαίους τε Christum deplorasse distincte Pharisæos et Scribas
καὶ Γραμματεῖς καὶ νομικούς. Ἔφασκε γάρ· « Οὐαὶ et legisperitos. Sic namque ait : « Væ vobis, Scribæ
ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι. » Ταῦτα δὲ λέγοντι et Pharisæi [91]. » Hæc dicentem quidam his verbis
προσηπήντα τις αὐτῷ τῶν νομικῶν, λέγων· « Διδά- interpellavit : « Magister, hæc dicens etiam nobis
σκαλε, ταῦτα λέγων καὶ ἡμᾶς ὑβρίζεις. Ὁ δὲ εἶπε, injuriam facis. At ille ait, inquit : Et vobis legis-
φησί· Καὶ ὑμῖν τοῖς νομικοῖς Οὐαὶ, ὅτι φορτίζετε peritis væ, quia oneratis homines oneribus quæ por-
τοῖς ἀνθρώποις φορτία δυσβάστακτα, καὶ αὐτοὶ ἑνὶ tare non possunt, et ipsi uno digito vestro non tan-
τῶν δακτύλων ὑμῶν οὐ προσψαύετε αὐτοῖς. » Οἶδα gitis ea [92]. » Non me fugit etiam aliquando reges
μὲν οὖν ὅτι καὶ οἱ βασιλεύοντες κατὰ καιροὺς ἐν τοῖς Hierosolymis de tribu Juda subjecto populo pasto-
Ἱεροσολύμοις ἐκ τῆς Ἰούδα φυλῆς τάξιν ἀπεπλήρουν rum munus præstitisse [93]. At postquam Christo na-
ποιμένων τοῖς ὑπὸ χεῖρα λαοῖς. Ἐπειδὴ δὲ γεννηθέν- to, genus regum defecit, seu principatu ejectum est
τος Χριστοῦ τὸ τῶν βασιλέων ἐκλελοίπει γένος, ἦγουν (regnabant enim tunc in Judæa Herodes Antipatri
ἐκβέβλητο τῆς ἡγεμονίας (ἦρχον γὰρ τῆς Ἰουδαίας filius Ascalonita, et Pontius Pilatus), de tribu Juda
τηνικάδε Ἡρῴδης τε Ἀντιπάτρου παῖς Ἀσκαλωνίτης, reges nullos nominamus. Defecisse enim illos Chri-
καὶ Πόντιος Πιλάτος), σεσιγήκαμεν ἀναγκαίως τοὺς D sto in lucem edito, certum est e Scriptura. « Non
ἐκ τῆς Ἰούδα φυλῆς. Ὅτι γὰρ ἐκλελοίπεισαν γεννη- deficiet princeps ex Juda, et dux de femoribus ejus,
θέντος Χριστοῦ, πληροφορήσει τὸ γεγραμμένον· « Οὐκ donec veniant reposita ei, et ipse exspectatio gen-
ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μη- tium [94]. » Quocirca postquam advenit, et nata est
ρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ τὰ ἀποκείμενα αὐτῷ, καὶ de cætero exspectatio gentium, id est Christus, ne-
αὐτὸς προσδοκία ἐθνῶν. » Οὐκοῦν ἐπειδήπερ ἀφῖκτο, cessario « princeps ex Juda, et dux ex femoribus
καὶ γεγέννητο λοιπὸν ἡ τῶν ἐθνῶν προσδοκία, τουτ- ejus defecit. » Tres itaque pastores, ut dixi, sunt sa-
έστι Χριστὸς, « ἐκλέλοιπεν ἀναγκαίως ἄρχων ἐξ cerdotes, judices, legis doctores, qui et principatum
Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ. » Τρεῖς suum, sive ordinem et locum usque ad tempora
δὲ οὖν, ὡς ἔφην, ποιμένες, ἱερεῖς τε καὶ κριταὶ, καὶ adventus Christi tenuerunt. Hi summo jure aufe-

[89] Malach. II, 7. [90] Deut. XVI, 18, 19. [91] Luc. XI, 45. [92] Ibid. 45, 46. [93] IV Reg. XVIII, 35. [94] Gen. XLIX, 10.

Digitized by Google

runtur, in mense uno. Quoniam enim auctorem vitæ interfecerunt [95], idcirco velut demetuntur, **764** et quasi in mense uno, quo necem pro nobis Emmanuel sustinuit. Quamvis enim Israelem administrare perseverarunt etiam post Salvatorem in cruce suffixum, rerum omnium principe Deo illos tolerante, et miserante, et ad pœnitentiam invitante : tamen quod ad sententiam Dei super hoc prolatam attinet, eodem tempore quo universorum Salvatorem ac Liberatorem in crucem egerunt, ablatos esse asseveramus. Ablati sunt igitur in mense uno. Ac de pastoribus quidem hactenus. Judicium autem super ipso grege est : « Non pascam vos : » et, Devorare ac mordere invicem si velint. Etenim nihil penitus parcendo, et ipsæ oves inter se devorarunt, et diripere volentibus in prædam paratissimam datæ sunt. Dixit porro, et sane optime de tribus pastoribus, et iisdem sublatis in mense uno : « Gravabitur anima mea super ipsos, » hoc est, grave eis supplicium injungam, quoniam « Et animæ eorum rugiebant super me. » Nihil enim ab immanibus belluis differentes, sæpissime in Christum irruebant, tandemque Pilato eum sistebant, vociferantes : « Tolle, tolle, crucifige eum [96]. » Hujus rei et per Jeremiam ita meminit : « Dereliqui domum meam, dimisi hæreditatem meam, dedi dilectam animam meam in manus inimicorum ejus. Facta est mihi hæreditas mea ut leo in silva, dedit contra me vocem suam, idcirco odi eam [97]. »

A νομοδιδάσκαλοι, οἱ καὶ μεμενήκασιν ἐν ταῖς ἰδίαις ἀρχαῖς, ἦγουν τάξει τε καὶ τόπῳ, καὶ μέχρι καιρῶν τῶν τῆς ἐπιδημίας. Οὗτοι ἐξαίρονται, καὶ μάλα δικαίως, ἐν μηνὶ τῷ ἑνί. Ἐπειδὴ γὰρ ἀπεκτόνασι τὸν ἀρχηγὸν τῆς ζωῆς, ταύτητοι καὶ ἀποκείρονται, καὶ ὡς ἐν μηνὶ τῷ ἑνὶ, καθ' ὃν τὴν ὑπὲρ ἡμῶν ὑπομεμένηκε σφαγὴν ὁ Ἐμμανουήλ. Εἰ γὰρ καὶ μεμενήκασι διοικοῦντες ἔτι τὸν Ἰσραὴλ καὶ μετὰ τὸν τοῦ Σωτῆρος σταυρὸν, ἀνεξικακοῦντος καὶ ἐποικτείροντος αὐτοὺς τοῦ πάντων κρατοῦντος Θεοῦ, καὶ καλοῦντος εἰς μετάγνωσιν· ἀλλ' ὅσον ἦκει εἰπεῖν εἰς τὴν ἐπὶ τούτῳ ψῆφον γεγενημένην παρὰ Θεοῦ, ἐξῃρῆσθαί φαμεν αὐτοὺς κατ' ἐκεῖνον τὸν καιρὸν, καθ' ὃν, ὡς ἔφην, σταυρῷ παραδεδώκασι τὸν τῶν ὅλων Σωτῆρα καὶ Λυτρωτήν. Ἐξῄρηνται τοιγαροῦν ἐν μηνὶ τῷ ἑνί.

B Καὶ τὰ μὲν τῶν ποιμένων ἐν τούτοις. Τὸ δέ γε ἐπ' αὐτοῖς τοῖς θρέμμασι κρῖμα, τὸ, « Οὐ ποιμανῶ ὑμᾶς, » καὶ τὸ, Εἴπερ ἔλοιντο κατεσθίειν τε καὶ καταδάκνειν ἄλληλα. Καὶ γὰρ ἁπάσης δίχα φειδοῦς αὐτά τε ἄλληλα κατεδηδόκασι, καὶ τοῖς διαρπάζειν ἐθέλουσιν ἑτοιμοτάτη δέδονται θήρα. Ἔφη δὲ δὴ, καὶ μάλα εἰκότως, περὶ τῶν τριῶν ποιμένων, τῶν καὶ ἐξῃρημένων ἐν μηνὶ ἑνὶ, ὅτι « Βαρυνθήσεται ἡ ψυχή μου ἐπ' αὐτοὺς, » τουτέστι, βαρεῖαν αὐτοῖς ἐποίσω τὴν δίκην, ὅτι « Καὶ αἱ ψυχαὶ αὐτῶν ἐπωρύοντο ἐπ' ἐμέ. » Θηρῶν γὰρ ἀγρίων διαφέροντες οὐδὲν, ἐπεπήδων τε πλειστάκις Χριστῷ, καὶ τελευτῶντες Πιλάτῳ προσῆγον, λέγοντες· « Ἆρε, ἆρε, σταύρου αὐτόν. » Μέμνηται δὲ τούτου καὶ διὰ φωνῆς Ἱερεμίου, λέγων· « Ἐγκατέλειπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου, ἔδωκα τὴν ἠγαπημένην ψυχήν μου εἰς χεῖρας ἐχθρῶν αὐτῆς. Ἐγενήθη ἡ κληρονομία μου ἐμοὶ, ὡς λέων ἐν δρυμῷ, ἔδωκεν ἐπ' ἐμὲ τὴν φωνὴν αὐτῆς, διὰ τοῦτο ἐμίσησα αὐτήν. »

Vers. 10, 11. *Et assumam virgam meam pulchram, et projiciam eam, ut dissipem testamentum meum quod disposui ad omnes populos terræ. Et dissipabitur in die illa, et agnoscent Chananæi, oves quæ observant me, quia verbum Domini est.*

C *Καὶ λήψομαι τὴν ῥάβδον μου τὴν καλὴν, καὶ ἀπορρίψω αὐτὴν, τοῦ διασκεδάσαι τὴν διαθήκην μου, ἣν διεθέμην πρὸς πάντας τοὺς λαοὺς τῆς γῆς. Καὶ διασκεδασθήσεται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ γνώσονται οἱ Χαναναῖοι, τὰ πρόβατα τὰ φυλασσόμενά μοι, διότι λόγος Κυρίου ἐστί.*

LXXXI. Virgam pulchram vocat institutionem per mystagogiam evangelicam excellenter decoratam, juxta quod intelligitur, non oculis sentitur. Quod autem se projecturum eam, et testamentum dissipaturum autumat, verisimile est subindicare, non quod id dimissurus sit, et solutum dissipaturus, sive ut inutile oblitteraturus; neutiquam. Illud potius intelligendum dixerim. Pastores nonnunquam, si forte ovem quampiam a grege aberrasse, et ab aliis semotissimam conspexerint, tum omnino virgam, D **765** seu pedum projicientes, eam ad alias aggregari compellunt. Propheta igitur pastoritiæ consuetudini convenienter locutus est, projectum iri virgam dicens, utique in gentes : illæ enim erant de quibus Apostolus, « qui longe [98]. » Verumtamen facti sunt prope per fidem. Sic autem projiciendam dicit virgam, ut toto terrarum orbe dissipata, sive ut sermo de Christo, seu prædicatio evangelica ubique distributa et diffusa videatur. Inquit enim :

ΠΑ'. Ῥάβδον μὲν ὀνομάζει καλὴν τὴν διὰ τῆς εὐαγγελικῆς μυσταγωγίας παίδευσιν, τὴν ἐξαίρετον ἐν ὡραϊσμῷ, δῆλον δὲ ὅτι τῷ νοητῷ. Τὸ δὲ δὴ καὶ ἀπορρίψαι, καὶ διασκευάσαι λέγειν αὐτὴν, ὑπεμφῆνειν ἂν, κατὰ τὸ εἰκὸς, οὐχ ὅτι καὶ ἀποπέμψεται, καὶ σκορπιεῖ, παραλύων αὐτὴν, ἤγουν ὡς ἄχρηστον ἀφανίζων, πολλοῦ γε καὶ δεῖ. Φαίην δ' ἂν μᾶλλον ἐκεῖνο χρῆναι νοεῖν. Οἱ ποιμένες ἴσθ' ὅτε, εἰ δή που θεάσαιντο τῶν προβάτων τινὰ τῆς ἀγέλης ἀποσκιρτήσαντα, γεγονότα τε τῶν ἄλλων ὡς ἀποτάτω, τότε δὴ πάντως ἐπ' αὐτὰ τὴν ῥάβδον ἱέντες, μετασπεύδουσιν εὐθὺς εἰς γε τὸ ἐλέσθαι δεῖν συναγελάζεσθαι τοῖς ἄλλοις. Τετήρηκε τοίνυν τῆς προφητείας ὁ λόγος τῇ τῶν ποιμνίων ἐπιστήμῃ τὸ εἰωθὸς, ἀπορρίφήσεσθαι τὴν ῥάβδον λέγων, δῆλον δὲ ὅτι τοῖς ἔθνεσιν. Αὐτοὶ γὰρ ἦσαν « οἱ μακράν. » Πλὴν γεγόνασιν ἐγγὺς διὰ τῆς πίστεως. Ἀπορριφήσεσθαι δέ φησιν οὕτω τὴν ῥάβδον, ὡς ἀνὰ πᾶσαν αὐτὴν σκεδασθῆναι τὴν γῆν, ἤγουν διανεμηθῆναι, καὶ ἐσκορπίσθαι δοκεῖν παντα-

[95] Act. III, 15. [96] Joan. XIX, 15. [97] Jerem. XII, 7, 8. [98] Ephes. II, 13.

Digitized by Google

τὸν περὶ Χριστοῦ λόγον, ἤτοι τὸ κήρυγμα τὸ εὐαγγελικόν. « Σκεδασθήσεται γὰρ, φησὶν, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, » τουτέστι, κατ' ἐκεῖνον τὸν καιρὸν, καθ' ὃν ἂν πατήσας τοῦ θανάτου τὸ κράτος ἀναβιώῃ Χριστὸς, εἶπῃ τε τοῖς ἀποστόλοις· « Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. » Τότε γὰρ ἀνὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν ὁ τοῦ Σωτῆρος ἡμῶν διαπεφοίτηκε λόγος· καὶ ἀτρεκὲς εἰπεῖν περὶ τῶν ἁγίων ἀποστόλων· « Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. » Ὅτι δὲ οὐκ ἀνόνητον τοῖς ἔθνεσι τὸ ἀπορριφῆναί τε καὶ διασκεδασθῆναι ἀνὰ τὴν γῆν, ἤγουν διανεμηθῆναι καὶ ἐν ταῖς αὐτῶν χώραις τὴν ῥάβδον τὴν καλὴν, ἤτοι τὴν Διαθήκην, ἣν οὐκέτι πρὸς μόνον τὸν Ἰσραὴλ, διέθετο δὲ μᾶλλον πρὸς πάντα τὰ ἔθνη, καταθρήσαιμεν ἂν, καὶ λίαν ἀμογητὶ, τὸν τῆς προφητείας συνιέντες λόγον· « Γνώσονται γὰρ, φησὶν, οἱ Χαναναῖοι τὰ φυλασσόμενα, διότι λόγος Κυρίου ἐστί. » Χαναναίους μὲν γὰρ τὰ ἔθνη φησί. Νοηθείεν δ' ἂν οὗτοι πρόδατα τὰ φυλασσόμενα τῷ Χριστῷ. Τετήρηνται γάρ αὐτῷ· καὶ γάρ « ἐστιν αὐτὸς ἡ τῶν ἐθνῶν προσδοκία. » Ἐπειδὴ δὲ κατεσκεδάσθη καὶ ἐν ταῖς αὐτῶν χώραις ἡ πρὸς πάντας διαθήκη, πεπιστεύκασιν « ὅτι λόγος Κυρίου ἐστί. » Διατιθέμεθα γὰρ οἱ ἐξ ἐθνῶν κεκλημένοι διὰ τῆς πίστεως, ὅτι Κύριος ὢν, καὶ ἐκ Θεοῦ κατὰ φύσιν γεγεννημένος τε καὶ ὑπάρχων ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, αὐτὸς ἡμᾶς δι' ἑαυτοῦ τοὺς θείους τε καὶ εὐαγγελικοὺς προσπεφώνηκε λόγους. Ταύτητοι προσκεκυνήκαμεν αὐτῷ, καὶ αὐτῷ λατρεύομεν, τὴν ἀρχαίαν ἐκείνην καὶ ἀκλεᾶ μεθέντες ἀπάτην, καὶ τὴν πολύθεον ἕξιν μεταδιδιδαγμένοι. Καὶ τοῦτο ἦν ἄρα τὸ διὰ φωνῆς τοῦ Δαβὶδ πρὸς αὐτὸν ὑμνούμενον· « Πάντα τὰ ἔθνη ὅσα ἐποίησας, ἥξουσι, καὶ προσκυνήσουσιν ἐνώπιόν σου, Κύριε. — Ἐν γὰρ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψει, ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρός. »

A « Dissipabitur in die illa, » hoc est, illo tempore quo conculcato mortis imperio in vitam Christus redierit, mandaveritque apostolis : « Euntes docete omnes gentes, baptizantes eas in nomine Patris, et Filii, et Spiritus sancti [99]. » Tunc enim totum sub sole mundum sermo Salvatoris nostri pervasit ; et ut verum de sanctis apostolis dicamus : « In omnem terram exivit sonus eorum, et in omnes fines orbis terræ verba eorum [1]. » Non autem sine gentium fructu, projectam et per terram dissipatam, sive per earum regiones distributam esse virgam pulchram sive Testamentum, quod non amplius ad solum Israel, sed ad omnes gentes potius disposuit, nullo negotio ex intelligentia verborum prophetæ perspicicimus. Ait enim : « Et cognoscent Chananæi oves quæ ob- B servant me, quia verbum Domini est. » Chananæos enim vocat gentes. Atque hi possunt intelligi oves Christum observantes. Observarunt enim illum ; etenim « ipse est exspectatio gentium [2]. » Postquam autem dissipatum est etiam in eorum regionibus testamentum ad omnes, crediderunt « quia verbum Domini est. » Sensimus enim apud animos ex gentibus vocati per fidem, Dominum esse, et ex Deo secundum naturam natum, et unigenitum Dei Verbum ipsum per divinos et evangelicos sermones suos nos allocutum. Quare ipsum adoravimus, eique servimus, veteri illo et inglorio errore derelicto, et affectum ad multos deos colendos dedocti. Atque hoc est, quod ore Davidis illi canitur : « Omnes C gentes quas fecisti venient, et adorabunt coram te, Domine [3]. — In nomine enim Jesu Christi omne genu flectetur, cœlestium, terrestrium et infernorum, et omnis lingua confitetur, quia Dominus Jesus Christus in gloria est Dei Patris [4]. »

Καὶ ἐρῶ πρὸς αὐτούς· Εἰ καλὸν ἐνάντιον ὑμῶν ἐστι, δότε στήσαντες τὸν μισθόν μου, ἢ ἀπείπασθε. Καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργυροῦς. Καὶ εἶπε Κύριος πρός με· Κάθες αὐτοὺς εἰς τὸ χωνευτήριον, καὶ σκέψομαι εἰ δόκιμόν ἐστι, ὃν τρόπον ἐδοκιμάσθην ὑπὲρ αὐτῶν. Καὶ ἔλαβον τοὺς τριάκοντα ἀργυροῦς, καὶ ἐνέβαλον αὐτοὺς εἰς τὸν οἶκον Κυρίου εἰς τὸ χωνευτήριον.

766 VERS. 12, 13. *Et dicam ad eos : Si bonum in conspectu vestro est, date stantes mercedem meam, aut quiescite. Et statuerunt mercedem meam triginta argenteos. Et dixit Dominus ad me : Depone eos in conflatorium, et videbo, si probatum est, sicut probatus sum super eis. Et accepi triginta argenteos, et misi eos in domum Domini, in conflatorium.* D

ΠΒ'. Διὰ τῶν εὐαγγελικῶν θεσπισμάτων, ἤτοι διὰ τῆς ῥάβδου τῆς καλῆς, τουτέστι τῆς ἐξαιρέτου παιδείας, τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ Μονογενοῦς πεπαιδεύμεθα τὸ μυστήριον. Ἀκηκόαμεν γὰρ καὶ πεπιστεύκαμεν, ὅτι Θεὸς ὢν, ὡς ἔφην, ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, γέγονε σὰρξ, « καὶ ἐσκήνωσεν ἐν ἡμῖν, » καθίκετό τε ἐν δούλου μορφῇ, ὑπάρχων ἐν μορφῇ καὶ ἰσότητι τοῦ γεγεννηκότος, « γέγονεν ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ· καὶ πλούσιος ὢν, ἐπτώχευσε δι' ἡμᾶς, ἵνα ἡμεῖς τῇ αὐτοῦ πτωχείᾳ πλουτήσωμεν. » Ἐξείλετο γὰρ ἡμᾶς τῶν τοῦ

LXXXII. Per evangelica oracula, sive per virgam decoram, hoc est per eximiam institutionem, œconomiæ cum carne Unigeniti mysterium didicimus. Audivimus enim et credidimus, quod cum esset Deus, ut dixi, ex Deo Patre Verbum factus sit caro, « et habitaverit in nobis [5], » veneritque in forma servi, qui est in forma et æqualitate Genitoris, « et factus sit obediens usque ad mortem, mortem autem crucis [6] ; et cum dives esset, factus sit egenus, ut nos ejus inopia ditaremur [7]. » Exemit enim nos e vinculis mortis, liberavit a peccato, filios Dei

[99] Matth. XXVIII, 19, 20. [1] Psal. XVIII, 5. [2] Gen. XLIX, 10. [3] Psal. LXXXV, 1. [4] Philipp. II, 10, 11. [5] Joan. I, 14. [6] Philipp. II, 6-8. [7] II Cor. VIII, 9.

Digitized by Google

reddidit, et quid non bonorum tandem nobis donavit? Cognovimus præterea nos emptos esse, « non corruptibilibus auro vel argento, sed pretioso sanguine quasi agni incontaminati et immaculati Christi [8], » atque ita deinde vitam nostram ei debere cœpimus. « Si enim unus pro omnibus mortuus est, ergo omnes illi mortui sunt, » et jam non nobis ipsis vivere debemus, si recte ratiocinamur, « sed ei qui pro nobis mortuus est, et resurrexit [9]. » Quare inquit: « Si bonum est in conspectu vestro, » utique œconomiæ carnis mysterium, si per ipsum salvati estis, et bene vobis est, et cognovistis me Salvatorem ac Redemptorem, et pro omnium vita mortuum, « Date statuentes, » hoc est, definientes « mercedem meam, aut quiescite. » Verumtamen grati fuerunt qui ex gentibus conversi sunt. Statuerunt enim mercedem, nullo quidem modo æqualem, sed quodammodo æquam beneficiis ab eo acceptis. Quemadmodum enim ipse pro nobis mortuus est, ita et nos animas posuimus pro sinceritate et charitate erga ipsum; possuntque dicere sancti martyres: « Quis nos separabit a charitate Christi? Tribulatio, an angustia, an fames, an persecutio, an nuditas, an periculum, an gladius [10]? » Nihil enim in sanctis animi fortitudinem vicit. Itaque Christi nobiscum similitudo quodammodo subindicatur, dum dicitur, datos esse in mercedem ejus triginta argenteos. Proditor enim, et vere omnium maxime exsecrandus ac Deo exosus Judas, **767** triginta denariis acceptis, Christum homicidis tradidit, et auctorem salutis nostræ scelestis hominibus venumdedit [11]. Allati sunt autem a gentibus in mercedem ejus triginta argentei, qui etiam, Deo jubente, in conflatorium deponuntur, etiam atque etiam probandi, sicut et ipse Christus pro nobis probatus est. Non enim sine inquisitione apud Deum omnium scientem abibit fides nostra: neque citra examen vitæ, sed sicut est apud beatum Paulum: « Uniuscujusque opus quale sit, ignis probabit [12]. » Scriptum est autem de Christo: « Quoniam statim veniet in templum suum quem vos quæritis, et Angelus testamenti quem vos vultis. Ecce venit, dicit Dominus omnipotens, et quis sustinebit diem introitus ejus? Aut quis sustinebit in visione ejus? Quia ipse ingreditur quasi ignis conflatorii, ut herba lavantium, et sedebit conflans et emundans ut argentum, et ut aurum [13]. » Psallit et divinus David in persona cujusvis in Christum credentis, et Evangelio convenienter vivere cupientis: « Proba me, Domine, et tenta me, ure renes meos et cor meum [14]. » Cæterum conflatorium in domo Domini esse propheta dicit. Ecclesia enim Christi cujusque mores et sinceritatem dilectionis erga Christum explorat, et discretionem habens spirituum [15], probe novit, quis in Spiritu sancto loquatur Dominum Jesum nominans, et quis in Beelzebul ipsum anathema dicat, et qui sint

θανάτου δεσμῶν, ἀπήλλαξεν ἁμαρτίας, υἱοὺς ἀπέφηνε Θεοῦ· καὶ τί γὰρ οὐχὶ δεδώρηται τῶν ἀγαθῶν; Ἐγνώκαμεν δὲ πρὸς τούτοις, ὅτι καὶ τιμῆς ἠγοράσμεθα, « οὐ φθαρτοῖς, ἀργυρίῳ, ἢ χρυσίῳ· ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ, καὶ ἀσπίλου Χριστοῦ· » οὕτω τε λοιπὸν αὐτῷ τὴν οἰκείαν ἐπωφλήσαμεν ζωήν. « Εἰ γὰρ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον αὐτῷ, » καὶ ζῆν ὀφείλομεν ἑαυτοῖς μὲν οὐκέτι, κατά γε τὸν εἰκότα καὶ ὀρθῶς ἔχοντα λόγον, « μᾶλλον δὲ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι, καὶ ἐγερθέντι. » Ταύτῃτοί φησιν· « Εἰ καλὸν ἐνώπιον ὑμῶν, » δῆλον δὲ τὸ τῆς μετὰ σαρκὸς οἰκονομίας μυστήριον, εἰ σέσωσθε δι' αὐτοῦ, καὶ πεπράχατε δεξιῶς, ἐγνώκατε δέ με Σωτῆρα καὶ Λυτρωτὴν, καὶ τὸν ὑπὲρ τῆς πάντων ζωῆς ἀνατλάντα θάνατον, « Δότε στήσαντες, » τουτέστιν, ὁρίσαντες, « τὸν μισθόν μου, ἢ ἀπείπασθε. » Πλὴν εὐγνώμονες οἱ ἐξ ἐθνῶν. Ἔστησαν γὰρ τὸν μισθὸν παρισούμενον μὲν οὐδαμῶς· ἐοικότα δέ πως οἷς ἐσχήκαμεν παρ' αὐτοῦ. Ὥσπερ γὰρ ἀπέθανεν ὑπὲρ ἡμῶν, οὕτω καὶ ἡμεῖς τεθείκαμεν τὰς ψυχὰς ὑπὲρ τῆς εἰς αὐτὸν γνησιότητος καὶ ἀγάπης· πρέποι δ' ἂν λέγειν τοῖς ἁγίοις μάρτυσι· « Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; Θλῖψις, ἢ στενοχωρία, ἢ λιμὸς, ἢ διωγμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; » Νενίκηκε γὰρ οὐδὲν τῶν ἁγίων τὴν εὐψυχίαν. Οὐκοῦν ἡ τῶν παρὰ Χριστοῦ εἰς ἡμᾶς ὁμοιότης ὑποφαίνεταί πως διὰ τοῦ δεδόσθαι λέγειν εἰς μισθὸν αὐτοῦ τριάκοντα ἀργυρίους. Ὁ μὲν γὰρ προδότης, καὶ βδελυρώτατος ἀληθῶς, καὶ θεομισὴς Ἰούδας, τριάκοντα δηνάρια λαβὼν, προὔδωκε τοῖς φονεῦσι Χριστὸν, καὶ τὸν τῆς σωτηρίας ἡμῶν καταπέπρακεν ἀρχηγὸν τοῖς ἀλιτηρίοις. Προσεκομίσθησαν δὲ παρὰ τῶν ἐθνῶν εἰς μισθὸν αὐτοῦ τριάκοντα ἀργύριοι, οἳ καὶ καθίενται Θεοῦ προστάττοντος εἰς τὸ χωνευτήριον, εὖ μάλα δοκιμαζόμενοι, καθὼς καὶ αὐτὸς ὁ Χριστὸς ἐδοκιμάσθη ὑπὲρ ἡμῶν. Ἔσται γὰρ ἡμῶν οὐκ ἀζήτητος ἡ πίστις παρά γε τῷ πάντα εἰδότι Θεῷ· οὔτε μὴν ἀδασάνιστος ὁ βίος· ἀλλ' ᾗ φησιν ὁ μακάριος Παῦλος, « Ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι, τὸ πῦρ δοκιμάσει. » Γέγραπται δὲ καὶ περὶ Χριστοῦ, ὅτι « Ἐξαίφνης ἥξει εἰς τὸν ναὸν αὐτοῦ, ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ ἄγγελος τῆς διαθήκης, ὃν ὑμεῖς θέλετε. Ἰδοὺ ἔρχεται, λέγει Κύριος παντοκράτωρ, καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; Ἢ τίς ὑποστήσεται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ; Διότι αὐτὸς εἰσπορεύεται ὡς πῦρ χωνευτηρίου, ὡς πόα πλυνόντων, καὶ καθιεῖται χωνεύων, καὶ καθαρίζων ὡς τὸ ἀργύριον, καὶ ὡς τὸ χρυσίον. » Ψάλλει δέ που καὶ ὁ θεσπέσιος Δαβὶδ, ὡς ἐκ προσώπου παντὸς τοῦ πιστεύοντος εἰς Χριστὸν, καὶ ζῆν ἐθέλοντος εὐαγγελικῶς· « Δοκίμασόν με, Κύριε, καὶ πείρασόν με, πύρωσον τοὺς νεφρούς μου καὶ τὴν καρδίαν μου. » Πλὴν ὅτι τὸ χωνευτήριον ἐν οἴκῳ Κυρίου, φησὶν ὁ προφήτης. Δοκιμάζει γὰρ ἡ Ἐκκλησία Χριστοῦ τὸν ἑκάστου τρόπον, καὶ τῆς εἰς Χριστὸν ἀγάπης τὸ γνήσιον, καὶ διακρίσεις ἔχουσα πνευμάτων, οἶδεν ἀκριβῶς, τίς μὲν ἁγίῳ Πνεύματι

[8] I Petr. I, 18, 19. [9] II Cor. V, 14, 15. [10] Rom. VIII, 35. [11] Matth. XXVI, 15. [12] I Cor. III, 13. [13] Malach. III, 1-3. [14] Psal. XXV, 2. [15] I Cor. XII, 10.

Digitized by Google

λαλεῖ, Κύριον ὀνομάζων Ἰησοῦν· τίς δὲ δὴ καὶ ἐν Βεελζεβοὺλ, ἀνάθεμα λέγων αὐτόν· καὶ τίνες μὲν οἱ ἀληθινοὶ προσκυνηταὶ, τίνες δὲ αὖ οἱ ὡς ἐνδύμασι προβάτων πρὸς ἡμᾶς ἐρχόμενοι λύκοι.

A veri adoratores [16], et qui rursum lupi, in vestimentis ovium ad nos venientes [17].

Καὶ ἀπέρριψα τὴν ῥάβδον τὴν δευτέραν, τὸ Σχοίνισμα, τοῦ διασκεδάσαι τὴν διαθήκην ἀναμέσον τοῦ Ἰούδα, καὶ ἀναμέσον τοῦ Ἰσραήλ.

Et abjeci virgam meam secundam quæ appellatur Funiculus, ut dissiparem testamentum inter Judam et Israel.

ΠΓ'. Ῥάβδους ἔφη δύο λήψεσθαι Χριστὸν, οὕτω τε κατανεμήσειν ἐν αὐταῖς τὰ οἰκεῖα πρόβατα, δῆλον δὲ ὅτι τῶν διὰ πίστεως κεκλημένων τὴν ἁγίαν πληθύν. Καὶ ῥάβδον μὲν εἶναι τὴν καλὴν ἐλέγομεν τὴν παιδείαν, ἤτοι τὸ κήρυγμα τὸ εὐαγγελικὸν, τήν γε μὴν ἑτέραν τὴν Παλαιὰν Διαθήκην, τουτέστι, τὴν τῷ Ἰσραὴλ δοθεῖσαν εἰς βοήθειαν, κατὰ τὴν τοῦ προφήτου φωνήν. « Νόμον γὰρ, φησὶν, εἰς βοήθειαν δέδωκεν. » Ὅτι τοίνυν οὐχὶ δὴ μόνοις τοῖς εὐαγγελικοῖς παιδεύμασιν ἡ τῶν ἐθνῶν ἔμελλε παιδαγωγεῖσθαι πληθὺς, ἀλλὰ γὰρ καὶ αὐταῖς ταῖς πάλαι τε καὶ διὰ Μωσέως δοθείσαις ἐντολαῖς, μεταπλαττομένης δηλονότι τῆς ἐν νόμῳ σκιᾶς εἰς ἀλήθειαν, καὶ διὰ τῶν προκειμένων ἡμῖν καθίστησιν ἐναργές. Καὶ ὥσπερ ἀπορριφῆναι καὶ σκεδασθῆναι τὴν καλὴν ἔφη ῥάβδον (διεσπάρη γὰρ ὥσπερ ἐν ταῖς τῶν Χαναναίων χώραις ἡ εὐαγγελικὴ παίδευσις, περιενεχθεῖσα δηλονότι διὰ τῶν ἁγίων ἀποστόλων), οὕτω καὶ ἡ ἑτέρα ῥάβδος, ἤτοι παίδευσις, τουτέστι, τὸ Σχοίνισμα, ἤγουν ὁ νόμος, ὁ ἐν τάξει διαθήκης παρὰ Θεοῦ τεθεὶς ἀναμέσον τοῦ Ἰούδα, καὶ ἀναμέσον τοῦ Ἰσραὴλ, τουτέστι, παντὸς τοῦ γένους τοῦ ἐξ Ἰσραήλ· Ἰούδαν μὲν γὰρ ὀνομάζει τὰς ἐν τοῖς Ἱεροσολύμοις δύο φυλὰς, αὐτήν τε τὴν Ἰούδα φημὶ καὶ Βενιαμὶν, Ἰσραὴλ δὲ τὰς ἑτέρας δέκα, τὰς ἐν τῇ Σαμαρείᾳ διακειμένας ὁμοῦ τῷ Ἱεροβοάμ. Δέδοται δὴ οὖν τοῖς ἐκ Χαναὰμ καὶ ὁ νόμος, μυσταγωγούμενος γὰρ, ὡς ἔφην, νομικοῖς τε καὶ εὐαγγελικοῖς θεσπίσμασι. Ταύτητοι καὶ ἔφασκεν ὁ Σωτήρ· « Μὴ νομίσητε, ὅτι ἦλθον καταλῦσαι τὸν νόμον. Οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι. Λέγω γὰρ ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς, καὶ ἡ γῆ, ἰῶτα ἕν, ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται. » Πληροῖ γὰρ τὸν νόμον διδάσκων τὰ ὑπὲρ νόμον, καὶ οὐκ ἔξω νόμου τιθεὶς τὸν παιδαγωγούμενον, ὡς ἔν γε τῷ φάναι τυχόν· « Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις· Οὐ φονεύσεις· ὃς δ' ἂν φονεύσῃ, ἔνοχος ἔσται τῇ κρίσει. Ἐγὼ δὲ λέγω ὑμῖν· Ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ κρίσει. » Καὶ πάλιν· « Ἠκούσατε ὅτι ἐρρέθη· Οὐ μοιχεύσεις. Ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. » Ἀποπεραίνεται γὰρ τὸ, « Οὐ φονεύσεις, » ὡς ἔν γε τῷ παραιτεῖσθαι τὴν ὀργὴν, ἡ ῥίζα τέ ἐστι τοῦ φόνου καὶ γένεσις. Τὸ δὲ μηδ' ὅλως εἰσδέχεσθαι τὰς ἐπιθυμίας, ἤγουν κολάζειν τὰς ἡδονὰς, συναναιρεῖται που πάντως τῆς μοιχείας ὁ τρόπος, καθάπερ ἀμέλει καὶ ῥίζαις συναπομαραίνεσθαι φαμὲν τὰ ἐξ αὐτῶν βλαστήματα, μᾶλλον δὲ οὐδὲ ἀνάσχοιεν ὅλως.

LXXXIII. Duas virgas Christum assumpturum narravit, atque ita in ipso oves suas pasturum, haud dubium quin per fidem vocatorum sanctam multitudinem. Et virgam quidem pulchram dicebamus esse doctrinam, seu prædicationem evangelicam: alteram Vetus Testamentum, nempe quod Israeli datum est in auxilium juxta prophetæ vocem. Inquit enim: « Legem in adjutorium dedit [18]. » Igitur gentium multitudinem non tantum doctrina evangelica, sed ipsis etiam antiquis et a Mose traditis præceptis imbutum iri, umbra videlicet legis in veritatem transmutata, verbis propositis nobis declarat. **768** Et quo modo abjectam et dissipatam pulchram virgam dixit (quasi enim per Chananæorum regiones dispersa est institutio evangelica, circumlata nimirum per sanctos apostolos), ita et altera virga, puta Funiculus, sive lex, loco testamenti a Deo constituta inter Judam et Israel, id est universum genus Israel: Judam enim duas Hierosolymis tribus, ipsam Juda, inquam, et Benjamin, Israel autem reliquas decem in Samaria cum Jeroboam locatas appellat. Data est igitur Chananæis etiam lex: legalibus enim et evangelicis decretis informatus est. Quamobrem et Salvator aiebat: Nolite putare, quoniam veni solvere legem. Non veni solvere, sed adimplere. Dico enim vobis, donec transeat cœlum et terra, iota unum, aut unus apex non præteribit a lege, donec omnia fiant [19]. » Adimplet enim legem, docens quæ sunt supra legem, nec excipit a lege eum qui docetur, ut cum dicit, exempli causa: « Audistis quia dictum est antiquis: Non occides: qui autem occiderit, reus erit judicio. Ego autem dico vobis: Omnis qui irascitur fratri suo sine causa, reus erit judicio [20]. » Et iterum: « Audistis quia dictum est: Non mœchaberis. Ego autem dico vobis, quia omnis qui videt mulierem ad concupiscendum, jam mœchatus est eam in corde suo [21]. » Impletur enim illud, « Non occides, » si iræ locum non relinquas, quæ cædis radix et mater est. Excludendo autem omnes cupiditates, seu castigando voluptates, prorsus etiam adulterii perpetrandi libido tollitur: sicut videlicet cum radicibus inde exsistentia germina marcere affirmamus, quæ potius nulla omnino enascuntur.

Καὶ εἶπε Κύριος πρός με· Ἔτι λάβε σεαυτῷ σκεύη ποιμενικὰ ποιμένος ἀπείρου, διότι ἰδοὺ ἐγὼ ἐξεγείρω ποιμένα ἄπειρον ἐπὶ τὴν γῆν. Τὸ ἐκλιμπάνον οὐ μὴ ἐπισκέψηται, καὶ τὸ διεσκορ-

VERS. 15, 16. *Et dixit Dominus ad me: Adhuc sume tibi vasa pastoralia, pastoris imperiti, quia ecce ego suscito pastorem super terram. Deficiens non visitabit, et dispersum non requiret, et contritum non*

[16] Joan. IV, 23. [17] Matth. VII, 15. [18] Galat. III, 24. [19] Matth. V, 17, 18. [20] Ibid. 21, 22. [21] Ibid. 27, 28.

Digitized by Google

sanabit, et integrum non diriget, et carnes electorum devorabit, et talos eorum pervertet.

LXXXIV. Boni, sapientis peritique pastoris, hoc est Christi, virgas duas, quas projecit, et in regionibus Chananæorum dissipavit, eo modo quo supra a nobis explicatum est, **769** quidam cognoverunt Domini Verbum esse. Crediderunt enim, ut dixi, quod cum Deus esset, ex Deo Patre inenarrabili ratione genitum Verbum, postquam nostri simile natum est, et princeps pastorum appellatum [22], ipsis ad mystagogiam et ad notitiam accuratam mysterii sui, evangelicam institutionem et illuminationem, legalemque etiam disciplinam proposuerit. Has enim duas esse virgas dicebamus, quibus nos pascit Christus « in pascuis bonis, et in loco pingui, » ut scriptum exstat [23]. Verum Judæi non intelligentes mysterium, et ignorantes virgam pulchram, hoc est prædicationem evangelicam, et insuper alteram virgam, cui nomen Funiculus, despectui habentes, legem per Mosen datam scilicet, fidem repudiarunt, et per legem ac prophetas prænuntiatum nescierunt, id quod eis aperte Salvator ipse exprobravit : « Ne putetis quod ego accusaturus sim vos apud Patrem. Est qui accusat vos Moses, in quem vos speratis. Si enim crederetis Mosi, crederetis fortasse et mihi : de me enim ille scripsit. Si autem illius litteris non creditis, quomodo verbis meis credetis [24] ? » Nullam igitur dubitationem habet, eos neque litteris Mosaicis, neque verbis Salvatoris fidem adhibuisse. Quia vero cognitionem veritatis aspernati sunt, scriptum est a Paulo sapientissimo : « Ideo mittet illis Deus operationem erroris, ut credant mendacio [25]. » Operationem erroris Antichristum esse dicit, cui addicti Judæi damnabuntur, et verax reperietur Salvator incredulis dicens : « Ego veni in nomine Patris mei, et non accipitis me : si alius venerit in nomine suo, illum accipietis [26]. » Judæos igitur filium iniquitatis olim cum apparuerit citra cunctationem suscepturos, « adversantem [et extollentem se supra omne quod dicitur Deus, aut quod colitur, ita ut in templo Dei sedeat, ostendens se tanquam sit deus [27], » nescientem bene et docte pascere, figura quadam a propheta prænonstrari Deus jubet, his verbis : « Adhuc sume tibi vasa pastoralia pastoris imperiti. » Pastores enim meliores, et studiorum quæ tractant minime rudes, virgas habent graciles, ut cum fuerit etiam percutiendi tempus, quod percutitur non conteratur. Hujus rei imperitus, et artis pastoritiæ ignorantissimus, crassioribus baculis pecudes contundit. Et hæc, opinor, **770** sunt vasa pastoralia imperiti pastoris. Quoniam vero aliquando filius iniquitatis regio prædituς honore mortalibus pastoris loco habendus erat, nec parsurum quidquam populis tam subjectis, quam

πισμένον οὐ μὴ ζητήσῃ, καὶ τὸ συντετριμμένον οὐ μὴ ἰάσηται, καὶ τὸ ὁλόκληρον οὐ μὴ κατευθύνῃ, καὶ τὰ κρέα τῶν ἐκλεκτῶν καταφάγεται, καὶ τοὺς ἀστραγάλους αὐτῶν ἐκστρέψει.

ΠΔ'. Τοῦ ἀγαθοῦ ποιμένος, σοφοῦ τε καὶ ἐπιστήμονος, τουτέστι Χριστοῦ, τὰς δύο ῥάβδους ἀποῤῥίψαντός τε καὶ διασκεδάσαντος ἐν ταῖς τῶν Χαναναίων χώραις, κατὰ τοὺς ἤδη προαποδεδομένους τρόπους, οἱ μὲν ἐγνώκασιν ὅτι Λόγος Κυρίου ἐστί. Πεπιστεύκασι γὰρ, ὡς ἔφην, ὅτι Θεὸς ὢν ὁ ἐκ Θεοῦ Πατρὸς ἀπορῤῥήτως γεγεννημένος Λόγος, ἐπειδὴ γέγονε καθ' ἡμᾶς, κεχρημάτικέ τε τῶν ὅλων ἀρχιποίμην, προὔθηκεν αὐτοῖς εἰς μυσταγωγίαν καὶ εἰς εἴδησιν ἀκριβῆ τοῦ καθ' ἑαυτὸν μυστηρίου τήν τε εὐαγγελικὴν παίδευσιν καὶ φωταγωγίαν, καὶ μέντοι τὴν νομικήν. Ταύτας γὰρ εἶναι τὰς δύο ῥάβδους ἐλέγομεν, δι' ὧν ἡμᾶς καταποιμαίνει Χριστὸς « ἐν νομῇ ἀγαθῇ, καὶ ἐν τόπῳ πίονι, » καθὰ γέγραπται. Ἀλλ' οὐ συνέντες Ἰουδαῖοι τὸ μυστήριον, ἠγνοηκότες δὲ καὶ τὴν ῥάβδον τὴν καλὴν, τουτέστι, τὸ κήρυγμα τὸ εὐαγγελικὸν, καὶ προσέτι τούτοις τὴν ἑτέραν ἀτιμάσαντες ῥάβδον, ἤ ὄνομα Σχοίνισμα, τουτέστι τὸν διὰ Μωσέως νόμον, οὐ προσήκαντο μὲν τὴν πίστιν, ἠγνοήκασι δὲ τὸν διὰ νόμου καὶ προφητῶν προηγορευμένον, καὶ τοῦτο αὐτοῖς ἔφασκεν ἐναργῶς αὐτὸς ὁ Σωτήρ· « Μὴ δοκεῖτε, ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν Πατέρα. Ἔστιν ὁ κατηγορῶν ὑμῶν Μωσῆς, εἰς ὃν ὑμεῖς ἠλπίκατε· Εἰ γὰρ ἐπιστεύετε Μωσεῖ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. Εἰ δὲ τοῖς ἐκείνου γράμμασιν οὐ πιστεύετε, πῶς τοῖς ἐμοῖς ῥήμασι πιστεύσετε; » Ἔστι τοίνυν οὐδαμόθεν ἀμφίλογον, ὡς οὔτε τοῖς Μωσέως πεπιστεύκασι γράμμασιν, οὔτε μὴν τοῖς τοῦ Σωτῆρος ῥήμασιν. Ἐπειδὴ δὲ τῆς ἀληθείας τὴν γνῶσιν οὐ παρεδέξαντο, « Ταύτητοι, φησὶν ὁ σοφώτατος Παῦλος, πέμψει αὐτοῖς ὁ Θεὸς ἐνέργειαν πλάνης, εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει. » Ἐνέργειαν δὲ τῆς πλάνης τὸν Ἀντίχριστον εἶναί φησιν, ᾧ προστεθέντες Ἰουδαῖοι καταχριθήσονται, καὶ πιστώσεται λέγων αὐτοῖς ὁ Σωτὴρ, ἀπειθεῖν ῥηθεὶς· « Ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, καὶ οὐ λαμβάνετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε. » Ὅτι τοίνυν Ἰουδαῖοι μέλλουσι κατὰ καιροὺς πεφηνότα τὸν τῆς ἀνομίας υἱὸν ἀμελλητὶ παραδέχεσθαι, « τὸν ἀντικείμενον καὶ ὑπεραιρόμενον ἐπὶ πάντα λεγόμενον Θεὸν, ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ Θεοῦ καθίσαι, ἀποδεικνύντα ἑαυτὸν ὅτι ἐστὶ Θεὸς, τὸν οὐκ εἰδότα καλῶς ποιμαίνειν καὶ ἐπιστημόνως, προανατυποῦσθαι κελεύει τῷ προφήτῃ Θεὸς, οὕτω λέγων· « Ἔτι λαβὲ σεαυτῷ σκεύη ποιμενικὰ ποιμένος ἀπείρου. » Οἱ μὲν γὰρ τῶν ποιμένων ἐπιεικέστεροι, καὶ τῶν ἐν χερσὶ σπουδασμάτων ἐπιστήμονες, ἰσχνὰς ἔχουσι τὰς ῥάβδους, ἵνα εἰ γένοιτο καὶ παίειν καιρὸς, μὴ συνθραύηται τὸ τυπτόμενον. Εἰ δὲ δή τις εἴη τῶν οὐκ εἰδότων τὸ χρῆμα, καὶ ποιμενικῆς ἐπιστήμης ὡς ἀπωτάτω κείμενος, ἀδροτέροις αὐτὰ συντρίβει ῥοπάλοις. Καὶ ταῦτα οἶμαι,

[22] I Petr. v, 4. [23] Ezech. xxxiv, 14. [24] Joan. v, 45-47. [25] II Thess. II, 10. [26] Joan. v, 43. [27] II Thess. II, 4.

Digitized by Google

ἔστι τὰ σκεύη τὰ ποιμενικὰ τοῦ ἀπείρου ποιμένος. Ἐπειδὴ δὲ κατὰ καιροὺς ἔμελλεν ὁ τῆς ἀνομίας υἱὸς τὴν βασιλίδα τιμὴν περικείμενος, δοκεῖν ἐν τάξει ποιμένος ἀναδειχθήσεσθαι τοῖς ἐπὶ τῆς γῆς, φειδοῦς γε μὴν οὐδεμιᾶς ἀξιοῦν τοὺς ὑπὸ χεῖρα λαοὺς, ἢ καὶ τοὺς ἔξω χειρὸς, ταύτῃ τοι φησίν· « Ἰδοὺ ἐγὼ ἐγερῶ ποιμένα ἐπὶ τὴν γῆν. Τὸ ἐκλιμπάνον οὐ μὴ ἐπισκέψηται. » Ὅμοιον ὡς εἰ λέγοι· Τὸ ὀλισθῆσαν εἰς ὀλιγοπιστίαν, οὐκ ἂν ἐπιῤῥώσειε ταῖς μυσταγωγίαις. « Τὸ δὲ ἐσκορπισμένον, οὐ μὴ ζητήσῃ. » Τὸ ἐκπεφοιτηκὸς, φησὶ, τῆς εὐθείας ὁδοῦ, καὶ τῆς ἀγέλης ἀποσκιρτᾷν εἰωθὸς, οὐ μὴ ζητήσῃ, τουτέστιν οὐκ ἂν μεταθείη πρὸς τὸ ἄμεινόν τε καὶ ἔχον ὀρθῶς. « Τὸ συντετριμμένον οὐ [μὴ] ἰάσηται. » Συντρίβεται δέ τις, ἢ πονηρᾶς ἡδονῆς ἡττώμενος, καὶ οἷον οὐ φέρων τῆς φιλοσαρκίας τὸ βάρος· ἤγουν ταῖς τῶν ἀνοσίων αἱρετικῶν B ἀπάταις συνηρπασμένος, καὶ ὑγιᾶ τὸν νοῦν οὐκ ἔχων εἴς γε τὸ χρῆναι πιστεύειν ὀρθῶς. Τοῦτον πάλιν ὁ ἀγαθὸς ἴᾶται ποιμήν. Ὁ γε μὴν ἄπειρος, « Τὸ ὁλόκληρον οὐ μὴ κατευθύνῃ, καὶ τὰ κρέα τῶν ἐκλεκτῶν καταφάγεται, καὶ τοὺς ἀστραγάλους αὐτῶν ἐκστρέψει. » Πολεμήσει γὰρ τοῖς ἁγίοις ὁ τῆς ἀνομίας υἱὸς, καὶ ἀχάλινον αὐτοῖς ἐπαφεὶς τὴν ὀργὴν, μονονουχὶ καὶ κρεωνομήσει, καὶ καταφάγεται θηρὸς ἀγρίου δίκην. Ἐκστρέψει δὲ καὶ τοὺς ἀστραγάλους, ἵνα μή τις ἔχοι τὸ ὀρθοποδεῖν δύνασθαι. Καταδιάσεται γὰρ προσκυνεῖν αὐτῷ, καταπλήττων τοῖς θαύμασιν· « Ἔχει γὰρ τὴν παρουσίαν κατ' ἐνέργειαν τοῦ Σατανᾶ, καὶ ἐν Βεελζεβοὺλ ποιήσει τέρατα, ὥστε πλανῆσαι, εἰ δυνατὸν, καὶ τοὺς ἐκλεκτούς, » καὶ ᾗ φησιν ὁ Σωτὴρ, « Οὐκ ἂν ἐσώθη πᾶσα σὰρξ, » μαινομένης κατὰ πάντων τῆς ἐκείνου πλεονεξίας. « Διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι. » — « Ἀνελεῖ γὰρ αὐτὸν ὁ Κύριος τῷ πνεύματι, καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ. »

non subjectis, idcirco ait : « Ecce ego excitabo pastorem super terram. Quod defecit non visitabit. » Perinde ac si dicat, quod prolapsum est in imbecillitatem fidei, doctrina sacra non confirmabit. « Et quod dispersum est, non requiret. » Quod a recta via discessit, inquit, et a grege resilire solet, non requiret, hoc est, ad statum meliorem et probatum non revocabit. « Quod contritum est non sanabit. » Conteritur autem quis, aut voluptate prava expugnatus et quodammodo amoris rerum carnalium pondus non sustinens, aut certe impiorum hæreticorum deceptionibus una abreptus et ad recte credendum sana mente destitutus. Talem rursus sanat pastor bonus. Imperitus autem « quod integrum est non diriget, et carnes electorum devorabit, et talos eorum pervertet. » Oppugnabit enim sanctos filius iniquitatis, et ira indomita eos invadens propemodum dilaniabit, et instar truculentæ bestiæ devorabit. Pervertet etiam talos, ne quis recto passu ingredi queat. Coget enim se adorare miris operibus obstupefactos. « Cujus adventus secundum operationem Satanæ, et in Beelzebul edet portenta [28], ut in errorem induceret, si fieri posset, etiam electos [29]; » et ut ait Salvator, « non fieret salva omnis caro [30], » illius potentia contra omnes furente. « Propter electos autem breviabuntur dies illi [31]. » — « Interficiet enim illum Dominus spiritu oris sui, et destruet illustratione adventus sui [32]. »

Ὦ οἱ ποιμαίνοντες τὰ μάταια, καὶ οἱ καταλείποντες τὰ πρόβατα, μάχαιρα ἐπὶ τοῦ βραχίονος αὐτοῦ, καὶ ἐπὶ τὸν ὀφθαλμὸν τὸν δεξιὸν αὐτοῦ. Ὁ βραχίων αὐτοῦ ξηραινόμενος ξηρανθήσεται, καὶ ὁ ὀφθαλμὸς ὁ δεξιὸς αὐτοῦ ἐκτυφλούμενος ἐκτυφλωθήσεται.

C

VERS. 17. *O qui pascitis vana, et qui reliquistis oves, gladius super brachium ejus, et super oculum dexterum ejus. Brachium ejus siccatum siccabitur, et oculus dexter ejus excæcatus excæcabitur.*

ΠΕ'. Γεγονότος ἅπαξ τοῦ λόγου περὶ ποιμένος ἀπείρου, μονονουχὶ καὶ ἐπιστυγνάζει λοιπὸν τοῖς μὴ ἀγαθοῖς ποιμέσι, καὶ γενικώτατόν τινα τρόπον χρῆται τῷ λόγῳ, τὰ τοῖς ὧδε γνώμης ἔχουσι συμβησόμενα προαναφωνῶν. Ἄθρει γὰρ ὡς ἤδη τὰς τῆς ῥᾳθυμίας ἀποτινύουσι δίκας τάχα που καὶ συναλγεῖ δι' ἔμφυτον ἡμερότητα, καὶ καταιτιᾶται μὲν, ὅτι ποιμένες γεγόνασι τῶν ματαίων, τουτέστι τῶν προσκαίρων ἐπιμεληταὶ, ῥᾳθυμοι δὲ οὕτως, ὡς ἐπιγάννυσθαι τοῖς D πρωδάτοις ἀθλίως διολωλόσιν. Οἱ μὲν γὰρ πωλοῦντες ἔλεγον· « Εὐλογητὸς Κύριος, καὶ πεπλουτήκαμεν. » Οἱ δὲ κατέσφαζόν τε καὶ οὐκ ἔπασχον οὐδὲν ἐπ' αὐτοῖς· τοῦ γὰρ χρῆναι ποιμαίνειν ὀρθῶς, οὐδεὶς ἦν παρ' αὐτοῖς λόγος. Τοιοῦτοι δὲ ἦσαν οἱ τῶν Ἰουδαίων καθηγηταὶ, κλείοντές τε τὴν βασιλείαν τῶν οὐρανῶν, καθά φησιν ὁ Χριστὸς, « Καὶ μήτε αὐτοὶ εἰσερχόμενοι, μήτε μὴν ἑτέρους ἀφιέντες εἰσελθεῖν· ἀλλὰ περιάγοντες μὲν τὴν θάλασσαν καὶ τὴν ξηρὰν, ἵνα ποιήσωσι ἕνα προσήλυτον, ὅταν γένηται, ποιοῦσιν αὐτὸν υἱὸν

LXXXV. Suscepto semel sermone de pastore imperito, contristatur quasi jam super pastoribus non bonis, et admodum generatim loquitur, ita animo affectis eventura prænuntians. Vide autem quemadmodum nunc pœnas inertiæ pendentes fortassis etiam commiseratur, propter insitam mansuetudinem : quanquam accusat eos, **771** quod pastores vanorum facti sint, hoc est, temporalium satagentes, adeo autem socordes, ut etiam super ovibus misere pereuntibus lætarentur. Alii namque vendentes eas dicebant : « Benedictus Dominus, et divites evasimus [33]. » Alii vero occidebant, nec quidquam commovebantur ; nam ut recte pascerent, id sane non curabant. Tales porro erant doctores Judæorum, « claudentes regnum cœlorum, » sicut ait Christus [34], « et neque ipsi intrantes, nec alios intrare sinentes · sed circumeuntes mare et aridam, ut faciant unum proselytum, qui cum factus fuerit, faciunt eum filium

[28] II Thess. II, 3-11. [29] Matth. XXIV, 24. [30] Ibid. 22. [31] Ibid. [32] II Thess. II, 8. [33] Zachar. XI, 5. [34] Matth. XXIII, 13.

Digitized by Google

gehennæ duplum quam ipsi sunt [35]. » Quid igitur adeo improbis pastoribus eveniet? « Gladius, inquit, super brachium ipsius, et super oculum dexterum ejus. » *Brachium* pro viribus et typo efficientiæ spiritualis accipitur. Itaque de animalibus occisis in sacro tabernaculo selecta altari sancto pars brachium, seu armus erat, et sacrum donarium Deo, ostendente Scriptura, ut existimo, sub quodam integumento, Deo proprias corporis et spiritus vires consecrari oportere. Brachium autem significare vires, testabitur quidam sanctorum, Deum universorum alloqnens : « Magnitudine brachii tui fiant ut lapides [36]. » Oculus autem mentis imago est. Patietur itaque qui non recte pascit brachii et oculi mutilationem, hoc est, et a corporeo et a spirituali robore deseretur. Non enim quidpiam boni præstare poterit, Deo illum non corroborante : et animo obscurabitur, qui divini luminis expers aut est, aut censetur. Haud enim cum fiducia dicet : « Quoniam tu illuminabis lucernam meam, Domine; Deus meus, illuminabis tenebras meas [37]. » Dexterum autem brachium est quod gladio præciditur, et oculus dexter qui excæcatur. Nihil enim dexterum apud populum Judæorum, non actio bona... . Etenim, ut est apud Paulum, « Usque hodie quando legitur Moses, velamen super cor eorum positum est [38]. » Psallit et alicubi David de ipsis : « Obscurentur oculi eorum ne videant [39]. » Omnia igitur illorum sinistra, sive cogitata, sive mores dicas, sive aliud eorum quæ illis adesse credita sunt. Ac sinistrorum quidem ablationem conducere posse, eam sustinentibus, non me latet, Nam abjectio stultitiæ omni culpa et probro eos liberaverit; **772** contra non mediocriter læserit dextrorum amissio : omnino enim ad inhonesta et maxime exsecrabilia deducit. Sed Judæos deceat, et perquam convenienter, spoliatos dextris paupertatem perferre : nos autem qui sumus in Christo, sinistra amittere, et dextris gloriari.

σωσι ἕνα προσήλυτον, εἰ δὲ δὴ γένοιτο, ποιοῦντες αὐτὸν υἱὸν γεέννης διπλώτερον ἑαυτῶν. » Τί δὴ οὖν ἄρα τοῖς οὕτω πονηροῖς ποιμέσι συμβήσεται; « Μάχαιρα, φησὶν, ἐπὶ τοῦ βραχίονος αὐτοῦ, καὶ ἐπὶ τὸν ὀφθαλμὸν τὸν δεξιὸν αὐτοῦ. » Λαμβάνεται δὲ *ὁ βραχίων* εἰς δύναμίν τε καὶ τύπον τῆς πνευματικῆς ἐνεργείας. Καὶ γοῦν τῶν σφαζομένων ζώων ἐν τῇ ἁγίᾳ σκηνῇ ἀπόλεκτον τῷ θείῳ θυσιαστηρίῳ μέρος, ὁ βραχίων ἦν, καὶ ἱερὸν ἀνάθημα τῷ Θεῷ, ὑπεμφαίνοντος, οἶμαι, τοῦ λόγου δι' αἰνίγματος, ὅτι τῷ Θεῷ τὴν ἰδίαν ἀναθετέον ἰσχὺν τήν τε σωματικὴν καὶ πνευματικήν. Ὅτι δὲ ὁ βραχίων κατασημαίνει τὴν δύναμιν, πιστώσεταί τις τῶν ἁγίων, τῷ τῶν ὅλων Θεῷ προσπεφωνηκώς· « Μεγέθει βραχίονός σου ἀπολιθωθήτωσαν. » Ὁ δέ γε ὀφθαλμὸς ἐκ νοῦ τύπον λαμβάνεται. Πείσεται δὴ οὖν ὁ μὴ ποιμαίνων ὀρθῶς βραχίονός τε καὶ ὀφθαλμοῦ τὴν πήρωσιν, τουτέστιν, ἔρημος ἔσται σωματικῆς καὶ πνευματικῆς ἰσχύος. Οὐ γὰρ δυνήσεταί τι κατορθῶσαι τῶν ἀγαθῶν μὴ ἐνισχύοντος Θεοῦ· κατασκοτισθήσεται δὲ καὶ τὸν νοῦν, ἀμέτοχος τοῦ θείου φωτὸς ὑπάρχων τε καὶ νοούμενος. Οὐ γὰρ δυνήσεται λέγειν ἐκ παῤῥησίας· « Ὅτι σὺ φωτιεῖς λύχνον μου, Κύριε· ὁ Θεός μου, φωτιεῖ τὸ σκότος μου. » Δεξιὸς δὲ ὁ βραχίων ὁ τῇ μαχαίρᾳ τεμνόμενος, καὶ μὴν καὶ ὀφθαλμὸς ὁ τυφλούμενος. Δεξιὸν γὰρ οὐδὲν παρὰ τοῖς Ἰουδαίοις δήμοις, οὐ πρᾶξις ἀγαθή. . . . . Ὡς γὰρ ὁ Παῦλός φησιν, « Ἄχρι σήμερον ἡνίκα ἂν ἀναγινώσκηται Μωσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται. » Ψάλλει δέ που καὶ ὁ Δαβὶδ περὶ αὐτῶν· « Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν. » Σκαιὰ δὴ οὖν ἅπαντα τὰ παρ' αὐτοῖς, κἂν νόημα, κἂν τρόπον εἴπῃς, κἂν ἕτερόν τι τῶν προσεῖναι πεπιστευμένων. Τῶν μὲν γὰρ ἀριστερῶν ἡ ἀφαίρεσις ὀνήσειεν ἂν οἷδ' ὅτι τοὺς ὑπομένοντας. Ἀποβολὴ γὰρ σκαιότητος αἰτίας τε καὶ μώμου πάντως ἀπαλλάξειεν ἂν αὐτούς. Ἀδικήσειε δ' ἂν οὐ μετρίως ἡ τῶν δεξιῶν ἀπόδειξις. Ἀποφέρει γὰρ πάντως εἰς τὰ αἰσχίω, καὶ βδελυρώτατα. Ἀλλ' Ἰουδαίοις πρέποι ἄν, καὶ μάλα εἰκότως, τὸ ἐν στερήσει πένεσθαι τῶν δεξιῶν· ἡμῖν δὲ τοῖς ἐν Χριστῷ τὴν ἀποβολὴν γενέσθαι σκαιότητος, καὶ τοῖς δεξιοῖς ἐναβρύνεσθαι.

TOMUS QUINTUS.

CAP. XII.

VERS. 1. *Assumptio verbi Domini super Israel. Dixit Dominus extendens cœlum, et fundans terram, et fingens spiritum hominis in eo.*

LXXXVI. Postquam quod sufficiat commodissime disseruit de vero pastore, hoc est Christo, atque etiam de imperito, et crudelissimo, et carnifice ovium, quem Antichristum esse dicimus, utiliter etiam futurarum aliquando persecutionum contra Israelem, et neutiquam quidem Israelis secundum carnem, sed intelligibilis illius et vere sanctæ Jerusalem, quæ est « Ecclesia Dei viventis [40], » mentionem inducit. Sicut enim asserimus esse intelligi-

ΤΟΜΟΣ ΠΕΜΠΤΟΣ.

ΚΕΦΑΛ. ΙΒ'.

Λῆμμα λόγου Κυρίου ἐπὶ τὸν Ἰσραήλ. Λέγει Κύριος, ἐκτείνων οὐρανὸν, καὶ θεμελιῶν γῆν, καὶ πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ.

ΠΓ'. Ἀποχρῶσαν εὖ μάλα ποιησάμενος τὴν ἀφήγησιν τὴν ἐπί γε τῷ ἀγαθῷ ποιμένι, τουτέστι Χριστῷ, καὶ μέν τοι τὴν ἐπὶ τῷ ἀπείρῳ τε καὶ ὠμοτάτῳ, καὶ κρεωνομοῦντι τὰ πρόβατα, τοῦτον ἐξ εἶναί φαμεν τὸν Ἀντίχριστον, διαμέμνηται χρησίμως καὶ τῶν ἐσομένων κατὰ καιροὺς διωγμῶν, κατά γε τοῦ Ἰσραὴλ, καὶ οὐχὶ δὴ πάντως τοῦ κατὰ σάρκα, μᾶλλον δὲ τοῦ νοητοῦ, καὶ τῆς ἁγίας ὄντως Ἱερουσαλὴμ, ἥτις ἐστὶν « Ἐκκλησία Θεοῦ ζῶντος. » Ὥσπερ

[35] Matth. XVIII, 15. [36] Exod. XV, 16. [37] Psal. XVII, 29. [38] II Cor. III, 15. [39] Psal. LXVIII, 24. [40] I Tim. III, 15.

Digitized by Google

γὰρ εἶναί φαμεν νοητὸν Ἰουδαῖον, τὸν ἔχοντα περιτομὴν ἐν καρδίᾳ, τὴν διὰ τοῦ πνεύματος, καὶ οὐχὶ δὴ πάντως τὴν ἐν σαρκὶ διὰ γράμματος· οὕτω καὶ Ἰσραὴλ νοεῖσθαι φαίη τις ἂν, οὐχὶ πάντως τὸν ἐξ αἵματος Ἰσραὴλ, ἐκεῖνον δὲ μᾶλλον, ὃς ἔχει νοῦν ὁρῶντα Θεόν. Τοιοῦτοι δὲ πάντως οἱ διὰ πίστεως τῆς εἰς Χριστὸν κεκλημένοι πρὸς ἁγιασμὸν, ἐγνωκότες τε δι' αὐτοῦ, καὶ ἐν αὐτῷ τὸν Θεὸν καὶ Πατέρα. Θεοπτίας γὰρ οὐτοσὶ τρόπος ἀτρεκὴς καὶ ἐξαίρετος. Λαμβάνεται τοίνυν ὁ λόγος ἐπὶ τὸν ἀρτίως ἡμῖν εἰρημένον Ἰσραήλ. Ὅτι δέ ἐστι παναλκὴς ὁ τῶν ὅλων Θεὸς, ὁ τὰ ἐπὶ τούτοις ἡμῖν ποιούμενος προανάῤῥησιν, ἀποφαίνει, λέγων· « Ἐκτείνων οὐρανὸν, καὶ θεμελιῶν γῆν, καὶ πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ. » Δέχεται γὰρ, φησὶν, ἐπὶ τὸν Ἰσραὴλ τὸ λῆμμα τοῦ λόγου Θεὸς ὁ πάντα ἰσχύων, « Καὶ ἐκτείνων μὲν ὡσεὶ δέῤῥιν τὸν οὐρανὸν, » κατὰ τὴν τοῦ ψάλλοντος φωνὴν, ἑδραιοτάτην δὲ οὕτως ἀποφήνας τὴν γῆν, ὡς ἀεί τε καὶ διαπαντὸς ἀκλονήτως ἔχειν, καίτοι τεθεμελιωμένην ἐπὶ θαλασσῶν. Ἔφη γὰρ οὕτως ἡ θεόπνευστος Γραφή· « Καὶ πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ. » Ὁ δὲ δὴ οὕτω μεγάλων δημιουργὸς καὶ τεχνίτης, πῶς οὐκ ἀνιδρωτὶ, καὶ μάλα εὐκόλως τὸ αὐτῷ δοκοῦν ἀποπερανεῖ; Πλάσσεται δὲ πνεῦμα ἀνθρώπου ἐν αὐτῷ, οὐκ εἰς ἀρχὰς τοῦ εἶναι καλούμενον, εἰ καὶ γέγονε δι' αὐτοῦ, ἀλλ' οἷον μεταμορφούμενον, ἐξ ἀσθενείας εἰς δύναμιν, ἐξ ἀνανδρίας εἰς ὑπομονὴν, καὶ ἁπαξαπλῶς, ἐκ τῶν αἰσχιόνων εἰς τὰ ἀμείνω μεταστοιχειούμενον νοητῶς. Ψάλλει δὲ καὶ ὁ θεσπέσιος Δαβὶδ· « Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. » Καὶ οὐ δή που φαίη τις ἂν, εἴπερ νοῦν ἔχει, καρδίαν ἢ πνεῦμα βούλεσθαι λαβεῖν, ὡς οὐκ ἔχοντα τὴν ἀρχήν· οἰηθείη δ' ἂν μᾶλλον ἐν αὐτῷ κτίζεσθαι παρακαλεῖν καρδίαν καθαρὰν, καὶ πνεῦμα εὐθές. Καὶ τοῦτό ἐστιν ὁ μεταπλασμός. Ἔθος δὲ τοῖς ἁγίοις προφήταις, εἰ δὴ μέλλοιεν οὐκ εὐκαταφρονήτων πραγμάτων ποιεῖσθαι προαφήγησιν, πανσθενῆ τε καὶ ἀλκιμώτατον προαναφαίνειν πειρᾶσθαι τὸν ὅλων Θεὸν, ἵνα πανταχόθεν ὁ λόγος αὐτοῖς ἔχῃ τὸ βέβαιον εἰς πίστιν, κἂν εἰ λέγοιεν τῶν ἐλπίδων ἐπέκεινα, καὶ ὅσον ἥκει εἰπεῖν εἰς ἔννοιαν τὴν ἐν ἡμῖν, ἔξω τοῦ λόγου καὶ ἀπιστούμενα.

Ἰδοὺ ἐγὼ τίθημι τὴν Ἱερουσαλὴμ ὡς πρόθυρα, σαλευόμενα πᾶσι τοῖς λαοῖς κύκλῳ, καὶ ἐν τῇ Ἰουδαίᾳ ἔσται περιοχὴ ἐπὶ Ἱερουσαλήμ. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, θήσομαι τὴν Ἱερουσαλὴμ λίθον καταπατούμενον πᾶσι τοῖς ἔθνεσι. Πᾶς ὁ καταπατῶν αὐτὴν ἐμπαίζων ἐμπαιχθήσεται, καὶ συναχθήσονται ἐπ' αὐτὴν πάντα τὰ ἔθνη τῆς γῆς.

ΠΖ'. Ἐν τοῖς ἤδη προαπηγγελμένοις ὁ κατὰ γῆς Ἰουδαίας πόλεμος διὰ τῆς Ῥωμαίων ἐσόμενος στρατιᾶς εἴρητο σαφῶς. Καὶ γοῦν ἔφασκε· « Φωνὴ θρηνούντων ποιμένων, ὅτι τεταλαιπώρηκεν ἡ μεγαλοσύνη αὐτῶν. » Καὶ μεθ' ἕτερα πάλιν· « Διὰ τοῦτο οὐ φείσομαι ἔτι ἐπὶ τοὺς κατοικοῦντας τὴν γῆν, λέγει

bilem Judæum, habentem circumcisionem in corde per spiritum, et minime eam quæ est in carne secundum litteram : ita et Israelem intelligi dixerit quispiam, non utique qui est de sanguine Israel, sed illum potius qui habet mentem videntem Deum. Tales citra controversiam sunt per fidem in Christum vocati ad sanctificationem, quique per ipsum et in ipso Patrem cognoverunt. Hic enim modus divinæ visionis verus et eximius est. Interpretanda igitur sunt hæc verba de Israële, de quo jam diximus. Fortissimum autem esse Deum universorum, qui nobis sequentia prædicit, demonstrat, dicens : « Extendens cœlum, et fundans terram, et formans spiritum hominis in ipso. » Accipit enim, inquit, super Israel assumptionem verbi Deus qui potest omnia, « et extendens cœlum sicut pellem [61], » juxta vocem Psalmistæ, firmissimam autem reddens terram ut semper et undequaque sit immobilis, quamvis fundata super maria. Quomodo ait divinitus inspirata Scriptura : « Et fingens spiritum hominis in ipso. » Adeo enim magnarum rerum conditor et opifex, quomodo non citra sudorem et facillime quod voluerit conficiet? Fingitur autem spiritus hominis in ipso, non ad initium essentiæ suæ vocatus, quamvis per ipsum factus sit : **773** sed quasi transformatus, ex imbecillitate ad virtutem, ex ignavia ad patientiam, et absolute, ex turpioribus ad honestiora, secundum quod intelligitur, reformatus. Psallit et divinus David : « Cor mundum crea in me, Deus, et spiritum rectum innova in visceribus meis [62]. » Neque dicet quispiam mentis compos illum velle cor et spiritum adipisci, quasi prorsus non habeat : sed putabit potius rogare, ut in ipso cor mundum et spiritus rectus creetur. Atque hæc est transformatio. Consueverunt autem sancti prophetæ non vulgaria prædicturi, prius conari, ut Deum universorum viribus valentissimum et robustissimum ostendant, quo eorum oratio ex omni parte stabilem fidem consequatur, quamvis spe majora et, si rem cogitatione humana metiamur, captum nostrum excedentia et incredibilia dicant.

Vers. 2, 3. *Ecce ego pono Jerusalem sicut vestibula, quæ moventur omnibus populis in circuitu : et in Judæa erit obsidio super Jerusalem. Et erit in die illa, ponam Jerusalem lapidem conculcatum cunctis gentibus. Omnis calcans eam, illudens illudet, et congregabuntur super eam omnes gentes terræ.*

LXXXVII. In prædictionibus antegressis bellum Judææ a Romano exercitu inferendum dilucide memoratur. Dicebat igitur supra : « Vox lamentantium pastorum, quoniam misera facta est magnificentia ipsorum [63]. » Et paulo post : « Propter hoc non parcam super habitantes terram, dicit Dominus.

[61] Psal. cxiii, 3. [62] Psal. l, 12. [63] Zachar. xi, 3.

Digitized by Google

Et ecce ego trado homines, unumquemque in manus proximi sui, et in manus regis ejus. Et concident terram, et non eruam de manu eorum [45]. » In verbis autem modo illatis institutas contra Ecclesiam persecutiones liquido vaticinatur. Vexarunt enim credentes in Christum præ aliis omnibus principes Synagogæ Judæorum, denuntiantes sanctis apostolis ne loquerentur in nomine Christi [46]; flagellantes quoque illos in conciliis [46], et præterea lapidari curantes [47], et quid non tandem sceleratissimum in eos dicentes ac facientes? Postquam autem per gentium quoque regiones sermo de Christo percrebuit, et indigenæ evangelicis prædicationibus obtemperarunt, 774 rursum aliæ persecutiones excitatæ sunt per eos, qui successione regnaverunt, et impuram ac detestandam idololatriam vindicare conantes, diabolicæque impietatis ministri facti, sanctos ad martyrica certamina vocantes interemerunt. Visa est autem Ecclesia opportuna injuriis, nemine defendente, et similis vestibulis agitatis et labentibus, aut etiam lapidi conculcato. Etenim Salvator communis, cum facile posset bellum omne sedare, imo et ab ipsum honorantibus removere, cosque ab omni tentatione immunes hostiumque viribus superiores præstare, sua divina providentia per casus et ærumnas illustrari permisit, ut sibi conformes redditi, una glorificarentur et conregnarent. « Si enim compatimur, et conregnabimus illi, ut scriptum est [48], et si socii passionum sumus, etiam gloriæ erimus [49]. » Ait ergo : « Ecce ego pono Jerusalem ut vestibula commota. » Quod si fiat, cingetur, hoc est obsidebitur ab omnibus : et cum videbitur esse ut lapis conculcatus, tunc omnis illudens illudet. Contigit hoc, sicut paulo ante dicebam, singulorum temporum persecutionibus. Adorti sunt enim sanctos multis modis eos cruciantes, et morientibus forte etiam insultantes miseri. Nesciebant enim profecto quanta ex afflictionibus proveniret gloria, et dolorem illis perpetuam animi hilaritatem pariturum. Perpende porro, quomodo non dicat, opus esse gentium potentiæ, Ecclesiæ conculcationem, sed suæ voluntatis et consilii. Cupit enim, ut dixi, adoratores suos rebus adversis perfici et consummari. Ait namque : « Ego pono Jerusalem ut vestibula commota omnibus populis in circuitu. » Haud diversum illud est, opinor, quod a Salvatore ad Pilatum dicitur : « Non haberes potestatem adversum me ullam, nisi tibi datum esset desuper [50]. » Sic merito etiam dicat quam animus intuetur Jerusalem, id est Ecclesia, persequenti mundo : « Non haberes potestatem contra me ullam, nisi datum esset tibi desuper. »

A Κύριος. Καὶ ἰδοὺ ἐγὼ παραδίδωμι τοὺς ἀνθρώπους, ἕκαστον εἰς χεῖρας τοῦ πλησίον αὐτοῦ, καὶ εἰς χεῖρας βασιλέως αὐτοῦ. Καὶ κατακόψουσι τὴν γῆν, καὶ οὐ μὴ ἐξέλωμαι ἐκ χειρὸς αὐτῶν. » Ἐν δέ γε τοῖς προκειμένοις, τοὺς κατὰ τῆς Ἐκκλησίας γεγονότας διωγμοὺς προαφηγεῖται σαφῶς. Πεπολεμήκασι γὰρ τοῖς πιστεύσασιν εἰς Χριστὸν, πρὸ μὲν τῶν ἄλλων ἁπάντων οἱ τῆς Ἰουδαίων Συναγωγῆς ἡγούμενοι, παραγγέλλοντες μὲν τοῖς ἁγίοις ἀποστόλοις μὴ λαλεῖν ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ, μαστίζοντες δὲ καὶ ἐν συνεδρίοις αὐτοὺς, λιθοβολεῖσθαι δὲ καὶ ἑτέρως παρασκευάζοντες, καὶ τί γὰρ οὐχὶ τῶν ἀνοσιωτάτων δρῶντες καὶ λέγοντες; Ἐπειδὴ δὲ καὶ ἐν ταῖς τῶν ἐθνῶν χώραις ἐκπεφοίτηκεν ὁ λόγος, ὁ περὶ Χριστοῦ, καὶ τῶν εὐαγγελικῶν κηρυγμάτων κατήκοοι γεγόνασιν οἱ ἐν αὐταῖς, πάλιν γεγόνασιν ἕτεροι διωγμοὶ διὰ B τῶν κατὰ καιροὺς βεβασιλευκότων, οἳ τῆς βεβήλου καὶ βδελυρᾶς εἰδωλολατρείας μεταποιεῖσθαι σπουδάζοντες, καὶ διαβολικῆς ἀνοσιότητος ὑπουργοὶ γεγονότες, ἀπεκτόνασι τοὺς ἁγίους εἰς τοὺς ἐπὶ τοῖς μαρτυρίοις καλοῦντες ἀγῶνας. Ἔδοξε δέ πως ἡ Ἐκκλησία, καὶ πάσχειν εὐκόλως, ἐπαμύνοντος οὐδενὸς, ἐοικέναι τε προθύροις σεσαλευμένοις, καὶ πίπτουσιν, ἢ καὶ λίθῳ καταπατουμένῳ. Καίτοι γὰρ ἰσχύων ὁ τῶν ὅλων Σωτὴρ καὶ πάντα πόλεμον κατευνάσαι ῥᾳδίως, μᾶλλον δὲ καὶ ἀποστῆσαι παντελῶς τῶν σεβομένων (1) αὐτὸν, καὶ ἀμείνους ἀποφῆναι παντὸς πειρασμοῦ, καὶ τῆς τῶν ἐχθρῶν κατευμεγεθοῦντας χειρὸς, ἐφῆκεν οἰκονομικῶς καταλαμπρύνεσθαι διὰ C παθημάτων, ἵνα σύμμορφοι γεγονότες αὐτῷ, συνδοξασθείέν τε καὶ συμβασιλεύσειαν. « Εἰ γὰρ συμπάσχομεν, καὶ συμβασιλεύσομεν αὐτῷ, κατὰ τὸ γεγραμμένον, καὶ εἰ κοινωνοὶ τῶν παθημάτων ἐσμὲν, ἀλλὰ καὶ τῆς δόξης ἐσόμεθα. »—« Ἰδοὺ τοίνυν, φησὶ, τίθημι τὴν Ἱερουσαλὴμ, ὡς πρόθυρα σαλευόμενα. » Εἰ δὲ δὴ τοῦτο γένοιτο, καταχθείη περὶ αὐτὴν ἡ περιοχὴ, τουτέστιν, ἡ παρὰ πάντων πολιορκία· καὶ ὅταν εἶναι δόξειεν ὡς λίθος καταπατούμενος, τότε πᾶς ὁ ἐμπαίζων ἐμπαίζεται. Πέπρακται δὲ τοῦτο, καθάπερ ἔφην ἀρτίως, ἐν τοῖς κατὰ καιροὺς διωγμοῖς. Ἐπεφύοντο γὰρ τοῖς ἁγίοις, κατὰ πολλοὺς αἰκίζοντες τρόπους, καὶ τάχα που καὶ ἀποθνήσκουσιν ἐπιμειδιῶντες οἱ τάλανες. Οὐ γὰρ ᾔδεσαν, κατὰ τὸ εἰκὸς, τὸ ἐκ τοῦ παθεῖν εὐκλεὲς, καὶ ὅτι πρὸς εὐθυμίας αὐτοῖς τῆς D διηνεκοῦς ἔσται δὴ πάντως ὁ πόνος. Ἄθρει δὲ ὅπως οὐ τῆς τῶν ἐθνῶν ἰσχύος ἔργον εἶναί φησι, τὸ καταπατηθήσεσθαι τὴν Ἐκκλησίαν, ἀλλὰ τῆς αὐτοῦ βουλῆς. Ἐφίεται γὰρ, ὡς ἔφην, διὰ παθημάτων τελειοῦσθαι τοὺς ἰδίους προσκυνητάς. « Ἰδοὺ γὰρ, φησὶν, ἐγὼ τίθημι τὴν Ἱερουσαλὴμ ὡς πρόθυρα σαλευόμενα πᾶσι τοῖς λαοῖς κύκλῳ. » Τούτῳ παραπλήσιον ἐκεῖνο, εἶμαι, ἔστι τὸ διὰ τῆς τοῦ Σωτῆρος φωνῆς εἰρημένον πρὸς Πιλάτον· « Οὐκ εἶχες οὐδεμίαν ἐξουσίαν κατ' ἐμοῦ, εἰ μὴ ἦν δεδομένον σοι ἄνωθεν. » Φαίη ἂν εἰκότως ἡ νοητὴ πάλιν Ἱερουσαλὴμ, τουτέστιν ἡ Ἐκκλησία, τῷ διώκοντι κόσμῳ· « Οὐκ εἶχες κατ' ἐμοῦ ἐξουσίαν οὐδεμίαν, εἰ μὴ ἦν δεδομένον σοι ἄνωθεν. »

[45] Zach. xi, 6. [46] Act. iv, 17. [46] Act. xvi, 22. [47] Act. xiv, 18. [48] Rom. viii, 17; II Tim. ii, 11, 12. [49] II Cor. i, 7. [50] Joan. xix, 11.

(1) Sic corrigendum monet Coteclerius (*Monum. Eccl. Gr.* II, 603) pro vulg. σευομένων. Edit.

Digitized by Google

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος παντοκράτωρ, πατάξω πάντα ἵππον ἐν ἐκστάσει, καὶ τὸν ἀναβάτην αὐτοῦ ἐν παραφρονήσει· ἐπὶ δὲ τὸν οἶκον Ἰούδα διανοίξω τοὺς ὀφθαλμούς μου, καὶ πάντας τοὺς ἵππους τῶν λαῶν πατάξω ἐν ἀποτυφλώσει.

ΙΗΓ'. Ὅτι καὶ πάντα κατευνάσει πόλεμον, καὶ ἀπράκτους ἀποφανεῖ τὰς τῶν διωκόντων ἐφόδους, δίδωσι νοεῖν, ἵππον καὶ ἀναβάτην πατάξειν εἰπὼν ἐν ἐκστάσει τε καὶ παραφρονήσει, καὶ μὴν καὶ ἀποτυφλώσει. Ἔστι δὲ, οἶμαι, ταυτὸν τὸ παθεῖν τὴν ἔκστασιν, καὶ τὸ ὑπομεῖναι τὴν παραφρόνησιν. Τὸ γὰρ ἔξω γενέσθαι φρενὸς, ἔκστασις ἂν νοοῖτο, καὶ μάλα εἰκότως. Οὗ δὴ γεγονότος, καὶ τοῖς φονῶσι συμβεβηκότος, περιέστατ᾽ που πάντως τοῖς ἁγίοις εἰπεῖν περὶ τῶν σφισι μεμαχημένων· « Οἱ ἐχθροὶ ἡμῶν ἀνόητοι. » Καὶ μὴν καί· « Οὗτοι ἐν ἅρμασι, καὶ οὗτοι ἐν ἵπποις, ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα. Αὐτοὶ συνεποδίσθησαν, καὶ ἔπεσον· ἡμεῖς δὲ ἀνέστημεν, καὶ ἀνορθώθημεν. » Παραφρονήσειε δ᾽ ἂν καὶ ἑτέρως, ὁ ταῖς τῶν ἁγίων ἀνεξικακίαις ἀνοσίως ἐπιπηδῶν, καὶ ἀδόκητον ὑπομενεῖ τὴν ἔκστασιν, ἤτοι τὸ θαῦμα, τεθεαμένος ὅτι νικῶσιν ἐν συμφοραῖς, καὶ φανοῦνται πεσόντες, καὶ ὅτε ἡττῆσθαι δοκεῖεν, τότε δὴ μάλιστα κρατοῦσι μειζόνως· εἴπερ ἐστὶν ἀληθὲς, ὡς ἔν γε δὴ μάλιστα τῷ παθεῖν αὐτοὺς ὁρῶνται εὐκλεεῖς, καὶ τῷ μεγέθει τῶν πόνων συμπαρομαρτοῦσαν ἔχουσι τὴν ἄνωθεν χάριν. Εἶτα πῶς οὐκ ἂν καταπλήξειαν τοὺς μεμαχημένους οἱ μακάριοι μάρτυρες, καὶ αὐτὸν νικῶντες τὸν Σατανᾶν, καὶ πονηροῖς μὲν, καὶ ἀκαθάρτοις ἐπιτιμῶντες πνεύμασι, πολὺ δὲ τὸ θαῦμα τῆς ἐνούσης εὐκλείας αὐτοῖς ἐνιέντες ἔσθ᾽ ὅτε καὶ αὐτοῖς τοῖς ἀνῃρηκόσιν; Οὐκοῦν ἱππότην τε ἅμα καὶ ἵππον πατάξειν ἐπαγγέλλεται· ἵνα νοῶμεν τὰς τῶν πολεμίων φάλαγγας, ταῖς τῶν ἁγίων ἐπιεικείαις ἀντιτεταγμένας. Ἐπὶ δὲ τὸν οἶκον Ἰούδα ἀνοίξειν ἔφη τοὺς ὀφθαλμούς. Καὶ Ἰούδαν μὲν ἐν τούτοις τὸν ἐκ ῥίζης Ἰεσσαὶ, καὶ τῆς Ἰούδα φυλῆς πεφηνότα Χριστὸν ὀνομάζει, οἶκον δὲ αὐτοῦ τὴν Ἐκκλησίαν, ἤτοι τῶν ἐν πίστει δεδικαιωμένων τὴν ἁγίαν πληθύν. Τὴν δέ γε τῶν ὀφθαλμῶν διάνοιξιν ἐκεῖνο οἶμαι δηλοῦν, ὅτι πολὺ λίαν ἀμφιλαφῆ, καὶ οἷον ὅλῳ βλέμματι κατασκέψεται, σημεῖον δ᾽ ἂν γένοιτο τοῦτο σαφὲς τῆς ἐπ᾽ αὐτῆς εὐμενείας, καὶ μέν τοι φειδοῦς, καὶ ἀγάπης. Γέγραπται γὰρ ὅτι « Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους. » Καὶ οὓς ἂν ἐπιβλέψειε, τούτους δὴ πάντως τρισμακαρίους ἀποδείκνυσιν, εἴπερ ἔστιν εἰπεῖν οὐ διεψευσμένως, ὡς κολάζει μὲν ταῖς ἀποστροφαῖς τὸν ὑβριστήν τε καὶ ἁλιτήριον, κατευφραίνει γε μὴν ταῖς ἐπισκέψεσι τὸν εὐσεβῆ, καὶ φιλάρετον. Καὶ γοῦν ὁ θεσπέσιος Δαβὶδ, καὶ τὴν ἐκ τῆς ἐπιστρέψεως κέρδος ἐμφανὲς καθιστὰς, ποτὲ μὲν ἔφασκε· « Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου· » ποτὲ δὲ δὴ αὖ· « Ἐπίβλεψον ἐπ᾽ ἐμὲ, καὶ ἐλέησόν με. » Ἕπεται γὰρ ταῖς ἀποστροφαῖς ὁ θυμὸς, καὶ τὰ ἐξ αὐτοῦ συμβαίνοντα· τῷ γε μὴν ἐπιβλέψαι τὸ χρῆναι λαβεῖν τὸν ἔλεον.

A VERS. 4. *Et die illa, dicit Dominus omnipotens, percutiam omnem equum in stupore, et ascensorem ejus in amentia: super domum autem Juda aperiam oculos meos, et omnes equos populorum percutiam in cæcitate.*

775 LXXXVIII. Compositurum omnes hostiles, hostilesque incursus persecutorum ineffícaces et irritos redditurum monet, dum dicit, equum et ascensorem percussurum in stupore et amentia et cæcitate insuper. Est autem, ut arbitror, idem, stuporem pati et amentem esse. Nam discessio a mente non male stupor intelligi queat. Quod cum factum fuerit, et in cæde grassantibus contigerit, licebit omnino sanctis dicere de oppugnatoribus suis: « Inimici nostri insipientes [81]. » Atque etiam illa: « Hi in curribus, et hi in equis, nos autem in nomine Dei nostri magnificabimur. Ipsi infirmati sunt et ceciderunt; nos autem surreximus et erecti sumus [82]. » Alio item modo desipuerit sanctorum tolerantiæ insultans impie et in improvisum stuporem, sive admirationem incidet, cum viderit eos calamitatibus nullis cedere et coronari cadentes, ac tum maxime vincere, et majores reportare victorias, cum victi potuissent apparere: siquidem certum est eos potissimum in patiendo inclytos conspici, et magnitudini laborum comitem habere cœlestem gratiam. Deinde, quinam oppugnatores suos non obstupefaciant beati martyres, qui ipsum quoque Satanam pessumdant, malignosque et immundos spiritus increpant, et nonnunquam magna gloriæ suæ admiratione ipsos etiam interfectores suos afficiunt? Quare equitem simul et equum percussurum se promittit, ut hostium phalangas sanctorum virtuti adversantes intelligamus. Super domum autem Juda aperturum se oculos ait. Judam hoc loco de radice Jesse et tribu Juda Christum exsistentem nominat, domum autem ejus Ecclesiam, sive in Christo justificatorum sanctam multitudinem. Aperiri autem oculos illud sibi velle existimo, quod amplissime et toto velut aspectu respiciet, quod suæ erga illum benevolentiæ, ac præterea indulgentiæ et charitatis indubitatum erit indicium. Scriptum est enim: « Oculi Domini super justos [83]. » Et quos respexerit, eos plane beatissimos efficit; quandoquidem non false dici potest, cum aversionibus suis superbum et peccatorem punire, visitationibus autem pium et virtutis studiosum exhilarare. Quare divinus item David, et ex aversione damnum, et ex conversione commodum **776** manifestans, aliquando dicebat: « Ne avertas faciem tuam a me, et ne declines in ira a servo tuo [84]; » aliquando rursum: « Respice in me, et miserere mei [85]. » Aversionem namque ira, et quæ ab irato infliguntur pœnæ, respectum autem adeptio misericordiæ comitatur.

[81] Psal. xxvi, 2. [82] Psal. xix, 8, 9. [83] Psal. xxxiii, 16. [84] Psal. xxvi, 9. [85] Psal. xxiv, 16.

Digitized by Google

VERS. 5. *Et dicent tribuni Juda omnes in cordibus suis : Inveniemus nobis habitantes Jerusalem, in Domino omnipotente Deo eorum.*

LXXXIX. Chiliarchas, seu tribunos Juda sanctos apostolos appellatos asseveramus, delectos tanquam duces a Christo, et principatum in Judam adeptos, hoc est, in eos qui ad confitendum et laudandum vocati sunt : Judas enim *laus* redditur : qui ex gentibus utique fuerint, quibus et divinus cantor mandat, uti Emmanuelem celebrent, dicens in spiritu : « Benedicite, gentes, Deum nostrum, et auditam facite vocem laudis ejus [56]. » Judas igitur hoc loco sunt per fidem ad laudationem et confessionem vocati : tribuni vero ipsis constituti, centuriones et duces, divini discipuli. Observare est ergo eos Salvatoris adoratoribus velut quibusdam militibus acclamantes et dicentes : « State igitur succincti lumbos vestros in veritate, et induti loricam justitiæ, et calceati pedes in præparationem Evangelii pacis, in omnibus sumentes scutum fidei, in quo poteritis omnia tela nequissimi ignita exstinguere [57]. » Sunt ergo divini discipuli tribuni, et convenientissime, « Qui et dicent, inquit, in cordibus suis : Inveniemus nobis ipsis habitantes in Jerusalem. » Desiderabant enim sancti discipuli vere sanctam Jerusalem, id est, Ecclesiam, repletam cerni adoratoribus, et veluti urbem quamdam incolarum frequentia insignem meritissime gloriari. Quocirca promulgabant fidem, evangelizantes Jesum, signisque et prodigiis dicta sua confirmantes. Verumtamen non persuadebant. Obdurabat enim populus inflexibilis, et velut equus indomitus frena recusabat. Idcirco deinceps sanctæ civitatis habitatores in « Domino omnipotente Deo ipsorum, » hoc est, in Christo, sibi quærebant. Quin et ad gentes convertebantur, Judæorum populo occinentes : **777** « Vobis oportebat primum loqui verbum Dei. Quoniam autem repellitis illud, et indignos vos judicatis vita æterna, ecce convertimur ad gentes : sic enim nobis mandavit Deus [58]. » Inde cives Ecclesiæ conquisierunt, cujus et divinus David meminit, inquiens : « Gloriosa dicta sunt de te, civitas Dei [59]. » Iis quæsitis, propter numerum multitudinemque innumerabilem ditati sunt. Quin et aiunt sanctæ civitati : « Dilata locum tentorii tui, et tabernaculorum tuorum. Fige, ne parcas. Protende funiculos tuos et clavos tuos, conforta adhuc in dextris, et in sinistra extende [60]. » Illa vero multitudine incolarum suorum exsultat, et quasi admirans suorum filiorum frequentiam, ait : « Ego autem sine filiis, et vidua ; istos vero quis genuit mihi ? isti autem ubi mihi erant [61] ? »

A *Καὶ ἐροῦσιν χιλίαρχοι Ἰούδα πάντες ἐν ταῖς καρδίαις αὐτῶν· Εὑρήσομεν ἑαυτοῖς τοὺς κατοικοῦντας ἐν Ἰερουσαλὴμ, ἐν Κυρίῳ παντοκράτορι Θεῷ αὐτῶν.*

ΠΘ'. Χιλιάρχους μὲν Ἰούδα τοὺς ἁγίους ἀποστόλους κατωνομάσθαι φαμὲν, τοὺς οἷον ἐν τάξει τῇ τῶν στρατηγῶν κεχειροτονημένους παρὰ Χριστοῦ, καὶ καθηγεῖσθαι λαχόντας τοῦ Ἰούδα, τουτέστι τῶν κεκλημένων εἰς ἐξομολόγησίν τε καὶ αἶνον· *αἶνος* γὰρ ὁ Ἰούδας ἑρμηνεύεται. Εἶεν δ' ἂν οὗτοι πάντες οἱ ἐξ ἐθνῶν, οἷς καὶ τὸ χρῆναι δοξολογεῖν τὸν Ἐμμανουὴλ ὁ θεσπέσιος Μελῳδὸς ἐπιτάττει λέγων ἐν πνεύματι· « Εὐλογεῖτε, ἔθνη, τὸν Θεὸν ἡμῶν, καὶ ἀκουτίσασθε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ. » Ἰούδας τοίνυν ἐν τούτοις οἱ διὰ πίστεως κεκλημένοι πρὸς αἴνεσίν τε B καὶ ἐξομολόγησιν· χιλίαρχοι γε μὴν οἱ ἐπ' αὐτοῖς τεταγμένοι, ταξίαρχοί τε καὶ ἡγεμόνες, οἱ θεσπέσιοι μαθηταί. Ἔστι γοῦν ἰδεῖν οἷά τισι στρατιώταις, τοῖς τοῦ Σωτῆρος προσκυνηταῖς διακεκραγότας τε καὶ λέγοντας· « Στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης, ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι. » Χιλίαρχοι δὴ οὖν, καὶ μάλα εἰκότως, οἱ θεσπέσιοι μαθηταί, « Οἱ καὶ ἐροῦσι, φησὶν, ἐν ταῖς καρδίαις αὐτῶν· Εὑρήσομεν ἑαυτοῖς τοὺς κατοικοῦντας ἐν Ἰερουσαλήμ. » Ἐπεθύμουν μὲν γὰρ οἱ θεσπέσιοι μα- C θηταὶ τὴν ἁγίαν ὄντως Ἰερουσαλὴμ, τουτέστι, τὴν Ἐκκλησίαν μεμεστωμένην ὁρᾶσθαι προσκυνητῶν, καὶ οἷά τινα πόλιν περιφανῆ πληθύϊ τῶν ἐνοικούντων αὐτὴν εὖ μάλα κατασεμνύνεσθαι. Καὶ γοῦν διεκήρυττον τὴν πίστιν, εὐαγγελιζόμενοι τὸν Ἰησοῦν, σημείοις τε καὶ τέρασιν ἐπισφραγίζοντες τοὺς ἑαυτῶν λόγους. Πλὴν οὐκ ἔπειθον· μεμένηκε γὰρ σκληρός τε καὶ ἀκαμπὴς, καὶ οἷον ἵππος ἐξήνιος. Ταύτῃ τοι λοιπὸν ἐζήτουν ἑαυτοῖς τοὺς κατοικοῦντας τὴν ἁγίαν πόλιν « ἐν Κυρίῳ παντοκράτορι Θεῷ αὐτῶν, » τουτέστι ἐν Χριστῷ. Καὶ δὴ καὶ ἐτράποντο πρὸς τὰ ἔθνη, τοῖς Ἰουδαίων δήμοις ἐπιφωνήσαντες· « Ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον τοῦ Θεοῦ. Ἐπειδὴ δὲ ἀπωθεῖσθε αὐτὸν, καὶ οὐκ ἀξίους κρίνετε ἑαυτοὺς τῆς αἰωνίου ζωῆς, ἰδοὺ στρεφόμεθα εἰς τὰ D ἔθνη· οὕτω γὰρ ἡμῖν ἐντέταλται ὁ Θεός. » Ἐκεῖθεν ἐζήτησαν τοὺς τῆς Ἐκκλησίας πολίτας, ἧς καὶ ὁ θεσπέσιος Δαβὶδ διαμέμνηται, λέγων· « Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ. » Ζητήσαντες δὲ πεπλουτήκασι, συνεκόμισάν τε πληθὺν τὴν ἀριθμοῦ κρείττονα. Καὶ δὴ καί φασι τῇ ἁγίᾳ πόλει· « Πλάτυνον τὸν τόπον τῆς σκηνῆς σου, καὶ τῶν αὐλαίων σου. Πῆξον, μὴ φείσῃ. Μάκρυνον τὰ σχοινίσματά σου, καὶ τοὺς πασσάλους σου, κατίσχυσον ἔτι εἰς τὰ δεξιὰ, καὶ εἰς τὰ ἀριστερὰ ἐκπέτασον. » Ἡ δὲ τῷ πλήθει τῶν κατοικούντων αὐτὴν ἐπιγάννυται, μόνον δὲ οὐχὶ κατεθαυμάζουσα τῶν ἰδίων τέκνων τὴν ὁμήγυριν, φησίν· « Ἐγὼ δὲ ἄτεκνος, καὶ χήρα· τούτους δὲ τίς ἐγέννησέ μοι; οὗτοι δέ μοι ποῦ ἦσαν; »

VERS. 6. *In die illa ponam tribunos Juda sicut*

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θήσομαι τοὺς χιλιάρχους

[56] Psal. LXV, 8. [57] Ephes. VI, 14-18. [58] Act. XIII, 46, 47. [59] Psal. LXXXVI, 3. [60] Isa. LIV, 2, 3. [61] Isa. XLIX, 21.

Digitized by Google

Ἰούδα ὡς δαλὸν πυρὸς ἐν ξύλοις, καὶ ὡς λαμπάδα πυρὸς ἐν καλάμῃ, καταφάγονται ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων πάντας τοὺς λαοὺς κυκλόθεν.

ιγ'. Χιλιάρχους μὲν Ἰούδα, καθάπερ ἤδη προεῖπον, τοὺς ἁγίους ἀποστόλους, ἢ καὶ ἅπαντας ἁπλῶς τοὺς τῶν ἁγίων Ἐκκλησιῶν ἡγουμένους ἀποκαλεῖ. Κατευμεγεθήσειν τε οὕτω τῆς τῶν ἐθνῶν καρδίας τὸν παρ' αὐτῶν ἔφη λόγον, ἤγουν τὴν μυσταγωγίαν, ὡς δοκεῖν δαλὸν μὲν ξύλοις ἐμπεπτωκέναι, λαμπάδα γε μὴν εἰς καλάμην τὴν εὐκατάπρηστον. « Καταφάγονται γὰρ, φησὶ, πάντας τοὺς λαοὺς ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων κυκλόθεν, » τουτέστιν οὗπερ ἂν ἰέναι βούλωνται, πάντη τε καὶ πάντως ἐκεῖ δυνήσονται, καλοῦντες εἰς αἴσθησιν, καὶ, οἷον πυρὶ τῷ θείῳ καὶ νοητῷ, καταθάλποντες τοὺς ἀπεψυγμένους. Ἔφη τι τοιοῦτον ὁ τῶν ὅλων Θεὸς, καὶ πρὸς τὸν μακάριον προφήτην Ἱερεμίαν· « Ἰδοὺ δέδωκα τοὺς λόγους μου εἰς τὸ στόμα σου πῦρ, καὶ τὸν λαὸν τοῦτον ξύλα, καὶ καταφάγεται αὐτούς, » ἀντὶ τοῦ, Καλέσει πρὸς αἴσθησιν, καὶ ἀπεψυγμένους εἰς ἁμαρτίαν, θερμοὺς δὴ πάλιν ἀποτελέσει τῷ πνεύματι. Ἀπέψυκται μὲν γὰρ ἡ τῶν πλανωμένων καρδία, καὶ νεκρὸν ἔχουσι τὸν νοῦν, προσκυνοῦντες τῇ κτίσει παρὰ τὸν κτίσαντα Θεὸν, λίθοις τε καὶ ξύλοις ἀνατιθέντες τὸ σέβας. Ἀλλ' οἵ γε τοιοῖδε ζέοντες, ὡς ἔφην, ἀποτελοῦνται τῷ πνεύματι, θερμοὶ πρὸς δικαιοσύνην, καὶ καθά φησιν ὁ θεσπέσιος Ἰωάννης, « Πνεύματι ἁγίῳ, καὶ πυρὶ τῷ νοητῷ βαπτίζονται, » καθάπερ τινὰ συρφετὸν δαπανᾷν εἰωθότι, τὴν ταῖς ἡμετέραις ψυχαῖς ἐνιζήσασαν ἁμαρτίαν, καὶ τοὺς τῆς φιλοσαρκίας ἐκτήκοντι ῥύπους. Εἴρηται γοῦν καὶ διὰ φωνῆς Ἡσαΐου· « Ἔχεις ἄνθρακας πυρὸς, κάθησαι ἐπ' αὐτούς, οὗτοι ἔσονταί σοι βοηθοί. » Καὶ μὴν καὶ αὐτὸς περὶ ἑαυτοῦ φησι· « Καὶ ἀπεστάλη πρός με ἓν τῶν Σεραφὶμ, καὶ ἐν τῇ χειρὶ εἶχεν ἄνθρακα πυρὸς, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου, καὶ ἥψατο τοῦ στόματός μου, καὶ εἶπεν· Ἰδοὺ τοῦτο ἥψατο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου πυρὶ καθαριεῖ, » ἄνθρακά που, κατά γε τὸ εἰκὸς, τὸν θεῖόν τε καὶ ἱερώτατον, καὶ ἁμαρτίας ἐκτήκοντα Χριστὸν εἶναι λέγων. Οὐκοῦν γεγόνασι μὲν ὡς δαλὸς πυρὸς εἰς καλάμην οἱ θεσπέσιοι μαθηταὶ, καὶ κατέφαγον μὲν τὰ ἔθνη κυκλόθεν. Πλὴν οὐ δαπανῶντες εἰς ὄλεθρον, καταφλέγοντες δὲ μᾶλλον τῆς ἐν αὐτοῖς ψευδωνύμου γνώσεως τὰ μιαρά τε καὶ βέβηλα δόγματα, καὶ τῆς ἀρχαίας ἀπάτης τὸν ῥύπον ἐκτήκοντες, ἀποψύχεσθαί τε οὐκ ἐῶντες ἔτι εἰς ἅπαξ πεπιστευκότων τὸν νοῦν πρὸς ἀνοήτους εἰκαιοβουλίας, ὡς ἐπί γέ σφισιν αὐτοῖς ἀνασκιρτῶντας λέγειν πρὸς τὸν τῶν ὅλων Σωτῆρα Χριστόν· « Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό. » Ὅτι γάρ ἐστι θερμὸς, καὶ τομώτατος ὁ τοῦ Θεοῦ λόγος, σαφὲς ἂν γένοιτο, πρὸς Ἱερεμίαν λέγοντος αὐτοῦ· « Οἱ λόγοι μου ὡς πῦρ φλέγον, λέγει Κύριος, καὶ ὡς πέλυξ κόπτων πέτραν. »

torrem ignis in lignis, et sicut lampadem ignis in stipula, et devorabunt a dextris et a sinistris omnes populos per circuitum.

XC. Tribunos Juda, ut ante docui, sanctos apostolos, aut etiam omnes simpliciter sanctarum Ecclesiarum præpositos nominat. Adeo autem sermonem, sive sacram doctrinam ipsorum mentibus imperaturam affirmat, ut torris in ligna, aut fax in stipulam quæ facillime ignem concipit, incidisse videatur. « Devorabunt enim, inquit, omnes populos a dextris, et a sinistris in circuitu, » hoc est, quocunque ire voluerint, illic omnimodis valebunt, vocantes ad agnitionem, et tanquam igni divino et intellectuali frigidos calefacientes. Dixit quiddam ejusmodi totius naturæ Deus etiam beato prophetæ Jeremiæ : « Ecce dedi verba mea in os tuum ignem, et populum istum ligna, et devorabit eos [62], » pro, vocabit ad agnitionem, et frigefactos in peccatum iterum spiritu calefaciet. Alget enim errantium cor, et mortuam habent mentem, creaturam potius quam creatorem Deum adorantes [63], lapidibusque et lignis divinum cultum tribuentes. Sed tales, ut dixi, ferventes spiritu efficiuntur [64], calentes ad justitiam, et, ut inquit divinus Joannes, « Spiritu sancto, et igne spirituali baptizantur[65], » **778** qui ceu quisquilias quasdam animabus nostris insidens peccatum consumere, et sordes carnalitatis exurere solet. Dictum est igitur et ab Isaia : « Habes carbones ignis, sede super eos, hi erunt tibi in adjutorium [66]. » Quin idem de se ipso : » Et missus est ad me unus de Seraphim, et in manu habebat carbonem ignis, quem forcipe tulit de altari, et tetigit os meum, et dixit : Ecce tetigit hoc labia tua, et auferet iniquitates tuas, et peccata tua igni mundabit [67], » carbonem, ut verisimile est, divinum, et sacratissimum, et peccata consumentem ignem Christum esse dicens. Quamobrem divini discipuli ut torris ignis in stipula fuerunt, et gentes quidem in circuitu devorarunt; verumtamen non penitus perdiderunt, sed potius falsæ in ipsis scientiæ detestanda et impura dogmata incenderunt, veterisque fallaciæ sordes absumpserunt, et animos eorum qui semel crediderant, ad insipientiam et temeritatem frigefieri amplius passi non sunt, ut in se ipsis exsultantes, universorum Salvatori Christo dicerent : « Ignitum eloquium tuum vehementer, et servus tuus dilexit illud [68]. » Esse enim fervidum et ad secandum acutissimum Dei verbum, planum fit ex eo quod Jeremiæ dicit : « Verba mea sicut ignis comburens, et sicut securis incidens petram [69]. » Est enim perquam idoneus Dei sermo ut possit et quod frigefactum est in peccato reaccendere, et quæ velut indurucrunt et coarctata sunt non difficile explicare. Est namque « vivus et efficax, et penetrabilior omni gladio ancipiti, perveniens usque ad divisionem

[62] Jerem. I, 9. [63] Rom. I, 25. [64] Rom. XII, 11. [65] Matth. III, 11. [66] Imo, Ezech. X, 2. [67] Isa. VI, 6, 7. [68] Psal. CXVIII, 140. [69] Jerem. XXIII, 29.

Digitized by Google

animæ et spiritus, medullarum quoque, et compagum, et discretor cogitationum et intentionum cordis [70]. » Dictum est item voce prophetarum immitibus et contumacibus Judæis : « Circumcidimini Deo vestro, viri Juda [71]. »

Ἔχει γὰρ, καὶ μάλα ἐπιτηδείως, ὁ τοῦ Θεοῦ λόγος εἰς γε τὸ δύνασθαι καὶ ἀπεψυγμένον ἐν ἁμαρτίαις ἀναζωπυρῆσαι· καὶ οἱονεί πως ἀπεσκληκότα, καὶ πεπιλημένον διαπτύξαι ῥᾳδίως. Καὶ γάρ ἐστι « ζῶν τε καὶ ἐνεργὴς, καὶ τομώτατος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, διικνούμενός τε μέχρι μερισμοῦ ψυχῆς καὶ σώματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων, καὶ ἐννοιῶν καρδίας. » Εἴρηται δέ που καὶ διὰ φωνῆς προφητῶν πρὸς τὸν ἀπηνῆ καὶ ἄτεγκτον Ἰουδαῖον· « Τετμήθητε τῷ Θεῷ ὑμῶν, ἄνδρες Ἰούδα. »

A

Vers 7. *Et habitabit Jerusalem adhuc in semetipsam, et salvabit Dominus tabernacula Juda sicut a principio, ut non magnificetur gloriatio David, et elationes habitantium Jerusalem super Judam.*

Καὶ κατοικήσει Ἱερουσαλὴμ ἔτι καθ' ἑαυτὴν, καὶ σώσει Κύριος τὰ σκηνώματα Ἰούδα, καθὼς ἀπ' ἀρχῆς, ὅπως μὴ μεγαλύνηται καύχημα οἴκου Δαβὶδ, καὶ ἐπάρσεις τῶν κατοικούντων Ἱερουσαλὴμ ἐπὶ τὸν Ἰούδα.

XCI. Non semper Ecclesiam tumultibus exagitatum iri, nec sine fine persecutiones passuram vaticinatur : sed quieturam aliquando, et habitaturam in semetipsa, seu in loco suo, hoc est, sejunctam, **779** et solam, turbante nemine, non tribulationem excitante, non terrorem immittente, non tentationum mœrores accumulante : « Salvabit enim Dominus tabernacula Juda, sicut a principio. » Ecclesias suas, sive tabernacula sua ita proteget, ut æque magnam gratiam in eas conferat, quam in Israelem contulit, quem ex Ægypto liberavit. Eduxit enim illum « e domo servitutis, et e fornace ferrea, » sicut scriptum est [71'], et e dominatu intolerabili universorum Deus, « in manu forti et in brachio excelso [72], » quando persecutores ejus « demersit in mari Rubro, ponto cooperuit eos, et descenderunt sicut plumbum in aqua vehementi, et transierunt liberati [73]. » Columna autem ignis eos noctu præcedens viam signabat, et per diem nubes supra caput dux impendebat [74]. » Deinde panem de cœlo comederunt [75], et in solitudine morsus serpentum evaserunt [76]. Vicerunt inimicos, transierunt Jordanem [77], circumcisi sunt, venerunt in terram promissionis [78]. Hæc donabit Christus quærentibus tabernacula, hoc est, Ecclesiam : sic et ipsis salutem restituet, diabolica servitute exemptis, et dæmoniaca dominatione liberatis, et per distractiones hujus vitæ et turbas inanes velut per mare traductis ; columnam quoque et firmamentum illustre seipsum illis in alto proponet, illuminantem versantes in tenebris, et instar nubis roribus quos animo cernimus, irrigantem ; factus item illis panis vitæ serpentiumque sub intelligentiam cadentium morsus imbecilles et irritos faciens, traducens per Jordanem, et circumcisione spiritus puros reddens, et in regnum cœlorum introducens. Hæc suis adoratoribus largietur, salvabitque eos talibus modis, « ut non magnificetur gloriatio domus David, » hoc est, Judæorum principes : nec elationes sint, seu elationis occasio contra Judam, habitantibus Jerusalem, quam sensus percipit, et terrestrem. Efferebant quippe se, et superbia tumebant contra credentes in Christum, ipsumque Emmanuelem, per

B

C

D

ΚΑ'. Οὐκ ἀεὶ τὴν Ἐκκλησίαν ἐν θορύβοις γενέσθαι φησὶν, οὔτε μὴν ἀτελευτήτους ὑπομεῖναι τοὺς διωγμούς· ἀλλ' ἠρεμήσειν τε κατὰ καιροὺς, καὶ κατοικήσειν καθ' ἑαυτὴν, τουτέστι καταμόνας, οὐκ ἐνοχλοῦντός τινος, οὐ θλίψιν ἐπάγοντος, οὐκ ἐνιέντος δεῖμα, οὐ τὰς τῶν πειρασμῶν δυσθυμίας ἐπισωρεύοντος· « Σώσει γὰρ Κύριος τὰ σκηνώματα Ἰούδα, καθὼς ἀπ' ἀρχῆς. » Ὑπερασπιεῖται οὕτω τῶν ἰδίων Ἐκκλησιῶν, ἤτοι τῶν ἑαυτοῦ σκηνωμάτων, ὡς ἴσην αὐτοῖς ἀπονέμειν φροντίδα τῇ πάλαι δεδωρημένῃ λυτρουμένῳ ἐξ Αἰγύπτου τῷ Ἰσραήλ. Ἐξήγαγε γὰρ τὸν Ἰσραὴλ « ἐξ οἴκου δουλείας, καὶ ἐκ καμίνου σιδηρᾶς, καθὰ γέγραπται, » καὶ ἐξ ἀφορήτου πλεονεξίας ὁ τῶν ὅλων Θεὸς, « ἐν χειρὶ κραταιᾷ, καὶ ἐν βραχίονι ὑψηλῷ, » ὅτε τοὺς διώκοντας « κατεπόντισεν ἐν Ἐρυθρᾷ θαλάσσῃ, πόντων ἐκάλυψεν αὐτοὺς, καὶ ἔδυσαν ὡσεὶ μόλιβδος ἐν ὕδατι σφοδρῷ, καὶ διεβιβάσθησαν μὲν οἱ λελυτρωμένοι. » Στύλος δὲ αὐτῶν ἡγεῖτο πυρὸς τὴν νύκτα, καταδεικνύων τὴν ὁδὸν, ἐπεκρέματο δὲ καὶ ἐν ἡμέρᾳ νεφέλη. Εἶτα τὸν ἐξ οὐρανοῦ κατεδηδόκασιν ἄρτον, καὶ διέφυγον ἐν τῇ ἐρήμῳ τὰ τῶν ὄφεων δήγματα. Κρείττους ἦσαν ἐχθρῶν, διεβιβάσθησαν τὸν Ἰορδάνην, περιετμήθησαν μαχαίραις πετρίναις, ἦλθον εἰς τὴν γῆν τῆς ἐπαγγελίας. Ταῦτα χαριεῖται Χριστὸς τοῖς ζητοῦσι τὰ σκηνώματα αὐτοῦ, τουτέστι τὴν Ἐκκλησίαν· οὕτω καὶ αὐτοὺς ἀνασώσει, δουλείας μὲν ἀπαλλάξας τῆς ὑπὸ τῷ διαβόλῳ φημὶ, καὶ δαιμονιώδους πλεονεξίας ἐξελών, διαβιβάσας δὲ ὥσπερ διὰ θαλάσσης τῶν ἐν τῷδε τῷ βίῳ περισπασμῶν, καὶ τύρβης εἰκαίας, στύλον δὲ, καὶ ἑδραίωμα λαμπρὸν ἑαυτὸν αὐτοῖς ἀναθεὶς, φωτίζοντα τοὺς ἐν σκότει, καὶ οἷα νεφέλην ταῖς νοηταῖς κατάρδοντα δρόσοις· γεγονὼς δὲ αὐτοῖς καὶ ἄρτος ζωῆς ἄπρακτά τε καὶ ἀδρανῆ τὰ τῶν νοητῶν ὄφεων ἀποδείξας δήγματα, καὶ διαβιβάσας τὸν Ἰορδάνην, καὶ τῇ διὰ πνεύματος περιτομῇ καθαροὺς ἀποφαίνων, εἰσκομίζων δὲ καὶ εἰς βασιλείαν οὐρανῶν. Ταῦτα χαριεῖται τοῖς ἰδίοις προσκυνηταῖς, διασώσει τε αὐτοὺς κατὰ τοιούσδε τινὰς τρόπους, « ὅπως μὴ μεγαλύνηται καύχημα οἴκου Δαβὶδ, » τουτέστιν, οἱ τῶν Ἰουδαίων ἡγούμενοι· μήτε μὴν ἐπάρσεις εἶεν ἦγουν ἐπάρσεως ἀφορμαὶ τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ τὴν αἰσθητὴν, καὶ ἐπίγειον κατὰ τοῦ Ἰούδα. Ἐφρόνουν μὲν

[70] Hebr. IV, 12. [71] Jerem. IV, 4. [71'] Deut. IV, 20. [72] Deut. V, 15. [73] Exod. XV, 2-5. [74] Exod. XIII, 22. [75] Exod. XVI, 15. [76] Num. XXI, 6-9. [77] Josue III, 14-17. [78] Josue V, 2-8.

Digitized by Google

γὰρ μεγάλα, καὶ κατωφρύοντο λίαν τῶν πεπιστευκότων εἰς Χριστὸν, καὶ αὐτοῦ δὲ τοῦ Ἐμμανουὴλ, ἄνω τε καὶ κάτω τὰ διὰ Μωσέως τοῖς ἀρχαίοις δεδωρημένα προτείνοντες, καὶ τὴν τοῖς πατράσιν αὐτῶν ἐκνεμηθεῖσαν φειδὼ προϊσχόμενοι. Καὶ γοῦν ἔφασκον, ποτὲ μέν· « Τί οὖν ποιεῖς σὺ σημεῖον, ἵνα ἴδωμεν, καὶ πιστεύσωμεν; τί σὺ ἐργάζῃ; Οἱ Πατέρες ἡμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ, καθώς ἐστι γεγραμμένον, Ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν· » ποτὲ δὲ δή· « Ἡμεῖς οἴδαμεν ὅτι Μωσεῖ λελάληκεν ὁ Θεὸς, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστί. » Τερατουργήσει δὴ οὖν, φησὶν, ἡμῖν ὁ τῶν ὅλων Θεὸς, εἰ καὶ μὴ ἐμφανῶς, καθάπερ ἀμέλει καὶ τότε, ἀλλ' οὖν νοητῶς, οὕτω τε ἡμᾶς ἀνασώσει τοὺς ἐν τοῖς ἰδίοις σκηνώμασιν, ἵνα μὴ μέγα φρονῶσι καθ' ἡμῶν Ἰουδαῖοι, ἤγουν οἱ παρ' αὐτοῖς ἡγούμενοι. Ταυτὸ γὰρ οἶμαι δηλοῦν « τὸ καύχημα τοῦ οἴκου Δαβίδ. »

A Mosen veteribus munifice collata toties jactantes, et tributam patribus ipsorum indulgentiam obtendentes. Quare dicebant, nunc quidem : « Quod igitur signum tu facis, ut videamus, et credamus? quid operaris? Patres nostri comederunt manna in deserto, sicut scriptum est, Panem de **780** cœlo dedit eis manducare [79]; » nunc vero : « Nos scimus quia Mosi locutus est Deus, hunc autem nescimus unde sit [80]. » Inquit igitur : Faciet vobis mirabilia universorum Deus, etsi non manifeste, quomodo videlicet olim, sed tamen quæ intellectus videat, et sic vos salvabit qui estis in ejus tabernaculis, ne glorientur contra vos Judæi, sive qui eorum gubernacula tenent. Idem namque opinor B significare « gloriationem domus David. »

Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὑπερασπιεῖ Κύριος ὑπὲρ τῶν κατοικούντων Ἰερουσαλήμ. Καὶ ἔσται ὁ ἀσθενῶν ἐν αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὡς οἶκος Δαβίδ, ὁ δὲ οἶκος Δαβίδ, ὡς οἶκος Θεοῦ, ὡς ἄγγελος Κυρίου ἐνώπιον αὐτῶν.

VERS. 8. *Et erit in die illa, proteget Dominus super incolentes Jerusalem. Et erit qui infirmatur in eis illa die ut domus David, domus autem David, ut domus Dei, ut angelus Domini in conspectu eorum.*

ΛΒ'. « Ὅπλῳ μὲν ἡμᾶς εὐδοκίας ἐστεφάνωσεν ὁ Θεὸς καὶ Πατήρ. » Δέδωκε γὰρ ἡμῖν τὸν ἴδιον Υἱὸν, προασπιστὴν, καὶ πρόμαχον, δι' οὗ καὶ σεσώσμεθα, παντὸς μὲν εὐκόλως διεκδύνοντες πειρασμοῦ, πολέμου δὲ τοῦ παρ' ἐχθρῶν, καὶ τῆς τῶν διωκόντων σκαιότητος κατευμεγεθεῖν εἰωθότες. Ἀλλ' ἔν γε τοῖς προκειμένοις δηλοῦται μέν τι τοιοῦτον, πλὴν ἀσαφείᾳ πολλῇ κατεσκιασμένον τὸν λόγον ἴδοι τις ἄν. Ἔφη μὲν γὰρ ὑπερασπιεῖν ὁ τῶν ὅλων Θεὸς τῶν κατοικούντων Ἰερουσαλὴμ, καὶ οὐχὶ δὴ μᾶλλον τῶν παροικούντων αὐτήν. Καὶ νοεῖται μὲν ὁμολογουμένως Ἰερουσαλὴμ ἐν τούτοις ἡ Ἐκκλησία Χριστοῦ. Παροικεῖ δὲ αὐτὴν ὁ μὴ λίαν ἀσφαλὴς, σεσαλευμένος δὲ ὥσπερ καὶ εὐπάροιστος κομιδῇ, πρὸς τὸ μὴ ἔχον ὀρθῶς, ἢ καὶ ἄλλως ῥᾴθυμος εἰς φιλομάθειαν. Κατοικεῖ δὲ αὖ ὁ βεβηκὼς, καὶ ἐρηρεισμένος εἰς ἀγάπην τὴν ἐπὶ Χριστῷ, καὶ ταῖς ἐκ τῶν θείων μαθημάτων ὠφελείαις ἀεὶ προσκείμενος, ὥστε δύνασθαι λέγειν διὰ φωνῆς τοῦ Δαβίδ· « Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου! ὑπὲρ μέλι, καὶ κηρίον τῷ στόματί μου. — Ὑπερασπιεῖ τοίνυν, φησὶ, τῶν κατοικούντων, καὶ ἔσται ὁ ἀσθενῶν ἐν αὐτοῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὡς οἶκος Δαβίδ. » Καὶ οἶκον μὲν τοῦ Δαβὶδ ἐν τούτοις, τοὺς παρὰ Ἰουδαίοις ἐντιμωτάτους ὠνομάσθαι φαμὲν Ἀπὸ γὰρ τῆς Ἰούδα φυλῆς ἐξ Ἰεσσαὶ, καὶ Δαβὶδ ἐβασίλευον κατὰ καιροὺς ἐν τοῖς Ἱεροσολύμοις. Ἀσθενοῦντα δέ φησιν ἐκ τῶν κατοικούντων τὴν ἁγίαν πόλιν, τὴν νοητὴν Ἱερουσαλὴμ, ἥτις ἐστὶν ἡ Ἐκκλησία, τάχα που τὸν ἔτι κατηχούμενον, ὃς οὔπω βεβάπτισται, νοσεῖ δὲ ὥσπερ ἔτι τῷ τῆς ἁμαρτίας φορτίῳ κατηχθεσμένος, καὶ τῶν ἀρχαίων ἀῤῥωστημάτων, ἤγουν παθῶν οὐκ ἀπήλλακται. Ἀλλὰ καὶ οὕτως ἔχων, ὅτι δὴ μόνον πεπίστευκε, καὶ τῆς νομικῆς ἀπέστη σκιᾶς, καὶ διανένευκεν ὅλως ἐπὶ τὸ ἐλέσθαι πληροῦν τὴν ἐν πνεύματι πολιτείαν, καὶ τῆς

XCII. « Armis bonæ voluntatis suæ coronavit eos Deus et Pater [81]. » Dedit enim nobis Filium suum defensorem et antesignanum, per quem et salvati sumus, ex omni tentatione facile emergentes, et a bello quovis hostili, et a persequentium furore semper invicti. Et verbis quidem propositis tale quiddam indicatur, quæ tamen multa obscuritate involuta videas. Ait enim, universorum C Deum protecturum incolentes Jerusalem, at non potius accolentes eam. Et Jerusalem quidem hoc loco sine controversia Ecclesia Christi intelligitur. Accolit autem illam non valde tutus et securus, sed quasi agitatus fluctibus, et vehementer mobilis ad malum, aut alioqui iners ad discendum. Incolit fixus et firmatus in charitate erga Christum, et utilitatibus ex doctrina divina promanantibus semper deditus, ut dicere possit cum Davide : « Quam dulcia faucibus meis eloquia tua! super mel et favum ori meo [82]. » Inquit ergo : « Protegeт incolentes, et erit infirmatus inter ipsos in die illa sicut domus David. » Domum David hic apud Judæos honoratissimos vocari asserimus. De tribu D enim Juda ex Jesse et Davide progeniti, aliquando Hierosolymis regnarunt. Infirmatum autem ex incolentibus sanctam civitatem, intellectualem Jerusalem, quæ est Ecclesia, fortassis adhuc catechumenum dicit, qui sacro fonte nondum ablutus, et quodammodo adhuc peccati onere gravatus ægrotat, veteribusque morbis sive turbidis animi motionibus necdum vacat. Sed quamvis in hoc statu versans, quoniam tamen credidit duntaxat, **781** et ab umbra legis recessit, et penitus ad vitæ spiritualis institutum excolendum, et vitæ in Christo decus declinavit, « Erit, inquit, ut domus David, » hoc est, nulli apud Judæos sapienti et

[79] Joan. VI, 30. [80] Joan. IX, 29. [81] Psal. V, 13. [82] Psal. CXVIII, 103.

Digitized by Google

spectatissimo intelligentia cedet. Ejusmodi quiddam et sapientissimus Paulus, populos Judæorum alloquens, insinuat. Sic enim ait : « Cum enim gentes quæ legem non habent, naturaliter ea quæ legis sunt faciunt, legem non habentes, ipsi sibi sunt lex, qui ostendunt opus legis scriptum in cordibus suis [83]. » Et iterum : « Circumcisio quidem prodest, si legem observes : si autem prævaricator legis sis, circumcisio tua præputium facta est. Si igitur præputium justitias legis custodiat, nonne præputium illius in circumcisionem reputabitur? et judicabit, id quod ex natura est præputium, legem consummans, eum qui per litteram et circumcisionem prævaricator legis est? Non enim qui in manifesto Judæus est, neque quæ in manifesto, in carne, circumcisio est : sed qui in abscondito Judæus est, et circumcisio cordis in spiritu, non littera, cujus laus non ex hominibus, sed ex Deo [84]. » [Qui igitur circumcisionem in carne ut obsoletam aversatus spiritualem potius amabit, et Judæum qui in occulto est, circumferet, « cujus laus est non ex hominibus, sed ex Deo, »(1)] quomodo non præstat, cum virtute legis doctos, et qui inter Judæos præcipuæ sunt existimationis, superaverit, quamvis fortasse infirmitatis reliquias, ut nondum baptizatus, habeat? Parte enim cordis sui sana, hoc est fide, differet utique ab eo, qui fidem repudiat. Quod si quispiam de domo David, hoc est, de illustribus et honoratissimis apud ipsos fidem susceperit, et mysterium Christi rectissime intellexerit, hic erit venerandus, « et domus Dei, et ut angelus Domini in conspectu eorum. » Simile quiddam et Salvatorem dixisse notum est ; ait enim : « Omnis scriba doctus in regno cœlorum similis est homini patrifamilias qui profert de thesauro suo nova et vetera [85]. » Qui enim cognitionem legis in seipso ut thesaurum collectum habet, si evangelicam adjunxerit, dives quidam intelligentia erit, nova et vetera theoremata, seu res consideratione dignas discendi studiosis tanquam ex apothecis, seu repositoriis proponens : qualis erat divinus Paulus, modo ex lege petitis probationibus sermonem de Christo confirmare enitens, modo etiam doctrina arcana supra legem audientes ad voluntatem in ejus fide gloriandi compellens. Aliquando siquidem dicebat : « Dicite mihi, qui sub lege esse vultis : Legem non audjtis? **782** Scriptum est enim, quoniam Abraham duos filios habuit, unum de ancilla, et unum de libera per repromissionem, quæ sunt per allegoriam dicta. Hæc enim sunt duo testamenta, unum quidem a monte Sina, in servitutem generans, quæ est Agar; Agar enim mons est in Arabia, qui conjunctus est ei quæ nunc est Jerusalem, et servit cum filiis suis. Quæ autem sursum est Jerusalem, libera est, quæ est mater nostra [86]. » Aliquando autem et de Filio,

A ἐν Χριστῷ ζωῆς τὰ αὐχήματα, « Ἔσται, φησὶν, ὡς ὁ οἶκος Δαβὶδ, » τουτέστι κατ' οὐδὲν ἐλάττων εἰς σύνεσιν τοῦ σοφοῦ τε καὶ ἐντιμοτάτου παρά γε τοῖς Ἰουδαίοις. Ὑπαινίττεταί τι τοιοῦτον καὶ ὁ σοφώτατος Παῦλος, τοῖς Ἰουδαίων δήμοις προσλαλῶν. Ἔφη γὰρ οὕτως· « Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες ἑαυτοῖς εἰσι νόμος, οἵτινες ἐκδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν. » Καὶ πάλιν· « Περιτομὴ μὲν γὰρ ὠφελεῖ, ἐὰν νόμον πράσσῃς· ἐὰν δὲ παραβάτης νόμου ᾖς, ἡ περιτομή σου ἀκροβυστία γέγονεν. Ἐὰν οὖν ἡ ἀκροβυστία τὰ δικαιώματα τοῦ νόμου φυλάσσῃ, οὐχ ἡ ἀκροβυστία αὐτοῦ εἰς περιτομὴν λογισθήσεται; καὶ κρινεῖ ἡ ἐκ φύσεως ἀκροβυστία τὸν νόμον τελοῦσα, τὸν διὰ γράμματος, καὶ B περιτομῆς παραβάτην νόμου; Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖος, οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομή, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος, καὶ περιτομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι, οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ Θεοῦ. » Πῶς οὐκ ἀμείνων, κατ' ἀρετὴν ἡττώμενος τῶν νομομαθῶν, καὶ ἐντιμοτάτων παρὰ Ἰουδαίοις, κἂν εἰ ἔχοι τυχὸν ἀσθενείας λείψανον, ὡς οὔπω βεβαπτισμένος; Τῷ γὰρ ὑγιαίνοντι μέρει τῆς ἑαυτοῦ καρδίας, τουτέστι τῇ πίστει, διοίσει πάντως τοῦ τὴν πίστιν οὐ προσιεμένου. Εἰ δὲ δὴ τῶν ἐκ τοῦ οἴκου Δαβὶδ, τουτέστι τῶν παρ' αὐτοῖς λαμπρῶν, καὶ ἐντιμοτάτων παραδέξαιτό τις τὴν πίστιν, καὶ εἰς σύνεσιν εὖ μάλα τὸ Χριστοῦ μυστήριον αὐτῷ γένοιτο, προσκυνητὸς οὗτος ἔσται, C « καὶ οἶκος Θεοῦ, καὶ ὡς ἄγγελος Κυρίου ἐνώπιον αὐτῶν. » Τοιοῦτόν τι καὶ αὐτὸς ὁ Σωτὴρ εὑρίσκεται λέγων· Ἔφη γάρ, ὅτι « Πᾶς Γραμματεὺς μαθητευθεὶς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὁμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά. » Ὁ γὰρ ἔχων ἤδη τεθησαυρισμένην ἐν ἑαυτῷ τὴν τοῦ νόμου γνῶσιν, εἰ προσλάβοι τὴν εὐαγγελικὴν, πλούσιος ἔσται τις εἰς σύνεσιν, καινά τε καὶ παλαιὰ θεωρήματα, καθάπερ ἐξ ἀποθηκῶν, τοῖς φιλομαθέσι παρατιθείς· οἷός τις ἦν ὁ θεσπέσιος Παῦλος, ποτὲ μὲν νομικαῖς ἀποδείξεσι τὸν περὶ Χριστοῦ λόγον ἐμπεδοῦν ἐπιχειρῶν· ποτὲ δὲ καὶ ταῖς ὑπὲρ νόμον μυσταγωγίαις συνελαύνων τρόπον τινὰ τοὺς ἀκροωμένους εἰς γε τὸ ἑλέσθαι τῇ εἰς αὐτὸν πίστει κατασεμνύνεσθαι. Ποτὲ μὲν γὰρ D ἔφασκε· « Λέγετέ μοι, οἱ ὑπὸ νόμον θέλοντες εἶναι, τὸν νόμον ἀκούετε; Γέγραπται γὰρ, ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας δι' ἐπαγγελίας, ἅτινά ἐστιν ἀλληγορούμενα. Αὗται γάρ εἰσι δύο διαθῆκαι, μία μὲν ἀπ' ὄρους Σινᾶ, εἰς δουλείαν γεννῶσα, ἥτις ἐστὶν Ἄγαρ· τὸ γὰρ Ἄγαρ, ὄρος ἐστὶν ἐν τῇ Ἀραβίᾳ, συστοιχεῖ δὲ τῇ νῦν Ἱερουσαλὴμ· δουλεύει γὰρ μετὰ τῶν τέκνων αὐτῆς. Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶ μήτηρ ἡμῶν. » Ποτὲ δὲ καὶ περὶ τοῦ Υἱοῦ, « Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ

[83] Rom. II, 14, 15. [84] Ibid. 25-29. [85] Matth. XIII, 52. [86] Galat. IV, 21-26.

(1) Quæ uncinis inclusa sunt, desunt in Græco. Edit.

Digitized by Google

τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν τῶν ἁμαρτιῶν ἡμῶν ποιησάμενος, ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλοσύνης ἐν ὑψηλοῖς. » Συνιεῖς οὖν... παλαιοῖς τε ἅμα καὶ νέοις παιδεύμασι τὰς τῶν παιδαγωγουμένων ὀνίνησι ψυχάς. « Ἔσται τοίνυν, φησίν, ὁ οἶκος Δαβὶδ, ὡς ἄγγελος Κυρίου ἐνώπιον αὐτῶν. »

A « Qui cum sit splendor gloriæ, et figura substantiæ ejus, portansque omnia verbo virtutis suæ, per se ipsum purgationem peccatorum nostrorum faciens, sedit in dextera throni majestatis in excelsis [87]. » Intelligis ergo . . . . . veteribus simul et novis doctrinis institutorum animis commodet. « Erit igitur, inquit, domus David, ut angelus Domini in conspectu eorum. »

Καὶ ἔσται, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ζητήσω τοῦ ἐξᾶραι πάντα τὰ ἔθνη, τὰ ἐπερχόμενα ἐπὶ Ἰερουσαλὴμ, καὶ ἐκχῶ ἐπὶ τὸν οἶκον Δαβὶδ, καὶ ἐπὶ τοὺς κατοικοῦντας Ἰερουσαλὴμ πνεῦμα χάριτος, καὶ οἰκτιρμοῦ, καὶ ἐπιβλέψονται πρός με.

Vers. 9, 10. *Et erit in die illa, quæram auferre omnes gentes, quæ veniunt contra Jerusalem, et effundam super domum David, et super habitantes Jerusalem spiritum gratiæ et misericordiæ, et aspicient ad me.*

ΚΓ'. Σκοπός ἐστί μοι, φησὶν, ἐξᾶραι μὲν τὰ ἔθνη τὰ μεμαχημένα τῇ ἁγίᾳ πόλει, τουτέστι τῇ Ἐκκλησίᾳ· χάριτί γε μὴν καὶ οἰκτιρμοῖς περιβαλεῖν τὸν οἶκον Ἰούδα, καὶ τοὺς κατοικοῦντας Ἰερουσαλὴμ, τουτέστι τοὺς τῆς Ἐκκλησίας πολίτας, καὶ ἐν τοῖς αἰνεῖν ὀφείλουσι κατατεταγμένους· εἶεν δ' ἂν οὗτοι πάλιν οἱ προσκυνοῦντες Χριστῷ, καὶ τοῖς εὐαγγελικοῖς θεσπίσμασιν ἑπεσθαι ἡρημένοι, τὴν εὐκλεᾶ τε καὶ ἀνεπίπληκτον κατορθοῦντες ζωήν. Ὅτι γὰρ ἔμελλον ἀῤῥωστῆσαι τὸ ἄναλκι πάντη τε καὶ πάντως οἱ τῆς ἀληθείας ἐχθροὶ, σαφηνιεῖ λέγων καὶ αὐτὸς ὁ Σωτήρ· « Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. » Ἰδοὺ ὧδε πύλας τοὺς διώκειν αὐτὴν ἐθέλοντας, φησὶν, οἷον ὀλέθρους ὄντας, καὶ φθόρους, καὶ εἰς πέταυρον ᾅδου κατακομίζειν εἰωθότας τοὺς προσκειμένους αὐτοῖς. Ἀτονήσουσι δὴ οὖν, μᾶλλον δὲ καὶ ἐξαρθήσονται οἱ πεπολεμηκότες αὐτῇ, καὶ οἰχήσονται πρὸς ἀπώλειαν. « Πολλαὶ μὲν γὰρ ὁμολογουμένως τῶν δικαίων αἱ θλίψεις· ἀλλ' ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος. » Καὶ ἔστιν ἀληθὲς, ὅτι « πάντες οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ, διωχθήσονται. » Πλὴν ἀνόνητα καὶ ἀδρανῆ τῶν ἐπιβουλευόντων τὰ σκέμματα, καὶ αὐτὰ δὲ τὰ ἐγχειρήματα τίθησιν ὁ Χριστὸς, ὃς δέδωκεν « ἡμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων, καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. » Παραθαῤῥύνει τε λέγων· « Θλῖψιν ἕξετε ἐν τῷ κόσμῳ, ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον. » Οὐκοῦν ἐξαίρονται μὲν οἱ τῆς Ἐκκλησίας κατεξανιστάμενοι κατὰ καιροὺς, ἐπὶ δέ γε τοὺς αὐτοῦ, τουτέστι τοὺς πιστεύσαντας, ἐκχεῖται πλουσίως « Πνεῦμα χάριτος καὶ οἰκτιρμοῦ. » Στεφανοῖ γὰρ ἡμᾶς τοῖς ἄνωθεν ἀγαθοῖς ὁ Θεὸς καὶ Πατὴρ, καὶ πνευματικῶν ἐμπίπλησι χαρισμάτων, ἵνα τὸν τῆς διανοίας ὀφθαλμὸν πρὸς αὐτὸν ἀνατείναντες, ἐπ' αὐτῷ πᾶσαν ἔχοιμεν ἐλπίδα. Τοῦτο γὰρ, οἶμαι, ἔστι τὸ, « Ἐπιβλέψονται πρός με. » Διακείμενοι δὲ οὕτω, γαννύμεθα μὲν ἐφ' ἑαυτοῖς, φαμὲν δὲ δὴ δοξολογοῦντες Θεόν· « Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, τὸν εὐλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου, τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς, τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου. »

XCIII. Consilium meum est, inquit, auferre, delere gentes, quæ civitatem sanctam, puta Ecclesiam, oppugnaverunt : gratia autem et miserationibus comprehendere domum Juda, et habitantes Jerusalem, hoc est, Ecclesiæ cives, et eos, qui ad laudandum constituti sunt : qui rursum accipi possunt adorantes Christum, et submissi oraculis evangelicis, laudabilem nullique culpæ affinem vitam excolentes. Imbecilles enim fore omnino veritatis inimicos, demonstrat ipse Salvator cum dicit : « Tu es Petrus, et super hanc petram ædificabo Ecclesiam meam, et portæ inferi non prævalebunt adversus eam [88]. » Ecce hic conantes eam persequi portas vocat, veluti pestes, et exitia, et ipsis adhærentes ad pedicas inferorum deducere solitos. Torpebunt igitur, imo tollentur qui bellum ei moverint, et in perniciem ibunt. « Multæ enim, quod nemo nescit, sunt tribulationes justorum : sed de his omnibus liberabit eos Dominus [89]. » Et verum est, « omnes qui pie volent vivere in Christo, persecutiones passuros [90]. » Cæterum inutiles et invalidas insidiantium cogitationes et ausus ipsos Christus facit, qui dedit « nobis potestatem calcandi **783** supra serpentes, et scorpiones, et supra omnem virtutem inimici [91]. » Et confirmat nos cum ait : « In mundo pressuram habebitis, sed confidite, quia ego vici mundum [92]. » Tollentur itaque e medio qui aliquando in Ecclesiam insurgunt : super ipsos autem, hoc est, super credentes, ubertim « spiritus gratiæ et miserationis » effunditur. Ornat enim nos bonis cœlestibus Deus et Pater, et spiritualibus donis cumulat, ut mentis oculum ad ipsum tollentes, omnem in eo fiduciam collocemus. Id enim est, opinor, quod dicit, « Aspicient ad me. » Quo quidem modo affecti, lætamur in sinu, et laudantes Dominum dicimus : « Benedic, anima mea, Dominum, qui propitiatur omnibus iniquitatibus tuis, qui sanat omnes infirmitates tuas, qui redimit de interitu vitam tuam, qui coronat te in misericordia et miserationibus, qui replet in bonis desiderium tuum [93]. »

[87] Hebr. I, 3. [88] Matth. XVI, 18. [89] Psal. XXXIII, 20. [90] II Tim. III, 12. [91] Luc. X, 19. [92] Joan. XVI, 33. [93] Psal. CII, 1-5.

Digitized by Google

In quem insultaverunt, et plangent super se planctum quasi super dilectum, et delebunt dolorem quasi super primogenitum.

XCIV. Hebræorum editio initium præsentis contextus facit ab illis verbis, « Et aspicient ad me : » porro cum LXX traditione et interpretatione non consentit. Nam pro *insultarunt* habet illa, « *videbunt* in quem transfixerunt. » Transfixerunt quippe milites Pilati latus ejus, sicut legimus [95]. Quocirca hæc verba de persona Christi apte explicabimus. Atque etiam illa ad eum referenda ducimus, « Et plangent super se planctum, sicut super dilectum, et dolebunt dolorem sicut super primogenitum. » Etenim cum divinum templum ligno affixissent, circumsteterunt crucifixores, scelerate conviciantes. Alii quippe dicebant : « Qui destruis templum Dei, et in tribus diebus reædificas illud, salva temetipsum [96]. » Rursum nonnulli : « Alios salvos fecit, seipsum non potest salvum facere [96]. » Ast ubi animam suam pro nobis posuit [97], et spiritibus apud inferos prædicavit [98], et revixit, terræ motu concusso monumento, qui assidebant mirabundi dixerunt, « Vere Filius Dei erat iste [99] ; » nec mediocri pœnitudine multi capiebantur. Postquam autem et Romani eos bello presserunt, regione devastata, et urbibus incensis, et domibus vacuefactis, jamque ipsa Hierosolyma obsessa et fame oppidanos conficiente, vix quidam suos **784** in Christum ausus nefarios agnoverunt, tandemque animadverterunt, quamobrem dira paterentur, et propter impie in eum commissa sese illa perpeti. Itaque quoniam « insultaverunt, plangent super se planctum quasi super dilectum, et dolebunt dolorem, quasi super primogenitum. » Profusissimis namque lacrymis parentes primogeniti et dilecti mortem semper prosequuntur, nec plangendi et lamentandi invenire modum sustinent, eaque dolor longinquus plane, et quasi perennis, acriter et intolerabiliter vellicando animos macerans. Judæis autem calamitates istiusmodi experturos Christus prædixit, mulieres super ipso flentes ita castigans : « Filiæ Jerusalem, nolite flere super me, sed super vos ipsas, et filios vestros flete [1]. »

VERS. 11-14. *In die illa magnus erit planctus in Jerusalem, sicut planctus mali punicæ in campo succisæ. Et plangent terra per tribus tribus. Tribus seorsum, et mulieres eorum seorsum. Tribus domus David seorsum, et mulieres eorum seorsum. Tribus domus Nathan seorsum, et mulieres eorum seorsum. Tribus domus Levi seorsum, et mulieres eorum seorsum. Tribus Simeon seorsum, et mulieres eorum seorsum. Omnes tribus reliquæ, tribus seorsum, et mulieres eorum seorsum.*

A *Εἰς ὃν κατωρχήσαντο, καὶ κόψονται ἐφ' ἑαυτοῖς κοπετὸν ὡς ἐπ' ἀγαπητῷ, καὶ ὀδυνηθήσονται ὀδύνην ὡς ἐπὶ πρωτοτόκῳ.*

ΚΔ'. Ἡ Ἑβραίων ἔκδοσις ἀρχὴν ποιεῖται τοῦ παρόντος κεφαλαίου τὸ, « Καὶ ἐπιβλέψονται πρός με· » πλὴν οὐ συμβαίνει τῇ τῶν Ἑβδομήκοντα παραδόσει τε καὶ ἑρμηνείᾳ. Ἑβραῖοι μὲν γὰρ *ὄψονται* φασι, ἀντὶ τοῦ, « *κατωρχήσαντο*, εἰς ὃν ἐξεκέντησαν. » Διένυξαν γὰρ οἱ Πιλάτου στρατιῶται τὴν πλευρὰν αὐτοῦ, καθὰ γέγραπται. Οὐκοῦν παραθήσομεν εἰκότως τῷ προσώπῳ Χριστοῦ τὸν ἐπὶ τῷδε λόγον. Πλὴν ἐκεῖνό φαμεν βούλεσθαι δηλοῦν, « Καὶ κόψονται ἐφ' ἑαυτοῖς κοπετὸν, ὡσεὶ ἐπ' ἀγαπητῷ, καὶ ὀδυνηθήσονται ὀδύνην, ὡς ἐπὶ πρωτοτόκῳ. » Προσηλώσαντες μὲν γὰρ τῷ ξύλῳ τὸν Θεῖον ναὸν, περιεστήκασιν οἱ B σταυρώσαντες, ἀνοσίως ἐπιτωθάζοντες. Οἱ μὲν γὰρ ἔφασκον· « Ὁ καταλύων τὸν ναὸν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν. » Ἕτεροι δὲ αὖ· « Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. » Ἐπειδὴ δὲ θεὸς ὑπὲρ ἡμῶν τὴν ἰδίαν ψυχὴν, ἐκήρυξε καὶ τοῖς ἐν ᾅδου πνεύμασιν, ἀνεβίω τε αὖ, σειαμοῦ γενομένου, παρὰ τὸ μνημεῖον οἱ προσεδρεύοντες ἐθαύμαζον, λέγοντες· « Ἀληθῶς Υἱὸς Θεοῦ ἦν οὗτος· » πολλὴ δὲ παρὰ πολλοῖς ἡ μετάγνωσις ἦν. Ἐπειδὴ δὲ καὶ ὁ Ῥωμαίων αὐτοῖς ἐπέσκηψε πόλεμος, καταδηωμένης αὐτοῖς τῆς χώρας, καὶ πόλεων ἐμπιμπραμένων, καὶ οἴκων ἐρημουμένων, πολιορκουμένης τε ἤδη καὶ αὐτῆς τῆς Ἱερουσαλὴμ, καὶ λιμοῦ κατατήκοντος ἔνδοθεν, ἐκαλοῦντό τινες εἰς συναίσθησιν μόλις τῶν ἐπὶ Χριστῷ τολμημάτων, ἤδεσάν τε λοιπὸν, τοῦ κακοῦσθαι τὰς αἰτίας, καὶ C ὅτι πρόφασις αὐτοῖς τοῦ παθεῖν τὰ ἐπ' αὐτῷ γέγονε δυσσεβήματα. Οὐκοῦν ἐπειδὴ « κατωρχήσαντο, κόψονται ἐφ' ἑαυτοῖς κοπετὸν, ὡσεὶ ἐπ' ἀγαπητῷ, καὶ ὀδυνηθήσονται ὀδύνην ὡς ἐπὶ πρωτοτόκῳ. » Καὶ γὰρ ἀεί πως ἄσχετον μὲν καταξεῖται δάκρυον τοῖς γεγεννηκόσιν, ἐφ' υἱῷ πρωτοτόκῳ κειμένῳ, καὶ ἀγαπητῷ, κομιοὶ δὲ καὶ θρῆνοι καταίρειν εἰς τέλος οὐκ ἀνεχόμενοι, μακρὰ δὲ δὴ πάντως, καὶ οἷον διηνεκὴς ὀδύνη, δριμείαις τισὶ καὶ ἀφορήτοις προσβολαῖς ψυχὰς κατατήκουσα. Ὅτι δὲ ἐμελλον εἰς πεῖραν ἐλθεῖν Ἰουδαῖοι τῶν τοιῶνδε κακῶν, προμεμήνυκεν ὁ Χριστὸς, ταῖς κλαιούσαις ἐπ' αὐτῷ γυναιξὶν ἐπιτιμῶν τε καὶ λέγων· « Θυγατέρες Ἱερουσαλὴμ, μὴ κλαίετε ἐπ' ἐμὲ, κλαίετε δὲ ἐφ' ὑμᾶς, καὶ ἐπὶ τὰ τέκνα ὑμῶν. »

D *Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ μεγαλυνθήσεται ὁ κοπετὸς ἐν Ἱερουσαλὴμ, ὡς κοπετὸς ῥοῶνος ἐν πεδίῳ ἐκκοπτομένου. Καὶ κόψεται ἡ γῆ κατὰ φυλὰς φυλάς. Φυλὴ καθ' ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς. Φυλὴ οἴκου Δαβὶδ καθ' ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς. Φυλὴ οἴκου Νάθαν καθ' ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς. Φυλὴ οἴκου Λευὶ καθ' ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς. Φυλὴ Συμεὼν καθ' ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς. Πᾶσαι αἱ φυλαὶ αἱ ὑπολελειμμέναι, φυλὴ καθ' ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς.*

[95] Joan. IX, 34. [96] Matth. XXVII, 40. [96] Ibid. 42. [97] I Joan. III, 16. [98] I Petr. III, 19. [99] Matth. XXVII, 53. [1] Luc. XXIII, 28.

Digitized by Google

ΚΕ'. Καταδῃουμένης ἁπάσης τῆς Ἰουδαίας κατὰ καιροὺς ὑπὸ τῆς Ῥωμαίων στρατιᾶς, καὶ αὐτῆς δὲ πολιορκουμένης τῆς Ἱερουσαλὴμ, τοιοῦτον ἔσεσθαί φησι παρὰ τῶν ἐν αὐτῇ τὸν κοπετὸν, ὁποῖον ἂν τις πρίσαιτο γηπόνος ῥοῶνος ἐκκοπτομένου. Εὐανθὲς μὲν γὰρ τὸ φυτὸν, καὶ συχνοὺς ἐκ ῥίζης ἀνίησι κλῶνας ὀρθοὺς, καὶ εὐμηκεστάτους, εἰ δὲ δὴ καὶ αὐτοῖς ἐξωραΐζοιτο τοῖς καρποῖς, τότε δὴ μάλιστα καὶ ἐν πολλῷ κεῖται θαύματι. Χρῆμα γὰρ ἀξιέραστον, ἡ ῥοιὰ, φυσικῷ διαπρέπουσα κάλλει τῶν ὀρπήκων ἀπηρτημένη, καὶ τοῖς ἔσω κόκκοις συμπεφοινιγμένον ἔχουσα τῶν ἐλύστρων τὸ εἶδος. Πάνδεινον δὲ, ὡς ἔφην, καὶ ἀνιαρὸν, ὁμοῦ τοῖς καρποῖς ἀποκείρεσθαι τὸ φυτόν. Ἀλλ' ἦν τι τοιοῦτον ἰδεῖν τοῖς Ἰουδαίοις συμβαῖνον. Ὅσον μὲν γὰρ ἥκει εἰς τὰς ἐκ νόμου τιμὰς, ῥοιαῖς ἐγκάρποις παρεικάζοιντο ἂν εἰκότως, οἱ προὔχοντες ἐν αὐτοῖς· οἱ μὲν γὰρ ἐκ τῆς Ἰούδα φυλῆς, τοὺς τῆς βασιλείας διέποντες θρόνους εἰς λῆξιν εὐκλείας τέθειντο παρ' αὐτοῖς. Οἱ δὲ ἐκ φυλῆς Λευὶ τοῖς τῆς ἱερωσύνης αὐχήμασιν εὖ μάλα κατεστεμμένοι, λαμπροί τε ἦσαν καὶ διαβόητοι. Τί δ' ἂν λέγοιμι κριτάς τε καὶ νομικοὺς, καὶ τοὺς ταῖς ἑτέραις τιμαῖς κατηγλαϊσμένους; Ἐπειδὴ δὲ πεπαρῴνήκασιν εἰς Χριστὸν, δέδονται τοῖς ἐχθροῖς, καὶ καταδῃούντων αὐτοῖς τὴν χώραν Οὐεσπασιανοῦ τε καὶ Τίτου, πολιορκουμένης τε τῆς Ἱερουσαλὴμ, καὶ πάντας τοὺς ἐν αὐτῇ λιμοῦ καταφθίνοντος, θρήνου τε καὶ κοπετοῦ τὰ πάντα πεπλήρωται. Μαρτυρεῖ δὲ καὶ Ἰώσηπος. Τὰ γὰρ τῆς Ἁλώσεως βιβλία συντιθεὶς, ἔφη που περὶ τῶν Ἱεροσολύμων αὐταῖς λέξεσιν ὧδε· Κομμοὶ δὲ ἦσαν ἀνὰ τὴν πόλιν πανταχῇ, οἰμωγὴ δὲ διαπρύσιος, καὶ θρῆνος ἐγκέλευστος. Ὥσπερ δὲ Λίβανον, καὶ δρυμὸν αὐτὴν ὠνόμαζε, λέγων· « Διάνοιξον, ὁ Λίβανος, τὰς θύρας σου, καὶ καταφαγέτω πῦρ τὰς κέδρους σου. Ὀλολυξάτω πίτυς, ὅτι πέπτωκε κέδρος, ὅτι μεγάλως μεγιστᾶνες ἐταλαιπώρησαν. Ὀλολύξατε, δρύες τῆς Βασανίτιδος, ὅτι κατεσπάσθη ὁ δρυμὸς ὁ σύμφυτος· » οὕτω καὶ ῥοῶνα κοπτόμενον ὀνομάζει. Πιστώσεται δὲ τὸν λόγον καὶ ὁ θεσπέσιος Ματθαῖος, τοῖς Ἰουδαίων δήμοις προσπεφωνηκώς· « Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται. Πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται, καὶ καίεται. » Ἔσται τοίνυν οὕτω, φησὶ, μέγας ὁ ἐν αὐτῇ κοπετὸς, οἷος ἂν γένοιτο ῥοῶνος, ἐκτεθηλότος αὐτῷ δηλονότι τοῦ καρποῦ, καὶ ἀδοκήτως ἐκκοπτομένου. « Κόψεται δὲ ἡ γῆ κατὰ φυλὰς φυλὰς, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς. » Καὶ οὔτε πού φαμεν ἐκεῖνο βούλεσθαι δηλοῦν τὸν μακάριον προφήτην, ὡς ἑστήκοι μὲν ἀνὰ μέρος τὸ ἄρσεν ἐν ἑκάστῃ φυλῇ, ἀνὰ μέρος δὲ αὖ τὸ θῆλυ, καὶ ποιήσονται τὸν κοπετόν· περιττὸν γὰρ, ὡς ἔοικε, τὸ χρῆμα, καὶ εἰκαιόβουλον. Διδάσκει δὲ μᾶλλον ὡς ἑκάστη φυλὴ κατὰ τῶν ἐν αὐτῇ γυναικῶν ἰδίαν ἕξει τινὰ τοῦ θρήνου τὴν ἀφορμήν. Ταύτῃ τοι φησὶν ὅτι « Φυλὴ οἴκου Δαβὶδ καθ' ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς. » Καὶ δὴ φέρε λέγωμεν, ὡς ἔνι, τὸν ἑκάστης πόνον. Οἱ μὲν γὰρ ἐκ

A XCV. Ferro ignique deformata olim universa Judæa a Romano exercitu, ipsaque Hierosolyma obsidione cincta, talem ab incolis planctum editum iri ait, qualem ederet agricola excisa malo punica. Est enim hoc genus arboris bellissimum, atque a radice in crebros, teretes ac patulos diffusum ramos exsurgit, ipsis quoque fructibus decoratum, inprimis est admirabile. Gratissima enim res malum punicum, naturali pulchritudine eximium, a ramo dependens, et cum granis intus rubentem habens corticem. Gravissimum autem et molestissimum, ut dicebam, simul cum fructibus arborem amputari. Ejusmodi quiddam Judæis contigisse videre licet. Nam quod ad honores propter legem perceptos attinet, non immerito malis punicis comparentur, qui inter eos principem locum obtinuerunt. Siquidem de tribu et familia Juda oriundi, et regno præpositi in summa apud eos gloria fuerunt. Tribules autem Levi, **785** sacerdotii ornamentis congruentissime cohonestati, in claritate et celebritate vixerunt. Quid ego de judicibus, et legum peritis, et aliis honoribus illustratis dicam? At postquam in Christum debacchati sunt, hostibus traditi sunt, Vespasianoque ac Tito eorum provinciam depopulantibus, et Hierosolymam obsidentibus, et fame incolas omnes enecante, lamento et planctu omnia redundarunt. Testatur et Josephus. Nam in libris *De bello Judaico* alicubi de Hierosolyma scribit in hæc verba: Urbe tota plangores, et gemitus, et lamenta dolore expressa late audiebantur. Et ut eam Libanum et saltum vocavit, cum diceret: « Aperi, Libane, portas tuas, et ignis comedat cedros tuas. Ululet pinus, quia cecidit cedrus, quoniam magnates vehementer facti sunt miseri. Ululate, quercus Basanitidis, quoniam succisus est saltus consitus[2]: » sic nunc item malum punicam excisam appellat. Testis accedit et divinus Matthæus, ubi populo Judæorum ita prænuntiatur: « Jam securis ad radicem arborum posita est. Omnis igitur arbor non ferens fructum bonum, exscinditur, et in ignem mittitur, et ardet[3]. » Inquit ergo, tantus exsistet in ea planctus, quantus exarescente ejus fructu improviso, et ipsa excisa. « Plangent autem terra per tribus et tribus, et mulieres eorum seorsum. » Non putamus sane beatum prophetam illud velle, in qualibet tribu seorsum mares a feminis staturos, et planctum daturos; hoc enim supervacaneum et inconsideratum foret. Illud potius docet, unamquamque tribum cum feminis suis peculiarem lamentandi causam habituram. Idcirco inquit: « Tribus David seorsum, et mulieres eorum seorsum. » Jam vero quantum possumus cujuslibet afflictionem explanemus. Tribules enim e tribu David, sive Juda, e regno excisi, impotenter ejulant, ut tanto splendore spoliati. Levitæ vero, sacerdotii honore depulsi, una cum mulieribus planctui se dabunt. De familia aut-

[2] Zachar. xi, 1, 2. [3] Matth. iii, 10.

Digitized by Google

tem Nathan (hic erat propheta, nec omnino vafax) similiter plangent : non enim licebit illis amplius vaticinari iniqua, et loqui de corde suo [4], et sermones suos pro divinis venditare imprudentibus, indeque turpe lucrum colligere. Habet porro traditio, Judæos judices per tempora sua constitutos, de tribu Symeonis legisse, **786** utpote quæ floreret viris prudentissimis, et legum scientissimis, et in vita ad leges accommodata cæteris multo præstantioribus. Lamentabuntur autem hi quoque. Hanc ob causam dicit, tribum Symeon lamentaturam seorsum. Non enim sincere judicii munus exercebant, neque divinis legibus obsequentes, quæ Deo placerent, præstare conabantur, sed lucris potius inhiabant, levissimo pretio fidem suam addicentes, et ut ait propheta : « Judices eorum sicut lupi Arabiæ [5]. » Lamentari autem una etiam alias tribus oportebat, ut jucundissimis sibi ritibus et locis ejectas, imo et ipsa morte earum capitibus imminente, ipsaque fame instar hostilis gladii eas absumente.

φυλῆς Δαβίδ, ἤτοι τοῦ Ἰούδα, τῆς βασιλείας ἐκκοπέντες, κατοιμώζουσιν ἀσχέτως, ὡς τῆς οὕτω περιφανοῦς εὐκλείας ἀποστερούμενοι. Οἵ γε μὴν ἐκ τῆς τοῦ Λευΐ, τῶν ἐκ τῆς ἱερωσύνης ἐξωθούμενοι γερῶν, ὁμοῦ γυναιξὶ ποιήσονται τὸν κομμόν. Οἱ δὲ ἐκ φυλῆς τοῦ Νάθαν, προφήτης δὲ οὗτος ἦν, καὶ οὐχὶ πάντως ἀληθής, κόψονται πάλιν· οὐ γὰρ ἦν αὐτοῖς ἔτι προφητεύειν ἄδικα, καὶ λαλεῖν τὰ ἀπὸ καρδίας, καὶ τοῖς ἀσυνέτοις καταπωλεῖν ὡς παρὰ Θεοῦ τοὺς ἰδίους λόγους, καὶ τὰς ἐντεῦθεν συλλέγειν αἰσχροκερδείας. Ἔχει δὲ ἡ παράδοσις, ὅτι τοὺς κριτὰς Ἰουδαῖοι τοὺς καθισταμένους κατὰ καιροὺς ἐκ τῆς Συμεὼν ἐδέχοντο φυλῆς, ἅτε δὴ συνετωτάτους καὶ νομομαθεῖς ἄνδρας ἐχούσης, καὶ πολὺ τῶν ἄλλων προφερεστέρους εἰς γε τὸ ζῆν ἐλέσθαι ἐννόμως. Διὰ τοῦτό φησιν ὅτι Φυλὴ Συμεὼν κόψεται καθ' ἑαυτήν. Ἴδιος δέ τις καὶ τούτοις ὁ θρῆνος. Οὐ γὰρ ἔκρινον ὀρθῶς, οὔτε μὴν τοῖς θείοις εἰκοντες νόμοις, τὸ τῷ Θεῷ δοκοῦν ἀποπεραίνειν ἐσπούδαζον, ἦσαν δὲ μᾶλλον φιλοκερδεῖς, καὶ εὐκινότατοι, καὶ ᾗ φησιν ὁ προφήτης, « Οἱ κριταὶ αὐτῆς ὡς λύκοι τῆς Ἀραβίας. » Συνοδύρεσθαι δὲ ταύταις ἀναγκαῖόν πως ἦν καὶ τὰς ἑτέρας φυλάς, ἅτε δὴ τῶν ἡδίστων αὐταῖς ἐθῶν τε καὶ τόπων ἐκπεμπομένας, μᾶλλον δὲ καὶ αὐτοῦ θανάτου ἐπηρτημένου ταῖς σφῶν κεφαλαῖς, φθάνοντος δὲ ὥσπερ τῶν πολεμίων τὸ ξίφος καὶ αὐτοῦ τοῦ λιμοῦ.

CAP. XIII.

VERS. 1. *In die illa erit omnis locus apertus in domo David, et habitantibus Jerusalem, et in transmutationem et aspersionem.*

XCVI. Post hoc adventum Christi diligentibus eventura percurrit. Qui enim in sua incredulitate insolentius se gesserunt, obsidebuntur, inquit, et in miseriis suis ejulabunt. Ast in ea, quam mente spectamus, et vere sancta Hierosolyma [6], et in domo David, hoc est, Ecclesia, ubi ex semine David secundum carnem Christus apparuerit, « Omnis locus patebit, » hoc est, multa erit latitudo, et quasi remissum et laxum, optatissimumque et omni molestia solutissimum vivendi genus. Scias porro velim, in Hebræa editione sententiam hanc aliter exstare. Nam pro, « Erit omnis locus apertus, » ait, fore ut omnis fons scaturiat. Et probabile est admodum, etiam LXX interpretationem eodem tendere, quamvis verba secus habeant, ut quiddam ejusmodi significetur. Incredula nempe et recalcitrans, perversa et apostatrix Jerusalem, « quæ occidit prophetas, et lapidat eos qui ad eam missi sunt [7], » condignas audacia sua pœnas persolvet. Exscindetur enim, ceu malus punica. Habitantibus autem Jerusalem quæ intelligentia conspicitur, sive domum Juda, id est, Christi, « erit omnis locus apertus, » sive in omni loco fons, purgationis aqua manans, utique sacri baptismatis, ad utilitatem credentium, « et in transmutationem **787** et in aspersionem. » Quænam ista transmutatio? Judæorum ex institutione legali ad vitam in Christo,

ΚΕΦΑΛ. ΙΓ'.

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται πᾶς τόπος διανοιγόμενος ἐν τῷ οἴκῳ Δαβίδ, καὶ τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ, καὶ εἰς τὴν μετάκλησιν, καὶ εἰς τὸν ῥαντισμόν.

ΙϚ'. Ἐπιτρέχει τῷ λόγῳ τὰ μετὰ τοῦτο πάλιν ἐσόμενα τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν τοῦ Χριστοῦ. Οἱ μὲν γὰρ ταῖς ἀπειθείαις ἐξυβρικότες, ἐν πολιορκίαις ἔσονται, φησὶ, καὶ ἐπί γε τοῖς σφῶν αὐτῶν κατοιμώξουσι κακοῖς. Ἐν δέ γε τῇ νοητῇ καὶ ἁγίᾳ κατὰ τὸ ἀληθὲς Ἱερουσαλὴμ, καὶ ἐν τῷ οἴκῳ Δαβὶδ, τουτέστι τῇ Ἐκκλησίᾳ, τοῦ πεφηνότος ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα Χριστοῦ, « Πᾶς τόπος ἔσται διανοιγόμενος, » τουτέστι, πολλὴ τις εὐρυχωρία, καὶ οἷον ἀνειμένη δίαιτα τριπόθητος καὶ ἀπονωτάτη. Ἰστέον δὲ ὅτι τὸ ῥητὸν Ἑβραῖοι πάλιν ἑτέρως ἐκδεδώκασιν. Ἀντὶ γὰρ τοῦ, « Ἔσται πᾶς τόπος διανοιγόμενος, » πᾶσαν ἔσεσθαι πηγὴν ἀναβρύουσαν ἔφησαν αὐτοί. Καὶ εἰκός γε σφόδρα, καὶ τῆς ἑρμηνείας τῶν Ἑβδομήκοντα τὸν σκοπὸν εἰς τοῦτο αὐτὸ συντείνεσθαι, κἂν εἰ ἑτέρως ἔχοι τῆς τῶν ῥημάτων προφορᾶς ὁ τρόπος, ἵνα τι τοιοῦτον ᾖ τὸ δηλούμενον. Ἡ μὲν γὰρ ἀπειθὴς, καὶ ἐξήνιος Ἱερουσαλὴμ, ἡ πονηρά τε καὶ ἀποστάτις, « Ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτὴν, » τὰς τοῖς ἰδίοις τολμήμασιν ἀναλόγως ἐχούσας ἀποτίσει δίκας. Ἐκκοπήσεται γὰρ ῥοῶνος δίκην. Τοῖς γε μὴν οἰκοῦσι τὴν νοητὴν Ἱερουσαλὴμ, ἤτοι τὸν οἶκον Ἰούδα, τουτέστι Χριστοῦ, « Ἔσται πᾶς τόπος διανοιγόμενος, » ἤγουν ἐν παντὶ τόπῳ πηγὴ, τὸ τῆς καθάρσεως ὕδωρ ἀναβρύουσα, δῆλον δὲ ὅτι τοῦ ἁγίου βαπτίσματος, ὡς εἶναι χρήσιμον τοῖς πεπι-

[4] Jerem. XXIII, 16. [5] Sophon. III, 3. [6] Hebr. XII, 22. [7] Matth. XXIII, 37.

Digitized by Google

στευκόσι, « καὶ εἰς τὴν μετακίνησιν, καὶ εἰς τὸν ραντισμόν. » Καὶ τίς ἡ μετακίνησις; Ἰουδαίων μὲν ἐκ νομικῆς ἀγωγῆς εἰς πολιτείαν τὴν ἐπὶ Χριστῷ· ἀπὸ σκιᾶς εἰς ἀλήθειαν, ἐκ τύπου καὶ γράμματος, εἰς λατρείαν πνευματικήν. Ἕλλησι δὲ μετακίνησις τίς ἔσται; Ἐξ ἀπιστίας ἤκουσιν ἐπὶ τὸ πιστεῦσαι Χριστῷ· ἐξ ἀμαθείας τῆς πρώτης, εἰς ἐπίγνωσιν ἀκραιφνῆ τοῦ κατὰ ἀλήθειαν ὄντος Θεοῦ· ἀπὸ σκότους εἰς φωτισμόν. Μετακίνησις δὲ κοινὴ, παντὶ πρέπουσα τῷ κεκλημένῳ διὰ τῆς πίστεως, Ἰουδαίῳ τε καὶ Ἕλληνι, ἀπὸ τοῦ φρονεῖν τὰ σαρκὸς, ἐπὶ τὸ ἐλέσθαι ζῆν ὁσίως, καὶ καθαρῶς, καὶ περιπατεῖν ἐν πνεύματι, κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνήν· ἐκ τοῦ τιμᾷν τὰ ἐν κόσμῳ εἰς τὸ ἀγαπῆσαι τὰ ὑπερκόσμια. Ὅτι δὲ τὸ θεῖον καὶ ἱερὸν δεχόμενοι βάπτισμα ραντιζόμεθα τῷ αἵματι Χριστοῦ πρὸς ἀποκάθαρσιν ἁμαρτίας, πῶς ἂν ἐνδοιάσειέ τις; Οὐκοῦν ἡ ὁδὸς ἡ εἰς μετακίνησιν καὶ εἰς ραντισμὸν τοῖς ἐν τῷ οἴκῳ Ἰούδα, τὸ σωτήριον βάπτισμα, ἤτοι πᾶς τόπος καὶ ἀναβρύουσα τὸ τῆς καθάρσεως ὕδωρ.

A ab umbra ad veritatem, a typo et littera ad cultum spiritualem. Quænam autem Græcorum erit transmutatio? Ex incredulitate ad Christo credendum veniunt, et ex ignorantia maxima ad agnitionem puram veri Dei; a tenebris ad illuminationem. Transmutatio autem communis, cuilibet per fidem vocato conveniens, Judæo et Græco, a sapiendo ea quæ carnis sunt ad sancte ac pure vivendi et in spiritu ambulandi consilium, uti beatus Paulus hortatur [8]; ex admiratione eorum quæ in mundo sunt ad diligenda quæ supra mundum sunt. Divinum porro et sacrum baptisma suscipientes nos aspergi sanguine Christi ad expurgationem peccati, quis dubitet? Ergo via ad transmutationem et aspersionem domum Juda habitantibus salutare baptisma B est, sive omnis locus apertus, sive omnis fons dilatatus, et purgationis seu expiationis aqua scaturiens.

διανοιγόμενος, ἤγουν πᾶσα πηγὴ κατευρυνομένη τε

Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος Σαβαὼθ, ἐξολοθρεύσω τὰ ὀνόματα τῶν εἰδώλων ἀπὸ τῆς γῆς, καὶ οὐκέτι ἔσται αὐτῶν μνεία. Καὶ τοὺς ψευδοπροφήτας, καὶ τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐξαρῶ ἀπὸ τῆς γῆς.

VERS. 2. *Et erit in die illa, dicit Dominus Sabaoth, disperdam nomina idolorum de terra, et non erit ultra eorum memoria. Et pseudoprophetas, et spiritum immundum auferam de terra.*

ιζ'. Πάντα πρὸς τὸ ἄμεινον μετακεχώρηκεν ἐν Χριστῷ, καὶ καινὴ κτίσις τὰ ἐν Χριστῷ, τῆς ἀρχαίας σαθρότητος ἀποβαλόντα τὸν μῶμον. Ἀτρεκῆ δὲ ὄντα τὸν ἐπὶ τῷδε λόγον κατίδοι τις ἂν ἐξ αὐτῶν, εἰ βούλοιτο, τῶν πραγμάτων. Πρὸ μὲν γὰρ τῶν τῆς ἐπιδημίας καιρῶν, οὔπω καθ' ἡμᾶς γεγονότος τοῦ Μονογενοῦς, οὔτε μὴν τῷ θείῳ φωτὶ τὰ πάντα περιαστράπτοντος, ἀχλὺς ἦν ἔτι, καὶ σκότος ἐν ταῖς τῶν ἐθνῶν καρδίαις. Ἐλάτρευον γὰρ εἰδώλοις, καὶ δυσβουλίας εἰς τοῦτο κατώλισθον, ὡς ξύλοις, καὶ λίθοις ἀναθεῖναι τὸ σέβας, καὶ τοῖς ἀκαθάρτοις δαίμοσι τὰς Θεῷ πρεπούσας ἀνάπτειν τιμάς. Καὶ ταυτὶ μὲν τῆς τῶν πλανωμένων ἀβελτηρίας τὰ ἐγκλήματα. Παρὰ δέ γε τῷ Ἰσραὴλ, ὃς καὶ ἀπόδεκτος, καὶ μερὶς Κυρίου, κατὰ τὸ γεγραμμένον, σχοινισμά τε κληρονομίας αὐτοῦ, τοσαύτη τις ἦν ἠθῶν τε καὶ τρόπων ἐξιτηλία, ὡς ὀλίγου μὲν ἀξιοῦσθαι λόγου, καίτοι πρὸς ἐπικουρίαν αὐτοῖς δοθέντα τὸν νόμον, καὶ οὐκ ἀνικάνως ἔχοντα πρὸς παιδαγωγίαν τὴν ἐπί γε τῷ χρῆναι βιοῦν ὀρθῶς, ἀπονεῦσαι δὲ μᾶλλον πρὸς τὸ δεῖν ἀβούλως ταῖς τῶν ἐθνῶν ἀποκομίζεσθαι πλάναις, καὶ ταῖς τῶν ὁμήρων δεισιδαιμονίαις στοιχεῖν. Προσέκειντο μὲν γὰρ, καὶ λίαν ἐκτόπως, τοῖς τῶν ψευδωνύμων προφητῶν μαντεύμασιν. Οἱ μὲν γὰρ τῶν εἰδώλων θεραπευταὶ, τοῖς βεβήλοις τεμένεσι προσιζήσαντες, χρησμολόγοι τε ἦσαν, καὶ ψευδοεπεῖς· οἱ δὲ καὶ τὸ, « Ζῇ Κύριος, » ἐπὶ γλώττης ἔχοντες, καὶ εὐσεβεῖν ὑποπλαττόμενοι, καὶ οἷον προβάτου δορᾷ τὸν λύκον ἐπισκιάζοντες, τὸ τῆς προφητείας ὄνομά σφισιν αὐτοῖς περιτιθέντες οἱ τάλανες, καὶ τὴν ἐπὶ τούτῳ δόξαν ἀνοσίως ἁρπάζοντες, ἀπηρεύγοντο τὸ δοκοῦν, καὶ τοὺς τῆς αὐτῶν καρδίας λογισμοὺς, θείαν ἔφασκον

XCVII. Omnia in statum meliorem migrarunt in Christo, et quæ in eo sunt nova creatura [9], marcoris antiqui abjecto dedecore. Ac verborum quidem istorum veritatem ex ipsis quoque rebus quispiam perspexerit. Ante tempora enim adventus, quando C nondum corpus ullum induerat Unigenitus, neque divino lumine omnia collustrabantur, adhuc caligo et tenebræ in cordibus gentium erant. Colebant enim simulacra, eoque stultitiæ descenderant ut ligna et lapides divinis cæremoniis afficerent, et immundis dæmonibus Deo congruentes honores impenderent. Et hæc quidem errantium vesaniæ crimina fuerunt. Apud Israelem vero acceptum illum, et partem Domini, sicut scriptum est [10], et funiculum hæreditatis ejus, tanta erat consuetudinum atque morum fatuitas, ut legem, quamvis ad auxilium sibi datam, nec ad institutionem vitæ in Christo probatæ insufficientem parvipenderent, potiusque ad gentium errores sequendos stolide declinarent, finitimarumque superstitiones **788** amplecterentur. D Falsorum enim prophetarum vaticiniis absurdissime inhærebant. Quorum alii idolorum ministri profanis templis assidentes, et oracula et mendacia loquebantur: alii, « Vivit Dominus » in lingua habentes, et pietatem simulantes et tanquam ovilla pelle lupum contegentes, prophetarumque appellationem sibi ipsis arrogantes, miseri, et gloriam ejus nefarie rapientes, quod libebat eructabant, et sensa cordis sui divinum esse consilium autumabant. Super hujusmodi tam projecte audacibus etiam prophetæ Jeremias universorum Dominum Deum ita compellat: « Qui es, Domine, ecce prophetæ pro-

[8] Rom. VIII, 4 seqq. [9] II Cor. V, 17. [10] Deut. XXXII, 9.

Digitized by Google

phetant, et dicunt : Non videbitis gladium, et fames non erit in vobis, quia veritatem et pacem dabo in terra, et in loco isto [11]. » Et ad hæc Deus : « Falsa prophetæ prophetant in nomine meo. Non misi eos, et non mandavi eis, et non sum locutus ad eos, et visiones mendaces, et divinationes, et auguria, et electiones cordis sui ipsi locuti sunt ad eos, et ipsi locuti sunt eis, et ipsi prophetabant [12]. » Mendaciloqui enim erant, ut dixi, et turpibus victi quæsticulis, de corde suo audientibus loquebantur, ut scriptum est, « et non de ore Domini [13]. » Deinde cum Judæos istud iniquo animo ferre oporteret, illi contra eos venerabantur, et supremis honoribus exornare studebant. Postquam autem aliquando unigenitum Dei Verbum nobis apparuit, inepta et puerilia idololatriæ ludicra prorsus evanuerunt et exstincta sunt, et sublatum cum ea nefarium quoque et impium pseudoprophetarum studium qui maligno et immundo spiritu pleni erant, et cum idolorum cultoribus germano ac simili errore infecti verissime coargui potuissent. Unus quippe ambobus impietatis præses, nimirum Satanas. Ait igitur : « Tollam de terra nomina idolorum, et non erit memoria illorum in die illa [14], » hoc est, illo tempore, quo divinum et cœleste lumen splenduerit, et in errantium cordibus Lucifer, quem intelligentiæ oculo videmus, exortus fuerit, ut scriptum est, et diluxerit dies, antiqua nocte et quæ in ea fiebant repulsis, ut, veteri immunditia sublata, athletæ et sancti adoratores de cætero conversationis sanctæ ornamentis instructi, vitam in Christo suspicere videantur.

A εἶναι βουλήν. Περὶ τῶν τὰ τοιάδε τολμᾷν εἰωθότων καὶ ὁ προφήτης ἔφασκεν Ἱερεμίας, πρὸς τὸν τῶν ὅλων κατεξουσιάζοντα Θεόν· « Ὁ ὢν, Κύριε, ἰδοὺ οἱ προφῆται αὐτῶν προφητεύουσι, καὶ λέγουσιν· Οὐκ ὄψεσθε μάχαιραν, καὶ λιμὸς οὐκ ἔσται ἐν ὑμῖν, ὅτι ἀλήθειαν καὶ εἰρήνην δώσω ἐπὶ τῆς γῆς, καὶ ἐν τῷ τόπῳ τούτῳ. » Καὶ πρός γε ταῦτα Θεός· « Ψευδῆ οἱ προφῆται προφητεύουσιν ἐν τῷ ὀνόματί μου. Οὐκ ἀπέστειλα αὐτοὺς, καὶ οὐκ ἐνετειλάμην αὐτοῖς, καὶ οὐκ ἐλάλησα πρὸς αὐτοὺς, καὶ ὁράσεις ψευδεῖς, καὶ μαντείας, καὶ οἰωνίσματα, καὶ προαιρέσεις καρδίας αὐτῶν, αὐτοὶ ἐλάλησαν πρὸς αὐτοὺς, καὶ αὐτοὶ προεφήτευον. » Ψευδοεπεῖς γὰρ ἦσαν, ὡς ἔφην, καὶ λημματίων αἰσχρῶν ἠττώμενοι, προσελάλουν τοῖς ἀκροωμένοις τὰ ἀπὸ καρδίας αὐτῶν, καθὰ γέγραπται, καὶ B οὐκ ἀπὸ στόματος Κυρίου. Εἶτα δέον ἐπὶ τούτοις ἀγανακτεῖν Ἰουδαίους, ἐκ τῶν ἐναντίων ἐποιοῦντο σεπτοὺς, καὶ τιμαῖς ταῖς ἀνωτάτω στεφανοῦν ἐσπούδαζον. Ἐπεὶ δὲ λοιπὸν ἐπέφανεν ἡμῖν ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ᾖχετο μὲν εἰς ἅπαν, καὶ ὠλόθρευτο παντελῶς τὰ ψυχρὰ καὶ μειρακιώδη τῆς εἰδωλολατρείας ἀθύρματα, συνεξῄρηται δὲ αὐτῇ καὶ τὸ ἔκτοπόν τε καὶ δυσσεβὲς ἐπιτήδευμα τῶν ψευδοπροφητῶν, οἳ πονηροῦ καὶ ἀκαθάρτου πνεύματος ἔμπλεῳ ἦσαν, καὶ τοῖς τῶν εἰδώλων θεραπευταῖς ἀδελφὴν καὶ γείτονα νοσοῦντες τὴν πλάνησιν καταφωραθεῖεν ἄν, καὶ μάλα ὀρθῶς. Εἷς γὰρ ἀμφοῖν τῆς δυσσεβείας ὁ ἐπιστάτης, τουτέστιν ὁ Σατανᾶς. « Ἐξαρῶ τοίνυν, φησὶν, ἀπὸ τῆς γῆς τὰ ὀνόματα τῶν εἰδώλων, καὶ οὐκ ἔσται αὐτῶν μνεία ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, » τουτέστι, κατ' C ἐκεῖνον τὸν καιρὸν καθ' ὃν ἂν τὸ θεῖον καὶ ἐπουράνιον λάμψῃ φῶς, καὶ ἐν ταῖς τῶν πλανωμένων καρδίαις ὁ νοητὸς ἑωσφόρος ἀνατείλῃ, κατὰ τὸ γεγραμμένον, διαυγάσῃ δὲ ἡμέρα, τῆς πάλαι νυκτὸς ἀπελημένης, καὶ τῶν ἐν αὐτῇ δρωμένων· ἵνα, τῆς ἀρχαίας ἀκαθαρσίας ἐξῃρημένης, οἱ ἀθληταὶ καὶ ἅγιοι προσκυνηταὶ φαίνοιντο λοιπὸν τῆς εὐαγοῦς πολιτείας ἀνημμένοι τὰ αὐχήματα, καὶ τὴν ἐν Χριστῷ τιμῶντες ζωήν.

789 VERS. 3. *Et erit, si prophetaverit homo ultra, et dicet ad eum pater et mater ejus qui genuerunt eum : Non vives, quoniam mendacium locutus es in nomine Domini, et compedient eum pater ejus et mater ejus qui genuerunt eum, cum prophetaret ipse.*

Καὶ ἔσται, ἐὰν προφητεύσῃ ἄνθρωπος ἔτι, καὶ ἐρεῖ πρὸς αὐτὸν ὁ πατὴρ καὶ ἡ μήτηρ αὐτοῦ οἱ γεννήσαντες αὐτόν· Οὐ ζήσῃ, ὅτι ψευδῆ ἐλάλησας ἐν ὀνόματι Κυρίου, καὶ συμποδιοῦσιν αὐτὸν ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ οἱ γεννήσαντες αὐτὸν ἐν τῷ προφητεύειν αὐτόν.

XCVIII. Tanta reverentia illius sæculi mortales numen prosequentur, inquit, adeoque de perfecta probitate et vita laudabili erunt solliciti, ut etiam parentes ipsi ad zelum et iram adversum liberos exacuantur, quod cum falsa dicant, se prophetare fingant, et de corde suo loquantur, quasi Deus ad ipsos verba fecisset. « Compedibus, inquit, implicabunt eum, » hoc est, ut amentem et insanum vincient, morasque tollentes, morti eum destinabunt, si in hoc morbo fixe impudenterque manserit. Satis enim est illis ad quodvis supplicium in filium decernendum, quod falsa in nomine Domini locutus sit. Vide autem quam vere hoc dictum sit, et quam stabilem mereatur fidem prædictio. Quis enim nostrum toleraverit hodie sic prophetantem quem-

ΚΗ'. Τοσαύτη τις ἔσται περὶ τὸ θεῖον αἰδὼς τῶν D τηνικάδε, φησὶ, φροντιοῦσι δὲ οὕτω τῆς εἰς ἄκρον ἐπιεικείας καὶ ἀξιαγάστου ζωῆς, ὥστε καὶ γονέας αὐτοὺς ἰδίοις ἐπιθήγεσθαι τέκνοις ζηλοῦν, τὸ τοὺς ψευδοεπεῖς προφητεύειν ἀποπλαττομένους, καὶ ἀποφθέγξοιντο τὰ τῶν ἀπὸ καρδίας, ὡς Θεοῦ λελαληκότος. « Συμποδιοῦσι γὰρ αὐτὸν, » φησὶ, τουτέστι, καταδεσμεύσουσιν ὡς ἔκφρονά τε καὶ μεμηνότα, μελλήσαντες δὲ οὐδὲν, καθοριοῦσιν αὐτοῦ τὸν θάνατον, εἰ ἔμμονόν τε καὶ ἀναιδῆ τὴν ἐπὶ τῷδε ποιοῖτο νόσον. Ἀπόχρη γὰρ αὐτοῖς εἰς τὸ δεῖν ἅπασαν τοῦ παιδὸς καθορίσαι δίκην τόδε, ὅτι ψευδῆ λελάληκεν ἐν ὀνόματι Κυρίου. Ἄθρει δὲ ὥσπερ ἐστὶν ἀληθὴς ὁ λόγος, καὶ τὸ βέβαιον εἰς πίστιν ἡ προαναφώνησις ἔχει. Τίς γὰρ τῶν καθ' ἡμᾶς διακαρτερήσειεν ἂν ἐν

[11] Ezech. xiv, 13. [12] Ibid. 14. [13] Jerem. xxiii, 16. [14] II Petr. i, 19.

Digitized by Google

τῷ νῦν καιρῷ προφητεύοντός τινος; ἢ πῶς οὐκ ἐξεστηκότα λογιεῖται μὲν τὸν τοιοῦτον εὐθὺς, ὧδέ τε ἔχοντα γνώμης πῶς οὐκ ἂν ποιήσαιτο στυγητόν; Ποῖος δὲ πατὴρ ἀνεπίπληκτον ἐάσει τέκνον, εἰ τοῖς οὕτω δεινοῖς ἐναλοίη πλημμελήμασιν; Ἀπόδειξις οὖν ἄρα, καὶ μάλα σαφὴς γένοιτο ἂν, οἶμαι, τουτὶ τῆς εἰς Θεὸν εὐσεβείας, ὅτε πολὺ πρὸς τὸ ἄμεινον ἡ τῶν καθ' ἡμᾶς πραγμάτων μετακεχώρηκε φύσις, Θεοῦ μεταπλάττοντος εἰς τὸ αὐτῷ δοκοῦν καὶ εἰς τὸ εὖ ἔχον ἢ πρίν. Καὶ γοῦν τὰ πάλαι τιμώμενα καὶ παρὰ πολλοῖς ἀξιάγαστα, νῦν εἰσι στυγητὰ καὶ ἐπάρατα καὶ τοῖς ἐπιεικέσιν οὐκ ἀνεκτὰ καὶ τοῦ κολάζεσθαι δεῖν οὐκ ἠμοιρηκότα.

Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καταισχυνθήσονται οἱ προφῆται ἕκαστος ἐκ τῆς ὁράσεως αὐτοῦ ἐν τῷ προφητεύειν αὐτόν, καὶ ἐνδύσονται δέρριν τριχίνην, ἀφ' ὧν ἐψεύσαντο, καὶ ἐρεῖ· Οὐκ εἰμὶ προφήτης ἐγὼ, διότι ἄνθρωπος ἐργαζόμενος τὴν γῆν ἐγώ εἰμι, ὅτι ἄνθρωπος ἐγέννησέ με ἐκ νεότητός μου. Καὶ ἐρῶ πρὸς αὐτόν· Τί αἱ πληγαὶ αὗται ἀναμέσον τῶν χειρῶν σου; Καὶ ἐρεῖ· Ἃς ἐπλήγην ἐν τῷ οἴκῳ τοῦ ἀγαπητοῦ μου.

ΡΗΘ'. Ὅτι καὶ ποινῆς καὶ δίκης ἄξια τέθεινται παρ' ἡμῖν τὰ πάλαι τεθαυμασμένα, καὶ ἐκ τῆς τῶν προκειμένων ἐννοίας ἀταλαίπωρον ἰδεῖν. Προεφήτευον μὲν γὰρ, ὡς ἔφην, ἐν τῷ Ἰσραὴλ οἱ ψευδοεπεῖς τε καὶ φένακες, καὶ πλανᾶν εἰωθότες ἕνεκεν « ὀρακὸς κριθῆς καὶ κλάσματος ἄρτου, » κατὰ τὸ γεγραμμένον. Εἶτα τοιαῦτα τολμῶσιν ἐκείνοις ἐπέπληττε μὲν οὐδείς, οὐδ' ἀπείργειν ἤθελεν ὡς δυσσεβεῖν ᾠηρημένους, ἐπαίνοις δὲ μᾶλλον αὐτοὺς, καὶ ταῖς ἀνωτάτω τιμαῖς στεφανοῦν ἠξίουν οἱ τάλανες. Ταύτῃ τοι κἀκεῖνοι πρὸς τὸ χεῖρον ἤεσαν, τρεφομένης ὥσπερ αὐτοῖς τῆς νόσου διὰ τῆς τῶν τεθαυμακότων αὐτοὺς ἐλαφρίας. Ἐν δὲ τῷ νῦν καιρῷ καταισχυνθήσεσθαί φησιν αὐτοὺς, οὐ παραδεχθείσης δηλονότι τῆς ψευδοπροφητείας, ἐπιτετιμημένης δὲ μᾶλλον, καὶ ἐξ αὐτῶν τῶν τὰ τοιάδε τολμᾶν εἰωθότων τὰς τῆς ἀπονοίας ἐξαιτουμένων δίκας, ὡς ἐλεγχθέντας εὐθὺς καὶ ἀποσχέσθαι τοῦ κακοῦ, καὶ δέρριν ἐνδύσασθαι τριχίνην, ἀφ' ὧν ἐψεύσαντο, τουτέστι, πενθεῖν ἐπὶ τῷ κακῷ καὶ ἐπὶ τῇ πλημμελείᾳ κατολοφύρεσθαι, μεταγινώσκοντας ὅτι λογισμῶν εἰς τοῦτο κατώλισθον ἀμαθίας, ὡς ψευδοεπῆσαι κατὰ Θεοῦ, ἐρυθριῶντας δὲ ὅλως οὐδὲν, ὁμολογῆσαί τε τὴν ἁμαρτίαν, καὶ συγγνώμην ἐξαιτῆσαι, λέγοντας σαφῶς· « Οὐκ εἰμὶ προφήτης ἐγὼ, ὅτι ἄνθρωπος ἐγέννησέ με, ἐκ νεότητός μου, » τουτέστιν, ὅτι ἀνθρώπου γέγονα τέκνον. Ἀσθενὴς δὲ λίαν ἡ φύσις καὶ εὐπάροιστος κομιδῇ πρὸς τὸ μὴ ἔχον ὀρθῶς καὶ ἑτοιμοτρεπὴς εἰς ἁμαρτίαν. Εἶεν δ' ἂν αἱ τοιαίδε μετανοούντων φωναί. Εἰ δὲ δὴ βουλοίμην αὐτὸν ἑρέσθαι, φησὶ, Τί τὸ χρῆμα τῶν ἐν χερσὶν ὁρωμένων τραυμάτων ἤτοι πληγῶν; ἀποκρινεῖται πάλιν, ὅτι « Ἃς ἐπλήγην ἐν τῷ οἴκῳ τοῦ ἀγαπητοῦ μου, » συμποδισάντων αὐτὸν δηλονότι πατρὸς καὶ μητρὸς, καὶ τὰ τῆς προπετείας ἐξητηκότων δίκας. Οἶκος γὰρ

A pium? aut quomodo non de mente ac sanitate deturbatum statim reputabit talem, et sic affectum quomodo non aversabitur? Quis autem pater filium teterrimorum maleficiorum compertum inobjurgatum relinquet? Potest igitur hoc, meo judicio, evidentissima esse demonstratio pietatis in Deum, quando rerum nostrarum natura multum ad meliora processit, Deo illam ad voluntatem suam flectente, et in conditionem pristina meliorem transformante. Quare quæ olim erant in pretio et a multis suspiciebantur, nunc odiosa et exsecranda et bonis intoleranda ac supplicio obnoxia sunt.

B VERS. 4-6. *Et erit in die illa, confundentur prophetæ, unusquisque ex visione sua dum prophetaverit ipse, et induentur pelle cilicina, pro eo quod mentiti sunt, et dicet: Non sum propheta ego, quia homo colens terram ego sum, quia homo genuit me a juventute mea. Et dicam ad eum: Quid plagæ istæ in medio manuum tuarum? Et dicet: Quibus percussus sum in domo dilecti mei.*

790 XCIX. Pœna et ultione digna a nobis æstimata, quæ quondam magni ducebamus, etiam ex propositorum verborum sententia videre, nihil est negotii. Prophetabant enim, ut dixi, in Israel mendaces, plani et impostores, et propter « pugillum hordei frustulumque panis, » sicut scriptum est [18], seducere soliti. Quæ cum designarent, nemo erat C qui eos reprehenderet aut tanquam impios coercere vellet: quinimo laudibus potius et amplissimis honoribus miseri dignabantur. Quare et illi deteriores evadebant, cum eorum morbum venerantium levitas aleret. Hoc autem tempore eos confusum iri dicit, repudiata nimirum pseudoprophetia, seu potius accusata, et pœnis amentiæ a tam impudentibus repetitis, ut correpti mox et scelere abstineant et pellem cilicinam induant, pro eo quod mentiti sint, hoc est, propter improbitatem suam lugeant et propter delictum lamententur, pœnitentes quod in cogitationes adeo insipientes devenerint, ut perfricta fronte contra Deum falsa proloquerentur, peccatumque suum confiteantur, et veniam poscant, dicentes aperte: « Non sum propheta ego, quia homo genuit me a juventute mea, » D hoc est, quia hominis natus sum filius. Infirma est autem natura vehementer et ad pravitatem facillime detorquetur et ad peccatum nullo negotio flectitur. Voces itaque pœnitentium hujuscemodi esse queunt. Quod si velim ipsum interrogare, inquit, Quid sunt quæ in manibus cernuntur vulnera seu plagæ? respondebit rursum: « Quibus percussus sum in domo dilecti mei, » vinculis eum scilicet patre et matre constringentibus et temeritatem plectentibus. Domus enim dilecti unicuique nostrum est domus parentum. Quamobrem quanta veterum

[18] Ezech. XIII, 19.

Digitized by Google

recentiumque rerum differentia sit, tecum reputa. Ferebantur enim in oculis falsi prophetæ, gloriaque et opinione bona florebant, nec eos talia agentes facti pœnitebat. Ast præsenti tempore, si qui eorum sequi vaticinia voluerint, increpantur et confunduntur, et parentum calculis ad pœnam vocantur, resipiscunt, ut qui peccarint, lugent, plorant, humanæ naturæ imbecillitatem proclivitatemque ad peccandum confitentes. **791** De terra enim spiritus immundus Salvatoris nostri Jesu Christi virtute potestateque sublatus est.

A ἀγαπητοῦ, ἑκάστῳ τῶν καθ' ἡμᾶς, ὁ τῶν γεγεννηκότων. Ὅρα τοίνυν ὅση τίς ἐστιν ἡ τῶν πάλαι καὶ νῦν πραγμάτων διαφορά. Ἐθαυμάζοντο μὲν γὰρ οἱ παρ' ἐκείνοις ψευδοπροφῆται, καὶ ἦσαν ἐν δόξῃ καὶ ὑπολήψει χρηστῇ, καὶ ταῦτα δρῶντες οὐδὲ μετεμέλοντο. Κατὰ δέ γε τὸν ἐνεστηκότα καιρὸν, εἰ δή τινες ἕλοιντο ταῖς ἐκείνων μαντείαις κατακολουθεῖν, ἐπιτιμῶνται καὶ καταισχύνονται, καὶ ταῖς τῶν γεγεννηκότων κολάζονται ψήφοις, μεταγινώσκουσιν ὡς ἡμαρτηκότες, πενθοῦσι καὶ κλαίουσι, τὴν τῆς ἀνθρωπείας φύσεως ὁμολογοῦντες ἀσθένειαν καὶ τὸ εὐόλισθον εἰς ἁμαρτίαν.

Ἀνῄρηται γὰρ τὸ πνεῦμα τὸ ἀκάθαρτον ἀπὸ τῆς γῆς τῇ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ δυνάμει τε καὶ ἐξουσίᾳ.

VERS. 7. *Rhomphæa, consurge super pastorem meum et super virum civem ejus, dicit Dominus omnipotens. Percute pastorem, et dispergentur oves, et inducam manum meam super pastores.*

B Ῥομφαία, ἐξεγέρθητι ἐπὶ τὸν ποιμένα μου καὶ ἐπ' ἄνδρα πολίτην αὐτοῦ, λέγει Κύριος παντοκράτωρ. Πάταξον τὸν ποιμένα, καὶ διασκορπισθήσεται τὰ πρόβατα, καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ τοὺς ποιμένας.

C. Deus et Pater proprium Filium suum pro nobis tradidit [16], dispensatorie sinens, quamvis Deum et ex se naturaliter inexplicabili modo generatum, et in forma servi venire, et hominem nobis similem fieri [17], et crucem sustinere, ut mundo salutem restitueret, et Satanæ in omnes dominatum eruerat, et impuram idololatriam everteret et vaticinationem, pseudoprophetas et imposturas ex suo cuiusque corde profectas aboleret, auferret item spiritum immundum de terra, et mundum præterea constitueret formaretque, seductos ad divinitatis C agnitionem transferens, eosque ad pias et honestas vitæ rationes et ad opinionem omnigenæ virtutis de se præbendam impellens. Hanc ob causam mortem super ligno, quanquam ignominiosissimam, pertulit, confusione contempta, cum sic ipsi Deo et Patri videretur [18]. Et tale quiddam nobis ipse Filius subostendit cum ait: « Quia descendi de cœlo, non ut faciam voluntatem meam, sed voluntatem ejus qui misit me. Hæc est autem voluntas ejus qui misit me, ut omne quod dedit mihi non perdam ex eo, sed resuscitem illud in novissimo die [19]. » Et ut divinus Paulus scribit: « Propterea Christus mortuus est et revixit, ut mortuorum et vivorum dominaretur [20]. » Posuit igitur animam suam libens pro nobis [21], tantum non etiam eum ut hominem voluntate sua Deo et Patre tradente, et velut permittente, ut dixi, illum sanguine suo omnium vitam emere. Itaque Servator, Pilato arbitrante se in ipsum habere potestatem, occurrit ita: « Non haberes potestatem adversum me ullam, nisi tibi datum esset desuper [22]. » Postquam igitur ore prophetæ prænuntiavit rerum humanarum in melius commutationem fore maximam, ubi ille mortem in corpore pertulerit, quasi festinat tempus ostendere, quo hæc futura sint, et perpetrari passionis mysterium jubet, ipsam rhomphæam adhortans, ac dicens: « Consurge super pastorem meum, et super virum civem **792** ejus,

Π'. Δέδωκεν ὑπὲρ ἡμῶν τὸν ἴδιον Υἱὸν ὁ Θεὸς καὶ Πατὴρ, ἐφεὶς οἰκονομικῶς, καίτοι Θεὸν ὄντα καὶ ἐξ αὐτοῦ κατὰ φύσιν ἀπορρήτως γεγεννημένον, καὶ ἐν τῇ τοῦ δούλου μορφῇ καθικέσθαι, καὶ ἄνθρωπον γενέσθαι καθ' ἡμᾶς, καὶ ἀνατλῆναι σταυρὸν, ἵνα σώσῃ τὸν κόσμον, καὶ ἀποστήσῃ τῆς κατὰ πάντων πλεονεξίας τὸν Σατανᾶν, καθέλῃ δὲ καὶ τὴν βέβηλον εἰδωλολατρείαν, καὶ καταργήσῃ μαντείαν, ψευδοπροφήτας τε καὶ τοὺς ἐκ καρδίας φενακισμοὺς, ἐξάρῃ δὲ καὶ τὸ πνεῦμα τὸ ἀκάθαρτον ἀπὸ τῆς γῆς, καὶ πρός γε δὴ τούτοις, ἵνα καταστήσηται τὴν ὑπ' οὐρανὸν, μετατιθεὶς εἰς θεογνωσίαν τοὺς πεπλανημένους, ἀναπείθων ἑλέσθαι τὴν εὐσεβῆ καὶ εὐσχήμονα πολιτείαν καὶ πᾶν εἶδος ἀρετῆς ὁρᾶσθαι τετιμηκότας. Ταύτης οὖν ἕνεκα τῆς αἰτίας τὸν ἐπὶ ξύλου θάνατον, καίτοι πολὺ λίαν ἔχοντα τὸ δυσκλεὲς, ὑπέμεινεν, αἰσχύνης καταφρονήσας, οὕτω καὶ αὐτῷ δοκοῦν τῷ Θεῷ καὶ Πατρί. Καίτοι τοιοῦτον ἡμῖν ὑποφαίνει λέγων αὐτὸς ὁ Υἱός· « Ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με. Τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶν ὃ δέδωκέ μοι μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ ἀναστήσω αὐτὸ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. » Καὶ ὥσπερ ὁ θεσπέσιος γράφει Παῦλος, « Διὰ τοῦτο Χριστὸς ἀπέθανε καὶ ἀνέζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ. » D Τέθεικε τοίνυν ἑκὼν ὑπὲρ ἡμῶν τὴν ψυχὴν, μόνον δὲ οὐχὶ καὶ παραδόντος αὐτὸν ὡς ἄνθρωπον ἰδίῳ νεύματι τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ οἷον ἐφιέντος, ὡς ἔφην, αἵματι τῷ ἰδίῳ τὴν ἁπάντων πρίασθαι ζωήν. Καὶ γοῦν ὁ Σωτὴρ, οἰηθέντος Πιλάτου κατεξουσιάζειν αὐτοῦ, προσυπήντα λέγων· « Οὐκ εἶχες ἐξουσίαν οὐδεμίαν κατ' ἐμοῦ, εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν. » Προαφηγησάμενος τοίνυν διὰ τῆς τοῦ προφήτου φωνῆς ὡς πλείστη τις ἔσται τῶν ἀνθρωπίνων πραγμάτων ἐπὶ τὸ ἄμεινον καταδρομὴ, παθόντος αὐτοῦ τὸν ἐν σαρκὶ θάνατον, μονονουχὶ καὶ ἐπισπεύδει τοῦ καιροῦ τὴν ἀνάδειξιν, καθ' ὃν ἔσται ταῦτα, καὶ ἐνεργεῖσθαι προστάττει τὸ ἐπὶ τῷ πάθει μυστήριον, αὐτῇ

[16] Rom. VIII, 32. [17] Philipp. II, 6-8. [18] Hebr. XII, 2 seqq. [19] Joan. VI, 38, 39. [20] Rom. XIV, 8, 9. [21] I Joan. III, 16. [22] Joan. XIX, 11.

Digitized by Google

τῇ ῥομφαίᾳ παρεγγυῶν τε καὶ λέγων· « Ἐξεγέρθητι ἐπὶ τὸν ποιμένα μου, καὶ ἐπ' ἄνδρα πολίτην αὐτοῦ, λέγει Κύριος παντοκράτωρ. » Καὶ ῥομφαίαν μὲν ἐν τούτοις καταδηλοῦσθαί φαμεν ὡς ἐν εἴδει μαχαίρας τὸν πειρασμὸν, ἢ καὶ αὐτὸ τὸ πάθος, τὸ ἐκ τῆς Ἰουδαίων ἀπονοίας ἐπενηνεγμένον τῷ Ἐμμανουήλ. Ἔοικε γὰρ συνιέναι τε οὕτω καὶ μὴν καὶ εἰπεῖν ὁ δίκαιος Συμεών, ὅτε προσεκόμιζεν ὀκταήμερον τὸν Ἰησοῦν ἡ ἁγία Θεοτόκος. « Καὶ σοῦ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία. » Μόνον γὰρ οὐχὶ ῥομφαίᾳ κατεσφάζετο, σταυρούμενον ὁρῶσα τὸν ἐξ αὐτῆς γεννηθέντα κατά γε τὴν σάρκα φημί. « Ὦ τοίνυν ῥομφαία, ἐξεγέρθητι, φησὶν, ἐπὶ τὸν ποιμένα μου, » τουτέστιν, ἐξηγείσθω λοιπὸν τὸ σωτήριον πάθος, καὶ ὁ τῆς τῶν ἀγαθῶν ἀναδείξεως ἥκετω καιρός. Ἔστι μὲν γὰρ ἐφ' ἡμᾶς ἀρχιποίμην ὁ Χριστὸς, καὶ ὑπ' αὐτῷ ἐσμεν πάντες οἱ πεπιστευκότες, πλὴν οὐκ ἔξω χειρὸς τῆς τοῦ Θεοῦ καὶ Πατρός. Κατάρχει γὰρ ἡμῶν ἐν Υἱῷ, δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ σεσώσμεθα, καὶ δι' αὐτοῦ ἐσχήκαμεν τὴν προσαγωγήν. Καὶ γοῦν ἔφασκεν ὁ Σωτήρ· « Τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει, κἀγὼ γινώσκω αὐτὰ, καὶ ἀκολουθοῦσί μοι, κἀγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς, καὶ οὐ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα, καὶ οὐχ ἁρπάσει τις αὐτὰ ἐκ τῆς χειρός μου. Ὁ Πατήρ μου ὃς δέδωκέ μοι, μείζων πάντων ἐστὶ, καὶ οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ Πατρός μου. Ἐγὼ καὶ ὁ Πατήρ μου ἕν ἐσμεν. » Ἴδιος οὖν ἄρα τοῦ Θεοῦ καὶ Πατρὸς ποιμὴν ὁ Υἱὸς, οὐκ ἀλλότρια κατανέμων θρέμματα, τὰ ἑαυτοῦ δὲ μᾶλλον καὶ τοῦ Πατρὸς, οὐκ ἰδίων αὐτοῦ νοουμένων τῶν μισθωτῶν ποιμένων, οἳ κατέσφαζον μὲν τὰ πρόβατα, φειδοῦς ἁπάσης ἐξῃρημένης. Ἔλεγον δὲ καὶ πωλοῦντες αὐτά· « Εὐλογητὸς Κύριος, καὶ πεπλουτήκαμεν. » Πολῖται δὲ, ἤγουν οἰκεῖοι καὶ γνώριμοι τοῦ ἀγαθοῦ ποιμένος, οἱ ὑπ' αὐτῷ τεταγμένοι, καὶ πρό γε τῶν ἄλλων οἱ θεσπέσιοι μαθηταὶ, οἳ καὶ παταχθέντος τοῦ ποιμένος κατεσκίδναντο καὶ πεφεύγασιν. Ἐπειδὴ γὰρ ἦκον τῶν Ἰουδαίων οἱ ὑπηρέται, καὶ σὺν αὐτοῖς ὁ προδότης ὁμοῦ τῇ σπείρᾳ συλλῃψόμενοι τὸν Ἰησοῦν, « Πάντες ἀφέντες αὐτὸν, ἔφυγον· » ἔφη γὰρ οὕτω τὸ Γράμμα τὸ εὐαγγελικόν. Ὅτι δὲ δοὺς ὑπὲρ ἡμῶν εἰς θάνατον τὸν ἴδιον Υἱὸν ὁ Θεὸς καὶ Πατὴρ πατάξαι πως αὐτὸν λέγεται, τῷ γε ὅλως ἐφεῖναι παθεῖν, πιστώσεται λέγων αὐτὸς ὁ Υἱὸς, διὰ τῆς τοῦ Ψάλλοντος φωνῆς περὶ τῶν εἰς αὐτὸν ἀνόσια δεδρακότων, δῆλον δὲ ὅτι τῶν Ἰουδαίων· « Ὅτι ὃν σὺ ἐπάταξας, αὐτοὶ κατεδίωξαν, καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν. » Ἑκούσιον μὲν οὖν, ὡς ἔφην, ἐποεῖτο τὸ πάθος, ἵνα τὸ ἐκ τοῦ παθεῖν αὐτὸν διαφανῆται κατόρθωμα. Ὅτι δὲ τοῖς ἐσταυρωκόσιν ὀλέθρου πρόξενον ἔσται τὸ χρῆμα, καὶ τοῖς ἐκ θείας ὀργῆς ὑποπεσοῦνται κακοῖς, οἱ τῆς τοιᾶσδε βουλῆς καὶ τῶν ἐγχειρημάτων ἐξάρχοντες (οὗτοι δὲ ἦσαν οἱ λαῶν ἡγούμενοι), διατρανοῖ λέγων· « Καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ τοὺς ποιμένας. » Διεφθάρκασι γὰρ τὸν ἀμπελῶνα αὐτοῦ, κατὰ τὴν τοῦ προφήτου φωνήν· « Ἔδωκαν μερίδα αὐτοῦ

A dicit Dominus omnipotens. » Rhomphæam hoc loco ut in specie gladii tentationem significare dicimus, aut ipsos quoque cruciatus ex Judæorum vecordia Emmanueli adhibitos. Sic enim eos intelligere et appellare videtur justus ille Simeon, quando sancta Deipara octidunanum Jesum obtulit. « Et tuam ipsius animam pertransibit rhomphæa, seu gladius [93]. » Pene enim gladio occisa est, conspiciens in cruce suffixum ex se progenitum, secundum carnem inquam. Ait ergo, « O rhomphæa, consurge super pastorem meum, » hoc est, procedat deinceps salutaris passio, et veniat tempus quo sese bona ostendant. Est enim princeps pastor noster Christus, et sub ipso sumus omnes qui credidimus : verumtamen non extra manum Dei et Patris. Imperat enim nobis B in Christo, perque ipsum, et in ipso salvati sumus et per ipsum accessum obtinuimus [94]. Proinde dicebat Salvator : « Oves meæ vocem meam audiunt, et ego cognosco eas, et sequuntur me, et ego vitam æternam do eis, et non peribunt in æternum, nec rapiet eas quisquam de manu mea. Pater meus qui dedit mihi major omnibus est : et nemo potest rapere de manibus Patris mei. Ego et Pater unum sumus [95]. » Proprius igitur Dei et Patris pastor et Filius, non alienum gregem pascens, sed suum potius et Patris, cum mercenarii pastores non esse ejus proprii intelligantur, qui contra omnem misericordiam oves mactabant. Quin et eas vendentes dictitabant : « Benedictus Dominus, et ditati sumus [96]. » Cives autem, sive domestici, et noti boni pastoris, C sunt ei subordinati, et ante alios divini discipuli, qui et percusso pastore dispersi sunt. Postquam enim Judæorum ministri advenerunt, et cum ipsis proditor cum cohorte Jesum comprehensuri, « Omnes relicto eo fugerunt [97] ; » sic enim est in Scriptura evangelica. Quod autem Deus et Pater dato pro nobis Filio suo in mortem, percussisse ipsum quodammodo dicatur, dum eum sivit omnimodis pati, testificatur et ipse Filius per vocem Psaltæ, de nefanda in ipsum machinatis, Judæis videlicet : « Quoniam tu percussisti, ipsi persecuti sunt, et super dolorem vulnerum meorum addiderunt [98]. » Voluntarie igitur passus est, ut dixi, ut passionis virtus eluceret. Quam iis qui crucifixerunt exitiosam 793 fore, et D calamitates ex divina ira invehendas sensuros hujus consilii cœptorumque istorum architectos (qui erant primores populi) declarat : « Et inducam manum meam super pastores. » Corruperunt quippe vineam ejus, juxta vocem prophetæ : « Dederunt partem ejus desiderabilem in solitudinem inviam. Facta est in dissipationem perditionis [99]. » Inducit porro manum Deus pastoribus velut compressuram rhomphæam et impietatis exacturam pœnas, quia non solum ipsi in Christum insaniverunt, sed quia insuper aliis horribilis in eum furoris auctores et duces fuerunt. Nam, ut est apud sanctum Matthæum evange-

[93] Luc. II, 35. [94] Ephes. II, 18. [95] Joan. X, 27, 28. [96] Zachar. XI, 5. [97] Matth. XXVI, 56. [98] Psal. LXVIII, 27. [99] Jerem. XII, 10, 11.

Digitized by Google

listam, cum Pilatus Judæis Christum et Barabbam proposuisset, et utrum sibi ex duobus dimitti vellent, quæsivisset, principes sacerdotum et seniores « persuaserunt populis ut Barabbam peterent, Jesum vero perderent. » Impulerunt eos nihilominus ut clamarent : « Crucifige, crucifige eum [30]. » Vera est igitur prophetæ vox : « Pastores stulte egerunt, et Dominum non exquisierunt. Propter hoc non intellexit omnis grex, et dispersi sunt [31]. » Sicut enim vigilantia bonorum pastorum commodat gregi : sic inertia eumdem perdit, et per pastorum vestigia subditi omnino gradiuntur.

A ἐπιθυμητὴν εἰς ἔρημον ἄβατον. Ἐγενήθη εἰς ἀφανισμὸν ἀπωλείας. » Ἐπάγει γε μὴν τὴν χεῖρα Θεοῦ τοῖς ποιμέσιν, οἱονεὶ καταπαύουσαν τὴν ῥομφαίαν καὶ τὰς τῆς ἀνοσιότητος ἐξαιτοῦσαν δίκας, οὐχ ὅτι μόνον αὐτοὶ πεπαρῳνήκασιν εἰς Χριστὸν, ἀλλ' ὅτι πρὸς τούτοις καὶ τοῖς ἄλλοις γεγόνασιν ἀρχὴ καὶ ὁδὸς τῆς εἰς Χριστὸν ἀσχέτου μανίας. Ὡς γάρ φησιν ὁ μακάριος Ματθαῖος ὁ εὐαγγελιστὴς, Πιλάτου τοῖς Ἰουδαίοις προτεθεικότος Χριστόν τε καὶ Βαραββᾶν, καὶ τὸ, Τίνα θέλετε ἐκ τῶν δύο ἀπολύσω ὑμῖν, προσπεφωνηκότος, οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι « ἔπεισαν τοὺς ὄχλους ἵνα αἰτήσωνται τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν. » Ἀνέπειθον δὲ πρὸς τούτοις βοᾶν· « Σταύρωσον, σταύρωσον αὐτόν. » Οὐκοῦν ἀληθὲς τὸ διὰ τῆς τοῦ προφήτου φωνῆς εἰρημένον, ὅτι « Οἱ ποιμένες ἠφρονεύσαντο, καὶ τὸν Κύριον οὐκ ἐξεζήτησαν. Διὰ τοῦτο οὐκ ἐνόησε πᾶσα ἡ νομὴ, καὶ διεσκορπίσθησαν. » Ὥσπερ γὰρ ἡ νῆψις τῶν ἀγαθῶν ποιμένων ὀνίνησι τὴν ἀγέλην· οὕτω καταφθείρει τὸ ῥᾴθυμον, καὶ τοῖς τῶν ποιμένων ἴχνεσι τὸ ὑπὸ χεῖρα πάντως ἀκολουθεῖ.

Vers. 8, 9. *Et erit in die illa in omni terra, dicit Dominus, duæ partes ejus peribunt, et deficient, at tertia relinquetur in ea. Et traducam tertiam partem per ignem, et uram eos sicut uritur argentum, et probabo eos sicut probatur aurum. Ipse invocabit nomen meum, et ego exaudiam eum, et dicam : Populus meus iste est : et ipse dicet : Dominus Deus meus.*

B *Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐν πάσῃ τῇ γῇ, λέγει Κύριος, τὰ δύο μέρη αὐτῆς ἐξολοθρευθήσεται, καὶ ἐκλείψει, τὸ δὲ τρίτον ὑπολειφθήσεται ἐν αὐτῇ. Καὶ διάξω τὸ τρίτον διὰ πυρὸς, καὶ πυρώσω αὐτοὺς, ὡς πυροῦται τὸ ἀργύριον, καὶ δοκιμῶ αὐτοὺς, ὡς δοκιμάζεται τὸ χρυσίον. Αὐτὸς ἐπικαλέσεται τὸ ὄνομά μου, κἀγὼ ἐπακούσομαι αὐτῷ, καὶ ἐρῶ· Λαός μου οὗτός ἐστι, καὶ αὐτὸς ἐρεῖ· Κύριος ὁ Θεός μου*

CI. Inducta manu divina pastoribus impiis et mendacibus, qui vineam regiam corruperunt, nec ultionis pœnarumque expertes futuros dicit, qui illorum meditata inconsultissime adjuverunt, populum Judæorum utique et vulgus subditum. Bello enim disperierunt, et urbibus una cum idolis funditus deletis, vix reliquiæ salvatæ sunt [32], quæ tertia pars C de tota multitudine intelligitur. **794** Non enim prorsus, seu universe Israel interiit, Deo propter patres miserante. Quod et beatus Isaias confirmat : « Et nisi Dominus Sabaoth reliquisset nobis semen, sicut Sodoma fuissemus, et sicut Gomorrha similes essemus [33]. » Verumtamen, tertiam partem, seu reliquias, hoc est, credentes in sanguine et posteritate Israel, traducturum per ignem, et igne ut argentum et aurum sese exploraturum confirmat. Non enim caret molestiis ac laboribus sanctorum vita, et verum est, « volentes pie vivere in Christo, persecutionem passuros » [34]. Probatissimi porro fuerunt divini discipuli, et quotquot illo tempore operum et afflictionum socii iisdem fuerunt, Evangelium D Christi per gentes sacro ministerio promulgantibus. Ad multas enim vexationes et persecutiones experiendas vocati sunt, et tantum non ignibus usti, dum per tentationes probarentur, ut cum fiducia possent exclamare : « Quoniam probasti nos, Deus; igne nos examinasti, sicut examinatur argentum [35]. » Quæ igitur hinc utilitas? aut quod præmium referent, qui sic afflicti et probati sunt? Domestici, noti et dilecti Deo evaserunt. Numerati sunt enim « po-

ΡΑ'. Ἐπενεχθείσης τῆς θείας χειρὸς τοῖς ἀνοσίοις ψευδοποιμέσιν, οἳ τὸν ἀμπελῶνα κατεφθάρκασι τὸν βασιλικὸν, οὐδὲ αὐτοὺς ἔσεσθαί φησιν ἔξω ποινῆς καὶ δίκης τοὺς τοῖς ἀνοσίοις αὐτῶν σκέμμασιν ἀβουλότατα συνδεδραμηκότας, δῆλον δὲ ὅτι τοὺς τῶν Ἰουδαίων δήμους καὶ τὴν ἀγελαίαν τῶν ὑπὸ χεῖρα πληθύν. Δεδαπάνηνται γὰρ τῷ πολέμῳ, καὶ διολώλασιν ὁμοῦ τοῖς κατοίκοις αἱ πόλεις, πανολεθρίᾳ καταπολλύμεναι, μόλις δὲ σέσωσται τὸ κατάλειμμα, ὡς ἐν τρίτῃ μοίρᾳ τοῦ παντὸς νοούμενον πλήθους. Ὠλόθρευται γὰρ οὐκ εἰς ἅπαν ὁ Ἰσραὴλ, Θεοῦ κατοικτείροντος διὰ τοὺς πατέρας. Τοῦτο καὶ αὐτὸς ὁ μακάριος Ἡσαΐας φησί· « Καὶ εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν. » Πλὴν τὸ τρίτον, ἤγουν τὸ κατάλειμμα, τουτέστι, τοὺς ἐξ αἵματος Ἰσραὴλ πιστεύσαντας, διάξειν φησὶ διὰ πυρὸς, καὶ πυροῦν αὐτοὺς ὡς ἀργύριον καὶ χρυσίον. Οὐ γὰρ ἄξω πόνου τῶν ἁγίων ἡ ζωή· ἀληθὲς δὲ ὅτι « οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ, διωχθήσονται. » Δοκιμώτατοι δὲ γεγόνασιν οἱ θεσπέσιοι μαθηταὶ, καὶ ὅσοι γεγόνασιν αὐτοῖς συνεργάται κατ' ἐκεῖνο καιροῦ, καὶ συμπαπονήκασιν ἱερουργοῦσιν εἰς τὰ ἔθνη τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ. Κέκληνται γὰρ εἰς πεῖραν πολλῶν θλίψεών τε καὶ διωγμῶν, καὶ μονονουχὶ πεπύρωνται, δοκιμαζόμενοι διὰ πειρασμῶν, ὡς δύνασθαι λέγειν ἐκ παῤῥησίας· « Ὅτι ἐδοκίμασας ἡμᾶς, ὁ Θεὸς, ἐπύρωσας ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον. » Τίς οὖν ἡ ἐντεῦθεν δύνησις; ἢ ποῖος ἔσται μισθὸς τοῖς ὧδε παπονηκόσι καὶ δεδοκιμασμένοις· Οἰκεῖοι γεγόνασι τοῦ Θεοῦ, γνώριμοί τε

[30] Matth. xxvii, 20-23. [31] Jerem. x, 21. [32] Isa. x, 22; Rom. ix, 27. [33] Isa. i, 9. [34] II Tim. iii, 12. [35] Psal. lxv, 10.

Digitized by Google

καὶ ἡγαπημένοι. Κατελογίσθησαν γὰρ « εἰς ἔθνος ἅγιον, εἰς βασίλειον ἱεράτευμα, καὶ εἰς λαὸν τὸν εἰς περιποίησιν, ἵνα τὰς ἀρετὰς ἐξαγγείλωσι τοῦ ἐκ σκότους αὐτοὺς καλέσαντος ἐπὶ τὸ θαυμαστὸν αὐτοῦ φῶς, » ποτὲ δὲ ὄντες οὐ λαός, γεγόνασι λαός. Καί ποτε μὲν ἤκουον· « Ὅταν τὰς χεῖρας ἐκτείνητε πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν. » Νυνὶ δέ φησιν, ὅτι « Αὐτὸς ἐπικαλέσεται τὸ ὄνομά μου, καὶ ἐρῶ· Λαός μου οὗτός ἐστιν. » Οὐκοῦν ἴδιος γεγόνασι κλῆρος τοῦ Θεοῦ καὶ Πατρὸς, δέδονται δὲ τῷ Υἱῷ, συγκατάρχει γὰρ τῶν ὅλων ὁμοῦ τῷ γεγεννηκότι, εὐμενῆ τε καὶ ἵλεω τὸν τῶν ὅλων ἔχουσι δημιουργὸν καὶ Δεσπότην. A pulus sanctus, regale sacerdotium, populus acquisitionis, ut virtutes annuntiarent ejus, qui de tenebris ipsos vocavit in admirabile lumen suum [56], » et cum aliquando non essent populus, facti sunt populus [57]. Et aliquando audiebant : « Cum extenderitis manus vestras ad me, avertam oculos meos a vobis : et cum multiplicaveritis orationem, non exaudiam vos [58]. » At nunc dicit : « Ipse invocabit nomen meum, et dicam : Populus meus hic est. » Quocirca hæreditas peculiaris Dei et Patris facti sunt, et dati sunt Filio, imperat enim omnibus una cum Patre, et benevolum et propitium universorum opificem ac Dominum habentibus.

ΤΟΜΟΣ ΕΚΤΟΣ.

ΚΕΦΑΛ. ΙΔ'.

Ἰδοὺ ἡμέραι ἔρχονται τοῦ Κυρίου, καὶ διαμεριοῦνται τὰ σκῦλά σου ἐν σοί. Καὶ ἐπισυνάξω πάντα τὰ ἔθνη εἰς πόλεμον ἐπὶ Ἰερουσαλὴμ, καὶ ἁλώσεται ἡ πόλις, καὶ διαρπαγήσονται αἱ οἰκίαι, καὶ αἱ γυναῖκες μολυνθήσονται, καὶ ἐξελεύσεται τὸ ἥμισυ τῆς πόλεως ἐν αἰχμαλωσίᾳ. B

ΡΒ'. Τὸ ἐπὶ τῷ σταυρῷ σωτήριον πάθος καταμηνύων, ἔφασκεν ἐν τοῖς ὀπίσω βραχὺ, « Ῥομφαία, ἐξεγέρθητι ἐπὶ τὸν ποιμένα μου, καὶ ἐπ' ἄνδρα πολίτην αὐτοῦ, λέγει Κύριος παντοκράτωρ. Πάταξον τὸν ποιμένα καὶ διασκορπισθήσονται τὰ πρόβατα. » Ὅτι δὲ ποιναῖς ταῖς ἐσχάταις ἡ τῶν Ἰουδαίων πληθὺς ὑπενεχθήσεται, καὶ μάλα εἰκότως, κεκυριοκτόνηκε γὰρ ἡ πάντολμος, ἐδίδασκε προστιθείς· « Καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ τοὺς ποιμένας, καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος, τὰ δύο μέρη ἐξολοθρευθήσεται καὶ ἐκλείψει, τὸ δὲ τρίτον διάξω διὰ πυρὸς, καὶ πυρώσω αὐτοὺς, ὡς πυροῦται τὸ ἀργύριον, καὶ δοκιμῶ αὐτοὺς, ὡς δοκιμάζεται τὸ χρυσίον. » Τίνα δὲ τρόπον τὰ τοιάδε νοοῖντο, καὶ οὐκ ἔξω τοῦ εἰκότος, κατά γε τὸ ἐφικτὸν ἡμῖν εἰρήκαμεν. Γέγραπται δὲ καὶ νῦν ὁ τῶν προκειμένων σκοπὸς, ὡς πρός γε τὴν Ἰερουσαλὴμ ἀνοσιουργήσασαν ἀχαλίνως, καὶ τὸν τῆς ἁλώσεως ἡμῖν κατασημαίνει τρόπον. « Ἰδοὺ γὰρ, φησὶν, ἡμέραι τοῦ Κυρίου, » τουτέστιν, ἃς αὐτὸς ἐπάγει ψήφῳ δικαίᾳ, καὶ ὁσίῳ κρίματι. Καὶ γάρ ἐστιν ἀληθὲς, ὃ καὶ δι' ἑτέρου προφήτου φησίν· « Οὐκ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησε. » Οὐ γὰρ ἂν γένοιτό τι τῶν ὅλην κακοῦν ἰσχυόντων πόλιν, ὃ μὴ πράττεσθαί φαμεν ἐφιέντος αὐτοῦ, καὶ πλημμελημάτων δίκας ἐξαιτεῖν ἐθέλοντος τοὺς ἀσχέτοις ὁρμαῖς ἐπὶ τὰ φαῦλα διάττοντας. Οὐκοῦν αὐτοῦ φησιν εἶναι τὰς ἡμέρας, διὰ τὸ ἐπαγγέλλεσθαι κατ' ὀργὴν αὐτοῦ. Πεπαροῳνήκασι γὰρ φορητῶς οὐκέτι, ἀπεκτονότες μὲν τοὺς προφήτας, προσθέντες δὲ τούτοις καὶ τὸν Υἱόν. Τί δὲ τὸ ἐσόμενον ἐν ταῖς ἡμέραις ἐκείναις, σαφηνίζει λέγων· « Καὶ διαμεριοῦνται τὰ σκῦλά σου ἐν σοὶ (συναγηγερμένα δηλονότι πάντα τὰ ἔθνη) καὶ διαρπάζονται μὲν οἰκίας, γύναια δὲ περιέλκοντες νηπίοις ὁμοῦ. Τότε γὰρ, φησὶ, τὸ ἥμισυ τῆς πόλεως C

CAP. XIV.

VERS. 1, 2. *Ecce dies Domini veniunt, et dividentur spolia tua in te. Et congregabo omnes gentes in prælium super Jerusalem, et capietur civitas, et diripientur domus, et mulieres polluentur, et egredietur media pars civitatis in captivitatem.*

CII. Salutiferam in cruce mortem indicans paulo ante dicebat, « Rhomphæa, consurge super pastorem meum, **795** et super virum civem ejus, dicit Dominus omnipotens. Percute pastorem et dispergentur oves [59]. » Extremis autem suppliciis subjectum iri Judæos, idque justissime, quoniam per summam audaciam Dominum occiderunt, docebat, cum adderet : « Et inducam manum meam super pastores, et erit in die illa, dicit Dominus, duæ partes peribunt, et deficient, tertiam autem traducam per ignem, et uram eos sicut uritur argentum, et probabo eos, ut probatur aurum [60]. » Quæ, quomodo probabiliter intelligenda essent, pro virili nostra exposuimus. Nunc quoque verba ista ad Jerusalem spectant, quæ insano impetu in scelus ruerit, et captivitatis modum nobis declarant. Ait enim : « Ecce dies Domini, » hoc est, quos ille æqua sententia et justo judicio inducit. Verum est namque quod et per alium prophetam dicit : « Non est malum in civitate, quod Dominus non fecit [61]. » Nihil enim est ex iis, quæ universam civitatem exagitare queant, quod non liceat dicere, illo immittente, et impotenter in scelera præcipitantes pœnis multare volente, fieri ac perpetrari. Quamobrem illius ait esse dies, quod ea denuntientur, quæ ab ejus ira exspectanda sint. Fuerunt enim contumeliosi intoleraudum in modum, cum occisis prophetis etiam Filii necem adjecerunt. Quid porro diebus illis futurum sit, aperit his verbis : « Et dividentur spolia tua in te (congregatæ videlicet omnes gentes), et diripient domos, mulieres cum infantibus violenter rapient. Tunc, inquit, media pars civitatis egredietur in captivitatem. » Ferunt enim Romanos, capta urbe resistentium sibi impudentia neglecta, et ipsum D

[56] I Petr. II, 9. [57] Osee II, 24. [58] Isa. I, 15. [59] Malach. XIII, 7. [60] Ibid. 8, 9. [61] Amos III, 6.

Digitized by Google

templum et ædes incendisse; suppliciter autem sibi procumbentibus iis, qui superiorem civitatem, locum sacrum habitabant, pepercisse. Vide porro quomodo eo audaciæ victores processuros dicat, ut direptis domibus non illico cum præda discedant, et in tentoriis paulatim eam dividant, sed id ipsum in ipsa urbe capta faciant, quod factum non fuisset, si ullus miseris subsidio veniens, ferro grassantibus restitisset. Polluendas autem mulieres affirmat, per vim ab aliis raptatas, et turpiter constupratas in conspectu eorum quibuscum sæpius conjugalia secreta legitime miscuerant. **796** Sed hæc belli sunt incommoda, et calamitates semel captis omnique auxilio penitus destitutis non alienæ.

A ἐξελεύσεται ἐν αἰχμαλωσίᾳ. » Φασὶ γὰρ, ὅτι Ῥωμαῖοι τὴν πόλιν ἑλόντες, καὶ πρὸς τὰς τῶν μαχομένων αὐτοῖς ἀναισχυντίας ὀλιγωρήσαντες, αὐτόν τε ἐνέπρησαν τὸν νεὼν καὶ τὰς τοῦ ἄστεος οἰκίας· ἐφείσαντο δὲ προσπιπτόντων αὐτοῖς τῶν κατῳκηκότων τὴν ἄνω πόλιν καὶ τὸ ἱερόν. Θέα δὲ, ὅπως εἰς τοῦτο θάρσους ἀφίξεσθαί φησι τοὺς νενικηκότας, ὡς διαρπάσαντας τὰς οἰκίας, μὴ εὐθέως ἀποφοιτῆσαι ταῖς λείαις ὁμοῦ, καὶ σχολαῖον ποιήσασθαι τὸν διαμερισμὸν ἐν ταῖς ἑαυτῶν σκηναῖς ἀφιγμένους· ἀλλ' ἐν αὐτῇ τοῦτο δράσαι τῇ ἁλούσῃ πόλει, ὅπερ οὐ γέγονεν ἂν, εἴπερ τις ἦν ὅλως τοῖς ἀθλίοις πεπραχόσιν ἐπικουρῶν, καὶ τοῖς καταδηοῦσι μαχόμενος. Μολυνθήσεσθαι δὲ τὰς γυναῖκάς φησιν, ἀδουλήτως ἑτέροις ἑφελκομένας, καὶ πολλάκις τῶν κατὰ νόμους συνῳκηκότων. Πολέμου δὲ τὰ τοιαῦτα πάθη, καὶ τοῖς ἅπαξ ἁλωκόσι καὶ ἀνεπικουρήτοις παντελῶς πρέπουσαι συμφοραί.

At reliqui populi mei non peribunt de civitate.

B *Οἱ δὲ κατάλοιποι τοῦ λαοῦ οὐ μὴ ἐξολοθρευθῶσιν ἐκ τῆς πόλεως*

CIII. Hoc, opinor, aliud non est quam quod dixi modo, parsum esse habitantibus superiorem civitatem, partemque Hierosolymæ incolumem mansisse. Duces quippe Romani militem suum compescebant, si quos flentes seseque submittentes, et projectis armis in genua cadere videbant. Aut igitur reliquos populi sui servatam urbis partem nominat: aut fortassis qui in Christum communem omnium Salvatorem credidissent, de quibus et dicit, non esse perituros de civitate. Erunt enim semper Ecclesiæ cives, et quamvis terrenam et deletam Jerusalem amiserint, tamen supernam habent, de qua et divinus Paulus: « Quæ sursum est Jerusalem, libera est, quæ est mater nostra [41]. » Cujusmodi et beatus David insinuare videtur sic loquens: « Non commovebitur in æternum, qui habitat Jerusalem [42]. » Inconcussa enim manet Ecclesia, et, juxta vocem Salvatoris, « portæ inferi non prævalebunt adversus eam [43]: » ipsum quippe pro fundamento habet. Necesse est igitur omnino ut etiam inconcussi et immobiles sint, qui eam inhabitant, et in populo ejus reputantur, et legitimis ejus accensentur.

ΡΓ'. Τοῦτο, οἶμαι, ἔστιν ἕτερον οὐδὲν, ἢ ὅπερ ἔφην ἀρτίως, ὡς γέγονέ τις φειδὼ τῶν κατοικούντων τὴν ἄνω πόλιν, καὶ σέσωσται μέρος τῶν Ἱεροσολύμων. Ἀνέκοπτον γὰρ οἱ Ῥωμαίων στρατηγοὶ τοὺς τῶν μαχομένων θυμοὺς, εἴ δή πού τινας τεθέαντο κλαίοντάς τε καὶ ὑποπίπτοντας καὶ ἀμαχεὶ προσπίπτοντας. Ἢ τοίνυν καταλοίπους τοῦ λαοῦ αὐτοῦ τοὺς ἐν τῷ σεσωσμένῳ τῆς πόλεως μέρει φησίν· ἢ τάχα που τοὺς πεπιστευκότας εἰς τὸν τῶν ὅλων Σωτῆρα Χριστὸν, περὶ ὧν καί φησιν, ὡς οὐκ ἂν ἐξολοθρευθεῖεν ἐκ τῆς πόλεως. Ἔσονται γὰρ ἀεὶ τῆς Ἐκκλησίας πολῖται, κἂν εἰ τῆς ἐπιγείου καὶ ὠλοθρευμένης Ἱερουσαλὴμ ἐκπίπτοιεν, ἀλλ' οὖν ἔχουσι τὴν ἄνω, περὶ ἧς καὶ ὁ θεσπέσιος γράφει Παῦλος· « Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶ μήτηρ ἡμῶν. Ἔοικε δέ τι καὶ ὁ μακάριος Δαβὶδ ὑπαινίττεσθαι τοιοῦτον, ὧδέ πῃ λέγων· « Οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἱερουσαλήμ. » Καὶ γάρ ἐστιν ἀκράδαντος ἡ Ἐκκλησία, καὶ « πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς, » κατὰ τὴν τοῦ Σωτῆρος φωνήν. Τὸν αὐτὸν γὰρ ἔχειν θεμέλιον πᾶσά πως ἀνάγκη καὶ τοὺς κατοικοῦντας αὐτὴν, καὶ λελογισμένους εἰς λαὸν Θεοῦ, καὶ τοῖς γνησίοις συντεταγμένους.

C

Vers. 3-5. *Et egredietur Dominus, et præliabitur in gentibus illis, sicut dies conflictus ejus in die belli. Et stabunt pedes ejus in die illa super montem olivarum, quæ est e regione Jerusalem ad orientem. Et scindetur mons olivarum, media pars ejus ad orientem, et media pars illius ad mare, voragine magna valde. Et inclinabit media pars montis ad aquilonem, et media pars ejus ad austrum. Et obturabitur vallis montium meorum, et adjungetur vallis montium usque ad Asael. Et obturabitur sicut obturata est in diebus terræ motus, in diebus Oziæ regis Juda.*

D *Καὶ ἐξελεύσεται Κύριος, καὶ παρατάξεται ἐν τοῖς ἔθνεσιν ἐκείνοις, καθὼς ἡμέρα παρατάξεως αὐτοῦ ἐν ἡμέρᾳ πολέμου. Καὶ στήσονται οἱ πόδες αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπὶ τὸ ὄρος τῶν Ἐλαιῶν, τὸ κατέναντι Ἱερουσαλὴμ ἐξ ἀνατολῶν. Καὶ σχισθήσεται τὸ ὄρος τῶν Ἐλαιῶν, τὸ ἥμισυ αὐτοῦ πρὸς ἀνατολὰς, καὶ τὸ ἥμισυ αὐτοῦ πρὸς θάλασσαν, χάος μέγα σφόδρα. Καὶ κλινεῖ τὸ ἥμισυ τοῦ ὄρους πρὸς βορρᾶν, καὶ τὸ ἥμισυ αὐτοῦ πρὸς νότον. Καὶ ἐμφραχθήσεται φάραγξ ὀρέων μου, καὶ ἐγκολληθήσεται φάραγξ ὀρέων· ἕως Ἀσαήλ. Καὶ ἐμφραχθήσεται καθὼς ἐνεφράγη ἐν ταῖς ἡμέραις τοῦ συσσεισμοῦ, ἐν ἡμέραις Ὀζίου βασιλέως Ἰούδα.*

CIV. Tanquam de duce aliquo generosissimo loquitur, milites suos ad pugnam concitante, et in

ΡΔ'. Πεποίηται μὲν ὁ λόγος ὡς ἐπί τινος τῶν γενναιοτάτων στρατηγῶν, παραθήγοντος εἰς μάχην

[41] Galat. IV, 26. [42] Psal. CXXIV, 1. [43] Matth. XVI, 18.

Digitized by Google

τοὺς συνασπίζοντας, καὶ ταῖς τῶν πολεμίων φάλαγξι, κατεξανιστῶντος τὸ μάχιμον. Νοεῖται γε μὴν ὡς ἐπὶ Θεοῦ, μονονουχὶ συμπαρόντος τε καὶ συμπαραττομένου τοῖς ἔθνεσι τοῖς καταδηοῦσι τὴν Ἰουδαίαν, πεπορθηκόσι δὲ καὶ αὐτὰ τὰ Ἱεροσόλυμα.

Μεμνήμεθα δὲ, ὅτι καὶ ἐν παραβολαῖς εὐαγγελικαῖς τοιοῦτόν τί φησιν. Ὁ μὲν γὰρ βασιλεὺς τοὺς γάμους ἐπιτελῶν τῷ υἱῷ αὐτοῦ, πέπομφε τοὺς οἰκέτας συναγείρειν τοὺς κεκλημένους. Οἱ δὲ τοὺς καλοῦντας ἀνοσίως περιυβρίσαντες καὶ ἀπεκτονότες, τελευταῖον ἐπ' αὐτοῖς διεχρήσαντο τὸν υἱόν. Εἶτα τί φησι τῆς παραβολῆς ὁ λόγος; « Ὁ δὲ βασιλεὺς ὠργίσθη, καὶ πέμψας τὰ στρατεύματα αὐτοῦ, ἀπώλεσε τοὺς φονεῖς ἐκείνους, καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησεν. » Ἔσται δὴ οὖν ἐν ἴσῳ, φησὶ, τοῖς ἐν ἡμέρᾳ παρατάξεως ἀνταναστησομένοις γεννικῶς καὶ δαπανῶσιν ἐχθροῖς. Ἀπόδειξις δὲ τοῦτο τῆς εἰς λῆξιν ὀργῆς, καὶ νικημάτων τῶν ἀνωτάτω, καὶ ἰσοπαλῆ τὴν νίκην ἐπάγοντος τοῖς εἰς αὐτὸν πεπαρῳνηκόσιν. Ἀπεκτόνασι γὰρ, ὡς ἔφην, τὸν ἀρχηγὸν τῆς ζωῆς. Ἐπειδὴ δὲ τὰ πέρα λόγου, καὶ θαύματος πρέποι ἂν αὐτῇ, καὶ μόνῃ δύνασθαι κατορθοῦν τῇ τῶν ὅλων βασιλίδι φύσιν, ταύτῃ τοι φησὶν ὡς « Στήσονται μὲν οἱ πόδες αὐτοῦ, δῆλον δὲ ὅτι Χριστοῦ, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπὶ τὸ ὄρος τῶν Ἐλαιῶν. » Τὸ δὲ ῥήξεις ὑπομενεῖ τέσσαρας, δύο μὲν, εἰς ἠώ τε καὶ εἰς ἑσπέραν, ἤγουν εἰς θάλασσαν (οὕτω γὰρ τὸν τῆς ἑσπέρας τόπον ἀποκαλεῖν ἔθος τῇ θεοπνεύστῳ Γραφῇ)· τά γε μὴν ἕτερα δύο κατανεύοντά πως, τὸ μὲν εἰς ἄρκτον καὶ βορρᾶν, τὸ δὲ εἰς λίβα τὸ νότιον. Καταῤῥαγήσεσθαι δὲ καὶ αὐτὰς ἔφη τὰς κορυφὰς, ὡς τὰς μεταξὺ πληρῶσαι φάραγγας, ἀδοκήτως κατασεσεισμένας ἐς Ἀσαήλ· κώμη δὲ αὕτη πρὸς ἐσχατιαῖς, ὡς λόγος, τοῦ ὄρους κειμένη. Παρεικάζει γε μὴν τὸν ὧδε διαῤῥιθῆ σεισμὸν τῷ γεγενημένῳ κατὰ καιροὺς ἐπὶ Ὀζίου, τοῦ καὶ Ἀζαρίου. Ἐπειδὴ γὰρ τοὺς τῆς βασιλείας διέπων θώκους ἐν τοῖς Ἱεροσολύμοις, ἅτε δὴ καὶ ὑπάρχων ἐκ τῆς Ἰούδα φυλῆς, τετόλμηκε παρανόμως τῶν τῆς ἱερωσύνης ἅψασθαι λειτουργιῶν, λελέπρωται μὲν εὐθὺς, Θεοῦ δὲ δὴ τότε τὴν ἐπὶ τούτοις ὀργὴν ἐμφαίνοντος, κατεδονήθη δεινῶς τῶν Ἰουδαίων ἡ χώρα, καὶ αὐτὰ δὲ τὰ Ἱεροσόλυμα. Καὶ δὴ καί φασι τὸ ὄρος τὸ Σιὼν τοσοῦτον ὑπομεῖναι κλόνον, ὡς ῥαγῆναι μὲν εἰς δύο τμήματα, ἐμφραγῆναι δὲ ταῖς παρακειμέναις φάραγξι, τὰς κορυφάς. Ἔοικε δὲ διὰ τούτων ἡμῖν ὁ προφήτης τὸν σεισμὸν ὑποδηλοῦν, ὃν ἐν τῷ τιμίῳ σταυρῷ γεγενῆσθαί φασιν οἱ τῶν εὐαγγελικῶν κηρυγμάτων ἱερουργοί. Πλατύτερον μὲν οὖν ἐν τούτοις ὁ προφήτης διαμέμνηται τοῦ συμβεβηκότος. Ὁ δέ γε σοφώτατος ἡμῖν Ματθαῖος ἐπιτεμνόμενος τὴν ἀφήγησιν οὕτω φησίν· « Ὁ δὲ Ἰησοῦς πάλιν κράξας φωνῇ μεγάλῃ, ἀφῆκε τὸ πνεῦμα. Καὶ ἰδοὺ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο, ἀπὸ ἄνωθεν ἕως κάτω, καὶ ἡ γῆ ἐσείσθη, καὶ αἱ πέτραι ἐσχίσθησαν, καὶ τὰ μνημεῖα ἀνεῴχθησαν, καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη. » Ἐπειδὴ δὲ χρὴ τοῖς γεγονόσι

hostium phalangas exercitum exsuscitante. Accipienda sunt autem ut de Deo, tantum non præsente, et simul in acie stante cum gentibus Judæam pervastantibus, **797** ipsamque Hierosolymam evertentibus.

Meminimus porro etiam in parabolis evangelicis tale quiddam exstare. Rex enim filio nuptias faciens, misit servos suos ut invitatos congregarent. Ast illi cum vocantes impie et injuriosissime acceptos occidissent, novissime etiam filium peremerunt. Quid deinde parabola? « Rex autem iratus est, et missis exercitibus suis perdidit homicidas illos, et civitatem illorum succendit [45]. » Perinde igitur erit, inquit, ut cum in die conflictus generose in hostes usque ad internecionem insurgitur. Quæ demonstratio est iræ extremæ, et victoriæ cœlestis, et iis a quibus probrose est habitus, paria cum triumphum remetientis. Interfecerunt enim, ut dixi, auctorem vitæ [46]. Quoniam vero ipsam et solam omnium reginam naturam decet omnem orationis facultatem et admirationem superantia præclare efficere posse, ideo dicit: « Stabunt pedes ejus, » Christi utique, « in die illa super montem olivarum. » Qui quatuor rupturas patietur, duas quidem partes orientem et occasum versus, sive ad mare (sic enim divinitus inspirata Scriptura partem occidentalem appellare consuevit), alias duas tendentes, unam ad arctum et aquilonem, alteram ad austrum. Ipsa quoque cacumina diruptum iri ait, ut medias valles impleant, improviso concussa usque ad Asael, qui, ut fertur, vicus est in extremo recessu montis situs. Comparat autem hunc gravem terræmotum illi, qui temporibus Oziæ sive Azariæ contigit. Postquam enim Hierosolymis in throno regni collocatus, ut e tribu Juda progenitus, ministerium sacerdotale improbe ausus capessere, lepra fœdatus est, Deo hanc ob causam se iratum prodente, horribiliter Judæorum regio, atque etiam ipsa Hierosolyma contremuit [47]. Aiunt item ipsam quoque Sion ita quassatam, ut in duas partes dirumperetur, et valles adjacentes jugis ejus opplerentur. Per hujuscemodi terræmotus propheta nobis videtur illum insinuare, quem in veneranda crucifixione factum evangelicarum prædicationum sacri ministri commemorant. In his igitur eum casum fusius exponit. Matthæus sapientissimus breviter ita narrat: « Jesus autem iterum clamans voce magna, emisit spiritum. Et velum templi scissum est a summo usque deorsum, **798** et terra mota est, et petræ scissæ sunt, et monumenta aperta sunt, et multa corpora sanctorum qui dormierant surrexerunt [48]. » Et quoniam his quæ contigerunt probabilem rationem aptare oportet, petras diruptas et valles obturatas esse videtur quodammodo significare Judæorum obcæcationem et idololatrarum ad salutaria festinationem. Ili enim cum creaturæ potius servirent quam Creatori [49], velut lapideum cor durumque et inflexibile, ot in

[45] Matth. xxii, 2 seqq. [46] Act. iii 15. [47] II Paral. xxvi, 16-21. [48] Matth. xxvii, 50-52. [49] Rom. i, 25.

Digitized by Google

morem petrarum nullos fructus afferentium habebant. Sed enim quid de ipsis Deus per Ezechielem ait? « Et auferam cor lapideum de carne eorum, et dabo ipsis cor carneum, ut cognoscant me [50]. » Scissa sunt igitur corda errantium, Deo expandente, ut salutiferæ prædicationis sermonem exciperent. Simile quiddam subiudicat per Jeremiam : « Nonne verba mea sicut ignis comburens, dicit Dominus, et sicut securis incidens petram [51]? » — « Vivus est enim sermo Dei, et efficax, et ad penetrandum acutissimus [52]. » Quocirca discissas esse petras, argumentum clarum contentionis ad statum sanctiorem eorum qui erraverunt esse potest, ut dixi. Obturatas autem esse valles, Judæorum cæcitatem insinuat, ut docui. Ejusmodi enim quiddam reperitur apud divinum Isaiam : « Et erit in die illa, concludet Dominus a fossa fluminis usque ad Rhinocera [53] : » id est, obturabitur omnium per Judæam mens, « Ut videntes non videant, et audientes non audiant, neque intelligant [54]. » — « Velamen enim super cor eorum positum est, » sicut scriptum est, in lectione Veteris Testamenti [55]. Tremuisse autem terram, ex alia re in aliam transitionem, ut puto, significaverit. Hinc divinus David exclamavit : « Qui sedes super Cherubim, moveatur terra [56]. » Nec volumus eum terrarum orbem sua mole corporea, et ut sentiatur moveri et concuti jubere : est siquidem res usitata, nec nobis quidquam utilitatis affert, sed illud potius postulasse eos, ut spiritu repletos, quasi transferri terram ex cultu idolorum ad cognoscendum imposterum eum qui est naturâ et vere Deus : et ex sensu carnis ad voluntatem vivendi spiritualiter, et, ut summatim dicam, a terrenis ad cœlestia. Quod insuper monumenta eorum qui dormierant aperta fuisse dicit, dicimus ipsam quoque mortem Christo **799** in carne pro nobis dispensatorie mortuo superatam videri, « Et ut vivorum et mortuorum dominetur [57]. »

πιθανὸν ἐφαρμόσαι λόγον, ἔοικεν ὑποδηλοῦν τὸ καταῤῥήγνυσθαι μὲν τὰς πέτρας, ἐμφράττεσθαι δὲ τὰς φάραγγας τήν τε τῶν Ἰουδαίων πώρωσιν καὶ τὴν τῶν τοῖς εἰδώλοις λελατρευκότων εἰς τὸ ἄμεινον μεταδρομήν. Οἱ μὲν γὰρ τῇ κτίσει παρὰ τὸν κτίσαντα προσκυνήσαντες, λιθίνην ὥσπερ ἐσχήκασι τὴν καρδίαν, σκληράν τε καὶ ἄτεγκτον, καὶ πέτρας ἐν ἴσῳ ταῖς καρπὸν ἐχούσαις οὐδένα. Ἀλλὰ τί περὶ αὐτῶν ἔφη Θεὸς, διὰ φωνῆς Ἰεζεχιήλ; « Καὶ ἐκσπάσω τὴν καρδίαν αὐτῶν τὴν λιθίνην ἐκ τῆς σαρκὸς αὐτῶν, καὶ δώσω αὐτοῖς καρδίαν σαρκίνην τοῦ εἰδέναι αὐτοὺς ἐμέ. » Οὐκοῦν ἐσχίσθησαν αἱ τῶν πλανωμένων καρδίαι, Θεοῦ διαπτύσσοντος, ἵνα τὸν τοῦ σωτηρίου κηρύγματος παραδέξοιντο λόγον. Καί τι τοιοῦτον ὑποδηλοῖ διὰ φωνῆς Ἱερεμίου λέγων· « Οὐχ οἱ λόγοι μου ὡς πῦρ φλέγον, λέγει Κύριος, καὶ ὡς πέλυξ, κόπτων πέτραν; » — « Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτατος. » Οὐκοῦν, ὡς ἔφην, τῆς εἰς τὸ ἄμεινον μεταδρομῆς τῶν πεπλανημένων σημεῖον ἂν γένοιτο, καὶ μάλα σαφὲς, τὸ διεῤῥῆχθαι τὰς πέτρας. Τό γε μὴν ἐμπεφράχθαι τὰς φάραγγας, τὴν τῶν Ἰουδαίων πώρωσιν, ὡς ἔφην, ὑποδηλοῖ. Ἔφη γάρ τι τοιοῦτον καὶ ὁ θεσπέσιος Ἡσαΐας· « Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ συμφράξει Κύριος ἀπὸ τοῦ διώρυχος τοῦ ποταμοῦ ἕως Ῥινοκούρων, » τουτέστιν, ἐμφραχθήσεται τῶν ἀνὰ πᾶσαν τὴν Ἰουδαίαν ὁ νοῦς, « Ἵνα βλέποντες μὴ βλέψωσι, καὶ ἀκούοντες μὴ ἀκούσωσι, μηδὲ συνιῶσι. » — « Κάλυμμα γὰρ ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται, » καθὰ γέγραπται, ἐπὶ τῇ ἀναγνώσει τῆς Παλαιᾶς Διαθήκης. Τὸ δέ γε σεισθῆναι τὴν γῆν, ὑπεμφήνειεν ἄν, οἶμαί που, τὴν ἐξ ἑτέρου πράγματος εἰς ἕτερόν τι μετάστασιν. Καὶ γοῦν ὁ θεσπέσιος Δαβὶδ ἀνακέκραγε λέγων· « Ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, σαλευθήτω ἡ γῆ. » Καὶ οὐκέτι πού φαμεν ὡς καταδονεῖσθαι σωματικῶς τε καὶ αἰσθητῶς παρακαλεῖ τὴν ὑπ' οὐρανόν· σύνηθες γὰρ τὸ χρῆμα, καὶ οὐδεμίαν ἡμῖν ποιοῦν τὴν δνησιν· ἐκεῖνο δὲ μᾶλλον·

ἠξίουν γὰρ ὡς πνευματοφόροι, οἷαν μεθίστασθαι τὴν γῆν ἐκ τοῦ λατρεύειν εἰδώλοις ἐπὶ τὸ εἰδέναι λοιπὸν τὸν φύσει τε καὶ ἀληθῶς ὄντα Θεὸν, ἐκ τοῦ φρονεῖν τὰ σαρκὸς, ἐπὶ τὸ ζῆν ἐθέλειν πνευματικῶς, καὶ ἁπαξαπλῶς ἀπὸ τῶν ἐπιγείων εἰς τὰ ἐπουράνια. Εἰ δὲ δὴ καὶ αὐτὰ τῶν κεκοιμημένων ἀνεῴχθαι τὰ μνήματα λέγει, φαμὲν ὅτι καὶ αὐτὸν ἔδει τὸν θάνατον ὁρᾶσθαι νενικημένον, ἀποθανόντος Χριστοῦ σαρκὶ δι' ἡμᾶς οἰκονομικῶς, « Ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ. »

Vers. 6, 7. *Et veniet Dominus Deus, et omnes sancti cum eo. In illa die non erit lux, sed frigus, et glacies erit una die, et dies illa nota Domino, et non dies neque nox, et ad vesperam erit lux.*

Καὶ ἥξει Κύριος ὁ Θεὸς, καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἔσται φῶς, καὶ ψύχος, καὶ πάγος ἔσται μίαν ἡμέραν, καὶ ἡ ἡμέρα ἐκείνη γνωστὴ τῷ Κυρίῳ, καὶ οὐχ ἡμέρα, καὶ οὐ νὺξ, καὶ πρὸς ἑσπέραν ἔσται φῶς.

CV. Postquam cursim nefanda et impia Judæorum in Christum omnium nostrum Salvatorem commissa, et Judææ, adeoque Hierosolymorum expugnationem recensuit, deinceps ad præsentis sæculi finem progreditur, utiliterque Emmanuelis de cœlo descensum memorat. Descendet enim cum sanctis angelis in gloria Dei et Patris, « ut judicet orbem in justitia [58], » quoniam, ut divinus Paulus

ΡΕ'. Ἐπιτροχάδην εἰπὼν τὰ ἐπί γε τῷ πάντων ἡμῶν Σωτῆρι Χριστῷ τῶν Ἰουδαίων ἀνοσιουργήματα, καὶ τῆς Ἰουδαίας τὴν ἅλωσιν, καὶ αὐτῶν δὴ τῶν Ἱεροσολύμων, ἐπ' αὐτὸ λοιπὸν ἔρχεται τοῦ παρόντος αἰῶνος τὸ τέλος, καὶ ἀφηγεῖται χρησίμως τὴν ἐξ οὐρανοῦ καταφοίτησιν τοῦ Ἐμμανουήλ. Καταβήσεται γὰρ μετὰ τῶν ἁγίων ἀγγέλων, ἐν τῇ δόξῃ τοῦ Θεοῦ καὶ Πατρὸς, « Ἵνα κρίνῃ τὴν οἰκουμένην ἐν

[50] Ezech. xi, 19. [51] Jerem. xxiii, 29. [52] Hebr. iv, 12. [53] Isa. xxvii, 12. [54] Luc. viii, 10. [55] II Cor. iii, 15. [56] Psal. xcviii, 1. [57] Rom. xiv, 9. [58] Psal. ix, 9.

Digitized by Google

δικαιοσύνη· » ὡς ὁ θεσπέσιος γράφει Παῦλος, « Τοὺς πάντας ἡμᾶς δεῖ φανερωθῆναι ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ κατ' ἀξίαν πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε φαῦλον. — Ἥξει δὴ οὖν, ἥξει, φησὶ, καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ, τουτέστιν, ἡ τῶν ἁγίων ἀγγέλων καθαρωτάτη πληθὺς, δορυφοροῦσα πάντως, καὶ ὑπουργικὴν εἰσφέρουσα τὴν παράστασιν. Κύριος γάρ ἐστι τῶν ὅλων ὁ Ἐμμανουὴλ, καὶ δοξολογεῖται παρὰ τούτων ὡς Θεὸς, καὶ συγκατάρχων τῷ Γεγεννηκότι. Εἰ δὲ δή τις λέγοι καὶ αὐτοὺς αὐτῷ συμπαραστήσεσθαι τοὺς ἁγίους ἁρπαγέντας ἐν νεφέλαις εἰς ἀπάντησιν αὐτοῦ εἰς ἀέρα, μετά γε τὴν ἐκ νεκρῶν ἀναβίωσιν, καθὰ καὶ τῷ σοφωτάτῳ Παύλῳ δοκεῖ, τῆς τοῦ πρέποντος θήρας ἀμοιρήσειεν ἂν οὐδαμῶς. Ἔφη γάρ τι τοιοῦτον ὁ θεσπέσιος Ἡσαΐας περὶ αὐτῶν· « Ἐκεῖ ἔλαφοι συνήντησαν, καὶ εἶδον τὰ πρόσωπα ἀλλήλων. Ἀριθμῷ παρῆλθον, καὶ μία αὐτῶν οὐκ ἀπώλετο, ἑτέρα τὴν ἑτέραν οὐκ ἐζήτησαν. Ὅτι Κύριος ἐνετείλατο αὐταῖς, καὶ τὸ πνεῦμα αὐτοῦ συνήγαγεν αὐτούς. » Ψάλλει δὲ καὶ ὁ θεσπέσιος Δαβὶδ, τὴν ἐξ οὐρανῶν καταφοίτησιν τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ προαναφωνῶν· « Ὅτι οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ, καὶ τὴν κληρονομίαν αὐτοῦ οὐκ ἐγκαταλείψει, ἕως οὗ δικαιοσύνη ἐπιστρέψῃ εἰς κρίσιν, καὶ ἐχόμενοι αὐτῆς πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. » Δικαιοσύνην μὲν γὰρ ὀνομάζει Χριστὸν, ἐπιστρέψαι δέ φησιν εἰς κρίσιν αὐτόν. Ἀνελήφθη μὲν γὰρ πατήσας τὸν θάνατον, καὶ ἀνέβη πρὸς τὸν ἐν οὐρανοῖς Πατέρα καὶ Θεόν. Ἀλλ' ἐπιστρέψει κατὰ καιροὺς εἰς κρίσιν, καὶ οὐν αὐτῷ πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ, τουτέστιν, οἱ ἅγιοι, καθάπερ ἔφην ἀρτίως. Ὅτι δὲ κατὰ τὸν τῆς συντελείας καιρὸν ἑτέρα τις ἔσται τῆς ὁρωμένης κτίσεως ἡ κατάστασις, καὶ μετοιχήσεται καὶ αὐτὴ πρὸς τὸ ἄμεινον ἀνανεουμένη διὰ Χριστοῦ, πιστώσεται λέγων ὁ προφήτης· « Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἔσται φῶς, καὶ ψύχος, καὶ πάγος ἔσται μίαν ἡμέραν, καὶ ἡ ἡμέρα ἐκείνη γνωστὴ τῷ Κυρίῳ. » Νυνὶ μὲν γὰρ ἡμέρα τε καὶ νὺξ διακέκριται, καὶ διέλαχον τοὺς καιροὺς τοῖς τοῦ πεποιηκότος νεύμασι, καὶ ἀνίσχει μὲν τῆς ἡμέρας τὸ φῶς, εἶτα διαδέχεται νύξ. Ἐπειδὰν δὲ παραγένηται ὁ κριτὴς, πάντα μετασκευάζων κατὰ τὸ αὐτῷ δοκοῦν, ἑτέραν, ὡς ἔφην, ἡ κτίσις τὴν διακόσμησιν δέξεται. « Οὐ γὰρ ἔτι φῶς ἔσται, καὶ ψύχος, καὶ πάγος εἰς μίαν ἡμέραν. » Σημαίνει δὲ διά γε τοῦ πάγους τε καὶ ψύχους τὴν νύκτα· λελόγισται γὰρ εἰς μίαν ἡμέραν τὸ *νυχθήμερον*· ὅμοιον ὡς εἰ λέγοι τυχόν· Κατ' ἐκεῖνον τὸν καιρὸν, καθ' ὃν ἂν ἐξ οὐρανῶν ἀφιγμένος, μεταπλάττῃ τὰ πάντα, καὶ μετασκευάζῃ πρὸς τὸ ἄμεινον, ὡς δημιουργὸς δὲ, οὐκ ἔσται νύξ, οὐδὲ φῶς εἰς ἡμέραν. Τοιοῦτόν τί φησι καὶ ὁ μακάριος προφήτης Ἡσαΐας· « Οὐκ ἔσται σοι ὁ ἥλιος εἰς φῶς τῆς ἡμέρας, οὐδὲ ἀνατολὴ σελήνης φωτιεῖ τὴν νύκτα· ἀλλ' ἔσται σοι Κύριος φῶς αἰώνιον, καὶ ὁ Θεὸς δόξα σου. » Ὅτι δὲ ἀπραχτήσει κατὰ καιροὺς καὶ αὐτὴ τῶν στοιχείων ἡ χρεία, πιστώσεται

A scribit, « Omnes nos manifestari oportet ante tribunal Christi, ut recipiat unusquisque prout gessit, sive bonum sive malum [60]. »—« Veniet igitur, veniet, inquit, et omnes sancti ejus cum eo, » hoc est, sanctorum angelorum agmen purissimum, stipans eum et ad ministrandum assistens. Dominus enim omnium est Emmanuel, et ab his collaudatur ut Deus, et simul regnat cum Patre. Quod si quis dicat ipsos quoque sanctos ei astituros, raptos in nubibus in occursum ejus in aera, cum ex mortuis revixerint, ut et sapientissimo Paulo visum est [60], ab eo quod convenit neutiquam aberraverit. Nam tale quid divinus quoque Isaias de ipsis dicit : « Illic cervæ occurrerunt, et viderunt facies ad invicem. Numero transierunt, et una ex eis non periit, altera
B alteram non quæsierunt. Quia Dominus ipsis præcepit, et spiritus ejus congregavit eos [61]. » Psallit quoque divinus David descensum e cœlo omnium nostrum Salvatoris prænuntians : « Quia non repellet Dominus plebem suam, et hæreditatem suam non derelinquet, donec justitia convertatur in judicium, et adhærentes illi omnes recti corde [62]. » Justitiam enim Christum vocat, quem conversum ad judicium dicit. Assumptus est enim calcata morte, et ascendit ad eum qui est in cœlis Patrem et Deum [63], Sed revertetur olim ad judicium, et cum illo omnes recti corde, hoc est, sancti, sicut modo dixi. Fore autem **800** tempore consummationis sæculi aspectabilis creaturæ statum alium, et ipsam quoque transituram in melius, per Christum renovatam,
C testificatur propheta : « In illa die non erit lux, et frigus et glacies erunt die uno, et dies illa nota Domino. » Nunc enim dies et nox discernuntur, et nutu conditoris distincta tempora sortita sunt, et exoritur diei lux, postea succedit nox. Quando autem advenerit judex, omnia pro arbitratu suo immutans, aliam, ut dixi, conditionem creatura suscipiet. « Non enim de cætero lux erit, et frigus et glacies erunt die uno. » Per glaciem et frigus noctem exprimit, pro una enim die reputatur quod dicitur νυχθήμερον, id est, unius noctis et diei spatium, proinde ac si dicat forte : Tempore illo quo de cœlo adveniens transformabit omnia, et in faciem atque statum meliorem convertet, ut conditor ipse et opifex, non erit nox, nec lux in diem.
D Non absimile est apud prophetam Isaiam : « Non erit tibi amplius sol in lucem diei, neque ortus lunæ illuminabit tibi noctem ; sed erit tibi Dominus lux æterna, et Deus gloria tua [64]. » Otiosa autem aliquando futura et ipsa elementa, fidem facit ipse Christus. « Statim autem post tribulationem dierum illorum sol obscurabitur, et luna non dabit lumen suum [65]. » Sufficit enim nobis Christus ad lucem æternam, et ipse erit longa ac perpetua dies. Diem autem illam notam Domino esse dicit. Solus enim Deus et Pater consummationis diem novit. Persua-

[60] II Cor. v, 10. [61] I Thess. iv, 16. [62] Isa. xxxiv, 15, 16. [63] Psal. xcm, 14, 15. [64] Joan. xx, 17. [65] Isa. lx, 19. [66] Matth. xxiv, 29.

Digitized by Google

det nobis hoc ipse quoque Filius, ita loquens : « De die autem illo et hora nemo novit, neque angeli in cœlo, neque Filius, nisi Pater solus [66]. » Quatenus enim homo nostri similis cognoscitur, nescit quæ in Patre sunt. Quatenus autem natura est Deus, et ex ipso exstitit, utique etiam extremum diem novit, tametsi illum se nosse neget, propter humanam naturam suam videlicet. Interpretans autem nobis propheta, et declarans quod dixit, his adjungit : « Et non dies, et non nox erit, sed ad vesperam erit lux ; » id est, in tempore noctis lux erit rursum, quæ per Christum qui sub cœlo est mundum illustravit, tenebris penitus discussis, nec sanctorum oculis amplius superfusis. Non sine certa porro ratione ipsam quoque creaturam in melius reformandam existimamus, et fide dignus B est Salvatoris discipulus, qui ait venturum diem Domini ut **801** furem in nocte, et cœlos magno impetu transituros, elementa vero confluentia solutum, et terram, et quæ in ipsa sunt opera exustum iri omnia; cœlos autem novos et terram novam secundum promissa ipsius nos exspectare [67]. Quod nos cogitare etiam necesse est. Si enim nostra omnino erunt in novitate vitæ, nova quoque creatura nobis opus erit. Nam, ut scribit divinus Paulus : « Liberabitur et ipsa creatura aliquando a servitute in libertatem gloriæ filiorum Dei [68]. »

Vers. 8, 9. *In die illa egredietur aqua viva de Jerusalem, media pars ejus in mare primum, et media pars ejus in mare novissimum, et in æstate, et in vere sic erit. Et erit Dominus in regem super omnem terram.*

CVI. Rursum narrat nobis, quamvis involutius, Spiritum sanctum super sanctos largissime et uberrime effusum iri, eo potissimum tempore, quo in sanctam et semper duraturam vitam subvecti fuerint, ad illam, inquam, futuri sæculi. Nunc enim per fidem in Christum quasi arrhabonem et pignus primitias sancti Spiritus pro divitiis accepimus. Ubi autem a mortuis redierimus, peccato prorsus sublato, non tanquam arrhabo amplius et in mensura divinus Spiritus in nobis erit, sed affatim et copiose, D ut dixi, et tum perfecte in donis per Christum acquisitis lætabimur. Aquam igitur vivam appellat Spiritum, « Quæ et de superna Jerusalem egredietur, » inquit. Quoniam enim universorum Deum in cœlis habitare ab ipso inspirata Scriptura prænuntiet, quamvis ubique sit et eo plena sint omnia, idcirco etiam vivificum Spiritum de cœlo egressurum dicit. Solere autem divinum Spiritum aquis comparari in sacris Litteris, ipse ejus dator testificabitur, Filius nempe : « Qui credit in me, sicut dicit

λέγων αὐτὸς ὁ Χριστός· « Εὐθέως δὲ μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων, ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς. » Ἀρκέσει γὰρ ὁ Χριστὸς εἰς φῶς ἡμῖν αἰώνιον, καὶ αὐτὸς ἔσται μακρὰ καὶ διηνεκὴς ἡμέρα. Τὴν δέ γε ἡμέραν ἐκείνην γνωστὴν εἶναί φησι τῷ Κυρίῳ. Μόνος γὰρ οἶδεν ὁ Θεὸς καὶ Πατὴρ τὴν τῆς συντελείας ἡμέραν. Ἐμπεδοῖ πρὸς τοῦτο ἡμᾶς καὶ αὐτὸς ὁ Υἱός, οὕτω λέγων· « Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι ἐν οὐρανῷ, οὐδὲ ὁ Υἱός, εἰ μὴ ὁ Πατὴρ μόνος. » Ἡ μὲν γὰρ νοεῖται καθ' ἡμᾶς ἄνθρωπος, οὐκ ἂν εἰδείη τὰ ἐν τῷ Πατρί. Ἡ δέ ἐστι φύσει Θεὸς, καὶ ἐξ αὐτοῦ πεφηνὼς, οἶδέ που πάντως καὶ τὴν ἐσχάτην ἡμέραν, κἂν εἰ λέγοι μὴ εἰδέναι διὰ τὸ ἀνθρώπινον. Διερμηνεύων δὲ ἡμῖν ὁ προφήτης, καὶ σαφέστερον καθιστὰς ὅπερ ἔφη, προσεπάγει τούτοις· « Καὶ οὐχ ἡμέρα, καὶ οὐ νὺξ ἔσται, ἀλλὰ πρὸς ἑσπέραν ἔσται φῶς, » τουτέστιν, ἐν καιρῷ νυκτὸς, φῶς ἔσται πάλιν τὸ διὰ Χριστοῦ καταστράψαν τὴν ὑπ' οὐρανὸν, ἀνηρημένου παντελῶς τοῦ σκότους, καὶ τοῖς τῶν ἁγίων ὀφθαλμοῖς οὐκ ἐπιπολάζοντος ἔτι. Ἔχει δὲ τὸν οἰκεῖον λόγον τὸ, καὶ αὐτὴν οἴεσθαι κτίσιν ἐπὶ τὰ ἀμείνω μεταῤῥυθμίζεσθαι, καὶ ἀξιόχρεως μὲν τοῦ Σωτῆρος ὁ μαθητὴς, ἥξειν τὴν ἡμέραν Κυρίου ὡς κλέπτην λέγων, οὐρανοὺς δὲ ὀτιζηδὸν παρελεύσεσθαι, στοιχεῖα δὲ καυσούμενα λυθήσεσθαι, γῆν δὲ, καὶ τὰ ἐν αὐτῇ ἔργα κατακαυθήσεσθαι πάντα, οὐρανοὺς δὲ καινοὺς ἡμᾶς, καὶ καινὴν γῆν κατὰ τὰ ἐπαγγέλματα αὐτοῦ προσδοκᾶν. Πλὴν καὶ ἐξ ἀναγκαίων εἰς τοῦτο βαδιούμεθα λογισμῶν. Εἰ γὰρ ἔσται πάντως ἐν καινότητι ζωῆς τὰ καθ' ἡμᾶς, καινῆς ἡμῖν δεῖ καὶ κτίσεως. Ὡς γὰρ ὁ θεσπέσιος γράφει Παῦλος, « Ἐλευθερωθήσεται καὶ αὐτὴ κατὰ καιροὺς ἡ κτίσις ἀπὸ τῆς δουλείας εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ. »

C *Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελεύσεται ὕδωρ ζῶν ἐξ Ἰερουσαλὴμ, τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώτην, καὶ τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην, καὶ ἐν θέρει, καὶ ἐν ἦρι ἔσται οὕτως. Καὶ ἔσται Κύριος εἰς βασιλέα ἐπὶ πᾶσαν τὴν γῆν.*

ΡΖ'. Ἐξηγεῖται πάλιν ἡμῖν αἰνιγματωδῶς, ὅτι δὴ πλείστη τε ὅση, καὶ ἀμφιλαφὴς ἡ τοῦ ἁγίου Πνεύματος χύσις τοῖς ἁγίοις ἐκνεμηθήσεται, κατ' ἐκεῖνο μάλιστα τοῦ καιροῦ, καθ' ὃν ἂν εἰς ἁγίαν τε καὶ ἀείδρυτον ἀνακομισθεῖεν ζωὴν, τὴν ὡς ἐν αἰῶνι, φημὶ, τῷ μέλλοντι. Νυνὶ μὲν γὰρ διὰ πίστεως τῆς εἰς Χριστὸν ὡς ἐν ἀῤῥαβῶνος τάξει τὴν ἀπαρχὴν τοῦ ἁγίου Πνεύματος πεπλουτήκαμεν. Μετὰ δέ γε τὴν ἐκ νεκρῶν ἀναβίωσιν, ἀνηρημένης εἰς ἅπαν τῆς ἁμαρτίας, οὐκ ἐν ἀῤῥαβῶνος ἔτι τάξει τε καὶ μέτρῳ τὸ θεῖον ἐν ἡμῖν ἔσται Πνεῦμα, πλουσίως δὲ καὶ ἀμφιλαφῶς, ὡς ἔφην, καὶ ἤδη τελείως τοῖς διὰ Χριστοῦ χαρίσμασιν ἐντρυφήσομεν. Ὕδωρ δὴ οὖν ζῶν ὀνομάζει τὸ Πνεῦμα, « Ὃ καὶ ἐκ τῆς ἄνω Ἰερουσαλὴμ ἐξελεύσεται, φησίν. Ἐπειδὴ γὰρ κατοικεῖν ἐν οὐρανοῖς τὸν τῶν ὅλων Θεὸν ἡ θεόπνευστος ἔφη Γραφὴ, εἰ καὶ ἔστι πανταχοῦ καὶ πεπλήρωκε τὰ πάντα, ταύτῃ τοι φησὶ καὶ ἐξ οὐρανοῦ τὸ ζωοποιὸν ἐξελεύσεται Πνεῦμα. Ὅτι δὲ ὕδασι παρεικάζειν ἔθος τοῖς ἱεροῖς Γράμμασι τὸ Πνεῦμα τὸ θεῖον, αὐτὸς πιστώσεται λέ-

[66] Marc. XIII, 32. [67] I Petr. III, 10-14. [68] Rom. VIII, 21.

Digitized by Google

γειν ὁ τούτου δοτὴρ, τουτέστιν, ὁ Υἱός· « Ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ Γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζωῆς. » Καὶ τοῦτο διερμηνεύων ὁ Θεσπέσιος εὐαγγελιστὴς, καὶ καθιστὰς ἐναργὲς, « Τοῦτο δὲ εἶπε, φησὶ, περὶ τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. » Ἐπειδὴ γὰρ τὸ Πνεῦμά ἐστι ζωοποιὸν, ὕδατι ταύτῃ τοι τῶν σωμάτων ζωοποιῷ παρεικάζεται, καὶ μάλα ὀρθῶς. Ὅτι δὲ τοῖς τῆς ἁγίας ἠξιωμένοι ζωῆς παρατέθειται πλουσίως τὸ χρῆμα μεταλαχεῖν τῆς τοῦ ἁγίου Πνεύματος χορηγίας, καὶ οἷάπερ ὑδάτων ἐμφορεῖσθαι ζωοποιῶν, ὑπεμφαίνει λέγων, ὅτι τοῦ ὕδατος, τοῦ προσδοκωμένου κατὰ καιροὺς ἐξ Ἱερουσαλὴμ ἐξελεύσεσθαι, τὸ μὲν ἥμισυ βαδιεῖται πρὸς θάλασσαν τὴν πρώτην, τὸ δὲ ἥμισυ πρὸς τὴν θάλασσαν τὴν ἐσχάτην. Καὶ τί δὴ τοῦτό ἐστι; Θαλάσσαις τε καὶ ζάσιν ἐξομοιοῖ πολλάκις ἡ θεία Γραφὴ πολλὰ τῶν ἀνθρώπων ἔθνη, καὶ τὴν ἀριθμοῦ κρείττονα πληθύν. Καὶ οὕτω πού φησι δι' ἑνὸς τῶν ἁγίων προφητῶν, « Ὅτι ἐνεπλήσθη ἡ σύμπασα γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας. » Ἔφη δέ που καὶ ὁ θεσπέσιος Δανιὴλ, τὰ ἐν ἐσχάτοις καιροῖς συμβησόμενα τοῖς ἀνὰ πᾶσαν τὴν οἰκουμένην προαναφωνῶν· « Ἐγὼ Δανιὴλ ἐθεώρουν, καὶ ἰδοὺ οἱ τέσσαρες ἄνεμοι τοῦ οὐρανοῦ προσέβαλον εἰς τὴν θάλασσαν τὴν μεγάλην, καὶ τέσσαρα θηρία μεγάλα ἀνέβαινον ἐκ τῆς θαλάσσης, διαφέροντα ἀλλήλων. » Σαφέστερον δὲ τοῦτο αὐτὸ καθιστὰς ὁ μακάριος Δαβὶδ ἀναμέλπει, λέγων· « Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ, ὧν οὐκ ἔστιν ἀριθμὸς, ζῶα μικρὰ μετὰ μεγάλων. Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ. » Ποῖον γάρ εἶναί φαμεν ἐν τῇ αἰσθητῇ θαλάσσῃ τὸν δράκοντα πεπλασμένον εἰς τὸ ἐμπαίζεσθαι παρὰ τοῦ πάντων κρατοῦντος Θεοῦ; Ἔθος δὴ οὖν τοῖς ἱεροῖς Γράμμασι καὶ πάντα τὸν κόσμον θαλάσσαις ἐξομοιοῦν, καὶ πολλὴν ἀνθρώπων ἔσθ' ὅτε πληθύν. Ὅτι τοίνυν ἴσῳ μέτρῳ διανεμηθήσεται παρὰ Θεοῦ ἡ τοῦ Πνεύματος χάρις τοῖς τε ἐξ Ἰσραὴλ πιστεύσασι, καὶ τοῖς ἐξ ἐθνῶν, ὑπεμφαίνει λέγων περὶ τοῦ ὕδατος τοῦ ζωοποιοῦ, ὡς ἐξελεύσεται τὸ ἥμισυ μὲν εἰς τὴν θάλασσαν τὴν πρώτην, τὸ δὲ ἕτερον ἥμισυ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην. Θάλασσαν δὲ πρώτην ὀνομάζει τὸν Ἰσραήλ· ἐσχάτην δὲ τὴν τῶν μετ' ἐκείνους πεπιστευκότων πληθύν, τουτέστι τὰ ἔθνη. Καὶ οὕτι πού φαμεν, ὡς μεμέρισται τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἀτελὲς ἐν ἑκατέροις ἔσται, διά τοι τὸ ἥμισυ λέγεσθαι, πολλοῦ γε καὶ δεῖ· οἰησόμεθα δὲ μᾶλλον, ἐκεῖνο βούλεσθαι τὸν προφήτην ὑποδηλοῦν, ὡς ἐν ἰσότητι τῆς χάριτος ἡ διανομὴ τούτοις τε κἀκείνοις ἐκνεμηθήσεται. Τὸ γὰρ ἥμισυ καὶ ἥμισυ, τῆς ἰσοστάθμου φιλοτιμίας καὶ τῆς ἰσότητος ἔσται σημαντικόν. Ὅτι δὲ διηνεκὴς ἡ χάρις, καὶ κατὰ πάντα καιρὸν ἡ μέθεξις, ἀταλαίπωρον ἰδεῖν, ἀπὸ τοῦ φάναι πάλιν, « Ὅτι καὶ ἐν θέρει, καὶ ἐν ἔαρι ἔσται οὕτως. » Ἰστέον δὲ, ὅτι ἀντὶ τοῦ, *ἐν ἔαρι*, τὸ *ἐν χειμῶνι* φησὶ τῶν Ἑβραίων ἡ ἔκδοσις. Ἔσται δὴ οὖν, φησὶ,

A Scriptura, flumina de ventre ejus fluent aquæ vivæ [69]. » Quod exponens et enucleans sacer evangelista, « Hoc autem dicebat, inquit, de Spiritu quem accepturi erant credentes in eum [70]. » Quia namque Spiritus est vivificus, ideo cum aqua vivificante appositissime confertur. Quod autem dignatis sancta vita liceat abunde sortiri possessionem sancti Spiritus, **802** et tanquam aquis vivificantibus repleri, indicat, cum dicit, aquæ illius quæ aliquando Hierosolymis egressura exspectatur, dimidium abiturum ad mare primum, et dimidium ad mare extremum. Hoc vero quid est? Mari et aquis frequenter multas gentes et multitudinem innumerabilem divinæ Litteræ assimilant. Atque ita per quemdam sanctorum prophetarum ait : « Quia B repleta est omnis terra ut cognoscat Dominum, sicut aqua multa operiet maria [71]. » Quin et divinus Daniel extremis temporibus eventura omnibus mortalibus prænuntians : « Ego Daniel videbam, et ecce quatuor venti cœli irruebant in mare magnum, et quatuor bestiæ magnæ ascendentes de mari, differentes invicem [72]. » Quod apertius beatus David canit : « Hoc mare magnum et spatiosum, illic reptilia quorum non est numerus, animalia pusilla cum magnis. Illic naves pertransibunt, draco iste quem formasti ad illudendum ei [73]. » Qualem enim draconem in mari sensibus patente ab omnipotente Deo ad illudendum homini formatum esse dicemus? Consuevit igitur sacra Scriptura etiam totum mundum, et nonnunquam magnam hominum multitudinem mari comparare. Quocirca mensura pari Spiritus gratiam distributum iri iis, qui ex Israel crediderint et iis qui ex gentibus, ostendit dicens, de aqua vitali egressurum dimidium quidem in mare primum, alterum dimidium in mare extremum. Mare primum nominat Israel, extremum multitudinem, quæ post illum fidem est amplexata, gentes scilicet. Nec dicimus divisum esse Spiritum sanctum, et in utrisque imperfectum fore, quia dimidium dicitur : absit; sed prophetam illud potius indicare velle putabimus, æqualiter gratiam his et illis impertitum iri. Nam medium et medium in pari et æquali liberalitatem et æqualitatem ipsam declarat. Perpetuam autem esse gratiam et in omne ævum mansuram, non difficile est videre ex eo quod addi- D tur : « Quia in æstate, et in vere sic erit, » hoc est, semper. Scias velim, pro *vere* Hebræam editionem legere, *in hieme*. Sed inconveniens non est, pro *hieme* **803** etiam *ver* dicere secundum LXX Scripturam : in medio quippe velut spatio acierum duarum situm est, ut si quis etiam ipsum hibernæ tempestati ascribat, nihil improbabile, aut a recto alienum sit facturus. Quod si quis et alio modo intelligere voluerit, quod de aqua sub intelligentiam cadente dicitur, nempe, quod « egredietur dimidium ejus in mare primum, et dimidium ejus in mare extremum, et in æstate atque vere sic erit, » talem ver-

[69] Joan. VII, 38. [70] Ibid. 39. [71] Isa. XI, 9. [72] Dan. VII, 2, 3. [73] Psal. CIII, 25, 26.

Digitized by Google

horum istorum sensum accipiet : Mare primum nominat ad orientem fortasse situm, ultra terræ totius oras; extremum, ad extremos occidentis fines. Velut enim faciem et principium orbis, orientem definit : æstatem autem, opinor, calidas et australes mundi partes vocat : ver aquilonares et frigidas. Sic enim divinus David quatuor sub cœlo climata significare volens, ad Deum exclamabat : « Æstatem et ver tu plasmasti ea [75]. » Et iterum : « Aquilonem et mare tu creasti [76]. » Inquit ergo, Egredietur aqua viva æqualiter, et in pari gratia in mare primum et in extremum, hoc est, in orientem et occidentem, et in æstate et in vere, hoc est item, in austrum et aquilonem. Replebitur enim mundus charismatibus per Christum, et permanebit omnino donum in iis qui acceperint. Tunc, tunc « erit Dominus in regem super omnem terram. » Sub ipso enim solo erimus, et ipse dominabitur deletis penitus principibus mundi sæculi hujus, et omni principatu perverso, et tyrannide contra nos triumphatis, ipso Satana cum virtutibus ejus maligais profligato.

A κατὰ τὰ αὐτὰ, καὶ ὡσαύτως ἡ τῶν νοητῶν ὑδάτων χύσις, ἐν χειμῶνί τε καὶ ἐν θέρει, τουτέστι, κατὰ πάντα καιρόν. Λυπεῖ δὲ οὐδὲν καὶ ἀντὶ τοῦ *χειμῶνος* τὸ *ἔαρ* εἰπεῖν, κατὰ τὴν τῶν Ἑβδομήκοντα γραφήν· κεῖται γὰρ ὡς ἐν μεταιχμίῳ χειμῶνός τε καὶ θέρους, ὥστε κἂν εἴτις αὐτὸ τοῖς τοῦ χειμῶνος ἀπονέμῃ καιροῖς, τὸν τοῦ εἰκότος, ἢ καὶ ὀρθῶς ἔχοντος, οὐκ ἀδικήσει λόγον. Εἰ δὲ δή τις βούλοιτο καὶ καθ' ἕτερον συνιέναι τρόπον τὸ περὶ τοῦ νοητοῦ λεγόμενον ὕδατος, ὡς « ἐξελεύσεται τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώτην, καὶ τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην, καὶ ἐν θέρει, καὶ ἐν ἔαρι, ἔσται οὕτω, » τοιαύτην τινὰ τοῦ προκειμένου περίνοιαν εἰσδέξεται· Θάλασσαν μὲν γὰρ ὀνομάζει πρώτην, τὴν B πρὸς ἠὼ τάχα που κειμένην, τὴν ἐπέκεινά φημι τερμάτων τῆς ὅλης γῆς, ἐσχάτην γε μὴν τὴν πρὸς αὐταῖς ταῖς ἑσπέραις ἐσχατιαῖς. Πρόσωπον γὰρ οἱονεί πως, καὶ ἀρχὴν ὁρίζεται τῆς οἰκουμένης τὴν ἀνατολήν· θέρος δὲ, οἶμαί που, τὰ θερμὰ, καὶ νότια τῆς οἰκουμένης ἀποκαλεῖ μέρη, ἔαρ δὲ πάλιν τὰ βόρεια τε καὶ ψυχρά. Οὕτω γὰρ ὁ θεσπέσιος Δαβὶδ τὰ τέσσαρα τῆς ὑπ' οὐρανὸν κλίματα σημῆναι θέλων, ἀνεφώνει πρὸς Θεόν· « Θέρος, καὶ ἔαρ σὺ ἔπλασας αὐτά. » Καὶ πάλιν, « Τὸν βορρᾶν, καὶ τὴν θάλασσαν σὺ ἔκτισας. » Ἐξελεύσεται δὴ οὖν, φημὶ, τὸ ὕδωρ τὸ ζῶν ἐν ἰσότητι, καὶ ἰσομοιρούσῃ χάριτι εἴς τε τὴν θάλασσαν τὴν πρώτην, καὶ μέν τοι καὶ εἰς τὴν ἐσχάτην, τουτέστιν, εἰς ἕω τε καὶ δύσιν, καὶ ἐν θέρει, καὶ ἐν ἔαρι, τουτέστι πάλιν, εἰς τὸν νότον τε καὶ εἰς βορρᾶν. Ἐμπλησθήσεται γὰρ ἡ ὑπ' οὐρανὸν τῶν διὰ Χριστοῦ χαρισμάτων, ἐναπομενεῖ δὲ πάντως τοῖς λαβοῦσιν ἡ δωρεά. Τότε δὴ, τότε « ἔσται Κύριος εἰς βασιλέα ἐπὶ πᾶσαν τὴν γῆν. » Ὑπ' αὐτῷ γὰρ ἐσόμεθα μόνῳ, καὶ αὐτὸς κατάρξει τῶν ὅλων κατηργημένων εἰς ἅπαν τῶν κοσμοκρατόρων τοῦ αἰῶνος τούτου, καὶ ἁπάσης ἀρχῆς πονηρᾶς τεθριαμβευμένης, καὶ τῆς καθ' ἡμῶν πλεονεξίας, ἐκβεβλημένων αὐτοῦ τε τοῦ Σατανᾶ καὶ τῶν σὺν αὐτῷ δυνάμεων πονηρῶν.

VERS. 19, 11. *In die illa erit Dominus unus, et nomen ejus unum, circumiens omnem terram, et desertum a Gaba usque Remmon ad austrum Jerusalem. Rama autem in loco permanebit a porta Benjamin usque ad locum portæ primæ, usque ad portas angulorum, et usque ad turrim Anamuel. Usque ad torcularia regis habitabunt in ea, et anathema non erit ultrà, et habitabit Jerusalem confidenter.*

C *Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται Κύριος εἷς, καὶ τὸ ὄνομα αὐτοῦ ἕν, κυκλῶν τὴν γῆν, καὶ τὴν ἔρημον ἀπὸ Γαβὰ ἕως Ῥεμμὼν κατὰ νότον Ἰερουσαλήμ. Ῥαμὰ δὲ ἐπὶ τόπου μενεῖ, ἀπὸ τῆς πύλης Βενιαμὶν ἕως τοῦ τόπου τῆς πύλης τῆς πρώτης, ἕως τῆς πύλης τῶν γωνιῶν, καὶ ἕως τοῦ πύργου Ἀναμουήλ. Ἕως τῶν ὑπολήνιων τοῦ βασιλέως κατοικήσουσιν ἐν αὐτῇ, καὶ ἀνάθεμα οὐκ ἔσται ἔτι, καὶ κατοικήσει Ἰερουσαλὴμ πεποιθότως.*

CVII. Semper fere tectus et obscurus est sanctorum prophetarum sermo, idque a Deo sapienter administrari puto, ne sancta canibus proponantur; neque vere **804** pretiosa margarita ante pedes porcorum negligentius projecta, contumeliosissime conculcetur [77]. » Verumtamen Christus in spiritu dignis cognitionem revelat, et futuri sæculi virtutes seu beatitudines manifestat. Informantur autem pene semper in his quæ sensibus percipiuntur, occulta et ad intelligentiam pertinentia, et eorum quæ aspectum nostrum fugiunt, ea quæ in oculos nostros incurrunt, quasi corpus fiunt. Ait igitur, « Illa die, » id est, illo tempore, nobis in novitatem vitæ translatis, ipsaque creatura in statum priore nobiliorem reformata, fore Dominum unum, et nomen ejus unum, circumiens omnem terram. Erat quidem, et est, et erit semper unus Dominus, natura

PZ'. Ἀσαφὴς ἀεί πώς ἐστι τῶν ἁγίων προφητῶν ὁ λόγος, καὶ τοῦτο, οἶμαι, σοφῶς διοικουμένου Θεοῦ, ἵνα μὴ προκέοιτο τὰ ἅγια τοῖς κυσὶ· μήτε μὴν παρὰ τοῖς συῶν ποσὶν ἀτημελῶς ἐῤῥιμμένος, ὁ πολύτιμος ἀληθῶς περιυβρίζοιτο μαργαρίτης. Πλὴν ἀποκαλύπτει D Χριστὸς ἐν πνεύματι τοῖς ἀξίοις τὴν γνῶσιν, καὶ τὰς τοῦ μέλλοντος αἰῶνος δυνάμεις καθίστησιν ἐναργεῖς. Ἀνατυποῦται δὲ ὡς ἐπίπαν ἔν γε τοῖς αἰσθητοῖς τὰ κεκρυμμένα καὶ νοητὰ, καὶ οἱονεὶ σῶμα τῶν ἀφανεστέρων τὰ ἐμφανῆ γίνεται. Ἔφη τοίνυν, ὅτι « Κατ' ἐκείνην τὴν ἡμέραν, » ἤγουν τὸν καιρὸν, μετατεθειμένων τῶν καθ' ἡμᾶς εἰς καινότητα ζωῆς, ἀνεστοιχειωμένης δὲ καὶ αὐτῆς τῆς κτίσεως εἰς τὸ ἄμεινον ἢ πρὶν, Ἔσται Κύριος εἷς, καὶ τὸ ὄνομα αὐτοῦ ἕν, κυκλοῦν πᾶσαν τὴν γῆν. Ἦν μὲν γὰρ ἀεὶ, καὶ ἔστι, καὶ ἔσται Κύριος εἷς, ὁ φύσει τε καὶ ἀληθῶς τῶν ὅλων Θεὸς, καὶ παρενεγκὼν εἰς τὸ εἶναι τὰ οὐκ ὄντα ποτέ.

[75] Psal. LXXIII, 17. [76] Psal. LXXXVIII, 13. [77] Matth. VII, 6.

Digitized by Google

Ἐπειδὴ δὲ πεπλάνηκε τὴν ὑπ' οὐρανὸν ὁ τῆς ἁμαρτίας εὑρετής, τουτέστιν ὁ Σατανᾶς, εἰς ψευδῆ, καὶ βέβηλον λατρείαν οἱ δείλαιοι παρακεκομίσμεθα, καὶ διετελοῦμεν ἐν κόσμῳ τυφλοὶ καὶ μωροὶ, κυρίους ὀνομάζοντες τοὺς πεπλανηκότας, καὶ τὸ τῆς θεότητος ὄνομα τοῖς ἀκαθάρτοις δαίμοσιν ἐπιφημίζοντες ἀμαθῶς. Πλὴν παρῳχηκότος, καὶ εἰς πέραν ἤδη ἥκοντος τοῦ παρόντος αἰῶνος, τότε δὴ, τότε καὶ φρενοβλαβείας ἁπάσης ἐξ ἡμῶν ἐξῃρημένης, τεθειμένων δὲ ἤδη τῶν ἐχθρῶν ὑπὸ πόδας Χριστοῦ, Κύριος εἷς ἔσται λοιπὸν ἐπὶ πᾶσαν τὴν γῆν, οὐδενὸς ἀπ' αὐτοῦ τὴν τῆς κυριότητος ἁρπάζοντος δόξαν. Κύριος δὲ καὶ ἑτέρως εἷς ἔσται Χριστὸς, ἀπρακτούσης μὲν πάσης ἐπιγείου βασιλείας, καὶ αὐτῷ δὴ καὶ μόνῳ τὸ κατὰ πάντων κράτος ἀνατιθείσης τῆς ὑπ' οὐρανόν. Ἔφη δέ τι τοιοῦτον καὶ ὁ σοφώτατος Δανιήλ. Ἀφηγούμενος γὰρ τοὺς τῶν ὁράσεων τρόπους, φησίν· « Ὃν τρόπον εἶδες ὅτι ἀπὸ ὄρους ἐτμήθη λίθος ἄνευ χειρὸς, καὶ ἐλέπτυνε τὸν ὄστρακον, τὸν σίδηρον, τὸν χαλκὸν, τὸν ἄργυρον, τὸν χρυσόν. Ὁ Θεὸς ὁ μέγας ἐγνώρισε τῷ βασιλεῖ, ἃ δεῖ γενέσθαι μετὰ ταῦτα, καὶ ἀληθινὸν τὸ ἐνύπνιον, καὶ πιστὴ ἡ σύγκρισις αὐτοῦ. » Οὐκοῦν εἷς ἔσται καὶ μόνος, καὶ πληρώσει τῆς ἑαυτοῦ δόξης τὴν ἁγίαν πόλιν, τουτέστι τὴν νοητὴν Ἱερουσαλὴμ, ἧς τὸ εὖρος καὶ μῆκος ὡς ἐν τύπῳ πάλιν τῇ ἐπιγείῳ δείκνυσιν Ἱερουσαλήμ. Ῥεμμὼν δὲ δή πέτρα τίς ἐστι, κατὰ τὴν νοτίαν ἔρημον. Οὐκοῦν τὸ μὲν εὖρος τῆς Ἱερουσαλὴμ, ἀπὸ Γαβὰ ἕως Ῥεμμών. Ὁρίζεται δὲ καὶ τὸ μῆκος οὕτω λέγων· « Ἀπὸ τῆς πύλης Βενιαμὶν ἕως τῆς πύλης τῆς πρώτης ἕως τῶν πυλῶν τῶν γωνιῶν, καὶ ἕως τοῦ πύργου Ἀναμεὴλ, ἕως τῶν ὑπολενίων τοῦ βασιλέως. » Πύλη δὲ πρώτη, καὶ μὴν καὶ πύλη γωνιῶν οὕτω τινὲς ἦσαν κατὰ Ἱερουσαλὴμ ὠνομασμέναι· καὶ πύργος δὲ ἦν Ἀναμεὴλ καλούμενος, μεθ' ὃν εὐθὺς καὶ τὰ ὑπολήνια τοῦ βασιλέως· τόποι δὲ οὗτοι τῆς Ἱερουσαλὴμ τὸ μῆκος ὡς ἐν τύπῳ κατασημαίνοντες. Ὥσπερ γὰρ ἐκέλευε τῷ μακαρίῳ προφήτῃ Ἰεζεχιὴλ ὁ τῶν ὅλων Θεὸς ἀναμετρεῖν καλάμῳ τὸν οἶκον, τῇδέ τε κἀκεῖ διάττοντα, ὑπεμφαίνων, ὅτι πολλαὶ μοναὶ παρὰ τῷ Θεῷ, μυρία τε ὅσα τῶν ἁγίων ἐνδιαιτήματα· οὕτω μοι κἀνθάδε δοκεῖ διὰ τόπων ὑπεμφαίνειν εὖρός τε καὶ μῆκος, καὶ καταγράφειν ἡμῖν τὴν νοητὴν Ἱερουσαλὴμ, τουτέστι τὴν Ἐκκλησίαν Χριστοῦ, πρὸς ὃν καὶ ὁ θεσπέσιος Ἡσαΐας ἀνεφώνει, λέγων· « Πλάτυνον τὸν τόπον τῆς σκηνῆς σου, καὶ τῶν αὐλαιῶν σου, πῆξον, μὴ φείσῃ, μάκρυνον τὰ σχοινίσματά σου, καὶ τοὺς πασσάλους σου κατίσχυσον ἔτι, εἰς τὰ δεξιὰ καὶ εἰς τὰ ἀριστερὰ ἐκπέτασον. » Κατευρυνθεῖσαν δὴ οὖν τὴν ἁγίαν πόλιν, καὶ εἰς μῆκος τὸ ταύτῃ πρέπον ἐκτεινομένην, κατοικήσουσιν οἱ ἅγιοι, καὶ οὐκ ἔσται, φησὶν, « ἀνάθεμα ἔτι, » τουτέστι, κατ' οὐδένα τρόπον ἀλλοτριωθήσεται Θεοῦ· βεβαίαν γὰρ αὐτῇ χαριεῖται τὴν ἀγάπησιν, καὶ οὐκ ἂν ἐκπέσοιεν ἔτι πρὸς τὸ προσκρούειν Θεῷ, ἀνῃρημένης, ὡς ἔφην, τῆς ἁμαρτίας εἰς τὸ παντελὲς, καὶ τοῦ πειράζοντος Σατανᾶ. Οὐ γὰρ ἔσται ἐκεῖ λέων, οὐδὲ τῶν θηρίων τῶν πονηρῶν οὐδὲν οὐ μὴ

A et verè universorum Deus, qui quæ aliquando non erant, ut essent effecit. Ast ubi peccati inventor Satanas mundum seduxit, ad falsum et impurum cultum infelices deducti, manebamus in mundo cæci et fatui, dominos nominantes seductores, et divinitatis nomen immundis dæmonibus stulte attribuentes. Cæterum ubi præterierit, et jam ad finem devenerit sæculum præsens, tunc, tunc omni dementia a nobis ablata et inimicis sub pedes Christi prostratis, Dominus unus deinceps erit super omnem terram, dominicam gloriam nemine illi auferente. Alia quoque ratione Christus erit unus Dominus, cessante omni regno, terreno scilicet, et illi soli imperio totius mundi consecrato. Tale quid dictum exstat a sapientissimo Daniele. Enarrans enim vi-
B sionem, inquit : « Quemadmodum vidisti, rex, de monte abscissum lapidem sine manu, testam, ferrum, æs, argentum et aurum comminuere. Deus magnus nota fecit regi quæ oportet fieri post hæc, et verum somnium, et fidelis conjectura ejus [77]. » Itaque unus et solus erit, qui gloriæ sua sanctam civitatem implebit, hoc est, intelligibilem Jerusalem, cujus latitudinem et longitudinem rursum ut in typo per terrestrem Jerusalem ostendit. Remmon porro petra quædam est in solitudine australi. Igitur latitudo quidem Jerusalem a Gaba usque Remmon. Definit etiam longitudinem his verbis : « A porta Benjamin usque ad portam primam, usque ad portas angulorum, et usque ad turrim Anameel, usque ad torcularia regis. » Porta autem prima,
C et porta angulorum erant Hierosolymis sic appellatæ : turris erat Anameel dicta, post quam statim sequebantur torcularia regis : quæ **805** loca Hierosolymæ longitudinem ut in typo significant. Sicut enim mandavit beato prophetæ Ezechieli [78] universorum Deus calamo metiri domum, huc illuc porrectam, subostendens multas esse mansiones apud Deum, et multa millia diversoriorum pro sanctis : ita mihi et hic videtur per locorum latitudinem et longitudinem insinuari et describi nobis Jerusalem, quam ratione et cogitatione comprehendimus, id est Ecclesiam Christi, cui et divinus Isaias clamabat : « Dilata locum tentorii tui, et aulæorum tuorum : fige, ne parcas, protende funiculos tuos, et clavos conforta adhuc, ad dexteram et ad sini-
D stram dilata [79]. » Dilatatam ergo sanctam civitatem, et in longitudinem proportione latitudinis extensam habitabunt sancti, et non erit, inquit, « anathema amplius : » hoc est, nullo modo a Deo alienabitur, stabilem enim ei charitatem largietur, nec ultra labentur ut Deum offendant, peccato, ut dixi, et Satana tentatore prorsus sublatis. Non enim erit ibi leo, nec ulla malarum bestiarum ad illam ascendet, nec invenietur ibi. « Habitabunt enim confidenter. » Quoniam autem insertum est : « Rama vero in loco permanebit, » rursum illud dicimus sensum verborum quantum in nobis est interpretantes. Rama

[77] Dan. II, 45. [78] Ezech. XL, 61 seqq. [79] Isa. LIV, 2, 3.

Digitized by Google

oppidulum est, sive vicus, sors contribulium Aser. Et est alia insuper Rama Nephthalimitarum. Igitur sanctus propheta aut harum unius aut alterius Rama meminit. Ait namque : « Vox in Rama audita est, lamentatio, et fletus, et gemitus. Rachel plorans super filiis suis, et noluit consolari, quia non sunt [80]. » Hoc actum esse in Bethleem constat, Herode jubente infantes in ea repertos occidi [81]. Rama ergo vocat Jerusalem, quod in ipsa jam capta multa fuerit lamentatio, quam propheta Jeremias quasi lacrymantem, et super filiis perditis ejulantem introduxit. Ait enim : « Plorans plorabat in nocte, et lacrymæ ejus in maxillis ejus [82]. » Et quid plorabat? « Virgines meæ et juvenes mei abierunt in captivitatem, in gladio et in fame occidisti, in die iræ tuæ coxisti, non pepercisti [83]. » Ac si quis etiam de spirituali Jerusalem, id est, Ecclesia vocem Rama nunc positam esse senserit, nos id valde probamus. Multi enim sunt flentes in ecclesiis, **806** et tristes secundum Deum, quæ quidem tristitia « pœnitentiam in salutem stabilem operatur [84]. » Commendat tales etiam ipse Christus : « Beati qui lugent, quoniam ipsi consolabuntur [85]. » Et iterum : « Beati qui nunc fletis, quia ridebitis [86]. » Quamobrem, quamvis Rama a propheta dicatur Ecclesia, etiam sic verisimilitudo servabitur. Verumtamen in loco mansuram ait, hoc est, non agitatum iri. Firmata enim, ut dixi, et immobilis est Ecclesia Christi.

ἀναβῇ ἐπ' αὐτὴν, οὐδ' οὐ μὴ εὑρεθῇ ἐκεῖ. « Κατοικήσουσι γὰρ πεποιθότως. » Ἐπειδὴ δὲ τέθειται μεταξὺ, « Ῥαμὰ δὲ ἐπὶ τόπου μενεῖ, » πάλιν ἐκεῖνό φαμεν, τὰς τῶν προκειμένων ἐννοίας, ὡ, ἐνι, διερμηνεύοντες. Ῥαμὰ πολίχνη τίς ἐστιν, ἤτοι κώμη, κλῆρος δὲ τοῖς ἐκ φυλῆς Ἀσήρ. Καὶ ἑτέρα πρὸ; ταύτῃ τῶν ἐκ φυλῆς Νεφθαλείμ· διαμέμνηται δὲ καὶ προφήτης; ἅγιος ἢ τούτων μιᾶς, ἦγουν ἑτέρας Ῥαμά. Ἔφη γὰρ, ὅτι « Φωνὴ ἐν Ῥαμὰ ἠκούσθη, θρῆνος καὶ κλαυθμὸς καὶ ὀδυρμὸς πολύς. Ῥαχὴλ ἀποκλαιομένη ἐπὶ τοῖ; υἱοῖς αὐτῆς, καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσί. » Τοῦτο πεπράχθαι φαμὲν κατὰ τὴν Βηθλεὲμ, Ἡρώδου προστεταχότος τὰ ἐν αὐτῇ φονεύεσθαι βρέφη. Ῥαμὰ τοίνυν ὀνομάζει τὴν Ἱερουσαλὴμ, διάτοι τὸ ἐν αὐτῇ πολὺν γενέσθαι ἐπὶ τῇ ἁλώσει θρῆνον· εἰσκεκόμικε γὰρ αὐτὴν ὁ προφήτης Ἱερεμίας μονονουχὶ δακρύουσάν τε καὶ τοῖς ἰδίοις ἀπολωλόσιν ἑποιμώζουσαν τέκνοις. Ἔφη γὰρ, ὅτι « Κλαίουσα ἔκλαιε νυκτὶ, καὶ τὰ δάκρυα αὐτῆς ἐπὶ τῶν σιαγόνων αὐτῆς. » Καὶ τίς ἦν ὁ θρῆνος; « Παρθένοι μου, καὶ νεανίσκοι μου ἐπορεύθησαν ἐν αἰχμαλωσίᾳ, ἐν ῥομφαίᾳ, καὶ ἐν λιμῷ ἀπέκτεινας, ἐν ἡμέρᾳ ὀργῆς σου ἐμαγείρευσας, οὐκ ἐφείσω. » Εἰ δὲ δή τις βούλοιτο κἀπὶ τῆς νοητῆς Ἱερουσαλὴμ, τουτέστι, τῆς Ἐκκλησίας τεθεῖσθαι τὴν κλῆσιν, Ῥαμά τε αὐτὴν ὠνομάσθαι νυνὶ, φαμὲν ὅτι καὶ μάλα ὀρθῶς ὁ λόγος ἔχει. Πολλοὶ γὰρ οἱ κλαίοντες ἐν ἐκκλησίαις, καὶ τὴν κατὰ Θεὸν ἔχοντες λύπην, ἥτις « μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται. » Ἀποδέχεται τοὺς τοιούτους καὶ αὐτὸς ὁ Χριστὸς, οὕτω λέγων· « Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. » Καὶ πάλιν· « Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι αὐτοὶ γελάσονται. » Οὐκοῦν κἂν εἰ λέγοιτο Ῥαμὰ διὰ τῆς τοῦ προφήτου φωνῆς ἡ Ἐκκλησία, φορέσει καὶ οὕτω τὸ πιθανὸν ὁ λόγος. Πλὴν ἐπὶ τόπου φησὶ μενεῖ, τουτέστιν, οὐ σαλευθήσεται. Ἐρήρεισται γὰρ, ὡς ἔφην, καὶ ἔστιν ἀκλόνητος ἡ Ἐκκλησία Χριστοῦ.

VERS. 12. *Et hæc erit ruina qua percutiet Dominus omnes populos, quicunque militaverunt contra Jerusalem. Tabescent carnes eorum, stantium super pedes suos, et oculi eorum defluent de foraminibus eorum, et lingua eorum tabescet in ore ipsorum.*

Καὶ αὕτη ἔσται ἡ πτῶσις, ἣν κόψει Κύριος πάντας τοὺς λαοὺς, ὅσοι ἐπεστράτευσαν ἐπὶ Ἱερουσαλήμ. Τακήσονται αἱ σάρκες αὐτῶν, ἑστηκότων αὐτῶν ἐπὶ τοὺς πόδας αὐτῶν, καὶ οἱ ὀφθαλμοὶ αὐτῶν ῥυήσονται ἐκ τῶν ὀπῶν αὐτῶν, καὶ ἡ γλῶσσα αὐτῶν τακήσεται ἐν τῷ στόματι αὐτῶν.

CVIII. « Pressuram in hoc mundo habebitis [87], » in se credentibus Christus prædixit. Verumtamen ad fiduciam eos erigit, utiliter subjungens : « Sed confidite, ego vici mundum [88]. » Dedit enim nobis « calcare super serpentes et scorpiones, et supra omnem virtutem inimici [89]. » Sed qui sunt scorpiones, et quinam serpentes? Num videlicet detestandæ et cruentæ pestiferorum dæmonum, et sanctos persequentium cohortes, quæ etiam ministræ fuerunt summæ insaniæ spirituum in hoc mundo, qui et hoc universum circumeunt, sanctis multifariam insidiantes, quamvis per Christum triumphati, qui cruci suæ chirographum contra nos affixit [90], ut nos illorum dominatu liberaret? Quare quoniam Jerusalem, quæ est Ecclesia Dei viventis [91], confidenter habita-

ΡΗ'. « Θλῖψιν ἕξετε ἐν τῷ κόσμῳ, » τοῖς εἰς αὐτὸν πιστεύσασι προπεφώνηκεν ὁ Χριστός. Πλὴν εὐθαρσεστέρους ἀποτελεῖ, χρησίμως ἐνεγκών· « Ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον. » Δέδωκε γὰρ ἡμῖν « πατεῖν ἐπάνω ὄφεων, καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. » Τίνες δὲ οἱ σκορπίοι, καὶ τίνες οἱ ὄφεις; Ἢ δηλονότι τὰ μυσαρὰ καὶ μιαιφόνα τάγματα τῶν ἀλιτηρίων δαιμόνων, καὶ τῶν διωκόντων ἁγίους, οἳ καὶ γεγόνασιν ὑπουργοὶ τῆς ἀκράτου μανίας τῶν ἐν κόσμῳ πνευμάτων, & καὶ τόδε τὸ σύμπαν περινοστεῖ, πολυτρόπως τοῖς ἁγίοις ἐπιβουλεύοντα, καίτοι τεθριαμβευμένα διὰ Χριστοῦ, προσηλώσαντος τῷ ἰδίῳ σταυρῷ τὸ καθ' ἡμῶν χειρόγραφον, ἵνα τῆς ἐκείνων ἡμᾶς ἀπαλλάξῃ πλεονεξίας; Οὐκοῦν ἐπειδὴ κατοικήσειν ἔφη πεποιθότως τὴν Ἱε-

[80] Jerem. xxxi, 15. [81] Matth. II, 16-18. [82] Thren. I, 2. [83] Ibid. 18; II, 21. [84] II Cor. VII, 10. [85] Matth. V, 5. [86] Luc. VI, 21. [87] Joan. XVI, 33. [88] Ibid. [89] Luc. X, 19. [90] Coloss. II, 14. [91] I Tim. III, 15.

Digitized by Google

ρουσαλὴμ, ἥτις ἐστὶν Ἐκκλησία Θεοῦ ζῶντος, ἣν δὲ δὴ τοῦτο, καὶ μάλα ὀρθῶς, ἀποπερανθήσεσθαι προσδοκᾷν ἀναιρουμένων ἐχθρῶν, καὶ τῶν εἰωθότων διώκειν αὐτὴν ἀνατετραμμένων, ἀναγκαίαν ποιεῖται καὶ τούτων ἡμῖν τὴν ἀφήγησιν. « Αὕτη γὰρ ἔσται, φησὶν, ἡ πτῶσις, ἣν κόψει Κύριος πάντας τοὺς λαοὺς, ὅσοι ἐπεστράτευσαν ἐπὶ Ἱερουσαλήμ· αἱ σάρκες αὐτῶν κατατακήσονται, ἐκρυήσονται δὲ καὶ οἱ ὀφθαλμοὶ, συντηκομένης καὶ γλώττης. » Ὁ μὲν γὰρ κοινὸς οὗτος, καὶ ἐκ τῆς φύσεως θάνατος τήκει μὲν τὰς ἁπάντων σάρκας, καὶ ἀποκείρει ὀφθαλμοὺς, καὶ γλώσσας· πάνδεινον δὲ, καὶ τῆς εἰς λῆξιν ἠκούσης συμφορᾶς εἴη ἂν εἰκότως τὸ ζώντων, καὶ ἐστώτων ἔτι τακῆναι μὲν σάρκας, καὶ ἀπορρεῖν ὀφθαλμοὺς, κολάζεσθαι δὲ καὶ γλώττας. Εὖ δὲ δὴ σφόδρα τὰ τοιάδε συμβήσεσθαί φησι τοῖς θεομισῆ καὶ ἐπάρατον ἐπιτηδεύσασι ζωήν. Εἰσπραχθήσονται γὰρ δίκας, οὐχ ὑπέρ γε μόνον τῶν εἰς ἁγίους αὐτοῖς πεπλημμελημένων· ἀλλὰ καὶ ὑπὲρ ἧς ἐσχήκασιν ἐν τῷδε τῷ κόσμῳ φιλοσαρκίας· ἣ καὶ γέγονεν αὐτοῖς αἰτία τοῦ μήτε προσήκεσθαι τὴν πίστιν, μήτε μὴν ἐλέσθαι ζῆν εὐσεβῶς, καὶ τῆς ἐν Χριστῷ πολιτείας ἀγαπῆσαι τὴν δόξαν. Γεγόνασι μὲν γὰρ, ὡς ἔφην, ἀπονενευκότες ἀτόπως εἰς ἐκτόπους ἡδονάς· ἐσχήκασι δὲ καὶ ἐφ' ἑκάστῳ τῶν ὁρωμένων ἐπιθυμίαν, μονονουχὶ χανδὸν ἐκπίνοντες. Ἠκόνησαν δὲ καὶ γλῶτταν κατὰ Χριστοῦ, καὶ τῶν ἱερῶν τῆς Ἐκκλησίας δογμάτων ἀνοσίαν πεποίηνται τὴν κατάρρησιν. Εἰκότως δὴ οὖν εἰς σάρκας τε καὶ ὀφθαλμοὺς, καὶ γλώττας τὴν δίκην ἐσχήκασιν. Ὥσπερ γὰρ ἡ τὸ ὕδωρ τοῦ ἐλεγμοῦ πίνουσα γυνὴ, καὶ ψευσαμένη τὸν ὅρκον, εἰς μηρὸν ἐκολάζετο, περὶ ὃν γίνονται καὶ τὰ ἐκ τῆς πορνείας ἐγκλήματα, « Πρισθήσεται γὰρ, φησὶ, καὶ διαπεσεῖται ὁ μηρὸς αὐτῆς· » κατὰ τὸν ἴσον, οἶμαι, τρόπον καὶ τοῖς τὴν καὶ γλώσσας ἡ κόλασις· φιλοσαρκία γὰρ αὐτοῖς, ἐγκλήματα, καὶ ἀπαιδεύτου γλώττης φωναί.

A turam dixit, licebatque jure optimo hoc confectum iri sperare sublatis hostibus, et eversis iis qui eam persequi consueverant, necessario et hæc nobis narrat. Inquit enim : « Hæc erit ruina qua percutiet Dominus omnes populos, quicunque militaverunt contra Jerusalem : carnes eorum tabescent, et oculi eorum defluent, simul tabescente lingua. » Communis enim ista, et naturalis mors omnium quidem carnes tabefacit, et oculis atque linguis spoliat, acerbissimum autem et calamitosissimum non immerito fuerit, viventium et stantium adhuc carnes tabescere; et excidere oculos, et puniri linguas. Talia autem Deo exosam et exsecrandam vitam consectatis eventura admodum probe dicit. **807** Reposcentur enim pœnas, non solum eorum quæ in sanctos commiserunt, sed etiam studii rerum carnalium, quo in hoc mundo flagrarunt : quæ item illis causa fuit cur neque fidem admitterent, neque pietatem colere, et gloriam vitæ in Christo diligere vellent. Declinaverunt enim, ut dixi, ad absurdas voluptates, et quæcunque videbant, ore hiante quodammodo appetebant ac deglutiebant. Acuerunt enim linguas contra Christum, et sacra Ecclesiæ dogmata impie carpserunt. Jure igitur in carne, et oculis, et linguis pœnam susceperunt. Quemadmodum enim aquam redargutionis bibens mulier, et pejerans in femore puniebatur, ubi et crimen fornicationis committitur; ait siquidem : « Rumpetur et decidet femur ejus[99], » eodem, opinor, modo et sanctam civitatem persequentibus in carne, et oculis, et linguis supplicium irrogabitur, penes quos amorem carnis et voluptatis, et insuper oculorum delicta, et linguæ intemperantis voces videre est.

Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔκστασις Κυρίου μεγάλη ἐπ' αὐτούς. Καὶ ἐπιλήψεται ἕκαστος τῆς χειρὸς τοῦ πλησίον αὐτοῦ, καὶ συμπλακήσεται ἡ χεὶρ αὐτοῦ πρὸς χεῖρα τοῦ πλησίον αὐτοῦ. Καὶ ὁ Ἰούδας παρατάξεται ἐν Ἱερουσαλὴμ, καὶ συνάξει τὴν ἰσχὺν πάντων τῶν λαῶν κυκλόθεν χρυσίον, καὶ ἀργύριον, καὶ ἱματισμὸν εἰς πλῆθος σφόδρα.

Vers. 13, 14. *Et erit in die illa exstasis Domini magna super eos. Et apprehendet unusquisque manum proximi sui, et implicabitur manus ejus ad manum proximi sui. Et Judas pugnabit in Jerusalem, et congregabit robur omnium populorum per circuitum, aurum et argentum, et vestem in multitudinem valde.*

ΡΘ'. Ἔκστασιν ἐν τούτοις τὸν φόβον, ἤγουν τὴν κατάπληξιν ὀνομάζει πάλιν. Κατ' ἐκεῖνο δὴ οὖν, φησὶ, τοῦ καιροῦ, καθ' ὃν ἂν ἀλλήλους ἀθροίσειαν οἱ τῆς Ἐκκλησίας ἐχθροὶ, ταῖς οὕτω δειναῖς ὑποπίπτοντας δίκαις, καταπλαγήσονται μὲν τοῖς δείμασιν, ἀφέντες δὲ οὕτω λοιπὸν τὸ διώκειν ἀποτολμᾷν τὴν ἁγίαν πόλιν, οἰχήσονται μὲν φυγάδες, καὶ τὰς παρ' ἀλλήλων ἐπιζητοῦντες ἀνονήτως ἐπικουρίας, οἰκτροί τε ἔσονται, καὶ κατερριμμένοι, καὶ ὑπὸ πόδας ἁγίων. Ὁ δέ γε Ἰούδας, φησὶ, τουτέστιν, οἱ διὰ πίστεως τῆς εἰς Χριστὸν δεδικαιωμένοι, καὶ τὸν νοητὸν περιφέροντες Ἰουδαῖον, καὶ τὴν ἐν Πνεύματι τῷ ἁγίῳ περιτομὴν πλουτήσαντες, παρατάξονται ἐν Ἱερου-

CIX. Exstasim hoc loco timorem, sive stuporem rursum appellat. Illo tempore igitur, inquit, quo se mutuo aggregabunt Ecclesiæ hostes tam gravibus pœnis irretitos, obstupescent illi quidem terroribus, relicta autem de cætero audacia persequendi sanctam civitatem, recedent exsules, et frustra inter se auxilia poscent, miserabilesque erunt, et abjecti, et sanctorum pedibus subjecti. Judas autem, inquit, hoc est, per fidem in Christum justificati, et Judæum quem mente intuemur, circumferentes, et circumcisione spirituali divites[99], pugnabunt in Jerusalem, hoc est, oppugnabunt hostes, et adversariis virtute prævalebunt, conculcantes eos ut scorpiones, « Et

[99] Num. v, 21. [99] Rom. II, 29.

Digitized by Google

super aspidem ac basiliscum ambulantes, leonemque et draconem [94] » prorsus contemnentes. Erunt autem illustres et admirabiles, **808** ex istiusmodi præclaris facinoribus thesaurum ut aurum, et argentum, et vestem pretiosam colligentes. Quod enim prophetiæ sententia non sit in iis quæ sensum corporis tangunt, certum est. Divitiæ namque sanctorum non sunt interitui obnoxiæ et terrenæ; sed quæ intelliguntur tantum, et cœlestes ac sempiternæ, quas animabus suis congregant qui docent, et aliis rationibus in Ecclesia clarescunt. Diripiunt enim quodammodo robur omnium populorum, per fidem ad Christum gentes præcipuas adducentes. Sic enim et ipse dixit se diripuisse vasa fortis [95]. Quod si quis dicat Judam congregare robur omnium populorum in circuitu, aurum, argentum, vestem, ut intelligamus etiam mundanam sapientiam colligentes, claritatem nominis adipisci, dum per ipsam dogmata pietatis tuentur ac defendunt, verisimilia sentiet. Spoliaverunt enim olim Ægyptios mulieres sapientes Israelitides, a vicinis et contubernalibus suis vasa aurea et argentea, et vestem mutuatæ [96]. Itaque ut in iis quæ foris sentiuntur, et ut in rebus sub aspectum venientibus splendor bonorum ad animum pertinentium exprimitur. Primariæ autem magistrorum divitiæ sunt discipuli. Proinde divinus Paulus per ipsum salvatos et fidem amplexatos ita alloquebatur : « Per gloriationem vestram, fratres, quam habeo in Christo Jesu [97]; » et rursum coronam et gaudium suum eos nominat [98]

VERS. 15. *Et hæc erit ruina equorum, et mulorum, et camelorum, et asinorum, et omnium jumentorum quæ sunt in castris illis juxta ruinam hanc.*

CX. Postquam modos jam vindictæ descripsit, quibus suis temporibus oppugnatores sanctæ civitatis, persecutoresque, et contumeliosi, et exsecrandi, et scelerati, et loquentes iniquitatem contra Deum, « et tollentes in altum cornu, » juxta Psalmistam [99], omnino subjicientur, addit utiliter : « Quoniam hæc erit ruina equorum, et mulorum, et camelorum, et asinorum, et omnium jumentorum. » A subjugalibus autem animantibus quæ iis vehuntur significat. Adoriebantur enim Judæos, et ipsam Hierosolymam gentes disjunctissimæ et vicinæ; quarum aliæ equis vehebantur, Babylonii et Syri, quin et Ægyptii, aliæ camelos, et asinos, et mulos domabant, ut Moabitæ et nomades in solitudine, quorum et propheta **809** Isaias mentionem facit : « In tribulatione et angustia leo et catulus leonis, inde et aspides et genimina aspidum volantium, qui ferebant super asinos et camelos divitias suas [1]. » Visum et alibi ait a se ascensorem asini, et ascensorem cameli [2]. Describit igitur veritatis inimicos ut in figura in gentibus,

σαλήμ, τουτέστι, καταστρατεύσονται τῶν ἐχθρῶν, καταπεανιεύσονται τῶν ἀνθεστηκότων, συμπατοῦντες ὡς σκορπίους, « Ἐπ' ἀσπίδα, καὶ βασιλίσκον ἐπιβαίνοντες, λεόντός τε καὶ δράκοντος » εἰς ἄπαν ἠφειδηκότες. Ἔσονται δὲ λαμπροὶ, καὶ ἀξιοθαύμαστοι, τὸν ἐκ τῶν τοιούτων κατορθωμάτων συλλέγοντες πλοῦτον ὡς χρυσίον, καὶ ἀργύριον, καὶ ἱματισμόν. Ὅτι γὰρ οὐκ ἔν γε τοῖς αἰσθητοῖς τῆς προφητείας ὁ νοῦς, πῶς ἂν ἐνδοιάσειέ τις; Πλοῦτος γὰρ ἁγίων, οὐχ ὁ φθαρτὸς καὶ ἐπίγειος, ἀλλ' ὁ νοητὸς καὶ ἐπουράνιος καὶ διηνεκὴς, ὃν συναγείρουσι ταῖς ἑαυτῶν ψυχαῖς οἱ διδάσκοντές τε καὶ καθ' ἑτέρους τρόπους εὐδοκιμοῦντες ἐν Ἐκκλησίᾳ. Διαρπάζουσι γὰρ ὥσπερ τὴν ἰσχὺν πάντων τῶν λαῶν, προσάγοντες διὰ πίστεως τῷ Χριστῷ τὰ ἐξαίρετα τῶν ἐθνῶν. Οὕτω γὰρ ἔφη καὶ αὐτὸς διηρπακέναι τὰ σκεύη τοῦ ἰσχυροῦ. Εἰ δὲ δή τις λέγοι τὸν Ἰούδαν συνάγειν τὴν ἰσχὺν πάντων τῶν λαῶν κυκλόθεν χρυσίον, καὶ ἀργύριον, καὶ ἱματισμὸν, ἵνα νοῶμεν ὅτι καὶ τὴν ἐν κόσμῳ σοφίαν συλλέγοντες καταλαμπρύνονται δι' αὐτῆς, τοῖς τῆς εὐσεβείας ἐπαγωνιζόμενοι δόγμασιν, ἔχοι ἂν ὁ νοῦς τὸν εἰκότα λόγον. Ἐσκύλευσαν γάρ ποτε τοὺς Αἰγυπτίους αἱ σοφαὶ γυναῖκες τῶν ἐξ Ἰσραὴλ, χρησάμεναι παρὰ γείτονος καὶ συσκήνου αὐτῶν σκεύῃ χρυσᾶ, καὶ ἀργυρᾶ, καὶ ἱματισμόν. Οὐκοῦν ὡς ἔν γε τοῖς αἰσθητοῖς καὶ ὡς ἐν ὕλαις ταῖς ὁρωμέναις, ἡ τῶν εἰς νοῦν ἀγαθῶν λαμπρότης σημαίνεται. Διδασκάλων δὲ μάλιστα πλοῦτος οἱ μαθηταί. Καὶ γοῦν ὁ θεσπέσιος Παῦλος τοῖς δι' αὐτοῦ σεσωσμένοις, καὶ πεπιστευκόσι προσεφώνει λέγων· « Νὴ τὴν ὑμετέραν καύχησιν, ἀδελφοί, ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ · » στέφανόν τε καὶ χαρὰν αὐτοὺς ἰδίαν ὀνομάζει πάλιν.

Καὶ αὕτη ἔσται ἡ πτῶσις τῶν ἵππων, καὶ τῶν ἡμιόνων, καὶ τῶν καμήλων, καὶ τῶν βοῶν, καὶ πάντων τῶν κτηνῶν τῶν ὄντων ἐν ταῖς παρεμβολαῖς ἐκείναις κατὰ τὴν πτῶσιν ταύτην.

ΡΙ'. Ὁρισάμενος ἤδη τῆς τιμωρίας τοὺς τρόπους, οὓς πάντη τε καὶ πάντως ὑπομενοῦσι κατὰ καιροὺς οἱ τῆς ἁγίας πόλεως κατεστρατευκότες γεγονότες τε διῶκται, καὶ ὑβρισταὶ, βδελυροὶ, καὶ φιλεγκλήμονες, καὶ λαλοῦντες ἀδικίαν κατὰ Θεοῦ, « ἐπαίροντές τε εἰς ὕψος τὸ κέρας, » κατὰ τὴν τοῦ Ψάλλοντος φωνὴν, ἐπάγει χρησίμως, « Ὅτι αὕτη ἔσται ἡ πτῶσις τῶν ἵππων, καὶ τῶν ἡμιόνων, καὶ τῶν καμήλων, καὶ τῶν βοῶν, καὶ πάντων τῶν κτηνῶν. » Ἀπὸ δέ γε τῶν ὑποζυγίων τοὺς αὐτοῖς ἐποχουμένους ὑποδηλοῖ. Ἐπεφύοντο γὰρ τοῖς Ἰουδαίοις, καὶ αὐτοῖς δὲ τοῖς Ἱεροσολύμοις οἱ ἀπωτάτω τε καὶ τὰ περίοικα τῶν ἐθνῶν· οἱ μὲν ἵπποις ἐποχοι, Βαβυλώνιοί τε καὶ Σύροι, καὶ μὴν καὶ τὰ Αἰγυπτίων ἔθνη· οἱ δὲ καμήλους τε καὶ ὄνους, καὶ ὀρεῖς ὑποζεύξαντες, οἷον Μωαβῖται, καὶ οἱ τῆς ἐρήμου μονάδες, ὧν καὶ ὁ προφήτης Ἡσαΐας διαμέμνηται, λέγων· « Ἐν τῇ θλίψει καὶ τῇ στενοχωρίᾳ λέων καὶ σκύμνος λέοντος, ἐκεῖθεν καὶ ἀσπίδες καὶ ἔκγονα ἀσπίδων πετομένων, οἳ ἔφερον ἐπ' ὄνων καὶ καμήλων τὸν πλοῦτον αὐτῶν. » Τεθεᾶσθαι

[94] Psal. xc, 13. [95] Luc. xi, 21, 22. [96] Exod. iii, 21 22; xi, 2. [97] Rom. xv, 17. [98] Philipp. iv, 1. [99] Psal. lxxiv, 6. [1] Isa. xxx, 6. [2] Isa. xxi, 7.

Digitized by Google

δὲ καὶ ἑτέρωθί φησιν ἀναβάτην ὄνου, καὶ ἀναβάτην καμήλου. Γράφει δὴ οὖν τοὺς τῆς ἀληθείας ἐχθροὺς ὡς ἐν τύπῳ τοῖς ἔθνεσι, τοῖς ἀεὶ πεπολεμηκόσι τὴν ἐπίγειον Ἱερουσαλήμ, ἵνα ἐξ αὐτῶν νοῶμεν τοὺς καθ' ἡμῶν ὁρατούς τε καὶ ἀοράτους ἐχθροὺς, πρὸς οὓς ἡμῖν ἡ μάχη. Εἰ δὲ δή βούλοιτό τις καὶ εἰς τύπον ἀναφέρειν τῶν τῆς Ἐκκλησίας ἐχθρῶν τὰ τῶν κτηνῶν ἰδιώματα, τὸ ἀδικοῦν οὐδὲν ἐκεῖνο φάναι τε νοεῖν· ὡς οἱ μὲν ἐφάνησαν ὁρμητίαι καὶ θρασεῖς, ὡς ἵπποι τύχον· περιθεῖη δ' ἄν τις αὐτοῖς, καὶ μάλα εἰκότως, τὸ φιλήδονόν τε καὶ θηλυμανές· οἱ δὲ ἡμιόνων δίκην ἄγριοί τε καὶ ἀπηνεῖς (ἀγριωτέρας δὲ αὐτὰς καὶ τοῖς Ἑλλήνων ποιηταῖς ὀνομάζειν ἔθος)· οἱ δὲ καμήλοις κατά γε τὴν ἕξιν προσεοικότες, τουτέστιν, ἀνισοί τε καὶ ἀλαζόνες ὑψοῦ τε ᾠρμένην ἐξ ἀποπληξίας τὴν διάνοιαν ἔχοντες· οἱ δὲ ὄνων διενεγκόντες οὐδέν, τὴν ἅπασιν ἐσχάτην νενοσήκασιν ἀλογίαν· νωθὴς γὰρ ἡ ὄνος καὶ βραδεῖα πρὸς αἴσθησιν, καὶ τῆς ἐσχάτης ἀλογίας εἰκών. Σημειωτέον δὲ, ὅτι τοὺς τῇ Ἐκκλησίᾳ πεπολεμηκότας οὐδενὶ μὲν ἐξομοιοῖ τῶν ἡμέρων τε καὶ καθαρῶν ζώων, οἷον προβάτῳ, φημὶ, καὶ βοΐ, παρεικάζει δὲ μᾶλλον τοῖς βδελυροῖς τε καὶ ἀνημέροις; ἃ καὶ ταῖς τοῦ νόμου φωναῖς ὡς βέβηλά τε καὶ ἀκάθαρτα κατεδικάζετο.

A quæ terrenæ Jerusalem infestæ semper fuerunt, ut ex ipsis aspectabiles et non aspectabiles hostes nostros perspiciamus, cum quibus nobis certamen est. At si cui placuerit jumentorum proprietates ad Ecclesiæ hostes, tanquam in typo, referre, licebit jure affirmare sic intelligendas. Alii siquidem importuni et audaces, ut equi forte, quibus convenientissime et studium voluptatis, et insanus amor in feminas tribuatur : alii agrestes et sævi, instar mulorum, quos et Græcorum poetis agrestes vocare mos est : alii camelis affectu similes fuerunt, hoc est, inæquales, et arrogantes, et elatam ex amentia mentem habentes : alii, nihil ab asinis differentes, extrema rationis inopia laborarunt; segnis enim et tardus est asinus ad sensum, et extremi stuporis B imago. Animadvertendum Ecclesiæ oppugnatores nulli mansuetorum et mundorum animantium comparari, ut ovi, inquam, et bovi : sed abominandis potius et immitibus, quæ et a lege ut profana et impura damnata sunt.

Καὶ ἔσται, ὅσοι ἂν κατάλειφθῶσιν ἐκ πάντων τῶν ἐθνῶν τῶν ἐλθόντων πρὸς Ἱερουσαλὴμ, καὶ ἀναβήσονται κατ' ἐνιαυτὸν τοῦ προσκυνῆσαι τῷ βασιλεῖ Κυρίῳ παντοκράτορι Θεῷ, καὶ τοῦ ἑορτάζειν τὴν ἑορτὴν τῆς Σκηνοπηγίας. Καὶ ἔσται, ὅσοι ἂν μὴ ἀναβῶσιν ἐκ πασῶν φυλῶν τῆς γῆς εἰς Ἱερουσαλὴμ τοῦ προσκυνῆσαι τῷ βασιλεῖ Κυρίῳ παντοκράτορι Θεῷ, καὶ οὗτοι ἐκείνοις προστεθήσονται.

VERS. 16, 17. *Et erit, quicunque derelicti fuerint de cunctis gentibus, qui venerunt contra Jerusalem; et ascendent per annos singulos ut adorent regem Dominum omnipotentem Deum, et ut celebrent festum Tabernaculorum. Et erit, qui non ascenderint ex omnibus tribubus terræ in Jerusalem ut adorent regem Dominum omnipotentem Deum, et isti illis apponentur.*

C

ΡΙΑ'. Τοὺς ταῖς Ἐκκλησίαις πεπολεμηκότας, καὶ κατὰ τῆς ἁγίας Ἱερουσαλὴμ ὑψηλήν τε καὶ ἀλαζόνα τὴν ὀφρὺν ἀνατείναντας, ταῖς αὐτοῖς πρεπούσαις δίκαις ἐνόλισθήσειν εἰπὼν, τὴν τῶν μετ' ἐκείνους περιλελειμμένων προαγορεύει προσκύνησιν, δῆλον δὲ ὅτι τὴν ἐν Χριστῷ διὰ πίστεως. Αὐτὸς γάρ ἐστιν « ἡ τῶν ἐθνῶν προσδοκία, » κατὰ τὴν τοῦ πατριάρχου φωνήν. Τέθειται δὲ καὶ εἰς φῶς ἐθνῶν, καὶ εἰς διαθήκην γένους, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, κἀὶ ἐξάγειν ἐκ δεσμῶν δεδεμένους, καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει. Ὅτι τοίνυν τὴν τῆς εἰδωλολατρείας ἀφέντες ἀχλὺν καὶ τῆς τοῦ διαβόλου, καὶ σκαιότητος τὰ δεσμὰ διαῤῥήξαντες οἱ ἐξ ἐθνῶν, πρὸς τὸ τῆς ἀληθείας ἥξουσι φῶς, καὶ τὸν τοῦ Σωτῆρος ὑποδραμοῦνται ζυγὸν, σαφηνιεῖ, λέγων, ὡς οἱ κατάλοιποι τῶν κεκολασμένων, ἤτοι τῶν ταῖς Ἐκκλησίαις μεμαχημένων (ἀριθμοῦ δὲ οὗτοι κρείττονες), ἀναβήσονται κατ' ἐνιαυτὸν τοῦ προσκυνῆσαι τῷ Κυρίῳ παντοκράτορι Θεῷ, καὶ τοῦ ἑορτάζειν τὴν ἑορτὴν τῆς Σκηνοπηγίας. Ὁ μὲν γὰρ διὰ Μωσέως προσετάττετο νόμος, ἐπιτελεῖσθαι τὴν ἑορτὴν τῆς Σκηνοπηγίας τῇ πεντεκαιδεκάτῃ τοῦ ἑβδόμου μηνὸς, συναγηγερμένης εἰς ἀποθήκας τῆς ἐξ ἀγρῶν εὐκαρπίας. Ἔξοδιον δὲ ταύτητοι τὴν ἑορτὴν ὀνομάζει, ὡς ἤδη τῶν ἔργων τῶν ἐν ἀγροῖς ἐκκεχωρηκότων ἐς πέρας. Ἐκέλευε δὲ λαμβάνειν κάλλυντρα φοινίκων, καὶ κλα-

CXI. Ecclesiarum oppugnatores, et qui contra sanctam Jerusalem supercilium superbe sustulerunt, pœnas condignas luituros cum dixisset, post illos relictorum adorationem prænuntiat, illam scilicet quæ fit per Christum in fidem. Ipse enim est « exspectatio gentium, » juxta patriarchæ vocem [1]. Positus est quoque in lumen gentium; et in testamentum generis [2], ut aperiat oculos cæcorum [3], et vinctos a vinculis, et a domo 810 carceris sedentes in tenebris liberet [4]. Idololatriæ igitur relicta caligine, diaboliquè et stoliditatis vinculis diruptis, de gentibus ad veritatis lumen venturos et sub Salvatoris jugum successuros declarat, dicens, reliquos de punitis, sive Ecclesiæ oppugnatoribus (innumerabiles autem isti), ascensuros in annos singulos ad adorandum Dominum omnipotentem Deum, et ad celebrandum festum Tabernaculorum. Lex enim per Mosen mandavit peragi festum Scenopegiæ decima quinta die mensis septimi, collectis in horrea agrorum proventibus. Quare festum Ἐξόδιον, *Egressionis*, nominat, quod opera rustica jam finem acceperint. Jussit autem accipere spatulas palmarum, et fructum ligni pulchrum, et ramos arboris densos, et salices, et agni ramos, biberequè aquam de torrente, et in iis lætari. Et causam quidem festi lex faciebat, quod Israel in tentoriis habitasset, Ægyptiorum do-

[1] Gen. XLIX, 10. [2] Luc. II, 32. [3] Isa. XXXV, 5. [4] Isa. XLII, 7.

Digitized by Google

minatu liberatus [7]. Quæ res typus quidam erat mysterii in Christo. Erepti enim sumus nos quoque e diaboli servitute, et vocati, ut dixi, in libertatem per Christum [8], et facti sub universorum rege et vita, veterum dominorum immanitate contempta. Celebramus autem verum Scenopegiæ festum, hoc est diem resurrectionis Christi, quando omnia in ipso corpora quasi fixa et compacta sunt, quamvis corruptione dissoluta et a morte occupata. Ipse enim est resurrectio, ipse vita [9], velut primitiæ ex mortuis, « et primitiæ dormientium [10], » qui nos fertilitate quæ intelligentia cognoscitur, replet, et quasi ex agris collectos labores in superna horrea accumulare facit. Ipse nobis in paradiso victum et delicias dabit, spirituales nimirum, victoribus peccati, secundum intellectum bene olentibus, speciosumque et amabilem evangelicæ vitæ fructum habentibus, caste et sancte conversatis. Signum hujus esse possit, quod spatulas palmarum et pulchrum ligni fructum simul cum aliis colligata habebant. Ipse est torrens deliciarum, quo potavit nos Deus et Pater [11]. Ipse est fons vitæ, et fluvius pacis, qui ad nos ex gentibus vocatos declinavit [12], de quo alibi exquisitius disseruimus. Ergo ascendentes ad adorandum Deum omnipotentem, 811 et peragendum festum Scenopegiæ, sunt qui per fidem in Christo justificati sunt. Minatur porro non ascendentibus perniciem pœnasque pares iis quas daturi sint persecutores et contumeliosi. Eodem quippe loco ducentur quo hostes, qui diligere noluerint. Et hoc, opinor, est quod et ipse Christus dixit : « Qui non est mecum, contra me est, et qui non colligit mecum, dispergit [13]. »

A τὸν ὡραῖον ξύλου, καὶ κλάδους ξύλου δασεῖς, καὶ ἰτέας, καὶ ἄγνου κλάδους, πίνειν τε ὕδωρ ἐκ χειμάρρου, καὶ ἐπ' αὐτοῖς κατευφραίνεσθαι. Καὶ πρόφασιν μὲν ὁ νόμος ἐποιεῖτο τῆς ἑορτῆς, τὸ ἐν σκηναῖς κατοικῆσαι τὸν Ἰσραὴλ, τῆς Αἰγυπτίων πλεονεξίας ἐξῃρημένον. Ἦν δὲ ἄρα τὸ χρῆμα μυστηρίου τύπος τοῦ κατὰ Χριστόν. Ἐξῃρήμεθα γὰρ καὶ ἡμεῖς αὐτοὶ τῆς τοῦ διαβόλου πλεονεξίας, κεκλήμεθά τε, ὡς ἔφην, εἰς ἐλευθερίαν διὰ Χριστοῦ, καὶ ὑπ' αὐτῷ γεγόναμεν τῷ τῶν ὅλων βασιλεῖ καὶ ζωῇ, τῆς τῶν πάλαι κρατούντων σκαιότητος ἀλογήσαντες. Ἑορτάζομεν δὲ τὴν ἀληθῆ τῆς Σκηνοπηγίας ἑορτήν, τουτέστι, τὴν ἡμέραν τῆς ἀναστάσεως τοῦ Χριστοῦ, ὅτε τὰ πάν-
B των ἐν αὐτῷ μονονουχὶ πέπηκται σώματα, καίτοι λελυμένα τῇ φθορᾷ, καὶ θανάτῳ κεκρατημένα. Αὐτὸς γάρ ἐστιν ἡ ἀνάστασις, αὐτὸς ἡ ζωή, πρωτόλειον ὥσπερ ἐκ νεκρῶν, « καὶ ἀπαρχὴ τῶν κεκοιμημένων· » ὁ νοητῆς ἡμᾶς εὐκαρπίας κατεμπιπλῶν, καὶ οἷον τοὺς ἐξ ἀγρῶν συλλεγέντας πόνους ἐνσωρεύειν ἀποθήκαις ταῖς ἄνω παρασκευάζων. Αὐτὸς ἡμῖν ἀποδώσει τὴν ἐν παραδείσῳ δίαιταν καὶ τρυφήν, δῆλον δὲ ὅτι πνευματικήν, νενικηκόσι τὴν ἁμαρτίαν, εὐωδιάζουσι νοητῶς, ὡραῖον καὶ ἀξιέραστον τὸν τῆς εὐαγγελικῆς πολιτείας ἔχουσι καρπὸν, ἁγνῶς καὶ ὁσίως πεπολιτευμένοις. Σημεῖον δ' ἂν γένοιτο καὶ τοῦδε λοιπὸν, τὸ κάλλυντρα φοινίκων καὶ ὡραῖον ξύλου καρπὸν ὁμοῦ τοῖς ἄλλοις συνδήσαντας ἔχειν. Αὐτός ἐστιν ὁ χειμάρρους τῆς τρυφῆς ὃν πεπότικεν
C ἡμᾶς ὁ Θεὸς καὶ Πατήρ. Αὐτὸς ἡ πηγὴ τῆς ζωῆς, καὶ ὁ τῆς εἰρήνης ποταμὸς, ὁ ἐκκεκλικὼς εἰς ἡμᾶς τοὺς ἐξ ἐθνῶν κεκλημένους. Εἴρηται δὲ περὶ τούτων ἡμῖν ἰσχνῶς ἐν ἑτέροις. Οὐκοῦν οἱ ἀναβαίνοντες προσκυνῆσαι τῷ Θεῷ παντοκράτορι, καὶ τελέσαι τὴν ἑορτὴν τῆς Σκηνοπηγίας, οἱ διὰ πίστεώς εἰσιν ἐν Χριστῷ δεδικαιωμένοι. Ἀπειλεῖ δὲ τοῖς μὴ ἀναβαίνουσιν ὄλεθρον, ποινάς τε τὰς ἴσας αἷς ὑποστήσεται οἱ διῶκταί τε καὶ ὑβρισταί. Ἐν ἴσῃ γὰρ μοίρᾳ κεῖσονται τοῖς ἐχθροῖς οἱ μὴ ἀγαπᾷν ἠρημένοι. Καὶ τοῦτο, οἶμαι, ἔστιν, ὃ καὶ αὐτὸς ἔφη Χριστός· « Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι, καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει. »

[7] Levit. xxiii. 39-45. [8] Galat. iv, 31. [9] Joan. xi, 25. [10] I Cor. xv, 20. [11] Psal. xxxv, 9. [12] Isa. lxvi, 12. [13] Luc. xi, 23.

VERS. 18. *Si autem tribus Ægypti non ascenderit, neque venerit illuc, et super hos erit ruina, qua percutiet Dominus omnes gentes, quæcunque non ascenderint, ut celebrent solemnitatem Scenopegiæ.*

CXII. Ex una gente, Ægyptiorum inquam, in summo errore versantes, et improbissime idola colentes indicat, quibus grave, et inevitabile, et exitiale supplicium continget, ex eo quod salutis per Christum acceptabilem gratiam aspernati sunt. Tantum enim non interfectores suarum animarum deprehendi possint, siquidem verum est quod cum eis liceret apprehendere vitam æternam, et proposita esset apprehendere volentibus superna benignitas, et exonerare se peccatis, suis indulserunt erroribus, nec maculam inde contractam, nec peccati inquinamentum eluerunt : sed in errore perseverarunt, quamvis divinum lumen omnia collustraret, et in caligine atque tenebris degentes ad aspiciendum hortaretur. De singulis horum quoque

Ἐὰν δὲ φυλὴ Αἰγύπτου μὴ ἀναβῇ, μηδὲ ἔλθῃ ἐκεῖ, καὶ ἐπὶ τούτοις ἔσται ἡ πτῶσις, ἣν πατάξει Κύριος πάντα τὰ ἔθνη, ὅσα ἂν μὴ ἀναβῇ, τοῦ ἑορτάσαι τὴν ἑορτὴν τῆς Σκηνοπηγίας.

PIB'. Ὡς ἐξ ἑνὸς ἔθνους, τῶν Αἰγυπτίων φημὶ, τοὺς εἰς ἄκρον ἥκοντας πλάνης, ἐκτόπως τε ἄγαν εἰδωλολατρεῖν ἐλομένους, καταδηλοῖ, οἷς ἔσται δεινὴ καὶ ἀδιάφυκτος δίκη, καὶ ὀλέθρου πρόξενος τὸ μὴ ἐλέσθαι τιμᾷν τῆς διὰ τοῦ Χριστοῦ σωτηρίας τὴν ἀξιόληπτον χάριν. Μόνον γὰρ οὐχὶ φονευταὶ τῶν
D ἰδίων γεγονότες ψυχῶν ἁλοίεν ἄν, εἴπερ ἐστὶν ἀληθὲς, ὡς μετὸν αὐτοῖς ἐπιδράξασθαι τῆς αἰωνίου ζωῆς, καὶ προκειμένους εἰς μέθεξιν τοῖς ἐλεῖν ἐθέλουσι τῆς ἄνωθεν ἡμερότητος, καὶ μὴν καὶ ἀποφορτίσασθαι τὰς ἁμαρτίας, ταῖς ἑαυτῶν ἐντεθείκασι πλάναις, καὶ ἀναπόνιπτον ἐσχήκασι τὴν ἐκ τοῦ πλανᾶσθαι κ[η]λῖδα καὶ τῆς πλημμελείας τὸν μολυσμὸν, διατετελέκασί τε καὶ ἐν πλάνῃ· καίτοι τοῦ θείου φωτὸς τὰ πάντα περιαστράπτοντος, καὶ καλοῦντος εἰς ἀνάβλεψιν τοὺς

Digitized by Google

ἐν ἀγλύϊ καὶ σκότει. Φαίην δ' ἂν καὶ περὶ ἑκάστου τῶν τοιούτων· « Ἀγαθὸν ὑπὲρ αὐτὸν τὸ ἔκτρωμα. Ὅτι ἐν ματαιότητι ἦλθε, καὶ ἐν σκότει πορεύεται, καὶ ἐν σκότει ὄνομα αὐτοῦ κατακαλυφθήσεται. » — « Καλὸν γὰρ αὐτῷ εἰ μὴ ἐγεν[ν]ήθη, » κατὰ τὴν τοῦ Σωτῆρος φωνήν. Ὅτι δὲ οὐ κατὰ μόνων τῶν Αἰγυπτίων ὁ λόγος, ἥξει δὲ καὶ κατὰ πάντων τῶν ἐθνῶν, ἃ πάντη τε καὶ πάντως κολασθήσονται, τῆς διὰ Χριστοῦ σωτηρίας ἠφειδηκότα, καὶ τὴν ἐπ' αὐτῷ πανήγυριν οὐ τετιμηκότα, πιστώσεται, λέγων·

A dixerim : « Bonum super illum abortivus. Quoniam in vanitate venit, et in tenebris pergit, et in tenebris nomen ejus operietur [14]. » — « Bonum enim ei si natus non fuisset, » juxta vocem Salvatoris [15]. Non de solis autem Ægyptiis hoc dictum, sed omnibus gentibus futurum, quæ ob contemptum salutis per Christum severissime punientur, et celebritatem ejus non honorarunt, testificatur, dicens :

Αὕτη ἐστὶν ἡ ἁμαρτία Αἰγύπτου, καὶ ἡ ἁμαρτία πάντων τῶν ἐθνῶν, ὅσα ἂν μὴ ἀναβῇ, τοῦ ἑορτάσαι τὴν ἑορτὴν τῆς Σκηνοπηγίας.

Vers. 19. *Hoc erit peccatum Ægypti, et hoc peccatum omnium gentium, quæcunque non ascenderint celebrare festivitatem Scenopegiæ.*

ΡΙΓ'. Πρὸ μὲν γὰρ τῆς τοῦ Σωτῆρος ἐπιδημίας τάχα πως ἦν ἔτι καὶ ἀπὸ μέρους εὔμορφος τῶν ἐθνῶν ἡ παραίτησις, παρ' οὐδενὸς κεκλῆσθαι λεγόντων· διεκήρυξε γὰρ αὐτοῖς οὐδείς. Τοιγάρτοι καὶ ὁ Σωτὴρ ἐν εὐαγγελικαῖς ἡμῖν παραβολαῖς αὐτὸ τοῦτο δεικνύων, τοὺς ἐργάτας ἔφη τοὺς περὶ τὴν ἑνδεκάτην κεκλημένους εἰπεῖν τὸ, « Οὐδείς ἡμᾶς ἐμισθώσατο. » Ἐπειδὴ δὲ λοιπὸν ἐπέλαμψεν ὁ Χριστὸς, ἔδησε τὸν ἰσχυρὸν, ἐξεῖλετο τῆς ἐκείνου δυστροπίας τοὺς ὑπ' αὐτῷ κειμένους, δεδικαίωκε τῇ πίστει τοὺς προσιόντας αὐτῷ, τέθεικε τὴν ἑαυτοῦ ψυχὴν ὑπὲρ τῆς ἁπάντων ζωῆς· οὐδένα λοιπὸν ἀποχρώντως πρὸς παραίτησιν εὑρήσουσι λόγον, οἱ τὴν οὕτω σεπτὴν οὐ προσηκάμενοι χάριν. Ἀληθεύει δὴ οὖν, καὶ περὶ αὐτῶν εἰ λέγοι τῶν ἐθνῶν ὁ Χριστός· « Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. »

B CXIII. Ante Salvatoris enim adventum, forte adhuc ex parte speciosa erat gentium excusatio, dicentium se a nemine vocatas : nemo enim illis prædicarat. Quare et Salvator in parabolis evangelicis hoc ipsum nobis ostendens, operarios circa undecimam horam vocatos **812** dixisse ait, quia « Nemo nos conduxit [16]. » Postquam autem Christus illuxit, alligavit fortem [17], illius perversitati sub ipso positos ademit, fide ad ipsum accedentes justificavit, animam suam pro omnium vita posuit [18], nullam de cætero sufficientem excusationem invenient, qui tam venerabilem gratiam non admiserunt. Vera igitur Christus etiam de gentibus diceret : « Si non venissem, et locutus eis fuissem, peccatum non haberent : nunc autem excusationem non habent de peccato suo [19]. »

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται τὸ ἐπὶ τὸν χαλινὸν τοῦ ἵππου ἅγιον τῷ Κυρίῳ παντοκράτορι.

C Vers. 20. *In die illa erit, quod super frenum equi sanctum Domino omnipotenti.*

ΡΙΔ'. Ὡς παντὸς ἤδη πολέμου κατηυνασμένου, καὶ μάχης ἀνῃρημένης, καὶ σεσοβημένων ἐχθρῶν, καὶ ἀλήκτου λοιπὸν εἰρήνης τὴν ἁγίαν στεφανούσης πόλιν, τουτέστι τὴν Ἐκκλησίαν, ἀπραγμοσύνην ἤδη φησὶ τοῦ πολέμου τὰ σκεύη, φάλαρά τε καὶ ἐπιχάλινα. Τίνος γὰρ ὅλως ὁ ἱπποκράτης τοιούτου ἕξει χρείαν, ἀριστεύειν εἰδὼς ἐν μάχῃ, εἰ μηδεὶς ὅλως ὁ ἀντεξάγων ἐστίν; Οὐκοῦν ἱερὰ, φησὶν, ἔσται σκεύη καὶ ἀναθήματα τῷ Θεῷ, τὰ τοῖς τοῦ πολέμου χρήσιμα. Ἐπειδὴ γὰρ αὐτός ἐστι τῆς εἰρήνης ὁ βραβευτὴς, αὐτῷ δὴ δικαίως καὶ ἀνακείσεται περιττά τε ἤδη καὶ ἀπρακτοῦντα λοιπὸν τοῦ πολέμου τὰ σκεύη. Ὥσπερ γὰρ ὁ μακάριος προφήτης Ἡσαΐας ἔφη περί τινων, ὅτι « Συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα, καὶ οὐκ ἄρῃ ἔθνος ἐπ' ἔθνους μάχαιραν, » καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν, τῶν τῆς εἰρήνης καιρῶν μονονουχὶ καὶ ἀναπειθόντων αὐτοὺς τῇ τῆς γεωπονίας χρείᾳ χαρίζεσθαι τὰ πολεμικὰ, καὶ εἰς ἑτέρας δὲ ὥσπερ μετατρέχειν σπουδὰς, τῆς τῶν τακτικῶν μελέτης ἠφειδηκότας· οὕτω καὶ ὁ θεσπέσιος Ζαχαρίας, ὡς ἀλήκτου λοιπὸν εἰρήνης δοθείσης παρὰ Θεοῦ, τὰ τοῖς μαχομένοις χρήσιμα σκεύη μεταπλασθήσεσθαί φησιν εἰς ἀνάθημα τῷ Θεῷ. Ἀργήσει γὰρ πάντως τὸ μά-

D Vers. 20. *In die illa erit, quod super frenum equi sanctum Domino omnipotenti.*

CXIV. Ut omni bello jam sopito, et pugna sublata, et hostibus repressis, et perpetua pace sanctam civitatem, hoc est Ecclesiam, decorante, otiosa deinceps fore ait instrumenta bellica, phaleras, et frenorum ornatum. Quis enim tandem usus horum equiti in prœlio fortiter dimicare sueto, si nullus omnino adversarius? Quamobrem sancta erunt, inquit, instrumenta et anathemata Deo ad bellum requisita. Quoniam enim ipse pacis est arbiter, ipsi quoque supervacanea jam, et de cætero otiosa belli instrumenta jure consecrabuntur. Nam ut beatus Isaias de quibusdam dixit : « Concident gladios suos in aratra, et lanceas suas in falces, et non tollet gens contra gentem gladium, et non discent amplius bellare [20], » temporibus pacis tantum non impellentibus eos ad bellica necessitati rusticationis condonanda, et veluti ad alia fœdera currendi, militaribus studiis posthabitis ; sic et divinus Zacharias, ut perenni deinceps pace donata a Deo, bellantibus idonea instrumenta in anathema Deo transformatum iri narrat. Penitus enim militia desinet, nec equorum, nec frenorum, aut phalerarum cura geretur, et ad studia potius quibus in virtute et pietate excellatur, inclinabunt animi.

[14] Eccle. vi, 3, 4. [15] Matth. xxvi, 24. [16] Matth. xx, 7. [17] Matth. xii, 29. [18] I Joan. iii, 16. [19] Joan. xv, 22. [20] Isa. ii, 4.

Digitized by Google

χιμον, οὐχ ἵππων πεφροντικὸς, οὐ χαλινῶν, ἢ φαλάρων, μετανεῦον δὲ μᾶλλον εἰς γε τὸ ἐλέσθαι δεῖν τοῖς εἰς ἀρετὴν καὶ θεοσέβειαν διαπρέπειν σπουδάσμασι.

Videtur autem nonnullis alio modo vis prophetiæ finem consecuta. Aiunt enim crucis signum olim cum clavis adhuc infixis inventum esse, quorum uno accepto, pius Constantinus curavit ut is equo suo in frenum insereretur, credens se etiam per hunc a Deo benedictionem consecuturum. Non incredibile quis dixerit istud, si ita est, nec decoro alienum merito **813** intelligatur, in memoria Deo fuisse, et eum prophetica prædicatione honorasse imperatorem religiosissimum. Plurimorum enim meminerunt, et de iis vaticinati sunt sancti prophetæ, sicut nimirum de Josia [21], et quibusdam aliis. Aliquando et temporum tranquillitas, et pietas per eos qui in ipsis rerum potiuntur significatur. Nihil ergo vero absimile, si et nunc propheta Zacharias rei imprimis memorandæ, Deoque chari, et veri ac pii imperatoris, et temporum charitati in Christum dedicatorum meminit. Nam et imperatorum equos decorari clavo a pretiosa cruce sumpto, quid aliud nobis quam maximam et revera admiratione dignam imperatorum pietatem declaraverit?

A

B

Δοκεῖ δέ τισι καθ' ἕτερον ἐκπεπεράνθαι τρόπον τῆς προφητείας τὴν δύναμιν. Φασὶ γὰρ ὅτι εὑρηται μὲν κατὰ καιροὺς τὸ τοῦ σταυροῦ ξύλον, ἐμπεπαρμένους ἔτι τοὺς ἧλους ἔχον· ὧν ἕνα λαβὼν ὁ εὐσεβὴς Κωνσταντῖνος, ἐπὶ χαλινὸν γενέσθαι τῷ ἵππῳ τῷ ἰδίῳ παρεσκεύασεν, εὐλογεῖσθαι παρὰ Θεοῦ καὶ διὰ τούτου πεπιστευκώς. Οὐκ ἀπίθανον δὲ τὸ χρῆμα φαίη τις ἄν, εἴπερ ὧδε ἔχει, καὶ οὐκ ἔξω λόγου πρέποντος νοοῖτ' ἂν εἰκότως, τὸ καὶ ἐν μνήμῃ γενέσθαι τῇ παρὰ Θεῷ, καὶ ἐν προρρήσει τετιμῆσθαι προφητικῇ βασιλέα τὸν εὐσεβέστατον. Πλείστων γὰρ ὅσων ἐποιήσατό μνήμην καὶ προαναφώνησιν κατὰ καιροὺς τῶν ἁγίων προφητῶν ὁ λόγος, καθάπερ ἀμέλει καὶ Ἰωσίου καὶ ἑτέρων τινῶν. Ἔσθ' ὅτε δὲ καὶ ἡ τῶν καιρῶν ἡμερότης καὶ εὐσέβεια διὰ τῶν ἐν αὐτοῖς κρατούντων σημαίνεται. Οὐδὲν ἄρα τὸ ἀπεικὸς, εἰ διαμέμνηται καὶ νῦν ὁ προφήτης Ζαχαρίας ἀξιολογωτάτου πράγματος, καὶ θεοφιλοῦς βασιλέως, ἀληθοῦς τε καὶ εὐσεβοῦς, καὶ καιρῶν ἀνακειμένων τῇ εἰς Χριστὸν ἀγάπῃ. Τὸ γὰρ δὴ καὶ βασιλέων ἵπποις ἐμπρέπειν τὸν ἧλον ἀπὸ τοῦ τιμίου ληφθέντα σταυροῦ, τί ἕτερον ἡμῖν ὑπεμφήνειεν ἄν, ἢ πλείστην ὅσην καὶ ἀξιάγαστον ἀληθῶς τῶν κρατούντων εὐσέβειαν;

Et erunt lebetes in domo Domini sicut phialæ ante faciem altaris.

Καὶ ἔσονται οἱ λέβητες οἱ ἐν τῷ οἴκῳ τοῦ Κυρίου ὡς φιάλαι πρὸ προσώπου τοῦ θυσιαστηρίου.

CXV. Lebetes erant in sacro tabernaculo, et in templo post illud exstructo, in quibus sacrificiorum carnes coquebantur, absumentibus eas sacerdotibus in loco sancto, lege id fieri imperante, ne sanctificata extra sancta loca efferrentur. Postquam autem veteribus illis ritibus desitis, mysteria nobis ad aliam divini cultus rationem transierunt, nec amplius ovium mactationibus, et thure, sed sacrificiis potius incruentis universorum Deum, ipsumque universorum Salvatorem Christum, sacrificiis quæ intelliguntur, in Ecclesiis quomodo veneremur docti sumus, pro lebetibus aliis vasis utimur, quas et phialas propheta hoc loco dicit. Hæc porro vasa bibentibus commodissima : et intelliget plane sapiens auditor quid significetur, tametsi obscurius quam oportet id a nobis dictum sit, quoniam in absconditis narrandis breviores esse debemus. Ergo tunc quidem erant lebetes : nunc autem « phialæ ante faciem altaris. »

C

D

ΡΙΕ'. Λέβητες ἦσαν ἐν τῇ ἁγίᾳ σκηνῇ καὶ ἐν τῷ μετὰ ταῦτα κατεσκευασμένῳ ναῷ, ἐν οἷς τὰ τῶν θυσιῶν ἥψετο κρέα, δαπανώντων αὐτὰ τῶν ἱερέων ἐν τόπῳ ἁγίῳ, καὶ τοῦτο τοῦ νόμου τελεῖσθαι προστετα-χότος, ὡς ἂν μὴ ἔξω που τῶν ἱερῶν ἐκκομίζοιντο χώρων τὰ ἡγιασμένα. Ἐπειδὴ δὲ τῶν ἀρχαίων ἐκείνων ἐθῶν ἀποπεπαυμένων, εἰς ἕτερον ἡμῖν λατρείας τρόπον μετακεχώρηκε τὰ μυστήρια, καὶ μηλοσφαγίαις μὲν οὐκέτι καὶ λιβανωτοῖς, θυσίαις δὲ μᾶλλον ταῖς ἀναιμάκτοις τὸν τῶν ὅλων καταγεραίρειν Θεὸν[δ] διὰ πίστεως δεδιδάγμεθα, καὶ αὐτὸν νοητῶς ἱερουργοῦντες ἐν Ἐκκλησίαις τὸν τῶν ὅλων Σωτῆρα Χριστόν· ἀντὶ τῶν λεβήτων ἑτέροις κεχρήμεθα σκεύεσιν ἱεροῖς, ἃ δὴ καὶ φιάλας ἐνθάδε φησὶν ὁ προφήτης. Σκεύη δὲ ταῦτα τοῖς πίνουσι χρειωδέστατα, καὶ συνήσει πάντως ὁ σοφὸς ἀκροατὴς τοῦ σημαινομένου τὴν δύναμιν, κἂν εἰ ἀμυδρότερόν πως ἡ χρὴ ὁ παρ' ἡμῶν πεποίηται λόγος, διά τοι τὸ δεῖν περιεσταλμένως ποιεῖσθαι τὴν τῶν κεκρυμμένων ἀφήγησιν. Οὐκοῦν τότε μὲν ἦσαν οἱ λέβητες· νυνὶ δὲ « φιάλαι πρὸ προσώπου τοῦ θυσιαστηρίου. »

Vers. 21. *Et erit omnis lebes in Jerusalem, et in Juda sanctus Domino omnipotenti. Et venient omnes immolantes, et sument ex ipsis, et coquent in eis.*

Καὶ ἔσται πᾶς λέβης ἐν Ἰερουσαλὴμ, καὶ ἐν τῷ Ἰούδᾳ ἅγιος τῷ Κυρίῳ παντοκράτορι. Καὶ ἥξουσι πάντες οἱ θυσιάζοντες, καὶ λήψονται ἐξ αὐτῶν, καὶ ἑψήσουσιν ἐν αὐτοῖς

CXVI. Lebetas vocat, veteribus adhuc nominibus usus, vasa mystica, quæ et sancta sunt, veneranda, et pretiosa etiam ipsis qui in Jerusalem, id est in Ecclesia sunt, utique divinis sacerdotibus et mini-

ΡΙϚ'. Λέβητας ἀποκαλεῖ, τοῖς ἀρχαίοις ὀνόμασι χρησάμενος ἔτι, τὰ σκεύη τὰ μυστικὰ, ἃ καὶ ἔστιν ἅγια, σεπτά τε καὶ τίμια καὶ αὐτοῖς τοῖς ἐν τῇ Ἱερουσαλὴμ, ἤγουν τῇ Ἐκκλησίᾳ, δῆλον δὲ ὅτι τοῖς

[21] III Reg. XIII, 2 seqq

Digitized by Google

θείοις ἱερουργοῖς, καὶ παρ' αὐτῷ δὲ τῷ Ἰούδᾳ, τουτέστι πάλιν, τοῖς τὴν ἐν πνεύματι λαχοῦσι περιτομήν· εἶεν δ' ἂν οὗτοι πάλιν οἱ πεπιστευκότες. Παρ' οὐδενὸς γὰρ ὅλως εἰς κοινὴν λαμβάνεται χρείαν τὰ τοῦ ἁγίου θυσιαστηρίου τὰ σκεύη, ἀλλ' ἔστιν, ὡς ἔφην, ἅγια, καὶ εἰς δόξαν Θεοῦ τετηρημένα, καὶ μόναις ταῖς χρείαις ὑπηρετεῖν εἰωθότα τῆς ἁγίας τραπέζης, δι' αὐτῶν τε καὶ ἐν αὐτοῖς αἱ τῶν προσαγόντων τελοῦνται θυσίαι, οὐχ ἑκάστου φέροντος ἴδιον σκεῦος, ἁπάντων δὲ μόνοις τοῖς ἱεροῖς κεχρημένων. « Πᾶς γὰρ λέβης ἅγιος ἔσται, φησὶ, τῷ Κυρίῳ. » Οὐκοῦν διαλέγεται μὲν ὁ προφήτης ὡς ἐπὶ θυσιῶν ἔτι τῶν κατὰ νόμον, *λέβητάς* τε καὶ *ἕψουσιν* ὀνομάζει· νοήσομεν δὲ πρέποντως ἡμεῖς τοῖς διὰ Χριστοῦ καιροῖς. Οἰκονομικῶς δέ φαμεν ἀσυμφανῆ γενέσθαι, καὶ οὐ πᾶσιν ἁπλῶς ἐκκείμενον τῶν ἁγίων προφητῶν τὸν λόγον, ἵνα μὴ βάλ[λ]ηται πρὸς αὐτῶν τοῖς κυσὶ, μήτε μὴν τοῖς βεβήλοις καὶ βδελυρωτάτοις ὁ μόνοις πρέπων ἁγίοις ἐκκαλύπτηται λόγος.

striis. Et rursum apud ipsum Juda, id est, spiritualem circumcisionem sortitos, qui item **814** credentes esse possunt. A nullo enim prorsus ad communem usum sacri altaris vasa adhibentur, sed sunt, ut dixi, sancta, et ad Dei gloriam servata, et solis usibus sacræ mensæ ministrare solita : per ipsaque et in ipsis offerentium sacrificia consummantur, non unoquoque suum vas afferente, sed omnibus solis sacris utentibus. « Omnis enim lebes sanctus erit Domino, » inquit. Itaque disserit quidem propheta ut de sacrificiis adhuc legalibus, *lebetas* autem, et *coquent* dicit, quod nos convenienter temporibus Christi intelligemus. Œconomice porro sanctorum prophetarum sermonem obscurum, et non simpliciter omnibus planum, dicimus, ne projiciant eum canibus [22], neque profanis et detestandis reveletur verbum, quod solos sanctos decet.

Καὶ οὐκ ἔσται Χαναναῖος οὐκ ἔτι ἐν οἴκῳ Κυρίου παντοκράτορος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

PIZ'. Σαθρόν τε καὶ εὐδιάκλαστον τῶν ἀρχαιοτέρων τὸν νοῦν κατίδοι τις ἄν, καὶ ταλαίπωρον κομιδῇ. Ἐλελύτρωνται μὲν ἐξ Αἰγύπτου διὰ Μωσέως οἱ ἐξ Ἰσραὴλ, καὶ τῆς ἀφορήτου δουλείας ἀπεσείοντο τὸν ζυγὸν, πλείστων τε ὅσων καὶ ἀξιαγάστων ἐπ' αὐτοῖς τετελεσμένων σημείων, ἐξῆσαν μόλις· διεβιβάσθησαν δὲ καὶ διὰ θαλάσσης αὐτῆς, κατεδηδόκασί τε τὸν ἄρτον τὸν ἐξ οὐρανοῦ, καὶ ὕδωρ ἐκ πέτρας ἀδοκήτως ἐκκομισθὲν ἐν τῇ ἐρήμῳ πεπώκασι, Τί οὖν οἱ τάλανες; Μεμοσχοποιήκασιν ἀπόντος Μωσέως, καὶ ὡς ὁ προφήτης φησὶν, « Ἀνέλαβον τὴν σκηνὴν τοῦ Μολὸχ, καὶ τὸ ἄστρον τοῦ Θεοῦ αὐτῶν Ῥεφὰν, τοὺς τύπους οὓς πεποιήκασι προσκυνεῖν αὐτοῖς. » Ἀλλ' ἐκεῖνοι μὲν διολώλασι. « Πέπτωκε γὰρ τὰ κῶλα αὐτῶν ἐν τῇ ἐρήμῳ, » καθὰ γέγραπται. Ἐπειδὴ δὲ διέβησαν τὸν Ἰορδάνην οἱ μετ' αὐτοὺς, στρατηγοῦντος Ἰησοῦ, πάλιν τοῦ χρόνου προβαίνοντος, γεγονότες ὑπὸ κριτὰς, λελατρεύκασι τοῖς εἰδώλοις. Ἀλλὰ καὶ ἐν καιροῖς τῶν ἁγίων προφητῶν τεθύκασι ταῖς δαμάλεσι ταῖς χρυσαῖς, ἃς πεποίηκεν αὐτοῖς ὁ ἐπάρατος Ἱεροβοάμ. Καὶ πρὸς τούτοις ἔτι τεμένη τε καὶ βωμοὺς ἀνιστάντες, οὐδὲν ἧττον προσκεκυνήκασι τῷ Βαὰλ, τῷ Χαμὼς, τῇ Ἀστάρτῃ, τῷ Βεελφεγώρ. Καὶ τὸ τούτων ἐπέκεινα τῶν κακῶν, οὐ γὰρ δὴ τὴν ἀγελαίαν καὶ συρφετώδη πληθὺν μόνην ἐν τούτοις γενέσθαι φαμὲν, ἀλλὰ γὰρ καὶ ἐξ αὐτῶν τῶν ἱερέων ἐκκεκλικότας πολλοὺς εὑρήσομεν. Τοιγάρτοι καὶ ἔφασκε διὰ τοῦ προφήτου ὁ Θεός· « Οἱ ἱερεῖς οὐκ εἶπαν· Ποῦ ἐστι Κύριος; καὶ οἱ ἀντεχόμενοι νόμου οὐκ ἠπίσταντό με, καὶ οἱ ποιμένες ἠσέβουν εἰς ἐμὲ, καὶ οἱ προφῆται προεφήτευον τῇ Βαὰλ, καὶ ὀπίσω ἀνωφελοῦς ἐπορεύθησαν. » Τεθέαται δὲ καὶ ὁ προφήτης Ἰεζεχιὴλ ὡς εἴκοσι καὶ πέντε ἄνδρας ἐκ τῶν πρεσβυτέρων Ἰσραὴλ, τὰ ὀπίσθια μόνον ἔχοντας πρὸς τὸν ναὸν Κυρίου, καὶ τὰ πρόσωπα αὐτῶν ἀπο-

Et non erit ultra Chananæus in domo Domini omnipotentis in die illa.

CXVII. Infirmam, et fragilem veterum mentem, et miseram valde videre queas. Liberati sunt enim ex Ægypto per Mosen Israelitæ, et intolerabile servitutis jugum excusserunt, longeque plurimis et admirabilibus signis in se editis tandem exierunt, transieruntque per mare ipsum, comederunt panem de cœlo, et aquam de petra inexspectato eductam in solitudine biberunt [23]. Quid igitur miseri? Mose absente, vitulum conflarunt [24], et ut propheta habet : « Susceperunt tabernaculum Moloch, et sidus Dei ipsorum Rhempha, figuras quas fecerunt adorare eas [25]. » Sed illi quidem perierunt. « Ceciderunt enim membra eorum in deserto, » sicut scriptum est [26]. Ast ubi posteri eorum Jordanem transierunt, duce Josue, deinde procedente tempore sub judicibus fuerunt, servierunt idolis. Sed et temporibus sanctorum prophetarum sacrificaverunt vitulis aureis, quos eis fecit maledictus Jeroboam [27]. Et insuper delubra, et aras erigentes, nihilominus Baal, Chamos, Astarten, Beelphegor adorabant. Et quod malis istis pejus, non plebeium et ignobile vulgus tantum in his fuisse dicimus, sed ex ipso quoque sacerdotum ordine multos deflexisse constat. Quare et per prophetam dicebat Deus : « Sacerdotes non dixerunt : Ubi est Dominus? et professentes legem non agnoscebant me, et **815** pastores impie agebant in me, et prophetæ prophetabant Baal, et post inutile abierunt [28]. » Vidit etiam propheta Ezechiel circiter viginti quinque viros de senioribus Israel terga tantum obvertentes templo Domini, et vultus avertentes, ac solem versus orientem adorantes [29]. Et hujuscemodi plurima accumulare nihil est negotii. Sufficerint autem, opinor, et hæc ad eorum ruditatem convincendam. Ergo fluctuabat mens veterum, et delirabat magnopere. Quocirca et de

[22] Matth. VII, 6. [23] Exod. XIV, 1 seqq. ; XVI, 1 seqq.; Num. XX, 1-13. [24] Exod. XXXII, 1 seqq. [25] Amos V, 26. [26] Hebr. III, 17. [27] III Reg. XII, 28-33. [28] Jerem. II, 8. [29] Ezech. VIII, 16.

Digitized by Google

ipsis aiebat Deus : « Dilexerunt movere pedes suos, et non pepercerunt, et Deo non complacuit in eis [30]. » Facile enim in tetras idololatrias abducebantur, et cum essent oriundi e sanguine Israel, alienigenas Chananæos imitari conabantur. Postquam autem unigenitum Dei Verbum nostri simile factum est [31], et justificatos fide [32] sancto Spiritu ad se accedentes obsignavit ejus gratia, mens nobis stabilis, inconcussa et firmata in pietate evasit. Nec enim quisquam persuadebit sanctificatis alium colere Deum præter eum qui natura et vere est Deus, quem Deum in Christo cognovimus. Ostendit enim nobis in seipso Patrem, dicens : « Qui vidit me, vidit et Patrem [33]. » Itaque in die illa, inquit, hoc est in illo tempore, non erit Chananæus, id est, alienigena et idololatra in domo Domini omnipotentis. Stabiliti enim summa, ut dixi, in fide, et securitatis ornamentis per Christum cohonestati, per quem et cum quo Deo et Patri gloria, cum sancto Spiritu in omnem æternitatem. Amen.

ἐναντι, προσκυνοῦντάς τε κατὰ ἀνατολὰς τῷ ἡλίῳ. Καὶ πλεῖστα μὲν ἐν τούτοις ἐπισωρεύειν ἕτερα χαλεπὸν οὐδέν· ἀρκέσειν δὲ οἶμαι καὶ ταῦτα πρὸς ἔλεγχον τῆς ἐνούσης αὐτοῖς ἀφιλομαθίας. Οὐκοῦν τεσάλευτο μὲν τῶν ἀρχαιοτέρων ὁ νοῦς, καὶ ἦν παράφορος κομιδῇ. Τοιγάρτοι καὶ περὶ αὐτῶν ἔφη Θεός· « Ἠγάπησαν κινεῖν πόδας αὐτῶν, καὶ οὐκ ἐφείσαντο, καὶ ὁ Θεὸς οὐκ ηὐδόκησεν ἐν αὐτοῖς. » Παρεκομίζοντο γὰρ εὐκόλως εἰς ἀτόπους εἰδωλολατρείας, καὶ γεγονότες ἐξ αἵματος Ἰσραὴλ, τοὺς ἀλλογενεῖς Χαναναίους ζηλοῦν ἐσπούδαζον. Ἐπειδὴ δὲ καθ' ἡμᾶς γέγονεν ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, καὶ δικαιώσας τῇ πίστει, τῷ ἁγίῳ Πνεύματι κατεσφράγισε τοὺς τῇ παρ' αὐτοῦ προσιόντας χάριτι· γέγονεν ἡμῖν ἑδραῖος ὁ νοῦς, ἀσφαλής τε καὶ ἀκατάσειστος, καὶ πεπηγὼς εἰς εὐσέβειαν. Ἀναπείσει γὰρ οὐδεὶς τοὺς ἡγιασμένους, ἕτερον τιμῆσαι Θεὸν παρὰ τὸν φύσει τε καὶ ἀληθῶς, ὃν ἐγνώκαμεν Θεὸν ἐν Χριστῷ. Παρέδειξε γὰρ ἡμῖν ἐν ἑαυτῷ τὸν Πατέρα, λέγων· « Ὁ ἑωρακώς ἐμὲ, ἑώρακε τὸν Πατέρα. » Οὐκοῦν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, φησὶ, τουτέστι, κατ' ἐκεῖνο τοῦ καιροῦ, οὐκ ἔσται Χαναναῖος, τουτέστιν, ἀλλογενὴς καὶ εἰδωλολάτρης, ἐν τῷ οἴκῳ Κυρίου παντοκράτορος. Ἐρηρείσμεθα γὰρ, ὡς ἔφην, ἐν πίστει, καὶ τοῖς εἰς ἀσφάλειαν αὐχήμασι κατεστέμμεθα διὰ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Θεῷ καὶ Πατρὶ ἡ δόξα, σὺν τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

[30] Jerem. XIV, 10. [31] Philip. II, 6, 7. [32] Rom. V, 1. [33] Joan. XIV, 9

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΞΗΓΗΣΕΙΣ ΥΠΟΜΝΗΜΑΤΙΚΗ

ΕΙΣ ΤΟΝ ΠΡΟΦΗΤΗΝ ΜΑΛΑΧΙΑΝ.

—

S. P. N. CYRILLI

ALEXANDRIÆ ARCHIEPISCOPI

IN MALACHIAM PROPHETAM COMMENTARIUS,

CONTINENS TOMOS II.

—

PROŒMIUM.

816 I. De Malachiæ quoque vaticiniis pauca præfanda sunt ad docendos lectores, et ostendendum quomodo singula quæ dicuntur intelligant. Itaque transmissis temporibus captivitatis, e Baby-

ΠΡΟΟΙΜΙΟΝ.

Α. Καὶ περὶ τῆς τοῦ Μαλαχίου προφητείας ὀλίγα προειπεῖν ἀναγκαῖον, διὰ τὸ τῶν ἐντευξομένων εὐμαθὲς, καὶ πῶς ἂν εἰδεῖεν ἕκαστα τῶν παρ' αὐτοῦ κειμένων. Παρεμπιπτόντων τοιγαροῦν τῶν τῆς αἰχ-

Digitized by Google

μαλωσίας καιρῶν, ἀνεκομίζετο μὲν ἐκ τῆς Βαβυλῶνος εἰς τὴν Ἰουδαίαν ὁ Ἰσραὴλ, καὶ εἰς τὴν ἁγίαν αὖθις ἀφίκετο πόλιν, τὸ τῆς δουλείας ζυγὸν ἀποφορτισάμενος. Καὶ δὴ ὁ θεῖος ἐγήγερται ναὸς, ἐφεστηκότων τοῖς ἔργοις Ζοροβάβελ τε καὶ τοῦ Σαλαθιὴλ, ὃς ἦν ἐκ φυλῆς Ἰούδα, καὶ Ἰησοῦ τοῦ Ἰωσεδὲκ, τοῦ ἱερέως τοῦ μεγάλου. Προεφήτευον δὲ κατ' ἐκεῖνο τοῦ καιροῦ τοῖς ἐκ τῆς αἰχμαλωσίας λελυτρωμένοις Ἀγγαῖός τε καὶ Ζαχαρίας, Ἔσδρα τε καὶ Νεεμίου συνόντων αὐτοῖς τῶν ἱερουργῶν. Σύγχρονος δὲ τοῖς μνημονευθεῖσιν ἁγίοις προφήταις, ἢ ὀλίγον βραχὺ μετ' ἐκείνους, καὶ ὁ θεσπέσιος γέγονε Μαλαχίας, ὃς δὴ καλεῖται καὶ Ἄγγελος· διερμηνεύεται γὰρ ὧδε Μαλαχίας. Οὐ παραδεκτέον τούς τινων περὶ αὐτοῦ λόγους, οἳ μάτην ἐβράψῳδήκασιν, ἄγγελον μὲν τὴν φύσιν οἰόμενοί τε καὶ λέγοντες, σεσωματῶσθαί γε μὴν κατὰ βούλησιν Θεοῦ, καὶ ἐν προφήτου τάξει γενέσθαι τοῖς ἐξ Ἰσραήλ. Εἴρηται γὰρ ἄγγελος, ὡς ἔφην, μάλιστα μὲν καὶ τοῦ ὀνόματος ταύτην ἔχοντος ἐφ' ἑαυτῷ τὴν ἑρμηνείαν· εἶτα ὅτι τοὺς ἄνωθεν καὶ παρὰ Θεοῦ λόγους ἀπαγγέλλων τοῖς ἐξ Ἰσραήλ, καλεῖτ' ἂν οὐκ ἀπιθάνως καὶ ἄγγελος. Καὶ γοῦν αὐτὸς ὁ προφήτης Μαλαχίας ἐν τοῖς ἐφεξῆς περὶ παντὸς ἱερέως φησὶν, ὅτι « Χείλη ἱερέως φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ, διότι ἄγγελος Κυρίου παντοκράτορός ἐστι. » Περὶ δέ γε τοῦ Ἐμμανουὴλ ὁ προφήτης Ἡσαΐας, « Καὶ θελήσουσι, φησὶν, εἰ ἐγένοντο πυρίκαυστοι, ὅτι παιδίον ἐγεννήθη, υἱὸς καὶ ἐδόθη ἡμῖν, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς Ἄγγελος. » Ὁρᾷς ὅτι τὸ *ἀπαγγέλλειν* ἑτέροις τὰ τῆς ἀνωτάτης φύσεως, ὀνομάζεσθαι καὶ ἀγγέλους πρᾳοπεκυάζει τινὰς, καίτοι κατὰ φύσιν οὐκ ὄντας ἀγγέλους; Ἄνθρωποι μὲν γὰρ, οἱ τὸν θεῖον διερμηνεύοντες νόμον, τουτέστιν οἱ ἱερεῖς· Θεὸς δὲ, καὶ ἐκ Θεοῦ κατὰ φύσιν, ὁ Υἱός. Ἄνθρωπος δὴ οὖν καθ' ἡμᾶς ὁ προφήτης Μαλαχίας. Σύμπας δὲ ὥσπερ αὐτῷ τῆς προφητείας ὁ σκοπὸς εἰς δύο ταῦτα συντείνεται. Ἐγηγερμένου γὰρ τοῦ θείου ναοῦ, καιροῦ καλοῦντος εἰς ἱερουργίαν τοὺς προεστηκότας λαοῦ, ἤτοι τοὺς ἐξ Ἰσραὴλ, πληροῦν, εἰ ἔλοιντο, τὰς κατὰ νόμον εὐχὰς, ἐκέχρηντο μὲν ταῖς διὰ Μωσέως ἐντολαῖς, οὐ μὴν ἀμωμήτως καὶ ἐπιεικῶς. Προσεκόμιζον μὲν γὰρ εἰς θυσίαν οἱ λαοὶ τὰ συνήθη, πλὴν οὐ σφόδρα πεφροντισμένως, ὀκνηρῶς δὲ μᾶλλον καὶ κατημελημένως. Τὰ γὰρ αἰσχίονα τῶν ἐν ποιμνίοις, ἄῤῥωστά τε καὶ ἀδόκιμα προσῆγον τῷ θυσιαστηρίῳ. Προσεδέχοντο δὲ οἱ ἱερεῖς, οὐκέτι μωμοσκοποῦντες κατὰ τὸν νόμον, μὴ χωλὸν, ἢ ὠτότμητον, ἢ κολοβόῤῥινον, ἢ κολοβόκερκον, ἢ ψωραγριῶν, ἢ λειχῆνας ἔχον, ἢ μόνορχες· ἀπόβλητα γὰρ ἐποιεῖτο ταῦτα ὁ νόμος, ὕβρις δὲ ἦν τὸ χρῆμα, καὶ ἕτερον οὐδέν. Κατημέλουν δὲ καὶ ἑτέρως οἱ ἱερεῖς καὶ τῶν ὑπὸ χεῖρα λαῶν, οὐχὶ τὰ ἐκ νόμων ὀρθῶς εἰσηγούμενοι, καὶ παιδαγωγοῦντες εἰς τὸ τῷ Θεῷ δοκοῦν, ἀλλ' εἰς ἐκτόπους ἐξιτηλίας ἀπονεύειν ἐῶντες, καὶ τῆς εὐθείας ἔξω φέρεσθαι τρίβου. Καὶ εἷς μὲν οὗτος τῆς ἐπιπλήξεως τρόπος· ἕτερος δὲ πρὸς τούτῳ τοῖς ἐξ Ἰσραὴλ, ἐπ'

lone in Judæam remigravit Israel, et in civitatem sanctam venit, jugo servitutis exoneratus. Divinum quoque templum jam stabat, Zorobabele, Salathielis filio, ex tribu Juda oriundo, et Jesu, filio Josedec, sacerdote magno præfectis operum. Illo tempore captivitate liberatis Aggæus et Zacharias vaticinati fuerant, cum Esdras et Neemias sacerdotes viverent. Quo eodem, aut paulo post memoratos prophetas sanctos, divinus quoque Malachias vixit, qui et Angelus vocatur: sic enim Malachiæ nomen redditur. Explodendum est autem quorumdam de ipso nec audiendum commentum, qui crediderunt, temereque **317** fabulati sunt, eum natura angelum fuisse, sed voluntate Dei corporis formam habitumque assumpsisse, et Israelitis prophetiæ officium præstitisse. Dictus est namque Angelus in primis quidem, quod ejus nomen, ut dixi, hanc notionem haberet; deinde quod eum cœlestes et a Deo inspiratos sermones Israeli nuntiarit, non inscite etiam angelus vocari possit. Itaque ipse propheta Malachias in contextu de quolibet sacerdote ait: « Labia sacerdotis custodient scientiam, et legem requirent ex ore ejus, quoniam angelus Domini omnipotentis est[34]. » De Emmanuele autem propheta Isaias: « Et volent si fuerint igne combusti, quia puer natus est nobis; filius datus est nobis, et vocabitur nomen ejus magni consilii Angelus[35]. » Vides quemadmodum ἀπαγγέλλειν, *nuntiare* quæ illius supremæ naturæ sunt, quibusdam etiam angelorum nomen conciliet, quamvis natura angeli non sint? Homines enim sunt, qui divinam legem explanant, nempe sacerdotes: Deus autem, et ex Deo secundum naturam Filius. Homo igitur, nostrum similis, propheta Malachias. Cujus vaticinii scopus universus ad duo hæc refertur quodammodo. Constructo enim jam divino templo, cum tempus populi præpositos, sive eos qui erant de sanguine Levi, ad sacrificia vocaret, atque etiam ipsis Israelitis preces et vota secundum legem, si liberet, obeunda quodammodo suggereret, servabant illi quidem mandata Mosis, non tamen citra culpam et ut ratio flagitabat. Nam populus consueta ad altaris sacrificium offerebat, verum non magna cura adhibita, sed perfunctorie et negligenter. Deteriora quippe gregis, et morbida, et rejectanea ad aram offerebant. Sacerdotes porro suscipiebant, non amplius maculas, ut lex jubebat, id est, num claudum, aut aure scissa, aut naso mutilum, aut cauda amputata, aut scabiosum, aut impetigines, aut unum testiculum haberent, considerantes: rejiciebat enim ista lex, nec aliud quam dedecora erant[36]. Alia item ratione sacerdotes etiam subjectum sibi populum negligebant, cum legem prave explicarent, nec ad Dei voluntatem exsequendam probe homines erudirent sed a recta semita ad ineptias et fatuitates deflectere sinerent. Et hoc quidem objurgationis genus unum est. Alterum ad

[34] Malach. II, 7. [35] Isa. IX, 5, 6. [36] Levit. XXII, 21 seqq.

Digitized by Google

Israelitas pertinet, ob causas hujuscemodi. Alii namque amorem in uxores valere jubentes, **818** libellumque repudii illis[37], et nonnunquam nihil mali commeritis, objicientes, aliis copulabantur, nec se ullo modo Deum hoc facto offendere opinabantur. Alii in alienigenarum filias insaniebant, quamvis lex apertis verbis proclamasset : « Filiam tuam non dabis filio ejus, et filiam ejus non accipies filio tuo. Seducet enim filium tuum a me, et abiens serviet diis alienis[38]. » De hoc in libris Esdræ multa disseruntur. Unde quidam ipsum esse Malachiam arbitrantur, quod secus est. Et in his quidem nonnulla vituperationem continent : in fine autem prophetiæ de ostensione Salvatoris nostri verba fiunt, quando scilicet munda et incruenta hostia Deo offeretur : quæ sublato peccato omnium criminа desinere faciat, mortalibus in novitatem vitæ reformatis. Nova enim creatura erunt, quæ in Christo sunt, ubi vetera transierint, ut scriptum est[39]. »

αἰτίαις τοιαύταις. Οἱ μὲν γὰρ ἐρρῶσθαι φράσαντες ταῖς εἰς γυναῖκας φιλοστοργίαις, εἶτα βιβλίον ἀποστάσεως ῥιπτοῦντες αὐταῖς, καὶ ἐπ' οὐδενὶ τῶν ἀτόπων ἔσθ' ὅτε κατεγνωσμέναις, συνεπλέκοντο μὲν ἑτέραις, ᾠοντό τε ὅτι κατ' οὐδένα τρόπον λυποῦσι Θεὸν, κἂν εἰ ἕλοιντο τοῦτο δρᾷν. Ἕτεροι δὲ ταῖς τῶν ἀλλοφύλων ἐπεμαίνοντο θυγατράσι, καίτοι διακεκραγότος τοῦ νόμου σαφῶς· « Τὴν θυγατέρα σου οὐ δώσεις τῷ υἱῷ αὐτοῦ, καὶ τὴν θυγατέρα αὐτοῦ οὐ λήψῃ τῷ υἱῷ σου. Ἀποστήσει γὰρ τὸν υἱόν σου ἀπ' ἐμοῦ, καὶ πορευθεὶς λατρεύσει θεοῖς ἑτέροις. » Γέγονε δὲ μακρὸς περὶ τούτου λόγος καὶ ἐν τοῖς τοῦ Ἔσδρα βιβλίοις. Ὅθεν τινὲς αὐτὸν ὑπολαμβάνουσιν εἶναι τὸν Μαλαχίαν, ἔχει δὲ οὐχ οὕτως τὸ ἀληθές. Καὶ τὰ μὲν τῆς ἐπιπλήξεως ἐν τούτοις· ἐν δέ γε τῷ τέλει τῆς προφητείας τὸν περὶ τῆς τοῦ Σωτῆρος ἡμῶν ἀναδείξεως ποιεῖται λόγον, ὅτε δὴ μελλούσης τὸ τηνικάδε καθαρά τε καὶ ἀναίμακτος θυσία προσκομίζεσθαι τῷ Θεῷ, καταλήγειν δὲ τὰ πάντων ἐγκλήματα, τῆς ἁμαρτίας ἀνῃρημένης, καὶ εἰς καινότητα ζωῆς ἀναμορφουμένων τῶν ἐπὶ γῆς. Καινὴ γὰρ κτίσις τὰ ἐν Χριστῷ, τῶν ἀρχαίων παρῳχηκότων, κατὰ τὸ γεγραμμένον.

TOMUS PRIOR.

CAP. I.

VERS. 1. *Assumpt o verbi Domini super Israel in manu angeli ejus.*

II. Assumptionem verbi nominat prophetiæ a Deo inspiratæ velut susceptionem. Suscipiebant enim beati prophetæ per Spiritum cognitionem futurorum, et quosdam consilio instruebant, atque etiam objurgabant, non e cordibus suis quos forte vellent sermones depromentes, aut in quosdam falsa dictitantes : sed quæ a Deo didicissent proferentes, et supernos sermones aliis sincere citraque reprehensionem apportantes. Itaque prophetiam a Domino susceptam, sive assumptam dicit. Subostendit autem per hæc, nec prædictionem aliquam calamitosæ aut molestæ rei alicujus quæ Israelitis eventura sit, neque laudes, quasi vitam ex virtute vixissent, ista prophetia contineri, sed sacerdotum et populi increpationem potius. Illud, « in manu angeli ejus, » sic intelliges, velut per manus administrante, sive peragente prophetiæ ministerium eo, cui cognomentum Angelus, assumptio facta est super Israel. Angelus autem Malachias propter causas a me ante allatas nuncupatus est.

819 VERS. 2. *Ponite super corda vestra. Dilexi vos, dicit Dominus.*

III. Non oscitanter quæ dicenda erunt audire jubet, sed studiose potius et attentione animadversioneque singulari. Sic enim affectos esse condecet qui divinos sermones sunt auscultaturi, quorum uberrima et amplissima futura sit utilitas, cum in animum infusi fuerint. Psallit enim alicubi, et ait divinus David : « In corde meo abscondi eloquia tua, ut non peccem tibi[40]. » Licet enim, licet au-

ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

ΚΕΦΑΛ. Α'.

Λῆμμα λόγου Κυρίου ἐπὶ τὸν Ἰσραὴλ ἐν χειρὶ ἀγγέλου αὐτοῦ.

Β'. Λῆμμά φησι τοῦ λόγου, τῆς παρὰ Θεοῦ προφητείας οἱονεὶ τὴν λῆψιν. Ἐδέχοντο γὰρ οἱ μακάριοι προφῆται διὰ τοῦ ἁγίου Πνεύματος τῶν ἐσομένων τὴν γνῶσιν, τάς τε συμβουλὰς καὶ μὴν καὶ τὰς ἐπιπλήξεις ἐποιοῦντο πρός τινας, οὐκ ἐξ ἰδίας αὐτοὶ καρδίας, οὓς ἂν ἕλοιντο τυχὸν ἀνασπῶντες λόγους, ἢ ψευδοεποῦντες κατά τινας, διερμηνεύοντες δὲ τὰ παρὰ Θεοῦ, καὶ τοὺς ἄνωθεν τοῖς ἄλλοις καθαρῶς τε καὶ ἀμωμήτως διαπορθμεύοντες λόγους. Οὐκοῦν τῆς προφητείας τὴν λῆψιν γενέσθαι φησὶ παρὰ Κυρίου. Ὑπεμφαίνει δὲ διὰ τούτων, ὡς οὔτε προαγόρευσιν ἔχει τινὰ τῆς προφητείας ὁ λόγος, μοχθηροῦ τε καὶ ἀνιαροῦ πράγματος ὡς συμβησομένου τοῖς ἐξ Ἰσραὴλ, οὔτε μὴν ἔπαινους ὡς βεβιωκόσιν ὀρθῶς· ἐπίπληξιν δὲ μᾶλλον ἐπί τε ἱερέας καὶ λαούς. Τὸ δὲ, « ἐν χειρὶ ἀγγέλου αὐτοῦ, » τοιῶσδε νοήσεις· διαχειρίζοντος ὥσπερ, ἤγουν ἐκπράττοντος, τὴν τῆς προφητείας διακονίαν τοῦ ἐπίκλην Ἀγγέλου, τὸ λῆμμα γέγονεν ἐπὶ τὸν Ἰσραήλ. Εἴρηται δὲ Ἄγγελος ὁ Μαλαχίας δι' αἰτίας ἃς ἤδη προεῖπον.

Θέσθε δὴ ἐπὶ τὰς καρδίας ὑμῶν. Ἠγάπησα ὑμᾶς, λέγει Κύριος.

Γ'. Οὐ πάρεργον ποιεῖσθαι προστάττει τῶν ῥηθησομένων τὴν ἀκοήν· ἐσπουδασμένως δὲ μᾶλλον, καὶ ἐν πλείστῃ προσοχῇ καὶ κατανοήσει. Διακεῖσθαι γὰρ ὧδε προσήκει τοὺς θείων μέλλοντας ἀκροᾶσθαι λόγων· ὧν ἔσται πλείστη τε ὄση καὶ μάλα ἀμφιλαφὴς ἡ ὄνησις, ὅταν εἰς αὐτὸν εἰσχέωνται τὸν νοῦν. Ψάλλει γάρ που καί φησιν ὁ θεσπέσιος Δαβίδ· « Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω

[37] Deut. xxiv, 1 seqq. [38] Deut. vii, 3, 4. [39] II Cor. v, 17. [40] Psal. cxviii, 11.

Digitized by Google

σοι. » Ἔστι γὰρ, ἔστιν ἀκούσαντά τινα μηδὲ ἀκοῦσαι δοκεῖν, εἰ μὴ ἅπτοιντο μὲν διανοίας οἱ λόγοι, ἀποπτάντες δὲ ὥσπερ τῆς τοῦ λέγοντος γλώττης, εἶτα μόνην προσαρράξαντες τὴν τοῦ ἀκούοντος ἀκοὴν, εἰκαίοις ἐν ἴσῳ καταλογισθεῖεν καὶ κρυπτοῖς. Τοιοῦτοί τινες ἦσαν περὶ ὧν ἔφη τις τῶν ἁγίων προφητῶν· « Ἰδοὺ λαὸς μωρὸς, καὶ ἀκάρδιος, ὀφθαλμοὶ αὐτοῖς, καὶ οὐ βλέπουσιν· ὦτα αὐτοῖς, καὶ οὐκ ἀκούουσι. » Παρεγγυᾷ τοιγαροῦν ἀναγκαίως ὁ προφήτης, λέγων· « Θέσθε δὴ ἐπὶ τὰς καρδίας ὑμῶν· » τουτέστιν, εἰς νοῦν ἴσω καὶ καρδίαν τοὺς θείους ἐναποτιθέμενοι λόγους, καὶ τῶν ἄνωθεν χρησμῳδημάτων συνέντες τὴν δύναμιν, συναινέσατε πάντως· « Ὡς ἠγάπησα μὲν ὑμᾶς, λέγει Κύριος, » ἠξίωσά τε ἀπάσης ἡμερότητος, καὶ φειδοῦς, καὶ τῆς τοῖς ἀγαπωμένοις πρεπούσης φιλοτιμίας. Τοῦτο δὲ αὖ εὖ μάλα κατονειδίζοντος μὲν, ὡς πονηρὰ ἀντὶ ἀγαθῶν ἀπέδοσαν αὐτῷ, καίτοι δέον, ὡς ἀγάπης ἠξιωμένους, ἀντευφραίνειν ταῖς ἐπιεικείαις καὶ ταῖς εἰς πᾶν ὁτιοῦν τῶν ἀνδανόντων αὐτῷ σπουδαῖς τε καὶ προθυμίαις. Εἰ γάρ ἐστι τῶν ἀτόπων, τὸ μὴ βούλεσθαι τοῖς καθ' ἡμᾶς ἀποδιδόναι τὰς ὀφειλάς, τίς ἂν γένοιτο λόγος ἐπὶ Θεοῦ τοῦ πάντα ἡμῖν πλουσίως διανέμοντος τὰ πρὸς εὐθυμίαν, εἰ μὴ βούλοιτό τις ἀντιτίνειν αὐτῷ τῶν δεδωρημένων τὰς ἀμοιβάς; εἰ καὶ ὅτι μάλιστα πρέποι ἂν ἐκεῖνο λέγειν τοῖς γε ἀληθῶς ἀρτίφροσι· « Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι; »

A dientem putare non audivisse, nisi mentem verba tetigerint : a lingua enim loquentis avolantia, et solas audientes aures verberantia vanis merito ac non prolatis similia judicentur. Hujus generis erant nonnulli, de quibus quidam sanctorum prophetarum : « Ecce populus stultus, et sine corde : oculi eis, et non vident, aures eis, et non audiunt [61]. » Hortari itaque prophetam necesse fuit : « Ponite super corda vestra, » hoc est, intra animum et cor divina verba reponentes, supernorumque oraculorum vim intelligentes, assentiamini plane : « Quoniam dilexi vos, dicit Dominus, » omnique mansuetudine et indulgentia, et cura sedula, quæ dilectis adhiberi solet, dignatus sum. Hoc autem rursum meritissimo illis exprobrat, quod sibi pro bonis mala re- B tribuerint, cum, ut charitate dignati, vicissim eum probitate, et studio, alacritateque ad omnia ipsi accepta delectare deberent. Si enim absurdum est naturæ nostræ consortibus præstare nolle quod debeas, quid super Deo respondebimus, qui nobis omnia ad jucunditatem pertinentia abundanter subministrat, si dona donis non rependerimus? siquidem sana mente revera præditos maxime decet illud dicere : « Quid retribuam Domino, pro omnibus quæ retribuit mihi [62]? »

Καὶ εἶπατε· Ἐν τίνι ἠγάπησας ἡμᾶς; Οὐκ ἀδελφὸς ἦν Ἡσαῦ τοῦ Ἰακὼβ, λέγει Κύριος, καὶ ἠγάπησα τὸν Ἰακὼβ, τὸν δὲ Ἡσαῦ ἐμίσησα; καὶ ἔταξα τὰ ὅρια αὐτοῦ εἰς ἀφανισμὸν, καὶ τὴν κληρονομίαν αὐτοῦ εἰς δώματα ἐρήμου.

Δ'. Ἐπλήττοντο μὲν Ἰουδαῖοι κατὰ καιροὺς τοῖς ἐκ θείας ὀργῆς συμβαίνουσι, πολυτρόπως δεδυσσεβηκότες. Ἀπώδοντο γὰρ εἰς αἰχμαλωσίας, καταδῃωθείσης αὐτοῖς τῆς χώρας, οἴκων τε ἠρημωμένων, καὶ ὁμοῦ τῶν θείων ναῶν κατεμπρησθέντων τῶν Ἱεροσολύμων. Προφάσει δὲ τοῦ τὰ τοιάδε παθεῖν αὐτοὺς, τὸ ἀποτοιτᾶν ἐλέσθαι [φησὶ] τῆς γνησιότητος τῆς πρὸς Θεὸν, καὶ ὀλίγου παντελῶς ἀξιῶσαι λόγου τὴν εἰς νόμον αἰδῶ. Ἐπειδὴ τοίνυν ἀγαπῆσαι λέγοντος αὐτοὺς τοῦ Θεοῦ, καὶ σφόδρα γε ἦν εἰκὸς τῶν τῆς αἰχμαλωσίας διαμεμνῆσθαι κακῶν, φάναι τε οὕτω τυχὸν τὸ, « Ἐν τίνι ἠγάπησας ἡμᾶς; » οἰκονομικώτατος λίαν ὁ τῶν ὅλων Θεὸς, παριππεύει μὲν τὰ διὰ μέσου συμβήματα, καὶ τὴν ἐπ' αὐτοῖς παρατρέχει διήγησιν, ἀνακομίζει γε μὴν τὴν τῆς ἀγάπης ἀπόδειξιν ἐπὶ τὴν τοῦ γένους ἀρχήν, φημὶ δὴ τὸν Ἰακὼβ, ὃν ἀγαπῆσαι μὲν ἰσχυρίζεται, κατεστυγημένον δὲ πεποιῆσθαι τὸν Ἡσαῦ, καίτοι τοῖς φύσεως νόμοις εἰς ἀδελφότητα τῷ τετιμημένῳ συνδούμενον. Ὡς γὰρ ὁ θεσπέσιος γράφει Παῦλος, « Μήπω γεννηθέντων, μηδὲ πραξάντων τι ἀγαθὸν, ἢ φαῦλον, » ἀπόλεκτον ἐποιεῖτο τὸν Ἰακὼβ, ἐξ οὗ τὸ τῶν Ἰουδαίων ἀνεφύη γένος· ἐκβέβληκε δὲ τὸν Ἡσαῦ, καὶ οὐ δήπου φαμὲν κατὰ πρόκλησιν (οὐ γὰρ ἄδικος ὁ Θεὸς, οὔτε μὴν ἄνισον ἢ ἑτεραλκὲς τὸ ἐφ' ἑκάστῳ τῶν ἐπὶ τῆς γῆς διεξάγει κρῖμα)· προ-

Vers. 3. *Et dixistis : In quo dilexisti nos? Nonne Esau erat frater Jacob? dicit Dominus, et dilexi Jacob, et Esau odio habui? Et posui terminos ejus in desolationem, et hæreditatem ejus in domos solitudinis.*

IV. Percutiebantur aliquando Judæi ab infenso Deo, cum multis se impietatibus obstrinxissent. Vastata enim eorum terra, captivi abigebantur, domibus exinanitis, et Hierosolymis una cum divino templo crematis [63]. **820** Quod autem ista perpessi fuissent, inde legitima erga Deum deserendi, et reverentiam legis parvi omnino pendendi occasionem arripiebant. Quia igitur dicente Deo, se illos dilexisse, et valde quidem credibile erat eos miseriarum captivitatis denuo memores, ita fortasse dicturos, « In quo dilexisti nos? » prudentissimo consilio uni- D versorum Deus quæ acciderant prætermittit, eorumque narrationem relinquit, dilectionisque demonstrationem ad generis eorum principium, Jacob nimirum, revocat, quem se dilexisse confirmat, odisse autem Esau, quantumvis ei qui diligebatur naturæ legibus, ut frater, devinctus esset. Etenim ut divinus Paulus scribit : « Cum nondum nati fuissent, neque aliquid boni egissent, aut mali [64], » Jacob elegit, a quo Judæorum gens originem duxit : abjecit autem Esau, non quod ab eo provocatus esset (non est enim injustus Deus, nec iniquam, aut ancipitem, seu variabilem fert sententiam in unumquemque mortalem); sed cum tanquam Deus amborum fumras actiones et utriusque mores prænosset, melio-

[61] Jerem. v, 21. [62] Psal. cxv, 12. [63] IV Reg. xxv, 9 seqq. [64] Rom. ix, 11.

Digitized by Google

rem et sanctiorem complexus est; ut, exempli causa, etiam beatum Jeremiam priusquam eum formaret in utero, novisse se dicit, et sanctificasse, antequam de vulva exiret [45]. Sciebat utique, sciebat cum prophetam futurum, et ad futura prænuntianda legatum idoneum. Sic et nos ipsos in fide justificatos sanctificari divinus Paulus asserit : « Quos enim præscivit, illos et prædestinavit Deus et Pater conformes fieri imagini Filii sui [46]. » Eosdem vocasse et sanctificasse ibidem dicitur. Itaque secundum præscientiam dignus dilectione habetur Jacob, et meretur odium Esau. Inquit igitur, o Israel, « Dilexi vos. » Nec mentiar ullo modo, si ita vobis dicam : nam ut me recta et vera loqui cognoscatis, ad principium generis modum dilectionis reducite. Ambo enim satu Isaaci erant editi : verum Jacob vita bonus, et amans Dei; alter præfractus, et intractabilis, et ad placula non imparatus. Quapropter inclinavi in Jacob, et hæreditatem Esau attributam vastavi, ipsamque in desolationem dedi. Hæreditatem vero Jacob collegi indulgentia mea, hoc est vos, sive regionem quam incolitis. Sciendum porro Esau vocabulum exponi Latine *quercus* : **821** fuit enim durus, et inflexibilis instar duræ quercus. Quia autem propter unam escam vendidit primitiva sua, appellatus est item Edom, quod sonat *terrenus*. Unde et regionem posterorum Esau Idumæam nominatam sacra Scriptura testatur [47], quam subactam aliquando Judæi desolatam et desertam penitus reddiderunt. Quid autem prophetia Israelitis indicat? Illud, opinor : Jacob se dilexisse ait, nec alia de causa, nisi quia erat vir « simplex, habitans domum [48] : » odisse autem Esau, erat enim, juxta beatum Paulum [49], terrenus et profanus. Quamobrem Judæos intelligere oportebat non fuisse passuros desolationem, nec e patria ad alienigenas migrationem, si Jacob imitandum sibi proposuissent. Quoniam autem Esau mores exprimere, et per vestigia stultitiæ illius incedere malucrunt, hostibus postea traditi sunt.

Quod si quis dicta spiritualiter considerare vult, certo sciat Jacob reddi *supplantator*, ac proinde cujuslibet peccatum supplantantis typus esse possit. Esau autem *quercus*, ut dixi, et Edom *terrenus*, qui et ipse cujusvis sola terrena cogitantis typum et imaginem gerit. Diligit ergo supplantatorem Jacob, Esau autem pertinacem et asperum, sive Edom, hoc est, terrenis affixum, et qui temporanea ac pereuntia spiritualibus bonis stulte anteposuit, odio prosequitur. Ita solitorum vivere hæreditatem dissipabit Deus noster, qui virtutem diligit. Non enim firmitatem nec statum inconcussum habent res terrenæ. Casuras autem penitus, tanquam in figura Idumæorum hæreditas desolata prorsus declarabit.

εγνωκὼς δὲ ὡς Θεὸς τὰ παρ' ὁμῖν ἐσόμενα καὶ τ'ν ἑκάστου τρόπον, ἀγάπης ἠξίου τὸν ἀμείνω τε καὶ ἱερώτερον· καθάπερ ἀμέλει καὶ τὸν μακάριον Ἱερεμίαν πρὶν ἐν κοιλίᾳ διαπλάσαι φησὶν ἐγνωκέναι, ἁγιάσαι τε πρὶν ἐξελθεῖν ἐκ μήτρας. Ἤδει γὰρ, ἤδει προφήτην ἐσόμενον, καὶ ἐπιτηδείως ἔχοντα πρὸ ἀποστολὴν, τὴν ἐπὶ τὸ δεῖν τῶν ἐσομένων ποιεῖσθαι τὴν προαγόρευσιν. Οὕτω δὲ καὶ ἡμᾶς αὐτοὺς τοὺς ἐν πίστει δεδικαιωμένους ἡγιάσθαί φησιν ὁ θεσπέσιος Παῦλος. « Οὓς γὰρ ἔγνω, καὶ προώρισεν, ὁ Θεὸς καὶ Πατὴρ, συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ. » Τούτους καλέσαι τε καὶ ἁγιάσαι λέγεται. Οὐκοῦν κατὰ πρόγνωσιν ἠξίωται μὲν ἀγάπης ὁ Ἰακὼβ, μεμίσηται δὲ δικαίως ὁ Ἡσαῦ. Ὦ τοίνυν, φησὶ, Ἰσραὴλ, « Ἠγάπησα μὲν ὑμᾶς. » Ψευδομυθήσαιμι γὰρ ἂν οὐδαμῶς, εἰ τοῦτο λέγοιμι πρὸς ὑμᾶς· εἰσέσθε δὲ μᾶλλον, ὡς ἔστιν ὀρθός τε καὶ ἀληθὴς ὁ λόγος, εἰς τὴν τοῦ γένους ἀρχὴν ἀναφέροντες τῆς ἀγάπης τὸν τρόπον. Ἄμφω μὲν γὰρ ἦστην ἐξ Ἰσαάκ· ἀλλ' ἦν ἀγαθὸς τοὺς τρόπους καὶ φιλόθεος ὁ Ἰακὼβ, ὁ γε μὴν ἕτερος σκληρὸς, καὶ δυσάντητος, καὶ ἕτοιμος εἰς βεβήλωσιν. Ταύτητοι προσνένευκα τῷ Ἰακὼβ, καὶ τὸν μὲν ἐκνεμηθέντα τῷ Ἡσαῦ κατηφάνισα κλῆρον, ἔδωκά τε αὐτὸν εἰς ἐρήμωσιν· συγκεκρότηκα δὲ τῇ παρ' ἐμαυτοῦ φειδοῖ τὸν τοῦ Ἰακὼβ, τουτέστιν ὑμᾶς, ἧγουν τὴν χώραν, ἣν κατῳκήκατε. Ἰστέον δὲ, ὅτι ἑρμηνεύεται μὲν *δρῦς*, σκληρὸς δὲ καὶ ἀκαμπὴς, καὶ τοῖς ἐκ δρυὸς ξύλοις ὀλίγον παραχωρῶν ὁ Ἡσαῦ. Ἀπεμπωλήσας δὲ καὶ τὰ πρωτοτόκια βρώσεως ἕνεκεν μιᾶς, ὠνόμασται δὴ καὶ Ἐδὼμ, ὅ ἐστι *γήινος*. Ταύτητοι καὶ Ἰδουμαίαν κεκλῆσθαί φησι τὸ Γράμμα τὸ ἱερὸν, τῶν ἐξ Ἡσαῦ γεγονότων τὴν χώραν, ἣν ἐχειρώσαντο κατὰ καιροὺς Ἰουδαῖοι, ἄβατόν τε καὶ ἀοίκητον ἀπέφηναν παντελῶς. Καὶ τί ἂν βούλοιτο δηλοῦν τοῖς ἐξ Ἰσραὴλ τῆς προφητείας ὁ νοῦς; Ἐκεῖνο, οἶμαί που· τὸν μὲν γὰρ Ἰακὼβ ἀγαπῆσαί φησι, καὶ οὐχ ἑτέρου χάριν, ἢ ὅτι γέγονεν ἀνὴρ « ἄπλαστος, οἰκῶν οἰκίαν· » μεμισηκέναι δὲ τὸν Ἡσαῦ· γέγονε γὰρ γήϊνός τε καὶ βέβηλος, κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνήν. Ἦν οὖν ἀναγκαῖον εἰδέναι τοὺς Ἰουδαίους, ὡς οὐκ ἂν συνέβη παθεῖν αὐτοὺς τὴν ἐρήμωσιν, καὶ τὴν ἐκ τῆς ἐνεγκούσης πρὸς τοὺς ἀλλοφύλους ἀποδρομὴν, εἰ ἐμεμίμηντο τὸν Ἰακώβ. Ἐπειδὴ δὲ ζηλωταὶ καὶ ὁμότροποι γεγόνασι τῷ Ἡσαῦ, καὶ τῆς ἐκείνου σκαιότητος ὄντες κατ' ἴχνος κατεφωρῶντο, λοιπὸν δέδονται τοῖς ἐχθροῖς.

Εἰ δὲ δή τις βούλοιτο καὶ πνευματικὴν τοῖς εἰρημένοις ἐφαρμόσαι τὴν θεωρίαν, διανοείσθω σαφῶς, ὡς ὁ μὲν Ἰακὼβ ἑρμηνεύεται *πτερνιστὴς*· τύπος δ' ἂν εἴη παντὸς τοῦ πτερνίζοντος ἁμαρτίας. Ἡσαῦ δὲ, ὡς ἔφην, *δρῦς*, καὶ μέντοι *γήινος* ὁ Ἐδώμ· τύπος δ' ἂν εἴη καὶ οὗτος παντὸς τοῦ μόνα φρονοῦντος τ ἐπὶ τῆς γῆς. Ἀγαπᾷ τοίνυν ὁ Θεὸς τὸν πτερνιστὴ Ἰακὼβ, μεμίσηκε δὲ τὸν Ἡσαῦ τὸν ἀκαμπῆ κ σκληρὸν, ἤτοι τὸν Ἐδὼμ, τουτέστι, τὸν τοῖς γηΐνοις προσνενευκότα, καὶ τῶν πνευματικῶν ἀγαθῶν τὰ πρόσκαιρά τε καὶ ἀπολλύμενα φληνάφως ἀνθῃρημένον. Τῶν οὕτω ζῆν εἰωθότων ἀφανιεῖ τὸν κλῆρον ὁ φιλάρετος ἡμῶν Θεός. Οὐ γάρ τοι βέβαια τὰ ἐπὶ τῆς γῆς, οὔτε μὴν ἀκλόνητον ἔχει τὴν στάσιν. Ὅτι δὲ

[45] Jerem. I, 5. [46] Rom. VIII, 29. [47] Gen. XXXVI, 43. [48] Gen. XXV, 27. [49] Hebr. XII, 16.

Digitized by Google

πεσεῖται πάντως, ὡς ἐν τύπῳ σαφηνιεῖ τῶν Ἰδουμαίων ὁ κλῆρος εἰσάπαν ἠρημωμένος. Ἀλλ' ὄγε Θεῷ προσκείμενος, ἀσφαλῆ καὶ ἐρηρεισμένην ἕξει τὴν ἐλπίδα, καὶ τῷ τῶν ἀγαθῶν δοτῆρι Θεῷ προσφωνήσει λέγων· « Ἐν ταῖς χερσί σου οἱ κλῆροί μου. »

Διότι ἐρεῖ· Ἡ Ἰδουμαία κατέστραπται, καὶ ἐπιστρέψωμεν, καὶ ἀνοικοδομήσωμεν τὰς ἐρήμους. Τάδε λέγει Κύριος παντοκράτωρ· Αὐτοὶ οἰκοδομήσουσι, καὶ ἐγὼ καταστρέψω· καὶ ἐπικληθήσεται αὐτοῖς ὅρια ἀνομίας, καὶ λαὸς ἐφ' ὃν παρατέτακται Κύριος ἕως αἰῶνος.

Ε'. Δυσχερὴς μὲν λίαν ἡ τῆς λέξεως συνθήκη, πλὴν οὐκ ἄτοπος τῶν προκειμένων ὁ νοῦς. Δέδωκα μὲν γὰρ ἐγὼ, φησὶν, τοῦ Ἡσαῦ κληρονομίαν εἰς ἀφανισμὸν καὶ εἰς ἐρήμωσιν, ὑμῶν τῶν ἐξ Ἰακὼβ ἐκπεπορθηκότων. Ἐρεῖ δὲ ἴσως ὁ Ἰδουμαῖος· Εἰ καὶ κατέστραπται παντελῶς, καὶ εἰς λῆξιν ἦκει κακῶν ἣν κατῳκήκαμεν χώραν, ἀλλ' οὖν ἐπιστρέψαντες ἐγεροῦμεν μὲν τὰς ἠρημωμένας πόλεις τε καὶ κώμας, κατοικήσομεν δὲ αὐτὰς οἱ διασεσωσμένοι. Τί οὖν; Πρὸς ταῦτα, φησὶ, τάδε λέγει Κύριος· « Αὐτοὶ οἰκοδομήσουσι, καὶ ἐγὼ καταστρέψω. » Κεκλήσεται δὲ πάντως ἡ Ἰδουμαία, « Ὅρια ἀνομίας, » ὡς διὰ πλείστην ὅσην ἁμαρτίαν κατεστραμμένη, « καὶ λαὸς ἐφ' ὃν παρατέτακται Κύριος ἕως αἰῶνος. » Ὁ μὲν οὖν τοῦ γράμματος νοῦς οὐχ ἕτερος, οἶμαι, τις παρὰ τοῦτόν ἐστι. Προσθείην δ' ἄν, ὅτι τῶν τὸ σαρκικὸν καὶ γήϊνον ἐχόντων φρόνημα (*γήϊνος* γὰρ, ὡς ἔφην, ὁ Ἰδουμαῖος ἑρμηνεύεται) πάντη τε καὶ πάντως ὁ κλῆρος πεσεῖται, Θεοῦ καταστρέφοντος. Οὐ γὰρ ἔχει τὸ βέβαιον τὰ ἐν τῷδε τῷ κόσμῳ πρακτέα, οὕτω μὴν διηνεκῆ τὴν μέθεξιν· παριπτεύει γὰρ ταῖς ἔχουσι πρόσκαιρος εὐθυμία, καὶ ἐν ἴσῳ σκιᾶς μετατάττεται, ἢ θανάτῳ σβεσθέντος τινὸς, ἢγουν ἀδοκήτου συμφορᾶς ἐπενηνεγμένης.

Ἀλλ' εἰ καί τις ἕλοιτο τῶν Ἰδουμαίων τὸν ἑαυτοῦ κλῆρον οἰκοδομεῖν, ἢ πλοῦτον συλλέγων τὸν ἐξ ἀδικίας, ἢ τοῖς διακένοις δοξαρίοις ἐντρυφῶν, ἢ δυναστείαις ταῖς κατὰ τὸν βίον ἐναβρύνεσθαι θέλων, αὐτὸν εὑρήσει τὸν τῶν ὅλων Θεὸν μονονουχὶ καὶ ἀνθεστηκότα καὶ μαχόμενον. Ὡς γὰρ ὁ θεσπέσιος γέγραφε μαθητὴς, « Εἴ τις θέλει εἶναι φίλος τοῦ κόσμου, ἐχθρὸς τοῦ Θεοῦ καθίσταται. » Οὕπω παύσεται γάρ, ὡς ἔφην, τῶν τὰ γήϊνα φρονεῖν ἠρημένων, ἀλλ' οὐδὲ τῆς πρὸς αὐτοὺς καταλήξει μάχης. Μισεῖ γὰρ ἀεὶ τὸν ἀλιτήριον, καὶ ἀπόπεμπτον ποιεῖται τὸν φιλαμαρτήμονα.

Καὶ οἱ ὀφθαλμοὶ ὑμῶν ὄψονται, καὶ ὑμεῖς ἐρεῖτε· Ἐμεγαλύνθη Κύριος ὑπεράνω τῶν ὁρίων τοῦ Ἰσραήλ.

Ϛ'. Ὅταν, φησὶ, τὴν τῶν πραγμάτων κατωρθώσητε φύσιν, μονονουχὶ δὲ καὶ ἀναμύοντι τῷ· κατίδητε σαφῶς ἅπερ ἔφην ἀρτίως, τότε δὴ πάντως ἐρεῖτε συγκατανεύοντες, ὅτι δεδόξασται καὶ ἐμεγαλύνθη Θεὸς ἐν τοῖς ὁρίοις τοῦ Ἰσραήλ. Οἱ μὲν γὰρ ἐξ Ἰακὼβ γεγονότες, ταυτέστιν Ἰουδαῖοι, προσκεκρουκότες, ὡς ἔφην, διὰ πλείστην ἀσέβειαν ἔξοικοί τε γε-

A Ast qui Deo adhæret, spe certa et firma sustentabitur, et bonorum largitori acclamabit : « In manu tua sortes meæ [80]. »

Vers. 4. *Quia dicet, Idumæa subversa est, et revertamur, et reædificemus deserta. Hæc dicit Dominus omnipotens : Ipsi ædificabunt, et ego destruam; et vocabuntur eis termini iniquitatis, et populus super quem extensus est Dominus usque in æternum.*

V. Perdifficilis est verborum contextus, sive connexio : verumtamen sententia subjecta non inconveniens. Inquit enim, Dedi quidem **822** ego hæreditatem Esau in desolationem, in solitudinem, a vobis ex Jacob propagatis devastatam. Sed Idumæi dicent fortasse : Etsi regio quam habitavimus prorsus in vastitudinem redacta, et extremis afflictata est malis, nihilominus reversi desolatas urbes vicosque instaurabimus, et qui salutem retinuimus, eas incolemus. Quid igitur? Ad hæc, inquit, ista dicit Dominus : « Ipsi ædificabunt, et ego destruam. » Et Idumæa omnino vocabitur « Termini impietatis, » utpote peccatis plurimis depravata, « et populus super quem extensus est Dominus usque in æternum. » Litteræ igitur sensus, ut arbitror, præter hunc nullus est. Libet apponere, carnalia et terrena cogitantium (*terrenus* enim, ut dixi, sonat nomen Idumæus) hæreditas, Deo subvertente, cadet penitus. Nam quæ in hoc mundo actitantur, firmitudine carent, neque usum sui perpetuum præbent, quoniam temporanea lætitia præterit, umbræ similis, aut morte e medio tollente aut improvisa calamitate interveniente.

Sed etsi quis Idumæorum sub intelligentiam cadentium hæreditatem suam ædificare voluerit, aut divitias ex iniquitate congregans, aut in gloriolis inanibus delicias sibi constituens, aut potentia in hac vita efferri volens, universorum Deum ipsum tantum non obsistentem contraque pugnantem inveniet. Nam ut divinus discipulus scriptum reliquit, « Qui voluerit esse amicus sæculi hujus, inimicus Dei constituitur [81]. » Nondum enim quiescet, ut dixi, ab his qui terrena sapiunt, nec iis adversari desistet. Semper enim flagitiosum odit, et cupidius peccantem rejicit.

Vers. 5. *Et oculi vestri videbunt, et vos dicetis : Magnificatus est Dominus super terminos Israel.*

VI. Quando, inquit, rem pro natura sua recte præstiteritis, et tantum non apertis animi oculis videritis perspicue quæ modo dixi, tunc omnino annuentes, glorificatum et magnificatum esse Deum in finibus Israel fatebimini. Ex Jacob enim prosemi-nati, Judæi nempe, cum Deum offendissent, ut dixi, extorres, et captivi, et inimicis expugnabiles propter

[80] Psal. xxx, 16. [81] Jac. iv, 4.

Digitized by Google

summam impietatem facti sunt. Ubi vero miseriis exercitos, et pro dignitate punitos Deus miseratus est, redierunt, et res eorum in melius, atque in antiquum statum restitutæ sunt. **823** Et beneſactum deinceps regioni, urbes de integro incoluerunt, templum condiderunt, Hierosolymam mœnibus communierunt, et quæ magis optabant, quam sperabant, iis denuo sunt perfruiti. Idumæa autem ut vastata est, ita permansit, nec ad conditionem feliciorem erecta est. Itaque glorificatus est Deus in terminis Israel.

Sciendum porro, etiam secundum reconditissimum sensum, quamvis quidam Deum agnoscentes ipsum offenderint, ac propter peccatum pœnas dederint, tamen non funditus perituros; nam Deus, ubi quantum satis est in eos animadverterit, miseretur, et ad prosperum statum eos reducit. Terrenum autem affectum diligentibus, et ad sola quæ carnis sunt respicientibus, adversatur semper, et iræ suæ super illos tempus producit: « Vocabuntur enim, inquit, illis termini impietatis, et populus super quem extensus est Dominus in æternum. »

VERS. 6. *Filius glorificat patrem, et servus dominum suum. Et si pater sum ego, ubi est gloria mea? et si dominus sum ego, ubi est timor meus? dicit Dominus omnipotens.*

VII. Limitem rationis egressos contempsisse quæ minime oportebat, ostendit ubique. Frugi enim filiis conveniebat, et quidem jure admodum ac merito, ut patris sui gloriam procurandam serio susciperent, quo ita inclyti patris filii vocarentur. Jam si quis fidelis, seu germanus sit minister, etiam dominum suum celebrem fieri, et non obscurum, et velut pedibus protritum manere, magnopere optabit. Nam sic ipse quoque partem felicitatis, quæ in his est, feret, et quod sibi ornamento sit faciet, et eam summæ voluptatis occasionem sibi ducet. Vos autem, inquit, cum me ut patrem honorare, atque ut dominum timere deberetis, in ambobus non parum ab officio descivistis, et inveniemini nec ut patri honorem, nec ut domino timorem impertientes. Ubi enim est honor meus? ubi timor, si nihil ad gloriam meam pertinens facere sustinetis, neque pœnam a domino metuentes, ejus jussa capessitis? Istiusmodi quippiam per Isaiam quoque dicit: « Audi, cœlum, et auribus percipe, terra, quia Dominus locutus est: Filios genui et exaltavi, ipsi autem spreverunt me[22]. » Quærenda igitur a nobis, quæ Deo sunt honorifica, et ad opera sancta incumbendum, cum sciamus scriptum esse: « Vivo ego, dicit Dominus, quia glorificantes me glorificabo, **824** et qui contemnit me, contemnetur [23]. » Glorificabitur autem a nobis Pater universorum Deus, si non quod nobis jucundum et amicum est, agere studuerimus, sed illi potius mentem nostram dedicaverimus et in omnibus ad ejus nutum nos conformaverimus. Timebimus vero ut Dominum, si propensionem ad improbi-

[22] Isa. I, 2. [23] I Reg. II, 30.

γόνασιν, καὶ αἰχμάλωτοι, καὶ ἀλώσιμοι τοῖς ἐχθροῖς. Ἐπειδὴ δὲ πεπραχότας ἀθλίως, καὶ ἀποχρώντως κεκολασμένους, κατηλέησεν ὁ Θεὸς, ἀνεκομίσθησαν εἰς τὸ ἀπ' ἀρχῆς, ἀνενεγκόντων αὐτοῖς ἐπὶ τὸ ἄμεινον τῶν πραγμάτων. Καὶ γέγονε μὲν ἐν εὐπαθείᾳ ἡ χώρα, κατῳκήκασι δὲ τὰς πόλεις, ἀνεδείμαντο τὸν ναὸν, ἀνετείχισαν τὴν Ἱερουσαλὴμ, καὶ γεγόνασι πάλιν ἐν τοῖς παρ' ἐλπίδα καὶ κατ' εὐχήν. Ἡ δέ γε τῶν Ἰδουμαίων ἠρήμωται χώρα, καὶ μεμένηκεν ἐν κακοῖς, οὐκ ἀνασφήλασα περὶ τὸ ἄμεινον. Οὐκοῦν δεδόξασται Θεὸς ἐν τοῖς ὁρίοις Ἰσραήλ.

Ἰστέον δὲ, ὅτι καὶ κατὰ τὸν ἐσώτατον νοῦν, κἂν εἰ ἐν προσκρούσει γένοιντό τινες τῶν εἰδότων Θεὸν, κἂν εἰ παιδεύοιντο δι' ἁμαρτίαν, ἀλλ' οὖν οὐκ εἰς ἅπαν αὐτοὺς ἀπολέσθαι συμβαίνει· κατοικτείρει δὲ Θεὸς παιδεύσας ἀρκούντως, καὶ ἀνακομίζει πάλιν εἰς εὐθυμίαν. Τοῖς δέ γε τὸ γήϊνον ἀγαπῶσι φρόνημα, καὶ εἰς μόνα βλέπουσι τὰ σαρκὸς, μάχεται διηνεκῶς, καὶ τῆς ἐπ' αὐτοῖς ὀργῆς παρατενεῖ τοὺς χρόνους. « Κληθήσεται γὰρ, φησὶν, αὐτοῖς ὅρια ἀνομίας, καὶ λαὸς ἐφ' ὃν παρατέταται Κύριος ἕως αἰῶνος. »

Υἱὸς δοξάζει πατέρα, καὶ δοῦλος τὸν κύριον αὐτοῦ. Καὶ εἰ πατὴρ εἰμι ἐγὼ, ποῦ ἐστιν ἡ δόξα μου; καὶ εἰ κύριός εἰμι ἐγὼ, ποῦ ἐστιν ὁ φόβος μου; λέγει Κύριος παντοκράτωρ.

Ζ'. Ἔξω τοῦ καθήκοντος ἰόντας λόγου, καὶ ὧν ἥκιστα χρῆν ἀφειδεῖν ἠρημένους, ἀποφαίνει πανταχῆ. Τοῖς μὲν γὰρ ἐπιεικέσι τῶν υἱῶν πρέπει ἂν, καὶ μάλα εἰκότως, τὸ μεταποιεῖσθαι σφόδρα τῆς τοῦ φύσαντος δόξης, ἵνα καὶ εὐκλεεστάτου πατρὸς ὀνομάζωνται τέκνα. Εἰ δὲ δή τις εἴη καὶ οἰκέτης γνήσιος, περιφανῆ που πάντως καὶ διαβόητον τὸν οἰκεῖον εὔξεται γενέσθαι δεσπότην, οὐκ ἄσημον εἶναι καὶ πεπατημένον. Μεθέξει γὰρ οὕτω καὶ αὐτὸς τῆς ἔν γε τούτοις εὐημερίας, καὶ καύχημα τὸ χρῆμα ποιήσεται, καὶ θυμηδίας τῆς ἀνωτάτης λογιεῖται πρόφασιν. Ὑμεῖς δὲ, φησὶν, ὡς πατέρα με δοξάζειν ὀφείλοντες, δεδιέναι δὲ καὶ ὡς δεσπότην, κατ' ἄμφω τοῦ πρέποντος οὐ μετρίως διημαρτήκατε· ἀλλὰ σεσθε δὲ μήτε ὡς πατρὶ τὴν δόξαν, μήτε μὴν ὡς δεσπότῃ τὸν φόβον ἀνάπτοντες. Ποῦ γὰρ ἡ δόξα μου; ποῦ δὲ ὁ φόβος, εἰ μηδὲν τῶν εἰς δόξαν ὁρώντων τὴν ἐμὴν ἀνέχεσθε ὁρᾷν, μήτε μὴν τὸ κολάζεσθαι δεδιότες, τοῖς δεσπότου εἴκετε νόμοις; Ἔφη τι τοιοῦτον καὶ διὰ φωνῆς Ἡσαΐου· « Ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, ἡ γῆ, ὅτι Κύριος ἐλάλησεν· Υἱοὺς ἐγέννησα, καὶ ὕψωσα· αὐτοὶ δέ με ἠθέτησαν. » Χρὴ τοίνυν ἡμᾶς τὰ εἰς δόξαν Θεοῦ ζητεῖν, καὶ μὴν καὶ ἐπείγεσθαι κατορθοῦν, τὸ γεγραμμένον εἰδότας· « Ζῶ ἐγὼ, λέγει Κύριος, ὅτι τοὺς δοξάζοντάς με δοξάσω, καὶ ὁ ἐξουθενῶν με, ἀτιμωθήσεται. » Δοξάσεται δὲ πρὸς ἡμῶν ὁ Πατὴρ ὁ τῶν ὅλων Θεὸς, οὐχὶ τὸ αὐτοῖς ἡμῖν ἡδύ τε καὶ φίλον ἀποπεραίνειν ἐσπουδακότων, ἀνατεθεικότων δὲ μᾶλλον αὐτῷ τὸν νοῦν, καὶ τοῖς αὐτοῦ νεύμασιν ἑπομένων πανταχοῦ. Φοβηθησόμεθα δὲ καὶ ὡς Κύριον, τὴν εἰς ραυλότητα ῥοπὴν ἀνακόπτοντες αἰδοῖ τοῦ προσκρούειν

Digitized by Google

αὐτῷ, καὶ τὸν ἐπὶ τοῦ θείου βήματος εὐνοοῦντες ἐλεγχον. « Τοὺς γὰρ πάντας ἡμᾶς δεῖ φανερωθῆναι ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε φαῦλον. »

Ὑμεῖς οἱ ἱερεῖς, οἱ φαυλίζοντες τὸ ὄνομά μου. Καὶ εἴπατε· Ἐν τίνι ἐφαυλίσαμεν τὸ ὄνομά σου; Προσάγοντες πρὸς τὸ θυσιαστήριόν μου ἄρτους ἠλισγημένους. Καὶ εἴπατε· Ἐν τίνι ἠλισγήσαμεν αὐτούς; Ἐν τῷ λέγειν ὑμᾶς· Τράπεζα Κυρίου ἠλισγημένη ἐστὶ, καὶ τὰ ἐπιτιθέμενα βρώματα ἐξουδενωμένα.

Η'. Ἐπαιτιᾶται σφόδρα τῶν Ἰουδαίων τὸ ῥᾴθυμον, οἷς καὶ ὁ νόμος ἐπιφωνεῖ τὸ, « Εὐλαβεῖς ποιεῖτε τοὺς υἱοὺς Ἰσραήλ. » Ἕψεται γὰρ ὡς ἐπίπαν ταῖς τῶν ἡγουμένων ἐπιεικείαις ἡ ὑπὸ χεῖρα πληθὺς, B ἀδικεῖται δὲ οὐ μετρίως, ὅταν ἴδῃ κατημεληκότας τῆς πρὸς Θεὸν αἰδοῦς. Συγκαθίσταται γὰρ εὐθὺς καὶ συναῤῥωστεῖ τὸ ῥᾴθυμον εἰς εὐλάβειαν, καὶ τῇ τῶν καθηγητῶν ὑπτιώσει συμπλάττεται. Ὅτι δέ ἐστιν ἀληθὴς ὁ λόγος, πιστώσεται λέγων ὁ τῶν ὅλων Θεὸς, ὅτι « Οἱ ποιμένες ἠφρονεύσαντο, καὶ τὸν Κύριον οὐκ ἐξεζήτησαν. Διὰ τοῦτο οὐκ ἐνόησε πᾶσα ἡ νομὴ, καὶ διεσκορπίσθησαν. » Οὐκοῦν ὡς ἐπίπαν οἱ τῶν θείων θυσιαστηρίων ἱερουργοὶ πρόφασις εὑρίσκονται τοῖς ἄλλοις εὐδοκίμου ζωῆς μὲν, εἴπερ ἔλοιντο διαβιοῦν ὀρθῶς, καὶ καθ' ὃν προσῆκε τρόπον τὸ σέβας ἀνάπτειν· αἰσχρῶν δὲ καὶ βδελυρῶν ἐπιτηδευμάτων, εἰ πρό γε τῶν ἄλλων οὗτοι τὰ τοιάδε τῶν κακῶν εὑρίσκοιντο κατηῤῥωστηκότες. Ταύτῃτοι καὶ ὁ θεσπέσιος Πέτρος τοῖ; τελοῦσι διδασκάλοις ἐπεφώνει σοφῶς, C ὅτι προσῆκεν αὐτοὺς τύπους γενέσθαι τοῖς ποιμνίοις. Ὑμεῖς ἐστε τοίνυν, φησὶ, οἱ τοῖς τῆς ἱερωσύνης αὐχήμασι διαπρέποντες, οἱ φαυλίζοντες τὸ ὄνομά μου. Καὶ εἰ βούλεσθε μαθεῖν τοῦ φαυλισμοῦ τὸν τρόπον, ἀκούσεσθε διακεκραγότος· Ἐν τῷ προσφέρειν ὑμᾶς εἰς τὸ θυσιαστήριόν μου ἄρτους ἠλισγημένους. Εἰ δὲ δὴ λέγοιντο καὶ πρὸς τοῦτο πάλιν· « Τίνα δὴ τρόπον ἠλισγήσαμεν αὐτούς; » ἐρῶ πρὸς ὑμᾶς· Ὡς οἴεσθε μὲν ἴσως, μᾶλλον δὲ καὶ αὐτοῖς βοᾶτε πράγμασιν, ὅτι « Τράπεζα Κυρίου ἐξουδενωμένη ἐστίν. » Ἐπειδὴ δὲ ἕκαστα τῶν εἰρημένων ἀναμηρύσασθαι χρὴ, καὶ διερμηνεῦσαι σαφῶς, φέρε λέγωμεν, τί ποτε ἄρα βούλεται δηλοῦν ὁ ἄρτος ὁ ἠλισγημένος. Ἠλισγημένον μὲν οὖν τὸν μεμολυσμένον, ἤγουν τὸν ἀκάθαρτον ὀνομάζει. Εἰδέναι δὲ ἀναγκαῖον, ὅτι κατά γε τὸ τῷ νομοθέτῃ δοκοῦν ἐπὶ ταῖ, τελουμέναις θυσίαις καὶ ἄρτοι προσεκομίζοντο· πλὴν ἄζυμοί τε καὶ καθαροί· μόνην δὲ τὴν τῆς αἰνέσεως θυσίαν ἐπ' ἄρτοις ζυμίταις τελεῖσθαι προστέταχε. Καὶ τίς ὁ περὶ τούτων μυστικὸς ἂν γένοιτο λόγος, ἀποχρώντως ἐν ἑτέροις εἰρήκαμεν· ἀφηγήσομαι δὲ νῦν καὶ ἐν ἐπιδρομῇ, ὡς ἂν μὴ δοκοίην ὀκνηρὸς εἶναί τις ἔν γε τοῖς οὕτω λυσιτελεστάτοις. Οὐκοῦν ὁ μὲν ἄζυμος ἄρτος σημείων ἂν γένοιτο ζωῆς τῆς ἀζύμου καὶ καθαρᾶς. Οὕτω καὶ ὁ θεσπέσιος Παῦλος τοῖς ἐν πίστει δεδικαιωμένοις ἐπιστέλλει, λέγων· « Ὥστε ἑορτάζωμεν μὴ ἐν ζύμῃ

A latem, pudore quodam illius offendendi resciderimus, accusationemque apud divinum tribunal nobiscum volutaverimus. « Omnes enim nos manifestari oportet ante tribunal Christi, ut recipiat unusquisque prout gessit in corpore suo, sive bona, sive mala [84]. »

Vers. 7. *Vos sacerdotes, qui despicitis nomen meum. Et dixistis : In quo despeximus nomen tuum? Offerentes ad altare meum panes pollutos. Et dixistis : In quo polluimus eos? In eo quod dicitis : Mensa Domini polluta est, et superpositæ escæ sunt despectæ.*

VIII. Expostulat vehementer cum sacerdotibus ob socordiam, quibus et lex acclamat illud, « Religiosos facite filios Israel. » Subjecta enim multitudo pene B in omnibus principum bona exempla sequitur, nec mediocre detrimentum accipit, cum eos reverentiam erga Deum posthabere cernit. Statim enim eodem redigitur, et desidia in cultu divino simul languet, et ad magistrorum supinam negligentiam fingitur. Vera me dicere ex verbis Dei universorum patet: « Pastores stulte egerunt, et Dominum non exquisiverunt. Propter hoc non intellexit omnis grex, et dissipati sunt [85]. » Itaque in omnibus fere, qui ad divina altaria sacrificant cæteris ad vitam probatam incitamento sunt, si ex virtute vivere, et Deum modo quo convenit colere voluerint : ad nefanda autem et detestabilia studia duces, si præ aliis hujusmodi malis male habere conspiciantur. Hinc et divinus Petrus magistros sapienter admonuit, convenire, eos formam gregis fieri [86]. Vos igitur estis, inquit propheta, qui sacerdotii dignitate conspicui, qui despicitis nomen meum. Et si modum despectionis audire vultis, audietis clamantem : « In eo quod offertis ad altare meum panes pollutos. » Quod si objiciant, « In quo polluimus eos? » dicam vobis : Quia putatis forte, vel potius ipsis rebus testamini, **825** mensam Domini despectam esse. Quoniam autem singula dictorum recolligere, et perspicue declarare oportet, age dicamus, quid sibi panis pollutus velit. Pollutum itaque contaminatum sive immundum nominat. Sciendum porro, ex voluntate legislatoris in sacrificiis quæ peragebantur etiam panes offerri solitos, sed azymos et puros : solum D autem sacrificium laudis in fermentatis peragi jussit [87]. De quibus quod mystice disseri possit, alibi satis docuimus, quæ nunc strictim repetam, ne in rebus longe utilissimis tædio captus videar. Panis ergo azymus, seu non fermentatus, signum esse queat vitæ non fermentatæ ac puræ. Atque ita etiam divinus Paulus in fide justificatis scribit : « Itaque epulemur non in fermento veteri, neque in fermento malitiæ et nequitiæ, sed in azymis sinceritatis et veritatis [88]. » Et iterum : « Expurgate vetus fermentum, ut sitis nova conspersio, sicut estis azymi [89]. » Hortatur item Christus sanctos apostolos his verbis : « Cavete a fermento Pharisæorum et Saddu-

[84] II Cor. v, 10. [85] Jerem. x, 21. [86] I Petr. v, 1-4. [87] Psal. xlix, 23. [88] I Cor. v, 8. [89] ibid. 7.

Digitized by Google

cæorum [60]. » Puræ igitur et sanctificatæ et azymæ vitæ hoc genus panis est symbolum. Offerebant igitur pro se, ut in typis adhuc et umbris, qui secundum legem panes azymos et azyma offerebant.

τοῖς ἁγίοις ἀποστόλοις, οὕτω λέγων· « Προσέχετε Οὐκοῦν καθαρᾶς καὶ ἡγιασμένης καὶ ἀζύμου ζωῆς ὡς ἐν τύποις ἔτι καὶ σκιαῖς οἱ προσάγοντες ἄρτους

Quoniam autem catechumenos, et ita per sacrum baptisma nondum a peccato purgatos Ecclesiis non ejicimus cum Deum glorificamus : quin eos potius in consummando sacrificio laudis socios adsciscimus, ideo lex in fermentato illam, glorificationem puta, faciendam inquit, sicut dixi : veteris nequitiæ reliquias, quasi quoddam fermentum in se habentem significans, panem fermentatum per ænigma nondum baptismate purgatum. « Vos igitur sacerdotes estis, inquit, qui despicitis nomen meum, » dum ad altare meum panes pollutos offertis. Curandum ergo sacerdotio ornatis, ne quid tale in Ecclesia committatur, et tenendum accuratam observationem Deo gratam et jucundam accidere ; contra, socordiam in rebus tam venerandis magnam illi creare molestiam ; nec id supine negligentes impune ferent. Et quomodo non miserabile est istud videre ? cum illi audiant : « Vos sacerdotes estis, qui despicitis nomen **826** meum. » Est enim quidam contemptus Dei sacerdotum segnities, et peccatum illud gloriæ ipsi tribuendæ ac debitæ adversatur.

VERS. 8. *Quia si offeratis cæcum in sacrificium, nonne malum ? Et si offeratis claudum, aut languidum, nonne malum ? Offer illud duci tuo, si suscipiet te, si accipiet faciem tuam, dicit Dominus omnipotens.*

IX. Cum lex mandaret [61] victimarum vitia considerare, et mutilas seu membris captas repudiare, ex omni parte integras sacrificare, illi eo tempore citra delectum, et nullo discrimine, cuncta offerebant, et gloriæ Deo dignæ ratio omnino exigua ducebatur : ut autem quam plurimas victimas congregarent, et copiam arietum domi, ac fortasse in ipso tabernaculo haberent, in eo plurimum operæ ac studii consumebatur. An igitur, o præclari legum custodes, si quis cæcum ad sacrificium obtulerit, hoc sacrificium vitiosum non est ? Quod si claudum, aut languidum, num se a crimine mutilatæ victimæ tueri poterit ? An non istiusmodi mala et ad sacrificium inepta censebitis ? Sin aliter apud animos vestros statuitis, age quispiam pro xenio, et in loco muneris uni suorum gubernatorum offerat. Atqui non suscipiet, inquit, nec offerentis faciem reveritus illud offerendum fuisse judicabit, vehementerque, ut injuria lacessitus, irascetur. Est itaque a ratione prorsus alienissimum, Deo audere offerre quæ nec nostrum aliquis dignaretur accipere. Magnum hoc nobis peccatum est, si oblaturi Deo, quæramus miseri quod fœdius, aut vilius est : non

παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας. » Καὶ πάλιν· « Ἐκκαθάρατε οὖν τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα, καθώς ἐστε ἄζυμοι. » Παρεγγυᾷ δὲ Χριστὸς ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων. » σημεῖον ὁ ἄρτος. Προσεκόμιζον τοίνυν ἀνθ' ἑαυτῶν τε ἀζύμους καὶ ἄζυμα κατὰ τὸν νόμον.

Ἐπειδὴ δὲ καὶ τοὺς ἔτι κατηχουμένους, καὶ οὕπω τὴν ἁμαρτίαν ἐκνενιμμένους διὰ τοῦ ἁγίου βαπτίσματος, οὐκ ἐκπέμπομεν τῶν Ἐκκλησιῶν δοξολογοῦντες Θεόν, ποιούμεθα δὲ μᾶλλον κοινωνούς, τὴν τῆς αἰνέσεως πληροῦντες θυσίαν· ταύτητοί φησι καὶ ὁ νόμος, ἐπ' ἄρτοις ζυμίτσις χρῆναι δρᾶν αὐτὴν, ἄρτον ζυμίτην λέγων αἰνιγματωδῶς τὸν οὕπω κεκαθαρμένον, ὡς ἔφην, διὰ τοῦ ἁγίου βαπτίσματος, ἔχοντα δὲ ὥσπερ τινὰ ζύμην ἐν ἑαυτῷ τὰ τῆς ἀρχαίας φαυλότητος λείψανα. « Ὑμεῖς οὖν, φησίν, οἱ ἱερεῖς, οἱ φαυλίζοντες τὸ ὄνομά μου, » διὰ τὸ προσφέρειν εἰς τὸ θυσιαστήριόν μου ἄρτους ἠλισγημένους. Χρὴ τοιγαροῦν φροντίδα ποιεῖσθαι τοὺς τὴν θείαν ἔχοντας ἱερωσύνην, μὴ ἄρα τι δρῷτο τοιοῦτον ἐν Ἐκκλησίᾳ· εἰδέναι τε, ὅτι ἡ μὲν ἀκριβὴς ἐπιτήρησις εὐφραινεῖ Θεὸν, καταλυπήσει δὲ λίαν τὸ ῥᾳθυμεῖν ἐλέσθαι τῶν οὕτω σεπτῶν. Ὅτι οὐκ ἀζήμιον τὸ χρῆμα τοῖς ὑπτιουμένοις πως, οὐ ταλαίπωρον ἰδεῖν, ἀκουόντων ἐκείνων· « Ὑμεῖς οἱ ἱερεῖς, οἱ φαυλίζοντες τὸ ὄνομά μου. » Φαύλισμα γὰρ ὥσπερ εἰς Θεὸν τῶν ἱερέων τὸ ῥᾴθυμον, καὶ εἰς τὴν αὐτῷ πρέπουσάν τε καὶ ὀφειλομένην δόξαν ἀναφέρεται τὸ πλημμέλημα.

Διότι ἐὰν προσαγάγητε τυφλὸν εἰς θυσίας, οὐ κακόν; καὶ ἐὰν προσαγάγητε χωλὸν ἢ ἄῤῥωστον, οὐ κακόν; Προσάγαγε δὴ αὐτὸ τῷ ἡγουμένῳ σου, εἰ προσδέξεταί σε, εἰ λήψεται πρόσωπόν σου, λέγει Κύριος παντοκράτωρ.

Θ'. Μωμοσκοπεῖν τοῦ νόμου τὰ ἱερεῖα προστάττοντος, καὶ ἀπόβλητον μὲν ποιεῖσθαι τὰ ἔμπηρα, καθιεροῦν δὲ τὰ ἄμωμα, προσεκόμιζον τῷ θυσιαστηρίῳ κατ' ἐκεῖνο τοῦ καιροῦ πάντα χύδην καὶ ἀδιακρίτως, καὶ τῆς μὲν πρεπούσης δόξης τῷ Θεῷ ὀλίγος ἦν παντελῶς ὁ λόγος· φροντὶς δὲ λίαν ἐσπουδασμένη, τὸ πλεῖστα ὅσα συναγείρειν ζύματα, καὶ κριῶν ἀφθονίαν οἴκοι τε ἔχειν, καὶ ἐν αὐτῇ που τάχα τῇ ἁγίᾳ σκηνῇ. Ἆρ' οὖν, ὦ τοῦ νόμου φύλακες, εἴ προσάγειτις τυφλὸν εἰς θυσίαν, οὐ κακὸν τὸ θῦμα; εἰ δὲ δὴ καὶ χωλὸν ἢ ἄῤῥωστον, τὸν τῆς ἐμπηρίας διαφεύξεται μῶμον; Οὐ γὰρ δὴ καὶ τὰ τοιάδε λογιεῖσθε κακὰ, καὶ πρὸς θυσίαν οὐκ ἐπιτήδεια; Ἀλλ' εἴπερ οἴεσθε κατὰ σφᾶς οὐχ ὧδε ἔχειν, ἀποφερέτω τις αὐτὰ ξένιον, καὶ ἐν δώρου τάξει τῶν καθηγητῶν ἑνί. Ἀλλ' οὐκ ἂν προσδέξαιτο, φησὶ, οὐδ' ἂν τὸ τοῦ προσκομίζοντος πρόσωπον αἰδεσθείς, οἰστέον τὸ χρῆμα ποιήσαιτο, χαλεπανεῖ δὲ λίαν ὡς ὑβρισμένος. Ἔστι τοίνυν τῶν ἄγαν ἐκτοπωτάτων, Θεῷ προσφέρειν ἀποτολμᾶν, ἃ μηδ' ἂν εἷς τῶν καθ' ἡμᾶς ἕλοιτο λαβεῖν. Πολὺ τοῦτο παρ' ἡμῖν τὸ πλημμέλημα· εἰ γάρ τι μέλλοιμεν προσκομίζειν Θεῷ, ὡς ἂν ἔχοιμεν τὰ αἰσχίω, καὶ δεύτερα ζητοῖμεν οἱ τάλανες, οὐκ ἐννοοῦντες, ὅτι καὶ

[60] Matth. xvi, 6. [61] Levit. xxii, 21 seqq.

Digitized by Google

Καῖν θυσίαν οὐκ ἐποιεῖτο δεκτὴν, ὅτι προσεκόμιζε μὲν οὐκ ὀρθῶς, ἑαυτῷ μὲν τὰ πρῶτα καὶ ἐξαίρετα τετηρηκὼς, τιμᾷν δὲ νομίσας τοῖς δευτέροις Θεόν. Ἀλλ' οὐ προσέσχεν αὐτοῦ ταῖς θυσίαις ὁ τῶν ὅλων Θεός. Οὐ γὰρ λογιεῖται τιμὴν τῶν προσφερόντων τὸ ῥᾴθυμον.

Ἀπαράδεκτά γε μὴν ὁ νόμος εἰς θυσίαν ἐποιεῖτο τὰ τυφλὰ τῶν θρεμμάτων, καὶ μὴν τὰ χωλά τε καὶ ἄῤῥωστα, τοῦ μὲν τυφλοῦ σημαίνοντος αἰνιγματωδῶς τοὺς τον θεῖον οὐκ ἔχοντας φωτισμὸν ἐν καρδίαις· τοῦ δὲ χωλοῦ, τοὺς οὐκ εἰδότας ὀρθοποδεῖν ἐν ἀγαθοεργίαις· τοῦ γε μὴν ἀῤῥώστου, τοὺς μὴ λίαν εὐσθενῶς, ἐκλύτως δὲ ὥσπερ καὶ κατημελημένως τὴν ὑπὸ Θεοῦ πληροῦντας δουλείαν. Ἔφη δέ που καὶ διὰ φωνῆς προφήτου· « Οὐαὶ οἱ ποιοῦντες τὸ ἔργον Κυρίου ἀμελῶς. » Χρὴ τοιγαροῦν ἡμᾶς πεφωτισμένον μὲν ἔχειν τὸν νοῦν, ὀρθοποδοῦντα δὲ καὶ ἰσχύοντα. Τότε γὰρ ἐσόμεθα δεκτοί τε καὶ ἱεροὶ παρὰ τῷ φιλαρέτῳ Θεῷ.

A cogitantes quo pacto Caini sacrificium repudiaverit, quoniam sinistre offerebat, cum sibi prima et præcipua reservaret, et deterioribus Deum se honoraturum putaret. Verum universorum Deus ad sacrificium ejus non respexit [62]. Non enim offerentium negligentiam sibi honori ducit.

Porro lex cæca animalia a sacrificio excludebat, ut etiam clauda et morbida : cæco per ambagem significante divinam illuminationem in cordibus non habentes : claudo, nescientes in bonis operibus recta incedere : languido vero, seu infirmo, non admodum firmiter et constanter, sed quasi dissolute et oscitanter Deo servientes. Ait et per prophetam alicubi : « Væ qui facitis opus Dei negligenter [63]. » B **827** Quare mentem illuminatam, recte gradientem et robustam habeamus necesse est. Tunc enim Deo virtutis amanti accepti et sacri erimus.

Καὶ νῦν ἐξιλάσκεσθε τὸ πρόσωπον τοῦ Θεοῦ ὑμῶν, καὶ δεήθητε αὐτοῦ. Ἐν χερσὶν ὑμῶν γέγονε ταῦτα· εἰ λήψομαι ἐξ ὑμῶν πρόσωπα ὑμῶν, λέγει Κύριος παντοκράτωρ.

VERS. 9. *Et nunc placate faciem Dei vestri, et deprecamini eum. In manibus vestris facta sunt hæc : si suscipiam facies vestras, dicit Dominus omnipotens.*

Ι'. Καλεῖ πρὸς μετάγνωσιν τοὺς ἠσεβηκότας, καὶ τὴν ἐπὶ τοῖς πεπαρῳνημένοις ὀργὴν προσαποσείεσθαι δεῖν εὖ μάλα φησὶ, ταῖς εἰς τὰ ἀμείνω μεταβολαῖς. Καὶ γάρ ἐστιν ἀγαθὸς, « Καὶ ἀνορθῶν τοὺς κατερραγμένους, καὶ ἰώμενος τὸ συντετριμμένον, καὶ ἐπιστρέφων τὸ πεπλανημένον. » Λέγων δὲ τὸ, « Ἐξιλάσκεσθε τὸ πρόσωπον τοῦ Θεοῦ ὑμῶν, » ὑπεμφαίνειν C ἂν, καὶ μάλα εἰκότως, ὡς ἀποστρέφεται Θεὸς τοὺς προσκρούειν αὐτῷ μὴ παραιτουμένους, καὶ ὅτι τῶν μὴ ζητούντων τὴν δόξαν αὐτοῦ τοὺς ἰδίους ὥσπερ ὀφθαλμοὺς ἀποφέρει, μήτε φειδοῦς, ἢ ἀγάπης, μήτε μὴν ἐποπτείας ἀξιῶν. « Ὀφθαλμὸς γὰρ Κυρίου ἐπὶ δικαίους, » κατὰ τὸ γεγραμμένον. Ἔφη δὲ καὶ πρός τινας τῶν ἁλιτηρίων διὰ φωνῆς Ἡσαΐου· « Ὅταν τὰς χεῖρας ἐκτείνητε πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν. Καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν· αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλῆρεις. » Χρὴ τοιγαροῦν ἐξιλάσκεσθαι τοὺς ἡμαρτηκότας, εἰ δή πως ἄρα μεταστρέψειεν ἐφ' ἑαυτοῖς τὸ πρόσωπον τοῦ Θεοῦ, καὶ ἐκ τῆς ἀποστροφῆς ἐσόμενα ἀποκρούσαιντο βλάβη. Καθορίζει γὰρ τῶν ἱερουργῶν τὸ πλημμέλημα, καὶ ἀναιρεῖ τὴν ἄρνησιν. Οὐ γὰρ ἂν ψευδοεπήσῃ, λέγων· « Ἐν χερσὶν ὑμῶν γέγονε ταῦτα. » Μονονουχὶ γὰρ, φησὶ, ἑτέρων ἡμαρτηκότων, ὑμεῖς σεσιγήκατε, ἀλλ' οἷον αὐτόχειρες ὑμεῖς αὐτοὶ γεγόνατε τῶν εἰς ἐμὲ δεδυσσεβημένων, καὶ τῆς ὑμῶν ῥᾳθυμίας εἶεν ἂν τὰ ἐγκλήματα μεσταλδοῦντος οὐδενός. Πλὴν εἰ καί τινες ἐκδεδίασι τυχὸν τὸ[ν] ποιεῖσθαι πρὸς ὑμᾶς τοὺς περὶ τούτων ἐλέγχους, ἀλλ' οὖν οὐκ ἔσομαι καὶ αὐτὸς καθὰ καὶ εἷς ἐξ ὑμῶν, οὐδ' ἂν λάβοιμι πρόσωπον τῶν ἠσεβηκότων. Ὅμοιον τούτου τὸ διὰ φωνῆς τοῦ Δαβὶδ· « Ὑπέλαβες ἀνομίαν

X. Impios ad pœnitentiam invitat, et mutatione in melius, iram divinam, propter illatam ipsi Deo contumeliam, amoliendam justissime pronuntiat. Bonus est enim Deus, « Et erigit elisos [64], et sanat contritos corde [65], et quod erraverat reducit [66]. » Dum dixit : « Placate faciem Dei vestri, » subostendit Deum, et quidem merito, aversari ipsum offendere non refugientes, et a gloriam suam non quærentibus, velut aspectum avertere, nec eos indulgentia, aut charitate, aut inspectione complecti. « Oculi enim Domini super justos [67], » ut scriptum est. Et ad quosdam scelestos voce Isaiæ ait : « Cum extenderitis manus, avertam oculos a vobis. Et cum multiplicaveritis orationem, non exaudiam vos : manus enim vestræ sanguine plenæ sunt [68]. » Propitiare igitur Deum sibi peccatores debent, si forte faciem ejus ad se convertant, et quæ ex ejus aversione sibi noxia imminebant, ea a capitibus suis arceant. Definit enim, et quale fuerit peccatum sacerdotum demonstrat, et inficiationem præcidit. Nec enim mentitur cum ait : « In manibus vestris hæc facta sunt. » D Non modo enim aliis peccantibus vos silentes, inquit, sed in me impie designata velut manibus vestris perpetravistis, eaque vestræ dissolutionis piacula sunt, cum vestrum nemo obstaret. Quod si qui vos super his redarguere timuerunt, verumenimvero non ego quoque ut unus vestrum ero, nec peccatorum accipiam faciem. Simile illud Davidicum : « Cogitasti, inquit, iniquitatem, quod ero tui similis. Arguam te, et statuam ante faciem tuam peccata tua [69]. » Non enim novit personam judex : sed est sincerus et incorruptus tanquam Deus.

[62] Gen. IV, 5 seqq. [63] Jerem. XLVIII, 10. [64] Psal. CXLIV, 14. [65] Psal. CXLVI, 3. [66] Ezech. XXXIV, 16. [67] Psal. XXXIII, 16. [68] Isa. I, 15. [69] Psal. XLIX, 21.

Digitized by Google

ὅτι ἔσομαί σοι ὅμοιος. Ἐλέγξω καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου. » Οὐ γὰρ οἶδε πρόσωπον ὁ κριτής, ἀλλ' ἔστιν εὐθὺς καὶ ἀδέκαστος ὡς Θεός.

VERS. 10. *Quia et in vobis claudentur ostia, et non accendetis altare meum gratis.*

Διότι καὶ ἐν ὑμῖν συγκλεισθήσονται θύραι, καὶ οὐκ ἀνάψετε τὸ θυσιαστήριόν μου δωρεάν.

828 XI. Opportunissime, ut in prædictione, decus vitæ Christianæ interim præmonstrat, ut legis umbra, et veteri illo sacerdotio brevi desituris, et suo tempore veritatis sacerdotibus spiritualis cultus administris appariturus, deique gloriam promptissime quæsituris. Clausum porro iri super ipsis ostia dicit: aut quia sacerdotes legis non adolebunt incensum: « Si enim clauserit contra hominem, inquit, quis aperiet [70]? » aut certe cum verius tabernaculum exhibitum fuerit, hoc est Ecclesia, quidam legale sacerdotium adhuc obeuntes, non intrabunt. Propter incredulitatem vero quasi exclusi, foris manebunt, et sancta non attingent. Illos enim sacerdotium amisisse ex verbis Dei per os Oseæ liquet: « Quia diebus multis sedebunt filii Israel non existente rege, neque exsistente sacrificio, neque exsistente altari, neque sacerdotio, neque manifestatione [71]. » Quocirca cultus legalis quasi terminum et sacerdotii secundum legem quamdam conclusionem indicat, ut quidem videtur, dum dicit, super ipsis ostia claudenda esse, Ecclesia eos non admittente: non enim amplius mactantur oves, cum jam rerum princeps et auctor Deus incruentis sacrificiis honoretur. Quoniam vero addit: « Non accendetis altare meum gratis, » dicimus hoc morate prolatum. Vult enim his docere, ad sacerdotium et ad ignem altari imponendum vocatos esse non ut ejus a quo vocati sunt gloriam minuant: sed ut eam quibus decet modis colentes, sacerdotii quoque præmia percipiant. Ast illi tam venerabilia studia pro nihilo putantes, neque reverentia sacrificii deterriti, quo minus Deum læderent, jure de reliquo pœnas expendent. Meritissimo namque non in parvo crimine ponendum est, communionem a Deo donatorum aspernari, honoresque ab ipso collatos inconsultissime respuere. Itaque terrenus et profanus appellatus est Esau, quoniam propter escam primitiva sua vendidit [72]. Quare cum dicit: « Non accendetis altare meum gratis, » monet sacerdotium suo præmio non frustrari: nec tamen suo quoque carere supplicio, nisi quis illud quo par est modo et ratione usurpaverit. Sciendum Hebræorum editionem alium sensum reddere, alio verborum contextu. Inquit enim: Vos et **829** Levitæ et sacerdotes qui extremum in templo locum obtinent, a vobis constituti, ut ostia claudant, non accendetis altare meum gratis, hoc est, sine mercede non servitis, sive sacerdotio non fungimini, cum populus decimas, et primitias, et dona gratiarum actoria vobis offerat. Quoniam ergo divina in minimis numerastis, et potiora ac prævertenda non curastis,

ΙΑ'. Εὐαφόρμως σφόδρα τῆς ἐν Χριστῷ πολιτείας ὡς ἐν προαγορεύσει τέως προαναφαίνει τὸ κάλλος· ὡς γὰρ τῆς ἐν νόμῳ σκιᾶς ὅσον οὐδέπω πεπαυσομένης, καὶ τῆς ἀρχαίας ἐκείνης ἱερωσύνης, μελλόντων τε ἀναδείκνυσθαι κατὰ καιροὺς τῶν τῆς ἀληθείας ἱερουργῶν, οἳ καὶ τῆς ἐν πνεύματι λατρείας ἔσονται λειτουργοί, ζητήσουσί τε καὶ μάλα γοργῶς τὴν τοῦ Θεοῦ δόξαν. Συγκλεισθήσεσθαι δὲ θύρας φησὶν ἐπ' αὐτούς, ἢ εὐωδίας οὐκ ἐσομένης τοῖς κατὰ νόμον ἱερατεύουσιν· « Ἐὰν γὰρ κλείσῃ κατὰ ἀνθρώπου, φησὶν, τίς ἀνοίξει; » ἤγουν τῆς ἀληθεστέρας ἀναδειχθείσης σκηνῆς, τουτέστι τῆς Ἐκκλησίας, οὐκ εἰσελάσουσιν ἐν αὐτῇ τινες τὴν κατὰ νόμον ἱερωσύνην πληροῦντες ἔτι. Ἐκκλειόμενοι δὲ ὥσπερ δι' ἀπιστίας, ἔξω τε μενοῦσι, καὶ τῶν ἁγίων οὐχ ἅψονται. Ὅτι γὰρ ἐκπεπτώκασι τῆς ἱερουργίας, σαφὲς ἂν γένοιτο τοῦ Θεοῦ λέγοντος διὰ φωνῆς Ὡσηέ· « Διότι ἡμέρας πολλὰς καθίσονται οἱ υἱοὶ Ἰσραὴλ, οὐκ ὄντος βασιλέως, οὐδὲ ἄρχοντος, οὐκ οὔσης θυσίας, οὔτε ἱερατείας, οὔτε δήλων. » Οὐκοῦν τῆς ἐν νόμῳ λατρείας τὴν οἱονεὶ κατάληξιν, καὶ τῆς κατ' αὐτὸν ἱερωσύνης τὸν συγκλεισμὸν, κατασημήνειεν ἄν, ὡς γέ μοι δοκεῖ, τὸ δεῖν ἐπ' αὐτοῖς κλεισθήσεσθαι θύρας εἰπεῖν, οὐ προσιεμένης αὐτοὺς τῆς Ἐκκλησίας· οὐ γὰρ μηλοσφαγεῖν ἔτι καιρὸς, ἀλλ' ἤδη ταῖς ἀναιμάκτοις τιμᾶται θυσίαις ὁ τῶν ὅλων Θεός. Ἐπειδὴ δὲ προσεπάγει τούτοις τὸ, « Οὐκ ἀνάψετε τὸ θυσιαστήριόν μου δωρεὰν, » ἐν ἤθει φαμὲν γεγενῆσθαι τὸν λόγον. Βούλεται γὰρ ἤδη δηλοῦν, ὅτι κέκληνται πρὸς ἱερουργίαν καὶ εἰς τὸ πῦρ ἐνιέναι τῷ θυσιαστηρίῳ, οὐχ ἵνα τὴν τοῦ κεκληκότος αὐτοὺς παραλύσωσι δόξαν, ἀλλ' ἵνα τιμῶντες τοῖς καθήκουσι τρόποις καὶ τὰ τῆς ἱερωσύνης ἔχοιεν γέρα. Οἱ δὲ δὴ τῶν οὕτω σεπτῶν οὐ πεφροντικότες σπουδασμάτων, μήτε μὴν αἰδοῖ τῆς ἱερουργίας προσκρούειν Θεῷ παραιτούμενοι, δικαίως ἂν ἦδη κολάζοιντο. Ἔγκλημα γὰρ οὐ μικρὸν εἴη ἄν, καὶ μάλα εἰκότως, τὸ ποιεῖσθαι παρ' οὐδὲν τῶν παρὰ Θεοῦ δεδωρημένων τὴν μέθεξιν, ἀπρεπέστατά τε καὶ λίαν ἀβούλως τὰς παρ' αὐτοῦ τιμάς. Καὶ γοῦν ὠνόμασταί τε γηΐνός τε καὶ βέβηλος ὁ Ἡσαῦ, ὅτε βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια ἑαυτοῦ. Οὐκοῦν ὅταν λέγει, « Οὐκ ἀνάψετε τὸ θυσιαστήριόν μου δωρεὰν, » βούλεται δηλοῦν, ὡς οὐκ ἀγέραστον μὲν ἡ ἱερωσύνη· πλὴν οὐδὲ ἔξω δίκης, εἰ μὴ προσφέροιτό τις αὐτῇ, καθ' ὃν ἂν προσήκοι τρόπον τε καὶ λόγον. Ἰστέον δὲ ὅτι ἡ τῶν Ἑβδομήκοντα ἔκδοσις ἑτέραν ἔχει τὴν τῶν νοημάτων ἀπόδοσιν, καὶ αὐτὴν δὲ τὴν τῆς λέξεως συνθήκην. Ἔφη γάρ, ὅτι Ὑμεῖς τε οἱ Λευῖται, καὶ μὴν καὶ οἱ ἱερεῖς, οἱ τὴν ἐσχάτην ἐν τῷ ναῷ τάξιν ἔχοντες, τεταγμένοι τε πρὸς ὑμῶν εἰς τὸ κλείειν τὰς θύρας, οὐκ ἀνάψετε τὸ θυσιαστήριόν μου δωρεὰν, τουτέστιν, οὐκ ἀμισθὶ ποιεῖσθε τὴν δουλείαν, ἤγουν τὴν ἱερωσύνην, προσαγόντων ἡμῖν τῶν λαῶν δεκάτας, ἀπαρχὰς, εὐχαριστήρια. Ἀνθ' ὅτου δηοῦν κατημέλησθε τὰ τοῦ Θεοῦ, καὶ οὐκ ἐν φροντίδι γέγονε τῇ προὐργιαιτάτῃ.

[70] Isa. XXII, 22; Job XII, 14. [71] Osee III, 4. [72] Hebr. XII, 16.

Digitized by Google

Οὐκ ἔστι μου θέλημα ἐν ὑμῖν, λέγει Κύριος παντοκράτωρ, καὶ θυσίαν οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν. Διότι ἀπὸ ἀνατολῶν ἡλίου καὶ ἕως δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου, καὶ θυσία καθαρά· διότι μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι, λέγει Κύριος παντοκράτωρ.

IB'. Ἀποφάσκει λοιπὸν ἐναργῶς τῆς κατὰ νόμον λατρείας τὴν προσαγωγήν, μονονουχὶ δὲ καὶ ἀποφοιτᾷ τῆς εἰς Ἰουδαίους ἀγάπης, καὶ ἀνεθέλητον ποιεῖται τὴν ἱερωσύνην, καὶ ἀπαράδεκτον τὴν σκιάν, βουθυσίας δὴ λέγω καὶ καπνούς, ὅτι μήτε ἐν ἀρχαῖς οὗτος ἦν ὁ σκοπὸς αὐτοῦ. Καὶ μὴν καὶ τοῦτο ἡμῖν ἐναργὲς καὶ δι' ἑτέρων προφητῶν ἐποιεῖτο, λέγων διὰ μὲν φωνῆς Ἡσαΐου· « Πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν, καὶ αἷμα ταύρων, καὶ τράγων οὐ βούλομαι· οὐδ' ἂν ἔρχησθε ὀφθῆναί μοι. Τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; Πατεῖν τὴν αὐλήν μου οὐ προσθήσεσθε. Ἐὰν φέρητε σεμίδαλιν, μάταιον· θυμίαμα βδέλυγμά μοί ἐστι. » Διὰ δέ γε τῆς Ἱερεμίου φωνῆς· « Τὰ ὁλοκαυτώματα ὑμῶν συναγάγετε μετὰ τῶν θυσιῶν ὑμῶν, καὶ φάγετε τὰ κρέα, ὅτι οὐκ ἐλάλησα πρὸς τοὺς πατέρας ὑμῶν περὶ ὁλοκαυτωμάτων καὶ θυσιῶν, ἐν ᾗ ἡμέρᾳ ἀνήγαγον αὐτοὺς ἐκ γῆς Αἰγύπτου. » Ὑποτύπωσις γὰρ ὥσπερ, καὶ προαναφώνησις τῆς ἐν πνεύματί τε καὶ ἀληθοῦς λατρείας ὁ νόμος ἦν, « καὶ δικαιώματα σαρκὸς, ὡς θεσπέσιος γράφει Παῦλος, μέχρι καιροῦ διορθώσεως ἐπικείμενα. » Ὁ δέ γε τῆς ἐπανορθώσεως καιρὸς εἴη ἂν οὐχ ἕτερος, οἶμαι, τις παρὰ τὴν τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίαν, ὅτε καὶ ἡ πρώτη μὲν διάθεσις διὰ τὸ, τὸ ἄμεμπτον οὐκ ἔχειν, ἀφανισθῆναι λέγεται· ἐπαλαιώθη γάρ· τῆς γε μὴν νέας καὶ δευτέρας ἐξητήθη τόπος, ἣ καὶ παντὸς ἐπέκεινα μώμου τε καὶ αἰτίας ἐστί. Λελάληκε γὰρ δι' αὐτῆς, ὃς καὶ « μεγάλης βουλῆς Ἄγγελος » ὠνόμασται. Τοιγάρτοι καὶ ἔφασκεν· « Ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, ἀλλ' ὁ πέμψας με Πατήρ, αὐτός μοι ἐντολὴν δέδωκε, τί εἴπω, καὶ τί λαλήσω. » Ἔφη τοίνυν ἐναργῶς τοῖς κατὰ νόμον ἱερατεύουσιν, ὡς ἀνεθέλητοί τέ εἰσιν αὐτῷ, μᾶλλον δὲ, ὡς ἐν αὐτοῖς οὐκ ἔχει θελήματα, ἐν σκιᾷ καὶ τύποις πληροῦσι θυσίας, καὶ ὡς οὐκ ἂν προσδέξαιτο παρ' αὐτῶν τὰ ἱερουργούμενα. Προαγορεύει δὲ ὅτι μέγα καὶ ἐπιφανὲς ἔσται τὸ ὄνομα αὐτοῦ παρὰ τοῖς ἀνὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν, καὶ ἐν παντὶ τόπῳ τε καὶ ἔθνει θυσίαι καθαραὶ καὶ ἀναίμακτοι προσκομισθήσονται τῷ ὀνόματι αὐτοῦ, κατασμικρυνόντων αὐτὸν οὐκέτι τῶν ἱερουργῶν, οὔτε μὴν ῥᾳθύμως προσκομιζόντων αὐτῷ τὰς πνευματικὰς λατρείας· ἀλλ' ἐν σπουδῇ, καὶ ἐπιεικείᾳ, καὶ ἁγιασμῷ, τὰς τῶν νοητῶν θυμιαμάτων εὐωδίας ἀνακομίζειν ἐσπουδακότων, τουτέστι, πίστιν, ἐλπίδα, ἀγάπην, καὶ τὰ ἐξ ἔργων ἀγαθῶν αὐχήματα, προστεταγμένης δηλονότι τῆς Χριστοῦ θυσίας τῆς οὐρανίου καὶ ζωοποιοῦ, δι' ἧς κατήργηται θάνατος, καὶ ἡ φθαρτὴ δὴ αὐτὴ, καὶ ἀπὸ γῆς σὰρξ ἀμφιέννυται τὴν ἀφθαρσίαν.

Ὑμεῖς δὲ βεβηλοῦτε αὐτὸ ἐν τῷ λέγειν ὑμᾶς·

A

B

C

D

Vers. 11. *Non est mihi voluntas in vobis, dicit Dominus omnipotens, et sacrificium non suscipiam ex manibus vestris. Quia ab ortu solis usque ad occasum nomen meum glorificatum est in gentibus, et in omni loco incensum offertur nomini meo, et sacrificium mundum; quia magnum nomen meum in gentibus, dicit Dominus omnipotens.*

XII. Deinceps oblationem juxta cultum legalem manifeste repudiat, et propemodum a charitate ergá Judæos discedit, et sacerdotio abhorret, et umbram non admittit, boum immolationes et nidores, inquam, quoniam neque a principio hic illi scopus. Atque istud nobis etiam per alios prophetas declaravit. Per Isaiam quidem : « Plenus sum holocaustis arietum, et adipem agnorum, et sanguinem taurorum et hircorum nolo : neque veneritis apparere mihi. Quis enim quæsivit hæc de manibus vestris? Calcare atrium meum non apponetis. Si obtuleritis siliginem vanum : incensum abominatio est mihi [78]. » Per Jeremiam autem : « Holocautomata vestra congregate cum sacrificiis vestris, et comedite carnes, quia non sum locutus ad patres vestros, et non præcepi eis, in qua die eduxi eos de terra Ægypti, de holocautomatibus et victimis [79]. » Quasi quædam informatio, et promulgatio præcedens spiritualis verique cultus lex erat, « et justitiæ carnis, ut scribit divinus Paulus, usque ad tempus correctionis impositæ [80]. » Nec correctionis tempus aliud fuerit, opinor, præter adventum Salvatoris nostri, quando et prius illud testamentum, quia culpa non vacaret, abolitum dicitur. Inveteravit, et novi ac secundi quæsitus locus, in quod nulla reprehensio, culpa nulla cadit. Per id enim verba fecit, qui etiam « magni consilii Angelus » dictus est [81]. **830** Cujus est et illud : « Ego a me ipso non loquor : sed qui misit me Pater, ipse mandatum dedit mihi quid dicam, et quid loquar [82]. » Aperte igitur sacerdotibus legis dixit, se ipsos nolle, vel potius se in ipsis voluntatem non habere, in umbra nempe et figuris sacrificantibus, eorumque sacra non suscepturum. Prænuntiat autem fore magnum et illustre nomen suum apud omnes toto orbe mortales, et in omni loco ac gente sacrificium mundum et incruentum nomini suo oblatum iri, non jam sacerdotibus illis ejus dignitatem obscurantibus, neque incuriose spiritualem cultum ei offerentibus, sed cum diligentia, et bonitate, et sanctimonia incensorum spiritualium suaveolentiam offerre satagentibus, fidem scilicet, spem, charitatem et honestamenta bonorum operum, ita constituto scilicet Christi sacrificio cœlesti ac vivifico, per quod destructa est mors, et caro ista terrena, et corruptioni obnoxia incorruptionem induitur [83].

Vers. 12. *Vos autem contaminatis illud, in eo*

[78] Isa. I, 11-13. [79] Jerem. VII, 21, 22. [80] Hebr. IX, 10. [81] Isa. IX, 6. [82] Joan. XII, 49. [83] I Cor. XV, 53.

Digitized by Google

quod dicitis vos : Mensa Domini polluta est, et qui superponuntur despecti sunt cibi ejus.

XIII. Meliores et magis frugi fore ex gentibus vocatos, quam Israelitas, hinc quoque patefacit. Apud illos enim sacrificia munda, et beneolens thymiama, et magnum nomen Domini « ab ortu solis usque ad occasum [79]. » Apud vos autem altare, inquit, non est in magna et quæ Deum deceat gloria. Contaminatis enim illud, dicentes: « Mensa Domini polluta est, et despecta quæ sunt super ea. » Et par quidem erat, sacerdotes hujuscemodi verbis abstinere, cum ipsis factis clamarent, sicut nimirum, « Et insipiens dicit in corde suo: Non est Deus [80]. » Per quæ enim quis contemnere cernitur, tametsi vocem non edat, operibus tamen ipsis et vitæ pravitate tantum non clamat, « Non est Deus. » Qui enim sic vivere consueverunt, quasi Deo non inspectante omniaque soluto animo et insolenter atque impie agere, hi rebus et factis ipsis Deum negant. Ad hunc itaque modum, qui sancto altari venerationem illi imprimis congruam debitamque servare non studuerunt, **831** per ipsa quæ consectantur dicunt, « Mensa Domini polluta est. » Fugienda est ergo in his incuria; qui secus faxit, audire Deum debebit dicentem : « Non est mihi voluntas in vobis, et sacrificium non suspiciam ex manibus vestris. » Quin autem miserrimum sit Deum offendere, quis cui ab animo et mente bene est, dubitaverit ?

VERS. 13. *Et dixistis : Hæc ex afflictione sunt, et exsufflavi ea, dicit Dominus omnipotens. Et inferebatis rapta, et clauda, et infirmata. Et si obtuleritis sacrificium, si suscipiam ea de manibus vestris, dicit Dominus omnipotens.*

XIV. Acriter accusat sacerdotes, ut qui offerenda in sacrificio lustrare, an vitiosa sint, minime velint, et, sine cura atque exploratione, clauda, cæca, morbida admittant, quanquam lex aliqua corporis parte non sana et integra rejici aperte jusserit. Quod si forte sacerdotum quispiam inutile pecus ad sacrificium offerentes studio servandæ legis repelleret, non discedebant, captivitatem omnimodis prætendentes, et audacter admodum affirmantes non esse malas victimas, sed ex itinere ita afflictas, cum e Babylone in Judæam reverterentur. Offerebant porro et rapta, et clauda, et debilia. Feræ siquidem incursantes, interdum gregibus nocent : seu forte quid rapuerint, deinde cursu pastor insecutus, faucibus earum eripuerit : et canum latratibus perterrefecerit, aut pedum in eas projecerit. Hæc sunt, opinor, rapta, et hæc simul cum claudis, quæ cum cæteris pasci amplius non possent, offerebant. Etiam infirmata dicabant, hoc est, jam moribunda, universorum Deum dedecorantes potius quam honorantes. Verum « exsufflavi ea, dicit Dominus om-

[79] Psal. XLIX, 1. [80] Psal. XIII, 1.

A *Τράπεζα Κυρίου ἠλισγημένη ἐστί, καὶ τὰ ἐπιτεθέμενα ἐξουδένωται βρώματα αὐτοῦ.*

ΙΓ'. Ὅτι καὶ ἀμείνους ἔσονται, καὶ ἐπιεικέστεροι τῶν ἐξ Ἰσραὴλ, οἱ ἐξ ἐθνῶν κεκλημένοι, καὶ διὰ τούτων ἡμῖν καθίστησιν ἐναργές. Παρ' ἐκείνοις μὲν γὰρ αἱ θυσίαι καθαραὶ, καὶ τὸ εὐῶδες θυμίαμα, καὶ μέγα τὸ ὄνομα « ἀπὸ ἀνατολῶν ἡλίου καὶ ἕως δυσμῶν. » Παρ' ὑμῖν δὲ, φησὶ, οὐκ ἐν δόξῃ μεγάλῃ καὶ τῇ πρεπούσῃ Θεῷ τὸ θυσιαστήριον. Βεβηλοῦτε γὰρ αὐτὸ, λέγοντες· « Τράπεζα Κυρίου ἠλισγημένη ἐστὶν, ἐξουδενωμένα δὲ καὶ τὰ ἐπ' αὐτῆς. » Καὶ εἰκὸς μὲν μὴ τοιούτοις ῥήμασι κεχρῆσθαι τοὺς ἱερέας, αὐτοῖς γε μὴν πράγμασι τοῦτο βοᾷν, καθάπερ ἀμέλει « καὶ ὁ ἄφρων φησὶν ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός. » Δι' ὧν γὰρ ὁρᾶται καταφρονῶν, κἂν εἰ μὴ λέγῃ φωνεῖς, B ἀλλ' οὖν ἔργοις αὐτοῖς, καὶ τῇ τοῦ βίου σκαιότητι μονονουχὶ διακέκραγε τὸ, « Οὐκ ἔστι Θεός. » Οἱ γὰρ οὕτω ζῆν εἰωθότες, ὡς μὴ ἐφορῶντος Θεοῦ, πάντα τε δρᾶν ἀπερισκέπτως, καὶ ἐκτόπως ἀνοσιουργεῖν, ἔργοις αὐτοῖς καὶ πράγμασιν ἀρνοῦνται τὸν Θεόν. Κατὰ τοῦτον δὴ οὖν τὸν τρόπον, οἱ μὴ ἀποσώζειν ἐσπουδακότες τῷ ἁγίῳ θυσιαστηρίῳ τὸ ὅτι μάλιστα πρέπον τε αὐτῷ, καὶ ὀφειλόμενον σέβας, δι' αὐτῶν ὧν διώκουσι λέγουσι· « Τράπεζα Κυρίου ἠλισγημένη ἐστί. » Παραινητέον δὴ οὖν τὸ ῥᾴθυμον ἐν τούτοις· καὶ εἰ μή τις ἔλοιτο τοῦτο δρᾶν, ἀκούσεται πάντως Θεοῦ λέγοντος· « Οὐκ ἔστι μου θέλημα ἐν ὑμῖν, καὶ θυσίαν οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν. » Πάνδεινον δὲ ὅτι τὸ προσκρούειν Θεῷ, πῶς ἂν ἐνδοιάσειέ τις, εἴπερ ἐστὶν ἐν καλῷ καὶ νοῦ καὶ φρενός;

C *Καὶ εἴπατε· Ταῦτα ἐκ κακοπαθείας ἐστὶ, καὶ ἐξεφύσησα αὐτὰ, λέγει Κύριος παντοκράτωρ. Καὶ εἰσφέρετε ἁρπάγματα, καὶ τὰ χωλὰ, καὶ τὰ ἐνοχλούμενα. Καὶ ἐὰν φέρητε τὴν θυσίαν, εἰ προσδέξομαι αὐτὰ ἐκ τῶν χειρῶν ὑμῶν, λέγει Κύριος παντοκράτωρ.*

ΙΔ'. Κατηγιᾶτο λίαν τοὺς ἱερουργοὺς, ὡς ἥκιστα μὲν μωμοσκοπεῖν ἑλομένους τὰ προσαγόμενα τῶν θυμάτων, προσδεχομένους δὲ μᾶλλον ῥᾳθύμως τε καὶ ἀβασανίστως χωλὰ, καὶ τυφλὰ, καὶ ἄῤῥωστα, καίτοι τοῦ νόμου σαφῶς τὰ ἔμπηρα τῶν θυμάτων ἀπόβλητα δεῖν ποιεῖσθαι προστεταχότος. Εἰ δὲ δή πού τις τῶν ἱερέων ἀπεσόβει, τοῦ νόμου ἀντεχόμενος, τὸν εἰς θυσίαν προσάγοντα τὸ ἀχρεῖον, ἐπέμενον οἱ προσάγοντες, ἄνω τε καὶ κάτω τὴν αἰχμαλωσίαν προτείνοντες, διϊσχυριζόμενοί τε καὶ μάλα νεανικῶς, φαῦλα μὲν οὐκ εἶναι, κακοπαθῆσαι δὲ μᾶλλον κατὰ τὴν ὁδὸν, ὑπονοστούντων αὐτῶν ἐκ τῆς Βαβυλῶνος εἰς D τὴν Ἰουδαίαν. Προσεκόμιζον δὲ καὶ τὰ ἁρπάγματα, καὶ τὰ χωλὰ, καὶ τὰ ἐνοχλούμενα. Θῆρες μὲν γὰρ ἐπιόντες ἔσθ' ὅτε κατασίνονται ταῖς ἀγέλαις, κἂν εἴ τι τυχὸν ἁρπάσειαν, εἶτα δραμὼν ὁ ποιμὴν ἐκσπάσειε τῶν ὀδόντων τὸ ἡρπασμένον, ἢ καταπτοήσας κυνῶν ὑλακαῖς, ἢ καλαύροπα βακών. Τοῦτο, οἶμαι, τὸ ἅρπαγμα, ταῦπα προσῆγον ὁμοῦ τοῖς τοὺς πόδας λελωβημένοις, καὶ οὐκ ἔτι τοῖς ἄλλοις συγκατανέμεσθαι δυναμένοις. Προσῆγον δὲ καὶ τὰ ἐνοχλούμενα,

Digitized by Google

τουτέστι, τὰ θανατῶντα λοιπὸν, ὑβρίζοντες μᾶλλον, ἢ τιμῶντες τὸν τῶν ὅλων Θεόν. Ἀλλ' « ἐξεφύσησα, φησὶν, αὐτὰ, λέγει Κύριος παντοκράτωρ. » Καὶ ἐπειδὴ θύειν ἀνοσίως ἐγνώκατε, φησὶν, οὐκ ἂν ὅλως παραδεξαίμην τὰ ἐξ ὑμῶν, οὐδ' ἂν λογισαίμην εἰς ὀσμὴν εὐωδίας τὰς οὕτως ἐκνόμους, καὶ ἀκαθάρτους προσαγωγάς. A

nipotens. » Et quoniam sacrilege sacris operari constituistis, adeo illegitimas et immundas oblationes neutiquam a vobis susceperim, nec in odorem suavitatis reputaverim.

Χρὴ δὴ οὖν ἄρα θύειν ἡμᾶς καὶ μάλα ἐπιεικῶς, καὶ ἐσπουδασμένως, καὶ προσκομίζειν Θεῷ μὴ ἁπλῶς τὰ κατερρίμμενα, καὶ ἀτιμότατα, καὶ οὐδενὸς ἄξια λόγου· ἀλλὰ προὔχοντα, καὶ ἐξαίρετα. Εἰ δὲ δή τις ἑαυτὸν ἱερουργοίη Θεῷ, μεμνήσθω γὰρ τοῦ μακαρίου Παύλου γράφοντος ὧδί· « Παραστήσατε τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν· » πολυπραγμονείτω τὰ καθ' ἑαυτὸν, καὶ οἱονεί τις ἀκριβὴς μωμοσκόπος τῆς ἑαυτοῦ γενέσθω ψυχῆς. Ὁράτω μὴ ἄρα πώς ἐστι τυφλὸς, τουτέστι, τῆς ἀληθείας τὸ φῶς οὐκ ἔχων εἰς νοῦν· μὴ σκάζῃ τὸν πόδα, τὸ ὀρθοποδεῖν δύνασθαι πρὸς πᾶν ὁτιοῦν τῶν ἀγαθῶν οὐκ ἔχων· μὴ ἅρπαγμά τε καὶ ἄῤῥωστον. Χρὴ γὰρ ὑμᾶς ἀϋπνεῖν, « Ὅτι ὁ ἀντίδικος ἡμῶν, διάβολος ὡς λέων περιέρχεται, ζητῶν τίνα καταπίῃ. » Ὅταν τοίνυν ἄϋπνοί τε καὶ ἐγρηγορότες εὑρισκώμεθα, παραθεῖ τὸ θηρίον. Εἰ δὲ νυστάζοντας ἴδῃ, καὶ κατημεληκότας, ἅρπαγμα ποιεῖται, καὶ ἀῤῥώστους ἀποτελεῖ, τουτέστι, ἠσθενηκότας, καὶ ἀδρανῶς ἔχοντας κομιδῇ περὶ τὸ δύνασθαι κατορθοῦν ἀρετήν. Ἔστω δὲ δὴ καὶ τοῦ διενοχλεῖσθαι μακρὰν, τουτέστι, μικροψυχίας ἀμείνων, καὶ διαπίπτων ἐν ὑπομονῇ. Ὥσπερ γὰρ ἀποφέρει πρὸς ζωὴν τῆς ὑπομονῆς ὁ τρόπος, οὕτω καὶ εἰς θάνατον μικροψυχία. Νοῦ γὰρ ἀσθένειαν, καὶ καρδίας πάρεσιν τὸ χρῆμά φαμεν. Τοιγάρτοι καὶ ὁ μακάριος προφήτης Ἡσαΐας τῶν τοιούτων ἡμᾶς ἀπαλλάττεσθαι παθῶν συμβουλεύει λέγων· « Ἰσχύσατε, χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα. Παρακαλέσασθε, οἱ ὀλιγόψυχοι τῇ διανοίᾳ· ἰσχύσατε, μὴ φοβεῖσθε. Ἰδοὺ ὁ Θεὸς ἡμῶν, ἰδοὺ Κύριος μετὰ ἰσχύος ἔρχεται, καὶ ὁ βραχίων μετὰ κυρίας. » B C

Quare nos et convenientissime et studiose sacrificia facere oportet, et non ita simpliciter rejectitia, et contemptissima, ac nullius æstimanda, sed excellentia et selecta Deo consecrare. **832** Quod si quis semetipsum Deo hostiam sacraverit, beati Pauli meminerit hunc in modum scribentis: « Exhibete corpora vestra hostiam viventem, sanctam, Deo placentem, rationabile obsequium vestrum [81-83]. » Inquirat diligenter in res suas, et velut sedulus vitiorum animæ suæ inspector fiat. Videat ne forte cæcus sit, perfectæ veritatis lumen in præcordiis non habens; ne pede claudicet, ad omne bonum recta ingredi haud potis; ne raptum quid, aut morbidum. Oportet enim nos pervigilare, « Quoniam adversarius noster diabolus tanquam leo rugiens circumit, quærens quem devoret [84]. » Si igitur vigiles experrectique inveniamur, prætercurrit bellua. Sin dormitantes negligentesque conspexerit, rapinam de nobis sibi facit, et ægrotos, hoc est, languidos et imbecilles admodum ad officia virtutis legitime obeunda reddit. Procul item absit a debilitate, hoc est, ne se a dejectione animi et impatientia vinci patiatur. Quemadmodum enim morum patientia ad vitam, ita pusillanimitas ad mortem perducit. Est enim mentis et cordis infractio, seu imbecillitas. Proinde beatus quoque Isaias ut nos ab hujusmodi vitiosis affectionibus exsolvamus suadet: « Confortamini, manus remissæ, et genua dissoluta. Consolamini, pusillanimes mente, confortamini, nolite timere. Ecce Deus noster: ecce Dominus cum fortitudine veniet, et brachium ejus cum dominatione [85]. »

Καὶ ἐπικατάρατος, ὃς ἦν δυνατὸς, καὶ ὑπῆρχεν ἐν τῷ ποιμνίῳ αὐτοῦ ἄρσεν, καὶ ἡ εὐχὴ αὐτοῦ ἐπ' αὐτῷ, καὶ θύει διεφθαρμένον τῷ Κυρίῳ. Διότι Βασιλεὺς μέγας ἐγώ εἰμι, λέγει Κύριος παντοκράτωρ, καὶ τὸ ὄνομά μου ἐπιφανὲς ἐν τοῖς ἔθνεσι.

VERS. 14. *Et maledictus homo qui erat potens, et erat in grege ipsius masculum, et votum ejus super eo, et immolat corruptum Domino. Quia Rex magnus ego sum, dicit Dominus omnipotens, et nomen meum illustre est in gentibus.*

ΙΕ'. Καθορίζει λοιπὸν τοῦ θύοντος ἀνοσίως τὴν ἀρὰν, καὶ μάλα εἰκότως. Εἰ γὰρ δή τις εὔξαιτο, φησὶ, καὶ ἐν ποιμνίοις ἔχοι τοῖς ἑαυτοῦ τὸ ἄρσεν τε καὶ ἄμωμον, ἀνθ' ὅτου μὴ τοῦτο προσκομίζει Θεῷ, συλλίγει δὲ μᾶλλον ἃ μηδενὸς ἄξια φαίνοιτ' ἂν λόγου, ὕβρις τὸ χρῆμα καὶ ἕτερον οὐδέν. Οὐ γὰρ δὴ κατά τινας τῶν ἐν σκότῳ, καὶ πλάναις, καὶ βεβήλοις εἰδωλολατρείαις, προσκαθήμενοι λίθοις ἀναισθήτοις δεδουλεύκαμεν· τῷ Θεῷ δὲ μᾶλλον τῷ παντοκράτορι, καὶ ᾧ τῶν ὅλων γενεσιουργῷ, ὃν τρέμουσι μὲν οὐρανοὶ, καταπέφρικε δὲ καὶ ἡ γῆ, καὶ πάντες οἱ ἐν αὐτῇ. Ἐπιμαρτυρεῖ δὲ πάλιν τοῖς ἐξ ἐθνῶν τὸ λίαν ἐπιεικὲς, ἐπιφανὲς εἶναι λέγων τὸ τῆς θεότητος D

XV. Decernit nunc maledictionem in sacrificantem impie, idque pro eo plane ac decebat. Si quis enim votum concipiat, inquit, et in gregibus suis habeat masculum, et ab omni labe purum, quia illud Deo non offert, sed eligit potius quæ nullius pretii videantur, nihil aliud quam Deo contumeliam facit. Non enim, ut quidam in tenebris, erroribus, impuris idololatriis versantes, lapidibus sensus expertibus advoluti servimus: sed Deo omnipotenti potius, et illi, a quo omnium rerum initia originesque manarunt, quem tremunt cœli, tremit terra, **833** et omnes quos illa sustinet. Rursum iis qui ex gentibus sumus, magnæ probitatis testimonium dat, dum

[81-83] Rom. XII, 1. [84] I Petr. V, 8. [85] Isa. XXXV, 3-5.

Digitized by Google

divinitatis nomen apud eos magnum, venerandum et admirandum esse confirmat. Hoc idem nos quoque, et non aliud sentiamus.

Suscepit autem et Dominus noster Jesus Christus centurionem idololatram, dixitque insuper : « Amen dico vobis, non inveni tantam fidem in Israel [65]. » Maledictus ergo qui Deo corruptum seu vitiosum sacrificat, cum possit illum honorare melioribus, siquidem in gregibus suis, ut modo dictum est, immaculatum et masculum habet. Observandum ad sacrificium peti masculum, licet lex Deo immolare etiam feminam præceperit [66]. Dicimus igitur sacrificia ex voto, hoc est, mere voluntaria, immaculatam et masculam victimam postulasse, et typus ad offerentem pertinebat, quodammodo hortante lege, ad Deum volentes in odorem suavitatis ascendere, viriles et animi perturbationibus majores, atque ab omni reprehensione alienissimos esse oportere. Sacrificia autem pro peccatis, de agnis et hædis feminam admittebant plane. Atque hæc etiam imbecillitatis offerentium insinuatio quædam erat. Infirmæ enim sunt feminæ, et maribus robore inferiores. Omne autem peccatum, mente infirmata nec amplius spirituale robur conservante, consciscitur.

Ἀπεδέχετο δὲ καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εἰδωλολάτρην ὄντα τὸν ἑκατόνταρχον, καὶ δὴ καὶ ἔφασκεν· « Ἀμὴν λέγω ὑμῖν, παρ' οὐδενὶ τοσαύτην πίστιν εὗρον ἐν τῷ Ἰσραήλ. » Ἐπάρατος οὖν ὁ θύων Θεῷ καὶ κατεφθαρμένον, καίτοι τὸν αὐτὸν τοῖς ἀμείνοσι τιμᾶν (1), εἴπερ ἐν ποιμνίοις ἔχει, καθάπερ ἔφην ἀρτίως, τὸ ἄμωμόν τε καὶ ἄρσεν. Σημειωτέον δὲ, ὅτι τὸ ἄρσεν εἰς θυσίαν αἰτεῖ, καίτοι τοῦ νόμου προστεταχότος καταθύειν Θεῷ καὶ θήλεα. Φαμὲν οὖν, ὅτι αἱ κατ' εὐχὴν θυσίαι, τουτέστι, τὰ ἑκούσια, τὸ ἄμωμόν τε καὶ ἄρσεν ἐδέχοντο θῦμα, καὶ ἦν ὁ τύπος εἰς τὸν προσάγοντα, μονονουχὶ παρεγγυῶντος τοῦ νόμου, ὅτι χρὴ τοὺς εἰς ὀσμὴν εὐωδίας ἀναβαίνειν ἐθέλοντας τῷ Θεῷ, ἀνδρείους τε εἶναι, καὶ πρὸ πάντων ἀμείνους, καὶ μώμου παντὸς ἀπωτάτω. Αἱ δέ γε ὑπὲρ ἁμαρτιῶν προσαγόμεναι θυσίαι, τὸ θῆλυ πάντως ἐδέχοντο ἀπὸ τῶν ἀμνῶν, καὶ ἀπὸ τῶν ἐρίφων. Αἴνιγμα δὲ καὶ τοῦτο τῆς τῶν προσαγόντων ἀσθενείας ἦν. Ἀναλκὲς γὰρ τὸ θῆλυ, καὶ τῶν ἀρσένων ὡς ἐν ἰσχύϊ δεύτερον. Ἁμαρτία δὲ πᾶσα δρῷτο ἂν ἠσθενηκότος τοῦ νοῦ, καὶ οὔτε που μᾶλλον τὴν πνευματικὴν σώζοντος εὐρωστίαν.

CAP. II.

ΚΕΦΑΛ. Β'.

Vers. 1, 2. *Et nunc mandatum hoc ad vos, o sacerdotes : Si non audieritis, et si non posueritis in cor vestrum, ut detis gloriam nomini meo, dicit Dominus omnipotens, mittam super vos maledictionem, et maledicam benedictionem vestram, et maledicam ipsam. Et dissipabo benedictionem vestram, et non erit in vobis, quia vos non ponitis in cor vestrum.*

Καὶ νῦν ἐντολὴ αὕτη πρὸς ὑμᾶς, οἱ ἱερεῖς· Ἐὰν μὴ ἀκούσητε, καὶ ἐὰν μὴ θῆσθε εἰς τὴν καρδίαν ὑμῶν, τοῦ δοῦναι δόξαν τῷ ὀνόματί μου, λέγει Κύριος παντοκράτωρ, καὶ ἐξαποστελῶ ἐφ' ὑμᾶς τὴν κατάραν, καὶ ἐπικαταράσομαι τὴν εὐλογίαν ὑμῶν, καὶ καταράσομαι αὐτήν. Καὶ διασκεδάσω τὴν εὐλογίαν ὑμῶν, καὶ οὐκ ἔσται ἐν ὑμῖν, ὅτι ὑμεῖς οὐ τίθεσθε εἰς τὴν καρδίαν ὑμῶν.

XVI. Culpas hactenus admissas ex bonitate condonat, et misericordiam tribuit, peccatores quasi ad primævam virtutem revocans. Hoc eum significare censeo, dum clementer ait : « Et nunc mandatum hoc ad vos, o sacerdotes. » Minatur autem deinceps, nisi facere velint quæ eos facere constare oportet, divinorumque oraculorum sensum in mentem et cor immittere, **834** et seipsis meliores evaserint, et Dei gloriam quæsiverint, altare non ultra vilipendentes, neque temere et citra explorationem legibus sancita sacra peragentes, penitissime illis maledicturum et succensurum. Puto autem ego, istorum verborum, « Maledicam benedictioni vestræ, et dissipabo ipsam, » hanc fortasse sententiam esse : Deo quibusdam felicitatem annuente, uberem proventum in agris fore, et omnia prospere successura, et pecora incredibiliter numero auctum iri, ipsosque in corporibus nihil adversum noxiumque passuros. Auferente autem ipso benedictionem

Ιϛ'. Παρίησι φιλαγάθως τὰς ἐπὶ τοῖς ἤδη ῥηθάσσιν αἰτίας, καὶ νέμει τὸν ἔλεον, εἰς ἀρχὰς ὥσπερ ἐπιεικείας ἀνατιθεὶς τοὺς ἡμαρτηκότας. Τοῦτ' μὲν εἶμαι δηλοῦν, λέγοντα χρηστῶς τό· « Καὶ νῦν ἡ ἐντολὴ αὕτη πρὸς ὑμᾶς, οἱ ἱερεῖς. » Ἀπειλεῖ δὲ λοιπὸν, ὡς εἰ μὴ ἔχοιντο ποιεῖν ἃ χρὴ ποιοῦντας ὁρᾶσθαι, καὶ εἰς νοῦν ἔσω τίθεσθαι καὶ καρδίαν τῶν θείων χρησμῳδημάτων τὴν αἴσθησιν, ἔσοιντό τε αὐτῶν ἀμείνους ἢ πάλαι, καὶ τὴν τοῦ Θεοῦ δόξαν ἐπιζητήσειαν, μὴ κατασμικρύνοντες ἔτι τὸ θυσιαστήριον, μήτε μὴν ἁπλῶς ἢ ἀδασανίστως τελοῦντες τὰ νενομισμένα, πάντη τε καὶ πάντως κατηραμένους ἀποφανεῖ καὶ ὑπὸ θείαν ὄντας ὀργήν. Οἶμαι δὲ ἔγωγε δηλοῦν τὸ, « Ἐπικαταράσομαι τὴν εὐλογίαν ὑμῶν, καὶ διασκεδάσω αὐτὴν, » ἐκεῖνο τάχα που. Θεοῦ μὲν γὰρ κατανεύοντος τὴν εὐημερίαν τισὶν, εὐφορήσει τὰ ἐν ἀγροῖς, εὐκαρπίαι τε ἔσονται καὶ εὐθηνίαι, καὶ εἰς πληθὺν ἀμέτρητον ἐπιδώσει τὰ θρέμματα, καὶ φθορᾶς ἔσονται τῆς τῶν σωμάτων ἀμείνους αὖσοι. Ἀφιστάν-

[65] Matth. VIII, 10. [66] Levit. XXII seqq.

(1) Deficit verbum impersonale.

Digitized by Google

τος δὲ τὴν εὐλογίαν αὐτοῦ, πρὸς πᾶν τοὐναντίον μεταχωρήσει τὰ πράγματα, καὶ ἀπέσται μὲν πάντως τὸ εὐημερεῖν, κατακρατήσει δὲ μᾶλλον τὰ ἐφ' οἷς ἂν εἰκότως καταγένοιτό τις. Καὶ ταυτὶ μὲν ὁ λόγος ὡς ἐν αἰσθητοῖς τε καὶ προσκαίροις πράγμασιν.

Εἰδέναι δὲ ἀναγκαῖον ὡς, εἰ μή τις ἔλοιτο τὰς θείας εἰς νοῦν ἔχειν ἐντολάς, οἰχήσεται πάντα αὐτῷ πρὸς τὸ μηδὲν τὰ εἰς νοῦν ἀγαθά, ἕξει τε καρπὸν οὐδένα τῆς φιλοθέου ζωῆς· ἀλλ' ἔσται μὲν εὐλογίας τῆς ἄνωθεν καὶ παρὰ Θεοῦ τητώμενος, παραπεσεῖται δὲ ταῖς ἀραῖς καὶ ταῖς ἐκ τούτων ποιναῖς. Ζητητέον δὴ οὖν τὴν τοῦ Θεοῦ δόξαν· καὶ τίνα δὴ τρόπον τοῦτο κατορθώσομεν, αὐτὸς ἡμᾶς ὁ Σωτὴρ ἐδίδαξεν εἰπών· « Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. » Τότε καὶ πλήρη τὴν εὐλογίαν ἀπολήψόμεθα καὶ ἀκράδαντον τὴν εὐθυμίαν, καὶ ταῖς πνευματικαῖς εὐκαρπίαις ἐντρυφήσομεν, ἔμπλεοί τε παντὸς ἀγαθοῦ γεγονότες, τὸν ἀληθῶς ἀξιοπρεπῆ καὶ ἐξαίρετον διαζήσομεν βίον.

Ἰδοὺ ἐγὼ ἀφορίζω ὑμῖν τὸν ὦμον, καὶ σκορπιῶ ἔντερον ἐπὶ τὰ πρόσωπα ὑμῶν, ἔντερον ἑορτῶν ὑμῶν, καὶ λήψομαι ὑμᾶς εἰς τὸ αὐτό. Καὶ ἐπιγνώσεσθε διότι ἐγὼ ἐξαπέσταλκα πρὸς ὑμᾶς τὴν ἐντολὴν ταύτην, τοῦ εἶναι τὴν διαθήκην μου πρὸς τοὺς Λευίτας, λέγει Κύριος παντοκράτωρ.

ΙΖ'. Κέκρυπταί τι πάλιν ἐν τοῖς προκειμένοις, ὃ καὶ οἶμαι δεῖν τοῖς φιλακροάμοσι διατρανοῦσθαι σαφῶς· συνεῖεν γὰρ ἂν οὕτω εὖ μάλα τὸ δηλούμενον. Ὁ νόμος τοίνυν ὁ διὰ Μωσέως ταῖς ἀνωτάτω τιμαῖς τὸν τῶν θείων θυσιαστηρίων παραστάτην καὶ ἱερουργὸν στεφανῶν, οἷον ἐν τάξει Θεοῦ τέθεικεν αὐτόν. Ἔφη γὰρ ὅτι « Κάρπωμα Κυρίου ὁ κλῆρος αὐτοῦ. » Ἔφη δέ που καὶ ὁ θεσπέσιος Παῦλος· « Βλέπετε τὸν Ἰσραὴλ κατὰ σάρκα. Οὐχ οἱ ἐγγίζοντες τῷ θυσιαστηρίῳ, κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσίν; » Ἔθος γὰρ ἦν ἀπὸ παντὸς θύματος ἀφαιρεῖσθαι τῷ Θεῷ βραχίονα, καὶ στηθήνιον, καὶ τὸν λοβὸν τοῦ ἥπατος, καὶ τοὺς δύο νεφροὺς, καὶ μέν τοι τὸ ἔνυστρον, τουτέστι, τὴν κοιλίαν, ὑπεμφαίνοντος αἰνιγματωδῶς τοῦ νομικοῦ γράμματος ὅτι πάντα ἡμῶν τὰ ἐντόσθια τῶν ἀνατιθέντων ἑαυτοὺς εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ ἱερά τε εἶναι προσήκει καὶ ἡγιασμένα. Προσεκομίζοντο γὰρ τὰ ἐντόσθια, τῆς ἐνούσης αὐτοῖς ἀκαθαρσίας ἀπηλλαγμένα. Βραχίων τε μὴν ἰσχύος ἂν νοοῖτο σημεῖον. Χρῆναι δέ φημι πρὸς πᾶν ἔργον ἀγαθὸν ἰσχύοντας ἡμᾶς καὶ ἀνδριζομένους ἀναμελῳδεῖν ἐκεῖνο σοφῶς τὸ διὰ τῆς τοῦ ψάλλοντος λύρας· « Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου, τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. » Καὶ περὶ μὲν τῶν ἐντοσθίων καὶ τελουμένων θυσιῶν κατὰ τὸν νόμον ἰσχνὸς ἡμῖν ἄγαν ἐκπεποίηται λόγος ἐν ἑτέραις συγγραφαῖς. Οὐκοῦν τὸ ταῦτα λέγειν ἀφέντες εἰς τὸ παρὸν, τῶν προκειμένων τὴν διασάφησιν, ὡς ἔνι, ποιεῖσθαι σπουδάσωμεν. Προστεταχότος τοίνυν τοῦ νόμου μωμοσκοπεῖσθαι δεῖν τὰ ἱερὰ, καὶ ἀβασάνιστον

suam, res omnino versum iri retro et statum beatiorem procul abfuturum, invalitura potius ob quæ quis merito hic non moretur. Et hæc quidem ut in rebus sensum tangentibus ac temporaneis dicta sunto.

Sciendum autem plane, nisi quis divina mandata animo continere voluerit, omnia animi bona ipsi in nihilum abitura, et vitæ religiosæ fructum nullum relaturum : quinimo cœlestem, atque a Deo impertiri solitam benedictionem amissurum, et in maledictiones pœnasque consequentes incursurum. Studendum ergo Dei gloriæ ; quod quomodo legitime fiat, ipse Salvator nos docuit illis verbis : « Sic luceat lux vestra coram hominibus, ut videant opera vestra bona, et glorificent Patrem vestrum qui in cœlis est [87]. » Tunc etiam plenam benedictionem et immobilem mentis serenitatem recipiemus, et in spiritualium fructuum ubertate cum voluptate versabimur, repletique bonis omnibus, vere nobis dignam et præclaram vitam traducemus.

Vers. 3, 4. *Ecce ego separo vobis humerum, dispergam ventriculum super facies vestras, ventriculum solemnitatum vestrarum, et suscipiam vos in id ipsum. Et cognoscetis quia misi ad vos mandatum hoc, ut esset testamentum meum ad Levitas, dicit Dominus omnipotens.*

XVII. Rursum in verbis adductis aliquid latet quod studiosis audiendi liquido declarandum sentio : sic enim commodissime eorumdem vim sensumque percipient. Lex igitur Mosaica sacris altaribus astantem et operantem honoribus supremis afficiens, propemodum Deo æquabat ; ait enim : « Oblationes Domini possessio ejus [88]. « Et divinus Paulus : « Videte Israel secundum carnem. **835** Nonne qui appropinquant altari, participes sunt altaris [89] ? » Erat quippe solenne a qualibet hostia separari Deo armum, et pectusculum, et reticulum jecoris, et duos renes, et ventriculum : quo quidem Scriptura legalis per involucrum indicat omnia interiora eorum qui se dedicaverunt Deo in odorem suavitatis sancta et sanctificata esse oportere. Offerebantur enim intima a sordibus inhærentibus purgata. Armus porro roboris indicium intelligi potest. Existimo autem nos ad omne opus bonum valentes atque animosos illud sapienter modulari debere quod Psaltes lyra sua cantavit : « Benedic, anima mea, Dominum, et omnia quæ intra me sunt, nomini sancto ejus [90]. » Ac de intestinis quidem et sacrificiis secundum legem peragi solitis enucleate nobis in aliis libris disputatum est. Quare de his plura dicere supersedentes in præsentia, propositorum verborum explanationem percurrere pro facultate enitamur. Cum præcepisset ergo lex victimarum labes perspicere, et inexploratam victimam ad altare haud offerre, et sacrificio perpetrando constitutis victimarum partes separare, illi

[87] Matth. v, 16. [88] Deut. xviii, 15. [89] I Cor. x, 18. [90] Psal. ciii, 1.

Digitized by Google

explorare vitia non curabant, et mandatum de aphæ- rematis quæ vocantur irritum faciebant, et non jam quod Deo, sed quod cupiditati suæ arrideret præ- stantes, stabilientes et constanter observari studen- tes, quas sibi commodiores putabant hostiarum carnes eligebant. Istud in reprehensionem adducit, et ait : « Ecce ego separo vobis humerum. » *Separo* posuit, pro, *separavi*, et denuo volo servari consue- tudinem. Superadjeci quasi, sive adjicio « ventri- culum quoque in facies vestras. » Quoniam enim ipsi dedecorant altare, ideo Deus dicit, « dispergam, » vel- ut par pari referens. « Qui enim me contemnit contemnetur [91]. » — « Suscipiam itaque vos in id- ipsum : » hoc est, in hoc ipso superior flam, et im- pios redarguam. Quia enim legem de seligendis ad usum vestrum observastis, partemque vobis con- cessam neutiquam relinquere sustinuistis, et super- vacaneum vobis videtur vitia inspicere, propterea cognoscetis clausa esse super vos ostia : hoc est, sacerdotio vos exclusos et ejectos esse. Quoniam ego dedi mandatum hoc, sive testamentum, quod disposui ad Levitas. Quid igitur inde ? Sciendum est divininorum altarium ministris faciendum quod vult Deus, **836** et mandatis dominicis posthabendum atque contemnendum præ illis quidquid alioqui ipsis commodum videtur. Sic enim sancti erunt sacrorum ministri, nec pereuntia diligent, nec a turpi quæstu transversim agentur.

τεσθαι χρὴ, καὶ τῶν Δεσποτικῶν προσταγμάτων ἑτέρως δοκεῖ. Ἱεροὶ γὰρ οὕτως ἔσονται λειτουργοὶ, αἰσχρῶν ἠττώμενοι.

VERS. 5. *Testamentum meum fuit cum eo vitæ et pacis.*

XVIII. Loquitur de iis qui sancte et cum laude sacerdotium erunt, illudque rem esse vere admi- rabilem ostendit, quod quidem ad legem, et ad di- vinarum Scripturarum fructum confirmationemque pertinet. Nam, utsapienter scribit Paulus : « Lex san- cta, et mandatum sanctum, et justum, et bonum [92]. » Quando igitur visum est de Levi verba facere, sensus percommode, plane non ad illum qui ex Jacob pro- genitus, et inter duodecim filios ejus numerabatur, referendus est, jam enim qui sacerdotio fungantur de familia Levi nulli sunt omnino ; intelligendum autem sacerdotium, et hoc ipsum quod est sacra facere in persona Levi quodammodo figuratum. « Fuit igitur, inquit, ad ipsum testamentum meum vitæ et pacis. » Proposita est enim verbis Mosi sanctissimo lex scripta ordinata per angelos [93], per Mosen autem posita Israelitis, vitam, et pacem iis qui innocenter vivere et legislatoris voluntatem pro regula sibi proponere vellent, annuntians.

θυμα μὴ προσκομίζεσθαι τῷ θυσιαστηρίῳ, καὶ τοῖς τεταγμένοις εἰς ἱερουργίαν τὰ τῶν θυμάτων ἀφορίζεσθαι μέρη, κατημέλησαν μὲν τοῦ χρῆναι μωμοσκοπεῖν, ἠτεθήκασι δὲ τὴν ἐντολὴν τῶν καλουμένων ἀφαιρεμάτων, οὐ τοῦ Θεοῦ μᾶλλον ἢ δὴ τῶν ἰδίων πράττοντες θελημάτων, κρατύνοντές τε καὶ ἐμπεδοῦν σπουδάζοντες, ἅπερ αὐτοὺς ὠφελεῖν ἐδόκει τὰ ἐκ τῶν θυμάτων συναγείροντες κρέα. Τοῦτο παράγει πρὸς ἔλεγχον, καί φησιν· « Ἰδοὺ ἐγὼ ἀφορίζω ὑμῖν τὸν ὦμον. » Τὸ δὲ, *ἀφορίζω*, νῦν τέθεικεν ἀντὶ τοῦ, Ἀφώρισά τε ἤδη, καὶ εἰς δεῦρο βούλομαι τηρεῖσθαι τὸ ἔθος. Προσέρριψα δὲ ὥσπερ, ἤτοι προσρίπτω καὶ τὸ « ἔνυστρον εἰς τὰ πρόσωπα ὑμῶν. » Ἐπειδὴ γὰρ ἀτιμάζουσι αὐτοὶ τὸ θυσιαστήριον, ταύτῃ τοι « Σκορπιῶ, » φησὶ, οἷον ἀνθυβρίζων. « Ὁ γὰρ ἐξουδενῶν με, φησὶ, ἐξουδενωθήσεται. » — « Λήψομαι δὴ οὖν ὑμᾶς εἰς τὸ αὐτὸ, » τουτέστι, ἐν αὐτῷ δὴ τούτῳ περι- ἔσομαι, καὶ ἀσεβοῦντας ἐλέγξω. Ἀνθ' ὅτου γὰρ δὴ τὸν μὲν ἐπὶ τοῖς ἀφαιρέμασι τοῖς ὑμῶν τετηρήκατε νόμον, καὶ τῆς δοθείσης ὑμῖν μερίδος κατ' οὐδένα τρόπον ἀνέχεσθε καταῤῥᾳθυμεῖν, εἰκαῖον δὲ ὑμῖν δοκεῖ τὸ χρῆναι μωμοσκοπεῖν, γνώσεσθε δὴ οὖν κεκλεισμένων ἐφ' ὑμῖν τῶν θυρῶν, τουτέστι, ἐκ- κλειόμενοί τε καὶ ἐκπεμπόμενοι τῆς ἱερουργίας (1). Ὅτι ἐγὼ δέδωκα τὴν ἐντολὴν ταύτην, ἤτοι τὴν διά- θεσιν, ἣν διεθέμην πρὸς τοὺς Λευίτας. Τί οὖν τὸ ἐντεῦθεν; Εἰδέναι προσήκει τοὺς τοῖς θείοις λειτουρ- γοῦντας θυσιαστηρίοις, ὅ τι τὸ Θεῷ δοκοῦν ἐκπράτ- ῤῥιπτεῖσθαι κατόπιν πᾶν, ὅπερ αὐτοὺς ὠφελεῖν καὶ οὐχὶ τῶν προσκαίρων ἐρασταὶ, καὶ λημμάτων

Ἡ διαθήκη μου ἦν μετ' αὐτοῦ τῆς ζωῆς καὶ τῆς εἰρήνης.

ΙΗ'. Ἀνακομίζει τὸν λόγον ἐπὶ τοὺς ἁγίους τε καὶ εὐδοκίμως ἱερατεύσαντας, καὶ ἀξιάγαστον ἀληθῶς ἀποφαίνει χρῆμα τὴν ἱερουργίαν, τό γε ἧκον εἰς νόμον καὶ τὴν ἐκ τῶν θείων χρησμῳδημάτων δύνησιν καὶ ἀσφάλειαν. Ὡς γὰρ ὁ σοφώτατος γράφει Παῦλος· « Ὁ νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία, καὶ δι- καία, καὶ ἀγαθή. » Ὅταν τοίνυν δοκεῖ περὶ τοῦ Λευὶ ποιεῖσθαι τοὺς λόγους, ἀναθετέον εὖ μάλα τῶν νοημάτων τὴν δύναμιν, οὐχὶ δή που πάντως ἐπ' ἐκεῖνον ὃς ἀνέφυ μὲν ἐξ Ἰακὼβ, ἐναρίθμιος δὲ τοῖς δυοκαίδεκα γέγονεν υἱοῖς· οὐ γὰρ ἱερατεύουσιν ὅλως· συνήσομεν δὲ τῆς ἱερωσύνης τὸ χρῆμα, καὶ αὐτὸ τοῦτο ὅπερ ἐστὶν ἱερουργία μονονουχὶ καὶ διαμορφούμενον ὡς ἐν προσώπῳ Λευΐ. « Ἦν τοίνυν, φησὶ, πρὸς αὐ- τὸν ἡ διάθεσίς μου τῆς ζωῆς καὶ τῆς εἰρήνης. » Ἀε- λάληται μὲν γὰρ ὡς πρὸς Μωσέα τὸν ἱερώτατον ὁ ἐν γράμμασι νόμος, διακονηθεὶς δι' ἀγγέλων, τέθειται δὲ διὰ μεσίτην Μωσέα τοῖς ἐξ αἵματος Ἰσραὴλ, πρ- αγγελίαν ἔχων ζωῆς καὶ εἰρήνης τοῖς ἐθέλουσι βιοῦν ὀρθῶς καὶ κανόνα ποιεῖσθαι τῆς ἑαυτῶν ζωῆς τὸ τῷ νομοθέτῃ δοκοῦν.

[91] I Reg. II, 30. [92] Rom. VII, 12. [93] Galat. III, 19.

(1) Hunc locum fortasse ita rectius legas : Κεκλει- σμένας ἐφ' ὑμῖν τὰς θύρας, ὑμᾶς δὲ ἐκκλειομένους τε καὶ ἐκπεμπομένους τῆς ἱερουργίας· et ita nos red- didimus.

Digitized by Google

Ἔοικε δέ τι καὶ τῶν ἀναγκαιοτέρων εἰς θεωρίαν ὁ λόγος ἡμῖν εἰς τὸ παρὸν ὑπαινίττεσθαι. Δέδοται γὰρ ὁ νόμος τοῖς ἀρχαίοις, τοῖς ἐξ αἵματος Λευὶ παιδαγωγίαν εἰσφέρων ἐπὶ τῷ Χριστῷ, καὶ εἰκόνα τινὰ καὶ ὑποτύπωσιν ἐμφανῆ τῶν ἀληθεστέρων. Ἀληθὴς δὲ Χριστὸς, ὃς ἐστι ζωὴ, καὶ εἰρήνη, καὶ αὐτὸν ἡμῖν αἱ διὰ Μωσέως γράφουσι σκιαί. Τοιγάρτοι καὶ ἔφασκεν Ἰουδαίοις προσλαλῶν· « Εἰ ἐπιστεύετε Μωσῇ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. » Αὐτὸν ἐδήλου σφαζόμενος ἀμνὸς ἐν μηνὶ τῷ πρώτῳ, τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ, καὶ ἀνασώζειν ἐθέλων τῷ αἵματι τοὺς χρίειν ἐθέλοντας τὰς τῶν οἴκων φλιάς· Αὐτὸν ἡ δάμαλις ἡ πυρρά τε καὶ ἄμωμος, ἧς ἡ σποδὰ μεθ' ὕδατος ἡγίαζε « τοὺς κεκοινωμένους πρὸς τὴν τῆς σαρκὸς καθαρότητα, » καθὼς γέγραπται. Αὐτὸν ὁ ἄζυμος ἄρτος, αἱ τρυγόνες, οἱ νεοττοὶ τῶν περιστερῶν, καὶ ἁπαξαπλῶς ἦν ὁ νόμος τῆς ἐπὶ Χριστῷ θεωρίας. Εἰκότως οὖν λέγεται Διαθήκη ζωῆς καὶ εἰρήνης. Ζωοποιηθέντες γὰρ ἐν αὐτῷ, δι' αὐτοῦ ζῇ πάλιν τὴν προσαγωγὴν ἐσχήκαμεν τὴν πρὸς τὸν Θεὸν καὶ Πατέρα, εἰρηνεύομέν τε πρὸς αὐτὸν δι' ὑπακοῆς καὶ πίστεως.

A Videtur autem sermo quidpiam ad considerandum imprimis singulare nobis in præsenti insinuare. Data est enim lex veteribus, Levi progeniem ad Christum instituens, et imaginem quamdam ac delineationem evidentem rerum veriorum exhibens. Verus est autem Christus, qui est vita, et pax [94], ipsumque nobis umbræ Mosaicæ depingunt. Proinde et Judæos alloquens dicebat : « Si crederetis Mosi, crederetis forsitan et mihi : de me enim ille scripsit [95]. » Ipsum repræsentabat agnus mense primo, decima quarta die, immolatus, qui servare incolumes debebat quotquot domorum postes ejus sanguine oblevissent [96]. Ipsum vitula rufa et immaculata [97], cujus cinis aquæ permistus sanctificabat « inquinatos ad emundationem carnis, » ut scriptum est [98]. Ipsum B azymus panis [99] : ipsum turtures, et pulli columbarum [1] : et, ut universe dicam, lex mysteriorum Christi plena erat [2]. Recte igitur vocatur Testamentum vitæ et pacis. Vivificati enim in **837** ipso, per ipsum rursus accessum adepti sumus ad Deum et Patrem, pacemque cum eo per obedientiam et fidem habemus [3].

Καὶ ἔδωκα αὐτῷ ἐν φόβῳ φοβεῖσθαί με, καὶ ἀπὸ προσώπου ὀνόματός μου συστέλλεσθαι αὐτόν.

Et dedi ei ut in timore timeret me, et a facie nominis mei pavore contraheretur ipse.

ΙΘ'. Ἀπαριθμεῖται χρησίμως τὰ λαμπρὰ τῆς ἱερωσύνης αὐχήματα διὰ τῆς τοῦ νόμου μυσταγωγίας ἐξευρημένα. Ἐνετίθει γὰρ μάλιστα τοῖς ἱερουργοῖς τὸν τοῦ Θεοῦ φόβον· στέλλεσθαι μὲν ἀναπείθων ἀπὸ προσώπου ὀνόματος αὐτοῦ, τουτέστι, ὑφορᾶσθαι καὶ ὑποστέλλεσθαι παρασκευάζων τὸ ὄνομα τὸ Δεσποτικὸν, αἰδώ τε τὴν εἰς αὐτὸν ποιεῖσθαι δεῖν ἀναπείθων οὐ πάρεργον, ἀλλ' ἐσπουδασμένην· οὗ τί ἂν γένοιτο τιμαλφέστερον; Γέγραπται γὰρ ὅτι « Ὁ φοβούμενος τὸν Κύριον, οὗτος ὑγιαίνει. » Καὶ πάλιν· « Φόβος Κυρίου, δόξα καὶ καύχημα. » Μεμαρτύρηκε τοίνυν ὁσίως καὶ ἀληθῶς ἱερατευκόσι τὸ βεβηκὸς εἰς ἀσφάλειαν. Οὐ γὰρ ἁπλῶς πεφοβῆσθαί φησιν αὐτοὺς, ἀλλ' Ἐν φόβῳ πεφοβῆσθαι, τουτέστι, ἐν ὅλῃ ψυχῇ καὶ καρδίᾳ τὸν θεῖον εἰσδέξασθαι φόβον. Αἱ γὰρ ἐπιτάσεις ἐν τούτοις, καὶ οἱ τῶν λέξεων ἀναδιπλασιασμοὶ τὸ ἐρρηεισμένον εἰς ἀρετὴν τῶν ἐπαινουμένων τοῖς ἀκροωμένοις κατασημαίνουσιν.

C XIX. Non inutiliter insignia sacerdotii ornamenta per legis mystagogiam adinventa percenset. Sacerdotibus enim Dei timorem imprimis inserebat, impellens eos ad pavorem a facie nominis ejus, hoc est, reformidare ac vereri faciens nomen Dominicum, et ad reverentiam non perfunctoriam, sed seriam et ex studio quodam profectam eos adducens : quo quid tandem honorabilius? Scriptum est enim : « Qui timet Dominum, hic bene habet [4]. » Et iterum : « Timor Domini, gloria et exsultatio [5]. » Testatur itaque sancte et vere sacerdotio functis stabilem securitatem eventuram. Haud enim simpliciter eos timuisse dicit, sed in timore timuisse, hoc est tota anima et corde divinum timorem recepisse. Exaggerationes enim in his, et vocum conduplicationes eorum qui laudantur in virtute constantiam audientibus cogitandam subjiciunt.

Νόμος ἦν ἀληθείας ἐν στόματι αὐτοῦ, καὶ ἀδικία οὐχ εὑρέθη ἐν χείλεσιν αὐτοῦ.

VERS. 6. *Lex veritatis fuit in ore ejus, et iniquitas non est inventa in labiis ejus.*

Κ'. Ἐκέλευε γὰρ ὁ νόμος καὶ τοῦ ψεύδους ἀποφοιτᾷν, ὀρθά τε καὶ δίκαια λαλεῖν, καὶ τὴν ἐφ' ἑκάστῳ πράγματι κρίσιν εὐθῆ τε καὶ ἀδιάστροφον ποιεῖσθαι φιλεῖν. Ἔοικε δὲ πάλιν ἀλήθειαν ὀνομάζειν τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, οὗ τὸν νόμον ἐν χείλεσι πεφορηκέναι φησὶ τοὺς βιοτεύοντας ἱεροπρεπῶς. Εἰ γὰρ καὶ ἦν, ὡς ἔφην, ἐν σκιαῖς ὁ νόμος, ἀλλ' ἦν ἐν αὐτῷ τῆς ἀληθείας ἡ μόρφωσις, καὶ τῶν εὐαγγελικῶν θεσπισμάτων ἡ ὡς ἐν Γράμμασιν ὑποτύπωσις. Εὑρήσομεν γὰρ ἐν τοῖς τύποις τῆς ἐν πνεύματι λατρείας τὴν δύναμιν. Ὅτι δὲ Χριστοῦ νόμος ἦν καὶ ὁ πάλαι τοῖς ἀρχαιοτέροις διὰ Μωσέως

D XX. Jubebat enim lex et a mendacio discedere, et recta atque justa proloqui, et in unaquaque re judicium rectum ac minime perversum diligere [6]. Videtur porro rursus veritatem appellare Dominum nostrum Jesum Christum, cujus legem in labiis tulisse dicit qui vitam sacerdotio respondentem transigeret. Etsi enim, ut dixi, lex in umbris erat, tamen in ea veritatis forma, seu imago, evangelicorumque oraculorum ut in litteris informatio inerat. Nam in typis virtutem cultus divini in spiritu inveniemus. Fuisse autem Christi legem quæ olim antiquioribus per Mosen divinitus est tradita, Salvator ipse auctor

[94] Coloss. III, 13; Ephes. II, 14. [95] Joan. V, 46. [96] Exod. XII, 3 seqq. [97] Num. XIX, 2 seqq. [98] Hebr. IX, 13. [99] Exod. XII, 18. [1] Levit. V, 7. [2] Hebr. X, 1. [3] Rom. V, 1, 2; Ephes. II, 18. [4] Eccli. I, 13. [5] Ibid. 11. [6] Exod. XXIII, 6, 7; Levit. XXIV, 22.

Digitized by Google

est : « Nolite putare, inquit, quia veni solvere legem aut prophetas : non veni solvere, sed implere. Amen dico vobis, donec transeat cœlum et terra, iota unum aut unus apex non præteribit a lege, donec omnia fiant [7]. »

In pace dirigens ambulavit mecum, et multos avertit ab iniquitate.

XXI. Pacem agitare cum Deo quidnam aliud intelligi possit a nobis et ab aliis, si qui **838** sunt divinarum Scripturarum intelligentes, quam velle cogitare et facere quæ ille vult, et nulla in re ipsum offendere : sed contendere potius mores commendatione et gloria dignos colere, vitamque degere suspiciendam et cum legibus omnium maxime consentientem? Ita quoque nos alloquitur Paulus : « Justificati ergo ex fide, pacem habeamus ad Deum [8]. » Sic sane eum qui est natura et vere Dominus agnitum honoramus. Quod si creaturæ quoque divinos honores impendimus, impuro et detestabili peccato cogitationibus nostris dominante, Domino resistimus, et velut aciem adversus ipsum ad pugnam instruimus; duram cervicem contra extendentes, et pertinaciam rebellionemque exercentes. Idem confirmat Salvatoris discipulus his verbis : « Nescitis quia amicitia hujus mundi inimica est Deo? Et qui vult amicus esse hujus sæculi, inimicus Dei constituitur [9]. » Quod si ad universorum Dominum per fidem et peccati ejectionem nos converterimus, nihil se objiciet, nec quidquam nos ejus amicitia prohibebit, cui agglutinabimur quodammodo in omni genere bonitatis, et recta via gradiemur, et per speciosam semitam ambulabimus, nos ipsos et alios ad eam dirigentes. In his autem contendere occupari præ aliis sanctos sacerdotes decet, de quibus verissime dici queat : « In pace dirigens ambulavit mecum, et multos convertit ab iniquitate. » Subditi enim plerumque præpositorum suorum bonos mores per eadem vestigia sequuntur : et qui incedunt directa via salvant multos, nec difficulter eo permovent, ut vita petulante et exsecrabili moribusque improbis nuntium remittentes, meliora et suspicienda quæque apud Deum et homines laus comitetur, consectari malint.

VERS. 7. *Quoniam labia sacerdotis custodient scientium, et legem requirent ex ore ejus, quia angelus Domini omnipotentis est.*

XXII. Quonam modo multos converterit, atque ambulaverit dirigens in pace cum Deo, exponit, aitque eum gestasse in labiis sive in lingua omnium ad bene vivendum requisitorum notitiam, fuisseque institutorem insipientium, et magistrum infantium, et volentibus legis scita discere, verum et ab omni errore remotissimum præceptorem, non alio divinorum oraculorum sensum detorquentem, neque docentem « doctrinas, mandata hominum [10] : » sed tanquam angelum Dei, subjectis sibi populis obscu-

κεχρησμῳδημένος, ἀναπείσει λέγων ὁ Σωτήρ· « Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι. Ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται.

Ἐν εἰρήνῃ κατευθύνων ἐπορεύθη μετ' ἐμοῦ, καὶ πολλοὺς ἀπέστρεψεν ἀπὸ ἀδικίας.

ΚΑ'. Τὸ εἰρηνεύειν πρὸς Θεὸν τί ἂν ἕτερον νοοῖτο πρός τε ἡμῶν αὐτῶν καὶ ἑτέρων, οἵπερ ἂν εἶεν τῶν θείων Λογίων ἐπιστήμονες, ἢ τὸ φρονεῖν ἐλέσθαι καὶ δρᾷν ἃ βούλεται, καὶ κατὰ μηδένα τρόπον προσκρούειν αὐτῷ, κατορθοῦν δὲ μᾶλλον ἐπείγεσθαι τὴν εὐκλεᾶ πολιτείαν, καὶ ἀξιάγαστόν τε καὶ ἐννομωτάτην ζωήν; Οὕτω καὶ ὁ θεῖος ἡμῖν προσπεφώνηκε Παῦλος· « Δικαιωθέντες οὖν ἐκ πίστεως, εἰρήνην ἔχωμεν πρὸς Θεόν· οὕτω μὲν τὸν φύσει καὶ ἀληθῶς Δεσπότην εἰδότες τιμῶμεν. Ἀνάπτοντες δὲ καὶ τῇ κτίσει τὸ σέβας, καὶ κατακρατούσης τῶν ἡμετέρων ἐννοιῶν τῆς βεβήλου τε καὶ βδελυρᾶς ἁμαρτίας, ἀνθεστήκαμεν τῷ Δεσπότῃ, καὶ οἷον ἀντανιστάμεθα πρὸς μάχην αὐτῷ, σκληρὸν αἴροντες τὸν αὐχένα, καὶ τὸ ἀπειθὲς καὶ δυσήνιον μελετῶντες ἔτι. Καὶ πιστώσεται λέγων τοῦ Σωτῆρος ὁ μαθητής· « Οὐκ οἴδατε ὅτι ἡ φιλία τοῦ κόσμου ἐχθρὰ τοῦ Θεοῦ ἐστιν; καὶ ὃς, ἐὰν βουληθῇ φίλος εἶναι τοῦ κόσμου, ἐχθρὸς τοῦ Θεοῦ καθίσταται. » Ἐπιστρέψαντες δὲ πρὸς τὸν τῶν ὅλων Θεὸν διὰ τῆς πίστεως, καὶ τῆς ἁμαρτίας ἀνῃρημένης, τὸ μεσολαβοῦν οὐδέν, οὐδ' ἂν ἀπείρξειέ τις τῆς πρὸς αὐτὸν οἰκειότητος· κολλώμεθα ὥσπερ αὐτῷ διὰ πάσης ἐπιεικείας, βαδιούμεθά τε δι' εὐθείας ὁδοῦ, καὶ τὴν καλὴν ἀληθῶς πορευσόμεθα τρίβον, ἀπευθύνοντες εἰς ἑαυτὴν ἑαυτοὺς καὶ ἑτέρους. Πρέποι δ' ἂν μάλιστα τὸ ἔν γε τούτοις εἶναι ζητεῖν τοῖς ὁσίοις ἱερουργοῖς, περὶ ὧν ἂν λέγοιτο, καὶ μάλα εἰκότως· « Ἐν εἰρήνῃ κατευθύνων ἐπορεύθη μετ' ἐμοῦ, καὶ πολλοὺς ἐπέστρεψεν ἀπὸ ἀδικίας. » Ἴχνηλατεῖ γάρ πως τὸ ὑπήκοον τὰς τῶν ἡγουμένων ἐπιεικείας, καὶ οἵπερ ἂν ἔρχοιντο δι' εὐθείας ὁδοῦ, σώζουσι πολλούς, ἀναπείθουσί τε ῥᾳδίως τὴν ἀσελγῆ καὶ ἐπάρατον ἀφέντας ζωὴν καὶ τοὺς τῆς ἀδικίας τρόπους, ἀνθελέσθαί τε καὶ ἀγαπᾷν τὰ ἀμείνω καὶ ἀξιάγαστα, καὶ οἷς ἂν ἕποιτο τὸ ἐπαινεῖσθαι δεῖν παρά τε Θεῷ, καὶ ἀνθρώποις.

Ὅτι χείλη ἱερέως φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσουσι ἐκ στόματος αὐτοῦ, διότι ἄγγελος Κυρίου παντοκράτορός ἐστι.

ΚΒ'. Τίνα δὴ τρόπον πολλὰς μὲν ἀπέστρεψεν, παραπεπόρευται δὲ κατευθύνων εἰρήνην κατὰ Θεοῦ, διατρανοῖ, λέγων, ὡς πεφόρηκε μὲν ἐν χείλεσιν, ἤγουν ἐπὶ γλώττης, παντὸς τοῦ πρὸς ζωὴν ἀναγκαίου τὴν γνῶσιν, γέγονε δὲ παιδευτὴς ἀφρόνων, διδάσκαλός τε νηπίων, καὶ τοῖς ἐθέλουσι ἀναμαθεῖν τὸ τῷ νόμῳ δοκοῦν ἀληθής τε καὶ ἁπλανέστατος ἐξηγητής, οὐχ ἑτέρωσέ ποι μετατρέπων τῶν θείων λογίων τὸν νοῦν, οὔτε μὴν διδάσκων « διδασκαλίας, ἐντάλματα ἀνθρώπων· » ἀλλ', οἷον ἄγγελος Θεοῦ, διαλευκαίνων

[7] Matth. v, 17, 18. [8] Rom. v, 1. [9] Jac. iv, 4. [10] Isa. xxix, 13 ; Matth. xv, 9.

Digitized by Google

εὖ μάλα τοῖς ὑπὸ χεῖρα λαοῖς τὸ ἀμυδρῶς ἔσθ' ὅτε χρησμῳδούμενον. Ἀπαγγέλλει γὰρ οὐ τὸ οἰκεῖον θέλημα, οὔτε μὴν τοὺς ἀπὸ γνώσεως ἰδίας ἐρεύγεται λόγους, ὑπηρετεῖ δὲ μᾶλλον Δεσποτικοῖς θεσπίσμασι. Φαίην δ' ἄν, ὅτι καὶ ἀληθὲς ἐν τούτοις τὸ εἰρημένον ἐν βίβλῳ Παροιμιῶν· « Θησαυρὸς ἐπιθυμητὸς ἀναπαύσεται ἐπὶ στόματος σοφοῦ, ἄφρονες δὲ ἄνδρες καταπίονται αὐτόν. » Πρὸς ἔπαινου δ' ἂν γένοιτο τοῖς ἀπαγγέλλουσί τι παρὰ Θεοῦ, τὸ μηδὲν οἷς ἀκηκόασι προστιθέναι πλεῖον, μήτε μὴν ὑφαίρεσίν τινα ποιεῖσθαι τολμᾷν, τοῦτό τοι μικροῦ παντελῶς ἀξιοῦντες λόγου. Τὰ τῶν Φαρισαίων ἀνόσια στίφη λήρου εἰς τοῦτο κατώλισθον ἀμαθῶς, ὡς διδάσκειν μὲν διδασκαλίας, ἐντάλματα ἀνθρώπων, καὶ διὰ δέ γε τὴν σφῶν παράδοσιν τὰς θείας ἀκυροῦν ἐντολάς. Τοιαῦτα γὰρ γέγονεν ἐπ' αὐτοῖς παρὰ Χριστοῦ τὰ ἐγκλήματα. 'Ασφαλὴς οὖν ὁ νόμος· ἔφη γάρ που περὶ τῶν θείων λογίων, τὸ ἐπ' αὐτῶν οὐκέτι προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν. Φυλάξεται τοίνυν τῶν ἱερέων τὰ χείλη τὴν τοῦ νόμου γνῶσιν, καὶ αὐτὸν ἀπαγγέλλει προστιθεὶς οὐδέν. Ταύτῃ τοι καὶ ἄγγελος νομάζεται Κυρίου παντοκράτορος, καίτοι τὴν φύσιν ἄνθρωπος ὤν, ὅτι τῷ Θεῷ δοκοῦν ἀπαγγέλλει σαφῶς, καὶ νόμον ἔχει τῆς γλώττης τὸ κίνημα.

riora interdum divinarum **839** Scripturarum diluciadantem. Non enim suam voluntatem nuntiat, nec suæ cognitionis ac scientiæ sermones eructat : sed potius Dominicis oraculis inservit. Dixerim porro etiam in his verum reperiri quod in libro Proverbiorum exstat : « Thesaurus desiderabilis requiescet in ore sapientis: stulti autem viri devorabunt illum [17]. » Nam illud ad laudem Dei nomine quidpiam nuntiantium pertinet, quod nihil auditis apponunt, nec aliquid subtrahere audent, quod scilicet id omnino parvi æstiment. Pharisæorum impia turba eo imperitiæ devenit, ut doceret doctrinas, mandata hominum, et propter suam traditionem Dei mandatum irritum faceret [18]. In hoc enim crimen Christus illos vocavit. Tuta est igitur lex, quæ quodam loco de divinis oraculis sanxit, non addendum, nec auferendum [18]. Custodient igitur labia sacerdotis scientiam [18a] legis, quam annuntians nihil addit. Idcirco et angelus Dei omnipotentis appellatus est, quamvis naturam humanam gerat, quoniam voluntatem Dei perspicue nuntiat, et legem sermonis hortatricem habet.

Ὑμεῖς δὲ ἐξεκλίνατε ἐκ τῆς ὁδοῦ, καὶ ἠσθενήσατε πολλοὺς ἐν νόμῳ, διεφθείρατε τὴν διαθήκην τοῦ Λευΐ, λέγει Κύριος παντοκράτωρ.

Vers. 8. *Vos autem declinastis a via, et infirmos fecistis multos in lege, corrupistis testamentum Levi, dicit Dominus omnipotens.*

ΚΓ'. Ἀντιπαρεξάγει τρόπον τινὰ ταῖς τῶν εὐδοκίμων ἐπιεικείαις τὰ τῶν ῥαθύμων ἐγκλήματα, καὶ ταῖς τῶν ἀμεινόνων ἀντιπαραθέσεσιν ἐλέγχει τὸ φαῦλον. Ὥσπερ γὰρ τὸ φῶς ἐν σκότει φαίνει, « τελεῖται δὲ ἐν ἀσθενείαις ἡ δύναμις· » οὕτω καὶ τῆς ἀρετῆς τὸ κάλλος ἐκφανεστέραν ἔχει τὴν εἰδέαν (1), εἰ δὴ παρακέοιτό τις φαυλότης ἢ ἁμαρτία. Οὐκοῦν διεβίωσαν μέν τινες ἱεροπρεπῶς, ἐν εἰρήνῃ κατευθύνοντες ἑαυτούς τε καὶ ἑτέρους, καὶ ἦσαν μετὰ Θεοῦ, καὶ πολλοὺς ἐπέστρεψαν ἀπὸ ἀδικίας. Περφορήκασι γὰρ ἐν χερσὶ γνῶσιν, καὶ ἀκριβεῖς γεγόνασι τῶν θείων νόμων ἑρμηνευταί. Οἱ δὲ δὴ μετ' ἐκείνους, καὶ πρὸς οὓς ὁ λόγος, ἐκκεκλίκασιν ἐκ τῆς ὁδοῦ, παρώλισθον γὰρ τοῦ εἰκότος, σφᾶς τε αὐτοὺς καὶ ἑτέρους οὐ μετρίως ἠδικήκασι, καὶ πολλοὺς ἠσθένησαν ἐν νόμῳ, τουτέστιν, ἀσθενεῖς καὶ ἀδρανεστάτους ἀποτετελέκασι περί γε τὸ δεῖν ἐλέσθαι βιοῦν ἐννόμως. Εἰ γὰρ ἔξω τοῦ πρέποντος οἴχεται τὸ ἡγούμενον, πῶς ἦν εἰκὸς μὴ οὐχὶ πάντη τε καὶ πάντως συναποφοιτῆσαι τὸ ὑπήκοον, καὶ τοῖς προὔχουσι συγκατολισθεῖν τὸ ἐν μοίρᾳ τῇ καταδεεστέρᾳ, καὶ ὡς ἐν συνέσει μειονεκτούμενον; Ὥσπερ γὰρ ἔννομός τε καὶ ὅσιος ἱερεὺς μιμητὰς ἐργάζεται τῶν ἰδίων κατορθωμάτων τοὺς ὑπὸ χεῖρα λαούς· οὕτω καὶ τὸ ἐναντίον. Εἰ γὰρ αὐτοὶ διεφθάρκασι τὴν διάθεσιν τοῦ Λευΐ, πῶς ἦν εἰκὸς τοὺς παρ' αὐτῶν μεμυσταγωγημένους σεπτὸν ἡγεῖσθαι τὸν νόμον;

XXIII. Laudatorum probitati inertium crimina tanquam in acie adversa statuit, meliorumque oppositione malos coarguit. Sicut enim lux in tenebris apparet magis, « et virtus in infirmitate perficitur [18] : » ita virtutis elegantia, si qua nequitia aut peccatum fuerit e regione collatum, splendidior apparet. Quare quidam, ut sacerdotibus decorum est, vitam transierunt, in pace semetipsos aliosque dirigentes, et erant cum Deo, et multos ab iniquitate converterunt. Portabant enim scientiam in manibus, divinasque leges fideliter interpretabantur. Illorum autem successores, ad quos etiam est sermo, de via deflexerunt, ac de eo quod consentaneum erat delapsi, ibi semetipsis aliisque non mediocriter nocuerunt, et non paucos in lege infirmarunt, hoc est, imbecilles et languidissimos ad vitam legibus consonam reddiderunt. Nam si qui præsunt a decoro transversim abeant, quomodo credibile est qui subsunt, non modis omnibus simul ituros, et qui sorte **840** inferiores sunt, et intelligentia minus valent, cum eminentioribus una lapsuros? Quemadmodum enim sacerdos legum observans et sanctus populum sibi subjectum suorum recte factorum imitatorem efficit, ita contra. Si enim ipsi corrumpebant testamentum Levi, quomodo ab iis in sacris institutos legem venerabilem ducere erat verisimile?

Καὶ ἐγὼ δέδωκα ὑμᾶς ἐξουδενωμένους εἰς

Vers. 9. *Et ego dedi vos contemptibiles in omnes*

[17] Prov. xxi, 20. [18] Matth. xv, 6-9. [18a] Deut. iv, 2. Malach. ii, 7. [18b] II Cor. xii, 9.

(1) Aubertus, ἐνδειαν. Edit.

Digitized by Google

gentes, pro eo quod vos non custodivistis vias meas, sed accipiebatis personam in lege.

XXIV. Ad patrum peccata redit, ipsosque vetustiorum criminum admonet. Et quoniam in lege custodienda constantes non erant, ideo traditos affirmat illis a quibus in captivitatem sunt abducti, miseri, et abjecti, et omni indulgentia exclusi. Quid enim incommodorum passi non sunt, et quas calamitates infelices illi non exantlarunt? Cæterum, si nosse vultis, inquit, causas ob quas iratus est vobis, audietis dicentem : « Quia vos non custodivistis vias meas, sed accipiebatis personam in lege. » Hoc est, opinor, corrupisse testamentum Levi, viam vitæ secundum legem tenere noluisse, et in unoquoque negotio iniquissime judicasse : tametsi Deus aperte dicat : « Non accipies personam in judicio, secundum parvum aut magnum non judicabis [15]. » Per quas autem culpas hostibus traditos et abjectos esse dicit, per easdem apposite minatur, nisi rationes vivendi rectius instituerint, se illorum supplicio non temperaturum. Insolenter enim in legem peccantes idonea et congruentissima pœna sequetur.

A *πάντα τὰ ἔθνη, ἀνθ' ὧν ὑμεῖς οὐκ ἐφυλάξασθε τὰς ὁδούς μου, ἀλλ' ἐλαμβάνετε πρόσωπα ἐν νόμῳ.*

ΚΔ'. Ἐπὶ τὰς τῶν πατέρων ἄνεισιν ἁμαρτίας, ὑπομιμνήσκει δὲ καὶ αὐτοὺς τῶν ἀρχαιοτέρων αἰτιαμάτων. Καὶ ἐπείπερ ἦσαν οὐκ ἀσφαλεῖς περὶ τὴν τοῦ νόμου τήρησιν, ταύτῃ τοι δεδόσθαι φησὶν αὐτοὺς τοῖς ἀποκομίσασιν εἰς αἰχμαλωσίαν οἰκτροὺς, καὶ κατερριμμένους, καὶ φειδοῦς ἀπάσης ἐκπεπτωκότας. Τί γὰρ τῶν ἀνιαρῶν οὐ συνέβη παθεῖν αὐτοὺς, ἢ ποίαις οἱ τάλανες οὐ κεκοινωνήκασι συμφοραῖς; Ἀλλ' εἰ βούλοισθε, φησὶ, ἀναμαθεῖν τὰς αἰτίας τῆς ἐφ' ὑμῶν γεγενημένης ὀργῆς, ἀκούσεσθε λέγοντος· « Ἀνθ' ὧν ὑμεῖς οὐκ ἐφυλάξασθε τὰς ὁδούς μου, ἀλλ' ἐλαμβάνετε πρόσωπα ἐν νόμῳ. » Τοῦτο, οἶμαι, B ἔστι τὸ διαφθεῖραι τὴν διαθήκην τοῦ Λευὶ, τὸ μὴ τηρεῖν ἐλέσθαι τῆς ἐν νόμῳ ζωῆς τὴν ὁδὸν, ἐκτοπωτάτας δὲ λίαν καὶ τὰς ἐφ' ἑκάστῳ πράγματι ποιεῖσθαι κρίσεις, καίτοι Θεοῦ λέγοντος ἐναργῶς· « Οὐ λήψῃ πρόσωπον ἐν κρίσει, κατὰ τὸν μικρὸν καὶ τὸν μέγαν οὐ κρινεῖς. » Δι' ὧν δέ φησιν ὡς ταύτης ἕνεκα τῆς αἰτίας δέδονται τοῖς ἐχθροῖς καὶ γεγόνασιν ἀπερριμμένοι, διὰ τούτων αὐτῶν σύφυᾶ ποιεῖται τὴν ἀπειλὴν, ὡς εἰ μὴ ἔλοιντο βιοῦν ὀρθῶς, οὐδ' ἂν αὐτὸς ἀπόσχοιτο τοῦ κολάζειν αὐτούς. Ἕψεται δὲ τοῖς ὑβρίζουσι τὸν νόμον ἡ τοῖς τοῦτο δρᾷν εἰωθόσι πρέπουσά τε καὶ ἁρμοδιωτάτη δίκη.

VERS. 10. *Nonne pater unus omnium vestrum? Nonne Deus unus creavit vos? Quare reliquistis unusquisque fratrem suum, ut polluerctis testamentum patrum vestrorum? Derelictus est Judas, et abominatio facta est in Israel et in Jerusalem.*

Οὐχὶ πατὴρ εἷς πάντων ὑμῶν; Οὐχὶ Θεὸς εἷς ἔκτισεν ὑμᾶς; Τί ὅτι ἐγκατελίπετε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, τοῦ βεβηλῶσαι τὴν διαθήκην τῶν πατέρων ὑμῶν; Ἐγκατελείφθη Ἰούδας, καὶ C *βδέλυγμα ἐγένετο ἐν τῷ Ἰσραὴλ καὶ ἐν Ἰερουσαλήμ.*

XXV. Cum inciperemus in prophetam commentarium conscribere, dicebamus, post reditum e Babylone ab Assyria, Israelitas, parvipendentes legem, extraneis uxoribus se implicuisse. Quæ res amentibus illis eo usque procedebat, ut cum aliis simul sacerdotes eodem ruerent, et jam ductas **841** ipsas quoque e sanguine Israel pro despectissimis haberent, domoque ejicerent, et in earum locum peregrinas introducerent Ammonitidas et Idumæas, ex quo Israel magnopere contaminabatur. Non enim illæ patrios mores deserebant, sed etiamnum idola venerabantur, et militiam cœli adorabant, et cogebantur pene qui cum feminis adeo mente corruptis habitarent, simul inquinari et Deum offendere. De his in libris Esdræ multa scribuntur [16]. Accusat igitur eos universorum Deus, ut uxores Israelitidas sive Judæas aspernantes, sceleste autem alienigenarum filiabus adhærescentes, cum tamen hujusmodi conjunctionem lex interdiceret. Verum illi, tam venerandum mandatum nescio quo modo flocci facientes, aut mulierum specie ad voluptates lascivas abripiebantur; aut fortasse alienorum amicitias, ne in ipsos bellarent tanquam jam socios et propter nuptias affinitate conjunctos, hac ratione captare moliebantur. Quod aliud nihil erat quam si Ile titubante injuriosius agere cum Deo, quasi qui eos de illo-

ΚΕ'. Ἀρχόμενοι τῆς εἰς τὸν προφήτην συγγραφῆς, ἐλέγομεν ὅτι, μετὰ τὴν ἐκ Βαβυλῶνος καὶ ἐκ γῆς Ἀσσυρίων ἐπάνοδον, ὀλίγα τῆς νομικῆς φροντίσαντες ἐντολῆς, οἱ ἐξ Ἰσραὴλ ταῖς ἀλλογενέσιν συνεπλέκοντο γυναιξί. Καὶ πρὸς τοῦτο ἐξιτήλοις αὐτοῖς προέβη τὸ δρώμενον, ὡς καὶ αὐτοὺς τοῖς ἄλλοις συναποφέρεσθαι τοὺς ἱερατεύοντας, καὶ τὰς μὲν ἤδη συνῳκισμένας αἳ καὶ ἦσαν ἐξ αἵματος Ἰσραὴλ, ἀτιμοτάτας ἡγεῖσθαι, καὶ ἀποπέμπεσθαι τῶν ἑστιῶν, εἰσοικίζεσθαι δὲ μᾶλλον τὰς ἀλλογενεῖς Ἀμμανίτιδας καὶ Ἰδουμαίας· καὶ πολλὴ τις ἐντεῦθεν ἡ τοῦ Ἰσραὴλ βεβήλωσις ἦν. Οὐ γὰρ κατέληγον ἐκεῖναι τῶν πατρῴων ἐθῶν, ἀλλ' ἐλάτρευον μὲν εἰδώλοις ἔτι, προσ- D εκύνουν δὲ καὶ τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καὶ ἦν πως ἀνάγκη τοὺς ταῖς οὕτω τὴν φρένα κατεφθαρμέναις συνῳκηκότας συγκαταμαίνεσθαι καὶ προσκρούειν Θεῷ. Πολὺς δέ γε λίαν ὁ ἐπί γε τουτοισὶ γέγονε λόγος ἐν τοῖς Ἔσδρα βιβλίοις. Κατατιτᾶται τοίνυν αὐτοὺς ὁ τῶν ὅλων Θεὸς, ὡς γύναια μὲν ἀτιμάζοντας τὰς ἐξ αἵματος Ἰσραὴλ ἡγουν τοῦ Ἰούδα, προσκειμένους δὲ ἀνοσίως ταῖς τῶν ἀλλοφύλων θυγατράσι, καίτοι τοῦ νόμου τὴν σύνοδον ἀποφάσκοντος. Ἀλλ' οἱ τῶν οὕτω σεπτῶν οὐκ οἶδ' ὅπως ὀλιγωρήσαντες, ἢ ταῖς τῶν γυναίων ὥραις πρὸς ἀσελγεῖς ἡδονὰς συνηρπάζοντο, ἢ τάχα που ταῖς ἐκ τῶν ἀλλοφύλων φιλίαις ὑποτρέχειν ἤθελον, ἵνα μὴ μάχοιντο πρὸς αὐτοὺς ὡς ἤδη

[15] Deut. i, 17. [16] I. Esdr. x, 2 seqq; II Esdr. xiii, 3 et 23 seqq.; III Esdr. ix, 9 seqq.

Digitized by Google

γνωρίμους, καὶ τὴν ἐκ γάμων ἔχοντας ἀγχιστείαν. Τοῦτο δὲ καὶ ἕτερον οὐδὲν ἦ ταῖς ὀλιγοπιστίαις καθυβρίσαι Θεὸν, ὡς τῆς ἐκείνων χειρὸς ἐξελέσθαι μὴ δυνάμενον, ἡγοῦν ἀποφῆναι κρείττονας τῆς ἐξ ἀλλοφύλων πλεονεξίας. Ἐλύπει δὴ οὖν κατὰ πάντα τρόπον τὸ χρῆμα Θεόν. Ταύτῃ τοι καὶ τῆς ἐμφύτου φιλοστοργίας ἀλογοῦντας βλέπων, φησί· « Οὐχὶ Θεὸς εἷς ἔκτισεν ὑμᾶς; Οὐχὶ πατὴρ εἷς πάντων ὑμῶν; Τί ὅτι ἐγκατελίπετε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ; » Εἷς μὲν γὰρ ὁ πάντων ἐστὶ Δημιουργὸς, καὶ ἑνὸς οἱ πάντες Δεσπότου, βουλομένου συνδεῖσθαι τὸ ποιηθὲν εἰς ἕνωσιν καὶ ὁμοψυχίαν τοῖς τῆς ἀγάπης δεσμοῖς· Εἰ μὲν γὰρ ἦσαν δύο θεοὶ καὶ κύριοι, ἦ καὶ πλείους ἔτι, τὸ ἀπεικὸς οὐδὲν ταῖς τῶν ποιησάντων γνώμαις συγκαταμερίζεσθαι τὰ ποιήματα, καὶ τὴν πρὸς ἄλληλα στάσιν εὐαφόρμως εἰσδέχεσθαι, κατά γε τὸ τοῖς κρατοῦσι δοκοῦν. Ἐπειδὴ δὲ εἷς ἐστιν ὁ διὰ πάντων καὶ ἐν πᾶσι καὶ ἐπὶ πάντας Θεὸς, ποία τις ἂν γένοιτο τῆς διχονοίας πρόφασις; Καὶ ἐπειδὴ πρὸς τούτῳ καὶ εἷς ὁ πάντων τῶν Ἰουδαίων ἐστὶ κατὰ σάρκα πατὴρ, τουτέστι, ὁ θεσπέσιος Ἀβραὰμ, τί τὸ ἀναπείθον τὴν τῆς φιλίας εἰσδέχεσθαι νόσον; Ἢ πῶς οὐκ ἀκόλουθον τοῖς ἐξ αἵματος ἐγγὺς ὡς ἐν ὀφλήματος τάξει κατατίθεσθαι τὴν ἀγάπην; Πῶς δὲ οὐ μανίας ἐγγὺς τὸ ταῖς τῶν ἀλλοφύλων ἐπιμαίνεσθαι θυγατράσι, τὰς οἴκοι τε καὶ ἐκ γένους ἀτιμάζοντας, ἵνα βεβηλώσῃς αὐτὴν διάθεσιν αὐτῶν τῶν πατέρων; Τετηρήκασι γὰρ ἐκεῖνοι τὰ τοῖς θείοις νόμοις διηγορευμένα περὶ γυναικῶν ὀθνείων. Ἤκουον γάρ· « Τὴν θυγατέρα σου οὐ δώσεις τῷ υἱῷ αὐτοῦ· καὶ τὴν θυγατέρα αὐτοῦ οὐ λήψῃ τῷ υἱῷ σου. Ἀποστήσει γὰρ τὸν υἱόν σου ἀπ' ἐμοῦ, καὶ πορευθεὶς λατρεύσει θεοῖς ἑτέροις. » Οἱ δὲ παρ' οὐδὲν ποιησάμενοι τὸ χρησμῴδημα, πεπατήκασι τὸν νόμον, καὶ, τό γε ἦκον εἰς αὐτοὺς, ἀδρανῆ καὶ βέβηλον ἀποτετελέκασι τὴν διαθήκην, λυποῦντες ταῖς παραβάσεσι τῶν νόμων τὸν ἄριστον. Κατατεθηπὼς δὲ ὥσπερ τὸ δρώμενον, καὶ ἀδικωτάτῳ μίσει πλεονεκτούμενον βλέπων τὸ ἐξ αἵματος Ἰούδα τῶν γυναίων ἔθνος, ἐπάγει καί φησι· « Ἐγκατελείφθη Ἰούδας, » καὶ ἐν τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ, Ὦ, φησὶ, παραδόξου πράγματος! οὐκ Ἀσσυρίοις, οὐ Πέρσαις, οὐκ Ἐλαμίταις, οὐ τοῖς ἐκ γειτόνων ἐχθροῖς, ἀλλ' αὐτῷ τῷ Ἰσραὴλ, καὶ τοῖς κατοικοῦσι τὴν Ἱερουσαλὴμ βδελυρός τε καὶ κατηχθημένος γέγονεν ὁ Ἰούδας, τουτέστιν, τὸ ἐξ Ἰούδα γένος καὶ ἡ τῶν ἀγχιστέρων γυναίων ἀθλία πληθύς. Ἰστέον δὲ ὅτι Ἰσραὴλ μὲν ὀνομάζει τὰς δέκα φυλὰς αἳ κατῳκήκασιν ἐν τῇ Σαμαρείᾳ, πρὸ τῶν τῆς αἰχμαλωσίας καιρῶν, ἃς καὶ πρῶτον ἀπῴκισεν ὁ Σαλμανασὰρ εἰς Ἀσσυρίους καὶ Μήδους. Τοὺς δέ γε κατοικοῦντας Ἱερουσαλὴμ ἐκείνους εἶναί φησι οὓς εἶλεν ὁ Ναβουχοδονόσορ, κατὰ τὸν καιρὸν τῆς τελευταίας αἰχμαλωσίας, κατεμπρήσας τὰ Ἱεροσόλυμα, καὶ αὐτὸν δὲ τὸν θεῖον ἐμπρήσας ναὸν, οὓς καὶ ἀπεκόμισεν εἰς Βαβυλῶνα. Αἰτιᾶται, μᾶλλον δὲ οὐ μετρίαν αὐτῶν ποιεῖται τὴν καταβοὴν ὅτι δὴ, μυθέντες τὰς ἐξ Ἰούδα γυναῖκας, εἰσεδέχοντο παρανόμως τὰς ἐκ τῶν ἀλλοφύλων, καίτοι, καθάπερ ἤδη προεῖπον, τῶν πατρῴων ἐθῶν ἀπριξ ἐχομένας, καὶ τοῖς τῆς εἰδωλολατρείας βορβόροις ἐγκυλινδουμένας ἔτι.

Παραφυλακτέον δὲ καὶ ἡμῖν αὐτοῖς τοῖς ἐν Χριστῷ

A rum manu eripere, seu potentia alienigenarum superiores reddere nequiret. Omnimodis igitur Deo ista res dolebat. Unde eos ingeneratum amorem contemnere cernens, ait : « Nonne unus Deus creavit vos? Nonne Pater unus omnium? Quid est quod unusquisque reliquistis fratrem suum? » Unus est enim universorum opifex, et omnes unius estis Domini, qui quod condidit ad unionem et concordiam vinculis charitatis colligare vult. Etenim si essent duo dii ac domini, aut etiam plures, alienum nihil foret res conditas juxta conditorum voluntates dividi ac secerni, et levi occasione sibi invicem adversari, prout dominis ipsis liberet. Quoniam autem unus est per omnia et in omnibus et super omnia Deus [17], quæ tandem esse queat dissensionis occa- B sio? Et quoniam insuper unus est omnium Judæorum pater secundum carnem, divinus nempe Abraham, quid est quod amicitiam labefactet? Aut quomodo consequens non est consanguineis amorem ut debitum persolvere? Quomodo autem non pene furiosum, domesticis et ex eodem genere prognatis conjugibus despectis, super exterorum filiabus insanire, ut testamentum ipsum patrum **842** profanes? Illis enim divinis legibus de peregrinis uxoribus interdicta servarunt. Audiebant enim : « Filiam tuam non dabis filio ejus : et filiam ipsius non accipies filio tuo. Seducet enim filium tuum a me, et abiens serviet diis alienis [18]. » Ast hi oraculum nihili facientes legem conculcarunt, et quantum in ipsis C fuit testamentum infirmarunt, et profanum reddiderunt, eum qui optimus est legum violatione contristantes. Obstupefactus autem propemodum tali facto, et odio iniquissimo genus mulierum Judaicarum oppressum cernens, hæc addit : « Derelictus est Judas, » et apud habitantes Jerusalem, o rem, inquit, inopinatam! non apud Assyrios, non Persas, non Elamitas, non vicinos hostes, sed in ipso Israel et habitantibus Jerusalem abominabilis et odiosus factus est, id est, genus ex Juda et mulierum propinquiorum infelix multitudo. Scire autem licet Israelem vocari decem tribus quæ, ante tempora captivitatis, Samariam incolebant, quas et primus in Assyrios et Medos Salmanasar transtulit [19]. Habitantes vero Jerusalem illos nominat quos Nabu- D chodonosor, tempore postremæ captivitatis, subjugavit, Hierosolyma et ipso divino templo incensis, quos et in Babylonem abduxit [20]. Accusat igitur, imo vero non leviter eos insectatur quod, dimissis ex Juda uxoribus, ex alienigenis prognatas nefarie asciverant, quamvis paternis suis moribus, ut ante dixi, tenaciter adhærentes, et in cœno idololatriæ adhuc sese volutantes.

Cavendum autem et nobis ipsis in Christo justifi-

[17] Ephes. IV, 6. [18] Deut. VII, 3, 4. [19] IV Reg. XVIII, 9 seqq. [20] IV Reg. XXV, 9 seqq.

Digitized by Google

catis et, per fidem in ipsum, sancti Spiritus communionem consecutis [21], ne commisceamur quibusdam sensu perversis, et mente profanis, et a fide germana alienis. Hi enim sunt alienigenæ et lingua barbari, et perversa loquuntur. Cum quibus qui commercium habuerit, fœdissime polluetur. Scriptum est enim : « Qui tetigerit picem inquinabitur ab ea [22]. Cum ergo liceat fructum ferre spiritualiter in Ecclesiis Christi, quæ ratio fuerit velle aliter velut copulari, et communicare profanis synagogis, et universorum Deum adversus se exasperare?

A δεδικαιωμένοις, καὶ διὰ τῆς εἰς αὐτὸν πίστεως τὴν τοῦ ἁγίου Πνεύματος λαχοῦσι μέθεξιν, τὸ ἐπιμίσγεσθαί τισιν, οἵπερ ἂν εἶεν διεστραμμένοι τὸν νοῦν βέβηλοί τε τὰς φρένας, καὶ τὴν πίστιν ἔχοντες οὐκ ὀρθήν. Ἀλλογενεῖς γὰρ οὗτοι καὶ βαρβαρόφωνοι, καὶ λαλοῦντες διεστραμμένα. Οἷς εἰ ἐπιμίσγοιτό τις, πάντη τε καὶ πάντως καταμιανθήσεται. Γέγραπται γάρ· « Ὁ ἁπτόμενος πίσσης μολυνθήσεται. » Ἔξον οὖν ἄρα καρποφορεῖν νοητῶς ἐν Ἐκκλησίαις Χριστοῦ, τίς γὰρ ἂν γένοιτο λόγος τοῦ θέλειν ἑτέρως οἱονεί πως συνάπτεσθαι καὶ κοινωνεῖν βεβήλοις συναγωγαῖς καὶ καταθήγειν ἐφ' ἑαυτοῖς τὸν τῶν ὅλων Θεόν;

843 Vers. 11, 12. *Quia contaminavit Judas sancta Domini, et quibus dilexit, et studuit in deos alienos. Disperdet Dominus hominem qui facit hæc, donec humilietur ex tabernaculis Jacob, et ex his qui offerunt sacrificium Domino omnipotenti.*

Διότι ἐβεβήλωσεν Ἰούδας τὰ ἅγια Κυρίου, καὶ B *οἷς ἠγάπησε, καὶ ἐπετήδευσεν εἰς θεοὺς ἀλλοτρίους. Ἐξολοθρεύσει Κύριος τὸν ἄνθρωπον τὸν ποιοῦντα ταῦτα, ἕως καὶ ταπεινωθῇ ἐκ σκηνωμάτων Ἰακώβ, καὶ ἐκ προσαγόντων θυσίαν τῷ Κυρίῳ παντοκράτορι.*

XXVI. Odiosum factum ait Judam, non ab alio alienigenarum, sed ab ipso Juda, qui profanarit legem, et declinaverit ad amandas mulieres peregrinas, et ad iisdem gratificandum in omnibus, amaveritque defectionem a Deo, et se cultibus idolorum devoverit. Adducti sunt enim eo quidam, ut dixi, sequentes quas sibi injusto matrimonio sociaverant, et earum voluntati per omnia obsecundantes. Sicut nimirum etiam in Settim, jungebantur Madianitarum sive Moabitarum filiabus qui ex Ægypto liberi exibant; qui paulo post eo delirationis et impietatis C abierunt, ut etiam initiarentur Beelphegor. Propter istud crimen miseri perierunt [23]. Itaque universorum Deus hæc facientem et operum adeo illicitorum impie studiosum exsecratur; et si quidem fuerit de populo, donec exterminetur a tabernaculis Israel, hoc est, donec funditus pereat, et ne exstitisse quidem amplius sciatur. Si quis autem de ordine sacerdotum fuerit, donec humilietur ex his qui offerunt sacrificium Domino omnipotenti, id est, donec pereat et e catalogo sacerdotum expungatur. Una enim sacerdotes quidam, ut dixi, cum aliis eodem se piaculo quo populus obstrinxerunt, mulierumque peregrinarum amori succumbentes, oracula divina prorsus vilipenderunt.

ΚΖ'. Μεμισῆσθαί φησι τὸν Ἰούδαν, οὐ παρ' ἑτέρου του τῶν ἀλλογενῶν, ἀλλὰ παρ' αὐτοῦ τοῦ Ἰούδα, βεβηλώσαντος τὸν νόμον, διά γε τοῦ προσκεκλίσθαι φιλεῖν γυναῖκας ὀθνείας, καὶ τὰ ἐκείνων ἐλέσθαι ζητεῖν, ἀγαπῆσαί τε τὴν ἀπόστασιν τὴν ἀπὸ τοῦ Θεοῦ, καὶ ταῖς τῶν εἰδώλων προσκεῖσθαι λατρείαις. Ἀπεκομίζοντο γὰρ, ὡς ἔφην, πρὸς τοῦτό τινες ταῖς παρανόμως συνηρμοσμέναις ἑπόμενοι, καὶ τοῖς ἐκείνων θελήμασι πάντα σείοντες κάλων. Καθάπερ ἀμέλει καὶ ἐν Σεττείν, συνήπτοντο μὲν ταῖς Μαδιανιτῶν ἤτοι Μωαβιτῶν γυναιξὶν οἱ ἐξ Αἰγύπτου λελυτρωμένοι. Κατώλισθον δὲ κατὰ βραχὺ ληρίας εἰς τοῦτο καὶ ἀνοσίας φρενὸς, ὥστε καὶ τελεσθῆναι τῷ Βεελφεγώρ. Ταύτης ἕνεκα τῆς αἰτίας οἱ τάλανες διολώλασιν. Ἐπαρᾶται δὴ οὖν ὁ τῶν ὅλων Θεὸς τὸν ποιοῦντα ταῦτα καὶ τῶν οὕτως ἐκτόπων ἐγχειρημάτων ἀνοσίως ἐπιτηδευτήν· καὶ εἴπερ τις εἴη τελῶν ἐν λαοῖς, ἕως ἂν ὁλοθρευθῇ ἐκ σκηνωμάτων Ἰσραὴλ, τουτέστιν, ἕως ἂν ὁλοτελῶς ἀπόλλοιτο καὶ τὴν τοῦ γεγενῆσθαι μνήμην ζημιούμενος. Εἰ δή τις εἴη τῶν τεταγμένων εἰς ἱερουργείαν, ἕως ἂν ταπεινωθῇ ἐκ προσαγόντων θυσίαν τῷ Κυρίῳ παντοκράτορι, τουτέστι, ἄχρις ἂν ἀπόλλοιτο καὶ τῶν ἱερατικῶν ἐκπέμποιτο καταλόγων. Συγκατώλισθον γὰρ τοῖς ἄλλοις καὶ τῶν ἱερέων τινές, ὡς ἔφην, εἰς τὰ λαῶν ἐγκλήματα, καὶ γυναίων ὀθνείων D ἠττῶντο, τῶν θείων χρησμῳδημάτων εἰσάπαν ἠφειδηκότες.

Quocirca si maledictus est qui Deum irritat mundanasque delicias ejus jussis præferre non reformidat, ne virtutem aspernemur; sed, illis omnino contemptis, annitamur potius ornamentis obedientiæ animas nostras illustrare. Sic enim a maledicto immunes ac liberos ex mansuetudine sua bonis nos universorum Dominus saginabit.

Οὐκοῦν εἰ ἐπάρατος ὁ παροτρύνων Θεὸν καὶ τοῖς παρ' αὐτοῦ θεσπίσμασιν ἀντεξάγειν ἐπιχειρῶν τὰς ἐν κόσμῳ τρυφὰς, μὴ παραιτώμεθα τὴν ἀρετὴν, καὶ λόγος μὲν ἐκείνων γενέσθω μηδείς, ἐπειγώμεθα δὲ μᾶλλον τοῖς εἰς εὐπείθειαν αὐχήμασι τὰς ἑαυτῶν καταφαιδρύνειν ψυχάς. Ἀπραχτήσει γὰρ οὕτω ἐξ ἀρᾶς, καὶ τοῖς ἐξ ἰδίας ἡμερότητος ἀγαθοῖς ὁ τῶν ὅλων ἡμᾶς καταπιανεῖ Δεσπότης.

Vers. 13. *Et hæc quæ oderam faciebatis. Operiebatis lacrymis altare Domini, et planctu et gemitu*

Καὶ ταῦτα ἃ ἐμίσουν ἐποιεῖτε. Ἐκαλύπτετε δάκρυσι τὸ θυσιαστήριον Κυρίου, καὶ κλαυθμῷ,

[21] I Cor. VI, 11; II Cor. IV, 13. [22] Eccli. XIII, 1. [23] Num. XXV, 1 seqq.

Digitized by Google

καὶ στεναγμῷ ἐκ κόπων. Ἔτι ἄξιον ἐπιβλέψαι εἰς θυσίαν, ἢ λαβεῖν δεκτὸν ἐκ τῶν χειρῶν ὑμῶν;

ΚΖ'. Πλείστοι μὲν ἦσαν κατὰ τὸν νόμον τῶν θυσιῶν οἱ τρόποι. Αἱ μὲν γὰρ προσεκομίζοντο κατ' εὐχὴν ἑκούσιον, αἱ δὲ ἦσαν χαριστήριον, καὶ μὴν καὶ ὁ περὶ ἁμαρτίας. Δεκάται δὲ αὖ, καὶ ἀπαρχαὶ, καὶ τοῦ διδράχμου δασμὸς, ὡς ἐκ νομικῶν ἐνταλμάτων τοῖς τῶν ἱερέων προσεφέροντο λόγοις. Προσάγοντες τοίνυν εἰς θυσίαν τῷ Θεῷ τὰ ἑκούσια, παρεκόμιζον, ὡς ἔφην, τὰ χωλὰ καὶ τυφλὰ καὶ ἁρπάγματα, τὰ ἐκ τῆς αἰχμαλωσίας ἀειλογοῦντες κακά, ἄνω τε καὶ κάτω τὴν δήωσιν ὀνομάζοντες καὶ τὴν ἐντεῦθεν αὐτοῖς ἐπενηνεγμένην πτωχείαν, καίτοι τοῦ πάντα ἰσχύοντος Θεοῦ μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον ἀσυγκρίτῳ μὲν αὐτοὺς ἡμερότητι κατευφραίνοντος, ἀπονέμοντος δὲ πλουσίως τὰ οἷς εἰκὸς ἦν οὐ μετρίως ἐντρυφᾶν. Προσεκόμιζον τοίνυν κατηφεῖς καὶ δεδακρυμένοι, μονονουχὶ τοῖς θύμασιν ἐποιμώζοντες, λέγοντές τε τοῖς ἱερουργοῖς· Ταῦτά ἐστιν ἐκ κόπων, τουτέστιν, οὐκ ἀμογητὶ, προσπεπορισμένα δὲ μόλις ὡς ἐξ ἱδρῶτος καὶ πόνου. Εἶτα, πῶς ἔτι, φησὶ, ἄξιον ἐπιβλέψαι εἰς θυσίαν, ἢ πῶς ἂν ἔτι ποιήσαιμι παραδεκτὸν τὸ ἀπὸ γνώμης οὐκ ἀγαθῆς; Θύειν γὰρ ἀκόλουθον ἱλαρῶς, ἑορτάζοντας καὶ εὐφραινομένους. Καὶ τοῦτο, οἶμαι, ἔστι τὸ διὰ τῆς τοῦ Παύλου φωνῆς ὀρθῶς εἰρημένον, τοῖς συναγείρουσι τὰς διακονίας· « Μὴ ἐκ λύπης, ἢ ἐξ ἀνάγκης· ἱλαρὸν γὰρ δότην ἀγαπᾷ Κύριος. » Οὐκοῦν εἰ θύοιμεν ἱλαρῶς, ἐποπτεύσει τε καὶ παραδέξεται καὶ ἐπαινέσει Θεὸς, παραδεξάμενος δὲ τιμήσει καὶ εὐλογήσει. Εἶναι δέ φησι τῶν (1) ἀναγκαίων εἰς ὄνησιν τὸ καὶ ἑτέραν τοῖς προκειμένοις ἐφαρμόσαι διάνοιαν. Ἐπάρατον μὲν γὰρ ἐποιεῖτο, καὶ μάλα δικαίως, ὁ τῶν ὅλων Θεὸς τὸν βεβηλοῦντα τῶν πατέρων τὴν διάθεσιν, διὰ δέ γε τοῦ δεῖν ὀθνείαις συνάπτεσθαι γυναιξὶν, ἐξωθισθεισῶν τῶν ἐκ γένους, καὶ ἐπ' οὐδεμιᾷ πολλάκις αἰτίᾳ κατεγνωσμένων. Ἠτιᾶτο δὲ πρὸς τούτοις τῶν ἱερέων τινὰς, ὡς λαμβάνοντας πρόσωπον ἐν νόμῳ. Καὶ δὴ καὶ ἔφασκεν· « Ἐξολοθρεύσει Κύριος τὸν ἄνθρωπον τὸν ποιοῦντα ταῦτα, ἕως καὶ ταπεινωθῇ ἐκ σκηνωμάτων Ἰσραὴλ καὶ ἐκ προσαγόντων θυσίαν τῷ Κυρίῳ παντοκράτορι. » Εἶτα τούτοις προσέθηκεν εὐθύς· « Ἐκαλύπτετε δάκρυσι τὸ θυσιαστήριον Κυρίου, καὶ κλαυθμῷ, καὶ στεναγμῷ ἐκ κόπων. » Τὸ δὲ, ἐκαλύπτετε, νοητέον ἀντὶ τοῦ Πληροῦσθαι παρεσκευάζεσθε θρήνων καὶ οἰμωγῆς τὸ θεῖον θυσιαστήριον. Γύναιά τε γὰρ παραλόγως ἐξεωσμένα, καὶ οἱ κρίσιν ἄδικον τὴν παρ' ὑμῶν τῶν ἱερέων ἐκτόπως ὑπομεμενηκότες περίεστε τὸ θυσιαστήριον, τοὺς τῆς ἀδικίας ἀνοιμώζοντες τρόπους καὶ ἐκ κόπων τῶν αὐτοῖς ἐπενηνεγμένων δακρυρροοῦντες ἀσχέτως. Εἶτα πῶς ἄξιον ἐπιβλέψαι, φησὶν, εἰς θυσίαν, ἢ λαβεῖν δεκτὸν ἐκ τῶν χειρῶν ὑμῶν; Ὥσπερ γάρ ἐστιν ἀληθὲς τὸ ἐν βίβλῳ Παροιμιῶν γεγραμμένον, Οὐχ ἁγναὶ

A *ex laboribus. Adhuc dignum respicere in sacrificium, aut suscipere acceptabile de manibus vestris?*

844 XXVII. Modi seu genera sacrificiorum a lege præscripta erant plurima. Alia quippe offerebantur ex voto voluntario, alia ad gratiarum actionem spectabant, alia pro peccato. Erant item decimæ, et primitiæ, et didrachmi tributum, quæ ratione sacerdotum mandato legis offerebantur. Qui ergo voluntarie Deo offerebant, adducebant, ut dixi, clauda et cæca et ex deprædatione recuperata, perpetuo mala in quibus fuissent et vastitatem indeque illatam sibi egestatem suam crepantes, tametsi omnipotens Deus post reditum e Babylone incomparabili eos benignitate exhilarasset, et abundanter donavisset quibus eos non mediocriter oblectatum iri consentaneum erat. Offerebant igitur mœsti et flentes, tantum non super victimis lamentantes, et sacrificis hæc dicentes: Hæc sunt de laboribus et ærumnis nostris, hoc est, non sine labore, et vix cum sudore acquisita. Deinde, quomodo, inquit, par est respicere ad sacrificium, aut quomodo ratum habeam quod a bona mente non proficiscitur? Decet enim sacrificare animo hilari, festum diem agentes et lætantes. Et hoc, opinor, est, quod bene Paulus conferentibus in ministerium: « Non ex tristitia, aut ex necessitate: hilarem enim datorem diligit Deus [24]. » Quare, si sacrificemus hilariter, respiciet, et suscipiet, et laudabit Deus, et susceptum honorabit ac benedicet. Puto autem ad fructum conducturum magnopere, si ex verbis propositis alium sensum eliciamus. Maledicit universorum Deus, et quidem æquissime, profanantem patrum testamentum, propter adhibitas in conjugium extraneas feminas, expulsis quæ erant ejusdem gentis, et sæpe nulla de causa condemnatis. Præterea sacerdotes quosdam insimulat, ut accipientes personam in lege. Quare etiam dicebat: « Disperdet Dominus hominem facientem hæc, donec humilietur ex tabernaculis Israel, et ex offerentibus sacrificium Domino omnipotenti. » His statim subjecit: « Operiebatis lacrymis altare meum, et planctu et gemitu ex laboribus. » *Operiebatis* intellige, Faciebatis ut impleretur divinum altare fletu et lamentis. Mulieres namque contra legem expulsæ, et qui sacerdotum vestrorum iniquum judicium pertulerant, circumstabant altare, quas pertulerant injurias deplorantes et ob illatas vexationes immodice lacrymantes. **845** Jam quo pacto dignum est, inquit, respicere ad sacrificium, aut accipere acceptabile de manibus vestris? Sicut enim verum est quod in libro Proverbiorum legitur, Non sunt casta vota de meretricis meretricis [25], sic non censebitur mundus et culpa vacans sacerdos, si dicat divinis Scripturis se quodammodo corroboratum ac stabilitum esse, et lege sacrificio-

B

C

D

[24] II Cor. IX, 7. [25] Imo Deut. XXIII, 18.

(1) Lege οἶμαι δὲ τῶν, etc. omisso φησί, inculcato a librario.

Digitized by Google

rum conculcata, quasi Deo nullo a se scelere offenso sacrificet. Timoris plenum est igitur, quasi illotis manibus sacrificare Deo. Puto enim ego totis viribus, quantum consequi possunt, purgatis tam sapiens ministerium peragendum. Talis enim extra omne crimen invenitur, nec iram divinam merebitur.

A εὐχαὶ ἀπὸ μισθώματος ἑταίρας· οὕτως οὐκ ἂν λογισθείη καθαρός τε καὶ ἀμώμητος ἱερεύς, εἰ τοῖς θείοις θεσπίσμασιν μονονουχὶ καὶ ἐρρῶσθαι φράσας καὶ τὸν πρέποντα ταῖς ἱερουργίαις πατήσας θεσμὸν, ὡς κατ' οὐδένα τρόπον προσκεκρουκὼς προσάγοι τὸ θῦμα. Φοβερὸν οὖν ἄρα τὸ ἀνίπτοις ὥσπερ ἄρα χερσὶν ἱερουργεῖν τῷ Θεῷ. Χρῆναι γὰρ ἔγωγέ φημι παντὶ σθένει κεκαθαρμένους, κατά γε τὸ ἐφικτὸν, τῆς οὕτω σοφῆς ἅπτεσθαι λειτουργίας. Ἕξω γὰρ ὁ τοιόσδε καὶ ἀπάσης αἰτίας, καὶ τῶν ἐξ ὀργῆς εὑρίσκεται κινημάτων.

VERS. 14, 15. *Et dixistis : Propter quid Dominus testificatus est inter te et inter uxorem adolescentiæ tuæ quam reliquisti? Et hæc particeps tua et uxor testamenti tui, et non aliter fecit, et reliquiæ spiritus tui. Et dixistis : Quid aliud quam semen quærit Deus?*

Καὶ εἴπατε· Ἕνεκεν τίνος ὁ Κύριος διεμαρτύρατο ἀναμέσον σου καὶ ἀναμέσον γυναικὸς νεότητός σου ἣν ἐγκατέλιπες; Καὶ αὕτη κοινωνός σου καὶ γυνὴ διαθήκης σου, καὶ οὐχ ἄλλως ἐποίησε, καὶ ὑπόλειμμα πνεύματος αὐτοῦ. Καὶ εἴπατε· Τί ἄλλο ἢ σπέρμα ζητεῖ ὁ Θεός;

XXVIII. Deo ista sæpius reprehendente, et ad sui generis diligendas, atque ad contracta cum alienigenis matrimonia quæ et ipsa divina lex damnat dissuenda impellente, stulte occurrebant ; « Quid aliud quam semen quærit Deus [36]? » Dictum est, inquit, per mandatum Mosis : « Non erit infecunda, nec sterilis in Israel [37]. » Et ad Abraham alicubi dicit universorum Deus : « Multiplicans multiplicabo semen tuum, sicut stellas cœli multitudine [38]. » Quocirca divinum consilium, inquit, ad multitudinem et liberorum procreationem respicit, ut ipsa Abrahamo factæ promissionis gratia finem congruentem adipiscatur. Sed sive ex alienis, sive ex cognatis hoc a nobis præstetur, Deo perinde est ; finem enim promissa consequuntur. « Dixistis igitur, inquit : Qua de causa Dominus testificatus est inter te et uxorem adolescentiæ tuæ quam reliquisti? » At si hoc libuerit dicere, quare Dominus testificatus sit, et jusserit nullo modo dimittere cui cohabitatis, respondebo et ego ad hoc : Cogita, « Quoniam ipsa est particeps seu socia tua, et uxor testamenti seu fœderis tui, » hoc est, una caro tecum [39], et juxta legem contubernalis, et non aliter fabricatus est eam Deus. Est porro, ut arbitror, etiam « reliquiæ spiritus ejus, » et propemodum corpore et anima vir commiscetur cum ea quam ipsi legis religio copulavit. **846** Et quemadmodum unum corpus fiunt, sic aliquo modo etiam una anima, amore mutuo illos colligante, et divina lege in concordiam devinciente. Reliquias itaque spiritus viri uxorem vocat, et quasi dimidium ejus animæ propter unionem, scilicet quæ concordia charitatis velut unum efficit. Ne igitur plus quam ratio patitur Deum culpatote, ut qui uxorem adolescentiæ suæ, fœderis ac spiritus participem, et carne sibi unitam domo removentes, fortasse iniquius objurget. Existimo autem ego sapientissimum Paulum, hinc permotum, mandasse iis qui in Christum crediderant : « Alligatus es uxori? noli quærere solutionem [40]. » Et alicubi Salvator : « Quicunque dimiserit uxorem suam, excepta causa fornicationis, facit eam mœchari : et qui dimissam duxerit, mœ-

ΚΗ'. Ἐπαιτιωμένου Θεοῦ τὰ τοιάδε συχνῶς, καὶ ἀναπείθοντος μὲν ἀγαπᾶν τὰς ἐκ γένους, ἀποστρέφειν δὲ τῶν ἀλλοτρίων καὶ ἀπονοσφίζεσθαι γάμων οὓς καὶ αὐτὸς ὁ θεῖος ἀπεκήρυξε νόμος, ἀσυνετοῦντες ἔφασκον· « Τί ἄλλο ἢ σπέρμα ζητεῖ ὁ Θεός; » Εἴρηται, φησὶ, διὰ τῆς Μωσέως ἐντολῆς· « Οὐκ ἔσται ἄγονος οὐδὲ στεῖρα ἐν υἱοῖς Ἰσραήλ. » Ἔφη δέ που καὶ πρὸς Ἀβραὰμ ὁ τῶν ὅλων Θεός· « Πληθύνων πληθυνῶ τὸ σπέρμα σου, ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει. » Οὐκοῦν ὁ θεῖος, φησὶ, σκοπὸς εἰς πληθὺν ὁρᾷ καὶ παιδογονίαν, ἵνα καὶ εἰς πέρας ἄγοιτο τὸ πρέπον αὐτῇ τῆς πρὸς Ἀβραὰμ ἐπαγγελίας ἡ χάρις. Ἀλλ' εἴτ' οὖν ἐξ ἀλλοτρίων, εἴτε ἐξ ὁμογενῶν τοῦτο πράττοιτο πρὸς ὑμῶν, ἀδιαφορεῖ τῷ Θεῷ, διεξάγεται γὰρ εἰς πέρας τὸ ἐπηγγελμένον. « Εἴπατε τοίνυν, φησίν· Ἕνεκεν τίνος ὁ Κύριος διεμαρτύρατο ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέσον γυναικὸς νεότητός σου, ἣν ἐγκατέλιπες; » Ἀλλ' εἴπερ ἔλοισθε τοῦτο λέγειν τὸ, Ἕνεκεν τίνος διεμαρτύρατο, καὶ προστέταχε μὴ δεῖν ἀποπέμπεσθαι τὴν συνῳκισμένην, ἐρῶ πρὸς τοῦτο κἀγώ· Ἐννόησον « Ὅτι αὕτη κοινωνός σου καὶ γυνὴ διαθήκης σου, » τουτέστιν, ὁμόσαρκός σοι καὶ κατὰ νόμον συνῳκισμένη, καὶ οὐκ ἄλλως αὐτὴν δεδημιούργηκε Θεός. Ἔστι δὲ, οἶμαι, καὶ « ὑπόλειμμα πνεύματος αὐτοῦ, » καὶ μονονουχὶ συγκέκραταί πως ὁ ἀνὴρ σαρκικῶς τε καὶ ψυχικῶς τῇ κατὰ νόμον λατρείᾳ συνηρμοσμένῃ. Καὶ ὥσπερ ἓν γεγόνασι σῶμα, οὕτω τρόπον τινὰ καὶ μία ψυχὴ, συνδεούσης αὐτοὺς ἀγάπης, καὶ νόμου θείου συλλέγοντος εἰς ὁμοψυχίαν. Ὑπόλειμμα τοίνυν πνεύματος τοῦ ἀνδρὸς τὴν γυναῖκα καλεῖ καὶ οἱονεὶ μέρος τῆς αὐτοῦ ψυχῆς, διά τε τὴν ἕνωσιν τὴν ὡς ἓν γε, φημὶ, τῇ κατὰ τὴν ἀγάπην ὁμοψυχίᾳ. Μὴ τοίνυν πέρα τοῦ δέοντος ἰόντες λόγου καταιτιᾶσθε Θεὸν, ὡς τάχα που καὶ ἀδίκως ἐπιπλήττοντος τοῖς ἀποπέμπουσι τῆς ἑστίας γυναῖκα νεότητος, καὶ διαθήκης καὶ πνεύματος κοινωνὸν, καὶ ἑνωθεῖσαν σαρκικῶς. Οἶμαι δὲ ἔγωγε τὸν σοφώτατον Παῦλον, κεκινημένον ἐντεῦθεν, ἐπιστεῖλαι τοῖς πεπιστευκόσιν εἰς Χριστόν· « Δέδεσαι γυναικί; μὴ ζήτει λύσιν. » Ἔφη δέ που καὶ αὐτὸς ὁ Σωτήρ· « Ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι· καὶ ὁ ἀπολελυμένην

[36] Exod. XXXIV, 16. [37] Exod. XXII, 26. [38] Gen. XVI, 10. [39] Gen. II, 23, 24. [40] I Cor. VII, 27.

Digitized by Google

γαμήσας, μοιχᾶται.» Ἐρομένοις δὲ τοῖς Σαδδουκαίων φιλοζητηταῖς· « Ἀνθ' ὅτου Μωσῆς ἐνετείλατο δοῦναι βιβλίον ἀποστασίου καὶ ἀπαλλάττεσθαι γυναικός; » ἔφη πάλιν· « Ὅτι Μωσῆς μὲν πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐνετείλατο· ἀπ' ἀρχῆς δὲ οὐ γέγονεν οὕτως· ὁ γὰρ πλάσας, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. Ὃ οὖν Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω.» — « Καὶ φυλάξασθε ἐν τῷ πνεύματι ὑμῶν, καὶ οὐ μὴ ἐγκαταλίπητε.» Τοῦ νόμου δὲ σαφῶς καὶ ἀναφανδὸν διηγορευκότος ἐξεῖναι τοῖς ἐθέλουσι προσρίπτειν ταῖς συνηρμοσμέναις βιβλίον ἀποστασίου καὶ ἀνεγκλήτως ἀπαλλάττεσθαι τῆς συνῳκισμένης, ἐδόκει πως ἀντιφέρεσθαι τοῖς πάλαι τεθεσπισμένοις διὰ τῆς τοῦ προφήτου φωνῆς, ἄγοντος ὑπὸ δίκην καὶ παρανομίας ἔγκλημα καταγράφοντος τοῦ τολμῶντος προσάγειν καὶ ἀπονοσφίζεσθαι γυναικός. Οἰκονομικώτατα τοίνυν διὰ τῶν προσκειμένων οὔτε ἄπρακτον ἀποφαίνει τὴν ἀρχαίαν ἐντολήν, οὔτε μὴν ἀνοσίων ἐγχειρημάτων αὐτὴν ποιεῖσθαι πρόφασιν ἐπιτρέπει τισίν. Οὐ γὰρ ἐπειδήπερ, φησίν, ἐφῆκεν ὁ νόμος δίδοσθαι τὸ βιβλίον, διὰ τοῦτο καὶ ἀνεύθυνοι διδόντες ὑμεῖς, ἵνα ταῖς ἀλλοφύλοις προσκέοισθε γυναιξίν, ἀλλ' εἰ καὶ ἔξεστιν ἀποστῆναι γυναίου, καὶ νομικαῖς τοῦτο πράττεσθαι ψήφοις, φυλάξασθε « ἐν πνεύματι ὑμῶν τὸ καταλεῖψαι γυναῖκα τὴν ἐκ νεότητος.» Τοῦτο γὰρ ἄμεινον, καὶ ἐφῆκεν ὁ νόμος τοῖς ἐθέλουσι τὴν ἀπόστασιν.

A chatur [31]. » Interrogantibus autem Sadducæis curiosis : « Quid ergo mandavit Moses dare libellum repudii et dimittere uxorem? respondit : Moses propter duritiam cordis vestri hoc permisit ; ab initio autem non erat sic ; Creator enim masculum et feminam fecit eos. Quod igitur Deus conjunxit, homo ne separet [32]. Custodite illas in spiritu vestro, et ne relinquite. Cæterum, cum lex aperte et manifeste sanciat licere volentibus objectare libellum repudii, citraque reprehensionem uxores dimittere, videtur quasi antiquo oraculo repugnare vox prophetæ, pœnæ subjicientis et iniquitatis crimen impingentis audenti ducere uxorem et separari. Providentissime igitur his verbis ostendit propheta mandatum vetus non esse quiddam otiosum, nec sinere ut hanc sibi occa- B sionem scelerate faciendi quidam accipiant. Non enim, inquit, quoniam permisit vobis lex dare libellum repudii, ideo extra culpam estis, qui idcirco datis ut cum alienis copulemini. Sed quamvis ab uxore discedere liceat, idque lege approbante, cavete tamen « in spiritu vestro relinquere uxorem adolescentiæ vestræ. » Hoc enim præstat, etiamsi lex divortium volentibus indulserit.

Ἀλλ' ἐὰν μισήσας ἐξαποστείλῃς, λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ.

Κθ'. Τουτέστιν, εἰ πιθανὴν καὶ εὐάφορμον ποιούμενος τὴν ἀποπομπὴν τῷ βιβλίῳ προσγράψας, ὅτι μεμίσηκάς τε καὶ ἀπεστείλω.

Καὶ καλύψει ἀσέβεια ἐπὶ τὰ ἐνθυμήματά σου, λέγει Κύριος παντοκράτωρ, καὶ φυλάξεσθε ἐν τῷ πνεύματι ὑμῶν, καὶ οὐ μὴ ἐγκαταλίπητε.

Λ'. Τουτέστιν, εἰ περιγένοιτο τῶν σῶν ἐνθυμημάτων ἀσεβὴς καὶ βέβηλος ἡ δορά, καὶ πρόφασις μὲν εἰκαία τὸ μισῆσαί ἐστιν, εὑρίσκῃ δὲ τῆς ἑτέρων ὥρας ἡττώμενος καὶ γυναίοις τοῖς ὀθνείοις προσκεῖσθαι θέλων, « φύλαξαι, μὴ ἐγκαταλίπῃς, » ἢ ἐπάρατος ἔσῃ πάντῃ τε καὶ πάντως. Ἔφη γάρ· « Ὅτι ἐξολοθρεύσει Κύριος τὸν ἄνθρωπον τὸν ποιοῦντα ταῦτα, ἕως καὶ ταπεινωθῇ ἐκ σκηνωμάτων Ἰσραήλ, ἐκ προσαγόντων θυσίαν Κυρίῳ παντοκράτορι. » Καὶ ταυτὶ μὲν ὅσον εἰς ἐμφανῆ τε καὶ πρόχειρον λόγον.

Παραφυλακτέον δὲ καὶ τοῖς διὰ πίστεως κεκλημένοις εἰς ἁγιασμόν, μὴ ἄρα πως ἀπενεχθεῖεν ὡς πρὸς γυναῖκας ἀπηχθημένας Θεῷ καὶ ἀλλογενεῖς εἰς τὰς βεβήλους αἱρέσεις. Ἀπόχρη γὰρ αὐτοῖς, εἰς καρποφορίαν πνευματικὴν, τῶν τῆς Ἐκκλησίας διδασκάλων ἡ καθαρὰ καὶ ἀμώμητος παιδαγωγία μονονουχὶ καὶ τέκνων αὐτοὺς εὐγενῶν ἀποφαίνειν πατέρας, τίκτοντας νοητῶς ἐξ ἀγαθῆς καρδίας τὰ τῆς εἰς Θεὸν ἀγάπης αὐχήματα.

Vers. 16. *Sed si odio habens dimiseris, dicit Dominus Deus Israel.*

XXIX. Hoc est, si probabilem faciens et justa occasione natam dimissionem indicans ascripseris, te C odisse, et ita dimittere.

Vers. 16. **847** *Et operiet impietas super cogitationes tuas, dicit Dominus omnipotens, et custodite in spiritu vestro, et ne derelinquatis.*

XXX. Hoc est, si cogitationes tuas obvolvit impia et profana pellis, et odium in illam falso prætexitur, inveniaris autem aliarum pulchritudine subactus, et velle mulierculis peregrinis alligari, « custodi, ne derelinquas, » aut prorsus maledictus eris. Dixit enim : « Quia disperdet Dominus hominem qui facit hæc, donec humilietur ex tabernaculis Israel, ex offerentibus sacrificium Domino omnipotenti. » Et hoc quidem quod ad planam et obviam explanationem attinet.

Cavendum autem et per fidem vocatis in sanctificationem, ne forte velut ad feminas Deo odiosas et alienigenas in profanas hæreses auferantur. D Potest enim illos, præter spiritualem fertilitatem, Ecclesiæ magistrorum sincera et inculpata institutio tantum non filiorum quoque nobilium patres reddere, ex corde bono divinæ charitatis decora secundum intellectum generantes.

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.

Οἱ παροξύνοντες τὸν Θεὸν ἐν τοῖς λόγοις ὑμῶν, καὶ εἴπατε· Ἐν τίνι παρωξύναμεν αὐτόν;

TOMUS POSTERIOR.

Vers. 17. *Qui provocastis Deum in sermonibus vestris, et dixistis : In quo provocavimus eum? In*

[31] Matth. v, 32. [32] Matth. xix, 7, 8; Marc. x, 2, 9.

Digitized by Google

eo quod dicitis : Omnis qui facit malum, bonum in conspectu Domini, et in ipsis ipsi complacuit, et ubi est Deus justitiæ?

XXXI. Supra annotavi, non uno, sed multis modis universorum Deum contra posteros Levi exacerbatum esse. Et sacerdotum imbelles animas castigans, aiebat : « Et inferebatis quæ rapta erant, et claudа, et debilia [33]. » Et addebat his : « Et accipiebatis personam in lege [34]. » Honorantes enim, ut credibile est, et intempestive reverentes quosdam sese convenientes, tenuiores scelerate condemnabant, et premebant quosdam, non ex præscripto legis justa judicantes [35], sed in partem potentiorem et iniquam sententiam proferentes : aut forte etiam diripientes hæreditates neutiquam ad se attinentes : gaudentes autem super domis et ea accipientes, et sacerdotii honoribus abutentes, et supra subjectos se efferentes. Hunc in modum vitam degentes adeo infamem et legibus adversissimam, **848** videntes quidam injuriam passi, tantum non attoniti mirabantur. Nec enim reprehendebantur a Deo, nec puniebantur, ut solent aliquando contemptores; quin potius rebus secundis utebantur, et vivebant cum voluptate. Idcirco ægre ferentes, immensamque Dei benignitatem forte amplius cogitare nolentes, propemodum etiam ex desperatione clamabant: « Omnis qui facit malum, bonum in conspectu Domini, et in ipsis ipsi complacuit; » hoc est, forsitan et perpetrator malorum bonus est in conspectu Domini; et super adeo inhoneste viventibus lætatur. Nam si hoc verum non est, inquit, « Ubi est Deus justitiæ? » Oportebat enim, oportebat justitiæ dispensatorem non adeo tolerantem esse in sacerdotibus avaris, et altare polluentibus, et iniqua ac scelerata et legi pugnantia committere summo studio conantibus. Et hæc quidem crimina fuerint desperationis ipsorum incessentis animos. Sciendum autem, juxta propositum verborum sensum, irritare Deum, qui adeo imperitis vocibus utuntur. Ferme enim et increpare statuunt tolerantem Deum, qui errantium conversionem benignissime et eorum qui in peccatum prolapsi sunt, ad salutaria recursum exspectat. Divinus itaque Paulus super torpentibus et a pœnitentia refugientibus dolens : « Num divitias bonitatis ejus et patientiæ et longanimitatis contemnis, ignorans quia benignitas Dei ad pœnitentiam te ducit? Secundum duritiam autem et impœnitens cor tuum, thesaurizas tibi ipsi iram in die iræ et revelationis et justi judicii Dei [36]. » Itaque etiam atque etiam vehementerque Deum offendunt qui adeo inanibus dant manus et lingua effrenata ipsi convitiantur, et peccato tenebuntur qui morbi occasiones ipsis dederunt.

Οὐκοῦν προσκρούσουσι μὲν πάντη καὶ πάντως οἱ ταῖς γλῶτταν ἀνέντες, ἔνοχοι δὲ πλημμελείας εἶεν ἂν οἱ τῆς ἀῤῥωστίας αὐτοῖς διδόντες τὰς ἀφορμάς.

Vivendum igitur sancte et recta via incedendum

Ἐν τῷ λέγειν ὑμᾶς· Πᾶς ποιῶν πονηρὸν, καλὸν ἐνώπιον Κυρίου, καὶ ἐν αὐτοῖς αὐτὸς εὐδόκησε, καὶ ποῦ ἔστιν ὁ Θεὸς τῆς δικαιοσύνης;

ΛΑ'. Φθάσας ἔφην, ὡς οὐ καθ' ἕνα τρόπον, κατὰ πολλοὺς δὲ μᾶλλον, ὁ τῶν ὅλων Θεὸς ἐπὶ τοὺς ἐξ αἵματος τοῦ Λευὶ κατεπικραίνετο. Καὶ ταῖς τῶν ἱερουργῶν ἀθυμίαις ἐπισκήπτων, ἔφασκε· « Καὶ εἰσεφέρετε τὰ ἁρπάγματα, καὶ τὰ χωλὰ, καὶ τὰ ἐνοχλούμενα. » Προσεπῆγεν δὲ τούτοις· « Καὶ ἐλαμβάνετε πρόσωπον ἐν νόμῳ. » Τιμῶντες γὰρ, κατὰ τὸ εἰκὸς, καὶ δι' αἰδοῦς ἀκαίρου ποιούμενοι τῶν προσιόντων τινὰς, κατεδίκαζον μὲν οὐχ ὁσίως τῶν ἀσθενεστέρων, καὶ πλεονεξίας ἐπῆγόν τισιν, οὐ τὰ δίκαια κρίνοντες, κατά γε τὸν νόμον, ἀλλ' ἑτεραλκῆ καὶ ἄνισον τὴν ψῆφον ἐκφέροντες· ἢ τάχα που καὶ διαρπάζοντες τοὺς οὐδαμόθεν αὐτοῖς προσήκοντας κλήρους· ἐφηδόμενοι δὲ καὶ δωροδοκίαις, καὶ ταῖς τῆς ἱερωσύνης τιμαῖς κατακεχρημένοι, καὶ τῶν ὑπὸ χεῖρα κατεπαιρόμενοι. Ταύτην ἔχοντες τοῦ βίου τὴν ἀγωγὴν τὴν οὕτω δυσκλεᾶ καὶ ἐκνομωτάτην, καταθεώμενοί τινες τῶν τὰς ἀδικίας ὑπομεμενηκότων, μονονουχὶ κατεθήπεσαν. Οὐ γὰρ ἦν τις ἐπ' αὐτοῖς ἐπίπληξις παρὰ Θεοῦ καὶ τὰ ἐξ ὀργῆς, ἐσθ' ὅτε συμβαίνοντα τοῖς εἰωθόσι καταφρονεῖν· ἦσαν δὲ μᾶλλον ἐν εὐπαθείᾳ καὶ τρυφαῖς. Πρὸς δὴ τὰ τοιαῦτα δεδυσφορηκότες, καὶ τὴν ἀσύγκριτον ἡμερότητα τοῦ Θεοῦ τάχα που λοιπὸν εἰς νοῦν ἔχειν οὐκ ἀνεχόμενοι, μονονουχὶ καὶ κατακεκράγασιν ἐκ μικροψυχίας λέγοντες· « Πᾶς ποιῶν πονηρὸν, καλὸν ἐνώπιον αὐτοῦ, καὶ ἐν αὐτοῖς αὐτὸς ηὐδόκησε, » τουτέστι, τάχα που καὶ ἀγαθὸς ἐν ὀφθαλμοῖς τοῦ Θεοῦ ὁ τῶν πονηρῶν ἐργάτης· ἐφήδεται δὲ τοῖς οὕτως αἰσχρῶς διαβιοῦν ἠρημένοις. Εἰ γὰρ μὴ τοῦτο, φησὶν, ἀληθὲς, « Ποῦ ἔστιν ὁ Θεὸς τῆς δικαιοσύνης; » Ἴδει γὰρ, ἴδει τῆς δικαιοσύνης τὸν πρύτανιν μὴ τοσοῦτον ἀνεξικακῆσαι πλεονεκτοῦσι ἱερουργοῖς, καὶ καταμιαίνουσι τὸ θυσιαστήριον, ἀδικά τε καὶ ἀνόσια καὶ τὰ ἔξω νόμου δρᾷν ὅτι μάλιστα διεσπουδακόσι. Καὶ ταυτὶ μὲν εἶεν ἂν τῆς ἐπισυμβάσης αὐτοῖς μικροψυχίας ἐγκλήματα. Ἰστέον δὲ ὅτι, κατά γε τὴν τῶν προκειμένων δύναμιν, παροτρύνουσι τὸν Θεὸν οἱ ταῖς οὕτως ἀπαιδεύτοις κεχρημένοι φωναῖς. Μονονουχὶ γὰρ καὶ ἐπιτιμᾷν ἐγνώκασιν ἀνεξικακοῦντι Θεῷ περιμένοντί τε καὶ μάλα χρηστῶς τῶν πεπλανημένων τὴν ἐπιστροφὴν, τῶν εἰς ἁμαρτίαν ὠλισθηκότων, τὴν εἰς τὰ ἀμείνω μεταδρομήν. Καὶ γοῦν ὁ θεσπέσιος Παῦλος τοῖς ὀκνοῦσί τε καὶ ἀναδυομένοις ἔτι τὴν μετάγνωσιν ἐπετίμα, λέγων· « Εἰ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει; κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ Θεοῦ. »

Χρὴ δὴ οὖν ἄρα διαζῆν ἁγίως καὶ ὀρθοποδεῖν ἐν

[33] Malach. I, 13. [34] Malach. II, 9. [35] Deut. I, 16. [36] Rom. II, 4, 5.

Digitized by Google

Ἐκκλησίᾳ τοὺς ἀπολέκτους ἱερουργοὺς ἤτοι τοὺς κεκλημένους εἰς ἱερωσύνην. Ἔσονται γὰρ οὕτως εἰς ὑποτύπωσιν εὐκοσμίας καὶ ἁπάσης ἀρετῆς τοῖς ὑπὸ χεῖρα λαοῖς, οἳ καὶ τὸν τῶν ὅλων καταγεραίρουσι Θεὸν, τῆς τῶν ἱερέων πολιτείας τὸ λαμπρὸν καὶ ἐξαίρετον καταθεώμενοι κάλλος. Καὶ τοῦτο, οἶμαι, ἐστὶ τὸ διὰ τῆς τοῦ Σωτῆρος φωνῆς ὀρθῶς εἰρημένον· « Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. » Ὥσπερ γὰρ σκανδαλίζονται λαοὶ, ζῆν ἑλομένων ἐκτόπως τῶν ἱερέων· οὕτω πλείστην τε ὅσην καὶ λίαν ἀμφιλαφῆ κερδανοῦσι τὴν ὄνησιν, εἰ δή που θεάσαιντο πληροῦντας τὸ ἀγαθὸν, καὶ διαζῆν ἡγουμένους ὡς ἀνδάνει Θεῷ.

A in Ecclesia electis sacerdotibus sive ad sacerdotium vocatis. Sic enim subditis exemplo erunt et forma honestatis omnisque virtutis, qui et universorum Deo gratulantur, cum illustre et singulare decus eorum vitæ contemplantur. Et hoc est, ut puto, quod voce Salvatoris probe dictum legimus : « Sic luceat lux vestra coram hominibus, ut videant opera vestra bona et glorificent Patrem vestrum qui in cœlis est [37]. » Quemadmodum enim **849** scandalizatur populus, cum sacerdotes parum innocenter vivunt, ita emolumentum longe maximum et amplam utilitatem consequitur, si bonitatis officio fungentes videt, et existimantes ita vivendum ut Deo placet.

B

ΚΕΦΑΛ. Γ'.

Ἰδοὺ ἐγὼ ἀποστελῶ ἄγγελόν μου, καὶ ἐπιβλέψεται ὁδὸν πρὸ προσώπου μου. Καὶ ἐξαίφνης ἥξει εἰς τὸν ναὸν ἑαυτοῦ Κύριος, ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ Ἄγγελος τῆς διαθήκης, ὃν ὑμεῖς θέλετε.

CAP. III.

VERS. 1. *Ecce ego mitto angelum meum, et speculabitur viam ante faciem meam. Et statim veniet ad templum suum Dominus, quem vos quæritis, et Angelus testamenti, quem vos vultis.*

ΑΒ'. Εὐαφόρμως λίαν ἐπὶ τὸ τοῦ Χριστοῦ μυστήριον ὁ τῆς προκειμένης ἡμῖν προφητείας μεταπεφοίτηκε λόγος. Γέγονε γὰρ ἡμῖν παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Ἐμμανουὴλ « δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις, » ῥύπου παντὸς ἀποκάθαρσις, καὶ ἁμαρτιῶν ἀπόθεσις, καὶ τῶν αἰσχιόνων ἀποβολὴ, καὶ ὁδὸς εἰς τὰ ἀμείνω καὶ πρεπωδέστερα, καὶ θύρα τις ὥσπερ καὶ εἰσβολὴ πρὸς ζωὴν αἰώνιον, πᾶσά τε δι' αὐτοῦ γέγονεν ἐπανόρθωσις, καὶ πλεονεξίας ἀνατροπὴ, καὶ δικαιοσύνης εὕρεσις. Καὶ τί γὰρ οὐχὶ τῶν τεθαυμασμένων δι' αὐτοῦ πεπλουτήκαμεν; « Ἰδοὺ τοίνυν, φησὶ, ἀποστελῶ τὸν ἄγγελόν μου, καὶ ἐπιβλέψεται ὁδὸν πρὸ προσώπου μου. » Ἔοικε δὲ διὰ τούτων τὴν τοῦ ἁγίου Βαπτιστοῦ ποιεῖσθαι προαναφώνησιν. Ἔφη γάρ που καὶ αὐτὸς ὁ Χριστός· « Οὗτός ἐστι περὶ οὗ γέγραπται· « Ἰδοὺ ἐγὼ ἀποστελῶ τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. » Οὕτως ἡμῖν αὐτὸν καὶ ὁ θεσπέσιος Ἡσαΐας ἐστήμηνε, λέγων· « Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν. » Οὗ δὴ γεγονότος, φησὶ, καὶ πρὸς βραχὺ δεδραμηκότος τοῦ ἀγγέλλειν τὰ τοιάδε προστεταγμένου, « Ἐξαίφνης ἥξει, φησὶ, εἰς τὸν ναὸν αὐτοῦ Κύριος, ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ ἄγγελος τῆς διαθήκης, ὃν ὑμεῖς θέλετε. » Διισχυρίζεται δὲ καὶ ὁ μακάριος Ἰωάννης, λέγων τοῖς ἐρχομένοις ἐπὶ τὸ τῆς μετανοίας βάπτισμα· « Ἐγὼ βαπτίζω ὑμᾶς ἐν ὕδατι· ὀπίσω μου ἔρχεται ἀνὴρ, οὗ οὐκ εἰμὶ ἱκανὸς ἵνα κύψας λύσω τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ· ἐκεῖνος ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί. » Συνίης οὖν, ὅπως κατόπιν εὐθὺς καὶ μονονουχὶ κατὰ πόδας τοῦ προαγγέλλοντος ἐδάδιζεν ὁ Χριστὸς, ἑαυτὸν ἀφανῆ καθιστὰς τοῖς ἀνὰ πᾶσαν τὴν Ἰουδαίαν, καὶ οἷον ἐξαίφνης καὶ ἀδοκήτως ἐπιφαινόμενος. Ἄγγελόν

XXXII. Perapposite ad Christi mysterium verba ista prophetica transierunt. Factus est enim nobis a Deo et Patre Emmanuel justitia, et sanctificatio et redemptio [37*], et omnis immunditiæ emundatio, peccatorumque depositio, et inhonestorum abjectio, et ad meliora ac decentiora quædam via, et ad æternam vitam ceu janua et ingressus, et per ipsum correcta sunt omnia, et eversus diaboli dominatus, et inventa justitia. Quibus enim mirabilibus per ipsum locupletati non sumus? Ait ergo : « Ecce ego mittam angelum meum, et speculabitur viam ante faciem meam. » Quibus verbis sanctum Baptistam videtur prænuntiare. Nam et Christus ipse alicubi : « Hic est de quo scriptum est : Ecce ego mittam angelum meum ante faciem tuam, ut præparet viam tuam ante te [38]. » De eodem divinus Isaias : « Vox clamantis in deserto : Parate viam Domini, rectas facite semitas Dei nostri [39]. » Quo facto, inquit, et cum paululum cucurrerit qui ad ista nuntianda constitutus est : « Statim veniet ad templum suum Dominus, quem vos quæritis, et Angelus testamenti, quem vos vultis. » Confirmat idem et beatus Joannes, ad baptismum pœnitentiæ accipiendum confluentes sic compellans : « Ego baptizo vos in aqua, post me autem veniet vir, cujus non sum dignus ut procumbens solvam corrigiam ejus calceamenti : ille vos baptizabit in Spiritu sancto et igni [40]. » Perspicis igitur quomodo post statim et tantum non e vestigio Christus prænuntium secutus sit, se ipsum hactenus latentem sistens Judæis universis, **850** et quasi repentino ac de improviso apparens. Angelum autem nominatum sacrosanctum Baptistam dicimus, non propter naturam quidem, ex muliere enim natus homo proinde ut nos fuit, sed quoniam illi talia nobis prædicandi mun-

[37] Matth. v, 16. [37*] I Cor. I, 30. [38] Matth. xi, 10. [39] Isa. xl, 3. : Matth. iii, 3. [40] Matth. iii, 11.

Digitized by Google

tiandique munus est impositum. Ab officio igitur vocabulum inditur, nec naturam angelorum significat. Venturum porro ad templum suum dicit, aut quia Verbum caro factum est [45], et tanquam in templo quod e castissimo sanctæ Virginis corpore susceperat, habitavit: aut in homine perfecto, qui ex corpore, inquam, et anima immediate et divina providentia coagmentatus esse creditus est; aut templum simpliciter nominat Jerusalem, utpote sanctam et sibi dedicatam civitatem; aut Ecclesiam velut in typo suo. Cæterum adventum seu præsentiam suam compluribus mirandis operibus promulgavit, « Prædicans Evangelium regni, sanans omnes morbos et omnem languorem in populo, » ut scriptum est [46]. Veniet igitur Dominus, inquit, quem vos quæritis, ex pusillanimitate dicentes: « Ubi est Deus justitiæ? » Veniet autem ac docebit quæ supra legem et supra umbras ac typos sunt. Erit quippe Angelus testamenti, quod olim voce Dei et Patris prænuntiatum est. Quodam enim loco sacrorum doctorem Mosen sic alloquitur: « Prophetam illis suscitabo de fratribus ipsorum sicut te, et ponam verba mea in ore ejus, et loquetur eis secundum omnia quæ præcepero ei [47]. » Esse autem Christum Novi Testamenti Angelum, testatur et Isaias hunc in modum de illo loquens: « Quia omnem stolam congregatam dolo, et vestimentum cum commutatione restituent, et volent, si fuerint igne combusti, quia puer natus est nobis, et filius datus est nobis, cujus imperium factum est super humerum ejus, et vocatur nomen ejus Angelus magni consilii [48], » sine dubio Dei et Patris. Proinde etiam dicebat: « A meipso non loquor, sed qui misit me Pater, ipse mihi præcepit quid dicam et quid loquar [49]. » Non enim erat humanus sermo Salvatoris, sed tanquam a Deo et Patre per Filium naturalem ad nos fiebat. Verbum enim est ejus qui genuit ipsum; et fidem faciet per Davidem, « Eructavit cor meum verbum, bonum [50]. »

γε μὴν ὠνομᾶσθαί φαμεν τὸν θεσπέσιον Βαπτιστὴν οὐ διά γε τὴν φύσιν (γεγένηται γὰρ ἐκ γυναικὸς καὶ ἦν ἄνθρωπος καθ' ἡμᾶς), ἀλλ' ὅτι τὴν τοῦ τὰ τοιάδε διακηρύττειν καὶ ἀπαγγέλλειν ἡμῖν ἐγκεχείρισται λειτουργίαν. Οὐκοῦν ἀπὸ τοῦ πράγματος ἡ κλῆσις, καὶ οὐκ οὐσίας ἀγγέλων ἔσται σημαντική. Ἥξειν γε μὴν εἰς τὸν ναὸν αὐτοῦ φησι, ἢ ὅτι γέγονε σὰρξ ὁ Λόγος, καὶ κατῴκησε καθάπερ ἐν ναῷ τῷ ἐκ τῆς ἁγίας Παρθένου πανάγνῳ σώματι· ἦγουν ἀνθρώπῳ τελείῳ, τῷ ἐκ ψυχῆς, λέγω, καὶ σώματος ἀμέσως τε καὶ οἰκονομικῶς ἡνῶσθαι πεπιστευμένῳ· ἢ ναὸν ἁπλῶς ὀνομάζει τὴν οἷον ἱερὰν καὶ ἀνακειμένην αὐτῷ πόλιν, δῆλον δὲ ὅτι τὴν Ἱερουσαλήμ· ἦγουν ὡς ἐν τύπῳ τῷ πρὸς ἐκείνην τὴν Ἐκκλησίαν. Ἐποιεῖτο δὲ τῆς ἑαυτοῦ παρουσίας τὴν ἀνάῤῥησιν πολυτρόπως τερατουργῶν, « Κηρύσσων τὸ Εὐαγγέλιον τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ, » καθὰ γέγραπται. Ἥξει τοίνυν ὁ Κύριος, φησὶ, ὃν ὑμεῖς ζητεῖτε, λέγοντες ἐκ μικροψυχίας· « Ποῦ ἐστιν ὁ Θεὸς τῆς δικαιοσύνης; » Ἥξει δὲ διδάσκων τὰ ὑπὲρ νόμον καὶ τὰ ἐπέκεινα σκιᾶς καὶ τύπων. Ἔσται γὰρ διαθήκης ἄγγελος, τῆς πάλαι προηγγελμένης διὰ φωνῆς τοῦ Θεοῦ καὶ Πατρός Ἔφη γάρ που πρὸς τὸν ἱεροφάντην Μωσέα· « Προφήτην αὐτοῖς ἀναστήσω ἐκ τῶν ἀδελφῶν αὐτῶν ὥσπερ σέ; καὶ θήσω τοὺς λόγους μου εἰς τὸ στόμα αὐτοῦ, καὶ λαλήσει αὐτοῖς κατὰ πάντα ὅσα ἐντελοῦμαι αὐτῷ. » Ὅτι δὲ Καινῆς Διαθήκης ἄγγελος ἦν ὁ Χριστὸς, σαφηνιεῖ λέγων καὶ ὁ μακάριος Ἡσαΐας περὶ αὐτοῦ· « Ὅτι πᾶσαν στολὴν ἐπισυνηγμένην δόλῳ, καὶ ἱμάτιον μετὰ καταλλαγῆς ἀποτίσουσι, καὶ θελήσουσιν, εἰ ἐγενήθησαν πυρίκαυστοι. Ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς Ἄγγελος, » δῆλον δὲ ὅτι τῆς τοῦ Θεοῦ καὶ Πατρός. Τοιγάρτοι καὶ ἔφασκεν· « Ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, ἀλλ' ὁ πέμψας με Πατὴρ, αὐτός μοι ἐντολὴν δέδωκε τί εἴπω καὶ τί λαλήσω. » Οὐ γὰρ ἦν ἀνθρώπινος τοῦ Σωτῆρος ὁ λόγος· ἀλλ' ὡς ἐκ Θεοῦ καὶ Πατρὸς δι' Υἱοῦ τοῦ κατὰ φύσιν γέγονε πρὸς ἡμᾶς. Λόγος γάρ ἐστι τοῦ γεγεννηκότος αὐτὸν, καὶ πιστώσεται λέγων διὰ φωνῆς τοῦ Δαβίδ· « Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν. »

Vers. 2. *Ecce venit, dicit Dominus omnipotens, et quis sustinebit diem introitus ejus? Aut quis subsistet in visione ejus?*

Ἰδοὺ ἔρχεται, λέγει Κύριος παντοκράτωρ, καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; Ἢ τίς ὑποστήσεται ἐν τῇ ὁπτασίᾳ αὐτοῦ;

851 XXXIII. Huic simile et admodum affine est quod legitur apud Isaiam: « Confortamini, manus remissæ et genua dissoluta. Consolamini, pusillanimes mente, confortamini, ne timeatis [51]. » Et rursum alibi: « Ecce Deus noster cum dominatione [52]. » Nam ut plane ipsis adfuturum, imo jam præsentem ostendens, clarissimis verbis pronuntiat tempus adventus ejus in mundum hunc non diu dilatum iri. Virtutem autem œconomiæ ejus quibusdam non fore despicabilem, nec incredulis tolerabilem, docet ita: « Et quis sustinebit diem introitus ejus? Aut quis subsistet in visione ejus? » Introitum appellat Unigeniti in hunc mundum cum carne ingressum:

ΛΓ'. Ὅμοιον τούτῳ καὶ μάλα προσεοικὸς, τὸ διὰ φωνῆς Ἡσαΐας· « Ἰσχύσατε, χεῖρες ἀνειμέναι καὶ γόνατα παραλελυμένα. Παρακαλέσατε, οἱ ὀλιγόψυχοι τῇ διανοίᾳ, ἰσχύσατε, μὴ φοβεῖσθε. » Καὶ αὖθ' ἑτέρα· « Ἰδοὺ ὁ Θεὸς ἡμῶν μετὰ κυρίας. » Ὡς γὰρ αὐτὸν δὴ μαλα παρεσόμενον, μᾶλλον δὲ καὶ ἤδη παρόντα δεικνὺς, ἀποφαίνεται σαφῶς ὅτι καὶ ὁ τῆς ἐπιδημίας αὐτοῦ τῆς ἐν τῷδε τῷ κόσμῳ καιρὸς οὐκ εἰς ἀνάβλησιν ἔσται μακράν. Ὅτι δὲ τῆς οἰκονομίας ἡ δύναμις οὐκ εὐκαταφρόνητος ἔσται τισὶν, οὐδ' ἂν γένοιτο τοῖς ἀπειθοῦσιν οἱστὴ, διδάσκει λέγων· « Καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; ἢ τίς ὑποστήσεται ἐν τῇ ὁπτασίᾳ αὐτοῦ; » Καὶ εἴσοδον μὲν

[45] Joan. I, 14. [46] Matth. IV, 23. [47] Deut. XVIII, 18. [48] Isa. IX, 5, 6. [49] Joan. XII, 49. [50] Psal. XLIV, 2. [51] Isa. XXXV, 34. [52] Isa. XL, 10.

Digitized by Google

ὀνομάζει τὴν ἐν τῷδε τῷ κόσμῳ μετὰ σαρκὸς εἰσ- A
βολὴν τοῦ Μονογενοῦς· ὀπτασίαν δὲ, τὴν οἷον ἐμφά-
νειαν. Ἀόρατος γὰρ κατὰ φύσιν ὑπάρχων, ὡς Θεὸς,
γέγονεν ἐμφανὴς, τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ἀναλαβών.
Προανακέκραγε δὲ τοῦτο σαφῶς καὶ ὁ Μελῳδὸς, ἐν
πνεύματι λέγων· « Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς
ἡμῶν, καὶ οὐ παρασιωπήσεται. »—« Γέγονε γὰρ σὰρξ
ὁ Λόγος, καθά φησιν ὁ θεσπέσιος Ἰωάννης, καὶ ἐσκή-
νωσεν ἐν ἡμῖν, » καὶ ἐν δούλου γέγονε μορφῇ. Καὶ
τοῖς μὲν ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐνοῦ φορτικὸς
μὲν οὐδαμῶς· γέγονε δὲ μᾶλλον ἥπιός τε καὶ πρᾶος,
καὶ ζωῆς τῆς εἰς αἰῶνα δοτήρ. Ἔφη δέ που περὶ
αὐτοῦ καὶ ὁ Θεὸς καὶ Πατήρ· « Ἰδοὺ ὁ Παῖς μου ὁ
ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα. Οὐκ ἐρίσει, οὐδὲ κραυγά-
σει, οὐδὲ ἀκουσθήσεται ἔξω ἡ φωνὴ αὐτοῦ. Κάλαμον
συντεθλασμένον οὐ κατεάξει, καὶ λίνον τυφόμενον οὐ B
σβέσει· ἀλλ' εἰς ἀλήθειαν ἐξοίσει κρίσιν. » Πλὴν
τοῖς ἀτιμάζουσι τὴν δι' αὐτοῦ σωτηρίαν, καὶ τὴν διὰ
πίστεως καθαίρεσιν οὐ προσιεμένοις συνέβη παθεῖν
τὰ πάντα αἴσχιστα τῶν κακῶν. Διολώλασι γὰρ οἱ
τάλανες. Τοιγάρτοι καὶ ἔφασκε ταῖς Ἰουδαίων ἀγέ-
λαις· « Ἀμὴν λέγω ὑμῖν, ὅτι ἐὰν μὴ πιστεύσητε ὅτι
ἐγώ εἰμι, ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖσθε. »
Ἔφη δέ που καὶ ὁ Ἰωάννης· « Ὁ πιστεύων εἰς τὸν
Υἱὸν, οὐ κρίνεται· ὁ δὲ μὴ πιστεύων, ἤδη κέκριται,
ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ Υἱοῦ τοῦ Θεοῦ. »
Προσεφώνει δὲ καὶ αὐτοῖς τοῖς ἐξ Ἰσραὴλ· « Ἤδη
δὲ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται. Πᾶν
οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται
καὶ εἰς πῦρ βάλλεται. » Οὐκοῦν τοῖς μὲν ἀπειθοῦσιν
ἀφόρητος καὶ οὐ λίαν οἰστὸς τῆς τε εἰσόδου καὶ τῆς C
ὀπτασίας αὐτοῦ γέγονεν ὁ καιρός. Ἠλέγχοντο γὰρ,
ὡς αὐτοὶ τὰς σφῶν διολλύντες ψυχὰς, καὶ ταῖς
ἑαυτῶν ἁμαρτίαις ἐντεθνηξόμενοι, διά τοι τὸ μὴ
ἐλέσθαι φρονεῖν ὀρθῶς προσήκασθαί τε εἰς νοῦν καὶ
καρδίαν τὴν διὰ πίστεως κάθαρσιν. « Τίς τοίνυν
ὑπομενεῖ, φησὶν, ἡμέραν εἰσόδου αὐτοῦ; Ἢ τίς ὑπο-
στήσεται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ; » Τουτέστι, τίς δὴ
ἄρα τοσοῦτον ἔσται δεινός τε καὶ ἀπηνὴς, ὡς ἐν
καιρῷ καὶ ἡμέρᾳ τῆς εἰς κόσμον εἰσβολῆς αὐτοῦ
(δῆλον δὲ ὅτι τῆς μετὰ σαρκὸς, δι' ἧς ἂν γένοιτο καὶ
ἁπτὸς, ἤγουν ὁρατὸς) ὑποστῆναί τε καὶ ἀθραύστως ἔχειν; Κολασθήσεται οὖν πάντη τε καὶ πάντως, καὶ
πικρὰς τῆς ἀπονοίας ἀποτιεῖ δίκας.

Διότι αὐτὸς εἰσπορεύεται ὡς πῦρ χωνευτηρίου D
καὶ ὡς πόα πλυνόντων. Καθιεῖται χωνεύων καὶ
καθαρίζων, ὡς τὸ ἀργύριον καὶ ὡς τὸ χρυσίον,
καὶ καθαρίσει τοὺς υἱοὺς Λευΐ, καὶ χεεῖ αὐτοὺς
ὥσπερ τὸ χρυσίον καὶ τὸ ἀργύριον.

ΛΔ'. Πεποίηται μὲν ἐν τούτοις ὡς ἐξ ὁμοιότητος
τῶν καθ' ἡμᾶς πραγμάτων ὁ λόγος, ἀπόῤῥητον δὲ
μυστηρίου δήλωσιν εἰσκομίσειεν ἂν τοῖς νουνεχεστέ-
ροις. Ἀργύρου μὲν γὰρ καὶ χρυσίου ποιοῦνται δοκι-
μασίαν οἱ ταῦτα σοφοὶ, πυρὶ χατατήκοντες πᾶν ὅσον
ἂν αὐτοῖς ἐστι κίβδηλόν τε καὶ ἀκαλλέστερον. Πῦρ δὲ
τὸ θεῖον καὶ οὐρανόθεν, τουτέστι, ἡ διὰ τοῦ ἁγίου
Πνεύματος χάρις, καθ' ἣν ἂν γένοιτο καὶ ζῶντας

visionem autem velut apparitionem. Nam cum se- A
cundum naturam sit inaspectabilis, ut Deus, nostri
similitudine assumpta, aspectabilis evasit. Hoc item
perspicue Modulator ante proclamavit, in spiritu
dicens: « Deus manifeste veniet, Deus noster, et
non silebit [49]. » Nam, ut ait divinus Joannes, « Ver-
bum caro factum est, et habitavit in nobis [50], » et
factum est in forma servi [51]. Ac diligentibus quidem
manifestationem ejus minime onerosus; quinimo
clemens et mansuetus fuit, et vitam æternam illis
impertivit. De quo item Deus et Pater alicubi:
« Ecce Filius meus dilectus, in quo complacui. Non
contendet, neque clamabit, neque audietur foris
vox ejus. Arundinem quassatam non confringet, et
linum fumigans non exstinguet; sed in veritatem
educet judicium [52]. » At enim salutem per ipsum
adipiscendam aspernantibus, purgationemque per
fidem rejicientibus, omnium malorum fœdissima
perpeti contigit. Perierunt enim miseri. Quare
etiam Judæorum turbis dicebat: « Amen dico vo-
bis, nisi crediderilis quia ego sum, moriemini in
peccatis vestris [53]. » Et alicubi Joannes: « Qui credit
in Filium, non judicatur; qui autem non credit, jam
judicatus est, quia non credidit in nomine unigeniti
Filii Dei [54]. » Dixit Israelitis quoque: « Jam securis
ad radicem arborum posita est. Omnis enim arbor
quæ non facit fructum bonum, excidetur et in
ignem mittetur [55]. » Incredulis ergo tempus introitus
et visionis ejus intolerabile et parum ferendum
accidit. Reprehendebantur enim, utpote qui ipsi
suas animas perderent, et in peccatis suis morituri,
quia bene sapere, et in animum atque cor purgatio-
nem per fidem admittere detrectarent. **852** « Quis
igitur sustinebit, inquit, diem adventus ejus? Aut
quis sustinebit in visione ejus? » Hoc est, quis adeo
durus et immitis, ut tempore et die ejus in mundum
ingressus (cum carne videlicet, per quam et tangi
seu videri possit) subsistere infracto animo queat?
Punietur itaque omnimodis, et acerbas vecordiæ
suæ pœnas luet.

Vers. 3. *Quia ipse ingredietur quasi ignis conflatorii et quasi herba lavantium. Sedebit conflans et emundans, sicut argentum et sicut aurum: et emundabit filios Levi, et effundet eos sicut aurum et argentum.*

XXXIV. Ex similitudine rerum nostrarum sermo
habitur, et arcani cujusdam mysterii significatio-
nem complectitur, si quis dicta prudenter excutere
norit. Argentum enim et aurum probant seu exa-
minant rerum istarum periti artifices, igne colliqué-
facientes et consumentes quidquid in ipsis adulte-
rinum et sordidum est. Divinus autem et cœlestis
ignis, hoc est, gratia per Spiritum sanctum, qua

[49] Psal. xlix, 3. [50] Joan. i, 14. [51] Philipp. ii, 7. [52] Isa. xlii, 1-3; Matth. xii, 18. [53] Joan. viii, 24.
[54] Joan. iii, 18. [55] Matth. iii, 10.

Digitized by Google

possimus etiam viventes nos in spiritu consummari, si, Christo immittente, in mentem atque cor penetret, tunc, mirum, tunc omnem peccati scoriam ex præteritis lapsibus contractam deterit. Atque ita purgatos etiam probatissimos reddit, et tantum non spirituali quodam modo aliter ad novitatem vitæ fabricat, et vasa deinceps insignia et sanctificata et in honorem comparata et magnæ domui, hoc est Ecclesiæ, utilia efficit [86]. » Hinc scilicet divinum et sub intelligentiam cadentem ignem sanctus Joannes significavit, cum diceret : « Ego baptizo vos in aqua. Post me veniet vir, cujus non sum dignus ut procumbens solvam corrigiam calceamenti ejus. Ipse vos baptizabit in Spiritu sancto et igni [87]. » Meminimus et Christum dicere : « Ignem veni mittere in terram, et quid volo, nisi ut accendatur [88] ? » Itaque, quoniam Israelitæ Levitarum immunditiam sive iniquitatem non leve fundamentum ponebant, imo per illos universorum Deum irritare non desinebant, contumeliose loquentes et dicere non verentes : « Omnis qui facit malum, bonum coram illo, et in illis ipse sibi complacuit, et ubi est Deus justitiæ [89] ? » prædicit utiliter quodam tempore affulsurum Christum, qui peccatum omne nostrum e medio tollit, **853** et sacerdotes suos purissimos reddit, eosque ut aurum aut argentum in igne probat, sive probatos et illustres reddit [90]. Tales enim Ecclesiæ sacerdotes universi debent esse, quibus liceat jure optimo usurpare illud Davidicum : « Probasti nos, Deus; igne nos examinasti ut examinari solet argentum [91]. » Filiis quidem Aaron gestamen erat stola legibus præscripta [92]. Selectis autem in Christo et sacerdotio destinatis, indumentum splendidum, sacerdotale et sanctum, Christus ipse. Quamobrem et per lyram Psallentis Deus et Pater de Ecclesia ex gentibus aiebat : « Sacerdotes ejus induam salutem, et sancti ejus exsultatione exsultabunt [93]. » Sanctorum enim sacerdotum salus et indumentum admirabile Christus est; imo decens amictus omnium fidelium. « Quicunque enim, inquit, in Christo baptizati estis, Christum induistis [94]. »

ἡμᾶς ἀποτελεῖσθαι τῷ Πνεύματι, ὅταν εἰς νοῦν καθίκοιτο καὶ καρδίαν, ἐνιέντος Χριστοῦ, τότε δή, τότε πάντα μὲν τὸν ἐξ ἁμαρτίας διασμήχει ῥύπον, καὶ τὸν ἐκ τῶν ἤδη προεπταισμένων δαπανᾷ μολυσμόν. Κεκαθαρμένους τε οὕτω καὶ δοκιμωτάτους τοὺς ἔχοντας ἀποτελεῖ, καὶ μονονουχὶ μεταχαλκεύει νοητῶς πρὸς καινοτάτην ζωὴν, καὶ σκεύη λοιπὸν ἀποφαίνει λαμπρὰ καὶ ἡγιασμένα καὶ εἰς τιμὴν κατεσκευασμένα οἰκίᾳ τε τῇ μεγάλῃ χρήσιμα, τουτέστιν τῇ Ἐκκλησίᾳ. Τοῦτο δὴ τὸ θεῖόν τε καὶ νοητὸν κατεσήμανε πῦρ ὁ θεσπέσιος Ἰωάννης, λέγων· « Ἐγὼ βαπτίζω ὑμᾶς ἐν ὕδατι. Ὀπίσω μου ἔρχεται ἀνὴρ, οὗ οὐκ εἰμὶ ἱκανὸς ἵνα κύψας λύσω τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ. Αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί. » Μεμνήμεθα δὲ καὶ αὐτοῦ λέγοντος τοῦ Χριστοῦ· « Πῦρ ἦλθον βάλλειν ἐπὶ τὴν γῆν, καὶ τί θέλω, εἰ ἤδη ἀνήφθη; » Οὐκοῦν, ἐπείπερ οἱ ἐξ αἵματος τοῦ ἐξ Ἰσραὴλ τῆς τῶν Λευϊτῶν ἀκαθαρσίας, ἧγουν ἀδικίας, οὐ μετρίαν ἐποιοῦντο τὴν καταβολὴν, μᾶλλον δὲ δι' ἐκείνους παροτρύνοντες διετέλουν τὸν τῶν ὅλων Θεὸν, παλίμφημά τε λαλοῦντές τινα καὶ ἀποτολμῶντες λέγειν· « Πᾶς ποιῶν πονηρὸν, καλὸν ἐνώπιον αὐτοῦ, καὶ ἐν αὐτοῖς αὐτὸς ἠὐδόκησε, καὶ ποῦ ἐστιν ὁ Θεὸς τῆς δικαιοσύνης; » προαγορεύει χρησίμως ὅτι κατὰ καιροὺς ἐπιλάμψει Χριστὸς, ὁ πᾶσαν ἡμῶν τὴν ἁμαρτίαν ἐκ μέσου τιθεὶς, καὶ πανάγνους ἀποτελῶν τοὺς ἰδίους ἱερουργοὺς, καὶ οἷον χρυσὸν ἢ ἄργυρον ἐν πυρὶ δοκιμάζων αὐτοὺς, ἤτοι δοκίμους ἀποτελῶν καὶ λελαμπρυσμένους. Τοιοῦτοι γὰρ ὡς ἐπίπαν τῆς Ἐκκλησίας οἱ λειτουργοὶ, οἷς ἂν ἁρμόσειε, καὶ μάλα εἰκότως, ἐκεῖνο εἰπεῖν τὸ διὰ φωνῆς τοῦ Δαβὶδ, ὅτι « Ἐδοκίμασας ἡμᾶς, ὁ Θεὸς, ἐπύρωσας ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον. » Φόρημα μὲν γὰρ τοῖς ἐξ Ἀαρὼν ἡ κατὰ νόμον στολή. Τοῖς γε μὴν ἀπολέκτοις ἐν Χριστῷ καὶ τεταγμένοις εἰς ἱερουργίαν ἄμφιόν ἐστι λαμπρὸν, ἱεροπρεπές τε καὶ ἅγιον, αὐτὸς ὁ Χριστός. Τοιγάρτοι καὶ ἔφασκε διὰ τῆς τοῦ ψάλλοντος λύρας ὁ Θεὸς καὶ Πατὴρ περὶ τῆς ἐξ ἐθνῶν Ἐκκλησίας· « Τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν, καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται. » Σωτηρία γὰρ αὐτὸς ὁ Χριστὸς τῶν ἁγίων ἱερουργῶν, ἄμφιον τὸ ἀξιάγαστον, μᾶλλον δὲ καὶ πρέπον τῶν πεπιστευκότων. « Ὅσοι γάρ, φησὶν, εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. »

A

B

C

D

VERS. 4. *Et erunt Domino offerentes sacrificium in justitia. Et placebit Domino sacrificium Juda, et Jerusalem sicut dies sæculi et sicut anni priores.*

Καὶ ἔσονται τῷ Κυρίῳ προσάγοντες θυσίαν ἐν δικαιοσύνῃ. Καὶ ἁρέσει τῷ Κυρίῳ θυσία Ἰούδα, καὶ Ἱερουσαλὴμ καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος καὶ καθὼς τὰ ἔτη τὰ ἔμπροσθεν.

XXXV. Consecrabuntur, inquit, Deo : hoc enim puto sibi velle, « Erunt Deo offerentes. » Consecrabimur Deo, si amplius nobis non vivamus, et modis omnibus charitatem erga illum excolamus, totisque viribus probe præstare cupiamus quæ ille vult. Tale quid etiam divinus Paulus de omnium nostrum Salvatore Christo : « Unus enim pro omnibus mortuus est, ut et qui vivunt jam non sibi vivant, sed ei qui pro ipsis mortuus est et resurrexit [95]. » Suæ

ΛΕ'. Ἀνακείσονται, φησὶ, τῷ Θεῷ· τοῦτο γὰρ οἶμαι τὸ, « Ἔσονται τῷ Κυρίῳ προσάγοντες. » Ἀνακεισόμεθα δὲ τῷ Θεῷ, ζῶντες μὲν ἑαυτοῖς οὐκέτι, προσκείμενοι δὲ ὁλοτρόπως καὶ τῇ εἰς αὐτὸν ἀγάπῃ, καὶ παντὶ δὴ σθένει κατορθοῦν ἠρημένοι τὰ τοῖς θείοις αὐτοῦ δοκοῦντα νεύμασιν. Ἔφη τι τοιοῦτον καὶ ὁ θεσπέσιος Παῦλος περὶ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· « Εἷς γὰρ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ

[86] Rom. IX, 21, 22. [87] Matth. III, 11. [88] Luc. XII, 49. [89] Malach. II, 17. [90] Zachar. XIII, 9. [91] Psal. LXV, 10. [92] Levit. XVI, 32. [93] Psal. CXXXI, 16. [94] Galat. III, 27. [95] II Cor. V, 15.

Digitized by Google

αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι. » Καταγράφων δὲ ἡμῖν ὥσπερ τῆς ἑαυτοῦ πολιτείας τὸ κάλλος, καὶ τοῦ κατὰ Χριστὸν μυστηρίου τὴν δύναμιν ἐμφανῆ καθιστάς, ἔφη πάλιν· « Χριστῷ συνεσταύρωμαι. Ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. Ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ τῇ τοῦ Υἱοῦ Θεοῦ, τοῦ ἀγαπήσαντός με καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ. Οὐκ ἀθετῶ τὴν χάριν τοῦ Θεοῦ. »—« Ἔσονται δὴ οὖν, φησὶ, προσάγοντες τῷ Κυρίῳ, » τουτέστι, τοῖς αὐτοῦ θελήμασι ἀνακείσονται, οὐ τὰ ἐπίγεια φρονοῦντες, οὐ τοὺς ἐκ τῆς ἀδικίας ἀγαπῶντες μολυσμοὺς, οὐ πλεονεξίαν τὴν κατά τινων τιμᾶν ᾑρημένοι, προσάγοντες δὲ μᾶλλον θυσίας δικαιοσύνης. Καί μοι δοκεῖ σοφῶς δὴ λίαν ὁ Παῦλος εἰπεῖν· « Μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται. » Προσίεμεν γὰρ οἱ ἐν Χριστῷ κεκλημένοι ἱερουργίας, δι' αἱμάτων μὲν οὐκέτι καὶ καπνῶν, οὔτε μὴν ἀμνοὺς ἢ ἐρίφους προσκομίζομεν τῷ Θεῷ, πληροῦμεν δὲ μᾶλλον ἐν Ἐκκλησίᾳ τὴν ἐν Χριστῷ νοουμένην θυσίαν, τὴν ἁγίαν καὶ πνευματικὴν, καὶ αὐτὸν προθέντες εἰς ἁγιασμὸν καὶ μέντοι καὶ εἰς μετάληψιν τῆς εἰ; αἰῶνα ζωῆς, καθάπερ ἐξαίρετόν τι θυμίαμα τὰς ἐξ ἔργων ἀγαθῶν προσκομίζομεν εὐωδίας. Καὶ θύοντες αὐτῷ τὴν δικαιοσύνην, ὅτι καὶ ἐσόμεθα δεκτοὶ τεθαρσήκαμεν. Γέγραπται γὰρ, ὅτι « Τίμα τὸν Κύριον ἀπὸ σῶν δικαίων πόνων, καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιοσύνης. » Εὐαρεστεῖται γὰρ οὐχ ἑτέραις, οἶμαι, θυσίαις πλὴν ὅτι τοιαύταις ὁ τῶν ὅλων Θεός. Ἔφη τοίνυν περὶ τῶν ἐν Χριστῷ κεκλημένων εἰς ἱερουργίαν, ὡς ἀμείνους ἔσονται τῶν πρώτων, οὐ μηλοσφαγοῦντες κατ' ἐκείνους, οὔτε μὴν βεβηλοῦντες τὸ θυσιαστήριον διὰ τὸ προσάγειν ἄρτους ἠλισγημένους· ἀλλ' ὡς ἐν τάξει θυμιαμάτων προσκομίζοντες τῷ Θεῷ τὴν δικαιοσύνην καὶ τῆς εὐαγγελικῆς πολιτείας τὴν νοητὴν εὐκοσμίαν. Εὐπαράδεκτον δὲ οὕτως ἐπιτελέσουσι τὴν λατρείαν, ὡς κατὰ μηδένα τρόπον ἀπωθεῖν αὐτὴν τῶν πρεπουσῶν θυσιῶν ταῖς ἡμέραις τοῦ αἰῶνος, τουτέστιν, τῇ ζωῇ τῶν ἐν οὐρανοῖς ἁγίων πνευμάτων, οἳ διηνεκεῖς καὶ μακρὰς τρίβουσι ἡμέρας, ἤτοι χρόνους. Περισσοῦσθαι δὲ καὶ τοὺς χρόνους τοὺς ἔμπροσθεν, τουτέστι, τὰς τῶν ἁγίων λατρείας, αἳ κατὰ χρόνους γεγόνασι τοὺς ἔμπροσθεν. Γέγονε γὰρ ἐν ὑπακοῇ τοῖς ἀρχαιοτέροις εὐδοκίμησις. Οὕτως Ἀβραὰμ προσεκόμιζε τὸν υἱὸν τῷ Θεῷ, « Καὶ ἐλογίσθη αὐτῷ ἡ πίστις εἰς δικαιοσύνην, » καὶ φίλος ἐκλήθη Θεοῦ. Οὕτω καὶ Νῶε κατεσκεύασε τὴν κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ, καθὼς γέγραπται. « Οὐκοῦν ἀρέσει, φησὶν, ἡ θυσία τοῦ Ἰούδα, » τουτέστι, τοῦ λαοῦ τὴν ἐν καρδίᾳ καὶ ἐν πνεύματι περιτομὴν περιφέροντος, καὶ μέντοι τῆς Ἱερουσαλὴμ τῆς νοητῆς, τουτέστι τῆς Ἐκκλησίας· καθὼς καὶ ἡ τῶν ἐχόντων τὰς ἡμέρας τοῦ αἰῶνος, καὶ ἡ τῶν κατὰ τοὺς ἔμπροσθεν χρόνους γεγονότων ἁγίων, οἳ γεγόνασι εὐάρεστοι δι' ὑπακοῆς καὶ πίστεως. Ἀπαριθμεῖται δὲ καὶ τούτους ὁ θεσπέσιος Παῦλος ἐν τῇ πρὸς Ἑβραίους Ἐπιστολῇ, πίστει λέγων δικαιοῦσθαι πολλούς

A autem conversationis bonitatem, et vim ac virtutem mysterii Christi quodammodo nobis describens, rursum inquit : « Christo confixus sum cruci. Vivo autem jam non ego, vivit vero in me Christus. Quod autem nunc vivo in carne, in fide vivo Filii Dei, qui dilexit me et tradidit semetipsum pro me. Non abjicio gratiam Dei [66]. » Ait igitur, « Erunt Deo offerentes, » hoc est ejus voluntati consecrabuntur. Non terrena sapientes [67]; non ex iniquitate inquinamenta diligentes, non quibusdam præcellere affectantes, sed sacrificia potius justitiæ offerentes. Ac mihi quidem sapientissime Paulus dixisse videtur : « Translato enim sacerdotio, necessario et legis translatio fit [68]. » Nam qui in Christo vocati sumus, quamvis sacrificium per sanguinem et fumum non
B admittamus, **854** nec agnos aut hircos offeramus, tamen in Ecclesia sacrificio, quod in Christo intelligitur, sancto et spirituali fungimur, et ipsum nobis ad sanctificationem et ad participationem vitæ æternæ proponentes, velut præstans quoddam thymiama bonorum operum fragrantias offerimus. Et justitiam ei sacrificantes, nos acceptos fore confidimus. Scriptum est enim : « Honora Dominum de tuis justis laboribus, et primitias da ei de tuis fructibus justitiæ [69]. » In nullis enim, opinor, aliis quam in istis sacrificiis universorum Deus acquiescit. Quare de his qui in Christo ad sacerdotium vocati sunt, meliores fore ait prioribus ; non oves mactantes ut illi, nec altare contaminantes oblatione panum
C pollutorum ; sed ut pro thymiamatis sive incensi Deo justitiam et evangelicæ conversationis, quæ intelligi magis quam oculis cerni potest, moderationem offerentes. Qua quidem ratione cultum acceptabilem efficient, ut nullo modo distet a sacrificiis quæ decent dies sæculi, hoc est, a vita cœlestium sanctorumque spirituum, qui perpetuos et longos dies sive tempora degunt. Reditura item tempora quæ fuerint ante illos, hoc est, cultus ac religionem a sanctis olim Deo exhibitam. Priscorum enim gloria et celebritas fuit in obedientia. Sic Abraham obtulit filium Deo, « Et reputata est ei fides ad justitiam [70], » et amicus Dei appellatus est. Sic et Noe arcam fabricavit ad salutem domus suæ, ut Litteris proditum est [71]. « Itaque placebit, inquit,
D sacrificium Juda, hoc est, populi in corde et spiritu circumcisionem circumferentis [72]; quin et Jerusalem, quam mens intuetur, id est Ecclesiæ : sicut et sacrificium possidentium dies sæculi, et sanctorum qui superioribus ætatibus in vita fuerunt, qui per obedientiam et fidem Deo placuerunt. Enumerat eos quoque divinus Paulus in Epistola ad Hebræos, fide multos justificatos esse testificans [73].

Καὶ προσάξω πρὸς ὑμᾶς ἐν κρίσει, καὶ ἔσομαι VERS. 5. *Et accedam ad vos in judicio, et ero*

[66] Galat. II, 19,21. [67] Philipp. III, 19. [68] Hebr. VII, 12. [69] Prov. III, 9. [70] Gen. XV, 6 ; Galat. III, 6. [71] Gen. 6, 1 seqq. [72] Rom. II, 29. [73] Hebr. XI, 1, 40.

Digitized by Google

testis velox super veneficis, et super adulteras, et super eos qui jurant in nomine meo in mendacio, et super eos qui privant mercede mercenarium, et qui opprimunt per potentias viduam, et qui pugno percutiunt pupillos, et qui pervertunt judicium advenæ, **855** *et qui non timent me, dicit Dominus omnipotens.*

XXXVI. Et hæc convenienter scopo rerum dicuntur. Sic enim loquebantur ignorantes Israelitæ : « Omnis qui facit malum, bonum est coram ipso, et in ipsis ipse complacuit sibi. Et ubi est Deus justitiæ [74] ? » Quæ occasio hujus verbi tam protervi fuerit, jam explicavimus : nihilominus denuo explicabimus. Cum sacerdotes quidam et qui claritudine honorum fastigiis supra alios eminebant, licentius ad omne genus perversitatis et audaciæ sese darent, et videretur Deus plus æquo erga illos patiens (est enim bonus, clemens, et lenis, et benignus), ideo quidam summæ desperationis verba effutiebant. Cæterum aliquando sacerdotes fore integriores, transmutante eos Christo in novitatem vitæ, et ad disciplinam honestam et ad mores vitamque laudabilem transferente, dilucide commemorat. Asseclas autem nequitiæ tunc non recepturum, nec laudibus dignaturum, aut eorum rationem habiturum : quin judicaturum potius, et vitæ perperam actæ pœnas exacturum, declarat cum dicit : « Et accedam ad vos in judicio, » hoc est, judex accedam, « Et ero testis velox, » sponte mea et a nemine advocatus. Improbos enim ad supplicia sententia mea condemnabo. Et judicium super ipsis proferam, non alio quopiam eorum vitia detegente : sed sciens illa, ut Deus, manifesta et occulta, et hinc cuilibet scelerum suorum testis. Paulus quoque scribit aliquando manifestatum iri ante tribunal judicis mortales per orbem universos [75], invicem « cogitationibus accusantibus, aut etiam defendentibus, in die qua judicabit Deus occulta hominum, secundum Evangelium, per Jesum Christum [76]. » Perpende quomodo quique occulte, quique manifeste peccaverint, in judicium adductum iri testatur. Primum quidem veneficas et adulteras nominat. Deinde jurantes in mendacio seu perjuros. Ista occulta sunt et clam perpetrata. Quis enim tandem palam veneficia exerceat? aut quomodo adulterium committens aspici ab aliquo sustineat? Existimo autem etiam pejerantes conari latere. Tales ut stultos reprehendit beatus David : « Intelligite, insipientes in populo, et stulti, aliquando sapite. **856** Qui plantavit aurem, non audit? aut qui finxit oculum, non considerat [77] ? » Nihil est enim omnino quod Deus non videat, et solus occulta et aperta peccata videt : sed illa quidem clandestine et quasi in tenebris designata. Adjungit deinde illis manifesta quoque, privare, inquam, operarium mercede; avaritiam et tyrannidem, quam quidem adversus imbecilliores, viduas puta et orphanos,

μάρτυς ταχὺς ἐπὶ τὰς φαρμακοὺς, καὶ ἐπὶ τὰς μοιχαλίδας, καὶ ἐπὶ τοὺς ὀμνύοντας τῷ ὀνόματί μου ἐπὶ ψεύδει, καὶ ἐπὶ τοὺς ἀποστεροῦντας μισθὸν μισθωτοῦ, καὶ τοὺς καταδυναστεύοντας χήραν, καὶ τοὺς κονδυλίζοντας ὀρφανοὺς, καὶ τοὺς ἐκκλίνοντας κρίσιν προσηλύτου, καὶ τοὺς μὴ φοβουμένους με, λέγει Κύριος παντοκράτωρ.

ΛϚ'. Κατὰ σκοπὸν τῶν πραγμάτων πρόεισι δὴ πάλιν καὶ ἐν τούτοις ἡμῖν ὁ λόγος. Ἔφασκον μὲν γὰρ ἀμαθαίνοντες οἱ ἐξ Ἰσραὴλ· « Πᾶς ποιῶν πονηρὸν, καὶ καλὸν ἐνώπιον αὐτοῦ, καὶ ἐν αὐτοῖς αὐτὸς ἠὐδόκησε. Καὶ ποῦ ἔστιν ὁ Θεὸς τῆς δικαιοσύνης; » Καὶ τίς ἡ πρόφασις τῆς οὕτω δεινῆς ἀθυροστομίας, εἴρηται μὲν ἤδη· πλὴν εἰρήσεται πάλιν. Ἐπειδὴ γὰρ ἀφυλάκτως τινὲς τῶν ἱερουργῶν, καὶ μέντοι τῶν ἄλλων, οἳ διαφανέστεροί τε ἦσαν καὶ ταῖς ἀνωτάταις τιμαῖς ἐμπρέποντες, ἐπὶ πάντα τρόπον σκαιότητος καὶ ἐγχειρημάτων ἦσαν, ἐφαίνετο δὲ πέρα μέτρου Θεὸς ἀνεξικακήσας αὐτοῖς (ἔστι γὰρ ἀγαθὸς, χρηστὸς, καὶ ἐπιεικὴς, καὶ φιλάνθρωπος), ταύτῃ τοι τινὲς τοὺς ἐξ ἀκράτου μικροψυχίας ἠρεύγοντο λόγους. Ἀλλ' ὅτι μὲν ἔσται κατὰ καιροὺς μεταφοίτησις εἰς τὸ ἄμεινον τῶν τεταγμένων εἰς ἱερουργίαν, μεταπλάττοντος αὐτοὺς εἰς καινότητα ζωῆς τοῦ Χριστοῦ, καὶ μετατιθέντος εἰς εὐκοσμίαν καὶ εἰς εὐκλεᾶ πολιτείαν καὶ ζωὴν, διαμεμήνυκεν ἐναργῶς. Ὅτι δὲ τοὺς τῆς φαυλότητος ἐπιτηδευτὰς οὐκ ἂν ἀποδέξοιτο τότε, οὐδ' ἂν ἀξιώσειεν ἐπαίνων τε καὶ λόγου, κρινεῖ δὲ μᾶλλον αὐτοὺς, καὶ τῶν ἐκτόπως βεβιωμένων ἐξαιτήσει δίκας, διατρανοῖ λέγων· « Καὶ προσάξω πρὸς ὑμᾶς ἐν κρίσει, » τουτέστιν, ὡς κριτὴς προσενεχθήσομαι, « καὶ ἔσομαι μάρτυς ταχὺς, » αὐτόμολος δηλονότι καὶ ὑπ' οὐδενὸς κεκλημένος. Καταψηφιοῦμαι γὰρ τῶν πονηρῶν τὴν δίκην. Καὶ τὸ μὲν ἐπ' αὐτοῖς ἐξοίσω τὸ κρῖμα, οὐχ ἑτέρου τινὸς τὰ ἐν αὐτοῖς ἐγκαλύπτοντος, ἀλλ' εἰδὼς, ὡς Θεὸς, ἐμφανῆ τε καὶ κεκρυμμένα, καὶ διὰ τοῦ συνειδότος καταμαρτυρῶν ἑκάστου τῶν ἡμαρτηκότων. Ἔφη δέ που καὶ ὁ θεσπέσιος Παῦλος, παραστήσεσθαι κατὰ καιροὺς τῷ κριτῇ τοὺς ἀνὰ πᾶσαν τὴν γῆν, μεταξὺ ἀλλήλων « τῶν λογισμῶν κατηγορούντων, ἢ καὶ ἀπολογουμένων ἐν ἡμέρᾳ ᾗ κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων, κατὰ τὸ Εὐαγγέλιόν μου, διὰ Ἰησοῦ Χριστοῦ. » Ἄθρει δὲ ὅπως τούς τε τὰ κρυπτὰ καὶ ἐμφανῆ πεπλημμεληκότας παρενεχθήσεσθαί φησιν εἰς κρίσιν. Πρώτας μὲν γὰρ ὀνομάζει φαρμακοὺς καὶ μοιχαλίδας, εἶτα τοὺς ὀμνύοντας ἐπὶ ψεύδει. Κεκρυμμένα δὲ ταῦτα καὶ λελῃθότως δρώμενα. Τίς γὰρ ἂν ὅλως γοητεύσειεν ἐμφανῶς; ἢ πῶς ἂν ἔλοιτο μοιχαλὶς ὁρᾶσθαι πρός τινος; Ἐν σπουδῇ δὲ, οἶμαι, τὸ λαθεῖν καὶ τοῖς ψευδορκεῖν ἠρημένοις. Ἀσυνετοῦντας δὲ τοὺς τοιούτους ἀπελέγχει λέγων ὁ μακάριος Δαβίδ· « Σύνετε δὴ, ἄφρονες ἐν τῷ λαῷ, καὶ μωροὶ, ποτὲ φρονήσατε. Ὁ φυτεύσας τὸ οὖς, οὐχὶ ἀκούει; ἢ ὁ πλάσας ὀφθαλμὸν, οὐχὶ κατανοεῖ; » Ἄποπτον γὰρ τῷ Θεῷ παντελῶς οὐδὲν, οἷδε δὲ μόνος τὰ κεκρυμμένα καὶ τὰ ἐμφανῆ τῶν κακῶν· ἀλλ' ἐκεῖνα μὲν τὰ λελῃθότως

[74] Malach. II, 17. [75] II Cor. V, 10. [76] Rom. II, 13, 16. [77] Psal. XCIII, 8, 9.

Digitized by Google

καὶ ὡς ἐν σκότει δρώμενα. Προσεπάγει γε μὴν αὐτοῖς καὶ τὰ ἐμφανῆ, τὸ ἀποστερῆσαι, φησὶ, μισθὸν μισθωτοῦ, πλεονεξίαν τε καὶ καταδυναστείαν, ἣν ἂν ποιοῖντό τινες κατὰ τῶν ἀσθενεστέρων, χηρῶν δὴ, λέγω, καὶ ὀρφανῶν. Προστίθησι δὲ τούτοις καὶ τοὺς διαστρέφοντας τὰ ὀρθὰ τῶν κριμάτων, καὶ τοὺς μὴ φοβουμένους αὐτόν. Οὗτοι δ' ἂν εἶεν καὶ οἱ καθ' ἕτερόν τινα τρόπον παρά γε τοὺς ἀρτίως ἡμῖν εἰρημένους λυποῦντες Θεόν. Ἔσομαι τοίνυν, φησὶ, κριτὴς, καὶ μάρτυς ταχὺς, καὶ αὐτόμολος ἐπὶ φαρμακοὺς καὶ μοιχαλίδας, καὶ τοὺς τῶν ἑτέρων κακῶν ἐπιτηδευτάς. Εἰκὸς δὲ δὴ τοιάδε κατ' ἐκεῖνο καιροῦ τολμᾶσθαι παρά τισι, καὶ ἐπ' αὐτοῖς γενέσθαι κατὰ Θεοῦ τὴν τῶν πολλῶν γλωσσαλγίαν.

A adhiberent. His addit etiam pervertentes recta judicia, et non timentes eum. Tales erunt qui etiam alio modo quam nunc ostendimus Deum violant. Ait ergo : Ero judex, et testis velox, et voluntarius super veneficas et libidinosas, peccatorumque aliorum studiosos. Probabile est sane hujusmodi flagitia quosdam illa ætate ausos suscipere, et propter ipsos multos Deo maledixisse.

Δεῖ δὴ οὖν ἄρα παντὶ σθένει παραιτεῖσθαι τὰ πονηρὰ, καὶ τοῖς ἀμείνοσιν ἐπιτρέχειν, καὶ ἀποπεραίνειν ἐπείγεσθαι τὰ δι' ὧν ἂν γένοιτό τις ἐπαίνου παντὸς καὶ ἐπιεικείας ἔμπλεως. Ἀμοιρήσει γὰρ οὕτω καὶ τῶν ἐκ θείας ὀργῆς ἐποισθησομένων τοῖς εἰωθόσι πλημμελεῖν. Ἔσται δὲ ἔσω καὶ γερῶν καὶ δόξης, ὧν ἂν ἐπιδοίη Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.

Quocirca opus est omni contentione refugere a pravis operibus, et ad proba festinare, et eniti ea præstare per quæ quis omni et bonitate et laude cumuletur. Sic enim evadet supplicia quæ a Deo irato peccatoribus infliguntur. Capiet autem gloriam et præmia quibus Deus se diligentes muneratur.

B

Διότι ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, καὶ οὐκ ἀλλοιοῦμαι. Καὶ ὑμεῖς, οἱ υἱοὶ Ἰακὼβ, οὐκ ἀπέχεσθε ἀπὸ τῶν ἀδικιῶν τῶν πατέρων ὑμῶν. Ἐξεκλίνατε νόμιμά μου, καὶ οὐκ ἐφυλάξασθε.

Vers. 6. *Quoniam ego Dominus Deus vester, et non mutor. Et vos, filii Jacob, non abstinebatis ab iniquitatibus patrum vestrorum. Declinastis a legitimis meis, et non custodistis.*

ΛΖ'. Ἐξίστησι πάλιν αὐτοὺς ἀνοσίων ἐννοιῶν καὶ προσέτι ῥημάτων. Τὸ γὰρ οἴεσθαί πως ἢ μετατετράφθαι τὸν τῶν ὅλων Θεὸν ἀπό γε τοῦ θέλειν τὰ ἀγαθὰ πρὸς τὸ ἐναντίον, καὶ ἀγαπᾷν μὲν οὐκέτι τὴν δικαιοσύνην, ἀποδέχεσθαι δὲ τοὺς τῆς φαυλότητος ἐραστὰς, πῶς οὐκ ἀμαθὲς, μᾶλλον δὲ ἀπηχὲς καὶ ἀνόσιον παντελῶς καὶ τῆς ἀνωτάτω δυσσεβείας μεμεστωμένον; Ὅταν τοίνυν ὑπὸ κρίσιν ἴδητε καλουμένους, φησὶ, τάς τε παρ' ὑμῖν φαρμακοὺς, ἤγουν ἐπῳδοὺς (γύναια δὲ πάντως ψιθυρά τε καὶ βωμολόχα ταυτὶ), καὶ τοὺς τῶν ἑτέρων κακῶν ἐπιτηδευτὰς, τότε, φησὶν, ἐπιγνώσεσθε διὰ πραγμάτων αὐτῶν ὅτι ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, ὁ πάλαι τε καὶ νῦν ἀγαθός τε ὁμοῦ καὶ φιλάρετος. Οὐ γὰρ οἶδα τροπὴν ἢ ἀλλοίωσιν. Ἀλλ' ἐγὼ μὲν εἰμὶ διαπαντὸς καὶ ἀμεταστάτως τοῦθ' ὅπερ εἰμί· ὑμεῖς δὲ, φησὶ, καίτοι γεγονότες ἐξ Ἰακὼβ, ἀνδρὸς φιλοθέου καὶ ἀγαθοῦ, καὶ μεμισηκότος ἀεὶ τὸ ἐξήνιον, καὶ Θεῷ δουλεύοντος, οὐ τῶν ἐκείνου τρόπων γεγόνατε ζηλωταί· μιμεῖσθε δὲ μᾶλλον τῶν καθ' ὑμᾶς πατέρων τὸ ἀπειθὲς καὶ δυσάγωγον. Οἳ καὶ ταύτης ἕνεκα τῆς αἰτίας ἀπῴχοντο μὲν αἰχμάλωτοι, τὴν ἐνεγκοῦσαν ἀφέντες, δεδουλεύκασι δὲ τοῖς ῥηκόσιν ἐχθροῖς. Ἐξεκλίνατε δὲ καὶ ὑμεῖς « ἐκ τῶν ἐμῶν νομίμων, καὶ οὐκ ἐφυλάξασθε. » Οὐκοῦν ὁ μὲν Θεὸς ἄτρεπτος ἀεὶ, καὶ οἱονεὶ πεπηγὼς εἰς τὸ ἀγαθὸν, καὶ ἀκράδαντος εἰς δικαιοσύνην· οἱ δὲ γεγόνασι, μονονουχὶ τὸ ἄτρεπτον ἐν καρδίᾳ τετηρηκότες, καὶ τῆς τῶν πατέρων ἀνοσιότητος ἄριστοι μιμηταί.

XXXVII. Denuo ipsos ab impiis cogitationibus et verbis detorquet. Nam existimare esse immutatum universorum Deum a voluntate boni in contrarium, nec de cætero diligere justitiam, favereque consectatoribus improbitatis, quemodo non imperitiæ, imo absurditati, et summo sceleri, et extremæ impietati ascribendum est? Quando igitur, inquit, ad judicium vocari videritis veneficas, seu incantatrices vestras (sunt autem mulierculæ istæ garrulæ et assentatrices), et aliis flagitiis affixos, tunc rebus ipsis cognoscetis quia ego sum Dominus Deus vester, et olim et nunc bonus simul et bonorum ac virtutis amans. Nescio enim mutationem aut vicissitudinem. Ego enim semper et citra mutabilitatem sum quod sum : vos autem, inquit, quamvis ex Jacob progenerati, homine pio et bono, et qui semper contumaciam odit ac Deo servivit, **857** illius mores exprimere non enixe studuistis; sed patrum vestrorum inobedientiam et pertinaciam imitari mavultis. Qui et hac de causa captivi patriæ finibus excesserunt, et hostibus a quibus erant subjugati, servitutem servierunt. « Declinastis porro et vos a legitimis meis, et ea non custodistis. » Itaque Deus quidem et immutabilis semper, et velut in bono fixus ac firmatus et inconcussus in justitia : illi contra tantum non immutabilitatem in corde servarunt, et patrum scelera strenuissime sunt secuti.

C

D

Τοῦτό που Χριστὸς εὑρίσκεται λέγων. Ταλανίζει μὲν γὰρ εἰκότως τὸ ἀπαίδευτον τῶν Γραμματέων καὶ Φαρισαίων ἐργαστήριον. Ἔφη δὲ οὕτως· « Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν, καὶ κοσμεῖτε τὰ μνημεῖα τῶν δικαίων, καὶ λέγετε· Εἰ ἤμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἤμεθα κοινωνοὶ αὐτῶν ἐν τῷ αἵματι τῶν προφητῶν. Ὥστε μαρτυ-

Hoc Christus quodam loco dixit. Merito namque Scribarum et Pharisæorum stultam operam in ædificando lamentatur. Sic autem ait : « Væ vobis, Scribæ et Pharisæi hypocritæ, quia ædificatis sepulcra prophetarum, et ornatis monumenta justorum, et dicitis : Si fuissemus in diebus patrum nostrorum, non essemus socii eorum in sanguine prophetarum. Itaque testimonio estis vobismetipsis,

Digitized by Google

quia filii estis eorum qui prophetas occiderunt. Et vos implete mensuram patrum vestrorum [78.79]. » Quamobrem necesse est nos, si vere sanam mentem gerimus, et quod ratio postulat sentimus, majorum probatissimorum exempla nobis ad imitandum ante oculos ponere, et improborum repudiare. Aut si quis istud facere recusat, simpliciterque et citra inquisitionem majores sequitur, similis plane erit Græcis, quos si quis reprehenderit quod, relicta veritatis cognitione, et eo qui est natura Deus deserto, lapides adorent, semper suorum patrum consuetudinem in ore habent.

A ρεῖτε αὐτοῖς, ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας. Καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν. » Οὐκοῦν ἀναγκαῖον ἡμᾶς, εἴπερ ἐσμὲν ἀληθῶς ἀρτίφρονες καὶ ἐν νῷ καθήκοντι, ζηλοῦν ὅτι μάλιστα τοὺς τῶν προγόνων δοκιμωτάτους, ἀποσείεσθαι δὲ τῶν μὴ ἀγαθῶν τὴν μίμησιν. Ἢ εἰ μὴ τοῦτο δρᾷν ἕλοιτό τις, ἕποιτό γε μὴν ἁπλῶς καὶ ἀβασανίστως τοῖς ἐν χρόνῳ προειληφόσιν, ἔσται δὴ πάντως προσεοικὼς τῶν Ἑλλήνων παισίν, οὓς εἴπερ τις καταμωμήσαιτο ὅτι, μεθέντες τῆς ἀληθείας τὴν γνῶσιν καὶ τὸν φύσει Θεὸν καταλελοιπότες, προσκυνοῦσι λίθοις, τὴν τῶν ἰδίων πατέρων ἀειλογοῦσι συνήθειαν.

Vers. 7-9. *Revertimini ad me, et revertar ad vos, dicit Dominus omnipotens. Et dixistis : In quo revertemur? Non supplantabit homo Deum? Quia vos supplantatis me. Et dicitis : In quo supplantavimus te? Quia te decimæ et primitiæ nobiscum sunt. Et respicientes vos respicitis, et me vos supplantatis. Annus impletus est, et intulistis omnes fructus in thesauros, in domibus eorum rapina eorum.*

Ἐπιστρέψατε πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει Κύριος παντοκράτωρ. Καὶ εἴπατε· Ἐν τίνι ἐπιστρέψομεν; Μήτι πτερνιεῖ ἄνθρωπος Θεόν; Διότι ὑμεῖς πτερνίζετέ με. Καὶ ἐρεῖτε· Ἐν τίνι ἐπτερνίσαμέν σε; Ὅτι τὰ ἐπιδέκατα καὶ ἀπαρχαὶ μεθ' ὑμῶν εἰσιν. Καὶ ἀποβλέποντες ὑμεῖς ἀποβλέπετε, καὶ ἐμὲ ὑμεῖς πτερνίζετε. Τὸ ἔτος συντετέλεσθη, καὶ εἰσηνέγκατε πάντα τὰ ἐκφόρια εἰς τοὺς θησαυροὺς, καὶ ἐν τῷ οἴκῳ αὐτῶν ἡ διαρπαγὴ αὐτῶν.

B

XXXVIII. Postquam eos a maledictis in se, prout dignum erat, coercuit, defensioneque congruenti in contrarium flexit, reos ad pœnitentiam vocat, consueta illis beneficia promptissime redditurum pollicens. Sicut enim vitam flagitiosam exigentibus pro delictorum ratione supplicium importat : ita **858** super iis qui velut retro pedem referunt a peccato, et in posterum quoque ab ea re abhorrent, lætatur revera ubique, et desperationem exitii causam præcidit. Unde advertere possis quam noxium morbum in vitam invehant, qui pœnitentiæ gratiam adulterant, et sibiipsis vere puritatis nomen ascribunt. Præstabat certe cogitare opinionem de sua puritate, qua carent, extremæ impuritatis crimen illis parere. Scriptum est enim : « Die tu primus iniquitates tuas, ut justificeris [80]. » Psallit et divinus David : « Quoniam iniquitatem meam ego cognosco, et peccatum meum contra me est semper [81]. » — « Nemo enim mundus est a sorde, » ut scriptum est [82]. Quare hujusmodi imbecillitate ægrotis pœnitentiæ bonis et superna mansuetudine opus est, quæ contaminatum perfecte abluat, impiumque sanctificet. Ex benignitate igitur peccatores ad pœnitentiam invitat. Interrogantibus autem vicissim, et discere cupientibus quonam modo deliquissent : « Num supplantabit homo Deum, inquit, quia vos supplantatis

ΛΗ'. Ἀποστήσας εὖ μάλα τῆς καθ' ἑαυτῶν γλωσσαλγίας καὶ ταῖς καθηκούσαις ἀπολογίαις ἐκδυσωπήσας ὡς ἕνι, καλεῖ πρὸς μετάγνωσιν τοὺς ἡμαρτηκότας, τὴν συνήθη πάλιν αὐτοῖς χαριεῖσθαι λέγων, καὶ μάλα προθύμως. Ὥσπερ γὰρ τοῖς ἐκτόπως θέλουσι βιοῦν τὰς αὐτοῖς πρεπούσας ἐπιφέρει ποινάς· οὕτως ἀνόπιν ὥσπερ ἰοῦσι, καὶ μὴν παραιτουμένοις τὸ ἔτι πλημμελεῖν, ὡς ἀληθῶς ἐπιγάννυται πανταχοῦ, τὴν ἀπόγνωσιν ὡς ὀλέθρου πρόξενον ἀποκείρων. Ὅθεν ἰδεῖν ἔστιν ὡς δεινά τινα τῷ βίῳ τὴν νόσον εἰσφέρουσι, οἱ τὴν τῆς μετανοίας κιβδηλεύοντες χάριν, καὶ σφίσιν αὐτοῖς ἐπιφημίζοντες ἀληθῶς τὸ τῆς καθαρότητος ὄνομα. Καίτοι πῶς οὐκ ἄμεινον ἐννοεῖν, ὅτι τὸ οἴεσθαί τε καὶ χρῆναι καθαροὺς ἀκαθαρσίας αὐτοῖς τῆς ἐσχάτης ἐπίκλημα φέρει (1); Γέγραπται γὰρ, ὅτι « Λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς. » Ψάλλει δέ που καὶ ὁ θεῖος ἡμῖν Δαβὶδ, ὅτι « Τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστε διαπαντός. » — « Καθαρὸς γὰρ οὐδεὶς ἀπὸ ῥύπου, » κατὰ τὸ γεγραμμένον. Δεῖ δὴ οὖν τοῖς οὕτως ἠρρωστηκόσι τὸ ἄναλκι τῶν ἐκ μετανοίας ἀγαθῶν καὶ τῆς ὄ ωθεν ἡμερότητος, διανιπτούσης εὖ μάλα τὸν μεμολυσμένον, καὶ δικαιούσης τὸν ἀσεβῆ. Καλεῖ τοιγαροῦν εἰς μετάγνωσιν ἐξ ἡμερότητος τοὺς ἡμαρτηκότας. Ἐρομένοις δὲ αὖ καὶ ἀναμαθεῖν ἐθέλουσι τῆς πλημμελείας τὸν τρόπον, « Εἰ πτερνιεῖ, φησὶν, ἄνθρωπος

C

D

[78.79] Matth. XXIII, 29, 32. [80] Isa. XLIII, 26. [81] Psal. L, 5. [82] Job IV, 4.

(1) S. Cyrilli præclare contra Catharos disserentis comm. in Malach. n. 38, verba ut clara sint atque etiam sana, ad hunc fere modum constituantur et legantur : Ὅθεν ἰδεῖν ἔστιν, ὡς δεινήν τινα τῷ βίῳ τὴν νόσον εἰσφέρουσι οἱ τὴν τῆς μετανοίας κιβδηλεύοντες χάριν, καὶ σφίσιν αὐτοῖς ἐπιφημίζοντες οὐκ ἀληθῶς τὸ τῆς καθαρότητος ὄνομα· καί τοι πῶς οὐκ ἄμεινον ἐννοεῖν ὅτι τὸ οἴεσθαί τε καὶ χρηματισθῆναι καθαροὺς ἀκαθαρσίας αὐτοῖς τῆς ἐσχάτης ἐπίκλημα φέρει; Hoc est : *Unde cernere est illos gravem morbum in vitam invehere qui pœnitentiæ gratiam adulterant, et sibiipsis falso puritatis nomen ascribunt : quanquam quo modo non erat melius cogitare quod putare se et vocare puros, crimen illis infert extremæ impuritatis? Δεινὴν posui pro δεινά, οὐκ ἀληθῶς pro ἀληθῶς, et χρηματισθῆναι pro χρῆναι.* Cotelerius, *Monum. Eccl. Gr. II*, 667.

Digitized by Google

Θεὸν, διότι ὑμεῖς πτερνίζετέ με; » Τὸ δὲ *πτερνίζειν* ἐστὶ τὸ συναρπάζειν, ἢ φενακίζειν, οἴεσθαί τε λαθεῖν ψευδομένους τυχὸν, ἢ καί τι δρῶντάς τινα τῶν ἐκτοπωτάτων. Καὶ γοῦν ἐνεκότει μὲν ὁ Ἡσαῦ τῷ Ἰακὼβ, τοῦ δὲ φθονεῖν τὴν πρόφασιν ἐξηγούμενος ἔφασκεν· « Ἐπτέρνισέ γάρ με ἤδη δεύτερον τοῦτο, τά τε πρωτοτόκιά μου εἵληφε, καὶ νῦν εἵληφε καὶ τὴν εὐλογίαν μου. » Ἆρ' οὖν περιέσται, φησὶ, ἄνθρωπος Θεοῦ, ἤγουν συναρπάσει τὸν πάντα εἰδότα; Τί τοίνυν ὑμεῖς ἐμὲ πτερνίζετε; Χρῆναι δὲ ὑπολαμβάνω πρὸς ἀκριβῆ διασάφησιν τῶν προκειμένων ἡμῖν ἐννοιῶν ἄττα καὶ νῦν εἰπεῖν, ἃ καὶ ἐν τοῖς τοῦ Ἔσδρα γέγραπται Βιβλίοις. Ἐπειδὴ γὰρ ἐπανῆκον εἰς τὴν Ἰουδαίαν τὴν Βαβυλωνίων ἀφέντες γῆν οἱ ἐξ Ἱερουσαλὴμ, κατῳκήκασι μὲν ἐν τοῖς Ἱεροσολύμοις. Ἐγήγερται δὲ καὶ ὁ θεῖος ναὸς, καὶ ἦν ἐν κόσμῳ λοιπὸν τὰ τῶν ἱερέων τάγματα, ᾠδοὶ, καὶ ἱεροψάλται, καὶ οἱ τοῖς πυλῶσιν ἐφεστηκότες. Εἶτα τί τὸ μετὰ τοῦτο; Ῥᾴθυμοι γεγόνασιν οἱ λελυτρωμένοι περί γε τὸ δεῖν τῶν θείων ἀντέχεσθαι θεσπισμάτων. Οὐ γὰρ τετηρήκασι τὸν νόμον, λελόγισται δὲ παρ' οὐδὲν αὐτοῖς τῆς ἀρχαίας ἐντολῆς ἡ παράβασις, καὶ παρεκόμιζον μὲν εἰς θυσίαν μόλις καὶ ὀκνηρῶς τὰ τυφλὰ, καὶ ἁρπάγματα, καὶ χωλὰ, καὶ τὰ ἐνοχλούμενα. Εἶτα κείραντες ἐν ἀγροῖς, ἐν ὥρᾳ, τὸν ἄσταχυν καὶ μὴν καὶ τὰ ἕτερα τῶν σπερμάτων, ἀποτρυγῶντες δὲ καὶ ἀμπέλους, καὶ τοὺς τῆς ἐλαίας καρποὺς ἐκθλίβοντες, οὐ δεκάτας προσῆγον, οὐ τὰς κατὰ νόμον ἀπαρχὰς, ἵνα ἔχοντα τὴν αὐτάρκειαν τὰ τῶν ἱερέων τάγματα, προσιζήσειαν μὲν ἀπερισπάστως ταῖς εἰς Θεὸν λατρείαις, προσμένωσι δὲ ταῖς ἐκ νόμου τεταγμέναις αὐτοῖς λειτουργίαις. Οὐδενὸς τοιγαροῦν προσκεκομισμένου, κατεσκευάσθησαν οἱ τῶν θείων θυσιαστηρίων ἱερουργοὶ, ἔρημός τε οὕτως ἀπομεμένηκεν ὁ λαὸς, οὐ θυσίας τελουμένης, οὐχ ἑτέρου τινὸς δρωμένου τῶν εἰς δόξαν τελούντων Θεοῦ. Κατεφθείρετο δὴ οὖν ἅπαντα λοιπὸν τὰ ἐν ἀγροῖς, λιμῷ τε κατεπιέζοντο, καὶ δὴ καὶ εἰς τοῦτο κατώλισθον ἀνάγκης τε καὶ ἀπορίας, ὡς καὶ αὐτὰ βούλεσθαι τοῖς ἔχουσι τροφὰς ἀπεμπωλῆσαι τὰ τέκνα, μέχρις ἂν Ἔσδρας εἰς αἴσθησιν κεκλημένος τῆς θείας ὀργῆς, ἐπέσκηψε περὶ τούτων τοῖς ἡγουμένοις τοῦ Ἰσραήλ. Προσεκόμισάν τε οὕτω μόλις δεκάτας καὶ ἀπαρχὰς, καὶ λοιπὸν εἰσέδραμον ἱερουργοὶ, ἑστησάν τε τὰ συνήθη δρῶντες ἐν τῷ ναῷ. « Διὰ τί τοίνυν, φησὶν, ὑμεῖς ἐμὲ πτερνίζετε; » Τὸ ἔτος συνετελέσθη, συνήχθησαν οἱ καρποὶ, καὶ παρ' ὑμῖν ἔτι τὰ ἐπιδέκατα, καὶ αἱ κατὰ νόμους ἀπαρχαί. « Καὶ ἐν τῷ οἴκῳ αὐτοῦ ἔσται, φησὶν, ἡ διαρπαγὴ ἐν ἀγροῖς ἐν τοῖς οἴκοις τοὺς καρποὺς, τάχα που καὶ οἴεσθε σώζεσθαί τε ὑμῖν αὐτοὺς καὶ εὖ κεῖσθαι λίαν ἐν αὐταῖς ταῖς οἰκίαις. Ἀφανισθήσονται, καὶ οὐδὲν διαρπαγῆς διοίσει τὸ χρῆμα. Καταπιεσθήσεσθε γὰρ λιμῷ, καίτοι συνενεγκόντες, φησὶ, ἐν ἰδρῶτι μόλις τὰ εὑρημένα.

Εἰσόμεθα οὖν κἀντεῦθεν ἡμεῖς ὡς ἐν μεγάλαις αἰτίαις κείσεται τὸ μὴ προσάγειν Θεῷ τὰ εὐχαριστήρια καὶ ὃν ἂν χαρίσαιτο τὴν ἀρκοῦσαν ἀπονέμειν χώραν εἰς δόξαν αὐτοῦ. Ἀλλ' εἰ μὲν τοῦτο δρῴημεν, πάντη τε καὶ πάντως εὐλογήσει καὶ ἀμφιλαφῶς χαριεῖται τὰ ἀγαθά. Εἰ δὲ δὴ τὴν χεῖρα συστείλαν-

A me? » *Supplantare* est diripere, aut decipere, et arbitrari fallaciam posse deceptos latere forsitan, quamvis quispiam insolentissima quædam commiserit. Itaque irascebatur Esau Jacob, et invidiæ occasionem enarrans dicebat: « Supplantavit enim me altera vice. Primogenita mea ante tulit, et nunc subripuit benedictionem meam[83]. » Num igitur homo erit superior Deo, inquit, aut diripiet omnia scientem? Quid ergo vos me supplantatis? Existimo autem ad pleniorem declarationem propositæ sententiæ quædam nunc quoque afferenda in medium, quæ in Libris Esdræ scripta exstant. Babylone in Judæam Hierosolymitæ reversi Hierosolymam habitarunt. Ædificatum est divinum templum, et florebant deinceps sacerdotum ordines, cantores, psaltæ et janitores. Quid postea? Servitute liberati in divinis oraculis exsequendis inertes evaserunt. Nec enim legem servabant, et vetus mandatum per ludum transgrediebantur, et ad sacrificium ægre cunctanterque cæca, rapta et debilia ministrabant. Deinde, suo tempore, in agris segetes aliaque legumina dementes, et uvas colligentes, et oleum exprimentes, nec decimas, nec, secundum legem, primitias persolvebant, **859** ut sacerdotum ordines quod satis esset haberent, cultumque divinum citra solitudinem distractionemque celebrarent, atque in ministeriis lege institutis assiduo versarentur. Nullo igitur horum oblato, divinorum altarium ministri sacri delusi sunt, et populus ita destitutus mansit, cum nec sacra peragerentur, nec aliud quidpiam ad Dei gloriam præstaretur[84]. Hinc omnia in agris moriebantur, et fames sæviebat; quin eo necessitatis et inopiæ redigebantur, ut ipsos quoque liberos alimenta habentibus vendere non refugerent, donec Esdras, divina ira perspecta, super his principes Israel objurgavit. Atque ita demum, quanquam vix, decimæ et primitiæ oblatæ, et ex eo sacerdotes in templum regressi stare, et consueta munera obire cœperunt[85]. Inquit ergo, « Quare vos me supplantatis? » Annus consummatus est, fructus collecti, et apud vos adhuc sunt decimæ et primitiæ legibus debitæ. « Et in domo eorum erit, inquit, rapina eorum; » ac si dicat: Comportastis quidem in domos vestras fructus, et arbitramini forsitan vobis eos salvos et tuto in ædibus repositos fore. Evanescent, et a rapinis nihil different. Affligemini enim fame, tametsi inventa cum sudore collegistis.

Discemus hinc etiam nos magni criminis loco ducendum non offerre Deo quibus gratitudinem nostram ostendimus, et agrum quem ille victui ferendo sufficientem donaverit, ad gloriam Dei referre. Quod si faciamus, omnimodis benedicet et affatim bona largietur. Sin autem, manum contrahentes, nostro

[83] Gen. xxvii, 36. [84] II Esdr. xiii, 15 seqq. [85] II Esdr. v, 1 seqq.

Digitized by Google

tantummodo genio accepta reservabimus, nec alacriter aliis Dei dona communicaverimus.

VERS. 10-12. *Revertimini porro in hoc, dicit Dominus omnipotens. Si non aperiam vobis cataractas cœli, et effundam vobis benedictionem meam, donec sufficiat. Et dividam vobis in cibum. Et non disperdam vobis fructum terræ vestræ, et non infirmabitur vestra vinea in agro, dicit Dominus omnipotens. Et beatos dicent vos omnes gentes, quia eritis mihi vos terra desiderabilis, dicit Dominus omnipotens.*

860 XXXIX. Iterum crimina remittit, et eos omni culpa absolvit, promittitque, contritis oblivione injuriis, optata donaturum, et eos supra quam dici possit munificentia sua recreaturum. Vult autem illos ipsa experientia et rebus discere fertilitatem utilitatis plenissimam. Et, si hoc facere non recusent, pluviarum abundantiam et benedictionem largam spondet, ut esculentorum satis et plusquam satis habeant, omninoque frugum terræ quantum velint percipiant. « Dividam enim, inquit, in cibum vobis. » Verbum *Dividam* interpretare, aut Separabo; aut quia quæ e terra gignuntur, unumquodque suum tempus habet quo vel crescit vel maturescit. Nihil porro detrimenti passurum terræ fructum, magnam item fore uvarum copiam, et vineam in agris luculentissimam, ut ad maturitatem perductis omnibus, pollicetur, et posthac beatos ait fore, ac velut terram desiderabilem nominatum iri, hoc est, amore dignam, propter fructuum ubertatem et fecunditatem.

Qui igitur habet viscera misericordiæ, talem plane experietur Deum, et cumulabit in cœlis, fructusque laborum suorum manducabit, ut scriptum est [66]. Nec illum immitem et amentissimum divitem imitabitur, quem in parabola evangelica Salvator villam suam implevisse narrat. Ille enim aiebat : « Quid faciam? Destruam horrea mea, et majora faciam, et dicam animæ meæ : Anima, habes multa bona reposita in annos plurimos, comede, bibe, lætare [67]. » Cogitanti autem talia et ignoranti futura, Deus : « Stulte, inquit, hac nocte repetent a te animam tuam : quæ autem parasti, cujus erunt [68]? » Quamobrem, ut dicebam, benedictione plenus est sua communicans. Talis etiam spirituales imbres cor ejus irrigantes et affatim exhilarantes accipiet, pietatisque fructus producet, alias aliter et velut divisim, partim charitate, partim benignitate et humanitate reciproca, fortitudineque et patientia excellens : eritque sicut terra beata frugibus et fecundissima, clarusque et celebris, et revera longe beatissimus. « Melius est enim nomen bonum quam divitiæ multæ, » ut scriptum est [69]

τες, μόναις ταῖς ἑαυτῶν τρυφαῖς τὸ δοθὲν τηρήσομεν, οὔτ' ἂν ἐπιδοίημεν προθύμως τοῖς ἄλλοις εἰς μέθεξιν τὰ παρὰ Θεοῦ δωρήματα.

Ἐπιστρέψατε δὴ ἐν τούτῳ, λέγει Κύριος παντοκράτωρ. Ἐὰν μὴ ἀνοίξω ὑμῖν τοὺς καταῤῥάκτας τοῦ οὐρανοῦ, καὶ ἐκχεῶ τὴν εὐλογίαν μου ὑμῖν, ἕως τοῦ ἱκανωθῆναι. Καὶ διαστελῶ ὑμῖν εἰς βρῶσιν. Καὶ οὐ μὴ διαφθαρῶ ὑμῖν τὸν καρπὸν τῆς γῆς, καὶ οὐ μὴ ἀσθενήσῃ ὑμῶν ἡ ἄμπελος ἡ ἐν τῷ ἀγρῷ, λέγει Κύριος παντοκράτωρ. Καὶ μακαριοῦσιν ὑμᾶς πάντα τὰ ἔθνη, διότι ἔσεσθε ὑμεῖς γῆ θελητή, λέγει Κύριος παντοκράτωρ.

ΛΘ'. Πάλιν ἀνίησιν ἐγκλημάτων, καὶ ἀπαλλάττει μὲν αὐτοὺς ἁπάσης αἰτίας, ὑπισχνεῖται δὲ καὶ ἀμνησικάκως χαριεῖσθαι τὰ κατ' εὐχήν, καὶ ταῖς ἐπέκεινα λόγου κατευφραίνειν φιλοτιμίαις. Βούλεται δὲ διὰ πείρας αὐτοὺς καὶ πραγμάτων ἀναμαθεῖν, ὡς ἔσται πάντως αὐτοῖς τὸ καρποφορεῖν ὀνησιφόρον. Καὶ, εἰ τοῦτο δρᾷν ἕλοιντο, καταδώσειν ἐπαγγέλλεται καὶ τὴν τῶν ὑετῶν ἄφθονον χορηγίαν, ἀμφιλαφῆ δὲ νεῖμαι τὴν εὐλογίαν, ὡς ἔχειν, αὐτοὺς τῶν ἐδωδίμων ἄφθονον τὴν αὐτάρκειαν, καὶ ἁπαξαπλῶς τῶν ἐκ γῆς ἀγαθῶν τὴν ἀποχρῶσαν μέθεξιν. « Διαστελῶ γὰρ, φησὶν, ὑμῖν εἰς βρῶσιν. » Τὸ δὲ *διαστελῶ* νοήσεις ἢ Ἀφοριῶ, ἤγουν ὅτι τῶν ἐκ γῆς φυομένων ἕκαστον ἴδιον ἔχει καιρὸν, καθ' ὃν ἢ γίνεται τυχὸν ἢ πεπαίνεται. Ὅτι δὲ βλάβης ἁπάσης ἀμείνων ἔσται τῆς γῆς ὁ καρπὸς, πολύβοτρυς δὲ, καὶ εὐοινοτάτη λίαν ἡ ἐν ἀγροῖς ἄμπελος, ὑπισχνεῖται σαφῶς, ὡς εἰς πέρας ἐνηνεγμένων, μακαρίους τέ φησιν ἔσεσθαι λοιπὸν, καὶ οἷά τινα γῆν θελητὴν ὀνομάζεσθαι, τουτέστι, τὴν ἀξιέραστον διά τε τὴν εὐκαρπίαν, καὶ ὅτι γονιμωτάτη.

Οὐκοῦν εἴ τις ἔχει σπλάγχνα οἰκτιρμῶν, τοιούτῳ δὴ πάντως περιτεύξεται τῷ Θεῷ, καὶ ἀποσωρεύσει μὲν ἐν οὐρανοῖς, φάγεται δὲ τοὺς καρποὺς τῶν ἰδίων πόνων, κατὰ τὸ γεγραμμένον. Καὶ οὐκ ἔσται κατ' ἐκεῖνον τὸν ἀπηνῆ τε καὶ ἀνούστατον πλούσιον, ὃν τὴν χώραν ἐμπεφορηκέναι φησὶν ὁ Σωτὴρ ἐν παραβολαῖς εὐαγγελικαῖς. Ὁ μὲν γὰρ ἔφασκε· « Τί ποιήσω; Καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω, καὶ ἐρῶ τῇ ψυχῇ μου· Ψυχὴ, ἔχεις ἀγαθὰ κείμενα εἰς ἔτη πολλὰ, φάγε, πίε, εὐφραίνου. » Σκεπτομένῳ δὲ τὰ τοιαῦτα καὶ ἀμαθαίνοντι, Θεὸς « Ἄφρον, φησὶ, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται; » Οὐκοῦν, ὡς ἔφην, εὐλογίας ἔμπλεως ὁ κοινωνικός. Ὁ τοιοῦτος ἕξει καὶ νοητοὺς ὑετοὺς κατάρδοντας τὴν καρδίαν καὶ ἱκανῶς κατευφραίνοντας, καὶ τοὺς τῆς εὐσεβείας ἐκδώσει καρποὺς, ἄλλοτε ἄλλως καὶ οἱονεί πως διεσταλμένους, τοῦτο μὲν ἀγάπῃ, τοῦτο δὲ χρηστότητι καὶ φιλαλληλίᾳ, ἀνδρείᾳ τε καὶ ὑπομονῇ διαπρέπων· ἔσται δὲ οἷά τις εὔκαρπος καὶ γονιμωτάτη γῆ, λαμπρός τε καὶ διαβόητος καὶ τρισμακάριος ἀληθῶς. « Αἱρετὸν γὰρ ὄνομα καλὸν ἢ πλοῦτος πολὺς, » καθὼς γέγραπται.

[66] Psal. cxxvii, 2. [67] Luc. xii, 17-19. [68] Ibid. 20. [69] Prov. xxii, 1.

Digitized by Google

Ἐβαρύνατε ἐπ' ἐμὲ τοὺς λόγους ὑμῶν, λέγει Κύριος, καὶ εἴπατε· Ἐν τίνι κατελαλήσαμεν κατὰ σοῦ; Εἴπατε· Μάταιος ὁ δουλεύων Θεῷ, καὶ τί πλέον, ὅτι ἐφυλάξαμεν τὰ φυλάγματα αὐτοῦ, καὶ διότι ἐπορεύθημεν ἱκέται πρὸ προσώπου Κυρίου παντοκράτορος; Καὶ νῦν ἡμεῖς μακαρίζομεν ἀλλοτρίους, καὶ ἀνοικοδομοῦντα· πάντες ποιοῦντες ἄνομα, καὶ ἀντέστησαν τῷ Θεῷ, καὶ ἐσώθησαν. Ταῦτα κατελάλησαν οἱ φοβούμενοι τὸν Κύριον, ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. Καὶ προσέσχε Κύριος, καὶ εἰσήκουσε.

A

VERS. 13-15. *Ingravabatis super me verba vestra, dicit Dominus, et dixistis : In quo oblocuti sumus contra te? Dixistis : Vanus qui servit Deo, et quid amplius,* **861** *quia custodivimus mandata ejus, et quia ambulavimus supplices ante faciem Domini omnipotentis? Et nunc nos beatos dicimus alienos, et exædificantur omnes qui faciunt iniqua et restiterunt Deo, et salvi facti sunt. Hæc oblocuti sunt qui timent Dominum, unusquisque ad proximum suum. Et attendit Dominus, et audivit.*

Μ'. Ὅτε τινὰς τῶν γνωρίμων ὠλισθηκότας εἰς ἁμαρτίαν ἐπανορθοῦν ἐθέλῃ Θεὸς, παρακομίζει μὲν εἰς μέσον τὰ διεπταισμένα, διελέγχει δὲ σαφῶς, καὶ οἷον πλήττει μομφαῖς, ἵνα τοῖς ἰδίοις ἐπερυθριῶντες πλημμελήμασιν ἔχοιντό τε μεταφοιτᾷν ἐπὶ τὰ ἀμείνω καὶ χρησιμώτερα, σωθεῖέν τε οὕτω, τὸν παρ' αὐτοῦ ζητήσαντες ἔλεον. Αἰτιᾶται τοίνυν καὶ ἐφ' ἑτέρῳ τινὶ τοὺς ἐξ Ἰσραὴλ, καὶ κοινὴν ὥσπερ τινὰ καὶ τοῖς μετ' αὐτοὺς ἐξυφαίνει τὴν ἐπίπληξιν, τὸ χρῆμα εἰδὼς ἐπωφελὲς ἅπασι καὶ σωτήριον. Ὅσα γὰρ τοῖς πρὸ ἡμῶν συμβέβηκε τυπικῶς, ταῦτα γέγραπται πρὸς νουθεσίαν ἡμῶν, καθά φησιν ὁ σοφώτατος Παῦλος. Αἰτιᾶται τοίνυν τοὺς ἀθυροστομοῦντας αὐτοὺς καὶ παλιμφήμοις ῥήμασι καταλαλεῖν ᾠρημένους. « Ἐβαρύνατε γὰρ, φησὶν, ἐπ' ἐμὲ τοὺς λόγους ὑμῶν. » Καὶ ποῖος ἦν ἄρα τῆς καταλαλιᾶς ὁ τρόπος; « Εἴπατε, φησί· Μάταιος ὁ δουλεύων Θεῷ, » καὶ ὅτι περιττὸν οὐδὲν ἐν τῷ βούλεσθαι τηρεῖν τὰ φυλάγματα αὐτοῦ, τουτέστι τὰ διὰ νόμου θεσπίσματα. Εἰκαῖόν ἐστι πρὸς τοῦτο, φατὲ, καὶ τὸ ἱκετεύειν αὐτὸν, τουτέστι τὰς ὑπὲρ ὧν ἂν ἕλοισθε προσάγειν λιτάς. Καὶ ἀληθὴς μὲν πάντως ὁ τῶν ὅλων Θεὸς, εἰ ταυτί τε λέγοι, καὶ καταιτιῷτο τοὺς ἐξ Ἰσραήλ. Τί δὲ δὴ τοῖς πεφλυαρηκόσιν ἡ τῆς ἁμαρτίας πρόφασις, ἀναγκαῖον εἰπεῖν. Μυρία μὲν γὰρ κατεβόσκετο γένη· ἀλλ' ἐκ πάντων ἓν τὸ ἐξ Ἰσραὴλ ἐπελέξατο ὁ Θεὸς, ὠνόμασται δὲ μερὶς, καὶ σχοίνισμα, καὶ κλῆρος αὐτοῦ. Οἰκειωσάμενος δὲ πεπαιδαγώγηκε νόμον, ὠφέλησε διὰ προφητῶν. Καὶ τί πρὸς ταῦτα πέπραχεν ὁ ἀπόπληκτος Ἰσραήλ; Προσκεκύνηκε τῇ στρατιᾷ τοῦ οὐρανοῦ, λελάτρευκεν εἰδώλοις, ἔφη τοῖς γλυπτοῖς· Ὑμεῖς ἐστε θεοὶ ἡμῶν. Ἀγανακτήσας εἰκότως ἐπὶ τοῖς οὕτω δεινοῖς ἀνοσιουργήμασιν ὁ τῶν ὅλων Θεὸς, ἐπαίδευε πολυτρόπως, καλῶν εἰς μετάγνωσιν λιμοῖς, ἀνεμοφθορίαις, καρπῶν ἐνδείαις, ἀκρίσι, καὶ βρούχῳ, ἰκτέρῳ, καὶ κάμπαις. Οὔπω γὰρ πλήττειν ἤθελε χειρὶ στερρᾷ, μονονουχί τε καὶ μετασοβεῖν τοῖς δαίμοσι (1), καὶ συμμέτροις ἔτι κινήμασιν ἐπὶ τὸ δρᾶν ἐλέσθαι τὸ ὠφελοῦν, καὶ τὸν φύσει τε καὶ ἀληθῶς ἀγαπῆσαι Θεόν. Ἐπειδὴ δὲ οὐδεὶς ἦν αὐτοῖς οὐδὲ τοῦ συμμέτρου (2) πλήττεσθαι λόγος, ἀπῄχοντο δὲ ἀχαλίνως εἰς πᾶν εἶδος ἀκαθαρσίας, ἔπεμψεν εἰς αἰχμαλωσίαν, καὶ ὑπὸ χεῖρα πεσεῖν παρεσκεύασε τὴν

XL. Quando quosdam notos et amicos in peccatum prolapsos corrigere vult Deus, in medium adducit admissa, et aperte redarguit, et expostulando quodammodo ferit, ut delictis suis erubescentes ad meliora et utiliora transire velint, et ita ejus misericordia exquisita, salutem obtineant. Accusat igitur et propter aliud Israelitas, et velut communem quamdam posteris quoque ipsorum increpationem contexit, cum sciret id commodum et salutare futurum omnibus. Quæcunque enim antiquis illis in figura contigerunt, ad nostram correptionem scripta sunt, sicut et sapientissimus Paulus ait [90]. Incusat ergo eos et lingua incontinentes et verbis maledictis deditos. Inquit enim : « Ingravastis super me verba vestra. » Quo autem modo illi obtrectarunt? « Dixistis, inquit : « Vanus est qui servit Deo, » et nihil facere lucri qui vult obtemperare mandatis ejus, hoc est, præceptis per legem divinitus traditis. Ad hæc inane est, dixistis, supplicare illi, id est, preces offerre pro quibus libuerit. Est sane veracissimus universorum Deus, dum hæc dicit, et sic accusat Israelem. Quam autem blaterantes peccati sui excusationem prætendant, videndum est. Mille gentes regebat Deus : sed ex omnibus unam elegit, quæ vocata est pars, et funiculus, et hæreditas ejus [91]. Eam sibi vindicatam lege instituit, per prophetas eidem consulnit. Quid autem ad hæc insanus Israel? Adoravit militiam cœli, servivit idolis, dixit sculptilibus : Vos estis dii nostri [92]. Ast universorum Deus super tam nefariis sceleribus non immerito indignatus, multis modis in eos vindicabat, et ad pœnitentiam vocabat fame, corruptione aeris, fructuum penuria, locustis, et brucho, ictero et eruca. Nondum enim eos manu valida ferire voluit, sed quodammodo terriculamentis, et ira temperata, adhuc ad persequenda ipsis conducibilia, atque ad verum et natura Deum diligendum adigere. **862** Quia vero mediocres plagas contemnebant, et impotenter in omne genus impuritatis ruebant, eos in captivitatem misit, manibusque Babyloniorum obtulit. Postquam autem, Deo miserante, in Judæam sunt revocati, et urbem reædificarunt, templumque excitarunt, denuo ad ignaviam revoluti, vota non impleverunt, nec legi

[90] II Cor. x, 11. [91] Deut. xxxii, 9. [92] IV Reg. xvii, 16.

(1) Corruptam puto vocem : forte legendum δαίμασι.

(2) Cotelerius (*Monum. Eccl. Gr. II*, 562) legit συμμέτρως vel σὺν μέτρῳ, *quia vero nulla erat apud eos ratio, quod vel mediocres plagas acciperent.*

Digitized by Google

in decimis et primitiis offerendis paruerunt, sed pigri, et vix ad sacrificium venientes, clauda, cæca et debilia mactabant; et cum hæc insolenter facerent, nihilominus Deus fame et sterilitate eos ulciscebatur. Qui, tametsi deberent, siquidem essent boni, et quæ sibi conducerent non ignorarent, mutatis in melius consiliis, Deum a se offensum colere ac venerari, imprudenter de illo conquerebantur. Cum enim viderent gentes vicinas et Deum nescientes sculptilia potius adorare, et gravissimo errore laborare, nihilominus tamen voluptariam vitam agitare, stulte dicebant: « Vanus est, qui servit Deo. Et quid emolumenti percepimus, quia mandata ejus custodivimus? » Nos enim legi obsequentes, sterilitatem et incommoda patimur. Discessimus etiam in captivitatem, tametsi assidue Domino omnipotenti supplices advolveremur. Contra, qui horum nihil faciunt, non plagas sentiunt, non miserias. Quamobrem beatos numeramus alienos. « Et reædificantes qui faciunt iniqua restiterunt Deo et salvati sunt. » Repugnant enim profecto gloriæ Dei multipliciter qui errant, et conflatilibus sacrificant, « Et ligno dicunt: Deus meus es tu, et lapidi: Tu genuisti me [93]. Hæc oblocuti sunt, inquit, qui timent Dominum. » Habet autem accusatio nihil præter maledictum, morbumque pestiferum evidenter demonstrat. Est enim ægrotæ mentis, et animi ebrii Deo invisum rejectamentum contra Deum quidquam loqui. Se autem tales sermones non obiter, sed studiose auscultare affirmate pronuntiat: « Et attendit Dominus, et audivit. Quia Spiritus Domini replevit orbem terrarum, et hoc quod continet omnia, scientiam habet vocis [94]. » Quod si quid adversus divinam ejus gloriam dictum fuerit, id erit grave et prope intolerandum illi, quamvis tolerantissimus injuriarum esse soleat. Quocirca dicit: « Ingravabatis super me verba vestra. » Officium ergo nostrum est, quamvis laboribus et miseriis conflictemur, Deo nos ad utilitatem nostram corripiente, non usque adeo animo concidere, **863** nec putare virtutis tam amantem aspernari bonos, sed potius sollicite inquirere in quo apud Deum offenderimus, et ita eum mitigare, et misericordiam flagitare. Quod si etiam peccatores aliqui in voluptatibus mundanis ætatem habeant, temporaneis bonis fruantur, rationes patientiæ ipsius erga illos ad arcanam providentiam referre æquum est.

Βαβυλωνίαν. Ἐπειδὴ δὲ κέκληνται πάλιν εἰς τὴν Ἰουδαίαν, Θεοῦ κατοικτείροντος, ἀνετείχισάν τε τὴν πόλιν, καὶ ἀνεδείμαντο τὸν ναὸν, πάλιν ἐτράποντο πρὸς τὸ ῥᾴθυμον, οὐ πληροῦντες εὐχὰς, οὐχ ἑπόμενοι τοῖς διὰ νόμου θεσπίσμασι, προσάγοντες δεκάτας ἢ ἀπαρχάς· ἀλλ' ὀκνηροὶ, καὶ μόλις ἐπὶ τὸ θύειν ἐρχόμενοι, καὶ κατασφάξαντες τὰ χωλὰ, τὰ τυφλὰ, καὶ τὰ ἐνοχλούμενα, καὶ ταῦτα δρῶντες ἐκτόπως οὐδὲν ἧττον ἐπαίδευε Θεὸς λιμῷ σε καὶ ἀκαρπίᾳ. Οἱ δὲ, καίτοι δέον, εἴπερ ἦσαν ἀγαθοὶ καὶ τῶν συμφερόντων ἐπιστήμονες, ταῖς εἰς τὸ ἄμεινον ἀναδρομαῖς θεραπεύειν λελυπημένον τὸν τῶν ὅλων Θεὸν, ἀσύνετον ἐποιοῦντο τὴν καταβοήν. Ἐπειδὴ γὰρ ἐώρων τὰ περίοικα τῶν ἐθνῶν καὶ τὸν Θεὸν οὐκ εἰδότα, προσκυνοῦντα δὲ μᾶλλον τοῖς γλυπτοῖς, καὶ τὴν ἐσχάτην νοσοῦντα πλάνησιν, ἐν εὐπαθείαις ὄντα καὶ τρυφαῖς, ἔφασκον ἀσυνέτως· « Μάταιος ὁ δουλεύων Θεῷ. Καὶ τί πλεῖον ὅτι ἐφυλάξαμεν τὰ φυλάγματα αὐτοῦ; » Ἡμεῖς γὰρ, φησὶν, οἱ νομοφύλακες ἐν ἀπορίαις ἐσμὲν καὶ πληγαῖς. Ὠχήμεθα δὲ καὶ αἰχμάλωτοι, καίτοι προσπίπτοντες ἀεὶ καὶ ἱκέται γινόμενοι τῷ Κυρίῳ παντοκράτορι. Οἱ δὲ τῶν τοιούτων δρῶντες οὐδὲν, οὐ πληγὴν ἔχουσιν, οὐ πόνον. Οὐκοῦν μακαρίζομεν ἀλλοτρίους. « Καὶ ἀνοικοδομοῦντες ποιοῦντες ἄνομα, ἀντέστησαν Θεῷ, καὶ ἐσώθησαν. » Ἀντιπράττουσι γὰρ κατὰ ἀλήθειαν τῇ τοῦ Θεοῦ δόξῃ κατὰ πολλοὺς τρόπους οἱ πλανώμενοι, καὶ τοῖς χωνευταῖς προσάγοντες τὰς θυσίας, « Καὶ τῷ ξύλῳ λέγοντες· Θεός μου εἶ σὺ, καὶ τῷ λίθῳ· Σὺ ἐγέννησάς με. » — « Ταῦτα, φησὶ, κατελάλησαν οἱ φοβούμενοι τὸν Κύριον. » Δυσφημίας δὲ πάντως τὸ ἔγκλημα, καὶ τῶν ἐσχάτων ἀῤῥωστημάτων ἀπόδειξις ἐναργής. Νοσούσης γὰρ διανοίας οἱ λόγοι, καὶ μεθύοντος νοῦ θεοστυγὲς ἀπόβρασμα τὸ φάναι τι κατὰ Θεοῦ. Ὅτι δὲ τῶν τοιούτων ἐπακροᾶται λόγων οἷον οὐ παρέργως, ἀλλ' ἐν σπουδῇ, πεπληροφόρηκεν εἰπών· « Καὶ προσέσχε Κύριος, καὶ εἰσήκουσεν. » — « Ὅτι πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην, καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς. » Εἰ δὲ δή που τις γένοιτο κατὰ τῆς θείας αὐτοῦ δόξης λόγος, οὗτος ἔσται βαρὺς καὶ οἷον ἀφόρητος, καίτοι λίαν ἀνεξικακεῖν εἰωθότι. Ταύτῃ τοι καὶ ἔφασκεν· « Ἐβαρύνετε ἐπ' ἐμὲ τοὺς λόγους ὑμῶν. » Δεῖ δὴ οὖν ἔτι, κἂν ὦμεν ἐν πόνοις, χρησίμως ἡμᾶς παιδεύοντος τοῦ Θεοῦ, μὴ λίαν ἀκηδιᾷν, μήτε μὴν οἴεσθαι τὸν οὕτω φιλάρετον ἀφειδῆσαι τῶν ἀγαθῶν· περιεργάζεσθαι δὲ μᾶλλον τὰ ἐφ' οἷς προσκεκρούκαμεν, ἐκμελίσσεσθαί τε οὕτω, καὶ τὸν ἔλεον αἰτεῖν. Εἰ δὲ δὴ καὶ τινες τῶν φιλαμαρτημόνων ἐν εὐπαθείαις εἶεν κοσμικαῖς, τὴν τῶν προσκαίρων ἀπόλαυσιν ἔχοντες, ἀπονέμειν ἀκόλουθον ταῖς ἀπορρήτοις οἰκονομίαις τῆς ἐπ' αὐτοῖς ἀνεξικακίας τοὺς λόγους.

VERS. 16, 17. *Et scripsit librum monumenti in conspectu suo his qui timent Dominum, et qui reverentur nomen ejus. Et erunt mihi, dicit Dominus omnipotens, in diem quam ego facio in acquisitionem, et eligam eos sicut eligit homo filium suum servientem sibi.*

Καὶ ἔγραψε βιβλίον μνημοσύνου ἐνώπιον αὐτοῦ τοῖς φοβουμένοις τὸν Κύριον, καὶ εὐλαβουμένοις τὸ ὄνομα αὐτοῦ. Καὶ ἔσονταί μοι, λέγει Κύριος παντοκράτωρ, εἰς ἡμέραν, ἣν ἐγὼ ποιῶ εἰς περιποίησιν, καὶ αἱρετιῶ αὐτούς, ὃν τρόπον αἱρετίζει ἄνθρωπος τὸν υἱὸν αὐτοῦ τὸν δουλεύοντα αὐτῷ.

[93] Jerem. II, 27. [94] Sap. I, 7.

Digitized by Google

ΜΑ'. Κατακερτομούντων αὐτὸν τῶν ἐξ Ἰσραὴλ, καὶ ἀνόσια κατ' αὐτοῦ πεφλυαρηκότων προσέσχε μὲν καὶ εἰσήκουσεν. Εἶτα δέον τοῖς ἡμαρτημένοις τὴν πρέπουσαν ἐπαρτῆσαι δίκην, καὶ τοὺς τῆς ἀθυροστομίας πράττεσθαι λόγους, παρεῖσι μὲν ὡς Θεὸς ἀμνησικάκως καὶ τοῦτο. Γράφει δὲ βιβλίον μνημοσύνου τοῖς φοβουμένοις αὐτὸν, περὶ ὧν, οἶμαί που, καὶ αὐτὸς ἔφασκεν ὁ Δαβὶδ πρὸς τὸν γράφοντα βιβλίον· « Καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται. »

XLI. Israelitas sese criminantes, et impie blaterantes attendit et audivit Deus. Deinde cum in reos pœnam æqualem constituere oporteret, et verborum petulantium rationem reposcere, hoc etiam injuriæ ut Deus immemor prætermittit. Scribit autem librum monumenti timentibus ipsum, de quibus, ni fallor, et ipse David scribenti librum hunc : « Et in libro tuo omnes scribentur [96]. »

Εὑρήσομεν δὲ αὐτὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν τοῖς ἁγίοις λέγοντα μαθηταῖς· « Μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑποτάσσεται ὑμῖν· χαίρετε δὲ μᾶλλον ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφησαν ἐν τοῖς οὐρανοῖς. » Ἐπαρᾶται δὲ σφόδρα εἰκότως ὁ θεσπέσιος Δαβὶδ, τοῖς Ἰουδαίων δήμοις ἀπεκτονόσι Χριστὸν, οὕτω λέγων· « Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων, καὶ μετὰ δικαίων μὴ γραφήτωσαν. » Γράφεται τοίνυν τὸ τοῦ μνημοσύνου βιβλίον τοῖς φοβουμένοις Θεὸν, οὓς καὶ οἰκείους ἔσεσθαί φησιν ἑαυτῷ καὶ γνωριμωτάτους κατά γε τὸν τῆς περιποιήσεως καιρὸν, ὅτε καθιεῖται μὲν ὁ Χριστὸς ἐπὶ θρόνου δόξης αὐτοῦ, ξορυφορούντων ἀγγέλων· « Καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων, καὶ ἐρεῖ τοῖς ἐκ δεξιῶν· Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. » Τότε γὰρ αὐτοὺς αἱρετιεῖ, τουτέστιν αἱρετοὺς ποιήσεται, παραχωρῶν οὐδὲν εἰς φιλοστοργίαν τοῖς καθ' ἡμᾶς πατράσιν, οἳ τοῖς ἰδίοις ἐπιγάνυνται τέκνοις, ὅταν εἶεν μάλιστα σοφὰ καὶ εὐήνια, καὶ διὰ πλείστης αἰδοῦς ποιοῦνται τοὺς φύσαντας.

Dixit etiam ipsemet Dominus noster Christus discipulis suis : « Nolite gaudere quia dæmonia subjiciuntur vobis : gaudete autem potius quia nomina vestra scripta sunt in cœlis [96]. » Male precatur quoque, et quidem justissime, divinus David Judæorum populis Christi interfectoribus his verbis : « Deleantur de libro viventium, et cum justis non scribantur [97]. » Scribitur ergo liber monumenti timentibus Dominum, quos item sibi domesticos et familiarissimos tempore acquisitionis fore affirmat, quando scilicet sedebit Christus super thronum gloriæ suæ, stipantibus angelis : « Et statuet oves a dextris, hædos autem a sinistris, et dicet his qui a dextris erunt : Venite, benedicti Patris mei, percipite regnum quod vobis paratum est a constitutione mundi [98]. » Tunc enim eos eliget, hoc est electos faciet, philostorgia et amore illo singulari nihil cedens patribus nostris, qui super filiis exsultant, cum sunt quam sapientissimi et morigeri : et quorum satu progenerati sunt, eos summa observantia prosequuntur.

Καὶ ἐπιστραφήσεσθε, καὶ ὄψεσθε ἀνὰ μέσον δικαίου, καὶ ἀνὰ μέσον ἀνόμου, καὶ ἀνὰ μέσον τοῦ δουλεύοντος τῷ Θεῷ, καὶ τοῦ μὴ δουλεύοντος.

VERS. 18. *Et convertimini, et videbitis quid sit inter justum et injustum, et inter* 864 *servientem Deo, et non servientem ei.*

ΜΒ'. Τότε δὴ, τότε, φησὶ, τῆς οὕτω λαθραίας εἰκαιομυθίας ἀποπαυσάμενοι, καὶ τὴν ἀκρατῆ καὶ ἀπαίδευτον ἀνακόπτοντες γλῶσσαν, διαλοιδορήσεσθε μὲν οὐκ ἔτι τῷ φιλαρέτῳ Θεῷ, μονονουχὶ δὲ τὴν μέθην ἀποπεμψάμενοι, καὶ οἷον ἐπιστρέφοντες ἐκ πλάνης, εὖ μάλα καταθρήσετε τότε καὶ ὅσον ἐστὶ τὸ μεταξὺ δικαίου καὶ ἀνόμου, τοῦ δουλεύοντος Θεῷ καὶ τοῦ μὴ δουλεύοντος. Οἱ μὲν γὰρ ἄνομοί τε καὶ ἐξήνιοι, καὶ τὸν τῆς ὑπ' αὐτῷ δουλείας ἀποσειόμενοι ζυγὸν οἰχήσονται πρὸς ἀπώλειαν καὶ εἰς ἀτελεύτητον κόλασιν. « Ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, » καθὰ γέγραπται. Οἱ δὲ ἀγαθοὶ καὶ φιλόθεοι, καὶ τῶν θείων νόμων ἐπιστήμονες, καὶ ἁπάσης ἀρετῆς ἐπιμεληταὶ, λαμπροὶ, καὶ ἡγιασμένοι, τὸν τῆς ἀφθαρσίας ἀναδήσονται στέφανον, καὶ ἐν ταῖς ἄνω γεγονότες μοναῖς, συνδιαιτήσονται μὲν ἁγίοις ἀγγέλοις, κοινωνοὶ δὲ τῆς δόξης ἀποφανέντες Χριστοῦ, τοῖς εἰς μακραίωνα βίον ἐντρυφήσουσιν ἀγαθοῖς, « Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, » κατὰ τὸ

XLII. Tunc, tunc, inquit, ab ista clandestina vaniloquentia desinentes, et incontinentem ac stultam linguam compescentes, Deo bonitatis amanti non amplius obloquemini, et propemodum ebrietate repudiata, et quasi pede ab errore revocato, intuebimini clarissime quod et quantum inter justum et injustum sit discrimen, inter servientem Deo et non servientem. Improbi enim, et rebelles, et jugum ejus rejectantes, in perditionem et extrema supplicia amandabuntur. « Ibi erit fletus et stridor dentium » juxta Scripturam [99]. Boni contra et Dei amantes, divinarumque legum gnari, virtutibusque dediti, splendidi, et sanctificati, immortalitatis corona induentur, et in supernas mansiones recepti [1], cum angelis fruentur ævo sempiterno, et participes facti gloriæ Christi, in longa sæcula suaviter carpent bona, « quæ nec oculus vidit, nec auris audivit, nec in cor hominis ascenderunt, » ut scriptum est [2]. Verumtamen cernentes in hac vita homines improbitati amicos, rebus secundis beatos ac florentes, cogitatione distracti

[96] Psal. CXXXVIII, 16. [96] Luc. X, 20. [97] Psal. LXVIII, 29. [98] Matth. XXV, 33, 34. [99] Matth. VIII, 12. [1] Joan XIV, 2. [2] 1 Cor. II, 9.

Digitized by Google

fuerunt sanctorum nonnulli, quamvis non nescirent vitam illorum in exitium desituram. Proinde ita sanctus Jeremias : « Justus es, Domine, quia respondebo ad te : verumtamen judicium loquar ad te. Quid est quod via impiorum prosperatur ? Abundaverunt omnes prævaricatione prævaricantes ? Plantasti eos et radicem egerunt : filios generaverunt, et fecerunt fructum. Prope es tu ori eorum, et longe a renibus eorum. Et tu, Domine, cognoscis me, probasti cor meum coram te [2]. » Et rursum : « Sanctifica eos ad diem occisionis eorum. Quousque lugebit terra [3].» Cernis quomodo in cogitationes perplexas inciderit, cum tamen finem impiorum haud ignoraret. « Omnis caro fenum, et omnis gloria ejus, ut flos feni,» sicut scriptum est [4].

A γεγραμμένον. Πλὴν εὐημεροῦντας βλέποντες ἐν τῷδε τῷ βίῳ τοὺς τῆς φαυλότητος ἐραστὰς, γεγόνασι μὲν ἐν λογισμοῖς τῶν ἁγίων τινὲς, οὐκ ἠγνόησαν δὲ ὅτι τὸ τοῦ βίου πέρας ἔξουσιν εἰς ἀπώλειαν. Καὶ γοῦν ὁ μακάριος Ἱερεμίας οὕτω πώς φησι· « Δίκαιος εἶ, Κύριε, ὅτι ἀπολογήσομαι πρὸς σὲ, πλὴν κρίμα λαλήσω πρὸς σέ. Τί ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται; Εὐθήνησαν ἅπαντες οἱ ἀθετοῦντες ἀθετήματα; Ἐφύτευσας αὐτοὺς, καὶ ἐρριζώθησαν· ἐτεκνοποίησαν, καὶ ἐποίησαν καρπόν. Ἐγγὺς εἶ σὺ τοῦ στόματος αὐτῶν, καὶ πόρρω ἀπὸ τῶν νεφρῶν αὐτῶν. Καὶ σὺ, Κύριε, γινώσκεις με, ἐδοκίμασας τὴν καρδίαν μου ἐναντίον σου. » Εἶτα πάλιν φησί· « Ἅγνισον αὐτοὺς εἰς ἡμέραν σφαγῆς αὐτῶν. Ἕως πότε πενθήσει ἡ γῆ; » Ὁρᾷς ὅπως ἐμπέπτωκεν εἰς λογισμῶν δυσχέρειαν, οὐκ ἠγνόηκε δὲ τῶν δυσσεβούντων τὸ πέρας. « Πᾶσα σὰρξ χόρτος καὶ πᾶσα δόξα ἀνθρώπων, ὡς ἄνθος χόρτου[ς], » κατὰ τὸ γεγραμμένον.

CAP. IV.

VERS. 1. *Quia ecce dies venit ardens sicut clibanus et comburet eos, et erunt omnes alienigenæ, et universi qui faciunt iniqua, stipula ; et succendet eos dies veniens, dicit Dominus omnipotens, et non relinquetur de eis radix neque germen.*

865 XLIII. Diem judicii in igne futurum reputare secum consentaneum est, « in quo cœli magno impetu transient, elementa vero calore solventur, terra autem et quæ in ipsa sunt opera exurentur omnia. Novos vero cœlos, et novam terram secundum promissa ipsius exspectamus [6] ; » sic enim quidam sanctorum discipulorum dixit. Inquit ergo, Veniet ut clibanus dies Domini, et omnes quidem alienigenas comburet, nihilominus etiam facientes iniqua assumet ; unum enim et illi et hi supplicium subibunt. Vide autem hic festivitatem. Nunc meminit alienigenarum. Postquam enim eos beatos prædicarunt, dicentes : « Et nunc nos beatos dicimus alienos, et reædificantur omnes qui faciunt iniqua, Deo restiterunt, et salvi facti sunt, » hic eos combustum iri autumat, ut qui gloriam Dei oppugnaverint, et creaturam quam Creatorem adorare maluerint [7].»

Ratiocinabimur et aliter, alienigenas appellatos esse idololatras, et alio quodam modo alienatos a sacra et electa gente : hæreticos, inquam, de quibus appositissime dicitur : « Ex nobis exierunt, sed non erant ex nobis. Nam si fuissent ex nobis, mansissent utique nobiscum [8]. » Hi namque, divina nobilitate abjecta, et a gente sancta atque electa separati quæ facta est in acquisitionem [9] (per fidem utique in Christum), cibus erunt ignis omnia devorantis. Eodem loco apud Deum erunt qui faciunt iniqua, tametsi admisti fuerint fortasse credentibus et electis, et eum qui natura ac veritate Deus est, cognoverint. Non enim hoc illis ad ablutionem peccatorum sufficit :

ΚΕΦΑΛ. Δ'.

Διότι ἰδοὺ ἡμέρα ἔρχεται καιομένη ὡς κλίβανος, καὶ φλέξει αὐτοὺς, καὶ ἔσονται πάντες οἱ ἀλλογενεῖς, καὶ πάντες οἱ ποιοῦντες ἄνομα καλάμη, καὶ ἀνᾴψει αὐτοὺς ἡμέρα ἡ ἐρχομένη, λέγει Κύριος παντοκράτωρ, καὶ οὐ μὴ ὑπολειφθῇ ἐξ αὐτῶν ῥίζα οὐδὲ κλῆμα.

ΜΓ'. Ἐν πυρὶ γὰρ ἔσεσθαι τὴν τῆς κρίσεως ἡμέραν ἐννοεῖν ἀκόλουθον, « Ἐν ᾗ οἱ οὐρανοὶ μὲν ῥοιζηδὸν παρελεύσονται, στοιχεῖα δὲ καυσούμενα λυθήσονται, γῇ δὲ καὶ τὰ ἐν αὐτῇ ἔργα κατακαήσεται πάντα. Καινοὺς δὲ οὐρανοὺς, καὶ καινὴν γῆν κατὰ τὰ ἐπαγγέλματα αὐτοῦ προσδοκῶμεν· » ἔφη γὰρ ὧδέ τις τῶν ἁγίων μαθητῶν. Ἥξει τοίνυν, φησὶν, ὡς κλίβανος ἡ ἡμέρα Κυρίου, καὶ καταφλέξει μὲν ἅπαντας τοὺς ἀλλογενεῖς, προσθήσει δὲ τούτοις καὶ τοὺς ποιοῦντας τὰ ἄνομα· μία γὰρ ἔσται τοῖς κατ' ἀμφοῖν ἡ δίκη. Ἄθρει δὲ οὕτως ἀστειότητα. Νυνὶ διαμέμνηται τῶν ἀλλογενῶν. Ἐπειδὴ γὰρ αὐτοὺς ἐμακάριζον, λέγοντες· « Καὶ νῦν ἡμεῖς μακαρίζομεν ἀλλοτρίους, καὶ ἀνοικοδομοῦνται ποιοῦντες ἄνομα, καὶ ἀντέστησαν Θεῷ, καὶ ἐσώθησαν, » ταύτῃ καταφλεχθήσεσθαί φησιν αὐτοὺς, ὡς τῇ τοῦ Θεοῦ δόξῃ πεπολεμηκότας, καὶ προσκυνεῖν ἑλομένους τὴν κτίσιν παρὰ τὸν κτίσαντα.

Λογιούμεθα καὶ ἑτέρως ἀλλογενεῖς ὀνομάζεσθαι τοὺς εἰδωλολάτρας, καὶ τοὺς καθ' ἕτερόν τινα τρόπον ἠλλοτριωμένους τοῦ ἱεροῦ τε καὶ ἁπολέκτου γένους, οἷόν τί φημι τοὺς αἱρετικοὺς, περὶ ὧν ἂν λέγοιτο, καὶ μάλα εἰκότως· « Ἐξ ἡμῶν ἐξῆλθον, ἀλλ' οὐκ ἦσαν ἐξ ἡμῶν. Εἰ γὰρ ἦσαν ἐξ ἡμῶν, μεμενήκεσαν ἂν μεθ' ἡμῶν. » Οὗτοι τὴν θείαν εὐγένειαν ἀποβεβληκότες, ἀπονοσφιζόμενοί τε τοῦ ἱεροῦ καὶ ἁπολέκτου γένους τοῦ γεγονότος εἰς περιποίησιν (διὰ πίστεως δὲ δηλονότι τῆς ἐν Χριστῷ), πυρὸς ἔσονται τοῦ παμφάγου τροφή. Ἐν ἴσῃ δὲ μοίρᾳ κεῖσονται παρὰ Θεῷ καὶ οἱ ποιοῦντες ἄνομα, κἂν εἰ ἐγκρίνοιντο τυχὸν τοῖς πεπιστευκόσι καὶ ἐξειλεγμέ-

[2] Jerem. XII, 1, 2. [3] Ibid. 3, 4. [4] Isa. XL, 6. [6] II Petr. III, 10. [7] Rom. I, 25. [8] I Joan. II, 19. [9] I Petr. II, 9.

Digitized by Google

νοις, καὶ τὸν φύσει δὲ καὶ ἀληθῶς εἰδόσι Θεόν. Οὐ γὰρ ἀπόχρη τοῦτο αὐτοῖς πρὸς ἀπόνιψιν ἁμαρτίας, εἴπερ ἐστὶν ἀληθὲς, ὡς « ἡ πίστις χωρὶς ἔργων νεκρά ἐστι. » Δικαιοῖ μὲν γὰρ ἡ πίστις ἡ εἰς Χριστὸν, καὶ τῆς τῶν προεπταισμένων ἀπαλλάττει κηλίδος. Εἰ δὲ δή τις μετὰ τοῦτο ῥᾳθυμός τε καὶ ἀναπεπτωκὼς εὑρίσκοιτο πρός τε τὰ σαρκὸς καὶ τὰ τοῦ κόσμου πάθη, νενέκρωκεν οἱονεί πως ἐν ἑαυτῷ τὴν πίστιν, προστιθεὶς μὲν οὐδὲν τῶν ἐπαινουμένων, παλινδρομήσας δὲ μᾶλλον ἐπὶ τὴν ἀρχαίαν τοῦ βίου σκαιότητα. Περὶ τῶν τοιούτων φησὶ καὶ ὁ θεσπέσιος μαθητής· « Κρεῖσσον γὰρ ἦν αὐτοῖς μὴ ἐπεγνωκέναι τὴν ὁδὸν τῆς δικαιοσύνης, ἢ ἐπιγνοῦσιν εἰς τὰ ὀπίσω ἀνακάμψαι ἀπὸ τῆς παραδοθείσης αὐτοῖς ἁγίας ἐντολῆς. Συμβέβηκεν γὰρ αὐτοῖς τὸ τῆς ἀληθοῦς Παροιμίας· « Κύων ἐπιστρέψας ἐπὶ τὸ ἴδιον ἐξέραμα, καὶ ὗς λουσαμένη εἰς κύλισμα βορβόρου. » Οὐκοῦν ἐν ἴσῳ τοῖς ἀλλογενέσι καὶ οἱ ποιοῦντες ἄνομα, οἳ καὶ ἔσονται καλάμη, κατάφλεχθήσονται δὲ οὕτως ὡσανεὶ κἀκείνη πυρὸς ἐπενηνεγμένου. Συνάγεται γὰρ ὁ σῖτος εἰς ἀποθήκην, καθὰ καὶ ὁ Σωτὴρ φησι περὶ τῶν ἁγίων θεριστῶν· τὸ δὲ ἄχυρον κατακαίεται πυρὶ ἀσβέστῳ. « Καὶ οὐ μὴ ὑπολειφθῇ αὐτοῖς ῥίζα, οὐδὲ κλῆμα· » τουτέστιν, οὐδεμίαν ἔχουσιν ἐλπίδα τοῦ καὶ αὖθις ἀναφυῆναι πρὸς ζωὴν, ζωὴν δέ φημι τὴν ἀξιέραστόν τε καὶ ὡς ἐν δόξῃ τῇ παρὰ Θεῷ, τὴν ὡς ἐν ἁγιασμῷ καὶ μακαριότητι νοουμένην. Ῥίζης μὲν γὰρ οὐκ εἰσάπαν ἐκκεκομμένης, οὔτε μὴν κλήματος εἶδον ἐκ βάθους ἐξῃρημένου, σώζεταί τις ἐλπὶς τοῦ καὶ ἀναφύναι πάλιν· « Ἔστι γὰρ δένδρῳ ἐλπὶς, » κατὰ τὸ γεγραμμένον. Ἐὰν γὰρ ἐκκοπῇ, πάλιν ἐπανθήσει, καὶ ὁ ῥάδαμνος δὲ αὐτῆς οὐ μὴ ἐκλ[ε]ίπῃ. Εἰ δὲ δή κάτωθεν καὶ ἐξ αὐτῆς ῥίζης εἰσάπαν ἀναμοχλεύοιτο, καὶ ἀγρίαν τῶν κλημάτων ὑπομένοι τομὴν, συνδιολεῖται πάντως αὐτῷ καὶ ἐλπὶς ἅπασα τὸ καὶ εἰσαῦθις ἀναφυῆναι δύνασθαι πρὸς ζωήν. Οὐκοῦν ὡς ἐξ ὁμοιότητος τῆς τῶν φυτῶν ἐξῃρῆσθαί τοῦτο σαφῶς ὁ θεσπέσιος Ἡσαΐας ἐπαγγέλλει, πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί. »

A siquidem verum illud : « Fidem sine operibus mortuam esse [10]. » Justificat enim fides in Christum [11], præteritorumque peccatorum maculam abstergit. At si quis post hæc socors exstiterit, et in ea quæ carnis et mundi sunt, reciderit, is in seipso fidem quasi occidit, dum nihil laudabilium factorum ei adjungit, sed ad veterem potius vitæ pravitatem recurrit. De talibus divinus item discipulus : « Melius enim erat illis non cognovisse viam justitiæ, quam post agnitam retro converti ab eo quod traditum est illis sancto mandato. Contigit enim illis illud veri Proverbii : Canis reversus ad vomitum, et sus lota in volutabro luti [12]. » **866** Quare qui iniqua faciunt ejusdem farinæ sunt cum alienigenis, qui etiam erunt stipula, et perinde comburentur ut B illa igne injecto comburitur. Triticum enim congregatur in horreum, quemadmodum Salvator sanctis messoribus ait : Palea vero comburitur, igne inextinguibili [13]. » Nec relinquetur ipsis radix neque germen. » Hoc est, nullam spem ad vitam renascendi habebunt ; loquor autem de ea vita, quæ expetenda est, et ad gloriam Dei dirigitur, et in sanctificatione ac beatitudine intelligitur. Radice enim non prorsus excisa, nec germine velut ab imo evulso, spes renascendi manet. « Est enim spes arbori, » ut scriptum est [14]. Si enim amputata fuerit, reflorescet, et germen ejus non deficiet. Quod si ab imo et ab ipsa radice penitus emota fuerit, germinibus quoque crudeliter amputatis, una omnino etiam spes omnis cum ipsa peribit posse ad vitam in posterum repullulare. Ex similitudine igitur stirpium spem omnem C iis qui peccandi delectatione ducuntur, ademptam autumat. Id quod perspicue Isaias divinus nuntiat, cum dicit : « Vermis eorum non morietur, et ignis eorum non exstinguetur, et erunt in visionem omni carni [15]. »

φησιν ἅπασαν τῶν φιλαμαρτημόνων ἐλπίδα. Καὶ λέγων· « Ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ

Καὶ ἀνατελεῖ ὑμῖν τοῖς φοβουμένοις τὸ ὄνομά μου Ἥλιος δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ. Καὶ ἐξελεύσεσθε καὶ σκιρτήσετε ὡς μοσχάρια ἐκ δεσμῶν ἀνειμένα. Καὶ καταπατήσετε ἀσεβεῖς, διότι ἔσονται σποδὸς ὑποκάτω τῶν ποδῶν ὑμῶν, ἐν τῇ ἡμέρᾳ, ᾗ ἐγὼ ποιῶ, λέγει Κύριος παντοκράτωρ.

Μάλ'. Ἐπέλαμψε μὲν ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος τοῖς ἐν τῷδε τῷ κόσμῳ, καὶ τὴν καθ' ἡμᾶς ὁμοίωσιν ὑποδύς, « Γέγονε σὰρξ ὁ Λόγος, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, » ἐν ἀχλύϊ δὲ ὄντας καὶ σκότῳ, καθάπερ τις ἥλιος ταῖς οἰκείαις περιαστράπτων μαρμαρυγαῖς, καὶ τὴν τῆς ἀληθοῦς θεογνωσίας ἀκτῖνα λαμπρὰν ταῖς τῶν πιστευόντων ψυχαῖς ἐνιείς, καθαροὺς ἀπέφηνε, καὶ σοφοὺς, καὶ ἁπάσης ἀγαθουργίας ἐπιστήμονας. Ἔδειξε δὲ ἡμῖν ἐν ἑαυτῷ τὸν Πατέρα, καὶ διὰ τῆς

Vers. 2, 3. *Et orietur vobis timentibus nomen meum Sol justitiæ, et sanitas in alis ejus. Et egrediemini, et salietis sicut vituli de vinculis relaxati. Et conculcabitis iniquos, quia erunt cinis sub pedibus vestris, in die qua ego facio, dicit Dominus omnipotens.*

XLIV. Illuxit sane unigenitus Dei Verbum hunc mundum incolentibus, et similitudine nostri susceptа, « Verbum caro factum est, et habitavit in nobis [16], » et in caligine ac tenebris positos, velut sol quidam propriis splendoribus circumfulgens, et veræ cognitionis Dei clarum radium credentium animabus immittens, puros, sapientes, omniumque bonorum operum scientes reddidit. Ostendit autem nobis in semet Patrem, verque arcanam mystago-

[10] Jac. II, 20. [11] Galat. II, 16. [12] II Petr. II, 21, 22. [13] Matth. III, 12. [14] Daniel IV, 23. [15] Isa. LXVI, 24. [16] Joan. I, 14.

Digitized by Google

giam felicissimos ac sapientes, mentemque ejus cognitione plenam habentes effecit. Verum etiam ad hunc splendorem adducti, « Et divites facti, juxta verbum beati Pauli, in omni sermone, et in omni scientia, et in omni sapientia [17], videmus nunc in speculo et in ænigmate, et cognoscimus ex parte [18]. **867** Veniet autem aliquando quod perfectum est [19], » et tum plenissime Christum cognoscemus, cum iterum de cœlo nobis illucebit, « et evacuabit quod ex parte est [20], » et cognitionem in speculo et ænigmate, et tanquam perfectiores illuminabit, et divina quadam atque ineffabili luce mentem replebit, et Spiritus sancti effusione exhilarabit. Ait enim divinus Paulus : « Sive prophetiæ evacuabuntur, et scientiæ cessabunt [21]. Non putamus autem nos a cognitione ex parte ad nihil prorsus sciendum processuros, multum abest. Alioqui quomodo futuræ spei tempus sanctorum animabus non detrimentosum erit, si penitus etiam quæ habemus amittere oportebit, non meliora acquirendo, non ad quiddam sublimius mentem extollendo, sed vendendo potius etiam jam et non citra defatigationem aliquando acquisita? Evacuabuntur autem et prophetiæ, et cessabit scientia, cum nimirum animabus nostris illa superexcellens se insinuaverit. Quemadmodum enim si quis una in domo lucente lucerna, et modicum ipsam intuentibus lumen fundente lampadem intulerit, necesse erit omnino lumen illud prius tantum non otiosum ac nullum esse, cedens videlicet immensitati majoris : et sicut sole mundum illustrante imbecillus stellarum fulgor relinquitur, sic lucidiore nobis scientia apportata, minor aliquando evacuabitur. Ait et Christus sanctis apostolis : « Hæc in proverbiis locutus sum vobis. Venit hora, quando non jam in proverbiis loquar vobis, sed palam de Patre meo annuntiabo vobis [22]. » Quamobrem sanctis qui nomen Dei eximie timuerunt, et adhuc corporum inclusi compagibus in omni genere virtutis sedulo elaborarunt, instar solis cujusdam justitiæ Christus illucebit, perfectissimæ scientiæ radios immittens, et quacunque animæ imbecillitate ac langnore eos levans, et a pristina tribulatione longissime disjungens. Hoc enim est quod ait : « Sanitas est in alis, seu pennis ejus : » quasi de aquilis et pullis earum loqueretur, juxta illud sine dubio, quod per Mosen sapientissimum de Deo, et de liberatis ab Ægypto prolatum est : « Sicut aquila cooperiet nidum suum. Expandens alas suas suscepit eos [23]. » Erit igitur, inquit, « sanitas in pennis ejus. » In hoc enim sæculo exsultantes in nobis carnis motus magnopere sentimus, qui mentem ad inconcessas **868** voluptates exsuscitant, et sævit in membris nostris peccati lex [24], quamvis Christo adjuvante sanctorum moderatione interdum

ἀπορρήτου μυσταγωγίας εὐτυχεστάτους (1) ἀπέφηνε καὶ σεσοφισμένους, ἐμπλεών τε τὸν νοῦν τῆς περὶ αὐτοῦ γνώσεως ἔχοντας. Πλὴν καὶ εἰς τοῦτο φαιδρότητος παρεντηγεγμένοι, « πεπλουτισμένοι τε, καθάφησιν ὁ μακάριος Παῦλος, ἐν παντὶ λόγῳ, καὶ ἐν πάσῃ γνώσει, καὶ ἐν πάσῃ σοφίᾳ, βλέπομεν ἄρτι ἐν ἐσόπτρῳ καὶ αἰνίγματι, καὶ γινώσκομεν ἐκ μέρους. Ἥξει δὲ κατὰ καιροὺς τὸ τέλειον, » καὶ ἐν πληροστάτῃ λοιπὸν ἐσόμεθα γνώσει Χριστοῦ, πάλιν ἡμῖν ἐξ οὐρανῶν ἐπιλάμψαντος, « καὶ καταργοῦντος μὲν τὸ ἐκ μέρους, » καὶ τὴν ἐν ἐσόπτρῳ καὶ αἰνίγματι γνῶσιν, καταλάμποντος δὲ ὥσπερ τοῖς τελειωτέροις, καὶ θείου τινὸς καὶ ἀπορρήτου φωτὸς ἀναπιμπλάντος τὸν νοῦν, καὶ τῇ τοῦ ἁγίου Πνεύματος χύσει καταφαιδρύνοντος. Ἔφη μὲν γὰρ ὁ θεσπέσιος Παῦλος· « Εἴτε δὲ προφητεῖαι καταργηθήσονται, καὶ γνῶσις παύσονται. » Φαμὲν δὲ οὐκ ἀπὸ τοῦ γινώσκειν ἐκ μέρους ἐπὶ τὸ μηδόλως εἰδέναι τι βαδιούμεθα, πολλοῦ γε καὶ δεῖ. Ἐπεὶ τίνα τρόπον ὁ τῆς μελλούσης ἐλπίδος καιρὸς οὐ πρὸς ζημίας ἔσται ταῖς τῶν ἁγίων ψυχαῖς, εἰ χρὴ πάντως καὶ ὧν ἂν ἔχοιμεν ἀπολισθεῖν οὐ τὰ ἀμείνω κερδαίνοντας, οὐκ ἐπί τι τῶν ὑπερκειμένων ἰέντας τὸν νοῦν· ἀπεμπωλοῦντας δὲ μᾶλλον καὶ τὸ ἤδη πεπορισμένον οὐκ ἀταλαιπώρως ἔσθ' ὅτε; Καταργηθήσονται καὶ προφητεῖαι, πεπαύσεται δὲ καὶ γνῶσις, ἐπεισκρινομένης δηλονότι ταῖς ἡμετέραις ψυχαῖς τῆς ἄγαν ὑπερκειμένης. Ὥσπερ γὰρ εἴ τις ἑνὸς ἐν οἴκῳ φαίνοντος λύχνου, καὶ μετρίαν ἐν τοῖς αὐτὸν ὁρῶσιν ἱέντος αὐγήν, εἰσκομίσειε λαμπάδα, πᾶσά πως ἀνάγκη μονονουχὶ καὶ ἀπρακτεῖν τὸ ἐκείνου φῶς τὴν τῇ τοῦ μείζονος ἀμετρίᾳ παραχωροῦν· καὶ ὥσπερ ἡλίου τὴν ὑπ' οὐρανὸν καταυγάζοντος, ἀδρανὴς ἤδη πως ἡ τῶν ἀστέρων ἀπολέλειπται λαμπρότης· οὕτω φαιδροτέρας ἡμῖν εἰσκεκομισμένης γνώσεως καταργηθήσεταί πως ἡ μείων. Ἔφη δέ που καὶ ὁ Χριστὸς τοῖς ἁγίοις ἀποστόλοις· « Ταῦτα ἐν παροιμίαις λελάληκα ὑμῖν. Ἔρχεται ὥρα, ὅτε οὐκέτι ἐν παροιμίαις λαλήσω πρὸς ὑμᾶς· ἀλλ' ἐν παῤῥησίᾳ περὶ τοῦ Πατρὸς ἀναγγελῶ ὑμῖν. » Οὐκοῦν τοῖς ἁγίοις, οἳ καὶ σφόδρα πεφόβηνται τὸ ὄνομα τοῦ Θεοῦ, καὶ ἀπάσης ἀρετῆς ἐπιμεληταὶ γεγόνασιν ἐν τῷδε τῷ κόσμῳ Χριστὸς ἀναλάμψει, καθάπερ τις δικαιοσύνης ἥλιος τῆς τελειοτάτης γνώσεως τὰς αὐγὰς ἐνιεὶς, καὶ ἀπάσης αὐτοὺς ἀπαλλάττων ψυχικῆς ἀῤῥωστίας, καὶ θλίψεως τῆς ἀρχαίας ὡς ἀπωτάτω τιθείς. Τοῦτο γάρ ἐστι τό· « Ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ· οἷον ὡς ἐπ' ἀετοῦ καὶ νεοττῶν εἰρημένον, κατ' ἐκεῖνό που πάντως, τὸ διὰ τοῦ πανσόφου Μωσέως λελεγμένον περὶ Θεοῦ, καὶ τῶν ἐξ Αἰγύπτου λελυτρωμένων· « Ὡς ἀετὸς σκεπάσει νοσσιὰν ἑαυτοῦ· διεὶς τὰς πτέρυγας αὐτοῦ, ἐδέξατο αὐτούς. » Ἔσται τοίνυν, φησὶ, « καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ. » Ἐν μὲν γὰρ τῷ αἰῶνι τούτῳ δεινά πώς ἐστιν ἐν ἡμῖν τῆς σαρκὸς τὰ σκιρτήματα· καταθήγει γὰρ τὸν

[17] I Cor. I, 5. [18] I Cor. XIII, 12. [19] Ibid. 10. [20] Ibid. [21] Ibid. 8. [22] Joan. XVI, 25. [23] Deut. XXXII, 11. [24] Rom. VII, 23.

(1) Coteterius (*Monum. Eccl. Gr. II*, 619) conjicit ἐντεχνεστάτους vel εὐτεχνοτάτους, *doctissimos*. EDIT.

Digitized by Google

νοῦν εἰς ἐκτόπους ἡδονάς, ἀγριαίνει δὲ ἐν τοῖς μέλεσιν ὑμῶν τῆς ἁμαρτίας ὁ νόμος, ἢ καὶ νικᾶται τυχὸν διὰ τῆς τῶν ἁγίων ἐπιεικείας ἐπαμύνοντος τοῦ Χριστοῦ. Καταμεθύει δέ πως ὁ νοῦς, καὶ καθ' ἕτερον τρόπον πειραζόμενος ὑπὸ παθῶν· ἁλαζονεῖαί τε γὰρ ἐπισκήπτουσι, καὶ φιλοδοξίαι κοσμικαί, ὀργαί, καὶ φιλοχέρδειαι, καὶ τὰ ἕτερα τῶν κακῶν. Ἐπειδὴ δὲ τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος διὰ Χριστοῦ πεπλουτήκαμεν, εἰθίσμεθά τε κατευμεγεθεῖν τῶν παθῶν, πλὴν ἰδρῶτος οὐ δίχα, κατὰ δέ γε τὸν αἰῶνα τὸν μέλλοντα πλήρη τῆς θεογνωσίας ἔχοντες τὴν αὐγὴν, καὶ τὴν τελειοτάτην τῆς δωρεᾶς τοῦ ἁγίου πλουτοῦντες Πνεύματος, ἀποδυσάμενοί τε τὴν φθορὰν καὶ τὰ τῆς σαρκὸς πάθη, Θεῷ λατρεύομεν ὁλοτρόπως, οὐ μεριζόμενοι πρὸς ἁμαρτίαν, οὔτε μὴν ὑπό του τῶν πάλαι παθῶν ἐνοχλούμενοι, ἀλλ' ἐν ἴσῃ τάξει τοῖς ἁγίοις ἀγγέλοις τὸν καθαρὸν καὶ ἀπήμονα βιοῦντες βίον. Γέγραπται γὰρ περὶ τῶν ἁγίων, ὅτι ἐπιλήσονται τὴν θλῖψιν αὐτῶν, καὶ οὐκ ἀναβῇ αὐτῶν ἐπὶ τὴν καρδίαν. « Ἔσται δὲ, φησὶ, καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν, αἴνεσις, καὶ εὐφροσύνη, καὶ ἀγαλλίαμα καταλήψεται αὐτοὺς, ἀπέδρα ὀδύνη, λύπη, καὶ στεναγμός. » Ταύτῃ τοι φησὶν ὁ προφήτης, ἤτοι Θεὸς ὁ τούτων ἐργάτης καὶ δοτὴρ, ὅτι « Ἐξελεύσεσθε, καὶ σκιρτήσεσθε ὡς μοσχάρια ἐκ δεσμῶν ἀνειμένα. » Ὥσπερ γὰρ τὰ μοσχάρια τὰ ὑπότιτθα δεσμῶν ἀνιέμενα κατασκαίρουσι τῶν ἀγρῶν, ἐν εὐανθεῖ τῇ πόᾳ ἀποπηδῶντά τε καὶ διαμυκώμενα· οὕτω κατὰ καιροὺς οἱ ἅγιοι μονονουχὶ δεσμῶν ἀνειμένοι τῆς ἐν τῷδε τῷ βίῳ θλίψεως, φροντίδος, ἱδρῶτός τε καὶ πόνων, εἰς τὴν τοῖς ὁσίοις πρέπουσαν εὐθυμίαν ἐκβήσονται, πατοῦντες ἀνόμους, οὐ μαχομένους ἔτι καὶ ἀνθεστηκότας, πεσόντας δὲ ἤδη καὶ νενικημένους, καὶ οἷον ὑπὸ πόδας κειμένους, τῷ καὶ ἀνῃρῆσθαι παντελῶς τὸν παρ' αὐτῶν πόλεμον. « Οὐ γὰρ ἔσται ἐκεῖ λέων, οὐδὲ τῶν θηρίων τῶν πονηρῶν οὐδὲν μὴ ἀναβῇ ἐκεῖ, κατὰ τὸ γεγραμμένον. Ἔσται δὲ μᾶλλον ὁδὸς καθαρὰ, καὶ ὁδὸς ἁγία κληθήσεται. » Ἀπόλεμος γὰρ καὶ ἀπάσης κηλίδος ἀπηλλαγμένη κατ' ἐκεῖνο μάλιστα τοῦ καιροῦ τῶν ἁγίων ἔσται ζωή.

A vincatur. Inebriatur autem quodammodo mens, et alio modo a passionibus irritata : irruunt enim arrogantiæ, et amor vanæ ac mundanæ gloriæ, ira, lucri aviditas, et aliæ demum pestes. Postquam autem pignore Spiritus per Christum ditati sumus [25], domitas habere cupiditates, quamvis haud citra sudorem, consuevimus, et secundum sæculum futurum plena luce divinæ cognitionis præditi, perfectione doni Spiritus sancti divites sumus, et corruptionem passionesque carnis exuimus, Deo servimus omnimodis, non divisi propter peccatum, neque a veteribus passionibus agitati, sed instar sanctorum angelorum puram et innocentem vitam ducimus. Scriptum est enim de sanctis, quod obliviscentur tribulationis suæ et non ascendet in cor eorum. « Erit autem, B inquit, lætitia sempiterna super capita eorum, laus, et lætitia, et exsultatio comprehendet eos, fugiet dolor, tristitia, et gemitus [26]. » Idcirco ait propheta, sive Deus horum effector atque dator : « Egrediemini, et salietis sicut vituli teneri vinculis soluti. » Sicut namque vituli adhuc subrumi, seu lactentes, vinculis demptis per agros exsiliunt, et in herba virenti subsultant et mugiunt; ita olim sancti hujus vitæ tribulationis, curarum, sudoris, laborum quasi vinculis exsoluti, in jucunditatem sanctis congruentem ingredientur, et iniquos, non jam pugnantes et resistentes, sed prostratos, et victos, et tanquam sub pedibus jacentes conculcabunt, quod etiam belli materia et metus omnis ab ipsis ablatus sit. « Non C enim erit ibi leo, neque ulla malarum bestiarum ascendet illic, ut scriptum est; sed erit potius via pura, et via sancta vocabitur [27]. » Exsors enim pugnæ, et omnis maculæ pura illo potissimum tempore sanctorum vita erit.

Καὶ ἰδοὺ ἐγὼ ἀποστελῶ ὑμῖν Ἠλίαν τὸν Θεσβίτην, πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ, ὃς ἀποκαταστήσει καρδίαν πατρὸς πρὸς υἱὸν, καὶ καρδίαν ἀνθρώπου πρὸς τὸν πλησίον αὐτοῦ, ἵνα μὴ ἔλθω, καὶ πατάξω τὴν γῆν ἆρδην.

Vers. 5, 6. *Ecce ego mittam vobis Eliam Thesbiten, antequam veniat dies Domini magnus et illustris, qui restituet cor patris ad filium, et cor hominis ad proximum suum, ne veniam, et percutiam terram penitus.*

ΜΕ'. Ἀπόδειξις ἡμερότητος καὶ ἀνεξικακίας Θεοῦ, τὸ καὶ Ἠλίαν ἡμῖν τὸν Θεσβίτην προαναλάμψαι κατὰ καιροὺς, ὅτι παρέσται λοιπὸν ὁ κριτὴς, τοῖς ἀνὰ πᾶσαν τὴν οἰκουμένην προαγγέλλοντα. Καταβήσεται γὰρ κριτὴς ἐν τῇ δόξῃ τοῦ Θεοῦ καὶ Πατρὸς, δορυφορούντων ἀγγέλων, « Καὶ καθιεῖται μὲν ἐπὶ θρόνου δόξης αὐτοῦ, κρίνων τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἀποδώσει δὲ πάντως ἑκάστῳ κατὰ τὸ ἔργον αὐτοῦ. » Ἐπειδὴ δὲ ἐν πλείσταις ἐσμὲν ἁμαρτίαις, προβαδίζει χρησίμως ὁ θεσπέσιος προφήτης, εἰς ὁμοψυχίαν ἄγων τοὺς ἐπὶ τῆς γῆς, ἵνα δὴ σύμπαντες εἰς ἑνότητα τὴν διὰ πίστεως συνηγμένοι, καὶ τῶν εἰς φαυλότητα σπουδασμάτων ἀποπαυσάμενοι, πληροῦν ἕλοιντο τὸ ἀγαθὸν, οὕτω τε σωθεῖεν καταφοιτήσαντος τοῦ κριτοῦ. Φθάσας μὲν οὖν ὁ μακάριος Βαπτιστὴς

XLV. Argumentum mansuetudinis et tolerantiæ D Dei, quod Elias Thesbites quoque nobis prius olim affulsurus est, qui omnibus **869** mortalibus affuturum judicem prænuntiet. Descendet enim judex in gloria Dei et Patris, comitantibus angelis, « Et sedebit in sede majestatis suæ [28], judicans orbem terrarum in justitia [29], et reddet plane unicuique secundum opera sua [30]. » Quoniam autem multis peccatis obstricti sumus, utiliter præcedit divinus propheta, homines per terras in concordiam reducens, ut omnes in unitatem fidei congregati et a perversorum operum studiis quiescentes, quod bonum est, efficere velint, atque ita veniente judice salventur. Prius igitur venit beatus Baptista Joannes « in spiritu et virtute Eliæ [31]. » Sed quemadmodum

[25] I Cor. I, 5. [26] Isa. XXXV, 10. [27] ibid. 8, 9. [28] Matth. XXV, 31. [29] Psal. IX, 8. [30] Matth. XVI, 27; Rom. II, 6. [31] Luc. I, 17.

Digitized by Google

ipse prædicabat : « Parate viam Domini, rectas facite semitas Dei nostri [32] ; » ita et divinus Elias vicinum jam tunc prædicabit, et jam jam affuturum, « ut judicet orbem in justitia. » Ac nunc quidem fortasse dissident quidam, et divisus est pater in filium, filius autem in patrem suum [33]. Hic enim credidit in Christum, ille in apostolis numeratur ; alii dissident charitate mutua, divisi propter odium, et perpetuas iras, et contentiones super quocunque mundi negotio. Restituet autem propheta, et olim discrepantes ad unam fidem revocans, « et convertens hominem ad proximum suum, ne veniam, inquit, et percutiam terram penitus, » hoc est, omni ratione et omnimodis. Vides igitur lenitatem Domini omnium. Prius auctor est mortalibus, et propemodum protestatur per vocem Eliæ, se judicem venturum, ut conversi ad meliora et vitam suam emendantes qui tunc vixerint in terris, in rigidum judicem ne incidant, a quo in flammas « et in tenebras exteriores mittantur [34] ; » audiant autem potius : « Venite, benedicti Patris mei, percipite paratum vobis regnum a constitutione mundi [35]. »

A Ἰωάννης προῆλθεν « ἐν πνεύματι καὶ δυνάμει Ἠλίου. » Ἀλλ' ὥσπερ αὐτὸς διεκήρυττε λέγων· « Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν· » οὕτω καὶ ὁ θεσπέσιος Ἠλίας ἐγγὺς ὄντα διακηρύξει τότε, καὶ ὅσον οὐδέπω παρεσόμενον, « ἵνα κρίνῃ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ. » Καὶ νῦν μὲν ἴσως διχονοοῦσί τινες, καὶ μεμέρισται μὲν πατὴρ πρὸς υἱὸν, υἱὸς δὲ ὡς πρὸς πατέρα. Ὁ μὲν γὰρ πεπίστευκεν εἰς Χριστὸν, ὁ δὲ τοῖς ἀποστόλοις ἐστὶν ἐναρίθμιος, ἕτεροι δὲ διεστήκασι τῆς ἀλλήλων ἀγάπης, διεσχισμένοι πρὸς ἔχθραν καὶ ἀκαταλήκτους ὀργὰς καὶ τὰς ἐφ' ὑτῳοῦν τῶν ἐν κόσμῳ πραγμάτων φιλονεικίας. Ἀποκαταστήσει γε μὴν ὁ προφήτης, καὶ εἰς μίαν συνάγων πίστιν πάλαι διηρημένους, « καὶ ἀποκαθιστὰς ἄνθρωπον πρὸς τὸν B πλησίον αὐτοῦ, ἵνα μὴ ἔλθω, φησὶ, καὶ πατάξω τὴν γῆν ἄρδην, » τουτέστιν ὁλοτρόπως καὶ παντελῶς. Ὁρᾷς οὖν ἄρα τὴν ἡμερότητα τοῦ πάντων Δεσπότου. Προαναπείθει τοὺς ἐπὶ τῆς γῆς, καὶ μονονουχὶ διαμαρτύρεται διὰ τῆς Ἠλίου φωνῆς, ὅτι παρέσται κριτὴς, ἵνα ταῖς εἰς τὸ ἄμεινον μεταδρομαῖς τὸν οἰκεῖον ἐπανορθοῦντες βίον οἱ τὸ τηνικάδε ζῶντες ἐπὶ τῆς γῆς, μὴ πικρῷ περιτύχοιεν δικαστῇ, πέμποντι πρὸς φλόγα, « καὶ εἰς τὸ σκότος τὸ ἐξώτερον. » Ἀκούσειαν δὲ μᾶλλον· « Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. »

VERS. 4. *Mementote legis Mosi servi mei, sicut præcepi ei in Horeb ad omnem Israel præcepta et judicia.*

Μνήσθητε νόμου Μωσῆ τοῦ δούλου μου, καθότι ἐνετειλάμην αὐτῷ ἐν Χωρὴβ πρὸς πάντα τὸν C Ἰσραὴλ προστάγματα καὶ δικαιώματα.

XLVI. Rursum suadet prophetæ sermones legentibus uti cogitent, non novam aut inconsuetam super Christo prædicationem esse factam, neque a solo Malachia prænuntiatam, sed ab antiquis et primis temporibus, ut ita dicam, quibus ad Dei notitiam Israel vocatus est, quando leges in Oreb divinitus **870** latæ sunt. Descendit enim universorum Deus in specie ignis super montem Sina, apparuitque fumus, et flammæ in sublimi micantes, et aspicientibus multum terrorem incutientes. Erant item tenebræ, et caligo, et procella, et sonitus tubæ ingens [35*]. Tunc, tunc perculsi timore filii Israel, accedebant dicebantque mediatori et institutori, Mosi videlicet : « Loquere, tu, nobis, et non loquatur nobis Dominus, ne moriamur [36]. » Ad quæ Deus : « Bene, inquit, D omnia quæcunque locuti sunt. Excitabo illis prophetam de fratribus ipsorum, sicut te, et dabo verbum meum in ore ejus, et loquetur eis secundum omnia quæ mandavero ei [37]. » Vides quomodo jam a vetustissimis temporibus Christum sacra Scriptura prænuntiavit? Sed et si quis umbras ipsas legis examinare voluerit, Christum in iis et mysterium ejus scriptum deprehendet. Itaque dicebat Judæis : « Si crederetis Mosi, crederetis forsitan et mihi : de me enim ille scripsit [38]. » Plenitudo enim legis et prophetarum Christus, per quem, et cum quo Deo « et Patri gloria, cum sanctissimo Spiritu in omnem æternitatem. Amen.

ΜΖ'. Ἀναπείθει πάλιν ἐννοεῖν τοὺς ἐντευξομένους τοῖς τοῦ προφήτου λόγοις ὅτι μὴ καινὸν ἢ ἀσύνηθες τὸ ἐπὶ Χριστῷ γέγονε κήρυγμα, μήτε μὴν μόνοις ταῖς Μαλαχίου φωναῖς προαπηγγελμένον· ἀλλὰ γὰρ ἄνωθέν τε καὶ ἐξ ἀρχῆς, καὶ ἐκ πρώτων, ἵνα οὕτως εἴπωμεν, χρόνων, καθ' οὓς κέκληται πρὸς θεογνωσίαν ὁ Ἰσραὴλ, ὅτε τοὺς ἐν Χωρὴβ κεχρησμῴδηκε νόμους. Καταβέβηκε μὲν γὰρ ὁ τῶν ὅλων Θεὸς ἐν εἴδει πυρὸς ἐπὶ τὸ ὄρος τὸ Σινᾶ, ἐφαίνοντο δὲ καπνοὶ μὲν, καὶ φλόγες ὑψοῦ τε διάττουσαι, καὶ πολὺ τοῖς θεωμένοις ἐμποιοῦσαι τὸ δεῖμα. Σκότος δὲ ἦν, καὶ γνόφος, καὶ θύελλα, καὶ φωνὴ τῆς σάλπιγγος, ἠχούσης μέγα. Τότε δὴ, τότε περίφοβοι γεγονότες υἱοὶ Ἰσραὴλ προσῇσαν λέγοντες τῷ μεσίτῃ καὶ παιδαγωγῷ (Μωσῆς οὗτος ἦν)· « Λάλει σὺ πρὸς ἡμᾶς, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ Θεὸς, ἵνα μὴ ἀποθάνωμεν. » Καὶ δὴ πρὸς ταῦτα Θεός· « Ὀρθῶς, φησὶ, πάντα ὅσα ἐλάλησαν. Προφήτην αὐτοῖς ἀναστήσω ἐκ τῶν ἀδελφῶν αὐτῶν ὥσπερ σὲ, καὶ θήσω τοὺς λόγους μου εἰς τὸ στόμα αὐτοῦ, καὶ λαλήσει αὐτοῖς κατὰ πάντα ὅσα ἐντέλωμαι αὐτῷ. » Ὁρᾷς ὅπως ἐκ μακρῶν τῶν ἄνωθεν χρόνων προανεφώνει Χριστὸν τὸ Γράμμα τὸ ἱερόν; Ἀλλὰ καὶ αὐτὰς εἰ δὴ βούλοιτό τις τὰς τοῦ νόμου βασανίζειν σκιὰς, Χριστὸν εὑρήσει γραφόμενον, καὶ τὸ ἐπ' αὐτῷ μυστήριον. Καὶ γοῦν ἔφασκεν Ἰουδαίοις· « Εἰ ἐπιστεύετε Μωσῇ, ἐπιστεύετε ἂν καὶ ἐμοί· περὶ ἐμοῦ γὰρ ἐκεῖνος ἔγραψε. » Πλήρωμα γὰρ νόμου καὶ προφητῶν ὁ Χριστός· ὃι' οὗ, καὶ μεθ' οὗ τῷ Θεῷ καὶ Πατρὶ ἡ δόξα, σὺν τῷ παναγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

[32] Isa. XL, 3 ; Matth. III, 13. [33] Matth. X, 35. [34] Matth. XXII, 3. [35] Matth. XXV, 34. [35*] Exod. XIX, 18. seqq. [36] Exod. XX, 19. [37] Deut. XVIII, 17, 18. [38] Joan. V, 46.

Digitized by Google

SUPPLEMENTUM AD EDITIONEM J. AUBERTI.

—

SANCTI CYRILLI

COMMENTARIORUM IN MATTHÆUM

QUÆ SUPERSUNT

Ex Corderii et Possini catenis excerpta, intermistis fragmentis quæ recentius ex codice Coisliniano J. A. Cramerus, et ex Vaticanis Ang. Maius ediderunt.

—

(1) Εὐαγγέλιόν ἐστι λόγος περιέχων ἀγαθῶν ἀγ- A
γελίαν πραγμάτων κατὰ τὸ εὔλογον καὶ διὰ τὸ
ὠφελεῖν εὐφραίνων τὸν ἀκούοντα, ἐὰν παραδέξηται
τὸ ἀπαγγελλομένον· ἢ λόγος περιέχων ἀγαθῶν
παρουσίαν, ἢ λόγος ἀπαγγέλλων προσδοκώμενον.

1 Evangelium est sermo continens annuntiationem rerum juxta Evangelium in utilitatem audientis, gaudio eum afficiens postquam acceperit quod ei fuerat annuntiatum; aut sermo bonorum indicans præsentiam; aut sermo exspectationis interpres.

Ἰησοῦ Χριστοῦ.

I, 1. *Jesu Christi.*

Κυρίλλου Ἀλεξανδρέως. Ἰαὼ τὴν σωτηρίαν Ἑβραῖοι ἔλεγον. *Χριστοῦ* δὲ εἶπε διὰ τὸ τοὺς παλαιοὺς βασιλεῖς τε καὶ ἱερεῖς τῷ ἐλαίῳ χρίεσθαι διὰ τοῦ κέρατος· ὁ δὲ ἡμέτερος Ἰησοῦς Χριστὸς οὐ διὰ τὸ τῷ κέρατι χρισθῆναι προ [σ] ηγορεύθη Χριστός, ἀλλὰ διὰ τὸ τῷ θείῳ Πνεύματι· ἀληθῶς γὰρ καὶ κυρίως αὐτὸς εἶχε τὸ Πνεῦμα τὸ ἅγιον.

Cyrilli Alexandrini. Iao salutem Hebræi dicebant. *Christi* vero dixit propterea quod antiquos reges et sacerdotes oleo inungi solemne erat, effusa in eos corneola pyxide. Noster vero Jesus Christus non idcirco quod cornu inunctus sit appellatus est Christus, sed quod divino Spiritu delibutus: vere enim et proprie ipse habuit Spiritum sanctum.

Υἱοῦ Δαβὶδ υἱοῦ Ἀβραάμ.

Filii David filii Abraham.

Ἀβραὰμ ἐν ἀκροβυστίᾳ ὢν, ἐπίστευσε τῷ Θεῷ· B
εἶτα δεξάμενος τὰς ὑποσχέσεις καὶ περιτμηθεὶς ἀλώβητον τὴν πίστιν διετήρησεν. Εἰκότως τοίνυν ἀναχθήσεται τὸ ῥητὸν εἰς ἕτερόν τι θεώρημα περὶ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας τῆς τε ἐκ περιτομῆς καὶ τῆς ἐξ ἐθνῶν. Τύπος γὰρ ἦν, ὡς εἰκὸς, τῶν δύο λαῶν τῶν εἰς Χριστὸν πεπιστευκότων. Ἀλλ' ἐκεῖ μὲν προτέρα ἡ ἀκροβυστία τῆς περιτομῆς. Φύσεως γὰρ ἔργον ἡ ἀκροβυστία, ἐντολῆς δὲ καὶ νόμου ἡ περιτομή· διὰ τοῦτο ἐκείνη ταύτης προηγήσατο· καὶ μετὰ ταῦτα εἰς αὐτὴν ἡ περιτομὴ ἀνακάμπτει· ἐπεὶ καὶ βέλτιόν ἐστι φύσις ἅμα καὶ νόμος, ἢ τὸ διεστηκέναι ἀπ' ἀλλήλων χωρίς. Ἀλλὰ καὶ Δαβὶδ τύπος ἦν τοῦ Χριστοῦ· τοῦ γὰρ Σαοὺλ ἐκβληθέντος ἀντεισήχθη Δαβίδ· οὕτω καὶ τοῦ Ἀδὰμ διὰ τὴν παρακοὴν τῆς C
Ἐδὲμ διωχθέντος ὁ δεύτερος ἀντεισήχθη Ἀδὰμ, ὡς ἂν πρὸς τὴν ἀρχαίαν τάξιν τὸν Ἀδὰμ τὸν πρῶτον ἀποκαταστήσῃ.

Abraham cum adhuc in præputio esset credidit Deo. Deinde promissionibus acceptis et circumcisus inviolatam custodivit fidem. Quod haud absurde referri potest ad accommodationem quamdam significationis mysticæ de Christi Ecclesia, quæ ex circumcisione et quæ ex gentibus congregata est. Verisimile quippe est in illis quæ de Abrahamo dicta sunt figuram duorum populorum præcessisse qui in Christum crediderunt. Sed illic quidem prius circumcisione præputium est. Opus enim hoc naturæ; circumcisio vero præcepti et legis. Propterea merito illud hanc præcessit. Ad extremum porro in præputium circumcisio reversa est. Sane enim erat melius convenire naturam et legem, quam dissidere ambas ab invicem. Cæterum et David figura erat Christi. Saule siquidem ejecto suffectus est David: sic et Adamo propter inobedientiam ex Edem exterminato, secundus in locum ejus suffectus est Adam. Utique ut in pristinum locum primum Adam restitueret.

Τοῦ δὲ Ἰησοῦ ἡ γέννησις οὕτως ἦν· Μνηστευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ

I, 18. *Christi autem generatio sic erat: Cum esset desponsata mater ejus Maria Joseph, antequam con-*

(1) Catena Crameri, p. 5. — Hoc fragmentum, antea lacunosum, restituitur ex catena Vaticana (ap. Mai *B. N.* III, 132, u qua Origeni tribuitur.

Digitized by Google

renirent, inventa est in utero habens de Spiritu sancto.

Post desponsationem concepit, ut ex illo ipsa concepisse videretur, filius autem ex illo genealogiam duceret, ipsumque adjutorem haberet contra insidias.

2 II, 9. *Et ecce stella quam viderant in oriente, antecedebat eos.*

Immota stella constitit, non tamen relicto cœlo propius se terræ admovit, aut in domus tecto vel culmine fixa est. Diversam nimirum ab astris aliis incompertamque rationem motus habuit hæc stella.

II, 18. *Vox in Rama audita est.*

Verumtamen notatu dignum est Nazaret sitam esse in finibus Judææ, quam cum inhabitaret Christus, propter Judæos homicidas Judæam se derelicturum declarat, et ad gentes migraturum, ut doceri cupientibus fidei in Christum daret occasionem.

II, 20. *Surge et accipe puerum, et matrem ejus, et vade in terram Israel; defuncti sunt enim qui quærebant animam pueri.*

Non amplius, inquit, *fuge*, sed *vade*, remissionem post tentationem insinuans; animam autem pueri dicens, opinionem Apollinarii evertit, dicentis, suscepisse Dominum carnem mentis animæque expertem. In œconomico itaque Christi in Ægyptum descensu, ac inde rursus in Judæam reditu, capitulatim populi captivitatem recenset Deus, ac insidiis eum liberat, ad ea quæ propria sunt reducens.

3 II, 23. *Et veniens habitavit in civitate quæ vocatur Nazareth.*

In extremis finibus Judææ sita erat Nazareth. Porro Christus relicta Judæa profectus Nazareth, manifeste præsignavit se Judæos aliquando relicturum et religionem ad gentes translaturum; simul etiam, se cupidis sciendi fidem daturum qua in ipsum credant.

III, 9. *Et ne velitis dicere intra vos: Patrem habemus Abraham; dico enim vobis, quoniam potens est Deus de lapidibus istis suscitare filios Abrahæ.*

Dixerit utique aliquis fructus pœnitentiæ esse præcipue quidem fidem in Christum, post hanc vero evangelicum regimen, quod in novitate vitæ consistit, et Scripturæ crassitie liberum est. Ne igitur solitas, inquit, obtrudatis excusationes, Abraham, Isaac et Jacob, progenitorum nobilitatem: hæc autem dicebat prohibens illis fidere, de virtute quæ animi propria est minime sollicitos, et ea, quæ in animo habebant, in medium adducens, ac futura prænuntians; videntur enim postea dixisse: « Nos patrem habemus Abraham, ac nemini un-

Ἰωσὴφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς, εὑρέθη ἐν γαστρὶ ἔχουσα, ἐκ Πνεύματος ἁγίου.

Μετὰ τὴν (1) μνηστείαν συνέλαβεν, ἵνα δόξῃ ἐξ αὐτοῦ κεκυηκέναι· καὶ ἵνα ἐξ αὐτοῦ γενεαλογηθῇ, καὶ σχῇ καὶ κηδεμόνα ἐν ταῖς ἐπιβουλαῖς.

Καὶ ἰδοὺ ὁ ἀστὴρ ὃν εἶδον ἐν τῇ ἀνατολῇ προῆγεν αὐτούς.

Ἀκίνητος ἦν ὁ ἀστὴρ καὶ ἑστηκὼς, ἀλλ' οὐ τὸν οὐρανὸν καταλιπὼν πλησίον τῆς γῆς ἐπορεύετο· οὔτ' ἐπὶ τῆς οἰκίας ἐστήρικτο· οὐ γὰρ τὴν αὐτὴν κίνησιν τοῖς λοιποῖς ἄστροις ἐποιεῖτο, ἀλλὰ ξένην τινὰ καὶ ἀλλόκοτον.

Φωνὴ ἐν Ῥαμᾶ ἠκούσθη.

Πλὴν ἐπισημήνασθαι ἄξιον, ὅτι ἡ Ναζαρὲτ ἐν τοῖς τῆς Ἰουδαίας ἔκειτο τέρμασιν, εἰς ἣν κατοικήσας Χριστὸς, δηλοῖ ὅτι διὰ τὸ τῶν Ἰουδαίων μιαιφόνον ἔμελλε τὴν Ἰουδαίαν καταλιπεῖν, καὶ ἐπὶ τὰ ἔθνη μετέλαβεν, ἕνεκεν τοῦ τοῖς φιλομαθέσιν ἀφορμὴν δεδωκέναι τῆς εἰς Χριστὸν πίστεως.

Ἐγερθεὶς παράλαβε τὸ παιδίον, καὶ τὴν μητέρα αὐτοῦ, καὶ πορεύου εἰς γῆν Ἰσραήλ· τεθνήκασι γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου.

Οὐκέτι φησὶ, φεῦγε, ἀλλὰ *πορεύου*, ἄνεσιν μετὰ τὸν πειρασμὸν αἰνιττόμενος· τὴν ψυχὴν δὲ τοῦ παιδίου εἰπὼν, τὴν δόξαν Ἀπολιναρίου ἀνατρέπει, σάρκα λέγοντος εἰληφέναι τὸν Κύριον ἄνουν καὶ ἄψυχον. Ἐν μέντοι τῇ οἰκονομικῇ τοῦ Χριστοῦ καθόδῳ εἰς Αἴγυπτον, καὶ τῇ ἐκεῖθεν αὖθις εἰς Ἰουδαίαν ἀναστροφῇ ἀνακεφαλαιοῦται τὴν αἰχμαλωσίαν τοῦ λαοῦ ὁ Θεὸς, καὶ λυτροῦται αὐτὸν ἐξ ἐπιβουλῆς ἐπὶ τὰ ἴδια πάλιν ἀνάγων.

Καὶ ἐλθὼν κατῴκησεν εἰς πόλιν λεγομένην Ναζαρέτ.

Ἐν τοῖς ἐσχάτοις τῆς Ἰουδαίας ἔκειτο ἡ Ναζαρέτ. Καταλιπὼν δὲ ὁ Χριστὸς τὴν Ἰουδαίαν καὶ ἀπελθὼν εἰς Ναζαρὲτ, ἀριδήλως ἐδήλωσεν ὡς Ἰουδαίους καταλείψει, καὶ ἐπὶ τὰ ἔθνη μεταβιβάσει τὸ σέβας. Ἅμα δὲ καὶ τοῖς φιλομαθέσιν αἰτίαν δώσει τοῦ πιστεῦσαι εἰς αὐτόν (2).

Καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς· Πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν, ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ.

Φαίη δὲ ἄν τις καρποὺς μετανοίας εἶναι προηγουμένως μὲν τὴν εἰς Χριστὸν πίστιν, πρὸς δὲ ταύτῃ καὶ τὴν εὐαγγελικὴν πολιτείαν, τὴν ἐν καινότητι οὖσαν ζωῆς, καὶ ἀπηλλαγμένην τῆς τοῦ γράμματος παχύτητος. Μὴ τοίνυν, φησὶ, τὰς εἰωθυίας προβάλλεσθε προφάσεις, τὸν Ἀβραὰμ, τὸν Ἰσαὰκ, τὸν Ἰακὼβ, τῶν προγόνων τὴν εὐγένειαν. Ταῦτα δὲ ἔλεγε κωλύων μὴ τούτοις θαῤῥεῖν, τῆς κατὰ ψυχὴν ἀρετῆς ἀμελοῦντας, καὶ τὰ κατὰ διάνοιαν εἰς μέσον ἐμφέρων, καὶ τὰ μέλλοντα προφητεύων· φαίνονται γὰρ μετὰ ταῦτα λέγοντες· « Ἡμεῖς πατέρα ἔχομεν τὸν

(1) *Μετὰ τὴν — ἐπιβουλαῖς.* Cramer, p. 10.

(2) Catena Crameri, p. 19, brevius: Ἡ Ναζαρὲτ ἐν τοῖς τῆς Ἰουδαίας ἔκειτο τέρμασι, δι' οὗ δηλοῦται ὅτι ὁ Χριστὸς διὰ τῶν Ἰουδαίων μιαιφόνων ἔμελλε τὴν Ἰουδαίαν καταλιπεῖν, καὶ ἐπὶ τὰ ἔθνη μετελθεῖν, ἕνεκεν τοῦ τοῖς φιλομαθέσιν ἀφορμὴν δοῦναι τῆς εἰς αὐτὸν πίστεως.

Digitized by Google

Ἀβραάμ, καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε. » Ἐπεὶ οὖν τοῦτο ἦν ὃ μάλιστα αὐτοὺς εἰς ἀπόνοιαν ἦρε, καὶ ἀπώλεσε, πρῶτον καταστέλλει. Ὅρα δὲ πῶς μετὰ τῆς εἰς τὸν πατριάρχην τιμῆς, τὴν ὑπὲρ τούτων ποιεῖται διόρθωσιν· εἰπὼν γάρ· « Μὴ δόξητε λέγειν, ὅτι Πατέρα ἔχομεν τὸν Ἀβραάμ, » οὐκ εἶπεν· Οὐδὲν γὰρ ὑμᾶς ὁ πατριάρχης ὠφελῆσαι δυνήσεται· ἀλλ' ἡμερώτερόν πως τοῦτο ἠνίξατο, εἰπών· « Δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. » Τινὲς μὲν οὖν φασιν ὅτι περὶ τῶν ἐθνῶν ταῦτα λέγει, λίθους αὐτοὺς μεταφορικῶς καλῶν. Ἐγὼ δὲ καὶ ἑτέραν ἔννοιαν τὸ εἰρημένον φημὶ ἔχειν. Ποίαν δὲ ταύτην; Μὴ νομίσητε, φησὶν, ὅτι ἐὰν ὑμεῖς ἀπόλησθε, ἄπαιδα ποιήσετε τὸν πατριάρχην· οὐκ ἔσται· τῷ γὰρ Θεῷ δυνατὸν καὶ ἀπὸ λίθων ἀνθρώπους τούτῳ δοῦναι, καὶ εἰς συγγένειαν ἐκείνου ἀγαγεῖν, ἐπεὶ καὶ ἐξ ἀρχῆς οὕτως ἐγένετο. Τὸ γὰρ, ἐκ λίθων ἀνθρώπους γενέσθαι, ὁμοιόν ἐστι τῷ, ἀπὸ τῆς μήτρας Σάρρας ἐκείνης τῆς στείρας προελθεῖν παιδίον. Ὑπερ οὖν καὶ ὁ προφήτης αἰνιττόμενος ἔλεγεν· « Ἐμβλέψατε εἰς τὴν στερεὰν πέτραν ἐξ ἧς ἐλατομήθητε, καὶ εἰς βόθυνον τοῦ λάκκου ἐξ οὗ ὠρύχθητε. Ἐμβλέψατε εἰς Ἀβραὰμ τὸν πατέρα ὑμῶν, καὶ εἰς Σάρραν τὴν ὠδίνουσαν ὑμᾶς. » Ταύτης τοίνυν τῆς προφητείας αὐτοὺς ἀναμιμνήσκει, δεικνὺς ὅτι εἰ ἐξ ἀρχῆς αὐτὸν οὕτω θαυμαστῶς ἐποίησε πατέρα, ὡσανεὶ ἐκ λίθων αὐτὸν ἐποίησε, δυνατὸν καὶ νῦν τοῦτο γενέσθαι. Καὶ ὅρα πῶς καὶ φοβεῖ, καὶ ἐκκόπτει. Οὐ γὰρ εἶπεν ὅτι ἤγειρεν ἤδη, ἵνα μὴ ἀπογνῶσιν ἑαυτῶν, ἀλλ' ὅτι δύναται ἐγεῖραι. Καὶ οὐκ εἶπεν ὅτι ἀνθρώπους δύναται ποιῆσαι ἀπὸ λίθων, ἀλλ' ὃ πολλῷ μεῖζον ἦν, καὶ συγγενεῖς ἢ παῖδας τοῦ Ἀβραάμ. Εἶδες πῶς τέως ἀπέστησεν αὐτοὺς τῆς περὶ τὰ σωματικὰ φαντασίας, καὶ τῆς εἰς τοὺς προγόνους καταφυγῆς, ἵνα ἐν τῇ οἰκείᾳ μετανοίᾳ καὶ σωφροσύνῃ τὴν ἐλπίδα τῆς σωτηρίας ἔχωσιν.

Ὥσπερ γὰρ τὴν γυναῖκα τοῦ Λὼτ ἀπελίθωσεν, οὕτως δυνατὸν αὐτῷ καὶ ἐκ λίθων ἀνθρώπους ποιῆσαι, ὥσπερ καὶ τὸν Ἀδὰμ ἐκ τῆς γῆς. Σκόπει τοίνυν καὶ διὰ τῶν ἑξῆς ὡς αὔξει τούτων τὸν φόβον, καὶ ἐπιτείνει τὴν ἀγωνίαν. Εἰπὼν γάρ, « Ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ, » ἐπήγαγεν·

Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται.

Εἰ δὲ βούλει, ἀξίνην νόησον τῆς ἀθεραπεύτου ψυχῆς τὴν ἐκτομήν. Ἡ ἀξίνη αὐτός ἐστιν ὁ Χριστὸς, ὁ τομώτερος μαχαίρας διστόμου, ὁ μέλλων ἐκκόπτειν τοὺς ἀπίστους Ἰουδαίους, ἀπὸ τῆς τῶν πατριαρχῶν τιμῆς καὶ κοινωνίας, ὡς ἀπὸ ῥίζης τινὸς, ἐγκεντρίζειν δὲ εἰς ταύτην τοὺς ἐξ ἐθνῶν πιστεύσαντας (1).

21 Dominus autem per contactum manus leprosi hujus mundationem operatus est, ostendens sanctam carnem suam utilem esse ad sanctificationem. Spiritus siquidem mundat, communicatio autem Spiritus sanctitatem indit.

Κυρίλλου ἐκ τοῦ πέμπτου βιβλίου τῶν Ὑπομνημάτων τῶν εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον.

Cyrilli ex libro quinto commentariorum in Matthæi Evangelium. (*Matth.* VIII, 15.)

Μετὰ (1) δὲ τοῦ χαρίσασθαι τὴν ἐκ φιλαγάθου θελήματος ῥοπὴν, καὶ τὴν διὰ χειρὸς ἁφὴν προσεπιδίδωσιν ἵνα μάθωμεν ἡμεῖς· ὡς ἐνεργὸν εἰς κάθαρσίν ἐστι τὸ ἅγιον αὐτοῦ σῶμα, καὶ τῇ θείᾳ βουλήσει συμπαραλαμβάνεται χρειωδέστατα πρὸς τὸν C εἰς ἡμᾶς ἁγιασμόν· κάθαρσις γὰρ ἡ ἐν Πνεύματι τελεῖται δι' ἁγιασμοῦ, ὃν τὸ τοῦ Σωτῆρος ἡμῶν ἐντίθησι σῶμα, τοῦ ἐνοικοῦντος αὐτῷ Λόγου φοροῦν τὴν ἐνέργειαν.

Postquam benivola sua voluntate beneficium contulerat, manu quoque tetigit, ut nos discamus sanctum illius corpus vim purgandi habere, idque utilissime cum divina voluntate sanctificationi nostræ conducere. Etenim a Spiritu purgatio nostra fit, quam Servatoris nostri corpus confert, inhabitantis in ipso Spiritus efficaciam gerens.

Κυρίλλου ἐκ τοῦ αὐτοῦ.

Cyrilli ex eodem libro.

Τεθεράπευκεν γὰρ ὡς Θεὸς, τῆς ἰδίας χειρὸς τὴν ἁφὴν τῇ κειμένῃ δωρούμενος. Καὶ διὰ ποίαν αἰτίαν; Ἵνα τῇ ἰδίᾳ φύσει, τῇ τῆς θεότητος λέγω, ἰσοσθενοῦν ἀποδείξῃ τὸ ἴδιον σῶμα κατά γε τὴν ἐν τοῖς νοσοῦσιν ἐνέργειαν· σῶμα γάρ ἐστιν οὐκ ἀνθρώπου τινὸς, ἀλλ' αὐτοῦ τὰ πάντα κατορθοῦντος καὶ ἰσχύοντος Λόγου.

Sanitatem utpote Deus contulit, propriæ manus contactum jacenti gratificans. Quamobrem? Ut propriæ naturæ, divinæ inquam, pares habere vires corpus suum ostenderet, quantum attinet ad sanandorum ægrorum efficaciam. Non est enim hoc corpus cujuslibet vulgaris hominis, sed Verbi cuncta potentis prospere efficere.

Κυρίλλου ἐκ τοῦ αὐτοῦ.

Cyrilli ex eodem libro.

Λόγῳ τοιγαροῦν ἐνεργὴς ὁρᾶται πάλιν· καὶ ποτὲ μὲν οὗτος, ποτὲ δὲ ἐκεῖνος θαυματουργεῖ· δεικνὺς D ὅτι καὶ αὐτὸ τὸ σῶμα τὸ ληφθὲν παρ' αὐτοῦ δι' ἡμᾶς, ἐνεργόν ἐστι καθ' ἑαυτὸ, διὰ τὸν ἐνοικοῦντα Λόγον· καὶ ὁ Λόγος δὲ οὐδὲν ἧττον, καὶ εἰ μὴ σωματικῶς ἐπαφῷτό τινων.

Vicissim itaque voce eum videmus operari. Et modo quidem voce, modo etiam tactu miracula edit: nempe ut demonstret, corpus etiam quod pro nobis assumpsit, per se esse efficax propter inhabitans Verbum, Verbumque haud secius pollere, etiamsi nullus fieret corporalis contactus.

Ὀψίας δὲ γενομένης προσήνεγκαν αὐτῷ δαιμονιζομένους πολλούς.

VIII, 16. *Vespere autem facto, obtulerunt ei multos dæmonia habentes.*

Διὰ τί ἡμέρας οὐ προσήνεγκαν τοὺς ἀῤῥώστους; Ἤτοι εὐλαβούμενοι τοὺς Γραμματεῖς καὶ Φαρισαίους, ἢ ἂν πάλιν αἰσχυνόμενοι ἐπὶ ταῖς ἀσθενείαις αὐτῶν,

Cur de die non adducunt infirmos? Vel quia Scribas reverentur et Pharisæos, aut rursus quia infirmitates suas erubescunt, aut eo quod infirmi

[18] I Petr. IV, 1.

(1) Hoc fragmentum cum duobus sequentibus edidit Ang. Mai in *B. N.* tomo II, p. 476. Agitur de Petri apostoli socru (*Matth.* VIII, 14, 15), quam manus contactu febri expedivit Servator.

Digitized by Google

non **22** haterent qui sese ad Jesum adducerent.

VIII, 18. *Videns autem Jesus turbas multas circa se, jussit ire trans fretum.*

Retraxit se Christus a turbis, ne gloriosus quidam videretur, qui populi laudibus delectaretur; atque ut ne irascerentur sibi Pharisæi, qui ægre admodum ferebant multos illi adhærere. Insuper volebat Jesus salutarem suam circumstantibus quoque urbibus lucem inferre.

Cyrilli ex secundo libro commentarii in Matthæum (Matth. VIII, 23).

Navim ergo cum eo conscendunt discipuli; is autem somnum sibi obrepentem admittit, et dispensativa ratione per id tempus carnem suam perpeti quæ huic sunt propria sinit; quanquam divinitatis efficaci vi ac natura cœlum terramque et quæcunque ultra ea sunt pervaderet.

VIII, 25. *Domine, salva nos, perimus.*

Specta cum fide fidei parvitatem. Credunt siquidem salvare eum posse: ut autem modicæ fidei aiunt: « Salva nos, perimus; » neque enim periculum erat pereundi cum adesset illis is qui omnia poterat.

23 VIII, 29. *Et ecce clamaverunt dicentes: Quid nobis et tibi, Jesu, Fili Dei? venisti huc ante tempus torquere nos?*

In regionem autem quamdam abducuntur, unde illis non amplius est redeundi potestas, sed terribilem illum diem exspectant. Tu vero mihi perpende audacter meticulosum dæmonum genus: quemadmodum enim ex audacia accedunt quidem, dicentes: « Quid mihi et tibi? » ita desinunt in timorem. Quia divina Unigeniti natura eos incorruptibilis ignis flammis addixit, clamant: « Venisti huc ante tempus torquere nos; » norant enim ex propheticis sermonibus, venturum Christum, seque ab eo judicandos; quod autem etiam *ante tempus* dixerint, tanquam incarnationis tempus veluti intempestivum increpant; nihil enim mirum, cum semper mali sint, etiam hoc eos dicere audere: et certe scientes se puniendos, tanquam contemptores dicunt: « *Quid nobis, et tibi?* » rationem enim init judex nobiscum, cujus mandata sumus prætergressi.

24 IX, 2. *Confide, fili.*

Filium vocavit paralyticum ratione creationis: aut quia is crediderat in ipsum, eumque ut Dominum et Creatorem agnoverat.

IX, 6. *Tunc ait paralytico: Surge, tolle lectum tuum, et vade in domum tuam.*

Verbum emisit, miraculum sequitur. Cur vero Filium hominis remittere peccata dixit, jam peracta divinitatis manifestatione? Vel ut monstraret se in naturam humanam divinitatis dignitatem per in-

A ἢ διὰ τὸ μὴ ἔχειν τοὺς ἀσθενοῦντάς τινας προσαγαγεῖν αὐτοὺς τῷ Ἰησοῦ.

Ἰδὼν δὲ Ἰησοῦς πολλοὺς ὄχλους περὶ αὐτὸν, ἐκέλευσεν ἀπελθεῖν εἰς τὸ πέραν.

Ὑπεχώρει (1) ὁ Χριστὸς ἀπὸ τῶν ὄχλων, ἵνα μὴ δόξῃ τις φιλόκομπος εἶναι, χαίρων τοῖς παρὰ τῶν πολλῶν ἐπαίνοις, καὶ ἵνα μὴ ὀργίζωνται κατ' αὐτοῦ Φαρισαῖοι (ἐλύπει γὰρ αὐτοὺς σφόδρα τὸ ἀκολουθεῖν αὐτῷ πολλοὺς), καὶ ἵνα ταῖς πλησίον πόλεσιν ἐπιλάμψῃ τὸ οἰκεῖον καὶ σωτήριον φῶς.

Κυρίλλου ἐκ τοῦ δευτέρου τοῦ εἰς τὸ κατὰ Ματθαῖον Ὑπομνήματος.

Συνεισβαίνουσι (2) τοίνυν οἱ μαθηταὶ· καὶ προσδέχεται μὲν τὸν ὕπνον αὐτὸς, οἰκονομικῶς δὲ μάλιστα κατ' ἐκεῖνο καιροῦ τὸ παθεῖν ἐφιεὶς τὰ ἴδια τῇ σαρκὶ, B καίτοι διέπων αὐτὸς κατά γε τὴν τῆς θεότητος ἐνέργειάν τε καὶ φύσιν οὐρανοὺς καὶ γῆν καὶ τὰ ἐπὶ τούτοις ἐπέκεινα.

Κύριε, σῶσον ἡμᾶς, ἀπολλύμεθα.

Ἐλέπε μετὰ πίστεως ὀλιγοπιστίαν. Πιστεύουσι μὲν γὰρ ὅτι σῶσαι δύναται· ὡς δὲ ὀλιγόπιστοι λέγουσι τό· « Σῶσον, ἀπολλύμεθα. » Οὐ γὰρ ἦν ἐφικτὸν ἀπολέσθαι ποτὲ συνόντος αὐτοῖς τοῦ πάντα ἰσχύοντος.

Καὶ ἰδοὺ ἔκραξαν λέγοντες· Τί ἡμῖν καὶ σοὶ, Ἰησοῦ, Υἱὲ τοῦ Θεοῦ· Ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς;

Εἰς χώραν δέ τινα ἀπάγονται, οὐκέτι κύριαι οὖσαι ἐπανελθεῖν· ἀλλὰ τὴν φοβερὰν ἐκείνην ἡμέραν ἀναμένουσαι. Σὺ δέ μοι ὅρα τὸ θρασύδειλον γένος τῶν C δαιμόνων, πῶς ἄρχονται μὲν ἀπὸ θρασύτητος, λέγοντες· « Τί ἡμῖν καὶ σοί; » τελευτῶσι εἰς δειλίαν. Ἐπειδὴ ἡ θεία τοῦ Μονογενοῦς φύσις ἀφράστῳ πυρὶ αὐτοὺς κατέφλεγε, φασίν· « Ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς; » Ἤδεισαν ἐκ τῶν προφητικῶν γὰρ λόγων, ὅτι καὶ ἔμελλεν ἥξειν ὁ Χριστὸς, καὶ ὅτι αὐτὸς αὐτοὺς κρινεῖ. Εἰ δὲ καὶ τὸ *πρὸ καιροῦ* εἶπον, ὡς διαβάλλοντες τὸν τῆς ἐνανθρωπήσεως καιρὸν, ὡς παρὰ καιρὸν γεγονότα, οὐδὲν θαυμαστὸν, εἰ πονηροὶ ὄντες, καὶ τοῦτο τολμῶσι λέγειν· καίτοι εἰδότες ὅτι τιμωρηθήσονται, ὥσπερ ὑπερόπται λέγουσι· « Τί ἡμῖν καὶ σοί; » Ἔχει γὰρ λόγον ὁ κριτὴς μεθ' ἡμῶν, ἀφ' οὗ παρέβημεν τὰς ἐντολὰς αὐτοῦ.

D *Θάρσει, τέκνον*

Τέκνον ἐκάλεσε τὸν παραλυτικὸν, τῷ τῆς δημιουργίας λόγῳ· ἢ ὡς πιστεύσαντα εἰς αὐτὸν, καὶ γνόντα αὐτὸν Κύριον καὶ Δημιουργόν.

Τότε λέγει τῷ παραλυτικῷ· Ἐγερθεὶς, ἆρόν σου τὸν κράβατον.

Ἐξῆλθε (3) τὸ ῥῆμα, καὶ τὸ θαῦμα ἐπεκολούθησε· διὰ τί δὲ καὶ Υἱὸν ἀνθρώπου εἶπεν ἀφιέναι ἁμαρτίας, ἐπιτελουμένης θεοσημείας; Ἢ ἵνα δείξῃ, ὅτι κατήγαγεν εἰς τὴν ἀνθρωπίνην φύσιν τὴν τῆς θεό-

(1) Ὑπεχώρει — σωτήριον φῶς. Fragmentum hoc, quod in Corderiana catena dicitur Nicetæ, in cod. Vatic. nominatim tribuitur Κυρίλλῳ Ἀλεξανδρείας, cui jure postliminii restituitur. Mai *B. N.* III, 130.

(2) *Συνεισβαίνουσι — ἐπέκεινα.* Mai, *B. N.* II, 476.

(3) *Ἐξῆλθε — κατὰ φύσιν.* Cramer. p. 66.

Digitized by Google

τητος ἐξουσίαν, διὰ τὴν ἀδιαίρετον πρὸς αὐτὴν ἕνωσιν. Εἰ γὰρ καὶ ἄνθρωπος, φησὶ, γέγονα Θεὸς Λόγος ὑπάρχων, καὶ διὰ τὴν οἰκονομίαν ἐπὶ γῆς πολιτεύομαί τε καὶ ἀναστρέφομαι· ἀλλ' οὐδὲν ἧττον τὰ πέρα λόγου ἀποτελῶ θαύματα, καὶ ἄφεσιν δωροῦμαι ἁμαρτημάτων· οὐ γὰρ ἀφειλάμην τι τῶν τῆς θεότητος ἰδιωμάτων, ἡ ἐμείωσα τὸ γενέσθαι με ἀτρέπτως καὶ ἀληθῶς ἐπὶ τῆς γῆς κατὰ σάρκα Υἱὸν ἀνθρώπου. — *Καὶ μετ' ὀλίγα·* Οἰκονομικῶς δὲ λέγει « ἐπὶ τῆς γῆς, » ἵνα δείξῃ, ὅτι καὶ ἄνθρωπος γεγονὼς καὶ ἐπὶ τῆς γῆς ὤφθεις, Θεὸς ἦν κατὰ φύσιν. A discretam ad eam unionem reduxisse. Si enim, inquit, ego Deus Verbum dominator homo factus sum, et secundum dispensationem in terra vivo et conversor, nihilominus signa verbum omne superantia facio et peccata dimitto. In nullo enim ex divinitatis attributis imminutus sum, manens vere et immutabiliter in terra secundum carnem Filius hominis. — *Et post pauca :* Justam ob causam ait « in terra, » ut demonstret et se hominem esse et in terra visum, qui Deus alioqui natura erat.

Οὐδὲ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς παλαιούς.

Οἱ Φαρισαῖοι (1) ἐοικότες ἱματίῳ κατερρωγότι ἢ ἀσκοῖς παλαιοῖς, οὐ δύνανται δέξασθαι τὴν νεάζουσαν διδασκαλίαν. B

XI, 17. *Neque mittunt vinum novum in utres veteres.*

Pharisæi, vestimento veteri vel veteribus utribus similes, non possunt recipere novam doctrinam.

Κυρίλλου ἐκ τοῦ δευτέρου τοῦ εἰς τὸ κατὰ Ματθαῖον ὑπομνήματος ἐν τῷ περὶ τῆς θυγατρὸς τοῦ ἱερέως.

Cyrilli ex libro II commentarii in Matthæum, ubi de filia sacerdotis (*Matth.* IX, 18).

Τίς γὰρ (2) ἂν οὐκ ἐξέστη θάνατον βλέπων πλεονεκτούμενον, καὶ οὐχὶ θείαν τινὰ καὶ ἄῤῥητον δόξαν τὴν πλεονεκτοῦσαν ὁρῶν, ὅσον ἦκεν εἰπεῖν εἰς αἴσθησιν τὴν ὀμμάτων; ἀλλ' ἵνα τῶν καθ' ἡμᾶς ἄνθρωπον δηλαδὴ, κατ' οὐδὲν τὸ παράπαν ἡμῶν διαφέροντα, κατά γε τὸ ὁρώμενον, εἰς τὴν τῆς σαρκὸς ἀδοξίαν τε καὶ φύσιν.

Quis non stupeat mortem quidem devictam videns, neque tamen divinam simul arcanam majestatem, quæ victoriam retulit, oculorum sensu percipiens? imo vero unum quemlibet æque ac nos hominem, nihil omnino nobis dissimilem, quantum cernitur, carnis suæ humilitate ac natura.

Προσελθοῦσα ὄπισθεν ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ.

XI, 20. *Accessit retro, et tetigit fimbriam vestimenti ejus.*

Δείκνυσιν (3) ὅτι παρὰ Θεῷ οὐδεὶς ἔχων ἀκούσιον νόσον ἀκάθαρτος· διὸ καὶ προσκαλεῖται τὴν Αἱμορροοῦσαν ὁ Κύριος, ἵνα τὸν τυπικὸν νόμον εἰς πνευματικὴν μεταγάγῃ θεωρίαν. C

Ex his apparet neminem morbo non voluntario laborantem coram Deo impurum esse. Et ideo Hæmorrhoissam advocat Dominus ut typicam legem in spiritualem theoriam transferret.

Καὶ ἰδὼν τοὺς αὐλητὰς καὶ τὸν ὄχλον θορυβούμενον.

25 IX, 23. *Et cum vidisset tibicines et turbam tumultuantem.*

Ἔθος (4) τοῖς ἀνθρώποις τὰς ἀγάμους κόρας, ἡνίκα εἰσὶν πρὸς ὥραν γάμου τελευτώσας, θρηνεῖν διὰ τῶν συμβολικῶν γάμων· διὸ καὶ αὐληταὶ ἦσαν ἔσω, εἰ καὶ παρὰ τὸ πρόσταγμα τὸ Ἰουδαϊκὸν τότε ἐποίουν τοῦτο οἱ Ἰουδαῖοι.

Mos est apud homines innuptas puellas, eas præcipue quæ instante matrimonii tempore defunctæ sunt, nuptiis symbolicis celebrare. Ideo tibicines erant intra domum, quia secundum mandatum Judaicum huic consuetudini tunc Judæi vacabant.

Καὶ ἐξῆλθεν ἡ φήμη αὕτη εἰς ὅλην τὴν γῆν ἐκείνην.

IX, 26. *Et exiit fama hæc in universam terram illam.*

Μὴ διάβαλ[λ]ε τοῦ Χριστοῦ τὸ κατόρθωμα· καὶ γὰρ ἐνίκησε τὸν θάνατον· τὸ γὰρ σῶμα ἀποθέμενος, πάλιν αὐτῷ ἀπέλαβε μετὰ μείζονος δόξης, σοὶ κἀνταῦθα χρηστὰς ὑποτείνων ἐλπίδας. Ταῦτα, εἰ πιστὸς εἶναι νομίζεις, μὴ δάκρυε. Εἰ δὲ δακρύεις, πῶς δυνήσῃ πεῖσαι τὸν Ἕλληνα ὅτι πιστεύεις; Διὰ τί δὲ ὅλως θρηνεῖς; εἰ μὲν ἁμαρτωλὸς ἀπῆλθεν ὁ τεθνηκώς, ἔστη τὰ τῆς κακίας· οὐ γὰρ εἰ μεταβαλλόμενον ᾔδει, προσνήρπασεν ἂν τῆς μετανοίας· εἰ δὲ δίκαιος ὢν κατέλυσεν, ἐν ἀσφαλείᾳ τὰ ἀγαθὰ κέκτηται. D

Noli vituperare Christi beneficium, vicit enim mortem : cum enim corpus deposuisset, rursus illud cum majori gloria assumpsit, tibi hic quoque benignam spem præbendo. Hæc, si fidelis esse putas, ne deplores : si enim deplores, quomodo gentili persuadebis te credere? Cur vero luges omnino? siquidem peccator decessit, qui mortuus est, jam desistit a malitia : non enim si convertendum nosset, præripuisset tempus pœnitentiæ ; si vero justus est qui obiit, secure bona possidet.

Ὁ μὲν θερισμὸς πολὺς, οἱ δὲ ἐργάται ὀλίγοι.

IX, 37. *Messis quidem multa, operarii autem pauci.*

Τοὺς μαθητὰς λέγει ἐργάτας, οὓς ὀλίγους ὄντας, ἐπεμψεν εἰς πᾶσαν τὴν ὑπ' οὐρανόν.

Discipulos suos operarios dicit, quos, numero paucos, misit in universam terram.

(1) *Οἱ Φαρισαῖοι.* Cramer. p. 69.
(2) *Τίς γὰρ — καὶ φύσιν.* Mai, *B. N.* II, 477.
(3) *Δείκνυσιν — θεωρίαν.* Cramer. p. 70.
(4) *Ἔθος — Ἰουδαῖοι.* Ibid.

Digitized by Google

X, 6. *Sed potius ite ad oves quæ perierunt domus Israel.*

Prius Judæis prædicari oportebat : illis enim factæ erant promissiones ; quia ex ipsis secundum carnem appariturus erat Christus ; et cum non crederent, tunc ad gentes abire. Samaritanos autem etiam gentibus accenset, quandoquidem illi etiam ex gentibus essent, genere Babylonii et incolentes Judæam.

X, 7. *Euntes autem prædicate dicentes, quia Appropinquavit regnum cœlorum.*

Appropinquare ait regnum cœlorum per fidei gratiam, et Spiritu factam adoptionem filiorum, quæ unit Deo hominem.

Duodecim illos discipulos et lex præfiguravit, et prædicaverunt prophetæ. Scriptum est enim..., et adduxit Deo omnem, quæ sub cœlo erat, creaturam.

26 X, 10. *Non peram in via, neque duas tunicas, neque calceamenta, neque virgam ; dignus enim est operarius cibo suo.*

Incredibiliter urget abdicationem rerum hic locus, ad vivum resecans ; reique possessione plane cujusvis, ab auro ad virgam, interdicens : idcirco scilicet quod studium habendi maximum ad virtutem ac religionem impedimentum est. Unum reservat necessarium cibum, ita ut præ se ferat, si absque cibo tolerari vita posset, etiam hujus rei abstinentiam præscripturum.

X, 23. *Cum autem persequentur vos in civitate ista, fugite in aliam.*

Præcipit discipulis ab una civitate fugere in aliam, et ex illa rursus in alteram. Id autem dicit non ipsis ignaviam et metum degenerem suadens, sed admonens non esse ipsis committendum, ut se ipsos ultro in pericula projiciant, mortemque sine causa lacessant, atque ita fraudi sint iis qui ministerio ipsorum doctrina evangelica imbuendi erant.

27 X, 27. *Quod dico vobis in tenebris, dicite in lumine ; et quod in aure auditis, prædicate super tecta.*

De libertate apostolorum in prædicando etiam admirabilis Habacuc prænuntiavit : « Aperient enim inquit, frena eorum, sicut pauper latenter comedens [16]. » Id est, qui modo paucis quibusdam et latenter prædicabant apostoli, et credentium fide fuerant sustentati, hi postea disrumpentes impositum sibi timoris frenum, voce sua implebunt quidquid sub cœlo est. Cum autem hactenus extulerit eos Dominus, rursus pericula quoque prædicit,

A *Πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.*

Ἔδει πρῶτον τοῖς Ἰουδαίοις κηρυχθῆναι (πρὸς αὐτοὺς γὰρ ἦσαν γεγονυῖαι αἱ ἐπαγγελίαι· ὅτι ἐξ αὐτῶν ἔμελλεν ὁ Χριστὸς τὸ κατὰ σάρκα ὀφθῆναι), καὶ ὅτε ἠπίστησαν, τότε εἰς τὰ ἔθνη χωρῆσαι. Σαμαρείτας δὲ συνάπτει τοῖς ἐξ ἐθνῶν, ἐπειδὴ καὶ οὗτοι ἐξ ἐθνῶν ἦσαν, κατὰ γένος Βαβυλώνιοι ὄντες, καὶ οἰκήσαντες τὴν Ἰουδαίαν (1).

Πορευόμενοι δὲ κηρύσσετε λέγοντες, ὅτι Ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν.

Ἠγγικέναι λέγει τὴν βασιλείαν τῶν οὐρανῶν, τὴν διὰ πίστεως χάριν, τὴν διὰ τοῦ Πνεύματος υἱοθεσίαν, τὴν ἑνοῦσαν Θεῷ τὸν ἄνθρωπον.

Τούτους (2) τοὺς δώδεκα μαθητὰς, καὶ ὁ νόμος B προανετύπου, καὶ οἱ προφῆται προανεκήρυξαν. Γέγραπται γοῦν, κ. τ. λ. . . , καὶ προσεκόμισε τῷ Θεῷ τὴν ὑπ' οὐρανόν.

Μὴ πήραν εἰς ὁδὸν, μηδὲ δύο χιτῶνας, μηδὲ ὑποδήματα, μηδὲ ῥάβδον· ἄξιος γὰρ ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν.

Καθ' ὑπερβολὴν ὁ λόγος πᾶσαν ἀπαγορεύει κτῆσιν ἀπὸ χρυσοῦ ἕως ῥάβδου· ὡς μέγιστον οὖσαν κώλυμα πρὸς ἀρετὴν καὶ θεοσέβειαν. Τὴν δ' ἀναγκαίαν τροφὴν οὐκ ἀπαγορεύει· ὥστε εἰ ἦν δυνατὸν καὶ χωρὶς τροφῆς ζῆν ἡμᾶς, καὶ ταύτην ἂν ἀπηγόρευσεν.

C *Ὅταν δὲ διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἄλλην.*

Παρακελεύεται τοῖς μαθηταῖς ἀπὸ τῆσδε φεύγειν τῆς πόλεως εἰς τὴν ἄλλην, καὶ ἐξ ἐκείνης εἰς ἑτέραν. Τοῦτο δὲ λέγει οὐ διδάσκων αὐτοὺς δειλιᾷν, ἀλλὰ μὴ ῥίπτειν ἑαυτοὺς εἰς κινδύνους, καὶ ἀποθνήσκειν ῥᾳδίως, καὶ ζημιοῦν τοὺς μέλλοντας διὰ τοῦ κηρύγματος ὠφεληθῆναι (3).

Ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ, εἴπατε ἐν τῷ φωτί· καὶ ὃ εἰς τὸ οὖς ἀκούετε, κηρύξατε ἐπὶ τῶν δωμάτων.

Περὶ τῆς ἐν τῷ κηρύσσειν παῤῥησίας τῶν ἀποστόλων, καὶ ὁ θαυμάσιος Ἀμβακοὺμ προηγόρευσε· D « Διανοίξουσι γὰρ, φησὶ, χαλινοὺς αὐτῶν, ὡς ὁ ἐσθίων πτωχὸς λάθρα. » Τουτέστιν, οἱ πρότερον μᾶλις τισὶ καὶ λάθρα προσλαλοῦντες ἀπόστολοι, καὶ τῇ τῶν πιστευόντων πίστει τρεφόμενοι, οὗτοι μετὰ ταῦτα διαῤῥήξαντες τὸν ἐπιτεθέντα αὐτοῖς φόβου χαλινὸν, τῇ ἑαυτῶν φωνῇ κατεμπλήσουσι τὴν ὑπ' οὐρανόν· τέως δὲ ἐπειδὴ ἐπῆρεν αὐτοὺς ὁ Κύριος, προσαναφωνεῖ

[16] Habac. III, 14 sec. LXX.

(1) Catena Crameri, p. 75, addit : Βασιλείαν δὲ οὐρανῶν λέγει τὴν διὰ πίστεως χάριν, τὴν διὰ Πνεύματος υἱοθεσίαν, τὴν ἑνοῦσαν Θεῷ τὸν ἄνθρωπον, quæ ad versiculum sequentem spectant.

(2) *Τούτους... οὐρανόν.* Longus hic tractus legitur infra ad Luc. VI, 13, ubi dicitur ex homilia quadam Cyrilli depromptus.

(3) Aliter Catena tom. II, p. 372 : Οὐ δειλιᾷν αὐτοὺς θέλει, ἀλλὰ τοὐναντίον μὴ πόθῳ τῶν ἐλπιζομένων ἑαυτοὺς παραδιδόναι ἑτοίμους εἰς θάνατον, καὶ ζημιοῦσθαι τοὺς μέλλοντας ἐκ τοῦ κηρύγματος ὠφεληθῆναι. *Non timere eos vult, at e contra reos desiderio futurorum sese ad mortem promptos exhibere, ne id fraudi sit eis qui ex eorum doctrina profecturi erant.*

Digitized by Google

πάλιν καὶ τοὺς κινδύνους, ἀναπτερῶν αὐτῶν τὴν διάνοιαν, καὶ ὑψηλοτέρους πάντων ποιῶν. Τί γάρ φησι;

Οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον.

Διδάσκει (1) ἀνεξικάκως πᾶν εἶδος φέρειν λοιδορίας, καὶ μὴ ὑπὲρ τὸν δεσπότην φρονεῖν.

Ἐν καιρῷ κρίσεως πάντα φανεροῦνται· οὐ γὰρ λοιδορίαις προσέχω, ἀλλὰ ταῖς καρδίαις.

Πᾶς οὖν ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων.

Ὁ ὁμολογῶν (2) ὅτι Θεός ἐστιν ὁ Χριστὸς, ταπεινώσας ἑαυτὸν, μέλλει σχεῖν τὸν Χριστὸν ὁμολογοῦντα περὶ αὐτοῦ τῷ Πατρὶ, ὅτι γνήσιός ἐστι δοῦλος.

Ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ, ἀπολέσει αὐτήν· καὶ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν.

Ὁ τὴν ἐνθάδε πρόσκαιρον ζωὴν ἀγαπῶν, φησὶ, καὶ ἐμοῦ προτιμῶν, οὐκ ἔστι μου ἄξιος· ὁ δὲ τῆς ἐνταῦθα προσκαίρου ζωῆς ἀμελήσας, καὶ περὶ πολλοῦ ποιούμενος ἐμὲ καὶ τὰς ἐμὰς ἐντολὰς, ζωὴν εὑρήσει αἰώνιον.

Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται· καὶ ὁ ἐμὲ δεχόμενος, δέχεται τὸν ἀποστείλαντά με.

Ὁ δεχόμενος, φησὶν, ὑμᾶς τοὺς τὴν ἀλήθειαν κηρύττοντας, αὐτὴν ἐκείνην δέχεται τὴν Θεότητα· τουτέστι τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα· τοῦτο γάρ ἐστιν ὃ φησιν· « Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται· καὶ ὁ ἐμὲ δεχόμενος, αὐτὸν τὸν Πατέρα δέχεται. »

Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν;

Οὐκ ἀγνοῶν (3) εἶναι αὐτὸν τὸν Χριστὸν, ἐρωτᾷ, ἢ ὅτι ἤμελλεν εἰς ᾅδου κατελθεῖν, ὥς τινές φασιν (ᾔδει γὰρ τὸ πάθος αὐτοῦ, διὸ καὶ ἀμνὸν αὐτὸν ὠνόμασεν)· ἀλλ' ἵνα ἔτι ζῶν πείσῃ αὐτοὺς, καὶ μὴ μετὰ θάνατον αὐτοῦ προστεθῶσιν ἑτέρῳ διδασκάλῳ.

Οὗτος γάρ ἐστι περὶ οὗ γέγραπται· Ἰδοὺ ἀποστέλλω τὸν Ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου.

Κατεσκεύασε τὴν ὁδὸν Κυρίου, τουτέστιν ἡτοίμασε τοὺς ἀνθρώπους πρὸς τὸ ὑποδέξασθαι τὴν νομοθεσίαν τοῦ Θεοῦ. Ἔδειξε μὲν οὖν καὶ ἐντεῦθεν ὁ Χριστὸς τὴν ὑπεροχὴν τοῦ Ἰωάννου. Οὐχ ἵσταται δὲ ἐνταῦθα, ἀλλὰ τὴν παρ' ἑαυτοῦ λοιπὸν ἐπάγει ψῆφον, λέγων·

Ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ.

Καὶ ὅρα πῶς ὅρκῳ πιστοῦται τὰ περὶ Ἰωάννου. « Ἀμὴν γὰρ, φησὶ, λέγω, ὅτι οὐκ ἐγήγερται μείζων αὐτοῦ. » Τὸ *ἐγήγερται* εἶπεν ὡς περί τινος βασιλέως περιφανοῦς, ἢ ὡς περὶ φυτοῦ λίαν εὐμηκεστάτου, καὶ ταῖς ἀρεταῖς εἰς ὕψος ἀναδραμόντος.

Ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστι.

(1) *Διδάσκει — καρδίαις.* Cramer. p. 79.
(2) *Ὁ ὁμολογῶν.* Cramer. p. 80.

mentem eorum excitans, omnibusque reddens superiores. Ecquid enim inquit?

X, 24. *Non est discipulus super magistrum.*

Docet, omne convicii genus patienter ferendum, et discipulum supra magistrum se extollere non debere.

In die judicii omnia manifestabuntur : non enim cavillationes curo, sed corda.

X, 32. *Omnis ergo qui confitebitur me coram hominibus.*

Qui Christum Deum esse confitetur, humilians seipsum, merebitur Christum habere pro eo Patri testimonium reddentem, quia fidelis est servus.

X, 39. *Qui invenit animam suam, perdet illam; et qui perdiderit animam suam propter me, inveniet eam.*

Qui brevem hujus temporis vitam adeo amat ut eam mihi præferat, non est me dignus. Qui autem hanc celeriter transeuntem negligit vitam, et me meaque mandata præcipuo in pretio habet, vitam inveniet sempiternam.

X, 40. *Qui recipit vos, me recipit; et qui me recipit, recipit eum qui me misit.*

28 Qui accipit vos, vos inquam prædicatores veritatis, Divinitatem accipit ipsam, hoc est, Patrem et Filium et Spiritum sanctum. Hoc enim est quod dicit : « Qui vos accipit, me accipit, et qui me accipit, Patrem ipsum meum accipit. »

XI, 3. *Tu es qui venturus es, an alium exspectamus?*

Non ignorans eum esse Christum, interrogabat, vel quia in infernum descendere debebat, ut quidam dicunt : passionem enim ejus futuram noverat, propter quod illum Agnum nominavit; sed ut adhuc vivens illos in fide confirmaret, et post mortem ejus alii magistro non adhærerent.

XI, 10. *Hic enim est de quo scriptum est : Ecce ego mitto Angelum meum ante faciem tuam, qui præparabit viam tuam ante te.*

Præparavit viam Domini, id est præparavit homines ad suscipiendam Dei legem. Inde igitur Christus quidem etiam ostendit Joannis eminentiam. Non autem hic sistit, sed suum deinde suffragium subjungit, dicens :

XI, 11. *Amen dico vobis, non surrexit inter natos mulierum major Joanne Baptista.*

29 Considera etiam quomodo jurejurando, ea quæ de Joanne dicuntur, confirmentur. « Amen enim, inquit, dico, quia eo major non surrexit; » illud *surrexit* dixit tanquam de rege quodam illustri, aut tanquam de stirpe aliqua procerissima, et virtutibus in altum exsurgente.

Qui autem minor est in regno cælorum, major est illo.

(3) *Οὐκ ἀγνοῶν — διδασκάλῳ.* Cramer. p. 82.

Digitized by Google

Cum nihil perfecerit lex, Joannes quidem natus erat mulieris : qui vero fidem erant amplexi, nati quidem non amplius mulierum vocantur, sed ex Deo geniti sunt. Christus autem cum redivivus infernum spoliasset, tum temporis Spiritum adoptionis filiorum dedit ; beatus vero Joannes, antequam Spiritus daretur e vita discessit ; itaque etsi minores simus iis qui legis justitiam assecuti sunt, at in majoribus per Christum sumus constituti.

A

XI, 14. *Et si vultis recipere, ipse est Elias qui venturus est.*

Hoc et angelus Gabriel de ipso dixit, hisce : « Præcessurus est ante illum in spiritu et virtute Eliæ [17] ; » ostendens ipsum hunc esse, etsi præter illum alius fuerit, qui visus sit. Quapropter non etiam simpliciter dixit : Hic est Elias, sed « Si vultis recipere, hic est, » id est, si benevola mente, iis quæ facta sunt, attendatis ; neque hic stetit, sed ostendens, quanta intelligentia opus sit, adjecit :

B

XI, 16, 17. *Similis est (generatio ista) pueris sedentibus in foro, qui clamantes coæqualibus dicunt : Cecinimus vobis, et non saltastis ; lamentavimus, et non planxistis.*

Sicut enim pueri sive saltantes sive lamentantes, neutrum unanimiter agunt, siquidem utrique socios incusant ab ipsis dissentientes ; sic fere affecti sunt Judæi, neque austeritatem Joannis, neque Christi liberalitatem approbantes, nec ullam ex hac vel illa utilitatem percipientes. Joannes enim asceticam agens vitam carnem mortificabat, nihil illos ab asceticis laboribus juvans . . . Præterea Joannes, prædicans baptismum pœnitentiæ, Judæos ad mœstitiam componebat, qui videlicet, ejus accepta prædicatione, plangere debebant ; Christus vero, prædicans regnum cœlorum, lætitiam præ se ferebat. Hanc autem sententiam proferens (Christus) credentibus innuit vitam futuram, et puram, quæ ipsos manet, lætitiam.

C

30 XI, 18, 19. *Venit enim Joannes, neque manducans, neque bibens, et dicunt : Dæmonium habet. Venit Filius hominis manducans et bibens, et dicunt : Ecce homo vorax, et potator vini, publicanorum et peccatorum amicus.*

Considera vero illos etiam aliunde in contrarias opiniones fuisse deductos. Dicentes enim de Joanne dæmonium eum habere, non ibi acquieverunt ; verum etiam de Christo contraria assumente, idipsum rursus dixerunt. Ita repugnantibus semper cir-

D

[17] Luc. IV, 17.

Ἐπειδὴ οὐδὲν ἐτελείωσεν ὁ νόμος, ὁ μὲν Ἰωάννης γεννητὸς ἦν γυναικὸς, οἱ δέ γε τὴν πίστιν προσημάμενοι, γεννητοὶ μὲν οὐκέτι χρηματίζουσι γυναικῶν, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν. Ὅτε δὲ ὁ Χριστὸς ἀνεβίω σκυλεύσας τὸν ᾅδην, τότε τὸ τῆς υἱοθεσίας δέδοται Πνεῦμα. Ὁ δὲ μακάριος Ἰωάννης πρὸ τοῦ δοθῆναι τὸ Πνεῦμα ἀπῆλθεν· ὥστε κἂν ἐλάττονες ὦμεν τῶν ἐν νόμῳ δικαιοσύνην κατωρθωκότων, ἀλλ' ἐν μείζοσι γεγόναμεν διὰ Χριστόν (1).

Καὶ εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι.

Τοῦτο καὶ ὁ ἄγγελος Γαβριὴλ εἶπε περὶ αὐτοῦ· Ὅτι καὶ αὐτὸς « Προελεύσεται ἔμπροσθεν αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει Ἠλίου· » δεικνὺς αὐτὸν τοῦτον ὄντα, εἰ καὶ παρ' ἐκεῖνον ἕτερος ἦν ὁ ὀφθησόμενος. Διόπερ οὐδὲ ἁπλῶς εἶπεν, Οὗτός ἐστιν Ἠλίας, ἀλλ', « Εἰ θέλετε δέξασθαι, οὗτός ἐστι· » τουτέστιν, Εἰ μετ' εὐγνώμονος διανοίας προσέχοιτε τοῖς γινομένοις· καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ δεικνὺς ὅτι συνέσεως χρεία, προσέθηκε·

Ὁμοία ἐστὶ (ἡ γενεὰ αὕτη) τοῖς παιδαρίοις ἐν ἀγοραῖς καθημένοις, καὶ προσφωνοῦσι τοῖς ἑταίροις αὐτῶν, καὶ λέγουσιν· Ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε· ἐθρηνήσαμεν, καὶ οὐκ ἐκόψασθε.

Ὥσπερ παίδων (2) ὀρχουμένων, ἑτέρων δὲ θρηνούντων, οὐχ ἵσταται εἰς ἓν βούλημα (ἀμφότερα γὰρ μέμφονται τοῖς ἑταίροις μὴ συμφωνοῦσιν αὐτοῖς)· τοιοῦτόν τι πεπόνθασιν Ἰουδαῖοι, οὔτε τὸ στυγνὸν τοῦ Ἰωάννου, οὔτε τὸ ἀνειμένον τοῦ Χριστοῦ ἀποδεξάμενοι, οὐδὲ δι' ἑνὸς τρόπου ὠφεληθέντες. Ὁ μὲν γὰρ Ἰωάννης δι' ἀσκητικοῦ βίου τὰ τῆς σαρκὸς ἐνέκρου, οὐ μὴν δι' ἀσκητικῶν πόνων βοηθούμενος... (3) Καὶ ὁ μὲν Ἰωάννης κηρύσσων βάπτισμα μετανοίας, τύπος ἦν κατηφείας τοῖς ὀφείλουσιν ἐπὶ τούτῳ πενθεῖν· ὁ δὲ Κύριος βασιλείαν οὐρανῶν κηρύσσων, τὸ φαιδρὸν ἐν ἑαυτῷ ἐπεδείκνυτο. Διὸ οὗ νῦν τοῖς πιστοῖς ὑπογράφει τὴν ἐσομένην ζωὴν καὶ τὴν ἄπονον χαράν.

Ἦλθε γὰρ Ἰωάννης, μήτε ἐσθίων, μήτε πίνων, καὶ λέγουσι· Δαιμόνιον ἔχει. Ἦλθεν ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγουσιν· Ἴδου ἄνθρωπος φάγος, καὶ οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν.

Σκόπει δὲ αὐτοὺς καὶ ἑτέρωθεν εἰς ἐναντίας περιενεχθέντας δόξας. Εἰπόντες γὰρ περὶ Ἰωάννου, ὅτι δαιμόνιον ἔχει, οὐκ ἔστησαν μέχρι τούτου· ἀλλὰ καὶ περὶ Χριστοῦ τὰ ἐναντία αἰρουμένου, τὸ αὐτὸ τοῦτο εἶπον πάλιν. Οὕτως εἰς μαχομένας ἀεὶ παριφέροντο

(1) Catena Crameri : *Ἰσιδώρου, Κυρίλλου, Θεοδώρου Ἡρακλείας.* Δευτέρα γέννησις ἡ τῆς ἀναστάσεως, δι' ἧς ἀναγεννώμεθα, καὶ δι' ἁγίου Πνεύματος τυγχάνομεν ἀθανασίας, οἱ μέλλοντες ἀπολαύειν τῶν ἀγαθῶν· καὶ ὁ πάνυ ἐλάχιστος ἐκεῖ ὑπεραναβαίνει τὸν Ἰωάννην, εἰ καὶ ἐκ μήτρας ἐτύγχανεν ἁγίου Πνεύματος.

Κυρίλλου. Μείζονα λέγει Ἰωάννου τὸν πιστὸν τὸν διὰ τοῦ λουτροῦ ἀναγεννηθέντα· ἣν κατάστασιν καλεῖ βασιλείαν τῶν οὐρανῶν, ὡς τοῖς πιστοῖς διῳκημένης βασιλείας, ἧς οὔπω ἦν τυχὼν ὁ Βαπτιστής. Ὁ δὲ μόνον βαπτισθεὶς, εἰ καὶ μήπω ἔσχεν ἐνάρετον βίον, ὑπὲρ τὸν Ἰωάννην ἐστίν. Ὁ οὖν λόγος ἔπαινον ἔχει τοῦ ἁγίου βαπτίσματος.

(2) Lego παιδίων, vel, παιδαρίων cum N. T. Gr., ut mox ἀμφότερα ad ipsa παιδάρια referam. Edit.

(3) Deesse videtur apodosis : Ὁ δὲ Χριστός...

Digitized by Google

δόξας. Ἔπρεπεν Ἰωάννῃ ὡς οἰκέτῃ διὰ τῆς ἄγαν σκληραγωγίας κατανεκρῶσαι τὰ τῆς σαρκὸς πάθη, τῷ δὲ Χριστῷ ὡς ἐλευθέρῳ δυνάμει τῆς θεότητος ἐξουσιαστικῶς τὰ τῆς σαρκὸς νεκροῦν κινήματα, καὶ τὸν ἔμφυτον τῆς σαρκὸς νόμον, οὐ μὴν δι' ἀσκητικῶν πόνων εἰς τοῦτο βοηθεῖσθαι. Ὁ μὲν Ἰωάννης βάπτισμα κηρύσσων μετανοίας, τύπον ἑαυτὸν παρέσχε τοῖς ὀφείλουσι πενθεῖν. Ὁ δὲ Κύριος βασιλείαν οὐρανῶν κηρύσσων, εἰκότως τὸ ἀνειμένον καὶ φαιδρὸν ἐν ἑαυτῷ ἐπεδείκνυτο, δι' ἧς τοῖς πιστοῖς ὑπέγραφε τὴν ἐσομένην ἀνέκφραστον ζωὴν, καὶ τὴν ἄπονον ζωήν.

A cumagebantur opinionibus. Decebat Joannem, tanquam servum, per duram admodum vitæ rationem carnis affectiones mortificare: Christum vero tanquam liberum, virtute divinitatis, tanquam potestatem habentem, carnis motus edomare, ac insitam carnis legem subigere, non tamen per ascetico labores ad hoc juvari. Joannes quidem baptisma prædicans pœnitentiæ, figuram se ipsum præbuit lugere debentibus: Dominus vero regnum cœlorum prædicans, merito remissionem ac lætitiam in sese exhibuit, per quam fidelibus futuram vitam ineffabilem descripsit, vitam laboris expertem.

Κυρίλλου ἐκ τοῦ δευτέρου τοῦ εἰς τὸ κατὰ Ματθαῖον Ὑπομνήματα.

Cyrilli ex libro II *Commentarii in Matthæum.* (*Matth.* xi, 18).

Ἦλθε μὲν (1) γὰρ Ἰωάννης μήτε ἐσθίων, μήτε πίνων, καθ' ἃ γέγραπται· ἦλθε δὲ ὁ Υἱὸς τοῦ ἀνθρώπου B ἐσθίων καὶ πίνων. Καὶ τὴν τούτου αἰτίαν, ὡς ἂν οἷόν τε, ὧδι εἰπεῖν πειράσομαι. Γέγονε μὲν γὰρ ἄνθρωπος ὁ τοῦ Θεοῦ Λόγος, καὶ πάντα πεφόρηκε τὰ ἡμέτερα, δίχα μόνης· ἁμαρτίας· ἀλλ' ἔν γε ταῖς κατὰ σῶμα κινήσεσι φυσικαῖς, τῆς ἐξ ἔθους ἡμῖν χαλιναγωγίας, πόνου τε, φημὶ, καὶ νηστείας, πῶς ἂν ἐδεήθη, καίτοι κατὰ φύσιν ὑπάρχων Θεὸς, ὁ καὶ κρείττων ἁμαρτίας, καὶ τῇ παρ' ἑαυτοῦ χάριτι καὶ τὰ ἐν ἡμῖν καταραῖζων πάθη, νεκρὰν δὲ καὶ ἄπρακτον ἀποφαίνων καὶ τὴν ἐν ἡμῖν τοῦ σώματος ὄρεξιν, εἰ καὶ διακέοιτό πως εἰς ἐκτόπους ἡδονάς; Κατεσκήνωτεν γὰρ ἐν ἡμῖν ὁ τοῦ Θεοῦ Λόγος, καὶ ἰδίαν ἐποιήσατο σάρκα τὴν ἀνθρωπίνην, ἵν' ἐπειδήπερ ἀτίθασσός τις αὐτὴν ὁ τῆς ἁμαρτίας κατελῄζετο νόμος (τετυράννηκε γὰρ ἐν τοῖς μέλεσι τῆς σαρκὸς ἀντιστρατευόμενος τῷ νόμῳ τοῦ νοὸς, καὶ αἰχμαλωτίζων εἰς τὰ οἰκεῖα), καταργήσει τοῦτον δι' ἑαυτοῦ· καὶ ἐν πρώτῃ νεκρώσας τῇ ἰδίᾳ σαρκὶ, παραπέμψῃ λοιπὸν τῆς ἐπὶ τούτῳ χάριτος τὴν μετάδοσιν εἰς ἡμᾶς, ἅτε δὴ καὶ ὄντας ὁμογενεῖς κατά γε τὴν τῆς σαρκὸς φύσιν· ἀπ- C ἀρχὴ γὰρ ἡμῶν Χριστὸς, δεύτερος Ἀδὰμ χρηματίσας μετ' ἐκεῖνον τὸν ἐν ἀρχαῖς· καὶ πρῶτος ἄνθρωπος πέφηνεν ἐπὶ γῆς, χοϊκὸς μὲν οὐκέτι, θεῖος δὲ μᾶλλον καὶ ἐπουράνιος, ἁμαρτίαν οὐκ εἰδώς· δι' ὃ καὶ μόνος ἐν νεκροῖς ἐλεύθερος. Ἀναμορφουμένης τοιγαροῦν ἐν πρώτῳ Χριστῷ πρὸς τὸν ἐν ἀρχαῖς ἁγιασμὸν τῆς ἡμετέρας φύσεως, ἐνδοιαζέτω μηδεὶς ὡς εἰς ἅπαν ἤδη τὸ ἀνθρώπινον ἐξετείνετο γένος ἡ τῆς ἀναμορφώσεως χάρις. Οὐ γὰρ ἑαυτὸν ἀνεμόρφου D Υἱὸς ὢν ὁ Λόγος, καὶ τῆς τοῦ Πατρὸς ἰδιότητος ἀπαραποίητος χαρακτὴρ, ἀλλ' ἡμεῖς ἡμεν σὺν αὐτῷ πρὸς Θεὸν ἀναμορφούμενοι διὰ τοῦ καὶ ὑπὲρ φύσιν ἁγιασμοῦ, νεκρουμένου λοιπὸν ἐν τοῖς μέλεσιν ἡμῶν τοῦ νόμου τῆς ἁμαρτίας. Ἦν οὖν σφόδρα τῶν ἀτόπων μὴ οὐχὶ μᾶλλον τῇ τῆς θεότητος ἐνεργείᾳ τὰ ἐν τῷ σώματι τοῦ Χριστοῦ κατανεκροῦσθαι πάθη, συναθλεῖν δὲ ὥσπερ αὐτῷ τὴν νηστείαν, εἰς τὸ καθάπερ ἐκ βίας καὶ ἀνάγκης τὴν σάρκα καταξηραίνειν· ποῦ γὰρ ἡ τοῦ ἐνοικοῦντος Θεοῦ Λόγου δύναμις, εἰ καθάπερ ἐφ' ἡμῶν πόνοις καὶ νηστείᾳ τὰ πάθη κατηυνάζετο;

Venit enim Joannes neque manducans, neque bibens, sicuti scriptum est; venit autem Filius hominis manducans et bibens. Jamvero hujus rei, prout fieri poterit, causam hic conabor exponere. Factum est homo Dei Verbum, nostraque omnia gestavit, uno excepto peccato. Sed quod attinet ad physicas corporis commotiones, quomodo eguisset consueto nobis freno, labore nimirum ac jejunio, quandoquidem Deus suapte natura est, et peccato superior, suaque gratia in nobis quoque sedat passiones, nostri corporis impetus inhibens, si quando ad absurdas voluptates rapiatur? Videlicet inter nos habitavit Dei Verbum, suamque fecit carnem humanam, ut quia hanc aspera peccati lex vexabat (etenim tyranni instar peccatum in carnis membris repugnat mentis legi, in suam nos potestatem redigens), per se ipsum vim illam retunderet, atque in sua apprime carne eam legem perimens, gratiæ hujus participationem ad nos transmitteret, qui ejusdem cum eo generis sumus, quod attinet ad carnis naturam. Nam primitiæ nostræ Christus est [17], novusque Adamus est post illum qui fuit initio: et princeps homo interra apparuit, jam non terrenus, sed divinus potius atque cœlestis, peccati nescius; propterea solus etiam inter mortuos liber. Reformata ergo in Christo primo ad primigeniam sanctitatem natura nostra, nemo dubitet quin ad universum hominum genus reformationis gratia fuerit extensa. Non enim seipsum reformavit Verbum, cum Deus sit, et proprietatis Paternæ germana figura; sed nos cum illo ad Deum reformati fuimus, propter supernaturalem sanctificationem, exstincta deinceps in membris nostris lege peccati. Valde igitur absurdum fuisset, si non potius divinitatis virtute in Christi corpore mortificatæ fuissent passiones, sed jejunii opem implorasset, ut tanquam vi ac necessitate carnem debilitaret. Ubinam enim inhabitantis Verbi passiones, si prout nobis usuvenit, laboribus ac jejunio passiones sedasset?

[17] I Cor. xv, 23.

(1) Ἦλθε μὲν — κατηυνάζετο. Mai, *B. N.* II, 477.

Digitized by Google

XI, 25. *Confiteor tibi, Pater.*

31 Illud *confiteor*, ex humano more ait. Quasi diceret, Gratias ago, aut, Glorifico te; mos enim est divinæ Scripturæ confessionis nomen tali quodam modo accipere. Scribitur enim « Confiteantur, Domine, nomini tuo magno, quoniam terribile et sanctum est [19], » Ac rursus : « Confitebor tibi, Domine, in toto corde meo [20]. » At qui mente perversa sunt : Ecce, aiunt, gratiam confitetur Filius Patri. Ac quomodo non illo minor est? Ad hoc autem respondere potest aliquis qui veritatis dogmata bene norit propugnare : Et quid vetat, o boni, consubstantialem suscipere Filium, et laudare Patrem illius omne quod sub cœlo est, per ipsum servantem? Sin autem ob confessionem Patre minorem eum esse arbitraris, respice etiam quæ sequuntur. Dominum enim cœli et terræ Patrem vocat, Filius autem omnipotentis Dei, omnino cum eo omnibus dominatur, non tanquam minor vel diversæ substantiæ, sed tanquam Deus de Deo, æqualibus titulis coronatus, et juxta omnia cum ipso substantialiter æqualis.

A

B

Cyrilli ex septimo libro commentariorum in Matthæi Evangelium, super illud : « Confiteor tibi, Pater. »

Igitur quatenus Deus est, judicium de gentibus exercebat, volente simul et per ipsum operante omnia Patre. Quatenus autem de nostro numero est, propter carnis naturam, perfectum gerens humanitatis habitum, eximias preces Patri offerebat.

C

XI, 27. *Nemo novit Filium, nisi Pater, neque Patrem quis novit, nisi Filius.*

Qui videt filium, patris referentem imaginem, ipsum videt patrem, quia ipse coram patre est tanquam prototypon, vicissimque in forma propria archetypon repræsentat. Atque hæc digne Deo modis intelligenda sunt. Quia vero dixerat, « Omnia mihi tradita sunt, » ne forte aliena esse natura et Patre minor videretur, supradicta verba addidit, ut tam suam quam Patris ineffabilem incomprehensibilemque naturam ostenderet. Sola enim Trinitatis divina natura semet agnoscit : solus Pater proprium novit Filium, naturæ suæ fructum : sola denique divina Soboles Parentem suum agnoscit : solus sanctus Spiritus profunda Dei scit, nempe Patris Filiique mentem.

D

[19] Psal. xcviii, 3. [20] Psal. cx, 1.

Ἐξομολογοῦμαί σοι, Πάτερ.

Τὸ *ἐξομολογοῦμαι* φησὶ κατὰ συνήθειαν ἀνθρωπίνην, ἀντὶ τοῦ, Χάριν ὁμολογῶ, ἤγουν, Δοξάζω σε. Ἔθος γὰρ τῇ Θεοπνεύστῳ Γραφῇ τὸ τῆς ἐξομολογήσεως ὄνομα κατὰ τοιόνδε τινὰ δέχεσθαι τρόπον. Γέγραπται, ὅτι « Ἐξομολογησάσθωσαν, Κύριε, τῷ ὀνόματί σου τῷ μεγάλῳ, ὅτι φοβερὸν καὶ ἅγιόν ἐστι. » Καὶ πάλιν· « Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου. » Ἀλλ' οἱ διεστραμμένοι τὸν νοῦν, Ἰδοὺ, φασὶ, χάριν ὁμολογεῖ ὁ Υἱὸς τῷ Πατρί· εἶτα πῶς οὐκ ἐλάττων ἐστὶν αὐτοῦ; Πρὸς τοῦτο φαίη τις ἂν τῶν εὖ εἰδότων τοῖς τῆς ἀληθείας συναισπίσαι δόγμασι· Καὶ τί τὸ κωλύον, ὦ βέλτιστοι, τὸν ὁμοούσιον Υἱὸν ἀποδέχεσθαι καὶ ἐπαινεῖν τὸν ἑαυτοῦ Πατέρα σώζοντα δι' αὐτοῦ τὴν ὑπ' οὐρανόν; Εἰ δὲ νομίζεις διὰ τὴν ἐξομολόγησιν ἐν ἐλάττοσιν εἶναι αὐτὸν τοῦ Πατρὸς, ὅρα καὶ τὰ ἑφεξῆς. Κύριον γὰρ οὐρανοῦ καὶ γῆς ἀποκαλεῖ τὸν Πατέρα· ὁ δὲ Υἱὸς τοῦ τῶν ὅλων κρατοῦντος Θεοῦ, πάντως που σὺν αὐτῷ δεσπόζει τῶν ὅλων, οὐχ ὡς ἐλάττων ἢ ἑτερούσιος, ἀλλ' ὡς Θεὸς ἐκ Θεοῦ, ταῖς ἴσαις εὐκλείαις στεφανούμενος, καὶ τὴν κατὰ πᾶν ὁτιοῦν ἰσότητα πρὸς αὐτὸν ἔχων οὐσιωδῶς.

Κυρίλλου ἐκ τοῦ ζ' βιβλίου τῶν ὑπομνημάτων τῶν εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον, εἰς τό, « Ἐξομολογοῦμαί σοι, Πάτερ. »

(1) Οὐκοῦν ᾗ μὲν ἔστι Θεὸς, τὸ ἐπὶ τοῖς ἔθνεσιν εἰργάζετο κρῖμα, συγκατανεύοντός τε καὶ ἐνεργοῦντος δι' αὐτοῦ τὰ πάντα τοῦ Πατρός· ᾗ δὲ νοεῖται καθ' ἡμᾶς διὰ τὴν τῆς σαρκὸς φύσιν, ἤτοι τελείως τὸ τῆς ἀνθρωπότητος σχῆμα, τὰς ὑπερικετείας (2) ἀνετίθησι τῷ Πατρί.

Οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν, εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱός.

Ὁ ὁρῶν (3) τὸν υἱὸν, τὴν τοῦ πατρὸς εἰκόνα ἔχοντα ἐν ἑαυτῷ, αὐτὸν ὁρᾷ τὸν πατέρα (4), ὡς ἐν πρωτοτύπῳ αὐτὸς τῷ πατρὶ φαινόμενος, ὑποφαίνων δὲ αὖ πάλιν ἐν ἰδίᾳ μορφῇ τὸ ἀρχέτυπον· ταῦτα δὲ θεοπρεπῶς νοητέον· ἐπειδὴ δὲ εἶπε, « Πάντα μοι παρεδόθη, » ἵνα μὴ δόξῃ ἑτέρας φυλῆς (5) εἶναι παρὰ τὸν Πατέρα ἥττων, ἐπήγαγε τοῦτο, ἵνα δείξῃ τὴν ἑαυτοῦ φύσιν ἀπόῤῥητον καὶ ἀκατάληπτον οὖσαν, καὶ τῆς (*ita cod.*) τοῦ Πατρός· μόνη γὰρ θεία φύσις τῆς Τριάδος ἑαυτὴν ἐπιγινώσκει· μόνος ὁ Πατὴρ οἶδε τὸν Υἱὸν τὸν ἴδιον, τὸν τῆς ἑαυτοῦ φύσεως καρπόν· μόνον τὸ θεῖον γέννημα ἐπιγινώσκει τὸν ἐξ οὗ ἐτέχθη· μόνον τὸ ἅγιον Πνεῦμα οἶδε τὰ βάθη τοῦ Θεοῦ, ὅ ἐστι τὰς ἐννοίας τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ.

(1) *Οὐκοῦν — τῷ Πατρί.* Mai *B. N.* II, 478.

(2) Ita codex. Suspicabar tamen scribendum potius ὑπὲρ ἡμῶν ἱκετείας, quam novum vocabulum admittendum. Sed enim ne contraria quidem suspicione carebam, nempe positum esse hoc fortasse vocabulum ob denotandam excellentiam orationis Christi. Paribus enim compositionibus abundat theologia Græcorum, v. gr. ὑπερβουλεία, ὑπερούσιος, ὑπεράρχιος, ὑπερουράνιος, ὑπεράῤῥητος, ὑπερώνυμος, et alia apud Areopagitam præsertim, editumque a nobis Nicephorum.

(3) *Ὁ ὁρῶν — τοῦ Υἱοῦ.* Mai *B. N.* III, 130.

(4) Fragmentum hoc nonnisi hactenus, in Corderiana Catena legebatur; sequentia ibi deerant.

(5) Ita cod., non φύσεως, etsi sensus idem est.

Digitized by Google

Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες, καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.

Ὁ οὖν ἀκούσας τῆς κλήσεως, καὶ ἐγγίσας, καὶ κολληθεὶς τῷ προστάξαντι, οὗτος ἀναπαύεται. Ἀποστάντες, φησὶ, τῆς φιλαμαρτήμονος γνώμης, καὶ τῆς φιλοσαρκίας, καὶ μετατρεπόμενοι ἐπὶ τὰ ἐπαίνου ἄξια πράγματα, ἐγγίσατέ μοι ἵνα γένησθε θείας κοινωνοὶ φύσεως, καὶ ἁγίου Πνεύματος μέτοχοι. Πάντας δὲ καλεῖ, καὶ οὐ μόνους τοὺς ἐξ Ἰσραὴλ, ὡς πάντων Δημιουργὸς καὶ Κύριος· καὶ κοπιῶντας μὲν λέγει τοὺς Ἰουδαίους, τοὺς μὴ ἰσχύοντας βαστάσαι τὸν μικρὸν ζυγὸν, πεφορτισμένους δὲ τοὺς εἰδωλολάτρας, τοὺς διὰ τοῦ διαβόλου καταφορτισθέντας, καὶ τῷ πλήθει τῶν ἁμαρτιῶν καταβαρυνομένους. Ὑμεῖς οὖν, φησὶν, ὦ Ἰουδαῖοι, νεύσατε πρὸς τὴν ἀλήθειαν, καὶ ἐπίγνωτε ἐμὲ τὸν ὑμέτερον κηδεμόνα καὶ Δεσπότην, καὶ ἐγγύθεν τῆς προσόδου τὸ κέρδος κομιζόμενοι. Ἀπαλλάττω γὰρ ὑμᾶς τῆς ὑπὸ τὸν νόμον δουλείας, ἐν ᾗ πολὺν ὑπομένετε κόπον, οὔτε ῥᾳδίως ἐξανύειν αὐτὸν δυνάμενοι, καὶ μέγιστον τῶν ἁμαρτημάτων τὸ φορτίον ἑαυτοῖς κατασκευάζοντες, ὅσῳ πλείονα φυλάττειν προσῆκεν ὑμᾶς ἀκόλουθα τῷ νόμῳ διαπραττομένους.

A

B

Ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Ἐλαφρὸς ἐστιν ὁ ζυγὸς τοῦ Χριστοῦ· ἐπεὶ οὐ κολάζει ἡμᾶς καθάπερ ὁ νόμος, τὸ ἀναμάρτητον ἀπαιτῶν καὶ τὸ ἀπαθές· ἀλλ' ἐν ἁπλοῖς ῥήμασιν ἔχει τὴν ἐπαγγελίαν καὶ τὸν τῆς ἀρετῆς ὑπογραμμόν.

C

Οἱ δὲ Φαρισαῖοι ἰδόντες, εἶπον αὐτῷ· Ἰδοὺ οἱ μαθηταί σου ποιοῦσιν ὃ οὐκ ἔξεστι ποιεῖν ἐν Σαββάτῳ.

Ἔνθα μὲν γὰρ οὐδὲν γίνεται μέγα καὶ γενναῖον, ἡσυχάζουσιν· ἔνθα δὲ ὁρῶσί τινας σωζομένους, καὶ πάντων εἰσὶ φορτικώτεροι. Οὕτως ἐχθροὶ τῆς τῶν ἀνθρώπων εἰσὶ σωτηρίας καὶ τῶν ἱερῶν Γραμμάτων ἀνεπιστήμονες. Εἰ ἑτέρα παρὰ τὴν πρώτην ἐστὶν ἡ καινὴ, ἡ διὰ Ἱερεμίου προκηρυχθεῖσα, δεῖ πάντως καὶ νόμοις οὐ τοῖς ἀρχαίοις κεχρῆσθαι, ἀλλὰ τοῖς καινοῖς. Ἀλλ' οἱ Φαρισαῖοι τοῦτο συνιδεῖν [μὴ] θελήσαντες, ἐφεδρεύουσι τοῖς ἁγίοις ἀποστόλοις, καί φασι περὶ αὐτῶν τῷ Χριστῷ· Ἰδοὺ τοῖς νομικοῖς ἐντάλμασιν ἐναντιουμένους ὁρῶμεν τοὺς ὑπὸ σοῦ παιδαγωγουμένους. Τοῦ γὰρ νόμου κελεύοντος ἀργεῖν ἐν Σαββάτῳ, καὶ μηδενὸς παντάπασιν ἅπτεσθαι πόνου, περιτρίβουσι ταῖς χερσὶν ἀστάχυας οἱ μαθηταί. Σὺ δὲ αὐτὸς, εἰπέ μοι, ὦ Φαρισαῖε, τὴν σαββατικὴν ἑαυτῷ τράπεζαν παραθεὶς οὐ συνθρύεις τὸν ἄρτον; Τί οὖν ἑτέρους αἰτιᾷ; πῶς δὲ καὶ ὁ Σωτὴρ περὶ αὐτῶν ἀπολογεῖται;

D

Πόσῳ οὖν διαφέρει ἄνθρωπος προβάτου; Ὥστε ἔξεστι τοῖς Σάββασι καλῶς ποιεῖν.

Ἀσεβεῖς ὄντες οἱ Φαρισαῖοι ὑπεκρίνοντο τὴν εὐσέβειαν· ἵνα τοὺς εὐσεβεῖς ἐξολοθρεύσωσι. Διὸ καὶ τὸν Χριστὸν διαβάλλειν ἐπεχείρουν, καὶ τοὺς αὐτοῦ

XI, 28. *Venite ad me omnes qui laboratis et onerati estis, et ego reficiam vos.*

32 Qui igitur audit vocationem, et accedit, et præcipienti adhæret, hic reficitur. Abjicientes, inquit, mentem quæ amat peccatum ac carnem, et conversi ad ea quæ laude digna sunt, appropinquate mihi, ut divinæ naturæ ac sancti Spiritus filiis participes. Omnes autem vocat, et non solos qui ex Israel, tanquam omnium Dominus et Creator; et laborantes quidem dicit Judæos, qui exiguum jugum ferre non valent, oneratos vero idolorum cultui addictos, per diabolum oppressos, ac peccatorum multitudine gravatos. Vos igitur, ait, Judæi, accedite ad veritatem, et me agnoscite vestrum curatorem ac Dominum, próxime etiam accessu lucrum relaturi. Libero enim vos a servitute legis, in qua magnum sustinuistis laborem, cum non facile possetis eam explere, et maximum peccatorum onus vobis ipsis imponeretis, quanto plura servare vos oportebat legi consentanea perficientes.

XI, 30. *Jugum enim meum suave est, et onus meum leve.*

Leve est jugum Christi, quoniam non punit nos quemadmodum lex, innocentiam exigens peccati prorsus expertem et animæ statum perturbationibus non obnoxium; in meris interim verbis habens promissionem et virtutis exemplar.

XII, 2. *Pharisæi autem videntes dixerunt ei: Ecce discipuli tui faciunt quod non licet facere Sabbato.*

Siquidem, ubi nihil magnum fit ac generosum, quiescunt; ubi vero quosdam salvatos vident, omnino sunt magis molesti: adeo inimici sunt salutis humanæ, ac sacrarum Litterarum ignari. Quod si alia præter primam legem nova est, quæ per Jeremiam fuit prædicata [21], oportet omnino etiam antiquis legibus non uti, sed novis. Sed Pharisæi hoc intelligere nolentes insidiantur sanctis apostolis, ac de iis Christo aiunt: Ecce legalibus præceptis adversantes videmus tuos discipulos. Jubente enim lege feriari in Sabbato, nullumque omnino attingere laborem, discipuli manibus spicas vellunt. At tu ipse, dic mihi, Pharisæe, sabbaticam tibi mensam apponens, nunquid panem non confringis? Ecquid igitur alios culpas? quomodo autem ipse Salvator eos excusat?

33 *Quanto magis melior est homo ove? Itaque licet Sabbatis benefacere.*

Impii cum essent Pharisæi, pietatem simulabant, ut pios perderent. Propterea et Christum per calumniam infamare conabantur, et ejus discipulos,

[21] Jerem. xxxi, 1 seqq.

Digitized by Google

quod eos viderent miraculis illustres evadere. A

Cyrilli ex libro VII *comment. in Matth. Evangelium super illud : Si ego in Spiritu Dei dæmonia ejicio* (*Matth.* XII, 28).

Nemo scandalizetur etiamsi audit communem nostrum Servatorem Christum affirmantem atque dicentem se in Spiritu Dei dæmonia ejicere. Ne te, inquam, perturbet Filius dicens se in Spiritu operari ; considera potius, quis et qua de re tunc eo modo locutus sit. In carne erat propter nos, et quidem æque ac nos homo, haud gloria quæ deitatem naturaliter decebat, sed naturæ nostræ vili et humili figura indutus. Idcirco se in Spiritu Dei operari ait. Reapse enim nequaquam carnis naturali operatione, neque humanitatis virtute vincit B Satanam et adversus Beelzebul prævalet. Alioqui doceat nos aliquis, si ei libet, cur ii qui **34** vellent potestatem in impuros dæmones exercere, impediantur, si id carneæ naturæ opus est. Cuncti enim in carne sumus, unaque in cunctis est humanitatis ratio. Sed revera neque proprium carnis opus est, neque naturæ humanæ adversus spiritus prævalere ; ideo nec omnes id efficere queunt, sed eam rem operantis potius Spiritus effectum esse conspicimus. Vere itaque Servator dixit, quatenus caro et homo ipse intelligitur, opus hujusmodi a Spiritu fieri, non vero carnem sive humanitatem adversus dæmones vi pollere. Sanctum sine dubio Christi corpus est, omnemque habet adversus omnem morbum potestatem, sed erat estque sanctum, C non quatenus reputatur simpliciter caro, in sui moduli ratione consistens ; sed quatenus templum est inhabitantis in ipsa Verbi, quod propriam carnem sanctificat per sanctum Spiritum. Aiebat ergo ipse in sua ad cœlestem Patrem pro nobis allocutione : « Ego sanctifico me ipsum, ut sint et ipsi sanctificati simul [36]. »

Et post alia.

Quoniam fidem incarnationi præbere non exhorrescitis, quidni admiramini hominem æque ac nos factum, **35** ut quod tanquam Deus habebat, nostri causa, quatenus homo erat, acciperet, Spiritum inquam, cujus gratiam ad nos transmitteret? D Etenim cum Spiritus gratiam, ob antiquam transgressionem natura amisisset, rursus eam adepta est per primum et in quo primo fuit Christo. Hic enim apparuit cœlestis homo, Adamus alter, qui sibi humanam naturam instauravit ad vitæ novitatem. Cum ergo semper habeat proprium Spiritum Christus, quatenus intelligitur et est naturaliter Deus, qui etiam illum recipere dicitur quatenus homo est, profecto pervenit in nos regnum Dei.

μαθητὰς, ὁρῶντες αὐτοὺς λαμπρυνομένους τοῖς θαύμασιν.

Κυρίλλου ἐκ τοῦ ζ' βιβλίου εἰς τὸ ῥητόν· Εἰ δὲ ἐν Πνεύματι Θεοῦ ἐγὼ ἐκβάλλω τὰ δαιμόνια.

Σκανδαλιστέον (1) οὐδαμῶς εἰ καὶ διαπύθοιτό τις τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ διαβεβαιουμένου καὶ φάσκοντος Πνεύματι Θεοῦ ἐκβάλλειν τὰ δαιμόνια· μὴ γὰρ δή σε θορυβεῖτω λέγων ὁ Υἱὸς ἐνεργεῖν ἐν Πνεύματι· καταλογίζου δὲ μᾶλλον τίς ὢν ἄρα καὶ ἐν τίσιν τὸ τηνικάδε τὰ τοιαῦτά φησιν· ἦν μὲν γὰρ ἐν σαρκὶ δι' ἡμᾶς· αὐτὸ δὴ τοῦτο καθ' ἡμᾶς ἄνθρωπος οὐκ ἐν δόξῃ τῇ θείᾳ καὶ αὐτῷ πρεπούσῃ φυσικῶς, ἀλλὰ τῆς ἡμετέρας φύσεως τὸ σμικροπρεπὲς καὶ τὸ ταπεινὸν τοῦτο περικείμενος σχῆμα· διὰ τοῦτό φησιν ἐνεργεῖν ἐν Πνεύματι Θεοῦ. Καὶ γάρ τοι κατὰ τὸ ἀληθὲς οὐ σαρκὸς ἐνεργείᾳ φυσικῇ καὶ ἀνθρωπότητος δυνάμει παραλύει τὸν Σατανᾶν καὶ κατισχύει τοῦ Βεελζεβούλ· ἐπεὶ διδασκέτω τις, εἰ βούλεται, τί τὸ κωλύον τοῖς ἐθέλουσι προκεῖσθαι τὴν ἐξουσίαν τὴν κατὰ πνευμάτων, εἰ τοῦτο ἐνεργεῖ σαρκὸς φύσις. Πάντες γάρ ἐσμεν ἐν σαρκὶ, καὶ εἷς κατὰ πάντων ὁ τῆς ἀνθρωπότητος λόγος. Ἀλλ' οὔτε σαρκὸς ἔργον ἰδικῶς, οὔτε μὴν ἀνθρωπότητος τὸ κατισχύσαι πνευμάτων, ἐπεὶ μὴ πάντες ἰσχύουσιν, ἐνεργείας δὲ μᾶλλον ὁρᾶται κατόρθωμα τῆς διὰ Πνεύματος. Οὐκοῦν ἀληθὲς εἴρηκεν ὁ Σωτὴρ καθ' ὃ νοεῖται σὰρξ καὶ ἄνθρωπος, ὅτι Πνεύματος ἔργον ἦν, καὶ οὐχὶ διὰ τῆς σαρκὸς, ἤγουν ἀνθρωπότητος, ἡ κατὰ τῶν δαιμόνων ἰσχύς. Ἅγιον μὲν γὰρ ὁμολογουμένως ἐστὶν τὸ σῶμα τοῦ Χριστοῦ, καὶ πᾶσαν ἔχον κατὰ πάσης νόσου τὴν δύναμιν· ἀλλ' ἦν τε καὶ ἔστιν ἅγιον, οὐχ ἐπείπερ ἁπλῶς νοεῖται σὰρξ, ἐν μόνοις οὖσα τοῖς ἰδίοις λόγοις, ἀλλ' ὅτι ναός ἐστι τοῦ κατοικοῦντος ἐν αὐτῇ Θεοῦ Λόγου, ἁγιάζοντός τε τὴν ἰδίαν σάρκα διὰ τοῦ ἁγίου Πνεύματος. Ἔφη γοῦν αὐτὸς πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα τὰς διαλέξεις ποιούμενος ὑπὲρ αὐτῶν· « Ἐγὼ ἁγιάζω ἐμαυτὸν, ἵνα ὦσι καὶ αὐτοὶ ἡγιασμένοι εἷς ἓν. »

Καὶ μεθ' ἕτερα.

Ἀνθ' ὅτου δὴ μετὰ σαρκὸς οἰκονομίαν οὐ κατεπέπληχθε, φησὶν, διὰ τί μὴ θαυμάζετε τὸν καθ' ἡμᾶς γενόμενον ἄνθρωπον, ἵνα ὅπερ ἔχει φυσικῶς ὡς Θεὸς, λαβὼν δι' ἡμᾶς ὡς ἄνθρωπος, φημὶ δὴ τὸ Πνεῦμα, παραπέμψῃ καὶ εἰς ἡμᾶς τὴν χάριν; Ζημιωθεῖσα γὰρ ἡ φύσις τὴν τοῦ Πνεύματος χάριν διὰ τὴν ἐν ἀρχῇ παράβασιν, πεπλούτηκε πάλιν αὐτὴν διὰ πρώτου τε καὶ ἐν πρώτῳ Χριστῷ. Πέφηνε γὰρ οὐράνιος ἄνθρωπος καὶ δεύτερος Ἀδὰμ ἀνακτίζων ἑαυτῷ τὴν φύσιν εἰς καινότητα ζωῆς. Ἔχοντος τοίνυν ἀεὶ τὸ ἴδιον Πνεῦμα Χριστοῦ, καθ' ὃ νοεῖται καὶ ἔστι Θεὸς κατὰ φύσιν, λεγομένου τε λαβεῖν ᾗ γέγονεν ἄνθρωπος, ἔφθασεν ἐφ' ἡμᾶς ἡ βασιλεία τοῦ Θεοῦ. Τὸ γὰρ μετόχους γενέσθαι τοῦ Πνεύματος,

[36] Joan. XVII, 19.

(1) *Σκανδαλιστέον*. Fragmentum hoc cum tribus sequentibus edidit Ang. Mai in *Bibl. nova Patrum*, II, 478.

Digitized by Google

οὐδὲν ἕτερον ἂν εἴη λοιπὸν, ἢ μετασχεῖν βασιλείας θεοῦ.

Κυρίλλου ἐκ τοῦ αὐτοῦ εἰς τὸ ῥητόν· « Καὶ ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ. »

Ἄῤῥητον ἔχων τὴν ἐκ Θεοῦ Πατρὸς γέννησιν, διά τε τοῦτο ὑπάρχων Θεὸς κατὰ φύσιν ὁ Μονογενὴς, τὴν ἀνθρωπείαν ὑπέδυ μορφὴν, καὶ γεγένηται καθ' ἡμᾶς ἐκ γυναικὸς, καὶ γέγονεν ὑπὸ νόμον, καίτοι τοῦ νόμου Κύριος ὤν, καὶ κεχρημάτικεν δοῦλος ὁ πάντα ὑπὸ πόδας ἔχων καὶ ταῖς ἀνωτάτω δυνάμεσιν ἐποχούμενος· καὶ καθίκετο μὲν ἐν τῷδε τῷ κόσμῳ, δύναμιν μὲν ἔχων τὴν αὐτῷ πρεπωδεστάτην, καταῤῥύπτων δ' οὖν ὅμως τῆς ἰδίας φύσεως ἀξίωμα ταῖς ἀνθρωπίναις σμικροπρεπείαις, καὶ τῇ τῆς σαρκὸς περιβολῇ. Κενώσεως γὰρ ἦν καιρὸς, καὶ τῆς τοῦ δούλου μορφῆς τὸ καθ' ἡμᾶς ἐδεῖτο μυστήριον, ἵνα καὶ τὸν τίμιον ὑπὲρ ἡμῶν ὑπομείνῃ σταυρὸν, καὶ τῷ θανάτῳ τῆς ἰδίας σαρκὸς τὸν ἁπάντων κτείνῃ θάνατον. Ἀναγκαία τοιγαροῦν ἡ κένωσις, καὶ ὁ τῆς ἀδοξίας καιρὸς τῆς διὰ τὴν σάρκα. Καὶ ἦν διὰ τοῦτο πᾶσι πολλοῖς ἀσυμφανὲς τὸ μυστήριον.

Κυρίλλου ἐκ τοῦ αὐτοῦ.

Εἶτα πῶς ἔτι νοηθείη ἄν, κατά γε τὸν εἰκότα λογισμὸν, φυσικὸν ἐν ἡμῖν ἢ τὸ ἀγαθὸν ἢ τὸ φαῦλον, καὶ οὐχὶ δὴ μᾶλλον ἐθελούσιον καὶ ἐν προαιρέσει τῇ ἑκάστου κείμενον; εἴπερ οὔσης μιᾶς τῆς ἀνθρώπου φύσεως, καὶ ἑνὸς κατὰ παντὸς τοῦ γένους ἐχούσης ὅρον, οἱ μὲν εἰσὶν ἀγαθοὶ τὴν ἕξιν, πονηροὶ δὲ ἕτεροι· διαφέρειν δὲ οὐδαμῶς ἡ ἀνθρώπου φύσις ὡς πρὸς ἰδίους ὁρᾶται λόγους, οὐδὲ μαχομένην ἔχει τοῖς ἑαυτῆς ἰδιώμασι τὴν κατασκευήν.

Ὅταν τις εἰς ἄνθρωπον ἁμάρτανε, δυνατὸν ἦν ὑπὲρ αὐτοῦ παρακαλέσαι τὸν Θεόν· ὅταν δὲ εἰς αὐτὸν οἱ ἄνθρωποι βλασφήμουν, οὐκ ἐξῆν παρακαλέσαι ὑπὲρ αὐτῶν. Πλὴν ἐπειδὴ ὡς ἄνθρωπος ὁρώμενος ὁ τοῦ Θεοῦ Υἱὸς, εἰ καὶ φύσει Θεὸς ἦν, οὐ πάνυ τι τοῖς ἀσυνέτοις ἐγνωρίζετο, δίδωσιν ἔσθ' ὅτε τοῖς ἐξ ἀγνοίας ἁμαρτάνουσιν εἰς αὐτὸν συγγνώμην· τοῖς δὲ εἰς τὸ Πνεῦμα, διηνεκῆ λέγει τὴν κόλασιν ἐπάγεσθαι (Πνεῦμα λέγων ὁλόκληρον τὴν τῆς Τριάδος Θεότητα)· πλὴν δίδοται τοῖς μετανοοῦσι διὰ τῆς τοῦ Πνεύματος χάριτος συγγνώμη. Ἀλλὰ τὸ μέγεθος θέλων δεῖξαι ὁ Χριστὸς τοῦ ἁμαρτήματος, οὕτως εἶπεν· ἐπεὶ οὐκ ἔστιν ἁμαρτία ἀσυγχώρητος παρὰ Θεῷ ἐν τοῖς γνησίως καὶ κατ' ἀξίαν μετανοοῦσι.

Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας ἐκβάλλει τὰ ἀγαθά· καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ ἐκβάλλει πονηρά.

Ὅταν λέγῃ θησαυρὸν, τὸ πλῆθος ἐνδείκνυται τῶν ἐν τῇ ψυχῇ κειμένων· ἵνα δὲ μὴ εἴπωσί τινες, ὅτι φύσει πεφύκαμεν πονηροὶ οἱ ἄνθρωποι, ἐπὶ τῶν Φαρισαίων τοῦτο ἐδήλωσεν, ὅτι δυνατὸν [τὸν] αὐτὸν καὶ ἕνα ἄνθρωπον ποτὲ μὲν ἀγαθὸν γενέσθαι, ποτὲ δὲ κακὸν, λέγων· Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ περισσεύματος τῆς καρδίας αὐτοῦ λαλεῖ, ὁμοίως καὶ ὁ κακός.

Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Γεννήματα πονηρὰ

A Nam participes nos fieri Spiritus, nihil aliud porro erit, quam regnum Dei participare.

Cyrilli ex eodem libro super illud : « Quicunque dixerit verbum contra Filium hominis, remittetur ei (Matth. XII, 32). »

Qui ineffabilem sortitus est a Patre Deo nativitatem, ideoque Deus homogeneus naturaliter est, humanam subiit figuram, factus sub lege, quanquam legis Dominus esset : et ad servilem conditionem se demisit, qui omnia pedibus supposita habebat, et a supernis virtutibus gestabatur : venitque in hunc mundum, virtutem quidem sibi convenientissimam habens, dignitatem nihilominus naturæ suæ celans humanis parvitatibus et carnis indumento. Erat enim exinanitionis tempus ; B **36** egebatque servi specie mysterium propter nos peragendum, ut et venerandam pro nobis pateretur crucem, et suæ carnis morte universalem mortem perimeret. Necessaria itaque fuit exinanitio et ignominiæ per carnem occasio. Quamobrem multis erat obscurum mysterium.

Cyrilli ex eodem libro. (Matth. XII, 33.)

Deinde quomodo justo certe ratiocinio cogitari poterit naturale esse nobis bonum vel malum, et non voluntarium potius atque in cujusque electione positum ? quandoquidem una hominis exsistente natura, unumque in universo genere modulum habente, alii quidem bonis moribus sunt, alii pravis. C Neque idcirco hominis natura adversus propriam rationem dissidere cernitur, neque pugnantem habere cum suis proprietatibus constitutionem.

Quando quispiam in hominem peccavit, Deum pro se potest invocare ; cum vero in eum blasphemias protulerint, non licet invocare pro se. Cum itaque homo videretur Dei Filius, etsi natura Deus esset, non admodum sine intellectu exsistentibus innotescebat, veniam itaque ex ignorantia in sese peccantibus largitur ; eos vero, qui in Spiritum sanctum peccant, perpetuum dicit manere supplicium (Spiritum dicens totam Trinitatis Deitatem) ; datur tamen pœnitentibus per Spiritus gratiam remissio. Sed **37** magnitudinem volens Christus ostendere peccati, ita dixit ; non enim est peccatum quod non remittat Deus, si legitime et ex dignitate pœnitentia agatur.

XII, 35. ***Bonus homo de bono thesauro cordis profert bona, et malus homo de malo thesauro profert mala.***

Cum dicit thesaurum, multitudinem designat cogitationum voluntatumque in conscientia sitarum. Ne autem aliqui dicerent, natura malos esse homines, adversus Pharisæos declarat, fieri posse ut unus idemque homo, **38** modo bonus, modo malus sit. Cum sic dicat : Bonus homo ex abundantia cordis sui loquitur, similiter et malus.

39. *Ipse autem respondens dixit eis : Generatio prava,*

Digitized by Google

et adultera signum quærit, et signum non dabitur ei, nisi signum Jonæ prophetæ.

Neque enim Patri crediderunt, et etiam ab ipso Christo desciverunt jam desponsante sibi et conjungente humanitatem, juxta illud quod dictum est : « Et desponsabo te mihi in sæculum [23]. » Adhæserunt autem Satanæ, spiritualia **39** fornicationis modum admittentes. Ostendit se ipsum rursus Patri æqualem, quandoquidem Judaicam gentem inde quoque adulteram fieri ait, quod sibi non credat. Mox injuria lacessitus quid ait ? « Et signum non dabitur ei, nisi signum Jonæ prophetæ. »

XII, 43. *Cum autem immundus spiritus exierit ab homine, ambulat per loca inaquosa quærens requiem, et non invenit.*

Ac jure merito. Cum enim quis semel ereptus malis ad meliorem frugem reversus non est, multo graviora prioribus patietur ; idcirco dixit, « non invenit requiem, » ut ostendat hujusmodi hominem necessario dæmonum insidiis **40** capiendum. Duo enim hic ad bonum incitamenta habuit, experientiam prioris mali et liberationis beneficium. Imo vero et tertium accedit : pejora patiendi comminatio. Verumtamen nullo eorum devenere meliores : inhabitabat ipsos spiritus nequam, et cum in Ægypto sacrificarent, Ægyptiis etiam moribus cum eis vivebant, ac legibus, plenique erant omni immunditia. Postquam per Moysen liberati sunt, legemque habuerunt pædagogum ad veri Dei cognitionis lucem vocantem, ejectus est profanus et immundus spiritus. Quia vero in Christum non crediderunt, rursus eos dæmonium invasit. Invenit enim cor eorum nudum ac vacuum ab omni pietate et quasi scopis mundatum, et inhabitavit in eis. Ut enim Spiritus sanctus, cum viderit cor hominis vacuum ab omni immunditie, et commoratur, et aulam suam collocat, et in eo requiescit, ita spiritus immundus animabus reproborum amat immorari.

XIII, 3. *Et locutus est eis multa in parabolis dicens : Ecce exiit qui seminat, seminare.*

Idcirco in Parabolis loquitur Christus, ut ostendat sese esse, de quo erant prophetiæ, ac de quo dixit David : « Aperiam in parabolis os meum [24]. » Quidam vero alius prophetarum dixit : « Ecce rex justus regnabit, et principes cum judicio regent, et erit homo abscondens sermones suos. »

41 XIII, 12. *Qui enim habet, dabitur ei, et abundabit ; qui autem non habet, et quod habet auferetur ab eo.*

Qui dociles fuerint et bene parati ad perceptionem divinarum institutionum, in iis habitabit Spiritus sanctus, augens in ipsis dona sua. Qui vero

[23] Osee II, 19. [24] Psal. LXXVII, 2. [25] Isa. XXXII, 1.

A καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου.

Οὔτε γὰρ τῷ Πατρὶ ἐπίστευσαν, καὶ αὐτοῦ τοῦ Χριστοῦ ἀπέστησαν. Τοῦ μνηστευσαμένου τὴν ἀνθρωπότητα καὶ νυμφευσαμένου, κατὰ τὸ εἰρημένον· « Καὶ μνηστεύσομαί σε ἐμαυτῷ εἰς τὸν αἰῶνα. » Προσεκολλήθησαν δὲ τῷ Σατανᾷ, τὸν τῆς νοητῆς πορνείας τρόπον ἀποτελοῦντες. Δείκνυσιν ἑαυτὸν πάλιν τῷ Πατρὶ ἴσον· εἶγε καὶ τὸ μὴ πιστεῦσαι αὐτῷ μοιχαλίδα ποιεῖ. Εἶτα ὑβρίσας, τί φησι ; « Καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. »

B *Ὅταν δὲ τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι' ἀνύδρων τόπων ζητοῦν ἀνάπαυσιν, καὶ οὐχ εὑρίσκει.*

Καὶ μάλα εἰκότως. Ὅταν γὰρ ἅπαξ τις ἐλευθερωθεὶς τῶν κακῶν μὴ σωφρονισθῇ, πολλῷ χαλεπώτερα πείσεται τῶν προτέρων. Διὰ γὰρ τοῦτο εἶπεν· « Οὐχ εὑρίσκει ἀνάπαυσιν, » ἵνα δείξῃ ὅτι πάντως καὶ ἐξ ἀνάγκης λήψεται τὸν τοιοῦτον ἡ τῶν δαιμόνων ἐπιβουλή. Καὶ γὰρ ἀπὸ δύο τούτων τὸν τοιοῦτον ἀγωνισθῆναι ἔδει, ἀπό τε τοῦ παθεῖν πρότερον, ἀπό τε τοῦ ἀπαλλαγῆναι. Μᾶλλον δὲ καὶ τρίτον πρόσεστιν, ἡ τοῦ χείρονα πείσεσθαι ἀπειλή· ἀλλ' ὅμως οὐδενὶ τούτων ἐγένοντο βελτίους. Ἦν αὐτοῖς ἔνοικον τὸ πονηρὸν πνεῦμα, καὶ ὅτε ἐν Αἰγύπτῳ ἐθήτευον, καὶ τοῖς Αἰγυπτίοις διαζῶντες ἔθεσί τε καὶ νόμοις, μεστοὶ ἦσαν πάσης ἀκαθαρσίας. Ἐπειδὴ διὰ Μωσέως C λελύτρωνται, καὶ νόμον ἐσχήκασι παιδαγωγὸν πρὸς τὸ τῆς ἀληθοῦς θεογνωσίας καλοῦντα φῶς, ἀπελήλατο τὸ βέβηλον καὶ ἀκάθαρτον πνεῦμα. Ἐπειδὴ δὲ οὐ πεπιστεύκασιν εἰς Χριστὸν, πάλιν αὐτοῖς ἐπεδήμησε τὸ δαιμόνιον· εὗρε γὰρ αὐτῶν τὴν καρδίαν γυμνὴν, καὶ σχολάζουσαν ἀπὸ πάσης εὐσεβείας, καὶ οἱονεὶ σεσαρωμένην, καὶ κατῴκησεν ἐν αὐτοῖς. Ὥσπερ γὰρ τὸ Πνεῦμα τὸ ἅγιον, ὅταν ἴδῃ καρδίαν ἀνθρώπου σχολάζουσαν ἀπὸ πάσης ἀκαθαρσίας, καὶ ἐναυλίζεται, καὶ κατοικεῖ, καὶ ἐπαναπαύεται ἐν αὐτῷ· οὕτω τὸ πνεῦμα τὸ ἀκάθαρτον, ψυχαῖς ἀνόμων ἐνδιαιτᾶσθαι φιλεῖ.

Καὶ ἐλάλησεν αὐτοῖς πολλὰ ἐν παραβολαῖς, λέγων· Ἰδοὺ ἐξῆλθεν ὁ σπείρων τοῦ σπείρειν.

D Διὰ τοῦτο ἐν παραβολαῖς λέγει ὁ Χριστὸς, ἵνα καὶ διὰ τούτων δείξῃ ὅτι αὐτὸς ἦν ὁ προφητευθεὶς, περὶ οὗ εἶπεν ὁ Δαβὶδ· « Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου. » Ἕτερος δέ τις τῶν προφητῶν ἔφη· « Ἰδοὺ βασιλεὺς δίκαιος βασιλεύσει, καὶ ἄρχοντες μετὰ κρίσεως ἄρξουσι, καὶ ἔσται ὁ ἄνθρωπος κρύπτων τοὺς λόγους αὐτοῦ. »

Ὅστις γὰρ ἔχει, δοθήσεται αὐτῷ, καὶ περισσευθήσεται· ὅστις δὲ οὐκ ἔχει, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ.

Τοῖς εὐμαθέσιν ἀνθρώποις, καὶ καλῶς διακειμένοις πρὸς παραδοχὴν θείων λόγων, ἐνοικισθήσεται τὸ Πνεῦμα τὸ ἅγιον, αὐξάνον ἐν αὐτοῖς τὰ χαρίσματα

Digitized by Google

Τοῖς δὲ σπινθῆρα φωτὸς κεκτημένοις, καὶ τούτου ἀμελήσασι, σβεσθήσεται πάντως καὶ ἀρθήσεται ἀπ' αὐτῶν καὶ τὸ σμικρότατον ὃ πρότερον εἶχον. Τοῦτο δὲ Ἰουδαῖοι πεπόνθασι λαβόντες φῶς ἐκ τοῦ νόμου, καὶ πολυπλασιάσαντες· ἀλλὰ καὶ τῆς ἀληθείας ἑλθούσης ἀμβλυωπήσαντες πρὸς αὐτὴν, ἀφῃρέθησαν ὃ ἐκέκτηντο. Ὑμῖν τοῖς πιστεύσασι, φησὶν, ἐδόθη ἡ χάρις· τοῖς δὲ λοιποῖς οὐδαμῶς· κἂν ἔχωσί τι φῶς, σβεσθήσεται αὐτοῖς, διὰ τὸ κεκτῆσθαι μὲν, μὴ ἐπιμελεῖσθαι δὲ αὐτοῦ. Ὁ γὰρ Θεὸς δίκαιος ὢν, δικαίας καὶ τὰς ἀντιδόσεις ποιεῖται.

A scintillam lucis unicam habuerint, et ipsam excitare neglexerint, in illis et ipsa exstinguetur prorsus, tolleturque ab eis illud ipsum minimum quod prius habuerant. **42** Id Judæis contigit. Hi enim cum lucem legis accepissent, nec eam bono ipsius usu multiplicassent, quinimo ad oborientem ultro ingerentemque se veritatem voluntarie cæcutientes, suis se tenebris involvissent, illa ipsa quam prius obtinebant, exigua luce privati sunt. Vobis autem, inquit, qui credidistis, data est gratia : cæteris, non item ; sed et si lucis quemdam radium habuerint, non curaverint. Justus enim Deus juste culque exstinguetur ipsis, quod possessioni usum adjungere quod meretur reddit.

Τὸ εἰπεῖν, « Μήποτε ἐπιστρέψω καὶ ἰάσομαι (1) αὐτοὺς, » ἐπιτεταμένην ἐμφαίνει δυστροπίαν· πλὴν καὶ ἐπισπωμένου ἐστὶν καὶ ἐρεθίζοντος· δείκνυσι γὰρ ὅτι ἐὰν ἐπιστρέψωσιν, ἰᾶται αὐτούς· διὰ γὰρ τὸ σωθῆναι αὐτοὺς, οὕτως λαλεῖ. Ἐπεὶ ἔδει αὐτὸν ὅλως μηδὲν λαλῆσαι, ἀλλὰ σιωπᾷν· πλὴν οὐ διὰ τὴν ἰδίαν δόξαν, ἀλλὰ διὰ τὴν αὐτῶν σωτηρίαν πάντα ποιεῖ.

B Hæc verba, « Ne forte convertam et sanem eos, » intensam significant perversitatem ; sunt tamen allicientis et excitantis. Innuit enim, si modo conversi fuerint, se illos sanaturum ; neque hæc dicit nisi propter illorum salutem : alioquin, nihil omnino ipsum dicere oportuit, sed tacere ; verum non propter propriam gloriam, sed propter illorum salutem omnia agit.

Μακαρίζει οὖν αὐτοὺς, ὡς ἀκηκοότας τῆς τοῦ Υἱοῦ φωνῆς, καὶ ἀξιωθέντας τῆς αὐτοῦ θέας, δι' οὗ καὶ ἐν ᾧ τὴν τοῦ Πατρὸς καὶ Θεοῦ ἐώρων φύσιν νοητῶς, ὧν ἠξιώθησαν (2) οἱ πάλαι ἅγιοι, καὶ πληρεστάτην ἔσχον τὴν ἐπ' ἀγαθοῖς θυμηδίαν.

Beatos illos prædicat, ut qui audire vocem Filii et ejus visione frui digni habiti sint, per quem et in quo Dei Patris naturam videbant intelligibiliter ; quod sanctis veteris Testamenti concessum non fuit, etsi plenissimam a bonorum possessione habuerint lætitiam.

Ἄλλην παραβολὴν ἐλάλησεν αὐτοῖς.

43 XIII, 33. *Aliam parabolam locutus est eis.*

Μὴ θαυμάσῃς δὲ εἰ περὶ βασιλείας διαλεγόμενος, κόκκου καὶ ζύμης ἐμνήσθη· ἀνθρώποις γὰρ διελέγετο ἀπείροις καὶ ἰδιώταις, καὶ δεομένοις ἀπὸ τούτων ἐνάγεσθαι· οὕτω γὰρ ἦσαν ἀφελεῖς, ὡς καὶ μετὰ ταῦτα πάντα δεηθῆναι ἑρμηνείας πολλῆς.

C Ne mireris autem, si de regno disserens, sinapis et fermenti meminit ; homines enim alloquitur ignaros et idiotas, quique his duci debeant : adeo enim erant simplices, ut post hæc omnia, magna etiam indigerent interpretatione.

Καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός. Ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

XIII, 50. *Et mittent eos in caminum ignis ; ibi erit fletus et stridor dentium.*

Ὅτι δὲ οἰκουμενικὴ γέγονεν ἡ διὰ Χριστοῦ κλῆσις, αὐτὸς πιστώσεται λέγων ἐναργῶς· ὅτι τῶν εὐαγγελικῶν κηρυγμάτων τὸ λίνον ἐκ παντὸς συνάγει γένους. Καὶ ὥσπερ οἱ τῆς τῶν ἰχθύων θήρας ἐπιστήμονες, καὶ θαλασσουργικὸν ἔχοντες ἐπιτήδευμα, χαλῶσι τὸ λίνον οὐ διακρίνοντες, ἀλλ' ὅπερ ἐν τοῖς βρόχοις ἐναπολῃφθῇ, τοῦτο πάντη καὶ πάντως ἕλκουσιν εἰς γῆν· οὕτω καὶ ἡ θαυμαστὴ καὶ πολύπλοκος τῶν ἱερῶν μαθημάτων διδασκαλία, ἣν οἱ καλοὶ ἁλιεῖται ἀπόστολοι ἔπλεξαν, ἐκ παντὸς ἕλκει γένους, καὶ συνάγει πρὸς Θεόν· συνάγει δὲ μέχρι καιροῦ, ὃς πληρωθήσεται κατὰ τὸν καιρὸν τῆς συντελείας, καθ' ὃν τοὺς σαγηνευθέντας, ἐκτὸς τοῦ βίου ἑλκύσαντες, οἱ ἐπὶ τούτῳ τεταγμένοι ἄγγελοι τοῦ Θεοῦ, τὴν πάντων διάκρισιν ποιήσονται, ἀφορίζοντες τοὺς πονηροὺς ἐκ μέσου τῶν δικαίων.

D Universalem fuisse Christi vocationem, ipse creditur expresse dixisse : quia evangelicarum prædicationum rete ex omni genere colligit. Et ut capturas piscium quari, ac marino operi intenti, non discernentes rete laxant, sed quidquid laqueis irretitum est, hoc indiscriminatim et omnino in terram pertrahunt : ita quoque virtus prædicationis, et mirabilis et multifaria sacrorum dogmatum doctrina, quam boni piscatores apostoli contexuerunt, ex omni genere attrahit, et colligit ad Deum. Colligit autem usque ad tempus quod implebitur tempore consummationis, quando captos sagena, e vita extrahentes angeli ad hoc a Deo ordinati, omnium instituent discretionem, separantes malos de medio justorum.

Ὁ δὲ εἶπεν αὐτοῖς· Διὰ τοῦτο πᾶς γραμματεὺς μαθητευθεὶς εἰς βασιλείαν τῶν οὐρανῶν, ὁμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά.

44 XIII, 52. *Hic autem dixit eis : Ideo omnis scriba doctus in regno cœlorum, similis est homini patrifamilias, qui profert de thesauro suo nova et vetera.*

Γραμματεύς ἐστιν ὁ διὰ τῆς ἐπιμόνου ἀναγνώσεως τῶν Γραφῶν, τῆς τε Παλαιᾶς καὶ τῆς Νέας, θησαυρὸν

Scriba est, qui per constantem lectionem Scripturarum Novi et Veteris Testamenti, thesaurum co-

(1) Leg., cum N. T. Gr., ἐπιστρέψωτι καὶ ἰάσωμαι.

(2) Lego ὧν οὐκ ἠξιώθ., et mox εἰ καὶ πλήρ.

Digitized by Google

gnitionis sibi reponit. Ideo beatos dicit comprehendentes in se legalem et evangelicam disciplinam, ita ut promant ex thesauro suo nova et vetera : ut etiam alibi ait : « Mittam vobis sapientes et scribas. » Videsne quomodo Veterem non rejiciat, sed laudet legem, thesaurum eam vocans? Adeo ut quicunque divinarum Scripturarum ignari sunt, patresfamilias esse non possint ; neque divites, quicunque neque ipsi habent, nec ab aliis accipiunt, sed vident seipsos fame pereuntes : non tantum autem hi, verum etiam hæretici procul ab hac beatitudine sunt. Non enim proferunt nova et vetera; neque jam vetera habent, ideoque neque nova. Quamobrem igitur hi qui nova non habent, et Judæi, neque vetera habent, sed utrisque privati sunt, hæc enim sibi invicem colligata sunt et connexa. Audiamus igitur, quicunque lectionem Scripturarum negligimus, quale damnum patiamur, quantam pauperiem : non enim operum gubernationem accipimus, qui ipsas leges quibus gubernandi sumus nescimus. 45 Qui vero divites sunt, assidue vestimenta sua excutiunt, ne tinearum escæ fiant; nos autem, tineis pejorem videntes animæ nostræ officientem oblivionem, non insistimus libris, per quos anima ornatur.

XIII, 54. *Et veniens in patriam suam.*

Civitatem suam Nazaretum esse fatetur, quatenus videlicet definito in corpore erat, et carne tantummodo limitatus, is qui alioqui immensurabilis erat Deus. Nam quia Deus simul homoque est, modo quidem quatenus Verbum est de Patre effulgens, totus ceu talis in carne quoque intelligitur. Vicissim aliquando quatenus caro est, etiamsi naturaliter Verbum est, et in sua naturali unione consistens, ceu si totus homo esset, intelligi solet : ita ut divinitatis etiam attributa naturaliter applicentur ceu sine carne exsistenti qui in carne est; vicissimque humanitatis attributa assignentur quasi divinæ naturæ proprietates non habenti, etiamsi revera Deus suapte natura est. Igitur quatenus Deus intelligitur, nullum requietionis suæ locum habet, quia loco, circumscriptione, mensura figuraque omni excelsior est. Quatenus autem æque ac nos homo intelligitur, prorsus cum carne sua et in locis est, et propriam civitatem habuisse dicitur.

XIV, 15. *Dimitte turbas.*

Quid illud *dimitte* sit, diligenter inquiramus. Quidam enim eorum qui Christum sequebantur et sub improborum parentum tenebantur potestate, ab iis liberari rogabant; alii vero ab aliis infirmitatibus

γνώσεως ἑαυτῷ ἀποθέμενος. Διὸ μακαρίζει τοὺς συνενεγκόντας ἐν ἑαυτοῖς νομικὴν παιδείαν καὶ εὐαγγελικήν, ὥστε ἐκβάλλειν ἐκ τοῦ θησαυροῦ νέα καὶ παλαιά· καθὼς καὶ ἀλλαχοῦ φησιν· « Ἀποστελῶ ὑμῖν σοφοὺς καὶ γραμματέας. » Εἶδες πῶς οὐκ ἐκβάλλει τὴν Παλαιάν, ἀλλὰ καὶ ἐγκωμιάζει, θησαυρὸν αὐτὴν καλῶν; Ὥστε ὅσοι τῶν θείων εἰσὶν ἄπειροι Γραφῶν, οὐκ ἂν εἶεν οἰκοδεσπόται, οὐδὲ πλούσιοι, ὅσοι μήτε αὐτοὶ ἔχουσι μήτε παρ' ἑτέρων λαμβάνουσιν, ἀλλὰ περιορῶσιν ἑαυτοὺς λιμῷ φθειρομένους· οὐχ οὗτοι δὲ μόνον, ἀλλὰ καὶ οἱ αἱρετικοὶ ἐκτός εἰσι τοῦ μακαρισμοῦ τούτου. Οὐ γὰρ ἐκβάλλουσι καινὰ καὶ παλαιά· οὐδὲ γὰρ ἔχουσι τὰ παλαιά, διὸ καὶ οὐδὲ καινά. Ὥσπερ οὖν οἱ καινὰ οὐκ ἔχοντες, ὡς Ἰουδαῖοι, οὐδὲ παλαιὰ ἔχουσιν, ἀλλ' ἑκατέρων ἐστέρηνται. Ταῦτα γὰρ ἀλλήλοις συνδέδεται καὶ συμπλέκεται. Ἀκούσωμεν τοίνυν ὅσοι τῆς ἀναγνώσεως τῶν Γραφῶν ἀμελοῦμεν, ὅσην ὑπομένομεν βλάβην, ὅσην πενίαν· οὐ γάρ ποτε τῆς διὰ τῶν ἔργων ἐπιλαβόμεθα πολιτείας, οἱ μηδὲ αὐτοὺς τοὺς νόμους εἰδότες καθ' οὓς πολιτεύεσθαι χρή· ἀλλ' οἱ μὲν πλουτοῦντες συνεχῶς τινάσσουσιν αὐτῶν τὰ ἱμάτια, ὥστε μὴ σητόβρωτα γίνεσθαι. Ἡμεῖς δὲ σητὸς χαλεπώτερον ὁρῶντες τῇ λήθῃ λυμαινομένην ἡμῶν τὴν ψυχήν, οὐκ ἐντυγχάνομεν βιβλίοις δι' ὧν καλλωπίζεται ἡ ψυχή.

Καὶ ἐλθὼν εἰς τὴν πατρίδα αὐτοῦ.

Πόλιν (1) δὲ οἰκείαν ὁμολογεῖ τὴν Ναζαρὲτ, ὡς πεποσωμένος διὰ τὸ σῶμα, καὶ διὰ μόνην τὴν σάρκα μετρούμενος, καίτοι κατὰ φύσιν ἀμέτρητος ὢν ὡς Θεός· ἐπειδὴ γὰρ ἐν ταυτῷ Θεός τέ ἐστι καὶ ἄνθρωπος, ποτὲ μὲν ᾗ Λόγος ἐστὶν ἐκ Πατρὸς ἀναλάμψας, ὅλος ὡς τοῦτο ὑπάρχων νοεῖται μετὰ σαρκός· ποτὲ δὲ πάλιν ᾗ γέγονεν σάρξ, καίτοι κατὰ φύσιν ὑπάρχων Λόγος, καὶ ἐν ταυτότητι (2) τῆς ἰδίας φύσεως ἐρηρεισμένος, νοεῖται πάλιν ὡς ὅλος ὢν ἄνθρωπος· ὡς καὶ τοὺς τῆς θεότητος αὐτῷ κατὰ φύσιν ἐναρμόζεσθαι λόγους, ὡς ἀσάρκῳ μετὰ σαρκός· καὶ τοὺς τῆς ἀνθρωπότητος, ὡς οὐκ ἔχοντι κατὰ φύσιν τὰ τῆς θεότητος ἴδια, καὶ εἰ Θεὸς κατὰ φύσιν ἐστίν· οὐκοῦν ᾗ μὲν νοεῖται Θεὸς, οὐδένα τῆς καταπαύσεως ἔχει τόπον· ἀνωτέρω γὰρ τόπου καὶ περιγραφῆς καὶ μέτρου καὶ σχήματος· ᾗ δὲ νοεῖται καθ' ἡμᾶς ἄνθρωπος, δῆλον ὅτι μετὰ σαρκὸς καὶ ἐν τόποις ἐστὶ, καὶ πόλιν ἰδίαν ἐσχηκέναι λέγεται (3).

Ἀπόλυσον τοὺς ὄχλους.

Τί τὸ *ἀπόλυσον* ἐστὶν, ἐξετάσωμεν ἀκριβῶς. Οἱ μὲν τῶν ἀκολουθούντων τῷ Χριστῷ, πονηρῶν πατέρων συνεχόντων αὐτοὺς, ἀπαλλάττεσθαι παρεκάλουν· οἱ δὲ καὶ ἑτέρων ἀῤῥωστημάτων ἐζήτουν ἀπόθεσιν.

[45] Matth. XXIII, 34.

(1) *Πόλιν — ἐσχηκέναι.* Mai *B. N.* II, p. 480.

(2) Ταυτότης hoc loco nonnisi de duarum naturarum sub unica persona adunatione intelligi potest, cum centies alibi utriusque in Christo naturæ conservationem Cyrillus affirmaverit. Hujusmodi dictum aliud Cyrilli celebre fuit in ep. ad Succensum : *una est Dei Verbi incarnata natura.* Attamen vocabuli hujus ταυτότης causa, puto Monophysitas inter sua ex Cyrillo excerpta hoc etiam collocavisse.

(3) Admiremur adhuc in hoc egregio fragmento studium Cyrilli affirmandæ Verbi deitatis æternæ. Tulit utique Alexandria Arium ; sed huic opposuit divina providentia ex ipsa urbe Alexandrina triumphales debellatores, Petrum martyrem, Alexandrum, (de quo nos postea), Athanasium, Cyrillum.

Digitized by Google

Ὡς οὖν εἰδότες οἱ μαθηταί, ὅτι κατανεύσας μόνον ἀποπραίνει τοῖς κάμνουσι τὸ ποθούμενον, Ἀπόλυσον αὐτούς, φασίν, οὐχ αὐτοὶ μᾶλλον ἀκηδιῶντες ὡς παρακούσαντος τοῦ καιροῦ, ἀλλὰ τῆς εἰς τοὺς ὄχλους ἀγάπης ἐχόμενοι, καὶ οἷον μελετῶντες ἤδη τὴν ποιμαντικὴν ἐπιστήμην, καὶ τοῦ κήδεσθαι λαῶν ἀρχόμενοι.

Καὶ κελεύσας τοὺς ὄχλους ἀνακλιθῆναι ἐπὶ τοὺς χόρτους, λαβὼν τοὺς πέντε ἄρτους, καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν, εὐλόγησε, καὶ κλάσας ἔδωκε τοῖς μαθηταῖς τοὺς ἄρτους, οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις.

Τὸ τῆς οἰκονομίας μυστήριον πληρῶν ὁ Σωτὴρ εἰς τὸν οὐρανὸν ἀναβλέπει· καὶ γὰρ δούλου μορφὴν ἀνέλαβε, Θεὸς ὢν κατὰ φύσιν. Καὶ διὰ τῶν χειρῶν τῶν μαθητῶν δίδωσι τὰς τροφὰς τοῖς ὄχλοις τὴν τῶν ἁγίων αἰνιττόμενος πρὸς Θεὸν ἐγγύτητα. Διὸ οἱ μὴ τοιοῦτοι ἔξω ἑστήκασιν αὐτοῦ.

Ἵνα διὰ τρόπου παντὸς Θεὸς ὢν φύσει ἐπιγινώσκηται, πολυπλασιάζει τὸ βραχὺ, βλέπει τε εἰς οὐρανὸν, οἷον τὴν ἄνωθεν εὐλογίαν αἰτῶν. Ἐποίει δὲ τοῦτο οἰκονομικῶς δι' ἡμᾶς. Ἔστι μὲν γὰρ αὐτὸς πάντα πληρῶν, τῇ ἄνωθεν καὶ παρὰ Πατρὸς εὐλογίᾳ. Ἵνα δὲ μάθωμεν ἡμεῖς, ὅτι τραπέζης ἀρχόμενοι καὶ μέλλοντες ἄρτου διακλᾶν, Θεῷ προσάγειν ὀφείλομεν, ὑπτίας ὥσπερ ἐνθέντες χερσὶ, καὶ τὴν ἄνωθεν εὐλογίαν ἐπ' αὐτοὺς καταφέρειν.

Καὶ ἔφαγον πάντες, καὶ ἐχορτάσθησαν, καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων δώδεκα κοφίνους πλήρεις.

Τὸ τῶν ἄρτων περισσεῦσαι τὰ κλάσματα, πληθύος ἀνδρῶν οὐκ ὀλίγης κατακορεσθείσης, πληροφορία σαφὴς ἂν γένοιτο, εἰ τῆς φιλοξενίας τὸ χρῆμα πλουσίαν ἔχει παρὰ Θεοῦ τὴν ἀντέκτισιν. Ἔξεστι δὲ ἰδεῖν τοῖς ἀρχαιοτέροις θαύμασι τὰ νέα συμβαίνοντα, καὶ μιᾶς ὄντα καὶ τῆς αὐτῆς δυνάμεως ἐνεργήματα. Ἔβρεξεν ἐν ἐρήμῳ τὸ μάννα τοῖς ἐξ Ἰσραήλ· ἀλλ' ἰδοὺ δὴ πάλιν ἐν ἐνδείᾳ τροφῆς κεχορήγησεν ἀφθόνως οἷον ἐξ οὐρανοῦ καθιεὶς αὐτήν. Τὸ γὰρ πολυπλασιάσαι τὸ βραχὺ, καὶ οἷον ἐκ τοῦ μηδενὸς τὴν οὕτω πολλὴν ἀποθρέψαι πληθὺν, οὐκ ἀπεικὸς ἂν εἴη τῷ πρώτῳ σημείῳ.

Οἱ δὲ ἐσθίοντες ἦσαν ἄνδρες ὡσεὶ πεντακισχίλιοι, χωρὶς γυναικῶν καὶ παιδίων.

Ἐκλεκτὸν ἀεὶ Θεῷ τὸ ἄρρεν, ὡς μαχιμώτατον, καὶ εἰς ἥβην ἐλθεῖν, ἥγουν εἰς εὐεξίαν πνευματικὴν, καὶ σπερματίζειν, καὶ τοὺς λοιποὺς διδάσκειν δυνάμενον, καὶ ἀναμετρεῖν εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ ἰσχύον.

Καὶ ἀπολύσας τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος κατ' ἰδίαν προσεύξασθαι. Ὀψίας δὲ γενομένης, μόνος ἦν ἐκεῖ.

Προσεύχεται οὐχ ὡς δεόμενός τινος ὁ Θεὸς, ἀλλ' ὡς ἀρχιερεὺς τὰς ὑπὲρ ἡμῶν ἱκεσίας ποιούμενος· καίτοι καθ' ὃ νοεῖται καὶ ἔστι Θεὸς φύσει αὐτὸς χορηγῶν τοῖς ἁγίοις τὰ αἰτήματα. Εὔχεται δὲ ἵνα

A liberationem. Tanquam igitur nossent discipuli fore, ut vel annuendo tantum laborantibus desiderata concederet, Dimitte eos, aiunt, non ipsi magis affecti molestia ut tempore importuno, sed acti sua in turbas charitate, et quodammodo meditantes jam curam **46** pastoralem, ac de populo solliciti esse incipientes.

XIV, 19. *Et cum jussisset turbas discumbere super fenum, accipiens quinque panes, et duos pisces, suspiciens in cœlum benedixit, et fregit, et dedit discipulis panes, discipuli autem turbis.*

Assumptæ humanitatis mysterium implens Salvator in cœlum suspicit : etenim servi formam sumpserat cum Deus esset natura [87]. Per manus porro B discipulorum dat escas turbis, sanctorum familiaritatem ad Deum commendans. Quare qui tales non essent, seorsim ab illo stabant.

Ut omnimodo, cum Deus esset natura, innotescat, multiplicat paucitatem, suspicit in cœlum tanquam ad supernam eorum benedictionem Faciebat autem hoc secundum imbecillitatem naturæ assumptæ propter nos. Nam quatenus ipse in cœlo apud Patrem est, omnia implet superna ac Paterna benedictione, ut discamus nos incipientes vesci ac panes frangere, offerre prius eos ipsos Deo debere, supinis ad cœlum imponentes manibus; atque ita supernam **47** in ipsos benedictionem devocare.

XIV, 20. *Et manducaverunt omnes, et saturati sunt, et tulerunt reliquias duodecim cophinos fragmentorum plenos.* C

Illud autem, panum superesse fragmenta, tanta virorum multitudine saturata, confirmatio clara esse potest hospitalitatem copiosam a Deo consequi remunerationem. Videre autem licet antiquis miraculis hæc nova congruere, et unius ejusdemque virtutis esse opera. Manna pluit in deserto Israelitis; at ecce rursus in deserto, indigentibus alimento, copiose suppeditat, quasi ex cœlo illud deferens. Multiplicari enim **48** illam paucitatem, et quasi de nihilo tantam alere multitudinem, non absimile erat priori signo.

XIV, 21. *Manducantium autem fuit numerus quin-* D *que millia virorum, exceptis mulieribus et parvulis.*

Electum Deo semper genus masculinum, quippe pugnacissimum, et quod ad perfectam ætatem venire possit, videlicet spiritualem habitum, ac reliquos docere, et coæquare in mensuram ætatis plenitudinis Christi [88] valens.

49 XIV, 23. *Et dimissa turba ascendit in montem solus orare. Vespere autem facto, solus erat ibi.*

Orat, non prout aliquo indigens Deus, sed tanquam princeps Sacerdotum pro nobis supplicat : licet secundum quod intelligitur et est Deus natura, ipse sanctis postulata concedat. Orat autem usque

[87] Philipp. II, 6. [88] Ephes. IV, 13.

Digitized by Google

ad vesperam, ut ostendat non facile tædium illius nos subire debere, sed exspectandum esse, ac longanimitatem exhibendam : hic quidem igitur ascendit, ibique oravit. Discipuli vero iterum jactantur fluctibus ac hiemem velut ante sustinent, sed tunc quidem cum ipsum haberent in navi, id passi sunt, nunc secum existentes soli ; seorsum enim paulatim ad majora eos perducit animatque ut generoso animo omnia perferre discant. Propterea, cum primo quidem periclitarentur, aderat quidem, sed dormiebat, adeo ut paratus minime esset ad ferendum illis solatium. Nunc vero ad majora eos ducens, ne hoc quidem præstat, sed abit, et in medio mari permittit hiemem exsurgere, ut unde spem salutis exspectarent, **50** non haberent ; ac tota nocte eos jactari sinit, excæcatum, ut ego quidem arbitror, eorum cor excitans : ut tanto timore, quem et tempus et tempestas faciebant, perculsis majus sui desiderium ac firmiorem et assiduam memoriam conciperent. Ideo non statim eis adstitit.

ἐσπέρας, ἵνα δείξῃ ὅτι οὐ χρὴ ἀψικόρους ἔχειν περὶ αὐτοῦ, ἀλλ' ὑπομένειν, καὶ μακροθυμίαν ἐνδείκνυσθαι (1). Ὁ μὲν οὖν ἀνέβαινεν ἐκεῖσε, καὶ προσήυχετο· οἱ δὲ μαθηταὶ κλυδωνίζονται πάλιν καὶ χειμῶνα ὑπομένουσιν οἷον καὶ πρότερον. Ἀλλὰ τότε μὲν ἔχοντες αὐτὸν ἐν τῷ πλοίῳ τοῦτο ἔπασχον, νυνὶ δὲ καθ' ἑαυτοὺς ὄντες μόνοι. Καὶ γὰρ ἠρέμα καὶ κατὰ μικρὸν ἐπὶ τὰ μείζονα αὐτοὺς ἀνάγει, καὶ ἐμβιβάζει εἰς τὸ φέρειν πάντα γενναίως· διὰ δὴ τοῦτο, ὅτε μὲν πρῶτον κινδυνεύειν ἔμελλον, παρῆν μὲν, ἐκάθευδε δέ, ὡς μὴ ἕτοιμος δοῦναι τὴν παραμυθίαν αὐτοῖς· νυνὶ δὲ ἐπὶ μείζονα ἄγων αὐτοὺς ὑπομονήν, οὐδὲ τοῦτο· ἀλλ' ἄπεισι καὶ ἐν μέσῃ θαλάσσῃ συγχωρεῖ τὸν χειμῶνα διεγερθῆναι, ὥστε μηδὲ προσδοκῆσαί ποθεν ἐλπίδα σωτηρίας, καὶ ὅλην τὴν νύκτα ἀφίησιν αὐτοὺς κλυδωνίζεσθαι, διεγείρων αὐτῶν, ὡς οἶμαι, πεπωρωμένην τὴν καρδίαν. Καὶ γὰρ τοιοῦτον ὁ φόβος, ὃν μετὰ χειμῶνος καὶ ὁ καιρὸς ἐποίει· μετὰ δὲ τῆς κατανύξεως καὶ εἰς ἐπιθυμίαν μείζονα αὐτοὺς ἐνέβαλε τὴν ἑαυτοῦ, καὶ εἰς μνήμην διηνεκῆ· διὰ τοῦτο οὐκ εὐθέως αὐτοῖς ἐπέστη.

XIV, 27. *Confidite, ego sum.*

Dicens, « Confidite, » fidem repetit per quam salvatur unusquisque in Christum sincere credentium ; addens vero, « Ego sum, » omnem timorem solvit : Ego enim, inquit, sum, ego qui omnia possum facere.

Θαρσεῖτε, ἐγώ εἰμι.

Εἰπὼν (2), « Θαρσεῖτε, » τὴν πίστιν ἀπαιτεῖ· δι' ἧς ἕκαστος τῶν εἰλικρινῶς εἰς Χριστὸν πιστευόντων σώζεται· ἐπαγαγὼν δὲ, « Ἐγώ εἰμι, » λύει πάντα φόβον· Ἐγὼ γὰρ, φησὶν, εἰμὶ, ὁ πάντα δυνάμενος ποιῆσαι.

51 XV, 7. *Irritum fecistis mandatum Dei propter traditionem vestram.*

Accesserunt quidam Judæorum et consecrare voluerunt animas suas Deo, tanquam in figura quidem adhuc et in umbra ; secundum legem tamen consistentes, suorum ipsorum pretia sacerdotibus, ac divino altari afferunt : sed cupiebant quidem nonnulli hanc gloriam, sancti, inquam, esse ac sacri, divinumque anathema ; inopia autem pecuniarum cupiditatem hanc præscindebant. Adhortantibus autem eos, cum opus esset, ad hoc Scribis ac Pharisæis (admodum enim pecuniarum erant amantes), reverentiam in parentes prætendebant, vereque dicebant vix posse se sibi ipsis illisque necessaria suppeditare. Hi vero e contra suadere audebant, pro nihilo ducendas esse pecunias propter Deum, et si accederent parentes consuetum ab eis ministerium postulantes, dicendum esse docebant patri aut matri : « Munus est, quodcunque ex me tibi profuerit, » id est, Quodcunque a me acceperis, cognosce divino derogatum esse anathemati, et sacris pecuniis manus esse injectas. Consecravi enim memet Deo, et tanquam dono addixi. Parentes vero rerum sacrarum damnum veriti, legibusque de his latis perculsi, cum patientia hoc concoquebant, ac **52** religionem in Deum sibi fieri famis prætextum patiebantur, obmurmurantes forte etiam divino præcepto in suas opportuni-

Ἠκυρώσατε τὴν ἐντολὴν τοῦ Θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν.

Προσῆεσάν τινες τῶν Ἰουδαίων καὶ καθιεροῦν ἐσπούδαζον τῷ Θεῷ τὰς ἑαυτῶν ψυχάς, ὡς ἐν τύπῳ μὲν ἔτι καὶ σκιᾷ· πλὴν κατὰ τὸν νόμον τὰς περὶ σφῶν αὐτῶν ὁμολογοῦντες τιμὰς τοῖς ἱερᾶσθαι λαχοῦσι, καὶ τῷ θείῳ προσεδρεύουσι θυσιαστηρίῳ· ἀλλ' ἦσάν τινες ἐφιέμενοι μὲν τῆς τοιᾶσδε δόξης, τοῦ ἡγιασμένοι εἶναι, φημὶ, καὶ ἱεροὶ, καὶ θεῖον ἀνάθημα· σπάνει δὲ χρημάτων ἀνακόπτοντες τὴν ἐπιθυμίαν. Προτρεπόντων δὲ αὐτοὺς ἐπὶ τὸ δεῖν εἶναι πρὸς τοῦτο τῶν Φαρισαίων καὶ Γραμματέων (ἐρασιχρήματοι οὗτοι λίαν), τὴν εἰς γονέας αἰδὼ προετείνοντο, καὶ ἀληθεύοντες ἔλεγον, μόλις δύνασθαι ἑαυτοὺς κἀκείνοις τὰ ζωαρκῆ πορίζεσθαι. Οἱ δὲ ἀναπείθειν ἐτόλμων παρ' οὐδὲν ἡγεῖσθαι τὸ χρῆμα διὰ τὸν Θεὸν, κἂν προσίοιεν οἱ γεγεννηκότες τὴν συνήθη παρ' αὐτῶν ζητοῦντες ἐπικουρίαν, χρῆναι λέγειν ἐδίδασκον τῷ πατρὶ ἢ τῇ μητρὶ, ὅτι « Δῶρόν ἐστιν, ὅπερ ἂν ἐξ ἐμοῦ ὠφεληθῇς, » τουτέστιν, Ὅπερ ἂν ἐξ ἐμοῦ λάβοις, γίνωσκε τὸ θεῖον παραβλάπτων ἀνάθημα, καὶ χρήμασιν ἱεροῖς τὰς χεῖρας ἐπάγων· ἀνατέθεικα γὰρ ἐμαυτὸν καὶ ὡς δῶρον ἐπήγγελμαι τῷ Θεῷ. Οἱ δὲ γονεῖς τὰ ἐκ τῆς ἱεροσυλίας δεδιότες βλάβη, καὶ τοὺς ἐπὶ τῷδε νόμους διαπεφρικότες διεκαρτέρουν οἰμώζοντες, καὶ τὴν εἰς Θεὸν εὐσέβειαν πρόφασιν αὐτοῖς γενέσθαι λιμοῦ διετείνοντο, κατακεκραγότες τάχα που καὶ τῆς θείας ἐντολῆς ἀδικούσης αὐτοὺς εἰς τὰ καιριώτατα.

(1) Catena Crameri p. 118 addit : Διδάσκει δὲ καὶ τοῦτο· ὥστε ἐν ᾧ χρεία, ὀφείλομεν τὰ κοινωφελῆ λαλεῖν τοῖς ἐντυγχάνουσιν, καὶ μετὰ τὴν τοιαύτην διάλεξιν καὶ διδασκαλίαν, ἐπὶ τὴν προσευχὴν χωρεῖν.

(2) *Εἰπὼν — ποιῆσαι.* Cramer. p. 118. Verba ὁ πάντα δυνάμενος ποιῆσαι addunter ex catena Vaticana.

Digitized by Google

« Διὰ τί τοίνυν, φησὶν, ἠκυρώσατε τὴν ἐντολὴν τοῦ θεοῦ, διὰ τὴν παράδοσιν ὑμῶν ; » Ἔδει γὰρ, ἔδει τιμᾶν τοὺς φύσαντας, οὐ τῆς εἰς Θεὸν εὐσεβείας ἕνεκεν ἐπ' αὐτοῖς καταλύειν νόμον. Οὐκοῦν οὔτε τῶν τῷ Θεῷ πρεπόντων ἀμελητέον διὰ τὰ ἀνθρώπινα, οὔτε μὴν εἰσάπαν τῶν ἀνθρώπων διὰ τὸν Θεὸν καταμελητέον· ἀπονέμοντας δὲ μᾶλλον τὸ τῆς ἀγάπης ἐξαίρετον τῇ πάντων ἀρχῇ, τουτέστι Θεῷ, καθάπερ ἐν τάξει δευτέρᾳ καὶ γείτονι παρακομίζειν εὐθὺς, καὶ εἰς τοὺς τῆς γενέσεως ὑπουργοὺς τὰς αὐτοῖς ὅτι μάλιστα πρεπούσας τιμάς.

Οὔπω νοεῖτε.

Τοὺς μαθητὰς γοῦν ἀσυνέτους ὁ Κύριός φησι περὶ τὸ σῶμα στρεφομένους, ὥσπερ οἱ Φαρισαῖοι, καὶ μηδέπω διαβαίνοντας ἐπὶ τὸν ἔσω ἄνθρωπον. Βρώματα οὖν, φησὶ, σώματος ἔχει πλήρωσιν, καρδίας δὲ οὐχ ἅπτεται. Τὸ δὲ καρδίας μὴ ἐφαπτόμενον, οὐ δύναται κοινῶσαι τὸν ἄνθρωπον τὸν ἀληθινὸν, ἢ μὴ καθαρὸν ἀπεργάσασθαι.

Γενηθήτω σοι ὡς θέλεις.

Εἰπὼν (1) δὲ, « Γενηθήτω, » βασιλικῶς ἐφθέγξατο· οὐ δι' εὐχῆς τὸ ὅραμα ἀνύσας, ἀλλὰ διὰ τῆς θεοπρεποῦς ἐξουσίας (2). Ῥηθέντος τοῦ λόγου, τὸ ἔργον οὐ χρονίζει· Θεὸς γὰρ ὁ λέγων, καὶ τὸ ῥῆμα ἐνεργοῦν, καὶ ἡ δύναμις πανταχοῦ.

Ὥστε τοὺς ὄχλους θαυμάσαι.

Οὔπω τὸ τοῦ Κυρίου κατέμαθον ἀξίωμα ὅτι Θεός ἐστιν· ἀλλ' ἄνθρωπον ἐνόμιζον αὐτὸν ψιλόν. Διὸ καὶ τῷ Θεῷ Ἰσραὴλ τὴν δόξαν ἀπέπεμπον.

Οἱ δὲ ἐσθίοντες ἦσαν τετρακισχίλιοι ἄνδρες, χωρὶς γυναικῶν καὶ παιδίων.

Ἐκ πολλῶν (3) δείκνυσιν ὅτι Θεός ἐστι. Καὶ οὐδὲν ἧττον ἐκ τοῦ τρέφειν ἐν ἐρήμῳ τὸν ὄχλον. Τοῦτο γὰρ παρίστησιν, οἱονεί πως ἄκων διὰ τὴν ἀνάγκην, καὶ τὸ τῆς τροφῆς δυσπόριστον ποιῶν τὸ τῶν ἄρτων σημεῖον· ὅπερ οὐκ ἂν ἐποίησεν ἐν πόλει, ὅπου τῶν ὠνίων ἡ ἀφθονία. Πλὴν δυνάμενος λόγῳ κραταιῶσαι τοὺς ὄχλους, τοῦτο οὐ ποιεῖ, διὰ τὸ ἀφανές· τὸ δὲ τῶν ἄρτων ὡς ἐναργῶς δεικνύων τὴν αὐτοῦ θεοπρεπῆ δόξαν ἐποίησε.

Ἀποκριθεὶς δὲ Σίμων Πέτρος, εἶπε· Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος.

Οὐκ εἶπεν ὁ Πέτρος· Σὺ εἶ Χριστὸς, ἢ Υἱὸς τοῦ Θεοῦ· ἀλλά· *Ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ.* Πολλοὶ μὲν γὰρ χριστοὶ κατὰ χάριν, καὶ υἱοθεσίας ἀξίωμα ἔχοντες, ἀλλὰ μόνος εἷς ὁ φύσει Υἱὸς τοῦ Θεοῦ. Διὸ μετὰ ἄρθρου ἔφη· « Ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ. » Εἰπὼν δὲ αὐτὸν Υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος, δείκνυσιν ὅτι αὐτὸς ζωὴ ἦν, καὶ θάνατος αὐτοῦ οὐ κυριεύει. Κἂν γὰρ πρὸς ὀλίγον ἡ σὰρξ ἠσθένησεν ἀποθανοῦσα, ἀλλ' ἀνέστη, μὴ δυναμένου τοῦ ἐν αὐτῇ Λόγου ὑπὸ δεσμὰ θανάτου κρατεῖσθαι.

Καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.

(1) *Εἰπὼν — πανταχοῦ.* Cramer. p. 125.

(2) Hucusque fragmentum apud Corderium p. 534.

A tates injurio : « Cur, igitur ait, irritam fecistis præceptum Dei, propter traditionem vestram ? » Oportebat enim, oportebat honorare parentes, non propter religionem in Deum legem de ipsis solvere. Non igitur, quæ Deo conveniunt propter humana negligenda sunt, neque omnino homines propter Deum despiciendi : distribuenda vero potius est charitas eximia in omnium principium, id est, Deum, sicut et secundo ordine in proximum statim eam conferre, et vel maxime in vitæ auctores congruos eis honores.

53 XV, 17. *Nondum intelligitis.*

Discipulos igitur sine intellectu Dominus ait circa corpus occupatos, sicut Pharisæi, ac nondum ad interiorem hominem ascendentes. Cibi igitur, B ait, corpus implent, cor vero non attingunt. Quod autem cor non attingit, non potest communicare verum hominem, aut non mundum efficere.

XV, 28. *Fiat tibi sicut vis.*

Cum dicit, « Fiat, » regie loquitur, non precibus, sed auctoritate divina miraculum perficiens. Emissa voce, statim opus sequitur : Deus est enim qui loquitur, verbumque efficax, et potentia ubique præsens.

XV, 31. *Ita ut turbæ mirarentur.*

Nondum Domini dignitatem noverant ; Deum esse ipsum minime adhuc persuasi, sed hominem purum ac simplicem reputabant. Propterea ad Deum C Israel gloriam referebant.

54 XV, 38. *Erant autem, qui manducaverunt quatuor millia hominum extra parvulos et mulieres.*

E multis ostendit Deum se esse, præsertim ex eo quod turbam pasceret in deserto. Hoc enim proponit, quasi quodammodo invitus, propter necessitatem et alimenti penuriam ac difficultatem panum miraculum ederet : quod in civitate non fecit, ubi venalium rerum copia. Cum tamen verbo corroborare posset turbas, id non facit, quia id observatum non esset : illud vero de panibus tanquam ad oculum ostendens, Deo convenientem de se concitavit opinionem.

XVI, 16. *Respondens autem Simon Petrus dixit : Tu es Christus Filius Dei vivi.*

D Non dixit Petrus, Tu es Christus vel Filius Dei, sed *Christus, Filius Dei :* multi siquidem christi sunt gratia qui et dignitatem adoptionis filiorum consecuti, sed tantum unus natura Dei Filius : ideo cum articulo dixit : Hic Christus, hic Filius Dei. Dicendo autem ipsum esse Filium Dei vivi, ostendit ipsum vitam esse, mortemque illi non dominari. Licet enim ad exiguum tempus caro mortua fuerit infirmata, sed resurrexit, Verbo quod in ea erat minime valente mortis compede detineri.

XVI, 18. *Et portæ inferi non prævalebunt adversus eam.*

(3) Hoc fragmentum Cramerus edidit p. 127, sed corruptum et mutilum, cum tamen ex Corderio haberet unde sanaret.

Digitized by Google

Quemadmodum additione materiæ accensa flamma, in majus excrescit, ita etiam persecutionibus Christi Ecclesiam delere studentes, ad majorem gloriam ac virtutem eam provexere. Si vero Ecclesiæ, inquit, non prævaluerunt, multo minus mihi: itaque ne turberis, Petre, cum auditurus es tradendum me crucique affigendum. Dein alium quoque honorem profert.

55 XVI, 18. *Super hanc petram ædificabo Ecclesiam meam. Et dabo tibi claves regni cœlorum.*

Animadverte quomodo Dominum se summatim cœli terræque declarat. Promittit enim quæ supra nostram naturam sunt, imo et supra angelicam conditionem, quæ denique uni et excedenti omnes naturæ et majestati attribuere decet. Primo quidem esse Ecclesiam in potestate sua dicit, quam alioqui sacræ Litteræ Deo potius quam ulli homini subjectam affirmant. Ait quippe Paulus, Christum sibi illam comparasse quavis macula rugaque carentem [29]: quam etiam fundasse dicit, firmitate eidem attributa, cum sit ipse virtutum Dominus, atque huic Petrum pastorem præposuit (1).— Tum subdit: « Et tibi dabo claves regni cœlorum. » Hanc vero vocem non angelus, non alia quævis rationalis potestas proferre potest. Decet autem potius omnium dominatorem Deum, qui cœli terræque tenet potestatem. Tempus tamen domi resurrectionis hora fuit, cum dixit: « Accipite Spiritum sanctum. Quorumcunque dimiseritis peccata, remittuntur eis, et quorum retinueritis, retenta sunt [30]. »

XVI, 27. *Filius enim hominis venturus est cum gloria patris sui.*

Gloriam dicit transfigurationem commutationemque naturæ nostræ, quæ gloriam incomparabilem habebit, præ qualibet specie in præsentiarum spectabili.

56 XVI. 24, 25, 28. *Abnegat semetipsum.... Qui enim voluerit animam suam salvam facere, perdet eam; qui autem perdiderit animam suam propter me, inveniet eam.... Sunt quidam de hic stantibus qui non gustabunt mortem.*

Cum nondum ex alto virtutem accepissent discipuli, par erat eos forte in humanas incidere infirmitates, ac simile quid cogitantes dicere: Quomodo abnegabit quis seipsum? aut quomodo, qui perdiderit animam suam, inveniet eam? quodnam autem illis hæc patientibus par præmium? Propterea ut eos ab ejusmodi cogitationibus avertat, et quodammodo armet ad fortitudinem, futuræ illis gloriæ cupiditatem excitans, ait: « Sunt quidam de hic stantibus, » etc., Petrum insinuans ac filios Zebedæi: hi enim in transformatione simul assumpti sunt, quam **57**

[29] Ephes. v, 27. [30] Joan. xx, 23.

(1) Animadverte testimonium pro Petri primatu.

Ὥσπερ οἱ τῇ προσθήκῃ τῆς ὕλης καιομένης ἐπὶ τὸ μεῖζον αἴροντες τὴν φλόγα, οὕτως καὶ οἱ καθελεῖν τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν σπουδάσαντες διὰ τὸν διωγμὸν αὐτὴν εἰς μεῖζον δόξης προήγαγον καὶ δυνάμεως. Εἰ δὲ τῆς Ἐκκλησίας, φησὶν, οὐ κατισχύσουσι, πολλῷ μᾶλλον ἐμοῦ. Ὥστε μὴ σὺ φοβηθῇς, Πέτρε, ἐπειδὰν μέλλεις ἀκούειν, ὅτι παραδοθήσομαι καὶ σταυρωθήσομαι. Εἶτα καὶ ἑτέραν λέγει τιμήν.

Ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν. Καὶ δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν.

Ἄθρει (2) ὅπως Κύριον ἑαυτὸν ἀποφαίνει: συλλήβδην οὐρανοῦ καὶ γῆς· ὑπισχνεῖται γὰρ τὰ ὑπὲρ φύσιν τὴν καθ' ἡμᾶς, μᾶλλον δὲ καὶ τάξεως τῆς ἀγγελικῆς, καὶ ὅσα μόνῃ πρέπει χαρίζεσθαι τῇ ἀνωτάτῳ πασῶν φύσει τε καὶ δόξῃ· πρῶτον μὲν γάρ φησιν ἐφ' ἑαυτοῦ εἶναι τὴν Ἐκκλησίαν· καίτοι τῶν ἱερῶν Γραμμάτων Θεῷ μᾶλλον καὶ οὐδενὶ τῶν ἀνθρώπων ἀφιερούντων αὐτήν· ἔφη γὰρ ὁ Παῦλος, ὅτι αὐτὴν ἑαυτῷ παρέστησεν ὁ Χριστὸς μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα· ἣν δὴ καὶ θεμελιοῦν ἐπαγγέλλεται, τὸ ἀκατάσειστον αὐτῇ προσνέμων, ὡς αὐτὸς ὑπάρχων τῶν δυνάμεων Κύριος· καὶ ταύτης ποιμένα τὸν Πέτρον ἐφίστησιν. — Εἶτα ἔφη· « Καὶ δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν. » Ταύτην δὲ φωνὴν οὐκ ἄγγελος, οὐκ ἄλλη τις λογικὴ δύναμις φθέγξασθαι δύναται. Πρέπει δὲ μᾶλλον τῷ πάντων κρατοῦντι Θεῷ, καὶ ἐξουσίαν ἔχοντι γῆς καὶ οὐρανοῦ, πλὴν ὁ τοῦ δώρου καιρὸς ἦν ἡ τῆς ἀναστάσεως ὥρα, ὅτε εἶπε· « Λάβετε Πνεῦμα ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται. »

Μέλλει γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ.

Δόξαν (3) φησὶ τὸν μετασχηματισμὸν καὶ μεταλλαγμὸν τῆς ἡμετέρας φύσεως, ἀσύγκριτον ἔχοντα δόξαν παρὰ τὸ νῦν ὁρώμενον σχῆμα.

Ἀπαρνησάσθω ἑαυτόν . . . Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ, ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν. . . Εἰσί τινες τῶν ὧδε ἑστώτων οἵτινες οὐ μὴ γεύσωνται θανάτου.

Ἐπεὶ οὔπω τὴν ἐξ ὕψους δύναμιν ἐσχηκότας τοὺς μαθητὰς, εἰκὸς ἦν τάχα που καὶ ἀνθρωπίναις περιπεσεῖν ἀσθενείαις, καί τι τοιοῦτον ἐννενοηκότας, εἰπεῖν· Πῶς ἀρνήσεταί τις ἑαυτόν; ἢ πῶς ἀπωλέσας τὴν ἑαυτοῦ ψυχὴν, εὑρήσει αὐτήν; Τί δὲ τοῖς τοῦτο παθοῦσιν ἰσοτιμοῦν γέρας; Διὰ τοῦτο, ἵνα τῶν τοιούτων αὐτοὺς ἀποστήσῃ λογισμῶν, καὶ οἷον μεταχαλκεύσῃ πρὸς εὐανδρίαν τῆς ἐσομένης αὐτοῖς εὐκλείας, ἐπιθυμίαν ἐντεκὼν, φησίν· « Εἰσί τινες τῶν ὧδε ἑστηκότων, » καὶ τὰ ἑξῆς, Πέτρον αἰνιττόμενος, καὶ τοὺς υἱοὺς Ζεβεδαίου· οὗτοι γὰρ ἐν τῇ μεταμορφώ-

(2) Ἄθρει — τὸν Πέτρον ἐφίστησιν. Mai *B. N.* III, 131. Reliqua ex Corderio qui in superioribus nonnulla omisit.

(3) Δόξαν — σχῆμα. Mai *B N.* III, 131.

Digitized by Google

σει συμπαρελήφθησαν, ἣν καλεῖ βασιλείαν, ὡς ἐκφήνασαν τῆς ἐξουσίας τὸ ἄφατον, καὶ τῆς πρὸς τὸν Πατέρα γνησιότητος τὸ ἀπαράλλακτον. Ἐν αὐτῇ δὲ, καὶ τῆς δευτέρας παρουσίας τὸ ἀξίωμα, καὶ τὸ φρικτὸν ὑπεδήλωσε προοίμιον, ταύτην ἐκείνης, καὶ οἷον βεβαίωσιν ἐνδειξάμενος· ἥξει γὰρ ἐν δόξῃ τοῦ Θεοῦ καὶ Πατρὸς, οὐκ ἐν μικροπρεπείᾳ τῇ καθ' ἡμᾶς.

Εἰς ὄρος ὑψηλόν.

Εἰς τὸ ὄρος ἄνεισι, δεικνὺς, ὅτι χθαμαλὸς ὁ νοῦς οὐκ ἂν γένοιτο πρὸς θεωρίαν ἐπιτήδειος, ἀλλ' ὁ κατ' ἰδίαν γεγονὼς, καὶ ἔξω φροντίδων βιωτικῶν ἐν ἡσυχίᾳ.

Καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν.

Πεπράχθαι δέ φαμεν τὴν μεταμόρφωσιν, οὐχὶ δήπου τὸ σῶμα τὸ ἀνθρώπινον μεταβαλόντος τοῦ σώματος, ἀλλὰ δόξης τινὸς φωτοειδοῦς περιστελλούσης αὐτό· μείναντος γὰρ τοῦ σώματος ἐπὶ τοῦ σχήματος, ἐπὶ τὸ ἐνδοξότερον οἱ χαρακτῆρες διὰ φωτοειδοῦς χρώματος διεχρώννυντο.

Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπε τῷ Ἰησοῦ· Κύριε, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· εἰ θέλεις, ποιήσωμεν ὧδε τρεῖς σκηνὰς, σοὶ μίαν, καὶ Μωϋσῇ μίαν, καὶ μίαν Ἠλίᾳ.

Οὐκ ᾔδει τί ἐλάλει. Πρὸ γὰρ τοῦ πάθους καὶ τῆς ἀναστάσεως τοῦ Σωτῆρος, καὶ τῆς καταλύσεως τοῦ θανάτου, καὶ τῆς φθορᾶς τῶν σωμάτων ἡμῶν, ἀδύνατον ἦν τὸν Πέτρον συνεῖναι Χριστῷ, καὶ τῶν σκηνῶν ἐφίεσθαι (1) τῶν ἐν οὐρανῷ. Ταῦτα γὰρ δεῖ γενέσθαι μετὰ τὴν τοῦ Σωτῆρος ἀνάστασιν καὶ εἰς οὐρανὸν ἀνάβασιν.

Καὶ ἀκούσαντες οἱ μαθηταὶ ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν καὶ ἐφοβήθησαν σφόδρα.

Ἡ μὲν τοῦ Θεοῦ καὶ Πατρὸς φωνὴ καλή τε καὶ ἀξιάγαστος· ἀκράτῳ δὲ ἤδη κατεχόμενοι δείματι πίπτουσιν οἱ μαθηταὶ, ἵνα δὴ πάλιν καὶ διὰ τούτου μάθωμεν, ὡς ἀναγκαιοτάτη τοῖς ἐπὶ γῆς ἡ τοῦ Σωτῆρος ἡμῶν ἀναπέφανται μεσιτεία, νοουμένη δηλαδὴ κατὰ τὸν τῆς ἐνανθρωπήσεως τρόπον· εἰ μὴ γὰρ γέγονε καθ' ἡμᾶς, τίς ἂν ἡμῶν ἤνεγκεν ἄνω προσβάλλοντα Θεὸν, καὶ τὴν ἄφατον αὐτοῦ δόξαν οὐδενὶ τάχα τῶν γεννητῶν φορητὴν ἐμφαίνοντα; Φῶς γὰρ οἰκεῖν αὐτὸν ἀπρόσιτον καὶ ὁ μακάριος ἔφησε Παῦλος.

Τότε συνῆκαν οἱ μαθηταὶ ὅτι περὶ Ἰωάννου τοῦ Βαπτιστοῦ εἶπεν αὐτοῖς.

Δείκνυσιν ὁ Χριστὸς τοὺς Ἰουδαίους λίαν ἀγνοοῦντας τὰς Γραφὰς, ἐξ ὧν τὸν Ἰωάννην οὐκ ἔγνωσαν· τουτέστι τὸν πρῶτον Ἠλίαν, τὸν τὴν ὁδὸν ἑτοιμάσαντα τοῦ Κυρίου· ὃν ἀγνοοῦντες καὶ ἀποκτείναντες τὸν τοῦ Χριστοῦ πρόδρομον, καὶ αὐτὸν ἠγνόησαν τὸν Κύριον καὶ ἀπέκτειναν αὐτόν.

Ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη, ἕως πότε ἔσομαι μεθ' ὑμῶν; ἕως πότε ἀνέξομαι ὑμῶν;

Ἕως πότε, φησὶ, συνδιαιτῶμαι ὑμῖν τοῖς οὕτως

regnum vocat tanquam indicantem ineffabilem potestatem, et genuinum eum esse Patris Filium. In ipsa vero quoque secundæ præsentiæ dignitatem, et terribile subindicavit initium illius, ac quasi confirmationem ostendit; veniet enim in gloria Dei et Patris, non in nostra tenuitate.

XVII, 1. *In montem excelsum.*

In montem ascendit, ostendens terrenam mentem ad contemplationem minime idoneam esse, sed solitariam, et extra temporales curas in quiete constitutam.

XVII, 2. *Et transfiguratus est ante eos.*

Factam autem transfigurationem esse dicimus, non quod corpus humanum alio corpore mutarit, sed gloria quadam instar lucis illud fuerit circumdatum. Corporis enim permanente figura, ejus lineamenta gloriosius luciformi quodam colore imbuta fuerunt.

58 XVII, 4. *Respondens autem Petrus dixit ad Jesum: Domine, bonum est nos hic esse: si vis, faciamus hic tria tabernacula, tibi unum, et Moysi unum, et Eliæ unum.*

Nesciebat quid diceret. Ante passionem enim et resurrectionem Salvatoris destructionemque mortis et corruptionem corporum nostrorum fieri non poterat ut Petrus esset cum Christo et tabernaculis cœlestibus frueretur. Hæc enim duntaxat fieri fas est post resurrectionem Salvatoris et ascensionem in cœlum.

59 XVII, 6. *Et audientes discipuli ceciderunt in faciem suam et timuerunt valde.*

Dei quidem et Patris vox bona et amore digna; sed mero metu jam perculsi cadunt discipuli, ut rursus per hoc etiam discamus, quam maxime necessarium esse, ut iis qui in terra sunt, mediatio apparuerit Salvatoris, intellecta scilicet per incarnationis modum. Nisi enim nobis similis factus fuisset, quis utique superne descendentem capere potuisset, ac ineffabilem illius gloriam quam nemo fortasse eorum qui nati sunt ferre potest, apparentem? Lucem enim eum inhabitare inaccessibilem beatus Paulus dixit [81].

XVII, 13. *Tunc intellexerunt discipuli quia de Joanne Baptista dixisset eis.*

Ostendit Judæos in crassa et supina Scripturarum ignoratione jacere, ex eo quod illarum indicio non agnoverint Joannem, hoc est primum Eliam, eum qui viam Domini præparavit: quo 60 ignorato et interfecto Christi præcursore, ne ipsum quidem agnoverunt Dominum, quem tandem occiderunt.

XVII, 17. *O generatio incredula et perversa, quousque ero vobiscum? usquequo patiar vos?*

Quandiu, inquit, versabor vobiscum, ita contumelio-

[81] I Timoth. VI, 16.

(1) Pro ἐφίεσθαι suspicor legendum ἐφικέσθαι.

Digitized by Google

sis et incredulis? ostendens cogi se per præsentiam in carne conversari cum non bonis, ut ipsos corrigeret.

Infidelis quodammodo etiam perversus est, nulloque modo recte agere novit. Cum similibus vero Christus esse dedignatur, et si quid humano more dicendum est, contemnit; non tamen hoc ad illius personam tantum se extendit, ut ne hominem esse dubites, sed ad omnes etiam Judæos. Probabile enim erat multos præsentium scandalizari ac inconvenientia cogitare de iis. Cum vero dixit, «Quousque commorabor vobiscum?» ita injurias inferentibus et infidelibus ostendit corporeæ suæ præsentiæ tempus postulare ut cum eis commoretur, cum clementia Deum decenti erga eos qui boni non sunt, ut eos per ea quæ facit corrigat: ostendit **61** autem acceptam sibi etiam esse mortem, et se hanc cupere, discessumque desiderare; neque tam cruci affigi, quam cum eis versari sibi esse grave: non tamen in hisce criminibus stitit sermonem. At quid ait? «Ferte mihi ipsum huc.»

XVII, 18. *Et increpavit illum Jesus, et exiit ab eo dæmonium, et curatus est puer ex illa hora.*

Etsi oporteret dæmoniaci patrem tristem abire, nec voti compotem ut qui non sine culpa accesserat, sed chorum apostolorum incusarat, criminatus non potuisse eos increpare dæmonem, quin ipsum quoque calumniatus erat potestatum Dominum. Qui enim dicebat eos infirmos esse et impotentes contra immundos spiritus, qui a Christo ipsos ejiciendi acceperant potestatem, is potius gratiam accusat, quam eos qui illam **62** acceperunt: quapropter infidelem illum patrem, ideoque perversum, vacuum oportuisset dimitti. Sed ne quis putet ipsummet etiam Christum ad mirabilem hanc curationem infirmum esse, increpavit immundum spiritum, et confestim filius a morbo liberatus est, et reddidit eum patri suo; antequam enim curaretur, non patris erat, sed spiritus illi dominantis.

62 (Cap. XVII, *passim.*)

Itaque deduxit quidem secum in montem primarios, ostenditque illis gloriam, qua suis temporibus toti mundo præfulgebit. Deinde descendens de monte, perverso et crudeli spiritu quemdam liberavit. Sed oportebat eum omnino salutarem pro nobis sustinere passionem, ac Judæorum perferre perversitatem: quo facto, neque improbabile est turbandos fuisse discipulos, illudque forte intra se cogitaturos dicturosque: Qui tot mortuos resuscitat cum divina quadam potestate, qui mare increpat ac ventos, qui verbo conterit Satanam, quomodo nunc capitur et in laqueos incidit homicidarum? decepti sumus igitur Deum ipsum esse putantes. Ut igitur cognoscant prorsus et omnino futurum, insinuat eis mysterium passionis.

XVII, 24. *Venientibus autem illis in Capharnaum,*

ὑβρίσταις καὶ ἀπίστοις; δεικνύων ὅτι ἡ μετὰ σαρκὸς παρουσία αὐτοῦ ἠνέγκασεν αὐτὸν συναναστρέφεσθαι τοῖς οὐκ ἀγαθοῖς, ἵνα διορθώσηται αὐτούς.

Ὁ ἄπιστος ἔσται που καὶ διεστραμμένος, καὶ κατ' οὐδένα τρόπον ὀρθοποδεῖν εἰδώς. Τοῖς δὲ τοιούτοις οὐκ ἀξιοῖ συνεῖναι ὁ Χριστὸς, ἀλλ' εἰ χρή τι τῶν ἀνθρωπίνων εἰπεῖν, ὀλιγωρεῖ· πλὴν οὐκ εἰς τὸ τούτου πρόσωπον εἶναι μόνον ἀποτείνεται, ἵνα μὴ ἀπορήσῃ τὸν ἄνθρωπον, ἀλλ' εἰς πάντας Ἰουδαίους. Καὶ γὰρ εἰκὸς πολλοὺς τῶν παρόντων σκανδαλισθῆναι, καὶ τὰ μὴ προσήκοντα ἐννοῆσαι περὶ αὐτῶν. Ὅταν δὲ εἴπῃ, ὅτι «Ἕως πότε συνδιαιτῶμαι ὑμῖν;» τοῖς οὕτως ὑβρίζουσι καὶ ἀπίστοις δείκνυσιν ὅτι ὁ τῆς ἐνσάρκου παρουσίας καιρὸς ἀπῄτει αὐτὸν συνδιαιτᾶσθαι μετὰ θεοπρεποῦς ἡμερότητος τοῖς οὐκ ἀγαθοῖς, ἵνα αὐτοὺς δι' ὧν ποιεῖ διορθώσηται· δείκνυσι δὲ καὶ ἀσπαστὸν ὄντα τὸν θάνατον αὐτῷ, καὶ ἐπιθυμεῖν τὸ πρᾶγμα, καὶ ποθεῖν τὴν ἀποδημίαν, καὶ ὅτι οὐ τὸ σταυρωθῆναι, ἀλλὰ τὸ εἶναι μετ' αὐτῶν βαρύ· οὐ μὴν ἔστη μέχρι τῶν ἐγκλημάτων. Ἀλλὰ τί φησι; «Φέρετέ μοι αὐτὸν ὧδε.»

Καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, καὶ ἐξῆλθεν ἀπ' αὐτοῦ τὸ δαιμόνιον, καὶ ἐθεραπεύθη ὁ παῖς ἀπὸ τῆς ὥρας ἐκείνης.

Εἰ καὶ ἔδει τὸν τοῦ δαιμονῶντος πατέρα λυπούμενον ἀπελθεῖν, οὐ τετυχηκότα τῆς φιλοτιμίας, ὅτε οὐκ ἀμώμητον ποιησάμενον τὴν πρόσοδον, ἀλλὰ τοῦ χοροῦ τῶν ἀποστόλων μεταβοήσαντα, εἰπόντα, μὴ ἰσχύσαι αὐτοὺς ἐπιτιμῆσαι τῷ δαίμονι· μᾶλλον δὲ αὐτὸν διαβάλλοντα τὸν τῶν δυνάμεων Κύριον. Ὁ γὰρ λέγων ἀσθενῆσαι πρὸς ἐνέργειαν τὴν κατὰ πνευμάτων ἀκαθάρτων τοὺς παρὰ Χριστοῦ ἐξουσίαν λαβόντας, ἐκβάλλειν αὐτὰ, τῆς χάριτος μᾶλλον κατηγορεῖ, οὐχὶ τῶν λαβόντων αὐτήν· διὰ ταῦτα τοίνυν τὸν ἄπιστον ἐκεῖνον πατέρα, καὶ διὰ τοῦτο διεστραμμένον, ἐχρῆν κενὸν ἀποπεμφθῆναι. Ἀλλ' ἵνα μή τις οἰηται καὶ αὐτὸν ἀτονῆσαι τὸν Χριστὸν πρὸς τὴν τοῦ παραδόξου κατόρθωσιν, ἐπετίμησε τῷ ἀκαθάρτῳ πνεύματι, καὶ παραχρῆμα τοῦ νοσεῖν ὁ παῖς ἀπηλλάττετο, καὶ ἀπέδωκεν αὐτὸν τῷ πατρὶ αὐτοῦ· πρὸ γὰρ τοῦ θεραπευθῆναι, οὐκ ἦν τοῦ πατρὸς, ἀλλὰ τοῦ κρατοῦντος πνεύματος.

Οὐκοῦν ἀνεκόμισε μὲν εἰς τὸ ὄρος τοὺς κεφαλαίους, καὶ ἔδειξεν αὐτοῖς τὴν δόξαν μεθ' ἧς ἐπιλάμψει τῷ κόσμῳ κατὰ καιρούς. Εἶτα, κατελθὼν ἐκ τοῦ ὄρους, πονηροῦ τε καὶ ἀπηνοῦς πνεύματος ἠλευθέρωσέ τινα. Ἀλλ' ἔδει πάντως αὐτὸν τὸ σωτήριον ὑπὲρ ἡμῶν ὑπομεῖναι πάθος, καὶ τῆς Ἰουδαίων ἀνασχέσθαι σκαιότητος· οὗ δὴ γεγονότος, οὐδὲ ἀπεικὸς ἐν θορύβοις ἔσεσθαι τοὺς μαθητὰς, κἀκεῖνό που τάχα καθ' ἑαυτοὺς ἐννοεῖν καὶ λέγειν. Ὁ τοσούτους νεκροὺς ἀναστήσας, ἐν ἐξουσίᾳ θεοπρεπεῖ καὶ θαλάσσας ἐπιτιμῶν καὶ πνεύμασιν, ὁ λόγῳ συντρίβων τὸν Σατανᾶν, πῶς ἥλω νυνὶ, καὶ τοῖς τῶν φονώντων ἐμπέπτωκε βρόχοις; Ἆρα ἠπατήθημεν Θεὸν εἶναι νομίζοντες αὐτόν. Ἵνα τοίνυν εἰδεῖεν τὸ πάντη τε καὶ πάντως ἐσόμενον, προμηνύει αὐτοῖς τοῦ πάθους τὸ μυστήριον.

Ἐλθόντων δὲ αὐτῶν εἰς Καπερναοὺμ, προσ-

Digitized by Google

ἦλθον οἱ τὰ δίδραχμα λαμβάνοντες τῷ Πέτρῳ καὶ εἶπον· Ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ τὰ δίδραχμα; Λέγει· Ναί. A

accesserunt qui didrachma accipiebant ad Petrum, et dixerunt : Magister vester non solvit didrachma. Ait : Etiam.

Ἐμοὶ δοκεῖ, ὅτι κατὰ πόλιν ἑκάστην ἀπῄτουν τὰ δίδραχμα, διὸ καὶ ἐν Καπερναοὺμ εἰσῆλθον, ἐπειδὴ πατρὶς Χριστοῦ ἐνομίζετο· καὶ πανούργως ἐρωτῶσι τὸν Πέτρον· Ἐπειδή, φησὶν, ἔθος ἔχει τοῖς τοῦ Μωσέως ἀντιπράττεσθαι νόμοις, οὐδὲ τὸ δίδραχμον τελεῖ· εἰδὼς ὅτι καὶ ὁ Χριστὸς ἦν εἰπών· « Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι, » καὶ ὅτι τῆς οἰκονομίας ὁ τρόπος τοῦτο ἀπαιτεῖ. Τούτοις μὲν οὖν εἶπεν ὁ Πέτρος, ὅτι τελεῖ· τῷ δὲ Χριστῷ οὐκ εἶπεν, ἴσως ἐρυθριῶν ὑπὲρ τούτων διαλεχθῆναι.

64 Mihi videntur per singulas civitates didrachma exegisse, ideoque in Capharnaum ingressi sunt, quia patria Christi putabatur ; et astute interrogant Petrum : Quia, inquit, solet legibus Mosis adversari, neque didrachma solvit? non nescius Christum dixisse : « Non veni solvere legem, sed adimplere, » et dispensationis modum hoc postulare; idcirco respondit iis Petrus, eum solvere, Christo vero non dixit, erubescens fortasse de hisce loqui.

Ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτοὺς, πορευθεὶς εἰς τὴν θάλασσαν, βάλε ἄγκιστρον, καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον· καὶ ἀνοίξας τὸ στόμα B αὐτοῦ εὑρήσεις στατῆρα. Ἐκεῖνον λαβὼν δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ.

XVII, 27. *Ut autem non scandalizemus eos, vade ad mare, et mitte hamum, et eum piscem qui primus ascenderit, tolle : et aperto ore ejus, invenies staterem ; illum sumens, da eis pro me et te.*

Ἠδύνατο ὁ Σωτὴρ καὶ ἐκ τῆς γῆς παραγαγεῖν τὸν στατῆρα· οὐκ ἐποίησε δὲ τοῦτο, ἀλλ' ἐκ τῆς θαλάσσης τὸ σημεῖον εἰργάσατο, ἵνα δείξῃ μυστήριον ἡμῖν θεωρίας ἐμπλεων. Ἡμεῖς γὰρ ἐσμεν οἱ ἰχθύες θηρευθέντες ἐκ τῶν τοῦ βίου ταραχῶν διὰ τῶν ἀποστολικῶν διδαγμάτων. Ἔχομεν δὲ ἐν τοῖς στόμασιν ἡμῶν τὸν στατῆρα, τουτέστι τὸν Χριστόν.

Potuisset utique Salvator etiam ex terra staterem effodere, noluit autem, sed e mari signum arcessivit, ut mysterium nobis innueret arcana intelligentia plenissimum. Nos enim pisces sumus ex vitæ ac sæculi tempestatibus apostolicæ prædicationis piscatu quodam extracti. Habemus autem in ore 65 staterem, scilicet Christum.

Τοῦ ἁγίου Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας ἐκ τῶν εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον.

Sancti Cyrilli episcopi Alexandriæ ex commentario in Matthæi Evangelium.

Ὁ στατὴρ (1) ὁ ἀληθινός τε καὶ νοητὸς, καὶ ὡς ἐν τύπῳ τῷ ἐξ ὕλης δηλούμενος, αὐτός ἐστιν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ διπλοῦς χαρακτήρ.

Stater verus ac intellectualis, in typo veluti materiali exhibitus, ipse est Dominus noster Jesus Christus, duplex character.

66 XVIII, 18. *Quæcunque alligaveritis super terram*, etc.

Ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, κ. τ. λ.

Ἐπειδὴ δίδωσι τοῖς τὸ διδάσκειν λαχοῦσιν, ἐξουσίαν τοῦ λύειν καὶ δεσμεῖν, ὁ Χριστὸς, μὴ μεταφοιτώντων τῶν ἅπαξ ἐκκλινάντων πρὸς ἕφεσιν ἀρετῆς, χρὴ δεδιέναι τὰς τῶν ἁγίων φωνὰς, κἂν μὴ πολλοί τινες εἶεν οἱ διορίζοντες. Πεπληροφόρηκε γὰρ καὶ τοῦτο ἡμᾶς ὁ Χριστὸς, οὐχὶ δήπου πάντως, ὅτι ἐκ πολλῶν ἔσται βέβαιον εἰπὼν, ἀλλ' εἰ καὶ δύο τὸν ἀριθμὸν συμφώνως καὶ περιεσκεμμένως ὁρίσειαν, εἰς πέρας ἤξειν ἐπαγγειλάμενος. Συνέσομαι γὰρ, φησὶ, καὶ συνοριῶ, εἰ μόνοι δύο συναχθεῖεν δι' ἐμέ· οὐ γὰρ [τὸν] τῶν συνιόντων ἀριθμὸν, ἀλλὰ τὴν τῆς εὐσεβείας καὶ φιλοθεΐας δύναμιν ἐνεργὸν γενήσεσθαι φησι.

Quia dedit iis, qui docendi munus sortiti sunt, potestatem ligandi atque solvendi Christus, non conversos eos, qui semel ad sectandam virtutem fuere propensi sanctorum voces timere oportet, etsi non multi sint qui definire id possunt : certiores enim de hoc nos Christus fecit, non utique omnino ex multis confirmationem fore dicens, sed etsi duo numero, consentiendo et circumspecte definierint, finem promittit assecuturos. Simul enim, inquit, ero, simulque definiam, etsi duo soli congregati fuerint propter me ; non enim simul exsistentium numerum, sed pietatem Deique amorem efficacem fore ait.

D

Ἐκέλευσε πραθῆναι αὐτὸν, καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ τὰ τέκνα.

67 XVIII, 25. *Jussit eum venundari, et uxorem ejus, et filios.*

Διὰ τῆς πράσεως τῆς γυναικὸς, καὶ τῶν λοιπῶν, σημαίνεται τῶν παρὰ Θεοῦ τερπνῶν ἡ εἰς ἅπαν ἀφαίρεσις, καὶ ἀπόπτωσις παντελής. Ἡ γὰρ πρᾶσις τὴν ἀπὸ Θεοῦ δηλοῖ ἀλλοτρίωσιν.

Per venditionem uxoris ac reliquorum innuitur delectabilium omnium a Deo plena sublatio, ac omnimoda privatio. Hæc enim venditio alienationem a Deo declarat.

Εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυπήματος ῥαφίδος διελθεῖν.

XIX, 24. *Facilius est camelum per foramen acus pertransire.*

Κάμηλον ἐνταῦθά φησιν, οὐ τὸ ζῶον τὸ ἀχθοφόρον, ἀλλὰ τὸ παχὺ σχοινίον ἐν ᾧ δεσμεύουσι τὰς ἀγκύρας οἱ ναῦται. Ἤδη πως ἐγγὺς καὶ ἀγχίθυρον τοῦ ἀδυνάτου τὸ ῥῆμα τιθεὶς, δείκνυται οὐχ ὁ τυχὼν μισθὸς

Camelum hic dicit, non animal oneribus ferendis destinatum, sed crassum funem, cui anchoras alligant nautæ. Jam quodammodo rem impossibilem esse dicens ostendit non quamlibet mercedem divitibus et

(1) *Ὁ στατὴρ — χαρακτὴρ.* Mai *B. N.* II, 481.

Digitized by Google

potentibus convenire. Ideoque Dei opus idipsum esse ait, ut ostendat magna gratia opus esse, ut quis in futurum hoc recte faciat.

τοῖς πλουσίοις καὶ δυναμένοις φιλοσοφεῖν· διὸ καὶ Θεοῦ ἔργον αὐτὸ ἔφησεν εἶναι, ἵνα δείξῃ ὅτι δεῖ τῆς χάριτος τῷ μέλλοντι τοῦτο κατορθοῦν.

XIX, 29. *Centuplum accipiet.*

Subintelligendum est, licet non eadem cum discipulis alii fideles consequantur, habituros tamen pro carnalibus quidem cognatis cum Deo familiaritatem, fraternitatemque sancta civitate primogenitorum matre, ad vitam sine fine accipiendam, quæ est in fruitione sempiterna, et in deliciis ac nulla unquam bonorum privatione; hoc enim vera vita est, nam alioqui et peccatores victuri sunt. Omnes enim resurgemus, sed eum in pœnis sine cessatione futuri sint, in morte esse dicuntur: quibus multo melior mors hoc statu est. Verum cum Marcus [32] dicat multo plura in hoc sæculo accepturos, rursus de spiritualibus gratiis multum hisce terrenis præcellentibus: quæ sunt arrhæ quædam futurorum bonorum quas qui habent in maximis sunt dignitatibus, omnibus quodammodo hominibus ad sanctos accurrentibus, ut per eos divina gratia fruantur. Non multos igitur pro uno patre, aut multas pro una matre, aut agros pro paucis multos accipient, inquit, sed terrestria omnia sine controversia excedentia cœlestia consequentur, **69** ita ut iis quæ impenduntur longe præstantiora quæ restabunt.

Ἑκατονταπλασίονα λήψεται.

Ἐπισημαντέον, ὅτι κἂν μὴ τῶν αὐτῶν τοῖς μαθηταῖς οἱ λοιποὶ ἐπιτύχωσιν, ἀλλ' ὅμως ἕξουσιν ἀντὶ μὲν τῶν κατὰ σάρκα συγγενῶν, πρὸς Θεὸν οἰκειότητα, καὶ τὴν ἀδελφότητα τὴν πρὸς ἁγίαν πόλιν τὴν τῶν πρωτοτόκων μητέρα, πρὸς τὸ ἀτελεύτητον λαβεῖν ζωήν, ὅ ἐστιν ἐν ἀπολαύσει εἶναι ἀεὶ, καὶ ἐν τρυφῇ, καὶ τῶν ἀγαθῶν μηδέποτε στέρεσθαι. Τοῦτο γὰρ ἡ ἀληθὴς ζωὴ, ἐπεὶ καὶ οἱ ἁμαρτωλοὶ ζῶσι. Πάντες γὰρ ἀνιστάμεθα, ἀλλ' ἐπειδὴ ἐν ἀλήκτοις βασάνοις ἔσονται, ἐν θανάτοις λέγονται εἶναι· οἷς πολλῷ βελτίων ὁ θάνατος τῆς τοιαύτης καταστάσεως. Πλὴν ἐπείπερ ὁ Μάρκος λέγει ὅτι ἐν αἰῶνι τούτῳ πολλαπλασίονα λήψονται, λεκτέον πάλιν περὶ τῶν πνευματικῶν χαρισμάτων πολὺ τὰ ἐπίγεια παρατρεχόντων· ἅπερ εἰσὶν ἀῤῥαβῶνές τινες τῶν μελλόντων ἀγαθῶν· ὥσπερ οἱ ἔχοντες ἐν μεγίσταις εἰσὶ τιμαῖς, πάντων σχεδὸν ἀνθρώπων προστρεχόντων τοῖς ἁγίοις, ἵνα δι' αὐτῶν ἀπολαύσωσι τῆς θείας χάριτος. Οὐ πολλοὺς οὖν ἀνθ' ἑνὸς πατέρας, ἢ πολλὰς ἀντὶ μιᾶς μητέρας, ἢ ἀγροὺς, ἀντὶ ὀλίγων πολλοὺς ἀπολήψεσθαί φησιν, ἀλλ' ὅτι τῶν ἐπιγείων ἁπάντων ἀσυγκρίτως ὑπεροχαῖς ὑπερκείσεται τὰ οὐράνια, καὶ τῶν ἀπολλυμένων προτιμότερα ἔσται τὰ σωζόμενα.

XXI, 12. *Et intravit Jesus in templum Dei, et ejecit omnes vendentes, et ementes in templo, et mensas nummulariorum evertit, et cathedras vendentium columbas.*

Καὶ εἰσῆλθεν ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν τοῦ Θεοῦ, καὶ ἐξέβαλε πάντας τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν κατέστρεψε, καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περιστεράς.

Erat quidem in templo multitudo vendentium, pecunias commutans, seu nummularii, et cum eis boum oviumque venditores, turturesque vendentes ac columbas. Hæc autem utilia sacrificiis cultus legalis; sed jam tempus erat dissolvi umbram, ac resplendere in Christo veritatem: videlicet ut cum Patre suo in vero templo honoraretur. **70** Rejici quidem legalia sacrificia fumosque præcepit, domum autem orationis templum ostendi: percutere enim vendentes, ac sacris ambitibus eos arcere, qui ad sacrificium utilia aliquibus divendebant, hoc omnino est, nihilque aliud. Alius vero evangelistarum etiam flagellum ex funiculis fecisse dicit Jesum, plagasque eis intentasse [33]. Scire enim oportebat legalem cultum honorantes, post veritatis ostensionem spiritum servitutis habentes, ac liberari postulantes, sub flagellis futuros, subjiciendosque supplicio servos decenti. Confirmat etiam eorum accusationem ex Isaia dicens: « Scriptum est, Domus mea domus orationis vocabitur; » adorandus igitur erat velut templi Dominus: hi vero non tantum hoc non fecerunt, sed etiam indignati sunt. Non tantum autem hoc illius pote-

Ἦν μὲν ἐν τῷ ἱερῷ πληθὺς ἐμπόρων, ἀργυραμοιβοὶ, ἤτοι κολλυβισταὶ, καὶ μετ' ἐκείνων βοῶν τε καὶ προβάτων ἔμποροι, τρυγόνας τε πιπράσκοντες καὶ περιστεράς. Ταῦτα δὲ χρήσιμα ταῖς θυσίαις τῆς κατὰ νόμον λατρείας· ἀλλ' ἦν ἤδη ὁ καιρὸς τοῦ καταλῆξαι τὴν σκιὰν, καὶ ἀναλάμψαι τὴν ἐν Χριστῷ ἀλήθειαν, ἅτε δὴ μετὰ τοῦ ἰδίου Πατρὸς ἐν τῷ παρ' αὐτοῦ ὄντι ναῷ τιμώμενος. Συστέλλεσθαι μὲν τὰς ἐν νόμῳ προστέταχε θυσίας, καὶ τοὺς καπνούς· οἶκον δὲ προσευχῆς ἀναδείκνυσθαι τὸν ναόν. Τὸ γὰρ ἐπιπλήττειν τοῖς ἐμπόροις καὶ τῶν ἱερῶν περιβόλων ἀποσοβεῖν αὐτοὺς τὰ εἰς θυσίαν χρήσιμα διαπιπράσκοντάς τισι, τοῦτο πάντως ἐστὶ, καὶ ἕτερον οὐδέν. Ἕτερος δὲ τῶν εὐαγγελιστῶν καὶ φραγέλλιον ἐκ σχοινίων ποιῆσαι λέγει τὸν Ἰησοῦν, καὶ πληγὰς ἐπανατείνειν αὐτοῖς· ἔδει γὰρ εἰδέναι τοὺς νομικὴν τιμῶντας λατρείαν, μετὰ τὴν τῆς ἀληθείας ἀνάδειξιν, ὅτι πνεῦμα δουλείας ἔχοντες, καὶ τὸ ἐλευθεροῦσθαι παραιτούμενοι, ὑπὸ μάστιγας ἔσονται, καὶ ὑποκείσονται κολάσει δουλοπρεπεῖ. Ἐπιτείχιζει αὐτοῖς καὶ τὸν Ἡσαΐαν κατήγορον, λέγων· « Γέγραπται· Ὁ οἶκός μου, οἶκος προσευχῆς κληθήσεται· » ἔδει οὖν αὐτῷ προσκυνῆσαι ὡς δεσπόζοντι τοῦ ναοῦ. Οἱ δὲ τοῦτο μὲν οὐ πε-

[32] Marc. x, 30. [33] Joan. II, 18.

Digitized by Google

πράχασιν, ἀγανακτοῦσι δὲ μᾶλλον κατ' αὐτοῦ. Οὐ τοῦτο δὲ μόνον δείκνυσιν αὐτοῦ τὴν ἐξουσίαν, ἀλλὰ καὶ τὸ θεραπεῦσαι ποικίλα νοσήματα. Φησὶ γὰρ ὁ εὐαγγελιστής·

A statem ostendit, verum etiam quod varios morbos curet. Ait enim evangelista:

Καὶ προσῆλθον αὐτῷ τυφλοὶ καὶ χωλοὶ ἐν τῷ ἱερῷ, καὶ ἐθεράπευσεν αὐτούς.

XXI, 17. *Et accesserunt ad eum cæci et claudi in templo, et curavit eos.*

Αἴνιγμα ἦν τὸ γεγονὸς, ὅτι τῶν Ἰουδαίων ἐκβληθέντων ἐκ τοῦ ναοῦ σὺν ταῖς τυπικαῖς θυσίαις, οἱ τυφλοὶ καὶ χωλοὶ θεραπεύονται, οἱ τύπον ἔχοντες τῶν ἐθνῶν. Μαθέτωσαν μέντοι καὶ οἱ πωλοῦντες καὶ τὰ τοῦ Πνεύματος χαρίσματα καὶ τὴν ἱερωσύνην, ὅτι τοὺς πωλοῦντας τὰς περιστερὰς ἐξέβαλεν ἀπὸ τοῦ ναοῦ μαστίξας ὁ Κύριος, καὶ παυσάσθωσαν πόρους ἑαυτοῖς ἀπὸ χειροτονιῶν ἀθροίζοντες.

Ænigma erat quod factum est : Judæis e templo cum typicis sacrificiis ejectis, cæci et claudi curantur, qui figuram habent gentium. Discant certe vendentes etiam Spiritus charismata ac sacerdotium, Dominum flagellis columbas in templo vendentes ejecisse, cessentque census sibi a consecrationibus comparare.

Τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων μου, οὐκ ἔστιν ἐμὸν δοῦναι.

B **71** XX, 23. *Sedere autem ad dexteram meam et sinistram, non est meum dare vobis.*

Ἐρωτᾷς ὅτι λοιπὸν τίνες μέλλουσι καθεσθῆναι. Μάθε ὅτι οὐδείς. Μόνης γὰρ τῆς πρώτης οὐσίας τὸ τοιοῦτόν ἐστι, καὶ οὐκ ἀνθρωπίνης. Μὴ νοήσαντες γὰρ οἱ ἀπόστολοι τί ἐστι τὸ, « Καθεσθῆναι ἐπὶ δώδεκα θρόνους· » καὶ ὅτι τὸ δοξασθῆναι τότε δηλοῖ· τοιαύτην ἐζήτουν καθέδραν.

Quæris ecquinam tandem sessuri sint. Sic habe: neminem sessurum. Solius enim principis naturæ talis auctoritas est, non autem humanæ. Istam enim sessionem ambierunt apostoli, idcirco quod non intelligerent, quid esset, « Sedere super thronos duodecim, » et ignorarent his verbis significari glorificationem quam tunc consequuntur.

Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς;

72. XXI, 23. *In qua potestate hæc facis?*

Εἰ τὰς θεοπνεύστους ᾔδεις Γραφὰς, ὦ ἀσύνετε Φαρισαῖε, καὶ τὰς τῶν ἁγίων προφητῶν φωνὰς, ἐμνήσθης ἂν λέγοντος τοῦ μακαρίου Δαβὶδ πρὸς τὸν τῶν ὅλων Σωτῆρα Χριστόν· « Ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται, σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν C τάξιν Μελχισεδέκ. » Φράζε δή οὖν τίς ἐκ τῶν Γραμματέων ἢ Φαρισαίων λελειτούργηκε τῷ Θεῷ κατὰ τὴν τάξιν Μελχισεδέκ. Ἢ πάντως οὐδείς· ἀλλὰ καὶ ὁ προπάτωρ Ἀβραὰμ, ἡ ῥίζα τῆς γενέσεως τῶν ἐξ Ἰσραὴλ, ὑπὸ τῆς Μελχισεδὲκ ἱερωσύνης ηὐλόγηται. Τύπος δὲ ἦν ὁ Μελχισεδὲκ, καὶ ἡ κατ' αὐτὸν ἱερωσύνη τοῦ πάντων Σωτῆρος Χριστοῦ ὃς γέγονεν ἡμῶν ἀρχιερεὺς προσάγων τῷ Θεῷ καὶ Πατρὶ πάντας τοὺς πεπιστευκότας εἰς αὐτὸν διὰ τῆς ὑπὲρ νόμον λατρείας τελειῶν εἰς ἁγιασμόν. Τί οὖν ἀσχάλλεις, ὦ Φαρισαῖε; ἐγκαλεῖς, εἰπέ μοι, τῷ νομοθέτῃ τοῦ νόμου τὴν λύσιν, καὶ ὅτι μὴ ταῖς ἰδίαις ἠκολούθησεν ἐντολαῖς; Ἀλλὰ νόμου πάντων ἐπέκεινα Θεός· ὁ γὰρ τοὺς νόμους οὐχ ἑαυτῷ μᾶλλον, ἀλλ' ἡμῖν ὁρισάμενος, μεθίστησι κατὰ καιρὸν ἐφ' ὅπερ ἂν ἔλοιτο τὰ διατεταγμένα, καὶ ἀναφέρει εἰς βελτίονα. Ἦν οὖν καιρὸς τοῦ παύσασθαι τὸν ἐν τύποις, ἀναδειχθῆναι δὲ τὰ κρείττονα. Διὸ ἔφη που διὰ φωνῆς Ἡσαΐου· « Ἀφανισθήσεται νόμιμα λαοῦ. » Ἤργησαν γὰρ τῆς νέας ἐντολῆς ἀναδεδειγμένης ἣν δι' ἑαυτοῦ λελάληκεν ἡμῖν ὁ Υἱός.

Si Deum spirantes Scripturas nosses, o insipiens Pharisæe, ac sanctorum prophetarum voces, memor esses dicentis Davidis de universorum Servatore Christo : « Juravit Dominus, et non pœnitebit eum, tu es sacerdos in æternum, secundum ordinem Melchisedech [25]. » Dic mihi, quæso, quis ex Scribis aut Pharisæis sacrificavit Deo secundum ordinem Melchisedech? Omnino nullus; at etiam progenitor Abraham, et radix generationis Israel, a Melchisedechi sacerdotio recepit benedictionem. Typus autem erat Melchisedech, illiusque sacerdotium omnium Salvatoris Christi, qui factus est nobis Princeps sacerdotum, adducens Deo ac Patri omnes in se credentes per cultum supra legem perficiens ad sanctificationem. Ecquid igitur calumniaris, o Pharisæe? Dic, quæso, increpasne legislatorem quod legem solvat, et quod suis non adhæreat mandatis? At legem omnem superat Deus. Hic enim leges non tam sibi ipsi, quam nobis definiens, statuit secundum tempus, in quo utique, quæ ordinavit, elegit, transferique ad meliora. Erat igitur tempus ut cessaret lex, quæ in figuris fuerat, ostenderenturque meliora. Ideoque alibi per vocem Isaiæ **73** dixit : « Exterminabitur sensus populi [26] ; » vacuum enim fecerunt novum mandatum, quod per semetipsum nobis locutus est Filius.

Τὸ βάπτισμα Ἰωάννου πόθεν ἦν;

XXI, 25. *Baptismus Joannis unde erat?*

Ἤρετο ὁ Χριστὸς ὁποίαν περὶ τοῦ Βαπτιστοῦ τὴν δόξαν ἐσχήκασιν, ἐπειδὴ ἔθος ἦν τοῖς Ἰουδαίοις ψευδηγόρους ἀποκαλεῖν τοὺς ἁγίους, καὶ λέγειν, ὅτι ἀπὸ γνώμης ἰδίας τὴν προφητείαν ὑποπλάττονται, οὐκ

Interrogavit Christus quamnam de Joanne haberent opinionem, quia mos erat Judæis mendaces vocare sanctos, ac dicere eos non missos a Deo ex sua mente prophetiam fingere. Pharisæi autem ve-

[25] Psal. cix, 4. [26] Isa. vi, 10.

Digitized by Google

rentur quidem verum dicere, ne audiant: Propter quid non credidistis?

74 XXI, 28. *Operare in vinea mea.*

Ac vinea quidem est Israel, ut sit Psalmista: « Vineam ex Ægypto transtulisti [36]. » Ac Isaias: « Vinea, inquit, facta est dilecta [37]. » Plantavit autem eam Deus, ac longo tempore peregre profectus est, sive longanimitatem exercuit: videtur tamen curam gessisse regionis, et eam habuisse in mente. Nullum enim tempus intermedium fuit quo non a Deo missi fuerint prophetæ justique instructores. Illi vero increduli fuerunt, eosque, qui missi erant, affectos ignominia vacuos dimiserunt, id est, nihil habentes boni quod de iis dicerent mittenti Deo.

XXI, 38. *Hic est hæres. Venite, occidamus eum.*

Ergo etiam vos filii Dei ac Patris? ergo naturalis hæreditas vobis obtingit, si e medio hæredem sustuleritis? quomodo fietis domini eorum quæ amatis? ac illud quomodo non risu dignum? Christus siquidem ut Filius Dei ac Patris dignitatum consubstantialiter hæres exsistens homo factus, in communionem regni sui vocavit credentes in eum. Judæi vero soli regnum habere volebant, quod fieri non poterat, ac omnino erat a disciplina alienum. Observa autem in hisce filium post servos mitti, ut eum qui inter servos non sit, sed ut verum filium ac propterea Dominum; etsi enim servi formam per dispensationem assumpserit, etiam sic verus Dei Patrisque Filius est, ac naturalem habens potestatem.

75 XXI, 42. *Lapidem quem reprobaverunt ædificantes, hic factus est in caput anguli.*

Admiratus est angulum illum, sive duorum populorum in identitatem concursum, beatus David, dicens: « A Domino factum est istud, et est mirabile in oculis nostris [38]. » Itaque salutaris quidem hic lapis angulo ab eo facto; contritus est autem ab iis qui extra intellectualem ac spiritualem manserunt concursum: ipsis enim Christus petra offensionis est, et lapis scandali.

XXII, 8. *Nuptiæ quidem paratæ sunt.*

Nuptias dicit unionem fidelium cum Filio; ad illasque nuptias vocavit Judæos, olim quidem per prophetas, novissime autem per discipulos, ante passionem et resurrectionem.

XXII, 13. *Ligatis manibus et pedibus ejus.*

Alio quoque modo manus pedesque ligari dicitur, quasi nullum deinceps ibi opus bonum præstare valeant; boni enim operatio non nisi ad præsens tempus extenditur.

XXII, 17. *Licet censum dare Cæsari, an non?*

Voluit quidem universorum Deus ab hominum

[36] Psal. LXXIX, 9. [37] Isa. V, 1. [38] Psal. CXVII, 23.

A ἀπεσταλμένοι παρὰ Θεοῦ. Οἱ δὲ Φαρισαῖοι δεδίασι μὲν εἰπεῖν τὸ ἀληθὲς, ἵνα μὴ ἀκούσωσι· Διὰ τί μὴ ἐπιστεύσατε;

Ἐργάζου ἐν τῷ ἀμπελῶνί μου.

Καὶ ἔστιν ἀμπελὼν μὲν ὁ Ἰσραὴλ, ὡς φησιν ὁ Ψαλμῳδός· « Ἀμπελῶνα ἐξ Αἰγύπτου μετῆρας. » Καὶ Ἡσαΐας· « Ἀμπελὼν, φησὶν, ἐγενήθη τῷ ἠγαπημένῳ. » Ἐφύτευσεν δὲ αὐτὸν ὁ Θεὸς, καὶ ἀπεδήμησε χρόνον μακρὸν, εἴτουν ἐμακροθύμησε. Πλὴν ὁρᾶται πεφροντικὼς τοῦ χωρίου, καὶ εἰς νοῦν ἔχων αὐτό. Οὐδεὶς γὰρ γέγονε διὰ μέσου καιρὸς, καθ' ὃν οὐκ ἀπεστέλλοντο παρὰ τοῦ Θεοῦ προφῆται καὶ δίκαιοι νουθετοῦντες. Οἱ δὲ γεγόνασιν ἀπειθεῖς, καὶ ἀτιμάσαντες τοὺς ἀπεσταλμένους ἀπέστειλαν κενούς· τουτέστιν οὐδὲν ἔχοντας εἰπεῖν περὶ αὐτῶν ἀγαθὸν τῷ πεπομ-
B φότι Θεῷ.

Οὗτός ἐστιν ὁ κληρονόμος. Δεῦτε, ἀποκτείνωμεν αὐτόν.

Ἆρα καὶ ὑμεῖς υἱοὶ τοῦ Θεοῦ καὶ Πατρός; ἆρα φυσικῶς ὁ κλῆρος εἰς ὑμᾶς καταβαίνει, ἂν ἐκ μέσου ποιήσητε τὸν κληρονόμον; πῶς γενήσεσθε κύριοι ὧν ἐράτε; κἀκεῖνο πῶς οὐ γέλωτος ἄξιον; Ὁ μὲν γὰρ Χριστὸς, ὡς Υἱὸς καὶ τῶν τοῦ Θεοῦ καὶ Πατρὸς ἀξιωμάτων οὐσιωδῶς κληρονόμος γεγενημένος ἄνθρωπος, εἰς κοινωνίαν τῆς ἑαυτοῦ βασιλείας ἐκάλει τοὺς πιστεύοντας εἰς αὐτόν. Οἱ δὲ Ἑβραῖοι μόνοι τὴν βασιλείαν ἔχειν ἤθελον, ὅπερ ἦν ἀμήχανόν τε καὶ ἀμαθές. Ἐπιτήρησον δὲ ἐν τούτοις ὅτι μετὰ τοὺς οἰκέτας ὁ Υἱὸς πέμπεται, ὡς οὐ τελῶν ἐν οἰκέταις, ἀλλ' ὡς
C Υἱὸς ἀληθινὸς, καὶ διὰ τοῦτο Κύριος· εἰ καὶ ἐφόρεσε γὰρ δούλου μορφὴν οἰκονομικῶς, ἀλλ' ἦν καὶ οὕτω Θεὸς, καὶ Υἱὸς ἀληθινὸς τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ φυσικὴν ἔχων τὴν κυριότητα.

Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας.

Ταύτην τεθαύμακε τὴν γωνίαν, ἤτοι τῶν δύο λαῶν τὴν εἰς ταὐτότητα σύνοδον ὁ μακάριος Δαβὶδ, λέγων· « Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. » Οὐκοῦν σωτήριον μὲν ὁ λίθος τῇ γωνίᾳ τῇ παρ' αὐτοῦ γενομένῃ, συντριβὴ δὲ τοῖς ἔξω μεμενηκόσι τῆς νοητῆς καὶ πνευματικῆς ταύτης συνδρομῆς· αὐτοῖς γάρ ἐστιν ὁ Χριστὸς πέτρα προσκόμματος, καὶ λίθος σκανδάλου.

Ὁ μὲν γάμος ἕτοιμός ἐστιν.

D Γάμον (1) λέγει τὴν πρὸς τὸν Υἱὸν τῶν πιστῶν συνάφειαν, καλῶν εἰς τοῦτον τοὺς Ἰουδαίους, πάλαι μὲν διὰ τῶν προφητῶν, ὕστερον δὲ διὰ τῶν μαθητῶν, πρὸ τοῦ πάθους καὶ τῆς ἀναστάσεως.

Δήσαντες αὐτοῦ πόδας καὶ χεῖρας.

Καὶ ἄλλως δεδέσθαι χεῖρας καὶ πόδας λέγεται, ὡς μηδενὸς λοιπὸν χρηστὸν ποιῆσαι ἐκεῖσε δυναμένου· ἡ γὰρ τοῦ καλοῦ ἐργασία μέχρι τοῦ παρόντος ἐκτείνεται.

Ἔξεστι δοῦναι κῆνσον Καίσαρι, ἢ οὔ;

Ἤθελε μὲν ὁ τῶν ὅλων Θεὸς ἀνθρωπίνης δυναστείας

(1) *Γάμον — ἀναστάσεως.* Cramer. p. 179.

Digitized by Google

ἐλεύθερον εἶναι τὸν Ἰσραήλ· ἐπειδὴ δὲ τοὺς θείους πεπατήκασι νόμους, γεγόνασιν ὑπὸ χεῖρα τῶν τηνικάδε κεκρατηκότων, καὶ δασμοὺς ἐπέθηκαν αὐτοῖς, καὶ φόρου λοιπὸν ἦσαν ὑποτελεῖς, τῶν πραγμάτων αὐτοῖς εἰς τὴν Ῥωμαίων μεταπεσόντων ἀρχήν.

A dominatu liberum esse Israelem : cum vero divinas leges conculcassent, tum etiam prævalentium manus ac vincula eis imposuit, ac facti sunt obnoxii pendendo tributo, rebus eorum ad Romanorum imperium devolutis.

Καὶ οὐδεὶς ἐδύνατο αὐτῷ ἀποκριθῆναι λόγον, οὐδὲ ἐτόλμησέ τις ἀπ' ἐκείνης τῆς ἡμέρας ἐπερωτῆσαι αὐτὸν οὐκέτι.

76 XXII, 46. *Et nemo poterat respondere ei verbum, neque ausus fuit quisquam ex illa die eum amplius interrogare.*

Ἐπειδὴ καταισχυνθέντων τῶν Σαδδουκαίων καὶ ἀποχωρησάντων ἐπῃνεῖτο ὁ Κύριος, διαφθονούμενοι οἱ Φαρισαῖοι ἦλθον εἰς μέσον, καί τις νομομαθὴς ἄγαν παρ' αὐτοῖς νομιζόμενος, ἠρώτησε ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ· οἰηθεὶς ὅτι μέλλει μὲν τὰ Μωσέως παραγράφεσθαι ὁ Χριστὸς, παρατιθέναι δὲ τὴν αὐτοῦ διδασκαλίαν, ἢ εἰπεῖν· Ἀγαπήσεις Κύριον τὸν Θεόν σου καὶ ἐμέ· παραζευγνὺς ἑαυτοῦ τὴν δόξαν τῇ δόξῃ τοῦ Πατρός· καὶ οὕτως εὑρήσει πρόφασιν τοῦ ἐμβαλεῖν αὐτὸν εἰς κίνδυνον, ὡς ἑαυτὸν θεοποιοῦντα· ἢ, εἰ τοῦτο παρασιωπήσει, λέγειν· Οὐκοῦν οὐ προσδέχομαί σε ὡς Θεόν (1). Ὁ δὲ Κύριος οὐδὲν καινὸν εἰπὼν, ἀλλὰ τὰ τοῦ νόμου. καὶ ταύτῃ ἐπιστομίσας τοὺς Φαρισαίους.

Cum confusi essent ac secessissent Sadducæi, laudabaturque Dominus, in medium prodierunt invidi Pharisæi, ac legisperitus quidam magna apud eos in æstimatione interrogat, quodnam maximam esset mandatum in lege, arbitratus fore, ut ea quæ Moysis erant Christus proscriberet, suam autem doctrinam præponeret, aut diceret : Diliges Dominum Deum tuum et me, conjungendo gloriam suam cum gloria Patris, atque ita inventurum sese occasionem, qua in periculum eum adduceret, tanquam sese Deum facientem, aut si ab hoc dicendo abstineret, insereret : Igitur non suscipimus te tanquam Deum. Dominus vero nil novi dicendo, sed ea quæ legis **77** sunt, etiam hac ratione os obstruit Pharisæis.

Μηδὲ κληθῆτε καθηγηταί.

XXIII, 10. *Nec vocemini magistri.*

Ἐπειδὴ τοὺς καινὰ δόγματα διδάσκοντας ὡς ἐπὶ πᾶν ἰδεῖν ἔστι κενοδοξίας καὶ ἀλαζονείας ἔρωτι εἰς τὸ τῆς διδασκαλίας ἀξίωμα παραγενομένους, ἀναιρεῖ ὁ Κύριος ταύτην τὴν ὑπόνοιαν, καὶ τὴν ὁδὸν ἐκκόπτει ὡς ἐπ' ὄλεθρον ἄγουσαν. Εἰ τοίνυν, φησὶ, δόξης τε καὶ πρωτείων ἐρᾷς, τὴν τῶν διακόνων καὶ ὑστέρων τάξιν ἐπιζήτει καὶ ταπεινοφροσύνην ἄσκει.

Quoniam qui nova dogmata promulgant, eos ferme videre est studio inanis gloriæ et arrogantia sese ultro provehere in magistrorum dignitatem, eam suspicionem, ne ad se quoque perveniret, utpote prædicatorem novæ doctrinæ, elidit exstinguitque Dominus. Simul auditorum causa humanæ infirmitati pronam viam ad honores per ambitionem aspirandi abrumpit exscinditque, quippe ad interitum ferentem ; sic præcipiens : Si quis gloriæ primatusve cupiditate teneatur, is in ministrantium et postremorum ultro ordinem descendat, humilitatique imprimis studeat.

Οὐαὶ δὲ ὑμῖν.

Οὐαὶ τοίνυν ὑμῖν, ὦ νομικοὶ, ὅτι φορτικὸν ὁμολογουμένως ὄντα τὸν νόμον, τοῖς μὲν ἄλλοις ἀπαιτοῦσιν αὐτὸν, θανάτου δίκην ἐπάγετε, αὐτοὶ δὲ τοῦ νόμου οὐδὲ προσψαύετε.

C XXIII, 13. *Væ autem vobis.*

Væ igitur vobis legisperiti, eo quod, cum gravem esse fateamini legem, aliis quidem eam postulantibus mortis supplicium inducitis : ipsi vero ne legem quidem attingitis.

Καὶ ὀμόσας ἐν τῷ οὐρανῷ, ὀμνύει ἐν τῷ θρόνῳ τοῦ Θεοῦ, καὶ ἐν τῷ καθημένῳ ἐπάνω αὐτοῦ.

XXIII, 22. *Et qui jurat in cælo, jurat in throno Dei, et in eo qui sedet super eum.*

Διὰ τοῦτο δὲ θρόνον Θεοῦ τὸν οὐρανὸν ὀνομάζουσιν αἱ Γραφαὶ, ὅτι ταῖς ἄνω δυνάμεσι Θεὸς ἐναναπαύεται. Ἐν οὐρανῷ γάρ εἰσιν οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ ἄγγελοι, καὶ ἀεὶ δοξάζοντες αὐτόν· αὕτη γὰρ αὐτῷ ἀνάπαυσις. Ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ· ἐν αὐτῇ γὰρ διὰ σαρκὸς τοῖς ἀνθρώποις συνανεστράφη. Ποῦς δὲ Θεοῦ ἡ ἁγία αὐτοῦ σὰρξ καὶ διαφόρως ὀνομάζεται.

78 Propterea autem sedem Dei cœlum vocant Scripturæ, eo quod in supernis potestatibus Deus requiescat. In cœlo enim sunt, qui faciunt voluntatem ejus, angeli, semperque eum glorificant, hæc enim ei requies. Terra autem scabellum pedum ejus : in ea enim cum hominibus versatus est. Pes autem Dei sancta illius caro præcipue nuncupatur.

Οὐαὶ ὑμῖν Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον, καὶ ἀφήκατε τὰ βαρέα τοῦ νόμου, τὴν κρίσιν, καὶ τὸν ἔλεον, καὶ τὴν πίστιν· ταῦτα ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι.

D XXIII, 23. *Væ vobis, Scribæ et Pharisæi hypocritæ qui decimatis mentham et anethum, et reliquistis quæ graviora sunt legis, judicium et misericordiam et fidem ; hæc oportebat facere, et illa non omittere.*

Ὅρα τὴν ἐπίπληξιν· « Ἀπαιτεῖτε, φησὶν, ὦ Φαρισαῖοι, τὰς δεκάτας τάχα που καὶ λαχάνων λεπτῶν, παρέντες τὰς ἐντολὰς, ἐφ' αἷς ἐστι μείζων ἡ παράβασις. Ποῖαι αὗται αἱ ἐντολαί; Ἡ κρίσις, τουτέστι

Vide quomodo eos percellat. « Exigitis, inquit, o Pharisæi, decimas quodammodo etiam olerum minimorum, prætereuntes præcepta in quibus major culpa est. Qualia autem hæc sunt præcepta ? Judi-

(1) Huc usque fragmentum ap. Cramerum p. 183.

Digitized by Google

cium, id est judicare quæ recta sunt, et misericordia, et fides in Deum. Hæc enim decimis ac primitiis meliora sunt. Indeque per prophetam ait universorum Dominus: « Et nunc, Israel, quid Dominus Deus requirit a te, nisi facere judicium, et diligere ac quærere misericordiam, paratumque esse ut ambules cum Deo tuo [39] ? »

A τὸ κρίνειν ὀρθὰ, καὶ ὁ ἔλεος, καὶ ἡ πίστις εἰς Θεόν. Ταῦτα γὰρ ἀμείνω δεκάτης καὶ ἀπαρχῶν. Διὸ καὶ διὰ τοῦ προφήτου φησὶν ὁ τῶν ὅλων Θεός· « Καὶ νῦν, Ἰσραὴλ, τί Κύριος ὁ Θεὸς ζητεῖ παρὰ σοῦ, ἀλλ' ἢ τοῦ ποιεῖν κρῖμα, καὶ ἀγαπᾷν καὶ ζητεῖν ἔλεον, καὶ ἕτοιμον εἶναι τοῦ πορεύεσθαι μετὰ τοῦ Θεοῦ σου; »

XXIII, 26. *Pharisæe cæce, munda prius quod intus est calicis et paropsidis, ut fiat id quod deforis est mundum.*

Φαρισαῖε τυφλὲ, καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου, καὶ τῆς παροψίδος, ἵνα γένηται καὶ τὸ ἐκτὸς αὐτῶν καθαρόν.

79 Non de calice ac paropside dicit, seu lance, sed de anima ac corpore disserit, corpus quidem vocans quod deforis est, quod vero intus, animam. Si vero illud quod in paropside intus est, mundatione opus habet, multo magis quod in te est : vos autem contrarium, inquit, facitis exigua et exteriora observantes; majora et interiora negligitis, unde maximum oritur detrimentum. Hisce Pharisæorum vitam depingit, exhortans eos, ut non exteriori specie tantum ficti sint, sed interiora munda habeant, mentem animumque.

Οὐ περὶ ποτηρίου καὶ παροψίδος λέγει, ἤτοι πίνακος, ἀλλὰ περὶ ψυχῆς καὶ σώματος διαλέγεται· τὸ μὲν ἔξω καλῶν τὸ σῶμα, τὸ δὲ ἔνδον τὴν ψυχήν. Εἰ δὲ ἐπὶ τῆς παροψίδος τοῦ ἔνδον χρεία, πολλῷ μᾶλλον ἐπὶ σοῦ. Ὑμεῖς δὲ τοὐναντίον ποιεῖτε, φησὶ, τὰ μικρὰ καὶ ἔξω φυλάττοντες, τῶν μεγάλων καὶ ἔνδον ἀμελεῖτε· ὅθεν μείζιστη γίνεται βλάβη (1). Διὰ τούτων τὸν τῶν Φαρισαίων διαγράφει βίον, παραινῶν μὴ τοῖς ἔξωθεν σχηματισμοῖς πλάττεσθαι μόνον, ἀλλὰ ἔχειν καὶ τὰ ἔσωθεν καθαρὰ, τὰ εἰς νοῦν καὶ καρδίαν.

XXIII, 32. *Et vos implete mensuram patrum vestrorum.*

Καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν.

Quidnam ergo dicat Salvator, diligenter indagemus. Patres quidem Judæorum diversis temporibus sanctos prophetas divinam legem annuntiantes occiderunt; qui tamen ex iis nati sunt, confitentes prophetas venerandos fuisse ac honorandos, coronas iis adaptarunt, seu monumenta, honorem sanctis maxime convenientem eis tribuentes, ipsi autem prophetas esse credentes ac viros sanctos, judices facti sunt eorum qui eos occiderunt : per quæ enim honorare existimarunt eos, qui necati fuerant, hisce occisores tanquam qui impie egerint, accusant. Sed qui suis patribus in hisce adeo nefandis cædibus suffragantur, æqualibus malis obnoxii erant futuri, imo **80** vero etiam pejoribus. Occiderunt enim vitæ auctorem; adjunxerunt autem exsecrandis in eum sceleribus alia quoque contra divinos ejus discipulos : siquidem quousque aliquis aliorum iniquitates naturali ratione judicans, inquirit, videt quod malum est, et arguit; ipse vero ad eosdem adductus affectus, quasi cæcus ad ista fertur.

Τί δὴ ἄρα φησὶν ὁ Σωτὴρ, ἀκριβῶς ἐρευνήσωμεν. Οἱ μὲν τῶν Ἰουδαίων πατέρες ἀπέκτειναν κατὰ καιροὺς τοὺς ἁγίους προφήτας, τὸν θεῖον αὐτοῖς διαπορθμεύοντας λόγον· οἵγε μὴν ἐξ αὐτῶν γεγονότες, ὁμολογοῦντες ὅτι οἱ προφῆται γεγόνασι σεπτοὶ καὶ τίμιοι, περιήρμοσαν αὐτοῖς τοὺς στεφάνους, ἤτοι τὰ μνημεῖα, τιμὴν ἀπονείμαντες τὴν τοῖς ἁγίοις πρεπωδεστάτην, αὐτοὶ δὲ προφήτας εἶναι πιστεύσαντες καὶ ἄνδρας ἁγίους, κριταὶ γεγόνασι τῶν ἀποκτεινάντων αὐτούς. Δι' ὧν γὰρ τιμᾷν ἐγνώκασι τοὺς ἀνῃρημένους, διὰ τούτων αὐτῶν κατηγοροῦσιν ὡς ἠσεβηκότων. Ἀλλ' οἱ τῶν ἰδίων πατέρων ἐπὶ ταῖς οὕτω δειναῖς μιαιφονίαις καταψηφισάμενοι, τοῖς ἴσοις ἔμελλον ἁλῶναι κακοῖς, μᾶλλον δὲ τοῖς ἔτι χείροσιν. Ἀπέκτειναν μὲν γὰρ τὸν τῆς ζωῆς ἀρχηγόν. Προστεθείκασι δὲ ταῖς κατ' αὐτοῦ δυσσεβείαις, μιαφονίας ἑτέρας κατὰ τῶν θεσπεσίων αὐτοῦ μαθητῶν· ἕως μὲν γάρ τις τὰς ἑτέρων ἀδικίας ἐξετάζῃ φυσικῷ λογισμῷ κρίνων, ὁρᾷ τὸ φαῦλον καὶ μέμφεται· αὐτὸς δὲ εἰς τὰ ἴσα πάθη προαγόμενος, οἱονεὶ τυφλὸς ἐπὶ ταῦτα φέρεται.

XXIII, 37. *Quemadmodum gallina congregat pullos suos sub alas.*

Ὃν τρόπον ἐπισυνάγει ὄρνις τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας.

Hoc dicens characterem divinitatis in se ostendit, quamvis in forma humana sit. De Deo enim dixit [39'] Moyses : « Expandens alas suas assumpsit eos; » et David [39''] : « Filii hominum in tegmine alarum tuarum sperabunt. »

Εἰπὼν (2) τοῦτο δείκνυσιν ἑαυτοῦ τὸ θεοπρεπὲς, καὶ ἐν ἀνθρωπίνῃ μορφῇ ὤν. Καὶ γὰρ περὶ τοῦ Θεοῦ εἶπεν Μωϋσῆς· « Διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτούς· » καὶ πάλιν Δαβίδ· « Οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσιν. »

XXIV, 5. *Multi enim venient in nomine meo dicentes, Ego sum Christus, et multos seducent.*

Πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες· Ἐγώ εἰμι ὁ Χριστὸς, καὶ πολλοὺς πλανήσουσιν.

Scopo interrogationis præcedentium Dominus in-

Ἕπεται τῷ σκοπῷ τῶν προσαγόντων τὴν πίστιν

[39] Mich. VI, 8. [39'] Deut. XXXII, 11. [39''] Psal. XXXV, 8.

(1) Hic incipit fragmentum apud Cramerum p. 191.

(2) *Εἰπὼν — ἐλπιοῦσιν.* Cramer. p. 194.

Digitized by Google

ὁ Κύριος, καὶ περὶ συντελείας τέως φησὶ τοῦ παρ- A sistit, ac de consummatione adhuc agit præsentis
όντος αἰῶνος. Πρὶν γὰρ τὴν ἐξ οὐρανῶν γενέσθαι αὐ- sæculi. Priusquam enim descensus illius fiat, præ-
τοῦ κάθοδον, πρόδρομοί τινες ἀναφανοῦνται, ψευδό- cursores quidam annuntiantur pseudochristi, ac
χριστοι καὶ ψευδοπροφῆται, τὸ αὐτοῦ πρόσωπον pseudoprophetæ : illius personam sibi affingentes,
ἑαυτοῖς περιπλάττοντες. Ἀλλὰ μὴ ἀκολουθήσητε, sed ne sequamini, inquit, eos.
φησὶν, αὐτοῖς.

Προσεύχεσθε δὲ, ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν **81** XXIV, 20. *Orate autem ut non fiat fuga vestra*
χειμῶνος, μηδὲ ἐν Σαββάτῳ. *in hieme, vel Sabbato.*

Τοῦτο αἰνίττεται ὁ Χριστός· εὔχεσθαι ἡμᾶς μὴ γε- Hoc significat Christus his verbis : orandum no-
νέσθαι ἐν ἐκδημίᾳ τοῦ σώματος, μήτε ἐν ἀργίᾳ ὄντας bis esse, ne discessus noster e corpore contingat eo
τῶν τῆς ἀρετῆς ἔργων, ὃ ὑποσημαίνει τὸ Σάββα- tempore quo cessatio apud nos erit operum virtutis.
τον· μήτε ἐνοχλουμένους ἐν ταῖς βιωτικαῖς τύρβαις Hanc enim cessationem indicat Sabbatum. Neque
τε καὶ ταραχαῖς· ὅπερ δηλοῖ ὁ χειμών. rursus tunc nos opprimat mors cum sæcularibus
turbis et perturbationibus jactabimur, quas hiems
designat.

Ἴσως καὶ αἴνιγμα ἔχει ὁ λόγος, ὥστε εὔχεσθαι B **82** Fortasse etiam ænigma habet hic sermo, ut
ἡμᾶς μὴ ἐκδημῆσαι ἀπὸ τοῦ σώματος, ἐν ἀργίᾳ oremus e corpore non excedere a bono opere feriati,
ὄντας ἔργου ἀγαθοῦ, ὃ ὑποσημαίνει τὸ Σάββατον· quod Sabbatum indicat, neque in sterilitate, quod
μήτε ἐν ἀκαρπίᾳ, ὃ δηλοῖ χειμών. Σημειωτέον γὰρ hiems. Notandum est enim hiemem malorum Deum
ὅτι χειμῶνα κακῶν ὁ Θεὸς οὐκ ἐποίησεν. Ἐν χει- non fecisse. In hieme autem sumus, cum passiones
μῶνι δέ ἐσμεν, ὅταν τὰ πάθη τῆς σαρκὸς δυναστεύῃ carnis dominantur in nobis.
ἐν ἡμῖν.

Εὐθέως δὲ μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκεί- XXIV, 29. *Statim autem post tribulationem dierum*
νων ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ *illorum, sol obscurabitur, et luna non dabit lumen*
δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀστέρες πεσοῦν- *suum, et stellæ cadent de cœlo, et virtutes cœlorum*
ται ἀπὸ τοῦ οὐρανοῦ, καὶ αἱ δυνάμεις τῶν οὐρα- *commovebuntur.*
νῶν σαλευθήσονται.

Πῶς οὐ φρίξουσιν ἀναστοιχειουμένων οὐρανοῦ καὶ Quomodo non exhorrescent renovatis ad Dei be-
γῆς πρὸς τὸ δοκοῦν τῷ Θεῷ ; Ἀκριβὲς γάρ τι λέγειν neplacitum cœli terræque elementis? Exactum enim
ἐν τοῖς τοιούτοις οὐκ ἔνι. Ὁ μὲν ἥλιος καὶ ἡ σελήνη aliquid de hisce dicere non possumus. Sol quidem
ἀμαυρωθήσονται· τὰ δὲ ἄστρα ὡς ἄνθη πεσεῖται, C et luna obscurabuntur ; stellæ autem tanquam flores
τοῦ δημιουργήσαντος αὐτὰ πάλιν μεταστοιχειοῦντος, decident, Creatore eas prout voluerit, immutante :
καθὼς θέλει· θορυβηθήσονται καὶ αὐτὰ τὰ στοιχεῖα. turbabuntur etiam hæc ipsa elementa. Hominum
Ἀνακαινιζομένης γὰρ τῆς ἀνθρωπότητος, ἀνακεφα- enim genere innovato, summatim recensetur, simul-
λαιοῦται καὶ συνανακτίζεται καὶ ἡ διὰ τὸν ἄνθρωπον que restauratur etiam propter hominem condita
δημιουργηθεῖσα κτίσις. creatura.

Περὶ δὲ τῆς ἡμέρας ἐκείνης ἢ ὥρας οὐδεὶς XXIV, 36. *De die autem illa et hora nemo scit.*
οἶδεν.

Ἐπειδὴ τὰ ὑπὲρ ἑαυτοὺς ἤθελον μανθάνειν οἱ Quoniam quæ supra ipsos erant audire discipuli
μαθηταὶ, ἀφορμὴν εὑρίσκει τοῦ κωλύειν αὐτοὺς τῶν volebant, idoneam rationem invenit coercendæ
τοιούτων, τὸ μὴ εἰδέναι, καθὸ ἄνθρωπος. Καὶ φησιν, ipsorum curiositatis, dicens se nescire, quatenus
μηδὲ τοὺς κατ' οὐρανὸν ἁγίους ἀγγέλους δύνασθαι homo erat videlicet. Quin addit ne ipsos quidem
ταῦτα εἰδέναι. qui in cœlis degunt sanctos angelos posse id scire.

Κυρίλλου ἐν Ὁμιλίᾳ ἐπιγεγραμμένῃ εἰς τὸ, « Εὐ- *Cyrilli ex Homilia in hæc verba : « Statim autem post*
θέως δὲ μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων D *tribulationem dierum illorum sol obscurabitur, et*
ὁ ἥλιος σκοτισθήσεται, καὶ σελήνη οὐ δώσει *luna non dabit lumen suum, et stellæ cadent de*
τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀστέρες πεσοῦνται ἐκ *cœlo. De die autem illa et hora nemo scit. »*
τοῦ οὐρανοῦ. Περὶ δὲ τῆς ἡμέρας ἐκείνης ἢ τῆς
ὥρας οὐδεὶς οἶδεν (1). »

Ἀλλ' ὅταν καὶ τοῦτο λέγῃ, οὐ πάντως ἑαυτὸν ση- Verumtamen **83** cum hoc dicit, haud omnino se-
μαίνει. Οὔτε γὰρ προσέθηκεν ἀκριβῶς, Οὐδὲ ὁ Υἱὸς ipsum denotat. Non enim diserte addidit, neque Fi-
τοῦ Θεοῦ, ἀλλ' ἀπολελυμένως, « Οὐδὲ ὁ Υἱὸς, » lius Dei, sed generatim « neque filius, » dixit. Nempe
φησίν· ἵνα τοιοῦτόν τι νοῇς· Ἐσπούδαζον κατὰ ἀκρι- ut hujusmodi aliquid intelligas : cupiebant nimirum
βειαν πάντα μανθάνειν οἱ μαθηταὶ, καὶ ἐπεχείρουν, discipuli cuncta accurate rescire ; nitebantur, ut ita
ἵνα οὕτως εἴπω, καὶ αὐτὰ περιεργάζεσθαι τὰ βάθη dicam, profunda quoque Domini arcana scrutari.
τοῦ Κυρίου. Ἀλλὰ ἦν τὸ πρᾶγμα λίαν ὑπὲρ αὐτούς· Verum ea res ipsorum modulum valde excedebat.
ἵνα τοίνυν μὴ ἀπαγορεύσας τὴν ἐξήγησιν ὡς ἠβού- Ne igitur rei explanationem denegando, quam illi

(1) Exstat inter fragmenta Cyrilli in Matthæum quæ ex Anastasio Vaticano edidit Mai in *Bibliotheca*, jam citato tomo II, p. 481.

Digitized by Google

cognoscere avebant, charos suos videretur contristare, obscure dicit : « De die autem illa et hora nemo scit, neque angeli, neque Filius, nisi solus Pater. » Ut verba sic intelligas : Etiamsi homo ad adoptionem vocatus est, filiusque novus declaratus, haud idcirco quæ supra naturam sunt inquirat, neque se dignum ea cognoscere putet quæ ne angelis quidem revelavit Pater. Jam si angelus nescit, ne homo quidem sciet, etiamsi ad adoptionem vocatus sit.

84 Mos erat Christo Servatori hujusmodi quid agere maxime in sanctis suis discipulis, si interrogarent aliquid eorum, quæ speciem habent discendi cupiditatis, altiori tamen scrutatione carent, explicationem indulgere et exacte etiam conari vel maxime minuta exponere ; sin autem aliquid ex superioribus supervacanee discere cupiant quod modum illorum excedat, acquiescere jubet, persuadetque curare potius ea quæ utiliora ipsis sunt. Cum itaque quæ supra se erant discere volebant discipuli, utiliter dissimulat se tanquam hominem scire, ac ne ipsos quidem sanctos angelos in cœlis scire ait, ne contristentur, tanquam supra modum diffidentes. Ac vide quam accommodatis rationibus suadeat eis ut ab ista inquisitione quiescant, verecundiamque iis faciat, quasi scire affectent id quod ne angelis quidem revelavit Pater, nec ipsi Filio notum fecerit.

Cyrilli ex Commentario in Matthæum.

Ignorasse ait, atqui non ignoravit Deus. Sed et ipse, quanquam esset Deus Verbum, tamen factus est et erat homo, qui quidem ad suam naturam quod attinet et humanitatis mensuram, res futuras ignorat, sed ex Dei revelatione sæpe cognoscit. Neque vero mireris, si ignorantiæ humilitatem admittit. Nam si herus cum sit propter hominem servus appellatur ; et cum sit gloriæ Dominus, **85** gloriam ceu non haberet a Patre petit ; præterea si cum ipse vere sit vita et omnia vivificans, tamen potentia Spiritus resurrexisse dicitur ; si denique cum sit Patri coæternus, nihilominus quasi primo ad exsistendum vocaretur, quo tempore factus est homo, audis dicentem Patrem : « Filius meus es tu, ego hodie genui te [40], » etiamsi vocabulum *hodie* præsens tempus significat ; cur mirum sit, si quod reapse homini naturaliter inest, nempe ut aliquam exsistentem rem nesciat, hanc etiam cum cæteris proprietatibus sibi sumere dignatus fuerit ? Certe si in harum una scandalizemur, cæteræ quoque pari modo excident. Quid inde ? Destruetur deinceps incarnationis ratio, et mysterium quo salvi sumus evertetur. Etenim nos facti sumus ei similes,

[40] Psal. II, 7.

λοντο μαθεῖν, δόξῃ πως λυπεῖν τοὺς γνησιεύοντας, ἐπεσκιασμένως φησί, « Περὶ δὲ τῆς ἡμέρας ἐκείνης ἢ τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι, οὐδὲ ὁ Υἱὸς, εἰ μὴ ὁ Πατήρ. » Ἵνα νοήσῃς οὕτως· Εἰ καὶ κέκληται πρὸς υἱοθεσίαν ὁ ἄνθρωπος καὶ υἱὸς ἀνεδείχθη νέος, ἀλλὰ μὴ ζητείτω τὰ ὑπὲρ τὴν φύσιν, μηδὲ ἀξιούτω μαθεῖν ἅπερ μηδὲ τοῖς ἀγγέλοις ἀπεκάλυψεν ὁ Πατήρ. Εἰ δὲ ἄγγελος οὐκ οἶδεν, οὐδὲ ἄνθρωπος εἴσεται, κἂν εἰ κέκληται πρὸς υἱοθεσίαν.

Ἔθος ἦν τῷ Σωτῆρι Χριστῷ τοιοῦτόν τι δρᾷν ἐπὶ τοῖς ἁγίοις μάλιστα μαθηταῖς, εἰ διαπυνθάνοιντό τι τῶν ὅσα ἦν φιλομαθείας μὲν ἔχοντα δόξαν, ὑψηλοτέρας γε μὴν ἐρεύνης ἀπηλλαγμένα, χαρίζεσθαι τὴν ἀφήγησιν, καὶ ἐξακριβοῦν ὅτι μάλιστα πειρᾶσθαι λεπτῶς· εἰ δὲ δή τι βούλοιντο τῶν ὑπείκοντα μέτρου τοῦ κατὰ σφᾶς αὐτοὺς περιττῶς ἀναμαθεῖν περιστέλλειν ἡσυχῇ, καὶ μεταπεῖθειν εὖ μάλα πολυπραγμονεῖν ἐλέσθαι τὰ πρεπωδέστερα. Ἐπειδὴ οὖν τὰ ὑπὲρ αὐτοὺς ἤθελον μανθάνειν οἱ μαθηταὶ, σκήπτεται χρησίμως τὸ μὴ εἰδέναι καθὸ ἄνθρωπος, καί φησι μηδὲ αὐτοὺς εἰδέναι τοὺς κατὰ τὸν οὐρανὸν ἁγίους ἀγγέλους, ἵνα μὴ λυπῶνται ὡς μὴ θαρρήσαντες τὸ μέτριον. Καὶ ὅρα πῶς ἡρεμεῖν ἀναπείθει λογισμοὺς οἰκείους, καὶ ἐκδυσωπεῖ, ὅτι μηδὲ ἀγγέλοις ἀπεκάλυψεν ὁ Πατὴρ, μηδὲ αὐτῷ τῷ Υἱῷ καθίστατο γνώριμον.

Κυρίλλου ἐκ τοῦ εἰς τὸ κατὰ Ματθαῖον ὑπομνήματος.

Ἠγνοηκέναι (1) δέ φησιν· οὐκ ἠγνόησε Θεός. Ἀλλ' εἰ καὶ αὐτὸς καίτοι Θεὸς ὢν Λόγος, γέγονέ τε καὶ κεχρημάτικεν ἄνθρωπος, ὃς ἀγνοεῖ τὰ ἐσόμενα κατά γε τὴν ἰδίαν φύσιν καὶ τὸ τῆς ἀνθρωπότητος μέτρον, δέχεται δὲ πολλάκις ἐξ ἀποκαλύψεως Θεοῦ. Καὶ μή τοι θαυμάσῃς εἰ τὸ τῆς ἀγνοίας καταδέχεται μικροπρεπές (2)· εἰ γὰρ Δεσπότης ὑπάρχων, κέκληται δοῦλος διὰ τὸν ἄνθρωπον, καὶ Κύριος ὢν τῆς δόξης, δόξαν ὡς οὐκ ἔχων αἰτεῖ παρὰ Πατρὸς, καὶ αὐτὸς ὢν κατὰ ἀλήθειαν ἡ ζωὴ καὶ πάντα ζωογονῶν, ἐν δυνάμει τοῦ Πνεύματος ἐγηγέρθαι λέγεται, καὶ συναΐδιος ὢν τῷ Πατρὶ, ὡς εἰς ἀρχὰς τοῦ εἶναι κεκλημένος, ὅτε καὶ καθ' ἡμᾶς γέγονεν ἄνθρωπος, ἅπαξ λέγοντος αὐτοῦ· « Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε, » καίτοι τοῦ *σήμερον* τὸν ἐνεστηκότα καιρὸν σημαίνοντος (3), τί τὸ παράδοξον, εἰ καὶ ὅπερ πρόσεστι κατὰ φύσιν, τουτέστι τὸ ἀγνοῆσαί τι τῶν ὄντων, τυχὸν μετὰ τῶν ἄλλων αὐτῆς ἰδιωμάτων οἰκειώσασθαι κατηξίωσεν ; Εἰ γὰρ ἐφ' ἑνὶ δή τούτων σκανδαλιζόμεθα, λελύσθω μετὰ τούτου καὶ τὰ ἕτερα· καὶ τί τὸ ἐντεῦθεν ; Οἰχήσεται λοιπὸν τῆς μετὰ σαρκὸς οἰκονομίας ὁ λόγος, καὶ ἀνατετράφθω τὸ μυστήριον δι' οὗ καὶ σεσώσμεθα. Γεγόναμεν γὰρ κατ'

(1) *Ἠγνοηκέναι — καὶ φύσει Θεός.* Mai *B. N.* II, 482.

(2) Lege apud nos Cyrillum in commentario ad Lucam II, 42 (*infra col.* 443). Tum de scientia Christi adi theologos, et Petavium in primis.

(3) Confer fragmenta a nobis edita Cyrilli ex codice Mediolanensi in ep. ad Hebr. (*Opp. Cyrilli edit. novæ tom. VII*).

Digitized by Google

αὐτὸν ἡμεῖς, ἐπειδὴ γέγονε καθ' ἡμᾶς ὁ αὐτός. Ὀρθῶς ταιγαροῦν νοοῦντες, εἰδέναι γὰρ φήσομεν τὸν Υἱὸν καθ' ὃ καὶ νοεῖται καὶ ἔστι Θεός· ὅσον δὲ ἦκεν εἰς ἀνθρώπου φύσιν, ἐπειδὴ καὶ γέγονεν ἄνθρωπος, ψευδομυθήσει οὐδαμῶς ὅταν λέγῃ καὶ μὴ εἰδέναι· καὶ οὐχὶ τοῖς τῆς θεότητος ἀξιώμασι τὸ χρῆμα προσάψομεν, ἀλλὰ τῇ τοῦ δούλου μορφῇ, καὶ τῇ καθ' ἡμᾶς πτωχείᾳ. Περιτίθησι τῷ Θεῷ Λόγῳ τὰ ἀνθρώπινα· γέγονε γὰρ οὐκ ἐν ἀνθρώπῳ τινὶ, κατὰ τὴν τινων ἀδουλίαν, ἀλλ' αὐτὸς κατ' ἀλήθειαν ἄνθρωπος, μετὰ τοῦ εἶναι καὶ φύσει Θεός.

Τότε δύο ἔσονται ἐν τῷ ἀγρῷ· ὁ εἷς παραλαμβάνεται, καὶ ὁ εἷς ἀφίεται.

Ὅρα ὅτι εἰς δύο τάγματα διαιρεῖ ὁ λόγος τοὺς ἀνθρώπους, εἴς τε τῶν σωζομένων καὶ τῶν ἀπολλυμένων. Καὶ τοὺς μὲν σωζομένους λέγει παραλαμβάνεσθαι, τοὺς δὲ ἀπολλυμένους ἀφίεσθαι, ἤγουν ἀποδοκιμάζεσθαι. Ἀγρὸν δὲ νοητέον ὧδε τὸν κόσμον· ἔνθα ὁ μὲν εἰς τὸ πνεῦμα σπείρων θερίζει ζωὴν αἰώνιον· ὁ δὲ εἰς τὴν σάρκα, φθοράν. Ταῖς δὲ ἀληθούσαις παρεικάζει τοὺς διδασκάλους, οἵτινες τρόπον τινὰ ἀπαλεπτύνοντες τὰς γραφικὰς ἐννοίας, εὐπαράδεκτα καὶ εὐνόητα τοῖς ἀνθρώποις τὰ θεῖα λόγια προστιθέασι. Καὶ γὰρ νόμος κελεύων μὴ λαμβάνεσθαι εἰς ἐνέχυρον μύλον, ἢ ἐπιμύλιον, ἵνα μὴ τὰ τῆς τροφῆς ἐργαλεῖα λαβών τις ἐμποδίσῃ τοῖς τρεφομένοις δι' αὐτῶν, αἰνιγματωδῶς τοὺς διδασκάλους ὑποσημαίνει.

Καὶ διχοτομήσει αὐτόν.

Τί δέ ἐστι τὸ διχοτομηθῆναι, ἐξετάσωμεν. Ὅταν γέγονεν ἐν ἀρχαῖς ὁ Ἀδὰμ, τὸ ἐντελέστατον κάλλος ἀποδιδοὺς τῇ φύσει ὁ Θεὸς, μέτοχον αὐτὸν ἀποτελεῖ τοῦ ἰδίου πνεύματος. « Ἐνεφύσησε γὰρ εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς. » Τὸ γὰρ ἀληθῶς ζωοποιοῦν τὸ πνεῦμά ἐστι τῆς ζωῆς, τουτέστι Χριστοῦ. Ἐπειδὴ δὲ παρώλισθεν ἐξ ἀπάτης εἰς ἁμαρτίαν, ἀπενοσφίσθη τὸ πνεῦμα· εὐδοκήσαντος δὲ τοῦ Θεοῦ καὶ Πατρὸς ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ, καὶ εἰς τὸ ἀρχαῖον ἀνακομίσαι κάλλος τὴν τῶν ἀνθρώπων φύσιν· ἀπελάβομεν διὰ τῆς χάριτος, ὅπερ ἡ τῆς ἁμαρτίας παρεισδρομὴ ἡμᾶς ἐζημίωσεν· ἐνεφύσησε γὰρ ὁ Χριστὸς ἡμῖν μετὰ τὴν ἀνάστασιν, καὶ εἰς τὸ ἀρχαῖον ἡμᾶς ἀνακαινίζων κάλλος, « Λάβετε, φησὶ, Πνεῦμα ἅγιον. » Ἑνοῦται τοιγαροῦν ἡμῖν τὸ Πνεῦμα· ὁ κολλώμενος γὰρ αὐτῷ ἓν πνεῦμά ἐστιν. Οὐκοῦν ἐν τοῖς κατ' εὐσέβειαν σπουδάσμασι πατειλη[φ]θέντες, ἀπὸ τοῦ τέλους τὸ πλῆρες ἀπολαμβάνομεν, ὡς ἐν ἀῤῥαβῶνος τάξει τὸ Πνεῦμα νῦν ἔχοντες. Κατηγορούμενοι δὲ ἐν ἁμαρτίαις, καὶ αὐτὸν ζημιούμεθα τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος. Ἀποτέμνεται γὰρ, καὶ ἀπανίσταται ὥσπερ κατὰ τὸν τῆς κρίσεως καιρόν· καὶ ταύτην εἶναί φαμεν, ἣν ἐνθάδε φησὶ διχοτόμησιν· οὐ γὰρ οἷόν τε σὺν τῷ Πνεύματι δοθῆναί τινα εἰς κόλασιν.

Χρονίζοντος δὲ τοῦ νυμφίου, ἐνύσταξαν πᾶσαι, καὶ ἐκάθευδον.

Ὑπνῳ παρεικάζει καὶ νυσταγμὸν ἀποκαλεῖ τὸν

A ex quo ipse nobis similis factus est. Recte igitur cogitantes, scire dicemus Filium quatenus Deus esse intelligitur et est : quatenus autem ad humanam naturam accessit, seu homo factus est, haud falso loqui videbitur cum ait se nescire. Hanc vero rem haud divinitatis prærogativis accensebimus, sed servi formæ ac nostræ paupertati. Nunc Deo Verbo humana attribuit : quod quidem non in homine aliquo, secundum nonnullorum stultam sententiam, versatum est, sed verus idem homo extitit, dum simul et suapte natura esset Deus.

XXIV, 40. *Tunc duo erunt in agro : unus assumetur et unus relinquetur.*

Attende quod in duos ordines homines hic sermo
B distinguat, in eos qui servandi sunt, et in eos qui perituri. Ac eos quidem qui servandi sunt, assumendos dicit ; eos vero qui perituri, relinquendos, id est reprobandos. Ager autem intelligendus est hic mundus, 86 ubi alius quidem qui in spiritu seminat, metit vitam æternam : alius vero qui in carne, corruptionem. Molentibus autem magistros assimilat, qui quodam modo exercentes scripturales intelligentias, acceptu facilia ac intelligibilia proponunt hominibus divina præcepta. Lex enim jubens non accipere molam in pignus, aut aliud ad molam pertinens, ne quis alimenti instrumenta auferens, offendat eos qui his nutriuntur, ænigmatice magistros insinuat.

XXIV, 51. *Et dividet eum.*

C Quidnam autem illud dividi sit, inquiramus. Cum principio crearetur Adam, perfectissimam ei naturæ pulchritudinem Deus tribuit, participem illum sui spiritus reddens. « Inspiravit enim in faciem ejus spiraculum vitæ [61]. » Vere enim vivificus spiritus vitæ est, id est, Christi. Cum autem exorbitavit per deceptionem in peccatum, spiritus defraudatus est ; beneplacitum autem Dei ac Patris fuit, summatim omnia recenseri in Christo, et ad antiquam pulchritudinem naturam hominum reduci. Per gratiam itaque suscepimus id, quo peccati 87 incursus nos spoliavit ; insufflavit enim Christus nobis post resurrectionem, et ad antiquam pulchritudinem renovans nos : « Accipite, inquit, Spiritum sanctum [62] ; » unitur itaque nobis
D spiritus : qui enim illi conjunctus est, unus est spiritus. Itaque in pietatis studiis detenti demum plenitudinem accipimus, tanquam loco arrhæ Spiritum nunc habentes. Accusati autem in peccato etiam ipsam Spiritus arrham perdimus. Exscinditur enim, et ut tempore judicii exterminatur a nobis, atque hanc esse dicimus, de qua hic agit, divisionem ; non enim cum Spiritu tradi possumus in supplicium.

XXV, 5. *Moram autem faciente sponso, dormitaverunt omnes, et dormierunt.*

Somno comparat et dormitationem vocat corpo-

[61] Gen. II, 7, [62] Joan. XX, 22.

Digitized by Google

rem mortem : quæ ex necessitate prudentibus iuxta stultisque contingit. Ac malorum quidem nihil secum ferentium incipit dormitare anima, et quasi exstingui, atque in amentiam abire ; tuncque existimare sese suppleturam propriam olei defectum velut mutuo sumenda virtute aliorum. Quamobrem hi quidem reprobantur, renuentibus mutuum dare oleum prudentibus, et dicentibus : « Ne forte non sufficiat nobis et vobis. » Vix enim ad salutem animæ sua unicuique sufficiet virtus, propterea quod vel ii etiam qui valde sancti sunt, sæpius offendant. Porro qui vendunt oleum, **88** sunt discere promptum quomodo sit virtus exercenda.

Cum Scripturæ mos sit vitam totam in quinque tempora dividere, unicuique tempori sanctas stultasque animas assignat, in quo omnes exierunt cum lampadibus : ut ostendat omnium animas a Deo fuisse illuminatas, naturali scriptaque lege. Quidam tamen Dei lucem, modeste vivendo non admiserunt ; quidam vero bonis operibus illuminativam Dei gratiam sibi concessam cumulate resplendescere faciunt, ac sese etiam juvant, aliosque ad Dei gloriam. Oleum autem intelligendum est, bona amoris operatio, qua non existente, ad impuritatem transit lumen Dei, quod in nobis est. Somno autem seu dormitationi assimilat carnis mortem quæ ex necessitate omnibus incumbit, **89** quos resuscitat angelorum tuba, a morte exinanita, omnesque ad causam dicendam præparabuntur : hoc enim est ornare lampades, unoquoque vitam suam recensente. Improborum autem hominum gemere incipit anima, et quodammodo ad insipientiam vergere, adeo ut putent sese per aliorum virtutem misericordiam consequi posse, ideoque reprobantur ; vix enim uniuscujusque virtus sufficiet ad salutem, eo quod in multis cadant nimisque sint remissi. Vendentes autem sunt rectorum dogmatum magistri, per quos aliquis discit virtutem. Emere autem, sive doceri tempus non permisit, eorum quæ in vita acta sunt faciens inquisitionem, non dans principium operationis. Operationis enim præsens tempus est, futurum autem remunerationis.

XXV, 14. *Sicut enim homo peregre proficiscens.*

Homo quidem paterfamilias hujus universi Creator ac Dominus est ; profectio autem illius seu ascensus in cœlum, seu securitas ac invisibilitas divinæ naturæ est ; substantiæ autem illius sunt unaquaque in regione in eum credentes. Servos autem suos vocat, quos diversis temporibus Christus coronat sacerdotii decore, quibus etiam subditos suos tradit, **90** unicuique dans gratiam spiritualem, pro uniuscujusque mente ac capacitate. Hanc enim esse dicimus talentorum distributionem non æquali mensura servis omnibus distributam, ob animi varietatem ; statim autem abeuntes operati sunt, inquit, illo *statim* nobis hic insinuante, sine ulla cunctatione perficienda esse, quæ Dei sunt, veterno siquidem ac pigritiæ dediti in extremis erunt malis. Defodit enim, ait, datum sibi talentum

A τῆς σαρκὸς θάνατον· ὃς ἐξ ἀνάγκης συμβαίνει φρονίμοις τε καὶ ἀσυνέτοις· τῶν γὰρ φαύλων μηδὲν ἐπιφερομένων ἄρχεται νυστάζειν ἡ ψυχὴ, καὶ οἱονεὶ κατασβέννυσθαι, καὶ εἰς παραφροσύνην χωρεῖν, καὶ οἰηθῆναι ἔλαιον λαβεῖν διὰ τῆς ἑτέρων ἀρετῆς. Διὸ ἀποδοκιμάζονται, λεγόντων ἐκείνων· « Μήποτε ἀρκέσῃ ἡμῖν τε καὶ ὑμῖν. » Μόλις γὰρ ἀρκέσει πρὸς σωτηρίαν ψυχῆς ἡ ἑκάστου ἀρετή· διὰ τὸ πολλὰ πταίειν καὶ τοὺς ἄγαν ἐπιεικεῖς. Οἱ δὲ πωλοῦντες τὸ ἔλαιον εἰσὶ προφῆται, ἀπόστολοι, εὐαγγελισταί· ἐξ ὧν τις μανθάνει τὴν ἀρετὴν ἐργάζεσθαι.

prophetæ, apostoli, evangelistæ, ex quibus cuilibet

Ἐπειδὴ τὸν ἅπαντα βίον ἔθος τῇ Γραφῇ εἰς πέντε B διαιρεῖν, ἑκάστῳ καιρῷ ἀπονέμει καὶ ὁσίας, καὶ μωρὰς ψυχάς· ἐν ᾧ δὲ πᾶσαι ἐξῆλθον σὺν ταῖς λαμπάσι, δείκνυσιν ὅτι πᾶσαι αἱ ψυχαὶ κατεφωτίσθησαν ὑπὸ Θεοῦ τῷ φυσικῷ καὶ τῷ γραπτῷ νόμῳ, πλὴν τινες τὸν ἐκ Θεοῦ φωτισμὸν οὐκ ἠνέσχοντο ἐπιεικῶς ζῆσαι· τινὲς δὲ δι' ἔργων ἀγαθῶν ἐπιπλέον ποιοῦσιν ἐκλάμπειν τὴν ἐκ Θεοῦ δοθεῖσαν αὐτοῖς φωτιστικὴν χάριν, καὶ ὠφελοῦσι καὶ ἑαυτοὺς καὶ ἑτέρους εἰς δόξαν Θεοῦ. Ἔλαιον δὲ νοητέον, τὴν ἀγαθὴν φιλεργίαν, ἧς μὴ οὔσης, ἐπὶ τὸ ἀκαλλέστερον μεταβαίνει ὁ ἐν ἡμῖν θεῖος φωτισμός. Ὕπνῳ δὲ ἢ νυσταγμῷ παρεικάζει τὸν τῆς σαρκὸς θάνατον, ὃς ἐξ ἀνάγκης πᾶσιν ἔπεισιν, οὓς ἀνίστησιν ἡ τῶν ἀγγέλων σάλπιγξ, καταργηθέντος τοῦ θανάτου, καὶ πάντες εὐτρεπίζονται εἰς ἀπολογίαν· τοῦτο γάρ ἐστι τὸ διακοσμῆσαι τὰς C λαμπάδας, ἑκάστου τὸν ἴδιον ἀναλογιζομένου βίον. Τῶν δὲ φαύλων ἄρχεται στυγνάζειν ἡ ψυχὴ, καὶ οἱονεὶ εἰς παραφροσύνην χωρεῖν, ὥστε οἰηθῆναι αὐτοὺς διὰ τῆς ἑτέρων ἀρετῆς ἐλεηθῆναι· διὸ ἀποδοκιμάζονται· μόλις γὰρ ἀρκέσει πρὸς σωτηρίαν ἡ ἑκάστου ἀρετὴ, διὰ τὸ πολλὰ πταίειν καὶ τοὺς ἄγαν ἐπιεικεῖς. Οἱ δὲ πωλοῦντες εἰσὶν οἱ τῶν ὀρθῶν δογμάτων διδάσκαλοι, δι' ὧν τις μανθάνει τὴν ἀρετήν. Ὠνήσασθαι δὲ, ἤτοι διδαχθῆναι, ὁ καιρὸς οὐκ εἴασε, τῶν βεβιωμένων ποιούμενος ἐξέτασιν, οὐκ ἀρχὴν ἐργασίας διδούς. Ἐργασίας ὁ παρὼν καιρὸς, ὁ δὲ μέλλων ἀνταποδόσεως.

Ὥσπερ γὰρ ἄνθρωπος ἀποδημῶν.

Ἄνθρωπος μὲν οἰκοδεσπότης ὁ τοῦδε τοῦ παντὸς D Δημιουργός τε καὶ Κύριος· ἀποδημία δὲ αὐτοῦ, ἤτοι [ἡ]εἰς οὐρανοὺς ἀνάβασις τοῦ Χριστοῦ, ἤγουν τὸ ἀσφαλές τε καὶ ἄπτοντον τῆς θείας φύσεως· ὑπάρχοντα δὲ αὐτοῦ, οἱ ἐν ἑκάστῃ χώρᾳ πιστεύσαντες εἰς αὐτόν. Δούλους δὲ αὐτοῦ καλεῖ οὓς κατὰ καιροὺς ὁ Χριστὸς στεφανοῖ τῷ τῆς ἱερωσύνης αὐχήματι, οἷς καὶ παραδίδωσι τοὺς ὑπ' αὐτὸν γεγονότας, χάρισμα πνευματικὸν ἑκάστῳ διδοὺς, ὡς ἂν ἔχῃ γνώμης, ἢ ἐπιτηδειότητος. Ταύτην γὰρ εἶναί φαμεν τὴν τῶν ταλάντων διανομὴν, οὐκ ἐν ἴσῳ μέτρῳ τοῖς οἰκέταις χορηγουμένην διὰ τὸ τῆς διανοίας ἐξηλλαγμένον. Κύθις δὲ ἀπελθόντες εἰργάσαντο, φησί· τοῦ *εὐθὺς* ἡμῖν ἐνταῦθα σημαίνοντος, ὅτι μελλησμοῦ τινος δίχα πρέποι ἂν ἐργάζεσθαι τὰ Θεοῦ· οἴγε μὴν ὄκνῳ καὶ ἀργίᾳ δεδουλωμένοι ἐν ἐσχάτοις ἔσονται κακοῖς. Κατίχωσε

Digitized by Google

γὰρ, φησὶ, τὸ δοθὲν αὐτῷ τάλαντον ἐν τῇ γῇ τουτ- A in terram, id est otiosam, aliisque inutilem sibi
ἔστιν, ἄπρακτον καὶ ἑτέροις ἀνωφελὲς τὸ δοθὲν datam gratiam conservavit. Auferetur igitur ab eo
αὐτῷ χάρισμα ἐτήρησεν. Ἀφαιρεῖται τοιγαροῦν ἀπ' talentum et dabitur abundanti : horum enim spiri-
αὐτοῦ τὸ τάλαντον, καὶ τῷ πλουτοῦντι δοθήσεται· tus non resuscitabitur, ac divinorum donorum elar-
οὐκ ἀπαναστήσεται γὰρ τῶν τοιούτων τὸ πνεῦμα, gitio : opus vero amantibus copiosior quædam erit
καὶ τῶν θείων χαρισμάτων ἡ δόσις· τοῖς δὲ φιλερ- donorum retributio.
γήσασι πλουσιωτέρα τις ἔσται χαρισμάτων ἐπι-
δοσις.

Ὅταν δὲ ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ XXV, 31. *Cum autem venerit Filius hominis in*
δόξῃ αὐτοῦ. *majestate sua.*

Πῶς δὲ (1) ἐλεύσεται ; πῶς ἥξει; Ὡς αὐτὸς ἐδή- Quomodo veniet? qua specie aderit? Nempe quo-
λωσεν ἀλλαχοῦ λέγων· « Καὶ τότε ὄψονται τὸν Υἱὸν modo ipsemet alibi dixit : « Et tunc videbunt Filium
τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλαις, μετὰ δυνάμεως hominis venientem in nubibus, cum virtute et glo-
καὶ δόξης πολλῆς. » Ἐλεύσεται γὰρ οὐκέτι ἐν ὑφέσει ria multa [48]. » Veniet enim nequaquam demissus
οὐδὲ ἐν μικροπρεπείᾳ τῇ καθ' ἡμᾶς, ἀλλ' ἐν δόξῃ καὶ et humilis humano more, sed cum gloria ac virtute
δυνάμει θεότητος· κατ' ἀμφοτέρων δὲ ἀκούσῃ τὸ B deitatis. Porro de utraque qualitate vocabulum
πολλῆς· μετὰ δυνάμεως γὰρ πολλῆς καὶ δόξης πολ- *multa* intelliges : nam et multa cum virtute, et si-
λῆς τὴν δευτέραν αὐτοῦ ποιήσεται θεοφάνειαν, ἐπεὶ mul multa cum gloria secundam faciet theophaniam,
τὴν προτέραν μετὰ ἀσθενείας καὶ ἀτιμίας ἐποιήσατο, quandoquidem primam cum infirmitate et obscuri-
ὅσον τὸ καὶ τοῖς πολλοῖς ὁρώμενον. Διὰ τί δὲ ἐν tate fecit, quantum quidem vulgo visum est. Cur
νεφέλῃ; Ὅτι οὕτως ἀεὶ φαίνεται ὁ Θεός· « Νεφέλη autem in nube? Quia sic apparere solet Deus :
γὰρ καὶ γνόφος κύκλῳ αὐτοῦ. » Καί· « Κύριος κάθ- « Nubes enim et caligo circa eum sunt [49]. » Item :
ηται ἐπὶ νεφέλης κούφης. » Καὶ πάλιν· « Ὁ τιθεὶς « Dominus sedet in levi nube [50]. » Et rursus :
νέφος τὴν ἐπίβασιν αὐτοῦ. » Καί· « Νεφέλη ὑπέλα- « Qui ponit nubem ascensum suum [51]. » Item :
βεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. » Καί· « Ὡς « Nubes eripuit eum ab oculis ipsorum [52]. » Item :
Υἱὸς ἀνθρώπου ἐρχόμενος ἐπὶ τῶν νεφελῶν. » Οὕτω « Sicuti Filius hominis veniens in nubibus [53]. » Sic
γοῦν αὐτὸν καὶ Δανιὴλ θεωρεῖ· οὕτω καὶ τότε ἐλεύ- eum vidit Daniel [54]. Sic et tum veniet haud laten-
σεται οὐ λεληθότως, ἀλλ' ὡς Θεὸς καὶ Κύριος ἐν δόξῃ ter, sed uti Deus et Dominus cum gloria Deo digna,
θεοπρεπεῖ, καὶ πάντα μεταστήσει πρὸς τὸ ἄμεινον. atque omnia in melius reformabit. Reviviscent enim
Ἀναβιώσονται γὰρ οἱ νεκροὶ, καὶ ἀποδύσεται τὴν mortui, exuetque corruptionem terrenum corpus
φθορὰν τὸ ἐκ γῆς τοῦτο εὐάλωτον τοῖς πάθεσι σῶμα, C his passionibus olim obnoxium, induetque immor-
ἐνδύσεται δὲ τὴν ἀφθαρσίαν, Χριστοῦ νέμοντος αὐ- talitatem, Christo ejusdem datore, et eos qui ipsi
τὴν, καὶ συμμόρφους τοῦ σώματος τῆς δόξης αὐτοῦ credunt conformes efficiente corpori gloriæ suæ.
τοὺς εἰς αὐτὸν πιστεύοντας ἀποφαίνοντος. Διὸ καὶ Quare et rem hujusmodi redemptionem nostram
ἀπολύτρωσιν ἡμῶν αὐτὸς τὸ πρᾶγμα καλεῖ, λέγων· appellat dicens : « His autem fieri incipientibus,
« Ἀρχομένων δὲ τούτων γίνεσθαι, ἀνακύψατε καὶ respicite et levate capita **91** vestra, quoniam ap-
ἐπάρατε τὰς κεφαλὰς ὑμῶν, διότι ἐγγίζει ἡ ἀπολύ- propinquat redemptio vestra [55]. »
τρωσις ὑμῶν. »

Ὥσπερ γὰρ, εἰ λέγοι τις περὶ ἀνθρώπου, ὅτι παρὰ Veluti enim si quis dicat de homine, quod a pa-
τοῦ πατρὸς ἔλαβε τὸ λογικὸς εἶναι, ἐκ λογικοῦ σημαί- tre acceperit animal esse rationale, hoc ipso eum-
νει καὶ αὐτὸν λογικὸν γεννηθῆναι· οὕτω καὶ ὁ Μονο- dem significat rationalem genitum a rationali, sic
γενὴς ἐκ Θεοῦ Θεὸς, καὶ ἐκ τοῦ κρίνοντος πᾶσαν τὴν etiam Unigenitus de Deo Deus, ex eo qui universum
γῆν προῆλθε κριτής· καὶ οὐκ ἐπειδὴ πᾶσαν τὴν κρί- judicat mundum judex processit. Nec quia omne
σιν δέδωκεν τῷ Υἱῷ ὁ Πατὴρ, αὐτὸς τῆς δεσποτείας judicium commisit Filio Pater, idcirco dominatu
ἐψίλωται· ἀχώριστος γὰρ ὁ Μονογενὴς τοῦ Θεοῦ, ὡς D minutus est : indivisus enim a Deo Unigenitus est,
τὸ φῶς τοῦ ἡλίου. Ἔστι γὰρ ἐν αὐτῷ φυσικῶς· καὶ sicuti lux a sole. Inest enim ipsi naturaliter; ita
πάντα ὅσα ἔχει ὁ Πατὴρ, τοῦ Υἱοῦ ἐστι, καὶ ἀνάπα- ut omnia quæ Pater habet, Filii sint, et vice versa.
λιν.

Ὁ ἐμβάψας μετ' ἐμοῦ ἐν τῷ τρυβλίῳ τὴν χεῖ- **92** XXVI, 23. *Qui intingit mecum manum in*
ρα, οὗτός με παραδώσει. *paropside, hic me tradet.*

Οὐ δήπου νοήσομεν ἐκ τούτου τῶν μὲν ἄλλων οὐ- Non quidem ex eo intelligimus aliorum neminem
δένα μαθητῶν, μόνον δὲ τὸν Ἰούδαν ἐμβάψαι τὸ ψω- discipulorum, solum autem Judam cum ipso buc-
μίον ἐν τῷ τρυβλίῳ μετ' αὐτοῦ. Οἶμαι δὲ ἔγωγε cellam in paropside infixisse. Arbitror autem ego
τοιαύτην ἔχειν διάνοιαν τὸ εἰρημένον· βούλεται γὰρ talem habere sensum quod dictum est : vult enim
εἰπεῖν, κατά γε τὸ εἰκὸς, ὅτι *προδότης* ἔσται ὁ ἐμβά- dicere, prout verisimile est, proditorem fore, qui

[48] Matth. XXIV, 30. [49] Psal. XCVI, 2. [50] Isa. XIX, 1. [51] Psal. CIII, 3. [52] Act. I, 9. [53] Matth. XXIV, 30. [54] Dan. VII, 13. [55] Luc. XXI, 28.

(1) *Πῶς δὲ — καὶ ἀνάπαλιν.* Mai *B. N.* II, 131.

Digitized by Google

secum intingit manum in catino, id est simul cœnat ac simul comedit, et mensæ salisque communis particeps est. Ita enim eum etiam voce beati David reprehendit, dicens : « Tu, vero homo unanimis, qui mecum dulces capiebas cibos [51]. » Ac rursus : « Qui edebat panes meos, magnificavit super me supplantationem [52]. » Idipsum enimvero clarius Joannes reddit, ait enim Dominum dixisse : « Ille est cui ego intinctum panem porrexero [53]. »

A ψας μετ' ἐμοῦ τὴν χεῖρα ἐν τῷ τρυβλίῳ, τουτέστιν, ὁ συνδειπνητὴς καὶ συνέστιος, καὶ τραπέζης καὶ ἁλῶν κοινωνός τε καὶ μέτοχος. Οὕτω γὰρ αὐτὸν καὶ διὰ φωνῆς τοῦ μακαρίου Δαβὶδ ἠτιᾶτο λέγων· « Σὺ δὲ, ἄνθρωπε ἰσόψυχε, ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκαινάς μοι ἐδέσματα. » Καὶ πάλιν· « Ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν. » Αὐτὸ δὴ τοῦτο σαφέστερον ὁ Ἰωάννης ἐποίησεν· ἔφη γὰρ εἰρηκέναι τὸν Κύριον, ὅτι « Ἐκεῖνός ἐστιν, ᾧ ἐγὼ βάψας δώσω τὸ ψωμίον. »

93 XXVI, 26. *Cœnantibus autem illis accepit Jesus panem, et benedixit ac fregit, deditque discipulis suis, et ait : Accipite, et comedite, hoc est corpus meum.*

Postquam egressus esset Judas, tradit Salvator undecim discipulis salutare mysterium. Cum enim paulo post in propria carne esset resurrecturus ac rediturus ad Patrem, ut ipsius Servatoris præsentiam haberemus (sine præsentia enim Christi fieri non potest ut salvetur homo libereturque a morte et peccato, non coexsistente nobiscum nostra vita), dedit nobis proprium corpus et sanguinem, ut iis corruptionis vis dissolvatur, inhabitet autem animabus nostris per sanctum Spiritum, fiamusque participes sanctitatis, hominesque supercœlestes et spirituales reddamur.

Ἐσθιόντων δὲ αὐτῶν, λαβὼν ὁ Ἰησοῦς τὸν ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς, καὶ εἶπε· Λάβετε, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου.

Μετὰ τὸ ἐξελθεῖν τὸν Ἰούδαν παραδίδωσι τοῖς ἑνδέκα ὁ Σωτὴρ τὸ σωτηριῶδες μυστήριον. Ἐπειδὴ γὰρ μικρὸν ὕστερον ἐμελλεν ἀναστὰς μετὰ τῆς ἰδίας σαρκὸς ἀναφοιτῆσαι πρὸς τὸν Πατέρα, ἵνα τὴν τοῦ σώζοντος παρουσίαν ἔχωμεν (ἄνευ γὰρ τῆς παρουσίας Χριστοῦ ἀδύνατον σωθῆναι ἄνθρωπον, καὶ ἀπαλλαγῆναι θανάτου καὶ ἁμαρτίας, μὴ συνούσης ἡμῶν τῆς ζωῆς), ἔδωκεν ἡμῖν τὸ ἴδιον σῶμά τε καὶ αἷμα, ἵνα δι' αὐτῶν τὸ τῆς φθορᾶς καταλύηται κράτος, ἐνοικίζηται δὲ ταῖς ἡμετέραις ψυχαῖς διὰ τοῦ ἁγίου Πνεύματος, καὶ γενώμεθα ἁγιασμοῦ μέτοχοι, καὶ οὐράνιοι ἄνθρωποι, καὶ πνευματικοὶ χρηματίσωμεν.

B

XXVI, 27. *Et accipiens calicem gratias egit et dedit eis, dicens : Bibite ex hoc omnes.*

Gratias agit Dominus calicem accipiens, id est, orationis forma cum Deo loquitur ac Patre, ipsum quodammodo consortem ac coapprobatorem declarans donandæ nobis vivificæ benedictionis, simul vero etiam typum nobis dans prius gratias agendi, atque ita frangendi ac distribuendi panis. Ideoque in oculis Dei prædicta ponentibus nobis opus est ad benedictionem spiritualem intense nos transformari, ut participes eorum effecti, corporaliter ac spiritualiter sanctificemur. Demonstrative autem dixit : « Hoc est corpus meum, et hic est sanguis meus, » ne figuram esse arbitreris ea quæ videntur, **94** sed arcana ratione aliqua transformari ab omnipotente Deo in corpus et sanguinem Christi vere oblata, quorum participes effecti vivificam et sanctificantem Christi virtutem suscipimus. Oportebat enim eum per Spiritum sanctum in nobis, prout Deum decet, attemperari quodammodo corporibus nostris per sanctam carnem suam et pretiosum sanguinem, quæ utique etiam habuimus ad vivificam benedictionem, tanquam in pane et vino, ne ignavi fiamus carnem illius sanguinemque in ecclesiarum mensis proposita cernentes; accommodans enim sese Deus nostris infirmitatibus, immittit propositis vitæ virtutem, transfertque ea ad vitæ suæ efficaciam, ac ne dubites verum id esse ipso clare pronuntiante : « Hoc est corpus meum; » et : « Hic est sanguis meus; » suscipe autem po-

Καὶ λαβὼν τὸ ποτήριον, καὶ εὐχαριστήσας, ἔδωκεν αὐτοῖς, λέγων· Πίετε ἐξ αὐτοῦ πάντες.

Εὐχαριστεῖ ὁ Κύριος λαβὼν τὸ ποτήριον, τουτέστιν ἐν σχήματι προσευχῆς διαλέγεται τῷ Θεῷ καὶ Πατρὶ, κοινωνὸν ὥσπερ αὐτὸν καὶ συνευδοκητὴν ἀποφαίνων τῆς δοθησομένης ζωοποιοῦ εὐλογίας ἡμῖν· ἅμα δὲ καὶ ἡμῖν τύπον διδοὺς πρῶτον εὐχαριστεῖν, καὶ οὕτω κλᾷν τὸν ἄρτον καὶ διαδιδόναι. Διὸ καὶ ἡμεῖς ἐπ' ὄψεσι Θεοῦ τὰ προειρημένα τιθέντες, δεόμεθα ἐκτενῶς εἰς εὐλογίαν ἡμῖν μεταπλασθῆναι τὴν πνευματικὴν, ἵνα μετασχόντες αὐτῶν ἁγιασθῶμεν σωματικῶς καὶ πνευματικῶς. Δεικτικῶς δὲ εἶπε· « Τοῦτό μού ἐστι τὸ σῶμα· » καὶ, « Τοῦτό μού ἐστι τὸ αἷμα· » ἵνα μὴ νομίσῃς τύπον εἶναι τὰ φαινόμενα, ἀλλὰ διά τινος ἀῤῥήτου τοῦ πάντα ἰσχύοντος Θεοῦ μεταποιεῖσθαι εἰς σῶμα καὶ αἷμα Χριστοῦ κατὰ τὸ ἀληθὲς τὰ παρενηνεγμένα, ὧν μετασχόντες, τὴν ζωοποιὸν καὶ ἁγιαστικὴν δύναμιν τοῦ Χριστοῦ εἰσδεχόμεθα. Ἔδει γὰρ αὐτὸν διὰ τοῦ ἁγίου Πνεύματος ἐν ἡμῖν θεοπρεπῶς συνανακίρνασθαι δὴ ὥσπερ τοῖς ἡμετέροις σώμασι διὰ τῆς ἁγίας σαρκὸς αὐτοῦ καὶ τοῦ τιμίου αἵματος· ἃ δὴ καὶ ἐσχήκαμεν εἰς εὐλογίαν ζωοποιὸν ὡς ἐν ἄρτῳ τε καὶ οἴνῳ, ἵνα μὴ ἀπονωχήσωμεν σάρκα τε καὶ αἷμα προκείμενα βλέποντες ἐν ἁγίαις τραπέζαις ἐκκλησιῶν· συγκαθιστάμενος γὰρ ὁ Θεὸς ταῖς ἡμετέραις ἀσθενείαις, ἐνίησι τοῖς προκειμένοις δύναμιν ζωῆς, καὶ μεθίστησιν αὐτὰ πρὸς ἐνέργειαν τῆς ἑαυτοῦ ζωῆς· καὶ μὴ ἀμφιβάλῃς ὅτι τοῦτό ἐστιν ἀληθὲς, αὐτοῦ λέγοντος ἐναργῶς· « Τοῦτό μού ἐστι τὸ σῶμα, » καὶ « Τοῦτό

C

D

[51] Psal. LIV, 14. [52] Psal. XL, 10. [53] Joan. XIII, 26.

Digitized by Google

μού ἐστι τὸ αἷμα· » δέχου δὲ μᾶλλον πίστει τοῦ Σωτῆρος τὸν λόγον. Ἀλήθεια γὰρ ὢν, οὐ ψεύδεται. A

Τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς· Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ· γέγραπται γάρ· Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσεται τὰ πρόβατα τῆς ποίμνης.

Πόθεν καὶ τῷ Πέτρῳ καὶ τοῖς ἄλλοις τοσοῦτος ἐγίνετο φόβος; Ἐταράχθησαν οἱ μαθηταὶ οὐχ ὡς ἐλαφροί τινες, ἀλλ' ὅτι πολλῆς ἔγεμεν ἀπορίας τὸ πρᾶγμα, καὶ δυσκατάληπτος ἦν ἡ γνῶσις τοῦ μυστηρίου τούτου, πῶς ὁ τοὺς νεκροὺς ἀναστήσας, καὶ μυρία ποιήσας σημεῖα ὑπὲρ ἄνθρωπον, εἰς οὕτως ἄτιμον παρεδόθη θάνατον. Οὗτος δὲ ἦν ὁ διὰ τοῦ προφήτου εἰρηκώς· « Πατάξω τὸν ποιμένα. » Διὸ καὶ ὁ Δαβὶδ φησι πρὸς τὸν Πατέρα, ὅτι « Ὃν σὺ ἐπάταξας, αὐτοὶ κατεδίωξαν. » Πλὴν οὐ πάντη τοῦτο καὶ B πάντως γέγονε βουλήσει τοῦ Πατρὸς, ἀλλ' ἤθελε μὲν μὴ παθεῖν αὐτὸν, εἴγε προσεδέξαντο οἱ Ἰουδαῖοι· ἐπειδὴ καὶ οὐ προσήκαντο, ἀλλ' ἠθέλησαν φονεῦσαι, συγκατέθετο ὁ Πατὴρ τῷ Υἱῷ τοῦτο παθεῖν. Οὕτω δὲ νοητέον καὶ τὸ εἰρημένον πρὸς Πιλάτον ὑπὸ Χριστοῦ, ὅτι « Οὐκ εἶχες ἐξουσίαν οὐδεμίαν κατ' ἐμοῦ, εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν· » ἀντὶ τοῦ, [Εἰ] μὴ συνῄνεσεν ὁ Πατὴρ ἐλομένῳ μοι παθεῖν.

Μετὰ δὲ τὸ ἐγερθῆναί με, προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν.

Οὐκ ἀφῆκε τοὺς μαθητὰς μέχρι τῶν σκυθρωπῶν μεῖναι, προαναγγέλλει δὲ τὴν ἀνάστασιν, λύων αὐτῶν τὴν λύπην, καὶ ἐπαγγέλλεται προλαμβάνειν αὐτοὺς εἰς τὴν Γαλιλαίαν, δι' οὗ σημαίνει, ὅτι μέλ- C λει ἀποφοιτᾷν τῶν Ἰουδαίων, καὶ εἰς τὰ ἔθνη μεταχωρεῖν. Οὐκ ἀπ' οὐρανοῦ φαίνεται εὐθέως, οὐδὲ εἰς μακράν τινα χώραν ἄπεισιν, ἀλλ' ἐν αὐτῷ τῷ ἔθνει, ἐν ᾧ καὶ ἐσταυρώθη, ἐν αὐτοῖς σχεδὸν τοῖς χωρίοις. Ὥστε κἀντεῦθεν αὐτοὺς πιστώσασθαι, ὅτι ὁ σταυρωθεὶς, αὐτὸς ἦν καὶ ὁ ἀναστὰς, καὶ ταύτῃ σκυθρωπάζοντας μειζόνως παραμυθήσασθαι. Διὰ τοῦτο καὶ ἐν τῇ Γαλιλαίᾳ εἶπεν, ἵνα τοῦ φόβου τῶν Ἰουδαίων ἀπαλλαγέντες πιστεύσωσι τῷ λεγομένῳ· διὸ καὶ ἐκεῖ ἐφάνη.

Τότε λέγει αὐτοῖς· Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· μείνατε ὧδε, καὶ γρηγορεῖτε μετ' ἐμοῦ.

Λυπεῖται ὡς ἄνθρωπος, καὶ τὰ τοῦ σώματος ἴδια ποιεῖται ὁ ἀπαθὴς, ἐπειδὴ τὰ τῆς ἀνθρωπότητος κοινά ἐστιν αὐτῷ· ὥσπερ καὶ τὰ μόνῃ τῇ θεότητι πρέποντα, κοινά πως γέγονε τῇ σαρκὶ, διὰ τὴν ἄῤῥητον καὶ ἀνέκφραστον ἕνωσιν. Καὶ μὴ σκανδαλιζέσθω τινὰ τὸ συμβάν· ἡ γὰρ πρὸς σάρκα σύνοδος τοῦ Λόγου, παθοῦσα τὰ ἑαυτῆς, βεβαιώσει καλῶς ἐν ἡμῖν τῆς ἐνανθρωπήσεως τὸ μυστήριον.

Πάτερ μου, εἰ δυνατόν ἐστι, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ.

Ποτήριον ἐν τούτοις τὴν διὰ τοῦ θανάτου κατακάρωσιν ἀποκαλεῖ, καὶ τὴν οἱονεὶ πρὸς ὕπνον κατα-

tius per fidem Servatoris sermonem. Veritas enim cum sit, non mentitur.

XXVI, 31. *Tunc dicit illis Jesus : Omnes vos scandalum patiemini in me, in nocte ista ; scriptum est enim : Percutiam pastorem, et dispergentur oves gregis.*

95 Undenam Petrus quoque aliique tanto timore fuere perculsi? Turbati sunt discipuli, non tanquam molles quidem, sed eo quod perculsionis plenum esset negotium, captuque admodum difficilis hujus mysterii cognitio, quomodo qui mortuos resuscitarat ac innumera et supra hominem patrarat signa, tam ignominiosæ morti esset addicendus. Hic autem erat, de quo per prophetam dictum est : « Percutiam pastorem [94-95] ; » ideoque David ad Patrem ait : « Quem tu percussisti, ipsi persecuti sunt [96]. » Non tamen hoc omnino Patris voluntate factum est ; sed illum quidem non pati voluit, modo suscepissent illum Judæi. Cum vero illum secuti non sint, sed interficere voluerint, condescendit Pater, ut Filius hoc pateretur. Ita autem intelligendum est, quod Pilato dictum est a Christo, quia « Non haberes potestatem adversus me ullam nisi tibi datum esset desuper [97], » id est : Si non permisisset voluntem Pater me pati.

XXVI, 32. *Postquam autem resurrexero, præcedam vos in Galilæam.*

Non **98** sivit discipulos semper hærere in tristitia ; præmuntiat autem resurrectionem, illorum tristitiam dissolvens, denuntiatque præcessurum sese eos in Galilæam, quo significat sese recessurum a Judæis, et ad gentes transiturum. Non a cœlo statim prodit, neque in longinquam aliquam abit regionem, sed in hac ipsa gente versatur, in qua et cruci fuit affixus, et in iisdem fere regionibus : ut vel inde etiam ipsi crederent eum, qui cruci affixus fuerat, eumdem esse cum eo, qui resurrexerat, atque hac ratione tristitia affectos magis consolaretur. Propterea in Galilæa quoque dixit, ut metu Judæorum liberati, credant illi dicto, ideoque etiam ibi apparuit.

XXVI, 38. *Tunc ait illis : Tristis est anima mea, usque ad mortem ; sustinete hic et vigilate mecum.*

Ut homo, contristatur, ac corporis propria patitur, qui impassibilis est, eo quod illi cum humanitate fit communio : ut etiam ea, quæ solam decent divinitatem, communia quodammodo facta sunt carni, ob ineffabilem et inexplicabilem unionem, ac ne quemquam, quod accidit, scandalo afficiat ; Verbi enim cum carne conjunctio recte in nobis mysterium humanitatis confirmat.

97 XXVI, 39. *Pater mi, si possibile est, transeat a me calix iste : verumtamen non sicut ego volo, sed sicut tu.*

Calicem in hisce mortis gravedinem vocat, et quodammodo somnum subrepentem ebrietati. Quod

[94-95] Zachar. XIII, 7. [96] Psal. LXVIII, 27. [97] Joan. XIX, 11.

Digitized by Google

autem deprecatur hujus calicis potionem, ostendit se nequaquam antecedenti voluntate pati optasse, sed ea quæ furorem crucifigentium sequeretur, quibus hoc dicto excusationem eripit : non enim jam dicere possunt, Ipse cum pati elegisset, nos potius illius voluntatis ministri facti sumus. Hæc enim deprecatio arguet eos mentitas fabulas adornasse.

XXVI, 42. *Iterum secundo abiit, et oravit, dicens : Pater mi, si non potest hic calix transire, nisi bibam illum, fiat voluntas tua.*

Intendit orationem, et propter ipsos pertexit sermonum hypotyposim, ac in exemplar se ac sua nobis offert. Arbitror autem nos non debere esse segniores, accedere autem potius frequenter, idemque repetentes erubescere non debere, dum nobis tandem obtingant postulata. Propterea enim etiam tertiam de iisdem Christus instituit orationem, licet clarissime Dei Patrisque **98** nosset voluntatem, imo vero tertia hac vice sese hominem factum esse confirmat.

Cyrilli ex sexto libro commentarii in Matthæum.

Et inest ei quidem patiendi facultas propter humanitatem ; verumtamen ea passio statim sedatur ab inhabitantis Verbi vigore ac fortitudine. Animadverte enim quomodo postulatio humanitatem ejus demonstret ; sed deitatis firmitas illico effulgeat.

XXVI, 50. *Jesus autem dixit illi : Amice, ad quid venisti? Tunc accesserunt, et manus injecerunt in Jesum, et tenuerunt eum.*

Cyrilli ex commentario in Matthæum. Etiamsi enim quod tum eveniebat, haud ei usquequaque volupe erat, propter communem tamen salutem ac vitam, voluntariam sibi fecit crucis passionem. Namque apprime sciebat quanta hinc bona forent, et quod hominis naturam renovaturus esset, et proprio sanguine Deo Patri acquisiturus. Nam nisi voluntariam sibi fecisset, quanquam per se invisam, passionem, quæ causa erat cur oraret dicens : « Pater, si possibile est, transeat a me calix iste? » *Et post alia.* Observa, quomodo Servatoris voluntati adversa passio fuerit ; sed quia cruciatus exantlare oportebat propter passionis utilitates, hanc sibi voluntariam nostri causa effecit. Neque enim nunc proditorem increpuit, quod scelus omnium maximum patraret, neque dixit melius ei fuisse si nunquam natus fuisset ; sed ne dignum quidem tunc punitione censuit propriæ voluntatis ministrum. Adeo illi voluntaria passio erat !

A χοιμίζουσαν μέθην. Τό γε μὴν παραιτεῖσθαι πιεῖν αὐτὸ, τοῦτό ἐστι, τὸ μὴ σφόδρα καθ' ἡδονὴν ποιεῖσθαι τὸ παθεῖν, τῆς τῶν σταυρωσάντων δυσσεβείας κατηγορεῖ· οὐ γὰρ δήπου φαῖεν, ὡς Ἐπείπερ εἵλετο παθεῖν, ὑπουργοὶ μᾶλλον ἡμεῖς τοῦ θελήματος· διελέγξει γὰρ αὐτοὺς ψευδομυθεῖν ἐλομένους ἡ παραίτησις.

Πάλιν ἐκ δευτέρου ἀπελθὼν προσηύξατο λέγων· Πάτερ, εἰ οὐ δύναται τοῦτο τὸ ποτήριον παρελθεῖν ἀπ' ἐμοῦ, ἐὰν μὴ αὐτὸ πίω, γενηθήτω τὸ θέλημά σου.

Ἐπιτείνει τὴν προσευχὴν, καὶ διὰ τῶν αὐτῶν ἐξυφαίνει λόγων ὑποτύπωσιν καὶ ὑπογραμμὸν τὰ καθ' ἑαυτὸν ἡμῖν παρατιθεὶς. Οἶμαι γὰρ δεῖν μὴ ἐκκακεῖν B ἡμᾶς, προσιέναι δὲ μᾶλλον συχνῶς, καὶ ταυτολογοῦντας μὴ ἐρυθριᾷν ἕως ἂν ἡμῖν εἰς πέρας ἐξέρχο[ι]ντο τὰ αἰτήματα. Διὰ γὰρ τοῦτο καὶ τρίτην εὐχὴν περὶ τῶν αὐτῶν ἐποιεῖτο, Χριστὸς καίτοι μάλα σαφῶς τὴν τοῦ Θεοῦ καὶ Πατρὸς ἐπιστάμενος βούλησιν· μᾶλλον δὲ διὰ τοῦ τρίτου ἐβεβαίου ὅτι ἄνθρωπος γέγονε.

Κυρίλλου ἐκ τοῦ εἰς τὸ εἰς Ματθαῖον ὑπομνήματος βιβλίου ς'.

Καὶ (1) ὑπόκειται μὲν τὸ δεῖνα τοῦ παθεῖν ἐν αὐτῷ διὰ τὸ ἀνθρώπινον· κατευνάζεται δὲ παραχρῆμα τῇ τοῦ ἐνοικοῦντος Λόγου ῥώμῃ τε καὶ εὐσθενείᾳ· θέα γὰρ ὅπως παραδεικνύει μὲν ἑαυτῷ τὸ ἀνθρώπινον ἡ παραίτησις, τὸ δὲ τῆς θεότητος ἀκαμπὲς ἀνέλαμψεν εὐθύς.

Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἑταῖρε, ἐφ' ᾧ πάρει ; Τότε προσελθόντες ἐπέβαλον τὰς χεῖρας ἐπὶ τὸν Ἰησοῦν, καὶ ἐκράτησαν αὐτόν. C

Κυρίλλου ἐκ τοῦ κατὰ Ματθαῖον ὑπομνήματος. Εἰ γὰρ (2) καὶ ὅτι μάλιστα τὸ συμβὰν οὐχὶ πάντη τε καὶ πάντως θελητὸν ἦν αὐτῷ, ἀλλ' οὖν τῆς πάντων ἕνεκα σωτηρίας καὶ ζωῆς, ἑκούσιον ἐποιήσατο τὸ ἐπὶ τοῦ σταυροῦ πάθος, Ἤδει τὰ ἐντεῦθεν ἐσόμενα κατορθώματα, καὶ ὅτι τὴν ἀνθρώπου φύσιν ἀνακαινιεῖ, καὶ αἵματι τῷ οἰκείῳ κατακτήσεται τῷ Θεῷ καὶ Πατρί. Εἰ γὰρ μὴ ἐποιήσατο θελητὸν, καίτοι ἀδούλητον ὂν τὸ παθεῖν, τίς ἂν νοοῖτο λοιπὸν ἡ πρόφασις τοῦ προσεύχεσθαι καὶ λέγειν αὐτὸν, « Πάτερ, εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο ; » *Καὶ μεθ' ἕτερα.* Θέα δὲ πῶς ἀνεθέλητον μὲν τῷ Σωτῆρι τὸ πάθος· ἐπειδὴ δὲ πάντη τε καὶ D πάντως ὑπομεῖναι ἐχρῆν διὰ τὰ ἐκ τοῦ παθεῖν ἀγαθὰ, θελητὸν ἐποιήσατο δι' ἡμᾶς. Οὐ γὰρ ἠπείλησε τῷ προδότῃ τὸ παντὸς ἐπέκεινα διελᾶσαι κακοῦ, καὶ ὅτι κρεῖττον ἦν αὐτῷ τὸ μὴ γενέσθαι τὴν ἀρχὴν, ἀλλ' οὐδ' ἂν ὅλως κολάσεως ἄξιον ἡγήσατό ποτε τῶν ἰδίων θελημάτων τὸν ὑπουργὸν, εἴπερ ἦν αὐτῷ θελητὸν τὸ παθεῖν (3).

(1) *Καὶ — εὐθύς.* Mai *B. N.* II, p. 483.
(2) *Εἰ γὰρ — τὸ παθεῖν.* Ibid.
(3) Hoc loco prætereundum non arbitramur, legisse nos in codice vat. 358, f. 111. b. fragmentum historicum de humana Christi Domini genealogia, Cyrilli nomine tanquam auctoris insignitum. Utique Canisius in *Antiq. lect.* edit. Basnag. t. III, part. I. p. 36 37, et mox noster Schelstratius Opp. t. I, p. 512, id ipsum prope ad litteram retulerunt ex chronico Hippolyti Thebani (quem Nicephorus Callistus de hoc ipso argumento loquens Hist. II, 3, perperam Portuensem, ut sæpe vidi in aliis codd., Romæ episcopum, dixerat) nemo tamen hactenus Cyrilli esse suspicatus fuerat : quæ res cæteroqui valde est verisimilis, teste nunc codice Vaticano

Digitized by Google

Τάχα που ᾠήθη ὁ Ἰούδας δύνασθαι λαθεῖν, φίλημα μὲν προτείνων εἰς τύπον ἀγάπης, ἀνοσίων δὲ σκεμμάτων μεστὴν ἔχων τὴν καρδίαν. Οὐκοῦν ὡς ἐκ μέθης προσέρχεται τῷ Χριστῷ δόλου καὶ ἀγάπης ὄργανον, τὴν ἐξαίρετον ἀρετὴν ἀποφαίνειν προσδοκῶν, προσετίθει δὲ τὸ « Χαῖρε, Ῥαββί. » *Χαῖρε* λέγεις τῷ παγιδευθέντι πρὸς θάνατον διὰ σοῦ; οὐδὲ τὸ σχῆμα τῆς προδοσίας αἰσχύνῃ; Ἀλλ' ἦν ἐντεῦθεν ἰδεῖν ὅτι τὸν ψεύστην ἔχων ἐν ἑαυτῷ, τουτέστι τὸν Σατανᾶν, καὶ *Χαῖρε* λέγων ἐψεύδετο, καὶ τὸ φιληθῆναι κατεδέξατο ὁ Χριστὸς, καὶ ἔδωκεν ἑαυτὸν ἑκών, καὶ ἐπέβαλον ἐπ' αὐτὸν τὰς χεῖρας, καὶ ἐκράτησαν κατ' αὐτὴν τὴν νύκτα καθ' ἣν τὸ Πάσχα ἔφαγον· οὕτως ἔζεον, καὶ ἐμαίνοντο. Ἀλλ' ὅμως οὐδὲν ἂν ἴσχυσαν, εἰ μὴ αὐτὸς συνεχώρησεν, οὐ μὴν τοῦτο ἀπαλλάττει τὸν Ἰούδαν τῆς ἀφορήτου κολάσεως, ἀλλὰ καὶ μειζόνως αὐτὸν καταδικάζει, ὅτι καὶ τῆς δυνάμεως αὐτοῦ τοσαύτην λαβὼν ἀπόδειξιν καὶ τῆς ἐπιεικείας καὶ τῆς πραότητος, καὶ τῆς ἡμερότητος, θηρίου παντὸς χαλεπώτερος γέγονε.

A **99** Forte arbitratus est Judas latere se posse, osculum quidem porrigendo in typum charitatis, impiis vero machinationibus refertam habens animam. Igitur tanquam ex insidiis accedit Christum doli ac charitatis instrumentum, eximiam ostensurum virtutem exspectans; addit autem : « Ave, Rabbi. » *Ave* dicis insidiis a te ad mortem appetito? ac ne habitum quidem proditionis erubescis? At videre hinc licebat mendacem sese, id est, Satanam intra se habere : ac *ave* dicens mentitus est; ac osculum suscepit Christus, dedituque sese voluntarie, immisitque in manus; ac eadem nocte comprehenderunt eum qua pascha comedebant; adeo fervebant, atque insaniebant. Attamen nihil, ni permisisset, potuissent : at non hoc intolerabili B supplicio liberat Judam, verum etiam magis ipsum condemnat eo quod, cum tantum virtutis illius, modestiæ, mansuetudinis ac clementiæ percepisset documentum, omni fera immanior evaserit.

Ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν ὁ Ἰησοῦς τοῖς ὄχλοις· Ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με. Καθ' ἡμέραν πρὸς ὑμᾶς ἐκαθεζόμην διδάσκων ἐν τῷ ἱερῷ, καὶ οὐκ ἐκρατήσατέ με.

XXVI, 55. *In illa hora dixit Jesus turbis : Tanquam ad latronem existis cum gladiis et fustibus comprehendere me. Quotidie apud vos sedebam in templo docens, et non me tenuistis.*

Ἆρα οὖν αἰτιᾶται Χριστὸς τοὺς τῶν Ἰουδαίων καθηγητὰς, ὅτι μὴ πρόωρον αὐτῷ τὴν τοῦ θανάτου πάγην ἐσκεύαζον; Οὐ τοῦτο βούλεται δηλοῦν, ἀλλ' ὅτι Ἐξὸν ὑμῖν καθημέραν ἐν τῷ ἱερῷ διδάσκοντα κατασχεῖν, οὐκ ἐκρατήσατε· ἐταμιευόμην γὰρ μᾶλλον C τὸ χρῆναι παθεῖν καιρῷ τῷ προσήκοντι. Οὐ τοίνυν τῆς Ἰουδαίων μανίας καταιτιώμενος ταῦτα ὁ Χριστὸς ἔφη, οὔτε μὴν ἐπιπλήττει τὸ βράδος αὐτῶν πρὸς μιαιφονίαν· ὅτι δὴ παρόντα καὶ ὁρώμενον οὐκ ἐν ἀρχαῖς κατεσχήκασι. Διελέγχει δὲ μᾶλλον ὡς οὐ τῆς ἐνούσης αὐτοῖς ἰσχύος ἔργον ἡ σύλληψις, ἀλλὰ τῆς αὐτοῦ βουλήσεως· τοῦτο ἀβούλητον πάθος οἰκονομικῶς παραδεξαμένου καὶ ποιησαμένου θελητόν· οὐκ ἐπεὶπερ ἦν τὸ παθεῖν ἀγαθὸν, ἀλλ' ὅτι τὰ ἐξ αὐτοῦ συμβαίνοντα τὴν ἀνθρώπου φύσιν ἀνακομίζειν ἐμελ-

Ergone accusat Christus Judæorum instructores, eo quod præmaturum sibi mortis laqueum non præparassent? Non hoc significare vult, sed : Cum liceret vobis quotidie in templo docentem comprehendere, non me tenuistis : reservavi enim me potius ad tempus opportunius, quo utar ad passionem. Non igitur Judæorum insaniam incusans Christus hæc dixit; sed neque eorum tarditatem ad crudelem cædem increpat, eo quod præsentem visumque non ab initio tenuissent. Arguit autem potius non esse virtutis illorum hanc comprehensionem, sed ex ipsius voluntate minime expetendam hanc passionem **100** suscipientis per dispensationem, facientisque illam libera admissione voluntariam : non quod pati bonum esset, sed quod ea quæ ipsi eveniebant hominis

(etenim Hippolytus Thebanus, sequioris ævi homo, abs Cyrillo antiquiore haurire potuit). Certe Cyrillum vel sub initio ampli sui ad Matthæum commentarii, vel ubi de Jacobo fratre Domini sermo erat, Christi humanam genealogiam exposuisse, pronum creditu est. Ergo operæ pretium videtur, fragmentum hoc saltem in scholio recitare. (De Christi genealogia videndus etiam S. Sophronius apud eumdem Cangium, p. 32, nec non in ode XI, cum adn. philolog. Spicil. Rom. t. IV, p. 603.) ΚΥΡΙΛΛΟΥ. Ἰάκωβος, ὁ γενόμενος πρῶτος ἐπίσκοπος Ἱεροσολύμων, ἀδελφὸς μὲν κατὰ σάρκα τοῦ Κυρίου ἐλέγετο εἶναι, υἱὸς δὲ τοῦ τέκτονος Ἰωσὴφ, ἐκ τῆς βωτικῆς αὐτοῦ γυναικός, ἀδελφὸς Σίμωνος καὶ Ἰούδα καὶ Ἰωσὴφ· τέσσαρας γὰρ υἱοὺς ἔσχεν ὁ Ἰωσὴφ, καὶ δύο θυγατέρας, τήν τε Ἐσθὴρ καὶ τὴν Θάμαρ, ἐκ τῆς γυναικὸς αὐτοῦ τῆς Σαλώμης, θυγατρὸς Ἀγγαίου τοῦ ἀδελφοῦ Ζαχαρίου τοῦ ἱερέως· καὶ τότε ἐχήρευσεν ὁ Ἰωσὴφ· ὡς εἶναι τὴν Σαλώμην καὶ τὸν Βαπτιστὴν Ἰωάννην ἀδελφῶν τέκνα ἀρσενικῶν· ὁ γὰρ Ἀγγαῖος υἱὸς Βαραχίου, θεῖος δὲ Ἰωάννου· ὁμοίως δὲ Ζαχαρίας ἀδελφὸς Ἀγγαίου, θεῖος δὲ Σαλώμης τῆς γυναικὸς Ἰωσὴφ· ἡ γὰρ μαῖα ἀπὸ Βηθλεὲμ ἐτύγχανεν, ἀνεψιὰ δὲ καὶ αὐτὴ ὑπῆρχεν τῆς Ἐλισάβετ καὶ τῆς ἁγίας Παρθένου Μαρίας· τρεῖς γὰρ ἦσαν ἀδελφαὶ ἀπὸ Βηθλεὲμ θυγατέρες Ματθὰν τοῦ ἱερέως καὶ Μαρίας τῆς αὐτοῦ γυναικὸς ἐπὶ τῆς βασιλείας Κλεοπάτρας, πρὸ τῆς βασιλείας Ἡρώδου τοῦ υἱοῦ Ἀντιπάτρου· ὄνομα τῇ πρώτῃ Μαρία, καὶ ὄνομα τῇ β' Σοββί. καὶ ὄνομα τῇ τρίτῃ Ἄννα. Ἔγημε δὲ πρώτη ἐν Βηθλεὲμ, καὶ ἔτεκε [Σαλώμην τὴν μαῖαν· ἡ δὲ β' ὁμοίως ἐν Βηθλεὲμ, καὶ ἔτεκε] τὴν Ἐλισάβετ· ἔγημε δὲ καὶ ἡ τρίτη εἰς τὴν γῆν τῆς Γαλιλαίας, καὶ ἐγέννησε Μαρίαν τὴν παναγίαν Θεοτόκον ἐν Βηθλεέμ· ὡς εἶναι Σαλώμην τὴν μαῖαν, καὶ Ἐλισάβετ, καὶ τὴν ἁγίαν Μαρίαν τὴν Θεοτόκον, θυγατέρας ἀδελφῶν τριῶν θηλυκῶν. Ἐντεῦθεν οὖν ὁ βαπτιστὴς Ἰωάννης, καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀνεψιοὶ λέγονται εἶναι· υἱὸς δὲ τοῦ Ἰωσὴφ ὁ Κύριος ἐνομίζετο, ἐπειδὴ καὶ τῶν υἱῶν αὐτοῦ τῶν ἐκ τῆς πρώτης γυναικὸς ἀδελφὸς ἐνομίζετο.

Digitized by Google

natu iram restitutura essent in pristinum statum : A
ent indens suæ permissionis opus esse hanc capti-
vi atem.

XXVI, 67. *Quid vobis videtur? At illi respon-*
dentes, dixerunt : Reus est mortis.

Dixit alicubi per Moysen universorum Deus : « Si anima peccarit, et audierit vocem juramenti, et testis hic aut viderit aut intellexerit, nisi annuntiet, inquit, admittet peccatum [88]. » Inustum est igitur quibusdam crimen iniquitatis, si nihil afferant excusationis, vocem juramenti audientes. Propterea subdole adjurat Dominum Caiphas, ut si in posterum quoque tacere vellet, tanquam transgressorem condemnet, videns adjuratum eum ac tacentem legis supplicio obnoxium esse factum. Sin autem veritatem dixerit, tanquam pseudo-christum ipsum occidant, utpote sese dicentem Deum, nihilque habentem peculiare secundum carnem, idque, quod videtur; ideoque Christus dixit: « Tu dixisti. » Id est, Os tuum deinceps confessum est. Ut vero graviorem eis ultionem efficiat, eo quod inquam, in eum credere nolint, rursus clariorem eis suam reddit gloriam dicens : « Amodo videbitis Filium hominis sedentem a dexteris virtutis Dei. » Specie, inquit, natum humana, me natura vere Dei et Patris Filium nullo loco **101** habuistis, cumque eo pervenissetis inscitiæ, ut illius meique ignoraretis mysterium, licet legis essetis doctores, necessario illud dico : vestræ adversum me impietatis breve vobis esse, ac præstitutum tempus, usque ad pretiosam crucem. Postmodo enim statim ad pristinum meum recurram honorem, ascendam ad gloriam, quam habui ab initio, consors throni ero Dei ac Patris etiam cum carne. Hæc Christo dicente, Caiphas scidit vestimenta sua, dicens, Blasphemavit; hoc autem fecit ut vehementius eum accusaret, et dictum facto insignius redderet. Verumtamen quænam hæc est blasphemia? dixerat enim ante illis congregatis : « Dixit Dominus Domino meo, sede a dextris meis [89], » et quod dictum erat interpretatus est, nihilque ausi sunt dicere, sed tacuerunt. Quomodo igitur nunc, blasphemiam, quod dictum erat, vocabant? Cur vero Christus ita respondit? Ut omnem illorum defensionem tolleret, eo quod ad novissimam usque horam docuisset, sese esse Christum et sedere a dexteris Patris, venturumque rursus judicare orbem terrarum. Quod magnum sibi cum eo consensum esse demonstrantis est. Scindens igitur vestimenta sua, ait : « Quid vobis videtur? » Non per sese fert calculum damnationis, sed ab illis exprimit tanquam in confesso exsistentibus peccatis, manifestaque blasphemia. Cum enim nossent, si res ad inquisitionem venerit, diligentemque discussionem, omni eum crimine liberatum iri, ex sese eum condemnant, præveniuntque auditores, dicentes : « Vos audistis blasphemiam, » cogentes quodam-

λεν εἰς τὸ ἀπ' ἀρχῆς, δεικνὺς ὅτι τῆς αὐτοῦ συγχωρήσεως ἔργον ἦν τὸ ἑλεῖν.

Τί ὑμῖν δοκεῖ; Οἱ δὲ ἀποκριθέντες εἶπον· Ἔνοχος θανάτου ἐστί.

Ἔφη που διὰ Μωσέως ὁ τῶν ὅλων Θεός· « Ἐὰν ψυχὴ ἁμάρτῃ καὶ ἀκούσῃ φωνὴν ὁρκισμοῦ, καὶ οὗτος μάρτυς ἢ ἑώρακεν, ἢ συνεῖδεν, ἐὰν μὴ ἀναγγείλῃ, φησὶ, λήψεται τὴν ἁμαρτίαν. » Ἐπεγράφετο τοίνυν παρανομίας ἔγκλημά τισιν εἰ μηδὲν ἀπολογοῖντο, φωνὴν ἀκούοντες ὁρκισμοῦ. Διὰ τοῦτο πανούργως ὁρκίζει τὸν Κύριον ὁ Καϊάφας, ἵνα, εἰ βούλοιτο καὶ μετὰ τοῦτο σιωπᾷν, ὡς παρανομήσαντα κατακρίνοι, εἰδὼς ὅτι ὁρκωθεὶς καὶ σιωπήσας ἔνοχος ἐγένετο τιμωρίᾳ τῇ ἀπὸ τοῦ νόμου· εἰ δὲ εἴπῃ τὸ ἀληθὲς, ὡς B ψευδόχριστον αὐτὸν φονεύσωσιν ὡς λέγοντα ἑαυτὸν Θεὸν, οὐδὲν πλέον ἔχοντα τῶν λοιπῶν ἀνθρώπων κατὰ τὴν σάρκα καὶ τὸ ὁρώμενον. Διὸ ὁ Χριστὸς εἶπε· « Σὺ εἶπας· » Ἀντὶ τοῦ, Τὸ σὸν ὡμολόγησε στόμα λοιπόν. Ἵνα δὲ φορτικωτέραν αὐτοῖς τὴν δίκην ἐργάσηται, τὴν ἐπί γέ φημι [τῷ] μὴ πιστεύειν εἰς αὐτὸν βούλεσθαι, πάλιν αὐτοῖς ἐναργῆ τὴν αὐτοῦ καθίστησι δόξαν, εἰπών· « Ὄψεσθε ἀπ' ἄρτι τὸν Υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ Θεοῦ. » Ἐν εἴδει, φησὶ, τῷ καθ' ἡμᾶς γεγονότα, ἐμὲ τὸν Υἱὸν τῇ φύσει καὶ ἀληθῶς τοῦ Θεοῦ καὶ Πατρὸς, ἐν τῷ μηδενὶ πεποίησθε λόγῳ, καὶ ἐπειδὴ ἀμαθίας εἰς τοῦτο καταβεβήκατε, ὥστε τὸ αὐτοῦ τε καὶ τὸ ἐμὸν οὐκ ἴστε μυστήριον, καίτοι νομομαθεῖς ὄντες, ἀναγκαίως ἐκεῖνό φημι, ὅτι τῆς κατ' ἐμοῦ δυσσεβείας βραχὺς C ἡμῖν καὶ διεσταλμένος ἐδόθη καιρὸς, μέχρι τοῦ τιμίου σταυροῦ. Μετὰ τοῦτο γὰρ εὐθὺς εἰς τὴν ἑαυτοῦ παλινδρομήσω τιμὴν, ἀναβήσομαι πρὸς δόξαν τὴν ἐν ἀρχαῖς, σύνεδρος ἔσομαι τῷ Θεῷ καὶ Πατρὶ, καὶ μετὰ τῆς σαρκός. Ταῦτα λέγοντος τοῦ Χριστοῦ, ὁ Καϊάφας διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ, λέγων· « Ἐβλασφήμησεν. » Τοῦτο δὲ ἐποίησε, σφοδροτέραν τὴν κατηγορίαν ποιῶν καὶ τὸ λεχθὲν ἐπαίρων διὰ τοῦ πράγματος. Καίτοι ποία βλασφημία αὕτη; Καὶ γὰρ ἔμπροσθεν ἦν εἰρηκὼς συνηγμένων αὐτῶν· « Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου· » καὶ ἡρμήνευσε τὸ εἰρημένον, καὶ οὐδὲν ἐτόλμησαν εἰπεῖν, ἀλλ' ἐσίγησαν. Πῶς οὖν νῦν βλασφημίαν τὸ εἰρημένον ἐκάλουν; Τίνος δὲ ἕνεκεν ὁ Χριστὸς οὕτως ἀνε- D κρίνατο; Πᾶσαν αὐτῶν ἀναιρῶν ἀπολογίαν, ὅτι μέχρις ἐσχάτης ὥρας ἐδίδασκεν, ὅτι αὐτὸς εἴη ὁ Χριστὸς, καὶ ὅτι ἐκ δεξιῶν καθεδεῖται τοῦ Πατρὸς, καὶ ὅτι ἥξει πάλιν κρίνων τὴν οἰκουμένην· ὃ πολλὴν τὴν πρὸς αὐτὸν συμφωνίαν δηλοῦντός ἐστι. Διαῤῥήξας τοίνυν τὰ ἱμάτιά φησι· « Τί ὑμῖν δοκεῖ; » Οὐ φέρει τὴν ψῆφον οἰκοθεν, ἀλλὰ παρ' ἐκείνων αὐτὴν ὡς ἐπ' ὁμολογουμένων ἁμαρτημάτων, καὶ βλασφημίας δήλης ἐκκαλεῖται. Ἐπειδὴ γὰρ ᾔδεσαν, ὅτι εἰ τὸ πρᾶγμα εἰς ἐξέτασιν ἔλθοι, καὶ διάγνωσιν ἀκριβῆ, ἀπαλλάττει πάσης αὐτὸν αἰτίας, παρ' ἑαυτοῖς αὐτὸν καταδικάζουσι, καὶ προκαταλαμβάνουσι τοὺς ἀκροατὰς λέγοντες· « Ὑμεῖς ἠκούσατε τῆς βλασφημίας· » μονονουχὶ

[88] Levit. v, 1. [89] Matth. xxii, 44; cf. Psal. cix, 1.

Digitized by Google

καταναγκάζοντες καὶ βιαζόμενοι τὴν ψῆφον ἐξενεγκεῖν. Τί οὖν ἐκεῖνοι; « Ἔνοχος θανάτου ἐστίν· » ἵνα ὡς κατάδικον λαβόντες, οὕτω λοιπὸν τὸν Πιλάτον ἀποφήνασθαι παρασκευάσωσιν. Ὃ δὴ καὶ ἐκεῖνοι συνειδότες, φασίν· « Ἔνοχος θανάτου ἐστίν, » αὐτοὶ κατηγοροῦντες, αὐτοὶ δικάζοντες, αὐτοὶ ψηφιζόμενοι, πάντα αὐτοὶ γινόμενοι· τότε. Πῶς δὲ οὐκ ἤνεγκαν Σάββατα εἰς μέσον; Ὅτι πολλάκις αὐτοὺς ἐπεστόμισεν. Ἄλλως τε καὶ ἐκ τῶν τότε λεγομένων ἐβούλοντο αὐτὸν ἑλεῖν εἰς τὸ καταδικάσαι. Διὸ καὶ προλαβὼν, καὶ τὴν ψῆφον παρ' αὐτῶν ἐνεγκών, καὶ πάντας ἐπισπασάμενος διὰ τοῦ ῥῆξαι τὸν χιτωνίσκον, ὡς κατάδικον λοιπὸν ἀγαγὼν πρὸς τὸν Πιλάτον, οὕτως ἅπαντα ἔπραττεν. Ἐπ' ἐκείνου γοῦν οὐδὲν τοιοῦτόν φασιν· ἀλλὰ τί; « Εἰ μὴ ἦν οὗτος κακοποιός, οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν· » ἀπὸ δημοσίων ἐγκλημάτων ἀνελεῖν αὐτὸν ἐπιχειροῦντες. Καὶ διὰ τί μὴ λάθρα αὐτὸν ἀνεῖλον; Ἐβούλοντο καὶ τὴν δόξαν αὐτοῦ διανελεῖν· ἐπειδὴ γὰρ πολλοὶ ἦσαν προακηκοότες αὐτοῦ, καὶ θαυμάζοντες αὐτὸν, διὰ τοῦτο ἔσπευσαν δημοσίᾳ, καὶ ἐπὶ πάντων σφαγῆναι αὐτόν. Ὁ δὲ Χριστὸς οὐκ ἐκώλυσεν, ἀλλὰ τῇ ἐκείνων πονηρίᾳ εἰς τὴν τῆς ἀληθείας σύστασιν ἀπεχρήσατο· καὶ τοὐναντίον ἐξέβαινεν ἥπερ ἐβούλετο. Ἐπεὶ ὅτιγε ἐξουσίαν εἶχον καθ' ἑαυτοὺς ἀνελεῖν, ἄκουσον τί φησιν ὁ Πιλάτος· « Λάβετε αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν. » Ἀλλ' οὐκ ἤθελον, ἵνα ὡς τύραννος, ὡς στασιαστὴς ἀνῃρῆσθαι δόξῃ. Ταῦτα δὲ πάντα ὑπὲρ τῆς ἀληθείας ἐγίνετο· ὥστε μηδὲ σκιάν τινα αὐτοὺς ἔχειν ἀναισχύντου γοῦν ἀπολογίας. Τοιοῦτον γὰρ ἡ πλάνη· δι' ὧν ἐπιβουλεύει, λύεται. Οὕτω γοῦν καὶ ἐνταῦθα συνέβη. Οἱ μὲν γὰρ ἐδόκουν νενικηκέναι, οὗτοι μάλιστα καὶ ἠσχύνθησαν, καὶ ἡττήθησαν, καὶ ἀπώλοντο· ὁ δὲ ἡττᾶσθαι δοκῶν, οὗτος μάλιστα καὶ ἔλαμψε, καὶ ἐνίκησε κατὰ κράτος.

A modo, ac vi extorquentes suffragii lationem. Ecquid igitur illi? « Reus est mortis; » ut tanquam condemnatum habentes, ita deinceps efficerent, ut talis a Pilato pronuntiaretur: illud utique cujus sibi conscii erant, aiunt, « Reus est mortis, » cum illi qui accusabant, judiciumque ac suffragium **102** ferebant, omnibus hisce ipsimet jam tum essent obnoxii. At quomodo Sabbata in medium non protulerunt? Eo quod eis crebro os obstruxisset. Alias vero etiam ex iis, quæ tum dicta sunt ad condemnationem eum pertrahere volebant. Quo animo pontifex præjudicans, damnationemque ab assessoribus eliciens, ac tunicæ ruptura multitudinis concilians assensum, reumque ut jam condemnatum ad Pilatum ducens, sic ex sententia omnia transegit. Sane B coram Pilato nihil ex prius allatis accusant. Quid igitur aiunt: « Nisi esset hic maleficus, non tibi tradidissemus eum, » ex publicis criminibus eum interficere conantes. At cur non occulte eum sustulerunt? Gloriam etiam illius in nihilum redigere cupiebant: cum enim plurimi essent, qui eum audirent ac mirarentur, propterea festinarunt publice et coram omnibus eum interficere. Christus vero non prohibuit, sed illorum nequitia ad declarationem veritatis usus est; ac contra quam voluerant res accidit. Cum enim in potestate illorum esset per sese interficere, audi quid dicat Pilatus: « Accipite eum vos, et secundum legem vestram eum judicate: » at noluerunt, ut tanquam tyrannus, tanquam seditiosus interfici videretur. Hæc autem C omnia pro veritate facta sunt, ut ne umbra quidem impudentis cujuspiam excusationis eis reliqua esset. Talis enim est deceptio: per ea quibus ad insidias utitur, dissolvitur; ita igitur hic etiam accidit: siquidem ii, qui se vicisse arbitrabantur, hi vel maxime etiam confusi fuerunt superatique ac perditi; qui vero superatus videbatur, hic vel maxime resplenduit, ac plenam confessamque **103** victoriam abstulit.

Οἱ δὲ ἐῤῥάπισαν, λέγοντες· Προφήτευσον ἡμῖν, Χριστὲ, τίς ἐστιν ὁ παίσας σε.

Πρέποι ἂν εἰπεῖν ὅπερ ἔφη τις τῶν ἁγίων προφητῶν· « Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἐπὶ πλεῖον σφόδρα, λέγει ὁ Κύριος. » Ὁ τῶν βασιλευόντων (*sic*) καὶ Κύριος τῶν κυριευόντων, ὡς εἷς ἐξ ἡμῶν D ἀτιμάζεται, καὶ διακαρτερεῖ τυπτόμενος, καὶ τὸν ἐκ τῶν ἀσεβῶν ὑπομένει γέλωτα, τύπον ἡμῖν τῆς εἰς ἄκρον ἀνεξικακίας αὐτοῦ παρατιθείς· ὁ γὰρ ἐξετάζων καρδίας καὶ νεφροὺς, ὁ προφητείας ἁπάσης δοτὴρ, πῶς ἂν ἠγνόησε τί; ἐστιν ὁ παίσας αὐτόν;

XXVI, 68. *Alii autem palmas in faciem ejus dederunt, dicentes: Prophetiza nobis, Christe, quis est qui te percussit.*

Dicendum utique illud est, quod nonnullus dixit sanctorum prophetarum: « Obstupuit cœlum super hoc, inhorruit valde vehementer, dicit Dominus [46]. » Universorum Deus, Rex regum et Dominus dominantium tanquam unus ex nobis inhonoratur, et suffert verberatus, et risum sustinet impiorum, typus nobis summæ illius patientiæ propositus. Qui enim scrutatur corda ac renes, omnis prophetiæ donator, quomodo ignorare potuit quis ipsum percussisset?

Τότε ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν φραγελλώσας παρέδωκεν ἵνα σταυρωθῇ.

Μέγας ἔλεγχος ταῦτα τῶν Ἰουδαίων, λῃστὴν καὶ φονέα ἑλομένων μᾶλλον ἢ τὸν Χριστόν· τοσοῦτον αὐτοῖς ἔμελε τοῦ δικαίου, καὶ οὕτως διὰ τὴν ὁσιότητα

XXVII, 26. *Tunc dimisit illis Barabbam, Jesum autem flagellatum tradidit eis ut crucifigeretur.*

Magnum crimen hoc Judæorum est, latronem ac interfectorem potius eligere quam Christum: tantum a justitia aberant, atque ita propter sanctita-

[46] Jerem. II, 12.

Digitized by Google

tem Christum accusabant, illoque, cujus erat judicare, eum liberante, mortis suffragium ferri rogant in pietatis omnis magistrum ac doctorem, ut graviorem adhuc sustineant pœnam, exclamarunt dicentes: « Tolle hunc, dimitte nobis Barabbam. » Ecce clare « Sanctum et justum abnegarunt, ut ait beatus Petrus [61], et petierunt virum homicidam sibi tradi » ut partis illius forent participes.

A κατηγόρουν Χριστοῦ, καὶ τοῦ κρίνειν λαχόντος ἐλευθεροῦντος αὐτὸν, θανάτου ψῆφον ὑποστῆναι παρακαλοῦσι τὸν πάσης εὐσεβείας καθηγητὴν καὶ διδάσκαλον, ἵνα ἔτι φορτικωτέραν ὑπομείνωσι τὴν κόλασιν, ἀνέκραγον λέγοντες· « Αἶρε τοῦτον, ἀπόλυσον ἡμῖν τὸν Βαραββᾶν. » Ἰδοὺ δὴ σαφῶς « Τὸν ἅγιον καὶ δίκαιον ἠρνήσαντο, καθά φησιν ὁ μακάριος Πέτρος, καὶ ᾔτησαν ἄνδρα φονέα χαρισθῆναι αὐτοῖς, » ἵνα τῆς ἐκείνου μερίδος ἔσονται κοινωνοί.

104 Hanc expressam eorum impietatem accusabat dicens Dominus per vocem Jeremiæ: « Dereliqui domum meam, dimisi hæreditatem meam mihi, tanquam leo in saltu dedit super me vocem suam. Propterea odio habui eam [62]. » Dixit autem alibi etiam de Judæorum improbitate propheta Oseas: « Væ illis, quia resilierunt a me, meticulosi sunt quia impie egerunt in me. Ego autem redemi eos: ipsi autem contra me locuti sunt mendacia. Cadent in romphæa principes eorum propter inscitiam linguæ eorum [63]. »

Ταύτην αὐτῶν τὴν ἀνοσίαν καταβοὴν ᾐτιᾶτο λέγων ὁ Κύριος διὰ φωνῆς Ἱερεμίου· « Ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου ἐμοῦ, ὡς λέων ἐν δρυμῷ ἔδωκεν ἐπ' ἐμὲ τὴν φωνὴν αὐτῆς. Διὰτοῦτο ἐμίσησα αὐτήν. » Ἔφη δέ που περὶ τῆς τῶν Ἰουδαίων ἀνοσιότητος καὶ ὁ προφήτης Ὡσηέ· « Οὐαὶ αὐτοῖ; ὅτι ἀπεπήδησαν ἀπ' ἐμοῦ, δείλαιοί εἰσιν ὅτι ἠσέβησαν εἰς ἐμέ. Ἐγὼ δὲ ἐλυτρωσάμην αὐτοὺς· αὐτοὶ δὲ κατελάλησαν κατ' ἐμοῦ ψευδῆ. Πεσοῦνται ἐν ῥομφαίᾳ οἱ ἄρχοντες αὐτῶν δι' ἀπαιδευσίαν γλώττης αὐτῶν. »

B

XXVII, 32. *Exeuntes autem invenerunt hominem Cyrenæum nomine Simonem; hunc angariaverunt ut tolleret crucem ejus.*

Ducitur quidem Servator ad salutarem passionem, Simoni autem Cyrenæo imposuerunt crucem ejus. Alius autem sanctorum evangelistarum, etiam ipsum Jesum dixit portasse crucem; utraque autem vera sunt: tulit siquidem crucem Servator. Media autem via occurrentes Cyrenæo, comprehenderunt eum ac imposuerunt crucem super eum. Dicitur enim de eo per vocem Isaiæ [64]: « Puer natus est nobis, et filius datus est nobis, cujus principatus super humerum ejus. » Principatus enim illius crux facta est, per quam regnavit in omne quod sub cœlo est: siquidem verum est, quod « Factus sit obediens usque ad mortem, mortem autem crucis, propter quod et Deus exaltavit eum [65]. »

Ἐξερχόμενοι δὲ, εὗρον ἄνθρωπον Κυρηναῖον ὀνόματι Σίμωνα· τοῦτον ἠγγάρευσαν ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ.

Ἄγεται μὲν ὁ Σωτὴρ ἐπὶ τὸ σωτήριον πάθος· Σίμωνι δὲ Κυρηναίῳ ἐπέθηκαν τὸν σταυρὸν αὐτοῦ. Ἕτερος δὲ τῶν ἁγίων εὐαγγελιστῶν καὶ αὐτὸν ἔφη τὸν Ἰησοῦν βαστάσαι τὸ ξύλον. Ἀληθῆ δὲ πάντως ἀμφότερα. Ἤνεγκε μὲν γὰρ τὸν σταυρὸν ὁ Σωτὴρ, κατὰ μέσην δὲ ἕως τὴν ὁδὸν ὑπαντήσαντες τὸν Κυρηναῖον κατεσχήκασι, καὶ μετέθηκαν ἐπ' αὐτὸν σταυρόν. Εἴρηται γὰρ περὶ αὐτοῦ διὰ φωνῆς Ἡσαΐου, ὅτι « Παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ. » Ἀρχὴ γὰρ αὐτοῦ γέγονεν ὁ σταυρὸς, δι' οὗ βεβασίλευκε τῆς ὑπ' οὐρανόν· εἴπερ ἐστὶν ἀληθὲς, ὅτι « Μέχρι θανάτου γέγονεν ὑπήκοος, θανάτου δὲ σταυροῦ, διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσεν. »

C

XXVII, 38. *Tunc crucifixi sunt cum eo duo latrones, unus a dexteris, et alter a sinistris.*

Videsne quomodo Auctor universorum ac Dominus naturam suam corrigat. Hanc enim ad principia sua referens, per illud quod homo factus sit propter nos, nostras pro nobis sustinuit passiones; in crucem autem sublato, simul cum eo suspensi sunt duo latrones. Ac injuria quidem in confesso erat, quo spectabat Judæorum scopus; sed impletur commemoratio prophetiæ dicentis, « Et cum iniquis reputatus est [66]. » Per illius passiones ad nos bona derivantur. Verum enim est, quia « Livore ejus sanati sumus [67]. » Duo hi latrones duos populos designarunt, quorum unus quidem usque ad consummationem ingratitudinem ostendit, ac ne extremam quidem captivitatem, quam a Romanis sustinuerunt in ultionem furoris exerciti contra Christum sese subire confessi sunt; alter autem usque ad ipsum finem non desperavit de remissione, sed

Τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταὶ, εἷς ἐκ δεξιῶν, καὶ εἷς ἐξ εὐωνύμων.

Εἶδες πῶς ὁ τῶν ὅλων Γενεσιουργὸς καὶ Κύριος τὴν αὐτοῦ φύσιν ἐπανορθοῖ. Ταύτην γὰρ εἰς τὸ ἐν ἀρχαῖς ἀναφέρων διὰ τοῦ γενέσθαι καθ' ἡμᾶς; δι' ἡμᾶς τὰ ἡμῶν ὑπὲρ ἡμῶν ὑπέμεινε πάθη· ἀπηρτημένῳ δὲ τοῦ σταυροῦ συνεκρέμαντο αὐτῷ δύο λῃσταὶ, καὶ ὕβρις μὲν ὁμολογουμένως τό γε ἦκον εἰς τῶν Ἰουδαίων σκοπὸν, πλὴν ἀνάμνησις προφητείας λεγούσης· « Καὶ μετὰ ἀνόμων ἐλογίσθη. » Ἀλλὰ διὰ τῶν αὐτοῦ παθημάτων εἰς ἡμᾶς τρέχει τὰ ἀγαθά. Ἀληθὲς γὰρ ὅτι « Τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. » Οἱ δύο οὗτοι λῃσταὶ τοὺς δύο ὑπέγραφον λαοὺς, ὧν ὁ μὲν μέχρι τελευτῆς τὴν ἀγνωμοσύνην ἐπεδείξατο, καὶ οὐδὲ τὴν ἐσχάτην αἰχμαλωσίαν ἣν ὑπὸ Ῥωμαίων ὑπέμεινεν εἰς ἄμυναν τῶν κατὰ Χριστοῦ παροινιῶν ὡμολόγησεν ὑφίστασθαι· ὁ δὲ πρὸς αὐτῷ τῷ τέλει οὐκ ἀπέγνω τῆς ἀφέσεως, ἀλλὰ διωρθώσατο· τό τε μὴν μέσον τῶν λῃστῶν σταυροῦ ἀνασχέσθαι τὸν Κύριον, τὸν ἑκούσιον

D

[61] Act. III, 14. [62] Jerem. XII, 7, 8. [63] Osee VII, 23. [64] Isa. IX, 6. [65] Philipp. II, 7. 8. [66] Isa. LIII, 12; Luc. XXII, 37. [67] Isa. LIII, 5.

Digitized by Google

αὐτοῦ πρὸς οὓς ἐκὼν παρεγένετο, ἀμφοτέρους τῇ ἑαυτοῦ ἐνανθρωπήσει βουληθεὶς ἀνανεώσασθαι· εἰ καὶ ὁ πρότερος, ὡς ὁ εἷς τῶν λῃστῶν παρῃτήσατο, « Οὐκ ἔχομεν, λέγων, βασιλέα εἰ μὴ Καίσαρα· » καὶ τὸ αἷμα τὸ ἀθῷον ἐπὶ τὴν ἑαυτοῦ κεφαλὴν ἐξαιτούμενος, καὶ ὡς δικαίῳ τῷ φόνῳ ἐναβρυνόμενος, ἀφ' ὧν καὶ οὗτοι κἀκεῖνος κοινῶς τῆς βασιλείας ἐξέπεσαν.

A emendatus est; illud vero medium nempe inter latrones, crucem **105** subiisse Dominum, voluntatem ejus, utrosque ad quos sponte sua venit, sua incarnatione innovare volentis, significat: etsi prior tanquam unus ex latronibus eum repudiaverit, dicens: « Non habemus regem nisi Cæsarem [68]; » et sanguinem innocentem in caput suum deposcens, ac tanquam justa cæde insultans: unde et hi et ille publice regno exciderunt.

Τὸ δ' αὐτὸ καὶ λῃσταὶ οἱ συσταυρωθέντες αὐτῷ, ὠνείδιζον αὐτῷ.

XXVII, 44. *Idipsum autem et latrones, qui crucifixi erant cum eo, improperabant ei.*

Ὁ μὲν οὖν εἷς τῶν λῃστῶν ταῖς τῶν Ἰουδαίων ἀφιλοθεΐαις συνδιαιτώμενος τοὺς αὐτοὺς ἐκείνοις ἥρευγε λόγους· « Εἰ γὰρ σὺ εἶ, φησίν, ὁ Χριστός, σῶσον σεαυτὸν καὶ ἡμᾶς. » Ὁ γε μὴν ἕτερος, τὴν ἐναντίαν ἐκείνῳ βαδίζων ὁδόν, εἰκότως θαυμάζεται· πεπίστευκε γὰρ εἰς αὐτόν, καίτοι δίκης ἀπηρτημένης οὕτω πικρᾶς, ἐπιτιμᾷ ταῖς τῶν Ἰουδαίων ἀθυροστομίαις, καὶ ταῖς τοῦ συγκρεμαμένου φωναῖς ὡμολόγησε τὴν ἁμαρτίαν, ἵνα δικαιότερος φανῇ· μεμαρτύρηκε γὰρ Χριστῷ τὸ ἀνυπαίτιον παντελῶς, καὶ τῆς τῶν σταυρωσάντων ἀπονοίας κατήγορος ἦν, ταύτῃ τοι τὸν τῶν ἀγίων ἥρπασε κλῆρον, τὴν ἄνω καὶ ἐν οὐρανοῖς ἀπογραφήν. Σταυρούμενον γὰρ βλέπων, βασιλέα ἐκάλει· τὸν ἐν ἀτιμίᾳ καὶ πάθει προσεδόκησεν ἕξειν ἐν δόξῃ θεοπρεπεῖ, ἥρπασε τὴν πίστιν, καίτοι εὐγενῶς οὐ τεθραμμένος.

Itaque unus quidem latronum Judæorum a Deo aversationibus innutritus, eosdem cum illis protulit sermones: « Si enim, inquit, tu es Christus, salva temetipsum et nos [69]: » alius tamen contrariam B illi iniens viam, merito admiratione dignus est; credidit enim in eum, licet jam intentato hoc supplicio adeo acerbo, increpat perversas Judæorum voces, ac sermonum illius, qui simul suspensus est confessus est peccatum, ut justior videatur. Testatus est enim omnimodam Christi innocentiam, ac dementiæ eorum qui cruci affixerunt factus est accusator: hac ratione sanctorum sortem rapuit, supernam, ac in cœlis inscriptionem. Cernens enim cruci affixum, regem vocabat; cum in ignominia ac passione esset, in gloria, quæ Deum decet venturum exspectavit: fidem suscepit, licet minus ingenue esset enutritus.

Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐννάτης.

XXVII, 45. *A sexta autem hora tenebræ factæ sunt super universam terram usque ad horam nonam.*

Τὸ σκότος ἐφ' ὅλην τὴν γῆν ἐγένετο ἀπὸ ὥρας ἕκτης ἕως ὥρας ἐννάτης, τοῦ ἡλίου ἐκλείποντος, ἵν' εἰδεῖεν ὅτι αὐτός ἐστιν ἐκεῖνος ὁ ἀπηρτημένος τοῦ ξύλου ὁ σύνοπλον ὑπὲρ αὐτῶν τὴν κτίσιν λαβών, ὅτε τοῖς Αἰγυπτίοις πεπολέμηκε· δι' αὐτοὺς τὸ ἡλιακὸν ἐκλέλοιπε φῶς, καὶ ἁπάσης τῆς αὐτῶν χώρας κατεσκεδάσθη τὸ σκότος, ἡλίου τὴν ἀκτῖνα συστείλαντος καὶ οἷον οὐκ ἀνεχομένου πέμπειν αὐτὴν ἔτι τοῖς γεγονόσι κυριοκτόνοις. Καὶ καθ' ἕτερον δὲ τρόπον ἐσκοτίσθαι φαμὲν τὴν Ἰουδαίων χώραν, ἤτοι τοὺς κατοικοῦντας αὐτήν, ὅτι οὐκ ἐδέξατο τὸν ἥλιον τῆς δικαιοσύνης καὶ τὸ φῶς τὸ ἀληθινόν.

Tenebræ factæ sunt super universam terram ab C hora sexta usque ad horam nonam deficiente sole, ut videre possent illum ipsum esse, qui sublatus erat in ligno, qui simul armatam pro eis accepit creaturam, cum Ægyptios debellavit. Propter eos autem solis lumen deficit: et per universam illorum regionem diffusæ sunt tenebræ, sole suam lucem comprimente, et quodammodo non patiente eam mitti eis qui jam erant Domini interfectores. Alio vero modo etiam **106** obtenebrescere dicimus Judæorum regionem, sive qui eam incolunt, eo quod solem justitiæ ac verum lumen non susceperunt.

Ὁ δὲ Ἰησοῦς πάλιν κράξας φωνῇ μεγάλῃ ἀφῆκε τὸ πνεῦμα.

XXVII, 50. *Jesus autem iterum clamans voce magna, emisit spiritum.*

Μέγα καὶ ἐξαίρετον κατωρθώθη διὰ Χριστοῦ ταῖς ἡμετέραις ψυχαῖς. Ἐπειδὴ γὰρ δεδικαιώμεθα διὰ τῆς εἰς Θεὸν πίστεως, καὶ ἐν αὐτῷ τὸ ἀπλημμελὲς ἡ ἀνθρώπου φύσις εὑρέθη πλουτήσασα, κεκαινοτόμηκεν ἡμῖν τὸ μηκέτι μὲν εἰς ᾅδου τρέχειν τὰς τῶν σωμάτων ἀπαλλαττομένας ψυχάς, καθὰ καὶ πρώην, πέμπεσθαι δὲ μᾶλλον εἰς χεῖρας Θεοῦ ζῶντος. Καὶ τοῦτο εἰδὼς ὁ ἅγιος ἔφη Στέφανος· « Κύριε Ἰησοῦ, δέξαι τὸ πνεῦμά μου. » Καὶ ἕτερος δὲ γράφει τῶν ἀποστόλων, ὥστε καὶ οἱ πάσχοντες κατὰ τὸ θέλημα τοῦ Θεοῦ πιστῷ Κτίστῃ παρατιθέσθωσαν τὰς ἑαυτῶν ψυχάς.

Magnum et eximium quiddam a Christo perfectum est in animabus nostris. Cum enim justificati simus per fidem in Deum, et in ipso vacuitate peccati hominum natura ditata inventa sit, id nobis novi præstitit beneficii, ut non amplius quidem currant ad infernum animæ nostræ corporibus liberatæ, prout ante, sed potius mittantur in manus Dei viventis. Idque sciens sanctus Stephanus dixit: « Domine Jesu, suscipe spiritum meum [70]. » Alius vero etiam Apostolorum scribit, ut etiam patientes secundum Dei voluntatem fideli Creatori animas suas tradant.

[68] Joan. XIX, 15. [69] Luc. XXIII, 39. [70] Act. VII, 58.

Digitized by Google

XXVII, 41. *Et ecce velum templi scissum est in duas partes.*

Scindi **107** et disrumpi velum, signum erat non obscurum, cum tantum non lugere templum, et ipsos ad exitium et perditionem deductos esse qui templi Dominum crucifixerant; forte vero etiam de impietate contra Christum, pro illorum consuetudine, illo quod contigerat ipsos redarguente. Mos enim erat Judæis, discerpere vestimenta, cum Deus blasphemaretur. Videtur autem aliud etiam quiddam eorum quæ necessaria sunt ad utilitatem, hoc factum nobis insinuare. Velum enim quod abscondit intus Sancta sanctorum, instante tempore, quo oportebat contrahi legis umbram, cultumque figuratum desinere, aperiri vero Sancta sanctorum, iis qui per fidem in Christum justificati sunt, discerpitur, ostendente quodammodo ipsa Deo, iis qui digni sunt, ut deinceps nullo prohibente ad interius tabernaculum currant, qui Christi vestigiis insistunt.

108 Terra mota est transmutationem in melius innuens : aut etiam ostendit contra eos, qui Christo insultarunt indignationem ; rumpi autem petras, signum fuit lapideum gentium cor aperiri ad susceptionem divini ac evangelici seminis. Sancti vero qui resurrexerunt et apparuerunt multis, non præmaturam solum illi acceperunt resurrectionis gratiam, verum etiam in signum constituti sunt, mortem Christi morte esse superatam. Eo etiam legem spectasse arbitror quæ jubet involuntariæ cædis causa profugum, rursus redire in patriam, post mortem principis sacerdotum : Christi enim mors regressum ad supernam Jerusalem, reis nobis restituit.

Turbæ quoque, quæ ad spectandum aderant, percutientes pectora sua, reversæ sunt, forte etiam impietate in Christum sese liberantes, eo quod contra crucifixores clamarent, etsi non aperte, propter principum improbitatem. Tanta erat cruci affixi virtus, ut post tantam temulentiam ac irrisionem, etiam centurio ac populus compungeretur ; quidam autem aiunt, **109** centurionem hunc post hæc martyrium subiisse, in fide viriliter stantem. Verax enim erat Dominus cum diceret : « Cum exaltatus fuero a terra, omnes trahem ad meipsum [71]. » Ecce enim in pretiosa cruce sublatus, cœpit multos reti capere ad agnitionem veritatis : traxit igitur centurionem, traxit autem quosdam etiam Judæos, qui pectora sua percutiebant, quodammodo omnino compuncti, ac mentis oculis Dominum intuentes.

XXVIII, 7. *Et cito euntes dicite discipulis ejus, quia Surrexit a mortuis, et ecce præcedet vos in Galilæam : ibi eum videbitis ; ecce prædixi vobis.*

Postquam in cruce propter nos Dominus susti-

[71] Joan. XII, 32.

A *Καὶ ἰδοὺ, τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο.*

Τὸ διαῤῥαγῆναι τὸ καταπέτασμα σημεῖον ἦν οὐκ ἀσυμφανὲς τοῦ καὶ αὐτὸν μονονουχὶ πενθῆσαι τὸν ναὸν καὶ τοὺς εἰς ὄλεθρον καὶ ἀπώλειαν κατενηνεγμένους, οἳ τὸν αὐτοῦ τοῦ ναοῦ Δεσπότην ἐσταύρωσαν· ἴσως δὲ καὶ ἐπὶ δυσσεβείᾳ τῇ κατὰ Χριστοῦ, διὰ τῆς παρ' αὐτοῖς συνηθείας ἐλέγχοντος αὐτοὺς τοῦ συμβεβηκότος. Ἔθος γὰρ ἦν Ἰουδαίοις τὴν ἐσθῆτα περιῤῥήγνυσθαι βλασφημηθέντος Θεοῦ. Ἔοικε δέ τι καὶ ἕτερον τῶν ἀναγκαίων εἰς ὄνησιν ὑπεμφαίνειν ἡμῖν τὸ γεγενημένον. Τὸ γὰρ καταπέτασμα κρύπτον εἴσω τὰ Ἅγια τῶν ἁγίων, ἐνστάντος καιροῦ καθ' ὃν ἔδει συστέλλεσθαι τὴν τοῦ νόμου σκιὰν, καὶ τὴν ἐν τύποις καταλῆξαι λατρείαν, ἀνεῳχθῆναι δὲ τὰ Ἅγια τῶν B ἁγίων τοῖς διὰ πίστεως τῆς εἰς Χριστὸν δεδικαιωμένοις, περιῤῥήγνυται, δεικνύοντος ὥσπερ αὐτὰ τοῦ Θεοῦ τοῖς ἀξίοις, ἵνα λοιπὸν εἴργοντος οὐδενὸς, εἰς τὴν ἐσωτέραν τρέχωσι σκηνὴν οἱ κατ' ἴχνος ἰέντες Χριστοῦ.

Ἐσείσθη καὶ ἡ γῆ, τὴν ἐπὶ τὸ κρεῖττον μετάθεσιν σημαίνουσα, ἢ καὶ δείκνυσι τὴν κατὰ τῶν εἰς Χριστὸν πεπαρῳνηκότων ἀγανάκτησιν· τὸ δὲ ῥαγῆναι τὰς πέτρας, σημεῖον ἦν τοῦ τὴν λιθίνην τῶν ἐθνικῶν καρδίαν ἀνεῳχθῆναι πρὸς ὑποδοχὴν τοῦ θείου καὶ εὐαγγελιστικοῦ σπόρου. Οἱ δὲ ἀναστάντες ἅγιοι, καὶ ὀφθέντες πολλοῖς, οὐ πρόωρον ἔλαβον μόνοι ἐκεῖνοι τὸ τῆς ἀναστάσεως χάρισμα, ἀλλ' εἰς σημεῖον γεγόναστιν, ὅτι κατηργήθη ὁ θάνατος διὰ τοῦ θανάτου τοῦ Χριστοῦ. Εἰς τοῦτο, οἶμαι, καὶ ὁ νόμος ὑπέβλεπε, C κελεύων τὸν ἀκουσίως φονεύσαντα φυγόντα αὖθις ἐπανατρέχειν εἰς τὴν πατρίδα μετὰ τὸν θάνατον τοῦ ἀρχιερέως· ὁ γὰρ τοῦ Χριστοῦ θάνατος τὴν εἰς τὴν ἄνω Ἱερουσαλὴμ ἄνοδον τοῖς ὑπευθύνοις ἡμῖν ἀπέδωκεν.

Καὶ οἱ ὄχλοι δὲ οἱ παραγενόμενοι εἰς τὴν θεωρίαν τύπτοντες αὐτῶν τὰ στήθη, ὑπέστρεφον, τάχα που τῆς κατὰ Χριστοῦ δυσσεβείας ἀπαλλάττοντες ἑαυτοὺς διὰ τοῦ τῶν σταυρωσάντων καταβοᾶν, εἰ καὶ μὴ ἐμφανῶς, διὰ τὴν τῶν ἡγουμένων ἀνοσιότητα. Τοσαύτη τοῦ σταυρουμένου ἡ δύναμις, ὥστε μετὰ χλευασίας τοσαύτης καὶ κωμῳδίας καὶ τὸν κεντουρίωνα κατανυγῆναι, καὶ τὸν δῆμον. Τινὲς δέ φασιν ὅτι καὶ μαρτύριόν ἐστι τοῦ κεντουρίωνος τούτου ἀνδρισαμένου D μετὰ ταῦτα ἐν τῇ πίστει. Ἀληθὴς ἦν λέγων ὁ Κύριος· « Ὅταν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. » Ἰδοὺ γὰρ ἐν τῷ τιμίῳ σταυρῷ ὑψούμενος, ἤρξατο τοῦ σαγηνεύειν πολλοὺς εἰς ἐπίγνωσιν ἀληθείας. Εἵλκυσε γοῦν τὸν ἑκατόνταρχον, εἵλκυσε δὲ καὶ τῶν Ἰουδαίων τινὰς, οἳ καὶ τὰ στήθη ἔτυπτον κατανυττόμενοί που πάντως καὶ τοῖς τῆς διανοίας ὄμμασι ἀνακλέποντες πρὸς Κύριον.

Καὶ ταχὺ πορευθεῖσαι, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ, ὅτι Ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ ἰδοὺ προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε· ἰδοὺ εἶπον ὑμῖν.

Ἐπειδὴ τὸ ἐπὶ τῷ σταυρῷ δι' ἡμᾶς ὑπομεμένηκε

πάθος ὁ Κύριος, καὶ τῆς ἁπάντων ζωῆς ἀντάλλαγμα A nuit passionem, ac pignus pro nostrum o: mnium.
τὴν ἑαυτοῦ δέδωκε σάρκα, καὶ ἦν ἐν μνημείῳ καθάπερ τις « ἀβόηθος ἐν νεκροῖς ἐλεύθερος, » κατὰ τὸ ἐν Ψαλμοῖς ὑμνούμενον· Ἔδραμον αἱ γυναῖκες τὰ πρὸς τὴν τοῦ σώματος θεραπείαν ἐπικομιζόμεναι, καὶ ἀρωμάτων οὖσαι μεσταί. Ἐνόμιζον γὰρ, ὅτι κείσεται τοῖς ἄλλοις ὁμοῦ καὶ ἀπομενεῖ νεκρὸς ἐν μνημείῳ. Καὶ μήτοι θαυμάσῃς εἰ γυναῖκες ἠγνόουν ὅτι Θεὸς ὢν καὶ ζωὴ, τὸ τῆς φθορᾶς καταλύσει κράτος, καὶ πάλιν δρομήσει πρὸς ζωὴν, ὅπου καὶ αὐτοῖς τοῖς ἀποστόλοις ὁ περὶ τῆς ἀναστάσεως αὐτοῦ λόγος ἔδοξεν εἶναι λῆρός τις ἁπλῶς καὶ πρᾶγμα κατεψευσμένον, διὰ τὸ μηδὲ αὐτοὺς εἰδέναι τὴν θεόπνευστον Γραφήν. Οὐκοῦν ἀφίκοντο μὲν αἱ γυναῖκες ἐπὶ τὸ μνῆμα, τῆς εἰς αὐτὸν ἀγάπης ἕνεκα· οὐχ εὑροῦσαί γε μὴν τὸ σῶμα τοῦ Χριστοῦ, ὁρῶσιν ἅγιον ἄγγελον. Καὶ δὴ γέγονεν αὐτοῖς B εὐαγγελιστὴς καὶ κῆρυξ τῆς ἀναστάσεως. Μὴ γὰρ ζητῆτε, φησὶ, τὸν ἀεὶ ζῶντα κατὰ φύσιν ὄντα ζωὴν, μετὰ τῶν νεκρῶν· οὐκ ἔστι γὰρ ὧδε, τουτέστιν ἐν θανάτῳ καὶ μνήματι, ἀλλ' ἠγέρθη, ὁδὸς τῆς εἰς ἀφθαρσίαν ἀναδρομῆς οὐχ ἑαυτῷ μᾶλλον, ἀλλ' ἡμῖν γενόμενος. Διὰ τοῦτο γὰρ καθῆκεν ἑαυτὸν εἰς κένωσιν, καὶ τὴν πρὸς ἡμᾶς ὑπῆλθεν ὁμοίωσιν, « Ἵνα χάριτι Θεοῦ, καθά φησιν μακάριος Παῦλος, ὑπὲρ παντὸς γεύσηται θανάτου, » καὶ γένηται τοῦτο τοῦ θανάτου θάνατος, καὶ κατάλυσις ἀρᾶς τῆς ἐπενηνεγμένης τῷ πρωτοπλάστῳ ποτέ. Τοιαύτης γαρ ἐλπίδος παρεσκεύασεν εἶσω γενέσθαι ὁ Κύριος, εἰπών· « Ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ κἂν ἀποθάνῃ ζήσεται. » Εἰδέναι γὰρ δεῖ ὡς ἄγγελοι τοῖς ποιμέσιν ἐν Βηθλεὲμ C τὸν τόκον εὐηγγελίζοντο, καὶ νῦν λογικαὶ δυνάμεις κηρύττουσι τὴν ἀνάστασιν. Λελειτούργηκε τοίνυν ὁ οὐρανὸς τοῖς περὶ αὐτοῦ κηρύγμασι, καὶ περιέπουσι τὸν Υἱὸν αἱ ἄνω πνευμάτων στρατιαὶ, ὡς τῶν ὅλων Δεσπότην καὶ Κύριον, καὶ ὅτε γέγονε σὰρξ, τουτέστιν ἄνθρωπος.

nium. vita suam dedit carnem, fuitque in sepul ro, ut quidam « sine adjutorio inter mortuos libe r [72], » sicut in Psalmis cantatum est : cucurrerunt mulieres, ea quæ ad corporis officium pertinent a ferentes, et aromatibus instructæ. Existimabant enim fore ut eodem modo quo cæteri jaceret in se pulcro mortuusque permaneret. Ac ne mireris ign orasse mulieres eum, cum Deus et vita sit, **110** dissoluturum robur corruptionis, rursusque recursurum ad vitam, quando etiam apostolis illius sermo de resurrectione nugæ plane esse videbantur, ac res quædam ementita, eo quod ne ipsi quidem intelligerent divinitus inspiratam Scripturam. Itaque abierunt quidem mulieres ad sepulcrum Christi ob amorem in eum. Non invento autem ibi ejus corpore, vident sanctum angelum; et hic utique factus est illis nuntius, et præco resurrectionis : Nolite enim, inquit, semper viventem cum mortuis quærere, qui ex natura sua vita est, quia non est hic, id est, in morte ac monumento, sed suscitatus est, non tam sibi quam nobis via recurrendi ad incorruptionem factus. Propterea enim exinanivit semetipsum [73], nostramque subiit similitudinem, « Ut gratia Dei, ut ait beatus Paulus [74], pro omnibus gustaret mortem, » idque fiat mortis mors, ac dissolutio maledictionis aliquando latæ in protoplastum. In talem enim spem induxit nos Dominus dicens : « Amen dico vobis, qui credit in me, etiamsi mortuus fuerit, vivet [75]. » Sciendum enim est, ut angeli pastoribus Bethleem partum annuntiarunt, ita etiamnum rationales virtutes prædicare resurrectionem. Subserviit igitur cœlum illius prædicationi, ac sequuntur Filium spirituum supernorum exercitus, **111** tanquam universorum rectorem ac Dominum, etiam cum caro, id est homo, factus est.

Ὡς δὲ ἐπορεύοντο ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ, καὶ ἰδοὺ ὁ Ἰησοῦς ἀπήντησεν αὐταῖς, λέγων· Χαίρετε. Αἱ δὲ προσελθοῦσαι ἐκράτησαν αὐτοῦ τοὺς πόδας καὶ προσεκύνησαν αὐτῷ.

XXVIII, 9. *Ut autem egressæ sunt annuntiare discipulis ejus, et ecce Jesus occurrit illis dicens : Avete. Illæ autem accedentes tenuerunt pedes ejus, et adoraverunt eum.*

Κεκέρδακε τὸ θῆλυ γένος καὶ λύσιν ὀνειδισμοῦ καὶ κατάρας ἀνατροπήν. Ὁ γὰρ εἰπὼν πάλαι πρὸς αὐτάς· « Ἐν λύπαις τέξῃ τέκνα, » παῦλαν αὐταῖς ἔδωκε συναντήσας αὐταῖς ἐν τῷ κήπῳ, καὶ εἰπών· « Χαίρετε. » Μεθ' ὑπερβαλλούσης εὐφροσύνης αἱ γυναῖκες αὐτῷ προσδραμοῦσαι ἐλάμβανον, καὶ διὰ τῆς ἁφῆς, τεκμήριον καὶ πληροφορίαν τῆς ἀναστάσεως, καὶ προσεκύνησαν αὐτῷ. Τί οὖν αὐτός; « Μὴ φοβεῖσθε· » πάλιν καὶ αὐτὸς τὸ δέος ἐκβάλλει προοδοποιῶν τῇ πίστει, καὶ διὰ τῶν γυναικῶν τοὺς μαθητὰς εὐαγγελίζεται· ὃ πολλάκις εἶπον, τὸ μάλιστα γένος ἀτιμωθὲν εἰς τιμὴν ἄγων, καὶ εἰς χρηστὰς ἐλπίδας, καὶ τὸ πεπονηκὸς ἰώμενος.

Obtinuit muliebre genus et solutionem opprobrii, et maledictionis conversionem. Cum enim olim eis dixisset : « In dolore paries filios tuos [76], » requiem eis dedit occurrens eis in horto, ac dicens : « Avete. » Summa cum lætitia mulieres ei occurrentes id acceperunt, etiam per tactum, argumentum et certitudinem resurrectionis, et adorarunt eum ; ecquid igitur ipse? « Nolite timere [77] : » rursus etiam ipse metum ejicit viam sternens fidei, ac per mulieres discipulis annuntiat. Quod sæpenumero dixi, genus maxime honore carens summo honore afficit, et bona spe fovet, et quod laboravit sanat.

[72] Psal. LXXXVII, 6. [73] Philipp. II, 7. [74] Hebr. II, 9. [75] Joan. XI, 25. [76] Gen. III, 16. [77] Matth. XXVIII, 10.

Digitized by Google

FRAGMENTA ALIA.

Sancti Cyrilli archiepiscopi Alexandriæ ex Commentario in Matthæi Evangelium.

Ex his omnibus, conversos ad nequitiam Israelitas demonstrabat; et quod supernæ clementiæ facti indigni, a Servatoris auxilio exciderant.

Rorem hoc loco nihil aliud quam Spiritum dicens, sive vivificam Spiritus vim, quæ per Christum corruptis jam corporibus infusa, exitiosam expellit corruptelam, vitamque reducere curat.

Amovent nos a (Dei) necessitudine et intima communione, non locus aut intervalla, sed voluptatis potius amor, et mundani erroris impuritas. Si ergo hoc intermedium impedimentum tollatur, nihil jam prohibebit quominus Deo copulemur.

Non enim pervidere potuit Christi mysterium, quanquam divina jam lux oriebatur, lux, inquam, Christi. Verumtamen hæc gentibus concessa fuit, multæ licet reis impietatis; creaturam enim pro Creatore adorabant.

Præcipuus merito est veræ pœnitentiæ fructus, fides apprime in Christum, et evangelicæ vitæ novitas, quæ, litteræ crassitudine omissa, simplicem et defæcatam adorationem id spiritu exhibeat.

Ergo vere reputandum est, Deum in primis haud jam a nobis typos requirere, sed rem potius ab **112** illis significatam, id est adorationis in spiritu virtutem.

Prorsus enim detestanda est ferox illa et superba Jerusalem, quæ salutis vitæque Ducem et dispensatorem summa sua vesania a se removit, et incredibilibus ausis vel nolentem, ut ita dicam, ad alias transire regiones compulit.

(1) *Τοῦ ἁγίου Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας ἐκ τῆς εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον ἑρμηνείας.*

Διὰ τούτων ἁπάντων τὴν εἰς φαυλότητα τροπὴν ὑπεδήλου τῶν ἐξ Ἰσραὴλ, καὶ δι' ἃ φειδοῦς τῆς ἄνωθεν ἀναξίους ἑαυτοὺς ἀποφήναντες, τῆς παρὰ τοῦ Σωτῆρος ἐπικουρίας διήμαρτον.

Δρόσον ἐν τούτοις οὐχ ἕτερόν τι παρὰ τὸ Πνεῦμα λέγων, ἤτοι τὴν ζωοποιὸν τοῦ Πνεύματος ἐνέργειαν, ἢ διὰ Χριστοῦ καὶ τοῖς ἤδη κατεφθαρμένοις ἐκχεομένην σώμασι, τὴν ὀλέθριον μὲν ἐξελαύνει φθοράν, ἀντεισκρίνεσθαι δὲ ὥσπερ παρασκευάζει τὴν ζωήν.

Ἀπείργει ἡμᾶς τῆς πρὸς ἐγγύτητος καὶ προσεχοῦς κοινωνίας οὐ τόπος, οὐ διαστήματα, φιληδονία δὲ μᾶλλον καὶ κοσμικῆς ἀπάτης ἀκαθαρσία. Εἴπερ οὖν ἐξαιρέθη· τὸ μεσολαβοῦν, οὐδὲν ἔτι τὸ κωλύσον τῷ φιλαρέτῳ κολλᾶσθαι Θεῷ.

Οὐ γὰρ ἰσχύσας ἰδεῖν τὸ ἐπὶ Χριστὸν μυστήριον, καίτοι τῆς θείας αὐτῆς ἀνισχούσης αὐγῆς· αὐγῆς δὲ δηλονότι φαμὲν τοῦ Χριστοῦ· ἀλλ' ἐδόθη τοῖς ἔθνεσιν, καίτοι πολλὴν ἔχουσι τὴν ἀσέβειαν· ἐλάτρευσαν γὰρ τῇ κτίσει παρὰ τὸν κτίσαντα.

Εἴη δ' ἂν εἰκότως καὶ σφόδρα γε δὴ καρπὸς ἀληθοῦς μεταγνώσεως, πίστις μὲν πρὸ πάντων ἡ εἰς Χριστὸν, ζωῆς δὲ τῆς εὐαγγελικῆς ἡ καινότης, τῆς μὲν τοῦ γράμματος ἀπηλλαγμένη παχύτητος, ἰσχνὴν δὲ ὥσπερ τινὰ καὶ καθαρωτάτην τὴν ἐν πνεύματι λατρείαν προσφέρουσα.

Ἐννοεῖν οὖν ἀληθὲς, ὅτι προηγουμένως οὐκ ἤδη τοὺς τύπους παρ' ἡμῶν ἐζήτει Θεὸς, μᾶλλον δὲ τὰ ἐξ αὐτῶν παραδηλούμενα, τουτέστι, τῆς ἐν πνεύματι λατρείας τὴν δύναμιν.

Κατεστυγημένη γὰρ ὄντως ἡ πάροινός τε καὶ ἀλαζὼν Ἱερουσαλὴμ, τὸν τῆς σωτηρίας καὶ ζωῆς χορηγόν τε καὶ πρύτανιν, ταῖς εἰς ἄγαν ἀπονοίαις ἀποσοβήσασα, καὶ τοῖς ὑπὲρ λόγον τολμήμασι, καὶ οὐχ ἑκόντα ἤδη πως εἰς ἑτέρους μεταχωρεῖν ἀναγκάσασα.

Cyrillus libro IX in Evangelium Matthæi.

Non quod (2) humanam corporis formam amiserit, sed quia id circumdedit lucente gloria, et indecoram carnis conditionem honorabili specie vestivit, ceu optime Paulus dixit: « Seminatur in ignominia, resurgit in gloria. » Quid autem corpus est? Scilicet nuda caro, quæ naturali nulla circumdatur gloria, imo ignominia tantummodo et naturæ infirmitate laborat. Verumtamen in resurrectione, digna Deo mutatio accidet, nempe in divinæ lucentisque gloriæ stolam. « Etenim justi veluti sol splendebunt in regno Patris ipsorum, » ut ipse ait Salvator noster, gloria videlicet divinæ substantiæ propria.

(1) *Τοῦ ἁγίου.* Hoc et sequentia sex fragmenta prodeunt catenis in Isaiam et Jeremiam.

(2) Ex Severi libris adversus Julianum Halicarnassensem (cod. Syriac. biblioth. Vatic.) ap. Maium, *Bibl. nova Patrum*, II, 456. Præcedebat fragmentum *De sanatione Petri socrus* quod jam supra ad Matth. VIII, 14, 15, Græce et Latine legitur.

Digitized by Google

Idem Cyrillus in libro XIII.

Etenim per resurrectionem a mortuis iterum humana natura imputribilitatis capax est facta: quæ res cœpit in Christo, qui idcirco secundus Adam, primus dormientium et primogenitus ex mortuis vocitatur.

113 *Idem Cyrillus in eodem libro.*

Mœstus fuit dolensque Servator noster, nostrasque passiones pertulit, etiamsi Deus esset dolore omni liber et excelsior, ut nos scilicet veram in ipso humanitatem agnoscamus. Etenim scriptum est, eum itinere fuisse lassatum, licet Dominus virtutum sit rerumque omnium potestas. Similiter esuriisse dicitur, qui tamen est panis vivus de cœlo descendens, vitamque orbi tribuens. Sic item tristitiam passus, qui alioqui totus in lætitia, suavitate gaudioque versatur. Profecto nos dicimus Verbum Dei impassibile, inviolabile, manifesteque Deum, nunquam esse in sua divina natura expertum passiones. Sed quia communia ei fuerunt quæ sunt propria humanitatis, vicissim ea quæ sunt Verbi Dei propria, eique tantummodo convenientia, communia carni evaserunt, propter ineffabilem inexplicabilemque unionem. Et cum cœlo Verbum descendit, nequaquam carnem secum cœlo descendisse ait: « Nemo enim ascendet in cœlum nisi qui descendit de cœlo Filius hominis. » Post hæc, supplicio quoque se obtulit, ut nos pœna peccatisque liberaret; etenim « Livore ejus sanati sumus. »

Digitized by Google

ΤΟΥ ΑΓΙΟΥ ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΞΗΓΗΣΙΣ ΕΙΣ ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ ΕΥΑΓΓΕΛΙΟΝ.

SANCTI CYRILLI

ARCHIEPISCOPI ALEXANDRIÆ

EXPLANATIO IN LUCÆ EVANGELIUM.

(Ex *Bibliotheca nova Patrum* card. Ang. Mai, t. II, p. 116. Vide ipsius Præfationem, hujusce editionis tom. I, col. 97.)

114-115 CAPITULUM I.

Qui ab initio ipsi viderunt, et ministri fuerunt Verbi.

Dum Verbi hypostatici ac viventis spectatores ait evangelista fuisse apostolos, consonat Joanni Verbum factum esse carnem dicenti, atque apud nos inhabitasse, ejusque gloriam visam, gloriam quasi Unigeniti a Patre. Per carnem enim factum est visibile Verbum, quæ videlicet visibilis tangibilisque est et solida : nam per se ipsum visuali potentiæ erat impervium. Rursusque Joannes in Epistola : « Quod fuit ab initio, quod audivimus, quod oculis nostris vidimus, et manus nostræ contrectaverunt de Verbo vitæ, et vita manifestata est [1]. » Nonne audis tangibilem appellari ab eo vitam? Nempe ut scias Filium se hominem fecisse, et carne quidem esse visibilem, deitate autem invisibilem.

V. 32. *Hic erit magnus, et Filius Altissimi vocabitur.*

Etenim pari gloria præditus, atque omni re ei æqualis, ex quo effulsit, Patri, merito intelligitur Filius (1). Neque enim cum dispensatoria ratione factus est homo, omnino in aliquo factus est ipsi inferior : neque ejus natura passa aliquid est, cum apud nos pro nobis cœpit versari : **116** quippe invertibili natura est Dei Verbum. Propterea et Deus et Altissimus ac Dominus ab angelorum voce nuncupatur.

V. 37. *Quia non erit impossibile apud Deum omne verbum.*

Dubitant rursus nonnulli, num universalis Deus

ΚΕΦΑΛΑΙΟΝ Α'.

Οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ Λόγου

(Cod. A f. 2 b, E f. 5) Τοῦ Λόγου δὲ τοῦ ἐνυποστάτου καὶ ζῶντος αὐτόπτας εἰπὼν τοὺς ἀποστόλους, συμπεφώνηκε τῷ Ἰωάννῃ λέγοντι τὸν Λόγον σάρκα γεγονέναι, καὶ ἐσκηνωκέναι ἐν ἡμῖν, καὶ τεθεωρῆσθαι τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός. Διὰ γὰρ τῆς σαρκὸς, θεωρητὸς ὁ Λόγος κατέστη, ὁρατῆς οὔσης καὶ ψηλαφητῆς καὶ ἀντιτύπου, ἀθεώρητος ὢν τὸ καθ' ἑαυτόν· καὶ πάλιν ὁ Ἰωάννης ἐν τῇ Ἐπιστολῇ· « Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ Λόγου ζωῆς, καὶ ἡ ζωὴ ἐφανερώθη. » Οὐκ ἀκούεις ὅτι ψηλαφητὴν ὀνομάζει τὴν ζωήν; ἵνα ἐνανθρωπήσαντα νοῇς τὸν Υἱόν, καὶ ὁρατὸν μὲν κατὰ σάρκα, ἀόρατον δὲ κατὰ τὴν θεότητα.

Οὗτος ἔσται μέγας, καὶ Υἱὸς Ὑψίστου κληθήσεται.

(A f. 17) Ἰσοκλεὴς γὰρ τῷ φύσαντι, κατὰ πᾶν ὁτιοῦν ἰσομέτρως ἔχων ὁ ἐξ αὐτοῦ πεφηνὼς Υἱὸς νοεῖτ' ἂν εἰκότως. Οὐ γὰρ ὅτι γέγονεν ἄνθρωπος οἰκονομικῶς, μειονεκτεῖτο κατά τι γοῦν ὅλως αὐτοῦ· οὐδὲν γὰρ εἰς ἰδίαν ἠδικήθη φύσιν, ἀπό γε τῶν καθ' ἡμᾶς γενέσθαι δι' ἡμᾶς· ἐπειδὴ ἄτρεπτος κατὰ φύσιν ὁ τοῦ Θεοῦ Λόγος· διὰ τοῦτο καὶ Θεὸς καὶ Ὕψιστος καὶ Κύριος ὀνομάζεται καὶ διὰ τῆς ἀγγέλων φωνῆς.

Ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα.

(E f. 50 b, F f. 734) Ἀποροῦσι δὲ πάλιν τινὲς,

[1] I Joan. I, 1.

(1) Animadverte jam inde ab initio vigilantissimum Cyrilli studium affirmandi divinitatem Christi Domini, quod in omni ejus scripto fieri videmus.

Digitized by Google

εἰ ὁ τῶν ὅλων Θεὸς τὰ γενόμενα ἤδη καὶ πραχθέντα, δύναται ποιῆσαι μὴ γεγενῆσθαί ποτε· κατὰ τὸ, « Οὐκ ἀδυνατήσει ᾧτῷ πᾶν ῥῆμα. » Οὐ γὰρ λέγομεν ὡς μὴ γενόμενα, ἀλλὰ μὴ γεγενῆσθαι τὴν ἀρχήν· οἷον εἰ τὴν πόρνην δύναται ποιῆσαι παρθένον ἐκ κοιλίας μητρὸς, ἵνα μήτε εἴη ποτὲ πόρνη, μήτε λέγοιτο, ὅτι παρὰ ἀνθρώποις ἀδύνατα, δυνατὰ παρὰ τῷ Θεῷ. Πρὸς οὓς ἐροῦμεν, ὅτι ζητεῖσθαι χρὴ παρ' ἡμῶν τὴν τοῦ Θεοῦ δύναμιν. Εἰ μεγάλη καὶ ἀξιάγαστος, ὅτε τὸ δρώμενόν ἐστιν οὐκ ἀπεικὸς τῇ θείᾳ δόξῃ· οὐ γὰρ ὅτι πάντα δύναται, διὰ τοῦτο καὶ τῶν ἀτόπων αὐτὸν ἐργάτην ὁράσθαι προσήκει· νοοῦμεν γὰρ ὅτι ἄτοπόν ἐστι τὸ λέγειν, Εἰ δύναται ὁ Θεὸς ἑαυτὸν ποιῆσαι μὴ εἶναι Θεόν, ἢ ἁμαρτίας δεκτικόν, ἢ μὴ εἶναι ἀγαθὸν, ἢ ζωὴν, ἢ δίκαιον. Δεῖ τοίνυν παραιτεῖσθαι παντὶ σθένει τὰς ἀτόπους οὕτω τῶν ἐρωτήσεων. Διὰ τί δὲ Θεὸς οὐ δύναται τὴν πορνεύσασαν μὴ ποιῆσαι μὴ γεγενῆσθαί ποτε πόρνην; Ὅτι οὐ δύναται τὸ ψεῦδος ἀλήθειαν ποιῆσαι· καὶ οὐκ ἀσθενείας ἔγκλημα τοῦτο, ἀλλὰ φύσεως ἀπόδειξις οὐκ ἀνεχομένης τι παθεῖν, ὃ μὴ αὐτῇ πρέπει· ἀλλότριον δὲ Θεοῦ τὸ ψεῦδος παντελῶς. Φεῦσμα γάρ ἐστι τὸ τὴν πορνεύσασαν ποιῆσαι μὴ πορνεῦσαί ποτε. Δεῖ δὲ, ὡς ἔφην, τὰς οὕτως εὐήθεις τῶν ἐρωτήσεων καὶ πολὺ ἄτοπον ἐχούσας μηδὲ προσίεσθαι τὴν ἀρχὴν, μηδὲ τὴν θείαν ἀγνοεῖν φύσιν, μᾶλλον δὲ τῆς φύσεως ἐκείνης ἐξαίρετα.

A facere queat, ut res aliqua reapse facta et peracta, facta nunquam fuerit, juxta illud : « Non est ei impossibile omne verbum. » Non enim loquimur de re non acta, sed de re acta quam actam fuisse nollemus, veluti, an eam quæ fuit meretrix, possit Deus efficere ceu ex matris utero virginem, ita ut neque meretrix fuerit, neque dicatur; quandoquidem impossibilia hominibus, possibilia Deo sunt. Quibus respondemus, debere nos Dei virtutem ita magnam et admirandam exquirere, ut res ab eo peragenda haud indigna sit Dei ipsius majestate. Non enim quia omnia potest, idcirco absurdorum auctorem reputari eum decet. Etenim existimamus absurde quæri, possitne Deus efficere quominus ipse sit Deus, aut ut peccatum committat, aut ne sit bonus, et vivens, ac justus. Oportet igitur totis viribus absurdas hujusmodi quæstiones vitare. Cur autem haud potest Deus efficere, ut quæ fuerit meretrix reapse non fuerit? nempe quia veritatem in mendacium convertere nequaquam potest. Neque id infirmitatis vitium est, sed naturæ demonstratio pati quidquam sibi indecens impotentis : est autem a Deo prorsus alienum mendacium. Atqui mendacii genus foret, si quæ fuerit meretrix, nunquam fuisse meretricem efficeret. Oportet itaque, ut jam dixi, fatuis hujusmodi et valde absurdis quæstionibus nunquam attendere, neque ignorare divinam naturam, vel potius naturæ ejusdem dotes eximias.

B

Εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου.

V. 42. *Benedictus fructus ventris tui.*

(E f. 56, F f. 740) Οὐκ ἀκούεις καὶ τοῦ Δαβὶδ ψάλλοντος· « Ἰδοὺ ἡ κληρονομία Κυρίου, υἱοὶ ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός; » Κληρονομία γὰρ Κυρίου οἱ διὰ πίστεως αὐτῷ υἱοθετηθέντες, οἵ καὶ μισθός εἰσι Χριστοῦ, τοῦ γεγονότος καρποῦ τῆς παρθενικῆς γαστρός· κατὰ τὸ, « Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου [1]. »

C Nonne audis Davidem quoque psallentem : « Ecce hæreditas Domini, filii merces fructus ventris [1]? » Quippe sunt Domini hæreditas, quotquot adoptionem filiorum per fidem sunt consecuti. Iidem pariter Christi merces sunt, qui virginalis uteri factus est **117** fructus, juxta illud : « Postula a me, et dabo tibi gentes hæreditatem tuam [2]. »

Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ· διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν, κ. τ. λ.

V. 51. *Fecit potentiam in brachio suo, dispersit superbos mente cordis ipsorum.*

(B f. 16, H f. 44 b.) Αἰνίττεται ὁ βραχίων τὸν ἐξ αὐτῆς φύντα Λόγον. Ὑπερηφάνους δὲ λέγει τοὺς πονηροὺς δαίμονας μετὰ τοῦ ἄρχοντος αὐτῶν πεσόντας δι' ἔπαρσιν, καὶ τοὺς Ἑλλήνων σοφοὺς τὴν δοκοῦσαν τοῦ κηρύγματος μωρίαν μὴ προσδεξαμένους, καὶ Ἰουδαίους πιστεῦσαι μὴ βουληθέντας, οἵτινες διεσκορπίσθησαν, ἀνάξια διανοηθέντες περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ· δυνάστας δὲ τοὺς Γραμματεῖς, καὶ Φαρισαίους φησὶ τοὺς τὰς πρωτοκαθεδρίας μεταδιώκοντας. — (A f. 9 b, E f. 59, H f. 48.) Οἰκειότερον δὲ ταῦτα περὶ τῶν ἀλιτηρίων δαιμόνων νοεῖν· τούτους γὰρ καταθρασυνομένους τῆς ὑπ' οὐρανὸν διεσκόρπισεν ἐπιδημήσας ὁ Κύριος, καὶ τοὺς αἰχμαλωτισθέντας ὑπ' αὐτῶν, πρὸς τὴν ὑπακοὴν ἑαυτοῦ ἀντιμετέστησε. Ταῦτα γὰρ πάντα ἀκολούθησε τῇ προφητείᾳ·

Brachii vocabulo innuit (Maria) natum ex semetipsa Verbum. Superbos autem dicit improbos dæmonas, cum principe suo elationis causa lapsos : simulque Græcorum sapientes, qui Evangelium, quod ipsis stultitia visum est, non admiserunt : nec non D Judæos incredulos, qui indigna Filio Dei sentientes dispersi fuerunt : potentes denique litteratos dicit ac Pharisæos, qui primas cathedras appetebant. — Congruentius tamen est de scelestis dæmonibus illa verba intelligere. Hos enim per orbem audacter grassantes dispersit adveniens Dominus, et captivatos ab ipsis homines ad suam obedientiam transtulit. Hæc enim omnia prophetiam impleverunt quæ ait :

Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς.

V. 52. *Deposuit potentes de sedibus, et exaltavit humiles.*

(A f. 9 b, H f. 48) Μεγάλα ἐφρόνουν οἱ σκορπι-

Valde superbiebant hi qui postea dispersi fuere

[1] Psal. CXXVI, 3. [2] Psal. II, 8.

Digitized by Google

dæmones, nec non Græcorum sapientes (ut dixi) ac Pharisæi et Litterati. Verumtamen hos depressit, extulitque illos qui potenti manui ipsius semet supposuerant, dans eis facultatem calcandi serpentes et scorpios, cunctamque inimici potentiam [4]; irritasque efficiens illorum contra nos insidias, qui tumidas mentes gerebant. Profecto Judæi olim regno suo gloriabantur; sed tamen ob incredulitatem fastigio suo dejecti fuerunt: contra vero ethnici cum inglorii essent ac ignobiles, fidei merito sunt exaltati.

A

V. 53. *Esurientes implevit bonis, et divites dimisit inanes.*

Esurientium quidem nomine humanum genus designat. Reapse enim cuncti esuriebant, solis Judæis exceptis. Hi quippe abundabant legislatione, sanctorumque prophetarum doctrina: ipsorum enim erat legislatio, et in filios adoptio, et cultus, et promissiones [5]. Verumtamen hi luxuriantes, et sua dignitate inflati, cum ad incarnatum **118** Deum humiliter non accesserint, vacui dimissi sunt, nihil secum ferentes, neque fidem scilicet, neque scientiam, neque spem ullam bonorum. Nempe amiserunt terrestrem Jerusalem, et a futura quoque vita gloriaque exciderunt, propterea quod vitæ Auctorem non receperunt, et gloriæ Dominum crucifixerunt, fontem aquæ viventis dereliquerunt, et panem de cœlo demissum aspernati sunt. Ideo supervenit ipsis pessima omnium fames, et sitis quavis siti molestior. Non enim famis fuit panis sub sensum cadentis, nec aquæ sitis; sed divini verbi fames [6]. Ethnici contra esurientes atque sitientes, malisque animum afflictum gerentes, Domino recepto, spiritalibus bonis repleti fuere. Judæorum enim prosperitas ad ipsos transmigravit.

B

C

V. 54. *Suscepit Israelem puerum suum, recordatus misericordiæ.*

Israelem suscepit, non illum secundum carnem et nomine nudo gloriantem, sed illum secundum spiritum vimque appellationis suæ conservantem, id est homines qui Deum spectant atque ei credunt, ac per ejus Filium adoptionem sunt consecuti, prout priscis quoque prophetis et patriarchis dictum fuerat atque promissum. Quanquam id Israeli quoque, qui est secundum carnem, congruere potest; multa enim ex hac gente millia crediderunt. « Recordatus autem est misericordiæ suæ, prout Abrahamo promiserat. » In rem videlicet contulit dictum ei vaticinium, fore ut in semine ejus tribus omnes terræ benedicerentur. Impletum vero fuit vaticinium, orituro inde communi Servatore Christo, qui de semine Abrahami est, in quo gentes benedicuntur. « Apprehendit enim semen Abrahami, » ut ait Apostolus [7], atque ita editum patribus promissum complevit.

D

σθέντες δαίμονές τε καὶ διάβολος, Ἑλλήνων τὲ σοφοὶ (ὡς ἔφην) καὶ Φαρισαῖοι καὶ Γραμματεῖς· ἀλλὰ τούτους καθεῖλε, καὶ ὕψωτε τοὺς ταπεινώσαντας ἑαυτοὺς ὑπὸ τὴν κραταιὰν αὐτοῦ χεῖρα, δεδωκὼς αὐτοῖς ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· ἀπρακτῆσαι δὲ τὰς καθ' ἡμῶν ποιήσας βουλὰς τῶν τῇ διανοίᾳ ὑπερηφάνων· ἦσάν ποτε καὶ Ἰουδαῖοι τῇ δυναστείᾳ γαυρούμενοι· ἀλλὰ καθῃρέθησαν δι' ἀπιστίαν· οἱ δὲ ἐξ ἐθνῶν ἄσημοι ὄντες καὶ εὐτελεῖς, διὰ πίστιν ὑψώθησαν.

Πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

(B f. 16, H f. 44 b, E f. 59 b) Πεινῶντας μὲν τὸ γένος τῶν ἀνθρώπων λέγει· ἐλίμωττον γὰρ πλὴν Ἰουδαίων μόνων· οὗτοι δὲ ἐπλούτουν τῇ νομοθεσίᾳ, τῇ διδασκαλίᾳ τῶν ἁγίων προφητῶν· αὐτῶν γὰρ νομοθεσία ἡ υἱοθεσία, ἡ λατρεία, αἱ ἐπαγγελίαι· ἀλλ' οὗτοι μὲν ὑπερμαζήσαντες, καὶ λίαν τῷ ἀξιώματι ἐπαρθέντες, διὰ τὸ μὴ ταπεινῶς προσελθεῖν τῷ ἐνανθρωπήσαντι, ἐξαπεστάλησαν κενοί, μηδὲν ἐπιφερόμενοι, μήτε πίστιν, μήτε γνῶσιν, μήτε ἐλπίδα ἀγαθῶν· ἐκπεπτώκασι γὰρ καὶ τῆς ἐπιγείου Ἱερουσαλὴμ, καὶ τῆς μελλούσης ἠλλοτριώθησαν ζωῆς τε καὶ δόξης, ἐπειδὴ οὐκ ἐδέξαντο τὸν ἀρχηγὸν τῆς ζωῆς, ἀλλὰ καὶ ἐσταύρωσαν τὸν Κύριον τῆς δόξης, καὶ ἐγκατέλιπον τὴν πηγὴν τοῦ ζῶντος ὕδατος, καὶ ἐξουθένησαν τὸν ἄρτον τὸν ἐκ τοῦ οὐρανοῦ κατελθόντα· διὰ τοῦτο καὶ ἦλθεν ἐπ' αὐτοὺς λιμὸς ὁ πάντων χαλεπώτατος, καὶ δίψα δίψης ἁπάσης πικροτέρα· οὐ γὰρ ἦν λιμὸς ἄρτου αἰσθητοῦ, οὐδὲ δίψα ὕδατος, ἀλλὰ λιμὸς τοῦ ἀκοῦσαι λόγον Κυρίου· οἱ δὲ ἀπὸ τῶν ἐθνῶν πεινῶντες καὶ διψῶντες καὶ ἐν κακείς τὴν ψυχὴν τηκόμενοι, ἐπειδὴ τὸν Κύριον προσήκαντο, ἐνεπλήσθησαν τῶν πνευματικῶν ἀγαθῶν· μετέβη γὰρ εἰς αὐτοὺς τὰ τῶν Ἰουδαίων καλά.

Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους.

(E f. 59 b, F f. 744) Ἀντελάβετο Ἰσραὴλ, οὐ τοῦ κατὰ σάρκα, τοῦ τῷ ὀνόματι ψιλῷ σεμνυνομένου, ἀλλὰ τοῦ κατὰ πνεῦμα, τοῦ τὴν δύναμιν τῆς προσηγορίας τετηρηκότος, τουτέστιν τῶν εἰς αὐτὸν ὁρώντων καὶ πιστευόντων καὶ δι' αὐτοῦ τοῦ Υἱοῦ υἱοθετουμένων, καθὼς καὶ τοῖς πάλαι προφήταις καὶ πατριάρχαις ὁ λόγος καὶ ἡ ὑπόσχεσις· δύναται δὲ καὶ πρὸς τὸν κατὰ σάρκα Ἰσραὴλ τοῦτο ἁρμόσαι· πολλαὶ γὰρ ἐξ αὐτῶν μυριάδες ἐπίστευσαν. « Ἐμνήσθη δὲ τοῦ ἐλέους αὐτοῦ, καθὼς ἐπηγγείλατο τῷ Ἀβραάμ. » Καὶ εἰς πέρας ἤγαγεν ὅπερ ἦν εἰπὼν πρὸς αὐτὸν, ὅτι « Εὐλογηθήσονται ἐν τῷ σπέρματί σου πᾶσαι αἱ φυλαὶ τῆς γῆς· » ἐπληροῦτο δὲ αὕτη ἡ ἐπαγγελία, ἐξ αὐτῆς μέλλοντος γεννᾶσθαι τοῦ κοινοῦ Σωτῆρος Χριστοῦ, ὃς ἐστι τὸ σπέρμα τοῦ Ἀβραὰμ, ἐν ᾧ τὰ ἔθνη εὐλογοῦνται· « Σπέρματος γὰρ Ἀβραὰμ ἐπελάβετο, » καθὼς φησιν ὁ Ἀπόστολος, καὶ οὕτω τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν ἐπλήρωσε.

[4] Luc. x, 19. [5] Rom. ix, 4. [6] Amos viii, 11. [7] Hebr. ii, 16.

Digitized by Google

Ἤγειρε κέρας σωτηρίας ἡμῖν.

(E f. 26, H f. 54 b) Λαμβάνεται δὲ τὸ κέρας οὐ μόνον ἀντὶ δυνάμεως, ἀλλὰ καὶ ἀντὶ βασιλείας· ἀμφότερα δὲ ὁ Χριστός ἐστιν, ὁ ἐκ τῆς πατριᾶς καὶ τοῦ γένους Δαβὶδ ἀνατείλας ἡμῖν Σωτήρ· αὐτὸς γάρ ἐστιν ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ ἡ ἀκαταμάχητος δύναμις τοῦ Πατρός (1).

Ποιῆσαι ἔλεος.

(I f. 133) Ἔλεος καὶ δικαιοσύνη Χριστός· ἠλεήθημεν γὰρ δι' αὐτοῦ, καὶ δεδικαιώμεθα τοὺς τῆς φαυλότητος ῥύπους ἀπονιψάμενοι, διὰ πίστεως δηλονότι τῆς εἰς αὐτόν.

A **119** V. 69. *Erexit cornu salutis nobis.*

Intelligitur cornu vocabulum non de potentia solum, verum etiam de regno. Utrumque vero Christus est, qui de familia et genere Davidis ortus est nobis Servator. Ipse enim est rex regum, et invicta Patris potentia.

V. 72. *Ad faciendam misericordiam.*

Misericordia ac justitia Christus est. Etenim ab eo misericordiam consecuti sumus ac justificati, abstersis nequitiæ sordibus, per fidem videlicet in ipsum.

V. 73. *Jusjurandum quod juravit ad Abraham Patrem nostrum* (2).

Cyrillus. Nemo autem quod Deum Abrahamo jurasse audiat, jurare assuescat. Quemadmodum enim ira de Deo dicta, non est ira, nec passionem significat, sed punitivam vim aut aliquem hujusmodi motum; sic nec juramentum, juramentum est. Non enim jurat Deus, sed certitudinem indicat, omnino futurum esse quod dicit. Juramentum enim Dei est verbum ipsius, persuadens (πληροφορῶν) audientes, et fidem cuique faciens, id quod promisit ac dixit, prorsus esse eventurum.

Καὶ σὺ, παιδίον, προφήτης Ὑψίστου κληθήσῃ.

(A f. 12 β, E. f. 30, H f. 58) Ἀλλὰ γὰρ καὶ τοῦτο σκόπει, ὅτι Ὑψιστός ἐστιν ὁ Χριστός, οὗ προέδραμεν Ἰωάννης καὶ τῇ γεννήσει καὶ τῷ κηρύγματι· καὶ τί λοιπὸν φήσουσιν οἱ ἐλαττοῦντες αὐτοῦ τὴν θεότητα (3); Πῶς δὲ οὐ βούλονται συνιέναι, ὅτι τὸ, « Καὶ σὺ προφήτης Ὑψίστου κληθήσῃ, » παρὰ Ζαχαρίου εἴρηται, ὡς καὶ τῶν ἄλλων προφητῶν αὐτοῦ γεγονότων, ὡς Θεοῦ δηλαδή;

B V. 76. *Et tu, puer, propheta Altissimi vocaberis.*

Sed enim id quoque animadverte, nempe Christum esse illum Altissimum, cui præivit Joannes nativitate simul et prædicatione. Quid vero jam deinceps ii dicent, qui divinitatem illius minuunt? Cur nolunt intelligere, verba « Et tu propheta Altissimi vocaberis » a Zacharia sic dicta fuisse, ut ab aliis quoque ipsius, nempe Dei, prophetis?

Ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις.

(E f. 29 b) Τοῖς οὖν ἐν νόμῳ καὶ κατὰ τὴν Ἰουδαίαν λύχνος ἦν οἷα τις Χριστοῦ προβαδίζων ὁ Βαπτιστής, καὶ περὶ αὐτοῦ προανεφώνηκεν ὁ Θεός· « Ἡτοίμασα λύχνον τῷ Χριστῷ μου. » Προετύπου δὲ αὐτὸν καὶ ὁ νόμος, κελεύων ἄσβεστον διατηρεῖσθαι C τὸν λύχνον ἐν τῇ πρώτῃ σκηνῇ· ἀλλ' οἱ Ἰουδαῖοι χρόνον βραχὺν ἐπ' αὐτῷ ἡσθέντες διά γε τὸ προσδραμεῖν αὐτοῦ τῷ βαπτίσματι, καὶ θαυμάσαι τὸν βίον, εὐθὺς κατεκοίμησαν αὐτὸν τῷ θανάτῳ, μονονουχὶ τὸν ἀειφανῆ λύχνον κατασβεννύοντες· διὰ τοῦτο καὶ ὁ Σωτὴρ ἔλεγε περὶ αὐτοῦ· « Ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος καὶ φαίνων· ὑμεῖς δὲ ἠθελήσατε μικρὸν ἀγαλλιασθῆναι πρὸς ὥραν ἐν τῷ φωτὶ αὐτοῦ. »

V. 79. *Illuminare his qui in tenebris et in umbra mortis sedent.*

Populo igitur sub lege degenti, quædam erat in Judæa lucerna præcursor Christi Baptista, deque eo Deus prædixerat: « Paravi lucernam Christo meo[a]. » Item typus ejus exprimebatur in lege, ubi ea mandat lucernam ardentem in anteriore tabernaculi parte nutriri. Verumtamen Judæi, brevi tempore eo delectati, dum ad ipsius baptismum concurrerent, vitæque genus admirarentur, mox eumdem leto merserunt, illam perpetui splendoris lucernam propemodum exstinguentes. Propterea Christus quoque de illo dixit: « Ille erat lucerna ardens et lucens; vos autem voluistis ad horam paululum exsultare in luce ejus[b]. »

Τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης.

(I f. 132) Ἐπλανᾶτο μὲν γὰρ ἡ ὑπ' οὐρανὸν τῇ κτίσει παρὰ τὸν Κτίστην λατρεύουσα, καὶ τῷ τῆς ἀμαθείας κατεμελαίνετο σκότῳ, καὶ νὺξ οἷά τις ταῖς ἁπάντων διανοίαις ἐμπίπτουσα, τὸν φύσει τε καὶ ἀληθῶς ὄντα Θεὸν ὁρᾷν οὐκ ἀφίει· ἀνέτειλεν δὲ τοῖς ἐξ Ἰσραὴλ φωτὸς καὶ ἡλίου δίκην ὁ τῶν ὅλων Κύριος.

V. 79. *Ad dirigendos pedes nostros in viam pacis.*

Errabat mundus dum Creatori debitum obsequium deferebat creaturæ; ignorantiæ infuscabatur tenebris, et nox veluti quædam **120** mentibus D omnium offusa verum naturalemque Deum cernere non sinebat. Sed enim Israelitis lucis solisque instar exortus est omnium Dominus.

[a] Psal. CXXXI, 17. [b] Joan. V, 35.

(1) In codd. dicitur Victoris et Cyrilli; Latine tantum Corderius sub Victoris nomine.

(2) Ex corderii Latina Catena fragmentum exhibeo quod Græce mihi nondum occurrit.

(3) Intelligit Arianos qui Filium Deum quidem, sed tamen Patre minorem dicebant; id quod Eusebius quoque, utpote Arianus, scribit in psalmi præsertim LXXXVIII interpretatione.

Digitized by Google

CAP. II.

V. 1. *Factum est autem diebus illis*, etc.

Utiliter, imo necessario designavit evangelista Servatoris nostri nativitatis tempus. Namque ut cognoscamus, regem de familia Davidis tunc nullum fuisse apud Israelitas, sed eorum principes defecisse, recte meminit Cæsaris edictorum, ceu qui cum cæteris populis Judæam quoque sceptro suo cobiberet. Sic enim descriptionem omnium mortalium fieri mandaverat.

V. 4. *Eo quod esset de domo et familia Davidis.*

Sacrorum Evangeliorum liber ad Josephum stirpis seriem deducens, qui de Davidis familia genus erat sortitus, demonstrat simul Virginem quoque de Davidis tribu æque ac illum fuisse, quia divina lex conjugia intra eamdem tribum fieri jubebat. Cæterum cœlestium dogmatum interpres, magnus apostolus Paulus, veritatem palam edicit, ex Juda ortum esse Dominum testans [10]. Diversæ quidem ad veram unitatem faciendam concurrerunt naturæ, unusque ex utraque Deus Filius : non quod naturarum diversitas ob adunationem perempta fuerit; nam duarum potius naturarum adunatio facta est : propterea unum Christum, unum Filium, unum Dominum confitemur. Atque ob hanc inconfusæ adunationis sententiam, Deiparam quoque sanctam Virginem prædicamus, quia nimirum Dei Verbum caro factum est et homo, atque ab ipso conceptu copulavit sibi sumptum ex Virgine templum. Cernimus enim duas naturas indivisibili adunatione copulatas, indistincte, inseparabiliter. Nam caro caro est, non deitas, quanquam Dei caro facta est. Æque Verbum Deus est, non caro, quanquam ob dispensationis mysterium **121** carnem illam sibi propriam effecit. Etsi autem et diversæ et inæquales naturæ sunt quæ ad unitatem (Christi) faciendam concurrerunt, unus tamen ex utraque solusque est; neque licet unicum Dominum Jesum Christum in hominem seorsum dividere, et item in Deum seorsum ; sed unum eumdemque dicimus esse Christum Jesum, naturarum diversitatem probe scientem, ipsasque sine ulla mutua confusione retinentem.

V. 5. *Cum Maria desponsata sibi uxore præguante.*

Desponsatam ait fuisse sacer evangelista Josepho Mariam, ut demonstret manentibus tantum sponsalibus evenisse conceptionem, miramque Emmanuelis nativitatem, præter humanæ naturæ leges. Non enim Virgo virili suscepto semine partum effudit. Quænam autem rei ratio? Omnium inchoatio

[10] Hebr. VII, 14.

ΚΕΦ. Β.

Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις, κ. τ. λ.

(A f. 14 b, E f. 63 b, F f. 750, H f. 63 b) Χρησίμως δὲ καὶ ἀναγκαίως ἐπεσημήνατο ὁ εὐαγγελιστὴς τῆς τοῦ Σωτῆρος ἡμῶν γεννήσεως καιρόν, Ἵνα γὰρ μάθωμεν, ὡς βασιλεὺς τῶν ἐκ φυλῆς Δαβὶδ, οὐκ ἦν παρὰ τῶν ἐξ Ἰσραὴλ, ἀλλ' οἱ παρ' αὐτοῖς ἄρχοντες ἐκλελοίπασιν, εἰκότως διαμέμνηται τῶν τοῦ Καίσαρος θεσπισμάτων, ὡς ὑπὸ σκῆπτρα λοιπὸν ἔχοντος μετὰ τῶν ἄλλων τὴν Ἰουδαίαν· οὕτω γὰρ κεκέλευκε γενέσθαι τὴν ἀπογραφήν.

Διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ.

(E f. 63 b, F f. 748 b) Ἡ μὲν οὖν τῶν ἱερῶν Εὐαγγελίων βίβλος εἰς τὸν Ἰωσὴφ τὴν γενεαλογίαν κατάγουσα, ἐκ τοῦ Δαϋδικοῦ ἔχοντα οἶκου τὸ γένος, ἔδειξε δι' αὐτοῦ καὶ τὴν Παρθένον τοῦ Δαβὶδ συμφυλέτιν, τοῦ θείου νόμου τὰς συζυγίας ἀπὸ φυλῆς θεσπίζοντος γίνεσθαι τῆς αὐτῆς. Ὁ δὲ τῶν οὐρανίων ὑποφήτης δογμάτων, ὁ μέγας ἀπόστολος Παῦλος, ἀναφανδὸν διασαφεῖ τὴν ἀλήθειαν, ἐξ Ἰούδα μαρτυρῶν ἀνατεῖλαι τὸν Κύριον. — (E f. 70, F f. 754 b) Ἀλλὰ διάφοροι μὲν αἱ πρὸς ἑνότητα συνενεχθεῖσαι φύσεις τὴν ἀληθινὴν, εἷς δ' ἐξ ἀμφοῖν Θεὸς καὶ Υἱός, οὐχ ὡς τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν· δύο γὰρ φύσεων ἕνωσις γέγονε· διὸ ἕνα Χριστὸν, ἕνα Υἱὸν, ἕνα Κύριον ὁμολογοῦμεν. Κατὰ ταύτην τὴν τῆς ἀσυγχύτου ἑνώσεως ἔννοιαν, Θεοτόκον τὴν ἁγίαν Παρθένον κηρύττομεν, διὰ τὸ τὸν Θεὸν Λόγον σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι, καὶ ἐξ αὐτῆς τῆς συλλήψεως ἑνῶσαι ἑαυτῷ τὸν ἐξ αὐτῆς ληφθέντα ναόν (1). Ὁρῶμεν γὰρ ὅτι δύο φύσεις συνῆλθον ἀλλήλαις καθ' ἕνωσιν ἀδιάσπαστον, ἀσυγχύτως καὶ ἀδιαιρέτως· ἡ γὰρ σὰρξ σάρξ ἐστι, καὶ οὐ θεότης, εἰ καὶ γέγονε Θεοῦ σάρξ· ὁμοίως δὲ καὶ ὁ Λόγος Θεός ἐστι καὶ οὐ σὰρξ, εἰ καὶ ἰδίαν ἐποιήσατο τὴν σάρκα οἰκονομικῶς. Εἰ δὲ καὶ διάφοροι καὶ ἀλλήλαις ἄνισοι τῶν εἰς ἑνότητα συνδεδραμηκότων αἱ φύσεις, ἀλλ' οὖν εἷς ὁ ἐξ ἀμφοῖν γε μόνος· καὶ οὐ διαιρετέον τὸν ἕνα Κύριον Ἰησοῦν Χριστὸν εἰς ἄνθρωπον ἰδικῶς, καὶ εἰς Θεὸν ἰδικῶς, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν εἶναί φαμεν Χριστὸν Ἰησοῦν, τὴν τῶν φύσεων εἰδότα διαφορὰν, καὶ ἀσυγχύτους ἀλλήλαις αὐτὰς διατηροῦντα (2).

Σὺν Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ γυναικὶ, οὔσῃ ἐγκύῳ.

(A f. 14, E f. 64, F f. 748 b, H f. 62) Ὁ δέ γε ἱερὸς εὐαγγελιστὴς, μεμνηστεῦσθαί φησι τῷ Ἰωσὴφ τὴν Μαριὰμ, δεικνὺς ὡς ἐπὶ μόνοις τοῖς μνήστροις ἡ σύλληψις, καὶ παράδοξος ἡ γέννησις τοῦ Ἐμμανουὴλ, καὶ τοῖς τῆς ἀνθρωπίνης φύσεως οὐκ ἀκολουθοῦσα νόμοις· οὐ γὰρ τέτοκεν ἡ ἁγία Παρθένος, ἀν-

(1) Confer Cyrillum, orat. *De Deipara*, cap. 4 (infra tom. IX).

(2) Sæpe etiam alibi, ut hic, de duabus manentibus in Christo naturis perspicue locutus est Cyrillus, puta in libris atque epistolis adversus Nestorium, (præsertim in illa quæ incipit καταφλυαροῦσι), in dialogo *Quod unus sit Christus*, in scholiis, atque in novis quæ nos ipsi edidimus ejusdem scriptis. Quamobrem singulari Severi Antiocheni impudentia atque mendacio opus fuit, ut Cyrillum hæreseos suæ Monophysiticæ patronum esse jactaret.

Digitized by Google

θρωπίνου σπέρματος λαβοῦσα καταβολήν. Καὶ τίς ὁ τοῦδε λόγος; Ἡ πάντων ἀπαρχὴ Χριστὸς, ὁ δεύτερος Ἀδὰμ, κατὰ τὰς Γραφὰς, γεννητὸς γέγονε Πνεύματος, ἵνα καὶ εἰς ἡμᾶς παραπέμψῃ τὴν χάριν· ἐμέλλομεν γὰρ καὶ ἡμεῖς, οὐκ ἀνθρώπων ἔτι χρηματίζειν τέκνα, Θεοῦ δὲ μᾶλλον, τὴν διὰ τοῦ Πνεύματος ἀναγέννησιν ἐν πρώτῳ λαχόντες Χριστῷ· ἵνα γένηται αὐτὸς πρωτεύων ἐν πᾶσι, καθά φησιν ὁ πάνσοφος Παῦλος. Οἰκονομικώτατα δὲ τῆς ἀπογραφῆς ὁ καιρὸς πέπομφεν εἰς Βηθλεὲμ τὴν ἁγίαν Παρθένον, ἵνα ἑτέραν ἴδωμεν προφητείαν ἐκτετελεσμένην· γέγραπται γὰρ ὡς ἔφημεν· « Καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθὰ (1), ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ. » — (B f. 22) Πρὸς δὲ τοὺς λέγοντας, ὅτι εἰ σαρκὶ γεγέννηται ἡ Παρθένος, διέφθαρται· εἰ δὲ οὐ διέφθαρται, κατὰ φαντασίαν γεγέννηται, φαμέν· Ὁ προφήτης λέγει, ὅτι [Κύριος ὁ Θεὸς Ἰσραὴλ] εἰσῆλθε, καὶ ἐξῆλθε καὶ μένει ἡ πύλη κεκλεισμένη. Καὶ εἰ ἀσυγχύτως ὁ Λόγος σὰρξ ἐγένετο, ἀσπόρως πάντως συλληφθεὶς, ἀφθόρως γεγέννηται.

Καὶ ἔτεκε τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον.

(A f. 25, B f. 22 b, E f. 71, F f. 755 b, H f. 71) Ποῖον ἄρα πρωτότοκον; Πρωτότοκον λέγει τοῦν, οὐ τὸν πρῶτον ἐν ἀδελφοῖς, ἀλλὰ τὸν καὶ πρῶτον καὶ μόνον· ἔστι γάρ τι καὶ τοιοῦτον εἶδος ἐν ταῖς σημασίαις τοῦ πρωτοτόκου· καὶ γὰρ καὶ πρῶτόν ἐστιν ὅτε τὸν μόνον ἡ Γραφὴ καλεῖ· ὡς τό· « Ἐγώ εἰμι Θεὸς πρῶτος, καὶ μετ' ἐμοῦ οὐκ ἔστιν ἕτερος. » Ἵνα οὖν δείξῃ, ὅτι οὐ ψιλὸν ἄνθρωπον ἐγέννησεν ἡ Παρθένος, ἐπήγαγεν τὸν πρωτότοκον· ἕτερον γὰρ οὐκ ἔσχεν υἱὸν, μείνασα παρθένος, ἀλλὰ τὸν τοῦ Πατρός· περὶ οὗ καὶ Θεὸς καὶ Πατὴρ διὰ φωνῆς τοῦ Δαβὶδ βοᾷ· « Κἀγὼ πρωτότοκον θήσομαι αὐτὸν ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς. » Τούτου καὶ ὁ πάνσοφος Παῦλος διαμνημονεύει λέγων· « Ὅταν δὲ εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ· » Εἶτα πῶς εἰσέβηκεν εἰς τὴν οἰκουμένην; Ἔξω γὰρ ὑπάρχει αὐτῆς, οὐ τοπικῶς μᾶλλον, ἀλλὰ φυσικῶς· ἕτερος γὰρ κατὰ φύσιν ἐστὶ παρά γε τοὺς κατὰ πᾶσαν τὴν οἰκουμένην. Εἰσβέβηκε δὲ εἰς αὐτὴν γενόμενος ἄνθρωπος, καὶ μέρος αὐτῆς χρηματίσας διὰ τὴν σάρκωσιν· καίτοι γὰρ μονογενὴς ὑπάρχων θεϊκῶς, ἐπειδὴ γέγονεν ἡμῶν ἀδελφὸς, ταύτῃ τοι καὶ ὠνομάσθη πρωτότοκος, ἵνα ὡς ἀπαρχὴ τῆς τῶν ἀνθρώπων υἱοθεσίας γεγονὼς, καὶ ἡμᾶς υἱοὺς Θεοῦ γενέσθαι παρασκευάσῃ.

(E f 73, F f. 758) Ὥστε τὸ πρωτότοκον, περὶ τῆς οἰκονομίας εἰρῆσθαι νόμιζε· κατὰ γὰρ τὴν θεότητα μονογενὴς· πάλιν μονογενὴς μὲν καθ' ὃ Λόγος ἐστὶν ἐκ Πατρός· ἀδελφοὺς κατὰ φύσιν οὐκ ἔχων, οὐδὲ ἑτέρῳ τινὶ συνταττόμενος· εἷς γὰρ καὶ μόνος ὁ ὁμοούσιος τῷ Πατρὶ Υἱὸς τοῦ Θεοῦ· πρωτότοκον δὲ

A Christus, et secundus, ut aiunt Scripturæ, Adamus, Spiritu sancto operante genitus fuit, ut ad nos quoque gratiam transmitteret. Futurum quippe erat, ut nos pariter haud jam diutius hominum filii, sed Dei potius essemus, in Christo scilicet primo per Spiritum regenerationem adepti, ut fieret ipse primogenitus inter omnes, prout ait sapientissimus Paulus [11]. Providentissime autem census occasio sanctam Virginem misit Bethleemum, ut alterius quoque vaticinii exitum videremus. Scriptum est enim, ut diximus: « Et tu Bethleem domus Ephrathæ, modica es ut sis in millibus Judæ: ex te mihi exibit qui dux fiet in Israel [12]. » — Iis autem qui dicunt, quod si carnaliter peperit Virgo, ipsa corrupta fuerit; sin vero minus corrupta fuerit, phantastice

B tantum peperisse; nos dicimus: Propheta ait, Dominum Deum Israelis **122** ingressum esse atque egressum, et tamen januam clausam mansisse [13]. Præterea si inconfuse Verbum factum est caro, absque semine prorsus conceptum, sine ulla item corruptione natum est.

V. 7. *Peperitque filium suum primogenitum.*

Quem, inquam, primogenitum? Primogenitum nunc dicit, non primum inter fratres, sed primum simul et unicum. Nam et hic quoque vocabuli *primogeniti* sensus est. Etenim primus dicitur interdum a Scriptura qui unus est. Veluti illud: « Ego sum Deus primus, et mecum non est alter [14]. » Ut ergo ostenderet haud simplicem hominem a Virgine genitum, addidit *primogenitum*. Non enim alium

C habuit filium, cum virgo permanserit, nisi Patris (cœlestis) Filium; de quo Deus Pater voce Davidis clamat: « Et ego primogenitum ponam illum, excelsum præ regibus terræ [15]. » Hujus sapientissimus quoque Paulus meminit dicens: « Et cum introducit primogenitum in orbem terræ, dicit: Et adorent eum omnes angeli Dei [16]. » Jam vero quomodo in mundum introiit? Est enim extra ipsum non localiter, sed potius naturaliter. Diversus enim natura est a re quavis in universo mundo contenta. Introiit ergo in mundum, quatenus factus est homo, mundique pars cœpit esse propter incarnationem. Quanquam vero divinitus erat unigenitus, attamen postquam frater noster evasit, tum demum primo-

D genitus quoque nominatus est; ut quatenus adoptivorum hominum princeps factus est, nos pariter Dei filios fieri curaret.

Primogenitum, ob dispensationis mysterium dictum esse puta: etenim secundum deitatem unigenitus est. Rursus unigenitus est, quatenus Verbum est ex Patre, fratres naturales non habens, nec alii cuiquam connumeratus: unus enim solusque est consubstantialis Patri Filius Dei. Primogenitus

[11] Coloss. I, 15. [12] Mich. V, 2; Matth. II, 6. [13] Ezech. XLIV, 2. [14] Isa. XLIV, 6. [15] Psal. LXXXVIII, 28. [16] Hebr. I, 6.

(1) Ita codices A, E, F, H, sine negante particula, uti reapse se habet textus Hebraicus Michææ V, 2, cum Gr. et Lat. vulgato; qua super re satis dictum est a sacris criticis, præsertim a S. Hieronymo ad Mich. loc. cit. et epist. 57.

Digitized by Google

autem propter suam ad creaturas inclinationem. Cum ergo unigenitus appellatur, sic nempe absolute dicitur, quia **123** ulla causa admisceatur, ob quam reapse taliter nominetur, cum utique Unigenitus Dei sit in Patris sinu. Cum autem primogenitum ipsum sacræ appellant Scripturæ [16], statim addunt et quorum sit primogenitus, nec non causam ob quam ejusmodi appellationem sortitus sit. Dicunt enim primogenitum inter multos fratres [17], et primogenitum ex mortuis [18]: illud quidem, quatenus factus est per omnia similis nobis absque peccato; alterum vero, quatenus ipse primus carnem suam ad immortalitatem resuscitavit. Porro unigenitus exstitit secundum naturam, ceu solus ex Patre Deus de Deo, solus de solo, Deus ex Deo effulgens, lumen de lumine; primogenitus autem propter nos, ut quoniam primogenitus eorum qui facti sunt dicitur, per ipsum salvetur quidquid pari ac ille conditione est. Nam si enim esse primogenitum prorsus necesse est, sequitur ut ii quoque quorum est primogenitus, maneant. Quod si, prout vult Eunomius, primogenitus ex Deo dicitur ceu primus inter multos genitus; pariterque est Virginis primogenitus: utique ex hac etiam talis fuerit, tanquam alio prior. Jam quia reapse solus, non autem prior aliis, ex Maria primogenitus prodiit, utique ex Deo quoque primogenitus processit, non tanquam primus in multis, sed tanquam unicus revera genitus. Præterea, si priora recte dicuntur causa posteriorum; primoque Deus erat et Dei Filius, utique eorum, qui filii appellantur, causa Filius est, quia hi ab illo nomen sunt auspicati. Ergo qui posteriorum filiorum causa est, merito dicetur primogenitus, non quod primus ortu sit inter illos, sed quia obtinendæ filiorum appellationis causa ipsis fuit. Ac sicuti, quia Pater dicitur primus, juxta illud, « Ego sum, inquit, primus, et ego novissimus [19], » minime hinc prorsus cogimur credere illum posteriorum affinem; ita etiamsi primus dicitur in creatis rebus Filius, sive ante omnem creaturam primogenitus, non **124** ideo tamen unus erit ullatenus ex creatis. Sed quemadmodum Pater, ut se principium omnium ostenderet dixit, « Ego sum primus, » sic etiam Filius primus in creatis rebus dicitur: per ipsum enim omnia sunt facta, ipseque est creaturarum omnium principium, utpote Conditor et Creator.

διὰ τὴν πρὸς τὰ κτίσματα συγκατάβασιν. Ὅτε μὲν οὖν μονογενὴς ὀνομάζεται, οὐδεμιᾶς αὐτῷ προσπεπλεγμένης αἰτίας, καθ' ἣν ἐστιν μονογενής, τοῦτο καλεῖται, ἀλλ' ἀπολελυμένως, Μονογενὴς Θεὸς ὢν εἰς τὸν κόλπον τοῦ Πατρός. Ὅτε δὲ πρωτότοκον αὐτὸν αἱ θεῖαι καλοῦσι Γραφαί, εὐθὺς ἐπιφέρουσι καὶ ὧν ἐστι πρωτότοκος, καὶ τὴν αἰτίαν δι' ἣν καὶ ταύτην ἔχει τὴν ἐπωνυμίαν. Φασὶ γὰρ πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς, καὶ πρωτότοκον ἐκ τῶν νεκρῶν· τὸ μὲν, καθ' ὃ γέγονεν ὅμοιος ἡμῖν κατὰ πάντα χωρὶς ἁμαρτίας· τὸ δὲ, καθ' ὃ πρῶτος αὐτὸς εἰς ἀφθαρσίαν τὴν ἑαυτοῦ σάρκα ἀνέστησε· καὶ ἔστη μονογενὴς μὲν κατὰ φύσιν, ἅτε δὴ μόνος ὢν ἐκ Πατρὸς Θεὸς ἐκ Θεοῦ, καὶ μόνος ἐκ μόνου, Θεὸς ἐκ Θεοῦ ἀναλάμψας, καὶ φῶς ἐκ φωτός· πρωτότοκος δὲ δι' ἡμᾶς ἵν' ἐπειδὴ καλεῖται τῶν πεποιημένων πρωτότοκος, δι αὐτὸν σώζηται τὰ κατ' αὐτόν· εἰ γὰρ δεῖ πάντως αὐτὸν εἶναι πρωτότοκον, μενοῦσι πάντως καὶ ὧν ἐστι πρωτότοκος· εἰ δὲ, κατ' Εὐνόμιον, πρωτότοκος ἐκ Θεοῦ λέγεται ὡς τῶν πολλῶν πρῶτος γεννηθείς, ἔστι δὲ καὶ ἐκ Παρθένου πρωτότοκος, εἴη ἂν καὶ ἐξ αὐτῆς ὡς πρῶτος ἑτέρου· εἰ δὲ μόνος, ἀλλ' οὐ πρὸ ἄλλων γεννηθείς, ἐκ Μαρίας πρωτότοκος κέκληται, καὶ ἐκ Θεοῦ ἄρα πρωτότοκος, οὐχ ὡς πολλῶν πρῶτος, ἀλλ' ὡς μόνος γεννηθείς (1). Ἔτι εἰ τὰ πρῶτα τῶν δευτέρων αἴτια ὡμολόγηται, πρῶτον δὴ ἦν Θεὸς καὶ Θεοῦ Υἱὸς, τῶν ἄρα υἱῶν λεγομένων αἴτιος ὁ Υἱὸς, ὡς ἐξ ἐκείνου λαχόντων τὴν κλῆσιν. Ὁ ἄρα αἴτιος τῶν δευτέρων υἱῶν, λέγοιτ' ἂν πρωτότοκος δικαίως, οὐχ ὡς πρῶτος ἐκείνων ὑπάρξας, ἀλλ' ὡς πρῶτος τῆς υἱοῦ προσηγορίας γενόμενος αὐτοῖς αἴτιος· καὶ ὥσπερ τὸ λέγεσθαι πρῶτον τὸν Πατέρα· « Ἐγὼ γὰρ, φησὶν, εἰμὶ πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, » οὐκ ἀναγκάσει πάντως αὐτὸν συγγενῆ τοῖς μετ' αὐτὸν νοεῖσθαι, οὕτω κἂν πρῶτος λέγηται τῆς κτίσεως ὁ Υἱὸς, εἶτ' οὖν πρωτότοκος πρὸ πάσης κτίσεως, οὐ πάντως ἔσται τῶν ποιημάτων εἷς· ἀλλ' ὥπερ ὁ Πατὴρ ἀρχὴν ἑαυτὸν τῶν πάντων ἀποδεικνύων ἔλεγεν, « Ἐγώ εἰμι πρῶτος, » οὕτω καὶ ὁ Υἱὸς πρῶτος τῆς κτίσεως λέγεται· δι' αὐτοῦ γὰρ τὰ πάντα γέγονεν, καὶ αὐτός ἐστιν ἡ πάντων κτισμάτων ἀρχή, ὡς Κτίστης καὶ Δημιουργός.

V. 7. *Et reclinavit eum in præsepio.*

Invenit hominem jumenti instar effectum. Idcirco Jesus ceu pabulum in præsepi positus fuit, ut nos belluinam vitam omittentes, ad dignum homine intellectum redeamus: et qui animo efferato fuimus, ad hanc ejus præsepis mensam venientes, jam non fenum inveniamus, sed panem de cœlo, corpus vivificum.

Καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ φάτνῃ.

(A f. 29, E f. 78 b, F f. 763, H f. 81 b) Εὗρεν ἀποκτηνωθέντα τὸν ἄνθρωπον· διὰ τοῦτο ἐν φάτνῃ ὡς ἐν τάξει τροφῆς τέθειται, ἵνα τὸν κτηνοπρεπῆ μεταμείψαντες βίον, εἰς τὴν ἀνθρώπῳ πρέπουσαν ἀνακομισθῶμεν σύνεσιν· καὶ οἱ κτηνώδεις τῇ ψυχῇ, προσελθόντες τῇ οἰκείᾳ τραπέζῃ τῇ φάτνῃ, εὕρωμεν μηκέτι χόρτον, ἀλλ' ἄρτον τὸν ἐξ οὐρανοῦ, τὸ τῆς ζωῆς σῶμα.

[16] Joan. I, 18. [17] Rom. VIII, 29. [18] Coloss. I, 18. [19] Isa. XLIV, 6.

(1) Animadverte acutum et theologicum Cyrilli argumentum.

Digitized by Google

Καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες.

(B f. 23 b.) Ποιμέσι δὲ πρῶτον ἀποκαλύπτεται τὸ ὑπὸ τῶν ἀγγέλων ὑμνούμενον μυστήριον, οἵτινες τύπον ἐπεῖχον τῶν τὰς Ἐκκλησίας μελλόντων ποιμαίνειν· αὐτοὺς γὰρ ἔδει καὶ πρώτους ἀκούειν τὸ, *Ἐπὶ γῆν εἰρήνη*, διότι καὶ οἱ πνευματικοὶ ποιμένες ἔμελλον τὴν εἰρήνην ἐπιφωνεῖν παντὶ τῷ τῆς Ἐκκλησίας πληρώματι· ἔτι δὲ τὸ τῶν ποιμένων πρόσωπον, καὶ ἡ γενομένη διὰ τῆς ἀποκαλύψεως αὐτοῖς χαρὰ σημαίνει σαφῶς, ὡς ἐπὶ τὸ πλανώμενον ἦλθε πρόβατον ὁ ποιμὴν ὁ καλός· ποιμένας γὰρ οὐδὲν οὕτως εὐφραίνειν οἶδεν, ὡς ἡ τοῦ ἀπολωλότος βοσκήματος εὕρεσις· ὅπερ οὐκ ἦν ἑτέρου τινὸς εὑρεῖν, ἢ τοῦ ἀρχιποίμενος Χριστοῦ. Εἶτα ἐπειδὴ Βηθλεὲμ *οἶκος ἄρτου* ἑρμηνεύεται, ποῦ ἔμελλον οἱ ποιμένες μετὰ τὸ κήρυγμα τῆς εἰρήνης ἐπείγεσθαι, ἢ ἐπὶ τὸν πνευματικὸν οἶκον τοῦ οὐρανίου ἄρτου, τουτέστι τὴν Ἐκκλησίαν, ἐν ᾗ μυστικῶς καθ' ἑκάστην ἱερουργεῖται ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς ἄρτος, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ (1);

(A f. 29 b. B f. 23 b, E f. 79 b, F f. 76 i, H f. 83 b, K f. 3) Ποιμένες γεγόνασι τῶν μυσταγωγουμένων ἀπαρχή· βλέπει δὲ πάλιν ὁ τύπος εἰς ἀλήθειαν· ποιμέσι γὰρ τοῖς πνευματικοῖς ἐμφανῆ καθίστησιν ἑαυτὸν ὁ Χριστὸς, ἵν' αὐτὸν τοῖς ἄλλοις εὐαγγελίζωνται· καθάπερ ἀμέλει καὶ οἱ τότε ποιμένες ἐδιδάσκοντο μὲν παρὰ τῶν ἁγίων ἀγγέλων, δραμόντες δὲ, τοῖς ἑτέροις ἀπήγγελλον. Ἄγγελοι δὴ οὖν τῶν περὶ αὐτοῦ κηρυγμάτων ἀπάρχονται· καὶ δοξολογοῦσιν ὡς Θεὸν τὸν κατὰ σάρκα ἐκ γυναικὸς παραδόξως γεγεννημένον· Θεὸς γὰρ ἦν ἐν εἴδει τῷ καθ' ἡμᾶς ὁ τῶν ὅλων Κύριος, ἵνα λύσῃ τὴν ἀρὰν τὴν ἐπὶ τῇ πρώτῃ γυναικί· εἴρηται γὰρ πρὸς αὐτήν· « Ἐν λύπαις τέξῃ τέκνα. » Ὡς γὰρ εἰς θάνατον τίκτουσαι, τὸ τῆς ἀνίας ἐσχήκασι κέντρον· ἐπειδὴ δὲ γυνὴ τέτοκε κατὰ σάρκα τὸν Ἐμμανουὴλ, ὃς ἐστι ζωὴ, λέλυται τῆς ἀρᾶς ἡ δύναμις, συναπέσβη τῷ θανάτῳ καὶ τὸ ἐν λύπαις γεννᾷν τὰς ἐπὶ γῆς μητέρας (2). Βούλει καὶ ἑτέραν αἰτίαν τοῦ πράγματος ἐκμαθεῖν; Μέμνησο τοῦ σοφωτάτου Παύλου γεγραφότος περὶ Χριστοῦ· « Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας καὶ περὶ ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα (3). » Τί οὖν ἐστι τὸ, ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας ἀπεστάλθαι λέγειν τὸν Υἱόν; Ἐμφωλεύει μὲν τοῖς μέλεσι τῆς σαρκὸς ἡμῶν, τῆς ἁμαρτίας ὁ νόμος, καὶ τῶν ἐμφύτων ἐπιθυμιῶν τὸ ἔκτοπον κίνημα· ὁ δέ γε τοῦ Θεοῦ Λόγος γενόμενος ἄνθρωπος, ἁγίαν εἶχε τὴν σάρκα καὶ πάναγνον ἀληθῶς· καὶ ἐν

A

B

C

D

V. 8. *Et pastores erant in eadem regione vigilantes.*

Celebratum hymno ab angelis mysterium pastoribus ante omnes revelatur, qui typum futurorum in Ecclesia pastorum gerebant. Illos nimirum oportuit primos audire verba, *In terra pax*, quia spiritales pastores pacem universo Ecclesiæ populo proclamaturi erant. Præterea pastorum persona, et excitatum iis ex hac revelatione gaudium, significant prorsus advenisse ad errantem ovem pastorem. Etenim nihil magis pastores delectat, quam amissæ pecudis inventio; quam quidem invenire nemo nisi princeps pastorum Christus poterat. Deinde quia Bethlehem *panis domum* interpretamur, ubinam congregari post promulgatum Evangelium debebant pastores, nisi in spiritali cœlestis panis domo, id est Ecclesia, in qua mystice quotidie sacrificatur is qui de cœlo descendit panis et vitam mundo suppeditat?

Initiatorum primitiæ pastores fuerunt: rursus itaque ad veritatem spectat typus. Spiritalibus namque pastoribus semet Christus manifestat, ut hi deinceps ipsum aliis annuntient, prorsus ut tunc pastores a sanctis angelis edocti, aliis vicissim festinantes rem nuntiaverunt. Itaque angeli initium prædicandi Christi faciunt, laudantque **125** ut Deum illum, qui ex muliere mirabiliter secundum carnem natus erat. Deus enim reapse erat in specie nostra rerum omnium Dominus, ut inflictam primæ mulieri maledictionem antiquaret. Dictum quippe illi fuerat: « In dolore filios paries [20]. » Sed postquam mulier incarnatum peperit Emmanuelem, qui vita est, maledictionis vis excidit, exstinctus fuit una cum morte etiam pariendi dolor in terrenis matribus. Vin' aliam quoque rei causam cognoscere? Sapientissimi Pauli memento de Christo scribentis: « Quod enim impossibile erat in lege, quatenus ea propter carnem infirmabatur, Deus Filium suum mittens in similitudinem carnis peccati, et pro peccato, damnavit in carne peccatum, ut justificatio legis in nobis compleretur, qui non secundum carnem ambulamus, sed secundum spiritum [21]. » Quid ergo est, quod in similitudinem carnis missum fuisse Filium dicit? Latet in carnis nostræ membris peccati lex, et congenitarum cupiditatum insanus motus. Dei autem Verbum homo factum, sanctam habuit carnem vereque purissimam: eratque in similitudine carnis nostræ, non tamen secundum illam: alienum quippe omnino erat ab inhærentibus corpori nostro inquinationibus, motuque et proclivitate quæ nos ad illicita defert. Porro

[20] Gen. III, 16. [21] Rom. VIII, 3.

(1) Animadverte missæ quotidianæ in vetere etiam Ecclesia consuetudinem.

(2) Hoc spiritali aliquo sensu intelligendum videtur. Nisi forte Cyrillus unice designat B. Mariam, quæ certe sine dolore peperit.

(3) Confer quæ adnotat Cyrillus in commentario ad hunc Pauli locum (Hujusce novæ editionis tom. VII, *Patr.* LXXIV).

Digitized by Google

hæc causa fuit cur Servator incarnari voluerit. ὁμοιώσει μὲν τῆς ἡμετέρας σαρκὸς, οὐ μὴν ἔτι καὶ κατ' αὐτήν· ἀπήλλακτο γὰρ εἰς ἅπαν τῶν ἐμπεφυκότων τοῖς ἡμετέροις σώμασι μολυσμῶν, κινήματος καὶ ῥοπῆς τῆς ἡμᾶς ἀποφερούσης ἐφ' ἃ μὴ θέμις. Ἀλλ' αὕτη μὲν ἡ αἰτία τῆς τοῦ Σωτῆρος σαρκώσεως.

V. 7. *Et pannis eum involvit.*

Cum vides infantem fasciis involutum, cave ne in ejus sola secundum carnem nativitate mentem tuam defigas, sed scande potius ad dignæ Deo majestatis contemplationem : in cœlum nempe conscende; sic enim in supernis spectabis excelsitatibus, eximia gloria circumdatum : videbis, inquam, in sublimi sedentem throno ; audies seraphim hymnis eum celebrantes, plenumque dicentes cœlum ac terram majestate **126** ejus. Jam id ipsum in terra quoque peractum est : etenim gloria Dei circumfulsit pastores, ac cœlestis exercitus laudem Christo canentis multitudo. Plurimi certe nati sunt per tempora sancti prophetæ, nemo tamen illorum glorificatus fuit unquam angelorum voce : homines enim erant, et intra modulum nostrum servi Dei fideles. Non ita Christus : est enim Deus ac Dominus, et sanctorum prophetarum missor; atque, ut ait Psalmista, « Quis in nubibus æquabitur Domino, et quis ei comparabitur inter filios Dei [22] ? » Etenim nobis quidem, qui sub jugo servilique conditione sumus, attributa est ab illo filiorum appellatio ; sed enim Christus ipsa rei veritas est, nempe Dei Patris naturalis Filius, tunc etiam cum caro factus est : mansit enim quod erat, etiam postquam id assumpsit quod non erat. Quod autem vera dicam, testabitur denuo Isaias dicens : « Ecce virgo in utero habebit, et pariet filium cujus nomen appellabunt Emmanuelem : butyrum et mel comedet : priusquam noverit mala præoptare, bonum eliget : quia nimirum antequam discernat puer bonum a malo malitiæ resistet ut bonum præoptet [23]. » Cæterum quid ni omnibus constet, puerum nuper natum ac tenerum, qui ob brevitatem temporis atque ætatis quidquam intelligendo ineptus est, bonum a malo discernere prorsus nequire? Rei quippe omnis ignarus est. At enim in omnium Servatore Christo, grande erat immensumque miraculum. Edebat enim, ceu adhuc puer, butyrum et mel. Butyrum autem lac virgineum appellat propheta, propterea quod haud ex feminea mollitia neque voluptate ac lubricitate effectum fuerat : concretum imo et solidum, nullamque habens peccati amaritudinem, sed mellis potius dulcedinem : siquidem quidquid Dei est, melle dulcius favoque est.

Christo nato, statim diaboli potentia prædæ fuit. Et is quidem colebatur Damasci, ibique plurimos adoratores habebat : **127** verumtamen quo tempore sancta peperit Virgo, tyrannidis ejus vires confractæ sunt. Igitur ad veritatis notitiam ethnici pertracti fuerunt. — Mos est divinitus inspiratæ

[22] Psal. LXXXVIII, 7. [23] Isa. VII, 14 seqq.

A

Καὶ ἐσπαργάνωσεν αὐτόν.

(A f. 30 b, C f. 108 b, E f. 81, F f. 766, H f. 86, I f. 75) Ὅταν ἴδῃς βρέφος ἐσπαργανωμένον, μὴ μέχρι μόνης τῆς κατὰ σάρκα γεννήσεως αὐτοῦ τὴν σεαυτοῦ διάνοιαν στήσῃς, ἀλλ' ἀναπτήδησον εἰς θεωρίαν τῆς θεοπρεποῦς δόξης αὐτοῦ· ἀνάβηθι τὸν οὐρανόν· οὕτως αὐτὸν ἐν τοῖς ἀνωτάτω θεωρήσεις ὑψώμασι, τὴν ὑπερτάτην ἔχοντα δόξαν, δῆλα καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου· ἀκούσῃ τῶν Σεραφὶμ ὑμνολογούντων αὐτὸν, πλήρη τε εἶναι λεγόντων τὸν οὐρανὸν καὶ τὴν γῆν τῆς δόξης αὐτοῦ. Γέγονε δὲ τοῦτο καὶ ἐπὶ τῆς γῆς· δόξα γὰρ Θεοῦ περιήστραψε τοὺς ποιμένας· καὶ πλῆθος ἦν στρατιᾶς οὐρανίου δοξολογούντων Χριστόν. Πλεῖστοι μὲν γὰρ B ἐγεννήθησαν κατὰ καιροὺς ἅγιοι προφῆται, ἀλλ' οὐδεὶς ἐκείνων ἐδοξολογήθη πώποτε διὰ φωνῆς ἀγγέλων· ἄνθρωποι γὰρ ἦσαν καὶ ἐν μέτροις τοῖς καθ' ἡμᾶς οἰκέται Θεοῦ γνήσιοι. Χριστὸς δὲ οὐχ οὕτως· Θεὸς γάρ ἐστι καὶ Κύριος καὶ προφητῶν ἁγίων ἀποστολεὺς, καὶ ὡς ὁ Ψάλλων φησὶ, «Τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ, καὶ τίς ὁμοιωθήσεται ἐν υἱοῖς Θεοῦ; » Ἡμῖν μὲν γὰρ τοῖς ὑπὸ ζυγὰ καὶ φυσικὴν δουλείαν, ἐν χάριτος τάξει προσνενέμηται παρ' αὐτοῦ τὸ τῆς υἱότητος ὄνομα· Χριστὸς δ' ἐστὶν C ἡ ἀλήθεια, τουτέστιν ὁ τοῦ Θεοῦ καὶ Πατρὸς κατὰ φύσιν Υἱὸς, καὶ ὅτε γέγονε σάρξ· μεμένηκε γὰρ ὃ ἦν, καίτοι προσλαβὼν ὃ οὐκ ἦν· ὅτι ἐστὶν ἀληθὲς ὃ φημι, πιστώσεται πάλιν ὁ προφήτης Ἡσαΐας λέγων· « Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· βούτυρον καὶ μέλι φάγεται· πρὶν ἢ γνῶναι αὐτὸν προελέσθαι πονηρὰ, ἐκλέξεται τὸ ἀγαθόν. Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν, ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν; » Καίτοι πῶς οὐχ ἅπασιν ἐναργὲς, ὅτι παιδίον νεογνὸν καὶ ἀρτιθαλὲς, καὶ οὐκ ἔχον ἀπὸ τοῦ χρόνου καὶ τῆς ἡλικίας τὸ δύνασθαί τι νοεῖν, ἀνεκάνως ἔχει πρὸς διάκρισιν πονηροῦ τε καὶ ἀγαθοῦ πράγματος; Οἶδε γὰρ ὅλως οὐδέν· ἀλλ' ἔν γε τῷ πάντων Σωτῆρι Χριστῷ θαῦμα μέγα καὶ ἐξαίσιον ἦν· ἤσθιε μὲν γὰρ, ὡς βρέφος ὢν ἔτι, βούτυρόν τε καὶ μέλι· βούτυρον δὲ καλεῖ τὸ γάλα τῆς Παρθένου ὁ προφήτης, διὰ τὸ μὴ ἐκ θηλύτητος καὶ ἡδονῆς καὶ ἐκλύσεως γεγενῆσθαι αὐτὸ, πεπηγὸς δὲ εἶναι καὶ στερεὸν, μηδὲ πικρίαν ἔχειν τῆς ἁμαρτίας, ἀλλὰ τοῦ μέλιτος τὴν γλυκύτητα· εἴ γε πάντα τὰ Θεοῦ, γλυκύτερά ἐστιν ὑπὲρ μέλι καὶ κηρίον.

(I f. 76) Ἅμα μὲν ἐγεννήθη Χριστὸς, καὶ ἡ τοῦ διαβόλου δύναμις ἐσκυλεύετο· ἐθρησκεύετο μὲν ἐν Δαμασκῷ, καὶ πλείστους εἶχεν ἐκεῖ τοὺς προσκυνοῦντας αὐτόν· ἀλλ' ἐν καιρῷ τοῦ τόκου τῆς ἁγίας Παρθένου καὶ ἡ τῆς ἐκείνου τυραννίδος ἰσχὺς συνεθραύετο· ἐσαγηνεύοντο οὖν πρὸς ἐπίγνωσιν

Digitized by Google

ἀληθείας οἱ ἐξ ἐθνῶν. — (I f. 76) Ἔθος γὰρ τῇ θεοπνεύστῳ Γραφῇ διαφόρως ὀνόμασιν τὸν τῶν ὅλων Θεὸν ἀποκαλεῖν, καὶ ὡς ἀπό γε τῶν κατὰ καιροὺς δρωμένων ἔσθ' ὅτε προσεπινοεῖν τὰς κλήσεις· τοῦτο τετήρηται ἐπ' αὐτοῦ τοῦ Χριστοῦ· Θεὸς γάρ ἐστιν ἀληθινός· ἐπιδείξειεν ἂν τό· « Ταχέως σκύλευσον, ὀξέως προνόμευσον. » — (I f. 78 b) Ἀρχὴ γὰρ αὐτοῦ γέγονεν ὁ σταυρὸς, δι' οὗ βεβασίλευκεν τῆς ὑπ' οὐρανόν (1)· εἴπερ ἐστὶν ἀληθὲς ὅτι γέγονεν ὑπήκοος τῷ Πατρὶ μέχρι θανάτου σταυροῦ. — (I f. 82) Ἐπιτήρησον, ἀγαπητὲ, καὶ σύνες, ὅτι οὐκ εἰς τὰς τῶν ἐθνῶν συνηθείας ἐξέβησαν οἱ ἡγιασμένοι διὰ τῆς πίστεως, ἀλλ' εἰς τὰς αὐτῶν μᾶλλον εἰσῆλθον οἱ κεκλημένοι· κρεοφαγοῦσιν μὲν οἱ θῆρες, λύκος τε καὶ λέων, ἄρκος τε καὶ πάρδαλις· ποαφάγα δέ εἰσι τὰ τῶν ζώων ἥμερα, ἔριφοί τε καὶ ἄρνες καὶ μόσχοι. Ἀλλ' οἱ θῆρες δὲ, φησὶν, τοῖς ἡμέροις συμβοσκήσονται, καὶ τὰς αὐτῶν ἕδονται τροφάς. Οὐκοῦν οὐ τὰ ἥμερα πρὸς τὰς τῶν ἀγρίων ἐκβέβηκε συνηθείας, ἐκεῖνα δὲ μᾶλλον εἰς τὰς τούτων, ὡς ἔφην, μεταπεφοίτηκε. Μετέστησαν γοῦν ἐξ ἀγρίου φρονήματος εἰς τὴν ἁγίοις πρέπουσαν ἡμερότητα· μεταβέβληνται διὰ Χριστοῦ, καὶ γεγόνασιν ἄρνες, οἱ λύκοι· αὐτὸς γὰρ ἦν ὁ ἐξημερῶν αὐτοὺς, καὶ συνείρων, ὡς ἔφην, τοὺς δύο λαοὺς εἰς φρόνημα τὸ θεοφιλές. Τοῦτο πάλαι καὶ ὁ ἱεροφάντης Μωϋσῆς ἀναπεφώνηκε λέγων. « Εὐφράνθητε, ἔθνη, μετὰ τοῦ λαοῦ αὐτοῦ, ὅτε μεγαλωσύνην Κυρίῳ καὶ Θεῷ ἡμῶν.

A Scripturæ, diversis nominibus universalem Deum appellandi; et quidem ex gestis per tempora rebus appellationes excogitandi. Id in Christo etiam factitatum est. Est enim verus Deus; quam rem illa quoque verba demonstrant: « Accelera spolia detrahere, festina prædari [24]. » — Ejus initium crux fuit, per quam universi orbis regnum obtinuit; quandoquidem ipse vere usque ad mortem crucis Patri obedivit. — Animadverte, charissime, et intellige, non ad ethnicorum consuetudines transisse eos qui per fidem sanctificati sunt; sed ad horum potius mores accessisse illos, qui vocati fuere. Et carnivoræ quidem belluæ sunt lupus, leo, ursus, panthera: herbis autem pascuntur quicunque sunt B cicures, hædi, agni, vituli. Sed feræ, inquit, una cum cicuribus pascentur, et eorumdem escis utentur. Ergo nequaquam cicures ad ferarum consuetudines transierunt; sed hæ potius ad illorum, ut dixi, mores conversæ sunt. Mutati sunt itaque homines ex ferino ingenio ad congruam sanctis mansuetudinem, immutati fuerunt per Christum, factique sunt agni qui erant lupi: ipse enim eos cicuravit, duosque populos, ut dixi, in religiosa sententia copulavit. Hoc olim hierophanta quoque Moyses prædicavit, dicens: « Lætamini, gentes, cum populo ejus, Dominum Deum nostrum magnificate [25]. »

(A f. 30 b, E f. 82, F f. 766 b, Π f. 86 b) Ἐπειδὴ γὰρ Θεὸς ἦν ἀπορρήτως σεσαρκωμένος, μόνος ᾔδει τὸ ἀγαθὸν, καὶ πονηρίας τῆς ἐν ἀνθρώποις ἐλεύθερος ἦν· ἴδιον δὲ τοῦτο τῆς ἀνωτάτω πασῶν οὐσίας· τὸ γὰρ φύσει καὶ ἀραρότως καὶ ἀμεταπτώτως ἀγαθὸν, πρέποι ἂν αὐτῇ τε καὶ μόνῃ ἰδικῶς· « Οὐδεὶς γὰρ ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεὸς, » κατὰ τὴν αὐτοῦ τοῦ Σωτῆρος φωνήν. Οὐκοῦν, μὴ ὡς βρέφος ἴδῃς ἁπλῶς τὸν ἐν φάτνῃ κείμενον, ἀλλ' ἐν πτωχείᾳ τῇ καθ' ἡμᾶς τὸν πλούσιον ὡς Θεὸν, καὶ διὰ τοῦτο δοξολογούμενον καὶ παρ' αὐτῶν τῶν ἁγίων ἀγγέλων· ὁποῖος δὴ καὶ ὁ ὕμνος ἦν· « Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. » Ἄγγελοι μὲν γὰρ καὶ πᾶσαι αἱ ἀνωτάτω δυνάμεις τὴν ἐκνεμηθεῖσαν αὐτοῖς σώζοντες τάξιν, καὶ εἰρηνεύουσι πρὸς Θεόν· κατ' οὐδένα γὰρ τρόπον τὸ αὐτῷ δοκοῦν παρατρέχουσιν, ἀλλ' εἰσὶν ἐν ἑδραιότητι τῇ κατὰ δικαιοσύνην καὶ ἁγιασμόν· ἡμεῖς δὲ οἱ τάλανες, τοῖς τοῦ Δεσπότου θελήμασι τὰς ἑαυτῶν ἐπιθυμίας ἀνταναστήσαντες, πολεμίων ἐν τάξει γεγόναμεν αὐτῷ. Λέλυται δὲ τοῦτο διὰ Χριστοῦ· καὶ γάρ ἐστιν αὐτὸς ἡ εἰρήνη ἡμῶν, καὶ συνῆψε ἡμᾶς δι' ἑαυτοῦ τῷ Θεῷ καὶ Πατρὶ, τὴν ἐχθροποιὸν ἁμαρτίαν ἐκ μέσου τιθείς, καὶ δικαιῶν ἐν πίστει, καὶ καλῶν ἐγγὺς τοὺς ὄντας μακράν· καὶ καθ' ἕτερον δὲ τρόπον, κτίσας τοὺς δύο λαοὺς εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰ-

C Quia enim Deus ineffabiliter incarnatus erat, solus ipse bonum noscebat, humanaque malitia carebat, quod utique excelsæ præ omnibus substantiæ proprium est: nam quod naturaliter, firmiter atque immutabiliter bonum est, id ei unice propriequeque convenit. « Nam nemo bonus nisi solus Deus, » juxta ipsius Servatoris effatum [26]. Cave igitur, ne ut infantulum tantummodo **128** in præsepi jacentem spectes, sed potius divitem in paupertate nostra Deum, ejusque rei causa a sanctis ipsis angelis decantatum; cujusmodi ille hymnus erat: « Gloria in excelsis Deo, et in terra pax, inter homines bona voluntas [27]. » Profecto angeli, cunctæque sanctæ virtutes, quæ attributum sibi ordinem retinuerunt, pacem quoque cum Deo conservant, D nullatenus voluntatem ejus transgrediuntur, sed in stabili justitia ac sanctitate manent. Nos vero miseri, qui Domini mandatis cupiditates nostras opposuimus, hostium instar apud illum evasimus. Verumtamen ea res per Christum destructa fuit, qui nostra pax est, nosque Patri Deo conjunxit, causam odii peccatum de medio tollens, fide justificans, sibique proximos faciens qui longe aberant, alioqui etiam condens duos populos in unum novum hominem, paccm faciens, duosque illos in uno corpore Patri reconcilians [28]. Placuit enim

[24] Isa. VIII, 3. [25] Deut. XXXII, 43 sec. Gr. [26] Marc. X, 18. [27] Luc. II, 14. [28] Ephes. II, 15.

(1) Haud scio an Cyrillus hoc loco innuere videatur famigeratam illam lectionem psalmi XCV, 10: *Dominus regnavit a ligno*, de qua tot verba a philologis sacrisque criticis facta sunt.

Digitized by Google

Deo Patri cuncta in Christo instaurare, et cum superioribus infima copulare, atque unum gregem efficere, cœlestes atque terrestres [29]. Factus est itaque Christus pax nobis et bona voluntas.

ρήνην, καὶ ἀποκαταλλάττων ἀμφοτέρους ἐν ἑνὶ σώματι πρὸς τὸν Πατέρα· εὐδόκησε γὰρ ὁ Θεὸς καὶ Πατὴρ ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν αὐτῷ, συνεῖραί τε τοῖς ἄνω τὰ κάτω, καὶ ἀγέλην ἀποφῆναι μίαν, τούς τε ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· γέγονεν οὖν ἡμῖν εἰρήνη τε καὶ εὐδοκία Χριστός.

V. 10. *Dixitque illis angelus*, etc.

Credendum est archangelum hunc fuisse, pastoribus gaudii nuntium, qui cum exercitu suo, cœlo descendit ad salutis humanæ felicem notitiam perferendam : solus tamen pastores alloquens, quorum oculis agmen ab ipso ductum non apparebat, propter angelicæ naturæ invisibilitatem.

Καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος, κ. τ. λ.

(B f. 24 b) Ἔστι νοεῖν ὡς ἀρχάγγελος ἦν, ὁ τοῖς ποιμέσι τὴν χαρὰν εὐαγγελισάμενος, ἅμα τῇ ὑπ' αὐτὸν στρατιᾷ κατιὼν ἐπὶ τὰ τῆς σωτηρίας τῶν ἀνθρώπων εὐαγγέλια· κἂν τέως μονώτατος αὐτοῖς διελέγετο, μὴ ὑποπιπτούσης ταῖς αὐτῶν ὄψεσι τῆς ὑπ' αὐτὸν στρατιᾶς, διὰ τὸ τῆς φύσεως ἀόρατον.

V. 22. *Et postquam impleti sunt dies purgationis ipsorum secundum Moysis legem.*

Nunc igitur ex nuper lectis cognovimus illum Moysis legibus obedientem ; imo vero legislatorem ipsum ac Deum, quatenus homo est, decretis propriis obsequentem. Rei vero causam docebit nos sapientissimus Paulus dicens : « Cum parvuli essemus, sub elementis mundi eramus servientes. At ubi venit plenitudo temporis, misit Deus Filium suum factum ex muliere, **129** factum sub lege, ut eos qui sub lege erant redimeret [30]. » Ergo de legis maledicto redemit eos Christus, qui sub lege erant, non tamen illos qui eam observaverant. Quomodo autem redemit ? nempe eam ipse adimplens. Vel, ut paulo aliter dicamus, ut Adami transgressionis crimen solveret, obedientem se docilemque præbuit pro nobis in omni re Patri Deo. Scriptum est enim, quod « Sicut per unius hominis inobedientiam, peccatores constituti sunt multi, ita per unius hominis obeditionem justi constituentur multi [31]. » Cervicem itaque legi æque ac nos supposuit, prudente consilio hoc ipsum agens : decebat enim ipsum implere omnem justitiam. Igitur adveniente die octava, qua mos erat circumcisionem carnis peragere ex legis placito, circumciditur et ipse qui legem Moysi dederat, et ante hunc Abrahamo. Nomen etiam suscipit, Jesus scilicet, quod Salus populi interpretatur. Sic enim voluit Deus Pater Filium suum nominari, genitum carnaliter ex muliere. Factus est enim tunc salus populi, neque unius tantummodo sed omnium gentium universæque terræ. Eodem itaque tempore circumcisio perficiebatur, et nomen is suscipiebat.

Καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν κατὰ τὸν νόμον Μωϋσέως.

(A f. 33 b, E f. 89, H f. 96) Τέως οὖν ἴδομεν αὐτὸν, διὰ τῶν ἀρτίως ἀνεγνωσμένων, τοῖς διὰ Μωϋσέως εἴκοντα νόμοις· μᾶλλον δὲ τὸν νομοθέτην αὐτὸν καὶ Θεὸν, ὡς ἄνθρωπον τοῖς ἑαυτοῦ θεσπίσμασιν ὑποκείμενον· καὶ διὰ ποίαν αἰτίαν, διδάξει λέγων ὁ σοφώτατος Παῦλος· « Ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι· ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ γενόμενον (1) ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ (2). » Οὐκοῦν τῆς τοῦ νόμου κατάρας ἐξεπρίατο Χριστὸς τοὺς ὄντας μὲν ὑπὸ νόμον, οὐ μὴν ἔτι [E sine ἔτι] καὶ τετηρηκότας αὐτόν. Ἐξεπρίατο δὲ πῶς ; Πληρώσας αὐτόν. Καὶ καθ' ἕτερον δὲ τρόπον· Ἵνα λύσῃ τῆς ἐν Ἀδὰμ παραβάσεως τὰ ἐγκλήματα, εὐπειθῆ καὶ εὐήνιον πρὸς πᾶν ὁτιοῦν ἑαυτὸν παρέστησεν ὑπὲρ ἡμῶν τῷ Θεῷ καὶ Πατρί· γέγραπται γὰρ, ὅτι « Ὥσπερ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί, οὕτω καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολλοί. » Ὑφῆκε τοίνυν τῷ νόμῳ μεθ' ἡμῶν τὸν αὐχένα, οἰκονομικῶς καὶ τοῦτο πράττων· ἔπρεπε γὰρ αὐτῷ πληρῶσαι πᾶσαν δικαιοσύνην. Ἐνστάσης δὴ οὖν τῆς ὀγδόης, ἐν ᾗ σύνηθες ἦν τὴν ἐν σαρκὶ τελεῖσθαι περιτομὴν, κατά γε τὸ δοκοῦν τῷ νόμῳ, περιτέμνεται καὶ αὐτὸς ὁ τὸν νόμον δοὺς τῷ Μωϋσῇ, καὶ πρὸ τούτου τῷ Ἀβραάμ. Δέχεται καὶ τὸ ὄνομα, τουτέστι τὸ, Ἰησοῦς· ἑρμηνεύεται δὲ τοῦτο, Σωτηρία λαοῦ· οὕτω γὰρ ἠθέλησεν ὁ Θεὸς καὶ Πατὴρ ὀνομάζεσθαι τὸν ἴδιον Υἱὸν γεννηθέντα κατὰ σάρκα ἐκ γυναικός· γέγονε γὰρ τότε σωτηρία λαοῦ, καὶ οὐχ ἑνὸς, μᾶλλον

[29] Ephes. I, 10. [30] Galat. IV, 3, 4. [31] Rom. V, 19.

(1) Aubertus γεννώμενον hic et mox. Idem tamen initio fragmenti melius habet ἴδομεν *cognovimus*, quam nostri codices ἴδωμεν *cognoscamus*.

(2) Tractus hic Cyrilliani commentarii de circumcisione Domini, ejusque in templo oblatione, exstat partim in homilia edita Cyrilli ejusdem de hypapante Opp. t. V, part. II, [*nov. ed. t. X*] (quæ in codice H, f. 103, dicitur homilia 27). Ego igitur partem hanc meo more, utpote notam, omisissem, nisi in nostris codicibus ; præsentique editione, non pauca interponerentur, quæ ab edita homilia absunt ; et nonnulla etiam editoris Auberti manifesta et gravia sphalmata corrigerentur, ut animadversiones nostræ demonstrant ; quarum præcipua esto hæc : quod nempe initio fragmenti (pag. 128) pro rectissima codicum nostrorum lectione νομοθέτην Θεὸν, ὡς ἄνθρωπον τοῖς ἑαυτοῦ θεσπίσμασιν ὑποκείμενον, Aubertus scribit νομοθέτην, ὡς Θεὸν (omisso ἄνθρωπον) τοῖς ἑαυτοῦ, etc., *legislatorem, ut Deum, suis legibus subditum* ; qui palmaris in theologia error est. Et quidem ex nostris codicibus inferius etiam p. 132, *col.* 501 habemus : νομοθέτης ἦν ὡς Θεὸς, καὶ ὑπὸ νόμον ὡς ἄνθρωπος, *Legislator erat ut Deus, et legi subditus ut homo.*

Digitized by Google

δὲ παντὸς ἔθνους, καὶ πάσης τῆς ὑπ' οὐρανόν· ἐν ταυτῷ τοιγαροῦν τὸ τῆς περιτομῆς ἐτελεῖτο χρῆμα, καὶ τὴν κλῆσιν ἐδέχετο.

Καὶ τί τὸ αἴνιγμα, φέρε δὴ πάλιν ἴδωμεν. Ὁ μακάριος ἔφη Παῦλος· « Ἡ περιτομὴ οὐδέν ἐστι, καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν. » Ἆρ' οὖν τὸ μηδὲν τηρεῖσθαι προστέταχε διὰ τοῦ πανσόφου Μωϋσέως ὁ τῶν ὅλων Θεὸς, καὶ κόλασιν ἐπαρτήσας τοῖς παραβαίνουσιν αὐτήν; Ναὶ, φαίην ἄν· ὅσον μὲν γὰρ ἦκεν εἰς τὴν τοῦ πράγματος φύσιν, οὐδέν ἐστιν παντελῶς· ὠδίνει δὲ μυστηρίου τύπον· κατὰ γὰρ τὴν ὀγδόην ἡμέραν ἀνεβίω Χριστὸς ἐκ νεκρῶν, καὶ δέδωκεν ἡμῖν τὴν ἐν πνεύματι περιτομήν. Προστέταχε γὰρ τοῖς ἁγίοις ἀποστόλοις, « Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. » Τελεῖσθαι δέ φαμεν τὴν ἐν πνεύματι περιτομὴν ἐν καιρῷ μάλιστα τοῦ ἁγίου βαπτίσματος, ὅτε καὶ μετόχους ἡμᾶς ἀποφαίνει Χριστὸς τοῦ ἁγίου Πνεύματος.—(E f. 89 b) Καὶ τούτου πάλιν εἰς τύπον ἦν ὁ ἀρχαῖος (1) ἐκεῖνος Ἰησοῦς, ὁ μετὰ Μωϋσέα στρατηγήσας· διεβίβασε γὰρ πρότερον τὸν Ἰορδάνην τοὺς υἱοὺς Ἰσραὴλ· εἶτα καθίσας εὐθὺς μαχαίραις περιέτεμε πετρίναις. Οὐκοῦν ὅτε διαβῶμεν τὸν Ἰορδάνην, τότε Χριστὸς ἡμᾶς περιτέμνει τῇ δυνάμει τοῦ ἁγίου Πνεύματος· οὐ σάρκα καθαίρων, ἀποκείρων δὲ μᾶλλον τὸν ἐν ψυχαῖς (2) μολυσμόν. (3) Ἐν ὀγδόῃ τοιγαροῦν περιτέμνεται Χριστὸς, καὶ τὴν κλῆσιν, ὡς ἔφην, λαμβάνει. Τότε γὰρ, τότε σεσώσμεθα παρ' αὐτοῦ καὶ δι' αὐτοῦ· « Ἐν ᾧ γὰρ, φησὶ, περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῆς σαρκὸς, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ, συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι, ἐν ᾧ καὶ συνηγέρθητε. » Οὐκοῦν ὁ θάνατος αὐτοῦ ὑπὲρ ἡμῶν γέγονε, καὶ ἡ ἀνάστασις καὶ ἡ περιτομή· ἀπέθανε γὰρ, ἵνα ἡμεῖς οἱ συναποθανόντες αὐτῷ, αὐτοῦ ἀποθανόντος τῇ ἁμαρτίᾳ, μηκέτι ζήσωμεν τῇ ἁμαρτίᾳ. Διὸ εἴρηται· « Εἰ συναπεθάνομεν, καὶ συζήσομεν. » Ἀποθανεῖν δὲ λέγεται τῇ ἁμαρτίᾳ, οὐχ ὅτι ἥμαρτεν (« Οὐδὲ γὰρ ἁμαρτίαν ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ »), ἀλλὰ διὰ τὴν ἐμὴν ἁμαρτίαν. Ὥσπερ οὖν συναπεθάνομεν αὐτῷ ἀποθνήσκοντι, καὶ συναναστῶμεν αὐτῷ.

Πάλιν ἐπειδὴ γέγονεν μεθ' ἡμῶν ὁ Υἱὸς, καίτοι Θεὸς ὢν φύσει καὶ τῶν ὅλων Κύριος, ταύτῃ τοι καὶ τὸ καθ' ἡμᾶς οὐκ ἀτιμάζει μέτρον, ἀλλὰ μεθ' ἡμῶν ὑπὸ τὸν αὐτὸν νόμον γέγονε, καίτοι νομοθέτης ὢν αὐτὸς ὡς Θεός· περιτέμνεται ὀκταήμερος μετὰ Ἰουδαίων, ἵνα τὴν συγγένειαν βεβαιώσῃ, ὅπως μὴ ἀρνήσωνται αὐτόν· ἐκ σπέρματος γὰρ Δαβὶδ προσεδοκᾶτο ὁ Χριστός· καὶ ἔδειξε τὸ τεκμήριον τῆς συγγενείας. Εἰ γὰρ καὶ περιτμηθέντος αὐτοῦ ἔλεγον, Τοῦτον οὐκ οἴδαμεν πόθεν ἐστίν· εἰ μὴ περιετμήθη κατὰ σάρκα, καὶ τὸν νόμον ἐφύλαξεν, ἔσχεν ἂν πρό-

A Quid autem hic lateat arcani, denuo dispiciamus. Beatus ait Paulus : « Circumcisio nihil est, et præputium nihil est [22]. » Ergone rem, quæ nulla est, observari omnium Deus per sapientissimum Moysen mandavit, pœna transgressoribus simul indicta? Aio enimvero. Nam circumcisio, si rei **130** ipsius natura spectetur, nihil omnino est; sed mysterii typum continet. Namque octava hebdomadæ die et resurrexit Christus a mortuis, et spiritalem nobis fecit circumcisionem. Præcepit enim sanctis apostolis : « Euntes docete omnes gentes, baptizantes eos in nomine Patris et Filii et Spiritus sancti [23]. » Fieri vero dicimus spiritalem circumcisionem tempore potissimum sancti B baptismatis, quo nimirum participes nos efficit Christus sancti Spiritus. Cujus rei typus item fuit priscus ille Jesus, qui post Moysen gessit ducatum. Is enim primus filios Israelis trans Jordanem tulit : deinde ibi subsistens, statim eos lapideis gladiis circumcidit. Ergo postquam Jordanem trajecimus, tunc Christus nos circumcidit Spiritus sancti virtute, haud carnem quidem purgans, sed animarum potius maculas eluens. Octava igitur die circumciditur Christus, et nomen, ut dixi, sumit. Tunc enim, tunc prorsus ab ipso et per ipsum salvati fuimus : « In quo, inquit (Paulus), circumcisi estis C circumcisione non manufacta in exspoliatione corporis carnis, sed in circumcisione Christi : consepulti ei in baptismo, in quo et coresurrexistis [24]. » Ergo mors ejus nostri gratia accidit, nec non resurrectio et circumcisio. Mortuus est enim, ut nos cum eo pariter mortui, postquam ipse semel peccato mortuus est, haud ulterius peccato vivamus. Quare dictum est : « Si commortui sumus, et convivemus. » Is autem non ideo mortuus peccato dicitur, quia peccaverit : etenim « peccatum non fecit, nec inventus est dolus in ore ejus [25]; » sed propter peccatum meum mortuus est. Sicut ergo cum eo moriente mortui pariter sumus, ita et cum ipso resurgemus [26].

Rursus quia Filius nobiscum versari voluit, quanquam Deus natura suapte erat et omnium Dominus, idcirco modulum nostrum non respuit, sed nobiscum legi semet **131** subjecit, legislator licet D ac Deus. Circumciditur octava a nativitate die cum Judæis, ut generis cognationem affirmet, neque eum postea velint negare. Namque ex Davidis stirpe Christus exspectabatur. Et signum præ se ferre voluit cognationis ejus. Si enim de circumciso etiam aiebant, nescire se undenam is esset; si forte circumcisus non fuisset neque legem observasset,

[22] I Cor. VII, 19. [23] Matth. XXVIII, 18. [24] Coloss. II, 11. [25] I Petr. II, 22. [26] II Timoth. II, 11.

(1) Perverse prorsus Aubertus ἀρχιερεὺς *pontifex*, qualis nunquam fuit Josue, pro ἀρχαῖος *priscus*.

(2) Male rursus Aubertus τὸν ἔμψυχον pro τὸν ἐν ψυχαῖς.

(3) Conferatur Philonis breve de circumcisione scriptum.

Digitized by Google

negandi causa honesta fuisset. Verumtamen post ipsius circumcisionem, cessavit circumcisio, subintrante eo quod ab illa portendebatur, id est baptismate; cujus beneficio nos ulterius haud circumcidimur. Videtur enim mihi circumcisio tria effecisse. Primo videlicet signo quodam impresso, Abrahami posteros a reliquis gentibus distinguebat. Secundo, divini baptismatis typum, gratiam atque virtutem in se portendebat. Sicuti enim circumcisus, in Dei populum per id signum olim cooptabatur; sic baptizatus, Christo in se sigilli instar recepto, inter filios Dei ascribitur. Tertio denique, symbolum erat constitutorum in gratia fidelium, quatenus hi carnalium voluptatum passionumque commotiones, exacuto fidei verbo, asceticisque laboribus præcidunt atque mortificant, haud corpus incidentes, sed cor purgantes, et spiritu, non littera circumcisi : quorum laudem haud humano judicio indigere, sed cœlesti suffragio niti, divus Paulus testatur [37].

A φασιν εὔλογον αὐτῶν ἡ ἄρνησις· μετὰ μέντοι τὸ περιτμηθῆναι αὐτὸν, πέπαυται ἡ περιτομὴ, εἰσαχθέντος ἡμῖν τοῦ σημαινομένου δι' αὐτῆς, ἤτοι τοῦ βαπτίσματος· διὰ τοῦτο ἡμεῖς οὐκέτι περιτεμνόμεθα. Δοκεῖ γάρ μοι ἡ περιτομὴ τρία τινὰ πραγματεύεσθαι· ἓν μὲν, οἱονεὶ σημείῳ τινὶ καὶ σφραγίσει τοὺς ἐγγόνους Ἀβραὰμ ἀφορίζουσα, καὶ τῶν λοιπῶν ἐθνῶν διαστέλλουσα· δεύτερον, ἐν ἑαυτῇ τὴν τοῦ θείου βαπτίσματος προτυποῦσα χάριν καὶ δύναμιν· ὥσπερ γὰρ ὁ περιτεμνόμενος, εἰς λαὸν Θεοῦ διὰ τῆς σφραγῖδος πάλαι ἐχρημάτιζεν· οὕτως ὁ βαπτιζόμενος σφραγῖδα τὸν Χριστὸν ἐν ἑαυτῷ τυπωσάμενος, εἰς υἱοθεσίαν Θεοῦ ἀναγράφεται. Καὶ τρίτον, σύμβολον τῶν ἐν χάριτι καθισταμένων πιστῶν, οἳ τῶν σαρκικῶν ἡδονῶν καὶ παθῶν τὰς ἐπαναστάσεις τῷ τμητικῷ τῆς πίστεως λόγῳ, καὶ πόνοις ἀσκητικοῖς ἐκτέμνουσι καὶ ἀπονεκροῦσιν, οὐ σῶμα τέμνοντες, ἀλλὰ τὴν καρδίαν καθαίροντες, καὶ πνεύματι οὐ γράμματι περιτεμνόμενοι· ὧν καὶ τὸν ἔπαινον (F f. 90) οὐκ ἀνθρωπίνης ἐπικρίσεως δεῖσθαι, ἀλλὰ τῆς ἄνωθεν ἠρτῆσθαι ψήφου, Παῦλος ὁ θεῖος διαμαρτύρεται.

Cum ergo lex adversus quamlibet mulierem, quæ masculum feminamque peperisset, lata esset, eaque universalem prorsus faceret intimationem, nihilominus omni dedecore carebat sancta Virgo, de qua natum carnaliter Christum dicimus. Considera enim, si libet, legis accuratum tenorem. « Mulier, » inquit, non indifferenter quælibet, sed « quæ suscepto semine masculum pepererit, immunda esto [38]. » Atqui hoc loco **132** corpus divinum dicimus a sancto Spiritu compactum, ineffabiliter elaboratum in sancta Virgine, naturæ neglectis legibus. Minime enim seminali officio indigebat sanctorum primogenitus, inchoatio illorum qui a Deo per Spiritum regenerationem sortiuntur : de quibus dictum est manifeste, « Qui non ex sanguinibus neque ex voluntate carnis aut viri, sed ex Deo nati sunt [38a]. » Ergo extra omnem legis damnationem sancta Virgo erat, quæ nullum semen experta est, sed operante Spiritu divinum nobis infantem edidit.

(E f. 120 b, K f. 4 b) Ἰόντος (1) τοίνυν τοῦ νόμου κατὰ γυναικὸς ἁπάσης τικτούσης ἄρσεν ἢ θῆλυ, καὶ γενικωτάτην ἡμῖν ποιουμένου τὴν κατάρρησιν, ὑπεξαίρεται τῆς δυσφημίας ἡ ἁγία Παρθένος, ἧς ἐκφῦναί φαμεν τὸ κατὰ σάρκα Χριστόν. Θέα γάρ, εἰ σοι δοκεῖ, τοῦ νόμου τὸ ἀκριβές· « Γυνὴ » γὰρ, φησὶ, καὶ οὐ πᾶσα τυχὸν ἀδιακρίτως, ἀλλ' « ἥτις ἂν σπερματισθῇ καὶ τέκῃ ἄρσεν, ἀκάθαρτος ἔστω. » Ἐνταῦθα δὲ ἐκ Πνεύματος ἁγίου τὸ θεῖον συνέστη σῶμα, πλαστουργούμενον ἀῤῥήτως ἐν τῇ ἁγίᾳ Παρθένῳ, καὶ τῶν τῆς φύσεως νόμων ὀλίγα πεφροντικός· ἧκιστα γὰρ σπερματικῆς ἐδεῖτο καταβολῆς ὁ τῶν ἁγίων πρωτότοκος, ἡ ἀπαρχὴ λαχόντων τὴν ἐκ Θεοῦ διὰ Πνεύματος ἀναγέννησιν· περὶ ὧν εἴρηται σαφῶς· « Οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς ἢ ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν. » Διέδρα δὴ οὖν τὴν ἐκ νόμου καταδοὴν ἡ ἁγία Παρθένος, σπερματισθεῖσα μὲν οὐδαμῶς, ἐνεργείᾳ δὲ τῇ διὰ Πνεύματος τὸ θεῖον ἡμῖν ἀποκυήσασα βρέφος.

Post circumcisionem, adhuc tempus purgationis expectat. Et postquam dies completi sunt, plenitudinis autem dies quadragesimus erat, tunc Hierosolymam ducitur ad conspectum Patris, ceu homo nobis similis, is qui illi assidet tanquam Deus Verbum, et qui per umbram legis inter primogenitos ascriptus est. Nam devoti erant et sacrati Deo, etiam ante Verbi incarnationem, primogeniti qui ei ex legis præscripto offerebantur. O magnum dispensationis mysterium! « O altitudo divitiarum sapientiæ et scientiæ Dei [39] ! » Qui in sinu Patris est, cui omnia sistuntur serviliter, qui ab omnibus sacro cultu honoratur, iis quo tempore in humani-

(E f. 120, H f. 103 b) Μετὰ τὸ περιτμηθῆναι τὸν τοῦ καθαρισμοῦ πάλιν ἀναμένει καιρόν· καὶ ὅτε ἐπληρώθησαν αἱ ἡμέραι (πλήρωσις δὲ ἡμερῶν ἡ τεσσαρακοστὴ ἦν), τότε ἀνάγεται εἰς Ἱεροσόλυμα, καὶ εἰς ὄψιν ἄγεται τοῦ Πατρὸς, ὡς ἄνθρωπος καθ' ἡμᾶς, ὁ συνεδριάζων αὐτῷ Θεὸς Λόγος, ὁ καὶ διὰ τῆς τοῦ νόμου σκιᾶς ἐν τοῖς πρωτοτόκοις γραφόμενος. Ἅγια γὰρ καὶ ἱερὰ τῷ Θεῷ καὶ τὰ πρὸ τῆς ἐνανθρωπήσεως πρωτότοκα, ἅπερ ἔθυον αὐτῷ κατὰ νόμον. Ὦ μεγάλης οἰκονομίας! ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ! Ὡς ἐν κόλποις ὢν τοῦ Πατρὸς, ᾧ τὰ πάντα προσάγεται δουλοπρεπῶς, ὁ ταῖς παρὰ πάντων λατρείαις δοξαζόμενος, ὅτε γέγονεν ἐν

[37] Rom. II, 29. [38] Levit. XII, 2. [38a] Joan. I, 13. [39] Rom. XI, 33.

(1) Citatur sequens locus ad litteram ex cap. 15 commentariorum Cyrilli abs Joanne Cæsariensi in opere inedito contra Severum pro concilio Chalcedonensi, cujus apud me habeo interpretationem ex Syriaco, quo tantum in idiomate superest id opus inter codices Vaticanos, Græco textu jamdiu amisso.

Digitized by Google

τοῖς τῆς ἀνθρωπότητος μέτροις, τῷ ἰδίῳ Γεννήτορι προσφέρει θυσίαν. Ὦ τοῦ παραδόξου πράγματος! Τοὺς τοῦ νόμου τύπους τετήρηκεν ἡ ἀλήθεια. Διὰ ποίαν αἰτίαν; Ὅτι καὶ νομοθέτης ἦν ὡς Θεὸς, καὶ ὑπὸ νόμον ὡς ἄνθρωπος. Τί δὲ δὴ προσκεκόμικεν; Ὡς πρωτότοκος καὶ ἄρσην, ζεῦγος τρυγόνων, καὶ (1) δύο νεοσσοὺς περιστερῶν, κατὰ τὸ τῷ νόμῳ διηγορευμένον. Ἀλλὰ τί βούλεται ταῦτα δηλοῦν; Ἡ μὲν τρυγὼν, ἔστι λαλίστατον ἐν στρουθίοις· ἡ δὲ περιστερὰ, ζῶον ἥμιον καὶ πρᾶον. Γέγονε δὲ τοιοῦτος εἰς ἡμᾶς ὁ τῶν ὅλων Ποιητὴς καὶ Κύριος, πραότητα μὲν τὴν εἰς ἄκρον ἔχων, τρυγόνος δὲ δίκην κατακηλήσας τὴν ὑπ' οὐρανὸν, καὶ τῆς ἑαυτοῦ καλλιφωνίας τὸν ἴδιον ἀμπελῶνα πληρῶν, τουτέστιν ἡμᾶς τοὺς πιστεύσαντας εἰς αὐτόν. Γέγραπται γοῦν ἐν τῷ Ἄσματι τῶν ἀσμάτων, ὅτι « Φωνὴ τῆς τρυγόνος ἠκούσθη ἐν τῇ γῇ ἡμῶν· αἱ ἄμπελοι κυπρίζουσι· » λελάληκε γὰρ πρὸς ἡμᾶς τὸ θεῖόν τε καὶ εὐαγγελικὸν κήρυγμα, τὸ παντὸς τοῦ κόσμου σωτήριον, ὁ Χριστός. Ἐσφάζετο μὲν οὖν τρυγὼν καὶ περιστερὰ, ἵνα πάλιν αὐτὸς ὡς διὰ τύπων ἡμῖν σημαίνηται, τὸν ὑπὲρ τῆς κόσμου ζωῆς ὑπομένων θάνατον κατὰ σάρκα. Αὐτὸς γάρ ἐστιν ἡ εὐφωνοτάτη τρυγὼν, αὐτὸς ἡ ἀκέραιος περιστερά. Ἑαυτὸν οὖν ἄρα προσκεκόμικεν ὁ Χριστὸς καθ' ἕνα καιρὸν ὁμοῦ τοῖς τύποις τὴν ἀλήθειαν εἰς ὀσμὴν εὐωδίας, ἵν' ἡμᾶς δι' ἑαυτοῦ προσαγάγῃ τῷ Θεῷ καὶ Πατρὶ, λύσῃ τε οὕτω τὴν ἐφ' ἡμᾶς γενομένην ἀποστροφὴν, διά τε τὴν ἐν Ἀδὰμ παράβασιν (2), καὶ τὴν κατὰ πάντων ἡμῶν τυραννήσασαν ἁμαρτίαν, καὶ οὕτως ἐπισκοπῆς ἀξιώσῃ τῆς πατρικῆς. Ἡμεῖς γὰρ ἦμεν οἱ πάλαι βοῶντες· « Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με, » ὡς ὁ Ψάλλων φησίν. « Ὀφθαλμοὶ γὰρ, φησὶ, Κυρίου ἐπὶ δικαίους. » Οὐ γὰρ ἐπιβλέπει Κύριος τοὺς ταῖς ἁμαρτίαις ἐνεχομένους, ἀλλ' ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον καὶ τρέμοντα αὐτοῦ τοὺς θείους λόγους· ἔδει οὖν καθαρθῆναι πρότερον ἡμᾶς, καὶ οὕτως ἀξιωθῆναι Θεοῦ ἐποψίας· κεκερδάκαμεν δὲ τοῦτο διὰ τοῦ πάντων Σωτῆρος Χριστοῦ γεννωμένου ἐκ γυναικὸς, καὶ γενομένου ὑπὸ νόμον.

A tatis modulo apparuit, proprio genitori hostiam offert. O res mira! Legis typos ille observat, qui est Veritas. Cur, inquam? Quia legislator erat quatenus Deus, legi autem subditus quatenus homo. Quid vero obtulit? Ut primogenitus et masculus, par turturum, duosque pullos columbarum, juxta legis edictum. Hæc autem quidnam significant? Turtur sane inter altilia loquacissimus est : columba vero animal mite et mansuetum. Talem porro se exhibuit erga nos rerum omnium Creator et Dominus, mansuetudinem quidem summam retinens, instar vero **133** turturis mundum cantu demulcens, suaque melodia propriam vineam replens, id est nos qui in ipsum credidimus. Scriptum est itaque in Cantico canticorum : « Vox turturis audita est in terra nostra, vites florent[49]. » Nobis enim divinum angelicumque præconium, universo orbi salutiferum, Christus elocutus est. Mactabantur itaque turtur atque columba, ut ipse denuo ceu per typos nobis denotaretur, mortem in carne sua pro mundi vita passurus. Ipse enim est canorus maxime turtur, ipse simplex columba. Semet ergo Christus obtulit, typum simul et veritatem, in odorem suavitatis, ut nos per se ipsum Deo Patri offerret, et nostram ab eo aversionem dissolveret, quæ ob factam in Adamo transgressionem evenerat, et ob peccati in nos omnes tyrannidem, atque ita Patris respectu nos dignos efficeret. Nos enim sumus, qui ab antiquo clamamus : « Respice in me, et miserere mei, » ut ait Psalmista[51]. Namque « Oculi Domini super justos[52]. » Non enim respicit Dominus peccatis deditos, sed mitem et quietum, et divinos sermones metuentem. Oportuit igitur nos ante purgari, atque ita divina inspectione dignos reddi. Id autem consecuti sumus per universalem Servatorem Christum ex muliere natum, factum sub lege.

Ἀλλὰ ζητητέον πρῶτον μὲν, περὶ τίνος γέγραπται τὸ *περὶ τοῦ καθαρισμοῦ αὐτῶν*· δεύτερον δὲ, περὶ τοῦ παραστῆσαι αὐτὸν τῷ Κυρίῳ· καὶ τρίτον, τί σημαίνει τὸ ζεῦγος τῶν τρυγόνων, καὶ οἱ δύο νεοσσοὶ τῶν περιστερῶν: Εἰ γὰρ τὸ *περὶ τοῦ καθαρισμοῦ αὐτῶν*, περὶ τῆς ἁγίας Θεοτόκου, ἢ περὶ τοῦ μακαρίου Ἰωσὴφ, ἢ περὶ τοῦ Κυρίου νομίσει τις λέγεσθαι, ἀσεβήσει. Οὔτε γὰρ ὁ Ἰωσὴφ ἔγνω τὴν ἁγίαν Παρθένον, οὔτε αὐτὴ ἐν ἀνομίαις συνέλαβε, καθὼς αἱ ἄλλαι γυναῖκες, ἵνα περὶ τοῦ καθαρισμοῦ ἑαυτῶν προσενέγκωσιν· ἀλλ' ἀσπόρως συνέλαβε, καὶ ἀφθόρως ἔτεκεν. Ὅπου δὲ οὐ γυναικὸς καὶ ἀνδρὸς σύνοδος, οὐχ

Sed primo quærendum est, quemnam designent verba, *Purgationis eorum*; secundo de Jesu coram Domino oblatione; tertio quid significent par turturum et duo columbarum pulli. Etenim si *purgationis eorum* de sancta Deipara, vel de beato Josepho, vel de ipso Domino existimet aliquis dici, irreligiosus erit. Nam neque Josephus sanctam Virginem carnaliter cognoverat, neque ipsa in peccatis conceperat ut cæteræ mulieres, ita ut pro sua ipsorum purgatione offerre deberent. Sine semine quippe concepit, sine corruptela peperit. Ubi autem non est mulieris cum **134** viro copula, ne-

[49] Cant. I, 12. [51] Psal. XXIV, 16. [52] Psal. XXXIII, 16.

(1) Hoc loco Aubertus scribit ἢ *aut*, pro καὶ *et*. Profecto sacer textus et lex alternante sententia loquuntur. Apud Maldonatum tamen graves auctores utrumque munus a B. Maria oblatum existimare videntur, nempe Origenes homil. 14 *in Luc.*, et S. Ambrosius lib. II, 8, *De Abraham*, quibus nunc accedit in cod. E Cyrillus non hic solum, verum etiam infra p. 134 (col. 504).

(2) En nostrum in Adamo originale peccatum, quod Neoterici rursus increduli negant; Ecclesia autem divinis Scripturis Patribusque suis innixa constanter confitetur.

Digitized by Google

que somnus et voluptas, neque conjugalis coitio, quænam sit purgationis necessitas ? Sed neque de Domino id dictum fuit, immaculato scilicet et quamlibet munditiam excedente.

V. 24. *Et ut darent hostiam*, etc.

Item exactoribus solvit didrachma, quanquam id non debebat, propterea quod ipse verus Filius erat : solvit tamen, postquam semet legi subjecerat. Prorsus enim oportebat œconomicum illud munus exsequi quod nostri causa susceperat. Quin adeo Christum in ipsius didrachmatis solutione, ceu Servatorem Redemptoremque expressum comperiemus. Erat enim didrachma nummi genus regalem præ se ferentis imaginem, qui præscripto legis pro duobus solvebatur capitibus. Specta igitur in didrachmate item Christum repræsentatum. Ipse enim, cum sit imago Patris, figura substantiæ illius [42], seu ipsum obtulit duorum populorum redemptionem, Judaici, inquam, atque ethnici.

V. 28. *Et ipse accepit eum in ulnas suas.*

Portabatur ad templum Christus, pusillus adhuc infans et lactens, et quæ a lege imperata fuerant offerebat, par turturum et duos columbarum pullos. Erant autem hæc temperantiæ et mansuetudinis typus. Præterea differentiam duorum vitæ generum indicabant, quorum utriusque legislator Deus, conjugii nimirum ac cælibatus. Potes autem dicere expeditos hos et magis spiritales, ac solitariæ vitæ amatores, esse columbas : turtures vero illos, qui procreandis liberis ac reliquis negotiis dant operam. Jam beatus Simeon prophetica gratia exornatus, Jesum in ulnas recipit, supernoque gaudio plenus, Deo benedicit inquiens : « Nunc dimittis servum tuum, Domine. » Unde, inquam, dimittis ? Ex mundano stadio ; nam vita hæc carcer est et ex carcere liberatio. Porro qui pacem mundo **135** daturus est, venit : qui cœlum terræ copulat, imo qui terram evangelica sua doctrina transformat in cœlum. « Quia vidi salutare tuum, quod parasti ante faciem omnium populorum. » Nam Christi mysterium ante ipsam mundi constitutionem præparatum fuit, postremis autem sæculi temporibus manifestatum. Ipse autem factus est lux obtenebratis et errantibus ac diabolica sub manu prostratis. Vocati enim fuerunt a Deo Patre ad Filii sui agnitionem, qui est vera lux ; insuper, ad Israelis quoque gloriam. Etsi enim nonnulli ex his fuerunt contumeliosi, inobedientes, plenamque insipientia mentem gerentes ; attamen reliquiæ salvæ fuerunt [43], et per Christum honoratæ. Primitiæ autem ex his fuere divi discipuli, quorum clarissimus splendor universam terram illustrat. Aliter quoque Israelis Christus est gloria, quia ex ipso secundum

[42] Hebr. I, 3. [43] Rom. IX, 27

ὕπνος καὶ ἡδονή, οὐ συνδυασμὸς καὶ μίξις, τίς χρεία καθαρισμοῦ ; Ἀλλ' οὐδὲ περὶ τοῦ Κυρίου τοῦτο εἴρηται, τοῦ ἀκηράτου καὶ ὑπὲρ πᾶσαν καθαρότητα.

Καὶ τοῦ δοῦναι θυσίαν, κ. τ. λ.

(A f. 36 b, E f. 121, H f. 105 b) Πάλιν συνετέλεσε τοῖς δασμολογοῦσι τὸ δίδραχμον, καίτοι συντελέσαι μὴ ὀφείλων διά γε τὸ εἶναι κατὰ ἀλήθειαν Υἱός· συντετέλεκε δὲ, ὅτε γέγονεν ὑπὸ νόμον. Ἔδει γάρ, ἔδει πληροῦν τὴν οἰκονομίαν, ἣν κατεδέξατο δι' ἡμᾶς. Αὐτὸν δὲ δὴ καὶ ἐν τῇ τοῦ διδράχμου καταβολῇ γραφόμενον ὡς Σωτῆρα καὶ Λυτῆν εὑρήσομεν. Ἦν μὲν γὰρ τὸ δίδραχμον, νομίσματος εἶδος, βασιλικὴν ἔχοντος εἰκόνα, συνετελεῖτο δὲ κατὰ τὸν νόμον ὑπὲρ δύο κεφαλῶν. Ὅρα τοίνυν ἐν τῷ διδράχμῳ πάλιν τὸν Χριστὸν ἀνατυπούμενον. Αὐτὸς γὰρ ὑπάρχων ἡ εἰκὼν τοῦ Πατρὸς, ὁ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, τὸ νόμισμα τὸ ἐξ οὐρανοῦ, προσεκόμισεν ἑαυτὸν τῶν δύο λαῶν τὸ ἀντίλυτρον, τοῦ τε ἐξ Ἰουδαίων, φημὶ, καὶ τοῦ ἐξ ἐθνῶν.

Καὶ αὐτὸς ἐδέξατο αὐτὸν ἐν ἀγκάλαις αὐτοῦ.

(A f. 38, C f. 109, E f. 125, M f. 258 b) Εἰσεφέρετο μὲν ἐν τῷ ἱερῷ ὁ Χριστὸς βρέφος ὢν ἔτι βραχύ (1) τε καὶ ὑπομάζιον, καὶ τὰ ὡρισμένα τῷ νόμῳ προσῆγε, ζεῦγος τρυγόνων καὶ δύο νεοσσοὺς περιστερῶν· σωφροσύνης τε καὶ πραότητος ὁ τύπος, οὐ μὴν δὲ ἀλλὰ καὶ βίου διαφορᾶς, ὧν [cod. ὡς] ἀμφοτέρων νομοθέτης, γάμου τε καὶ ἀγαμίας. Εἶποις γὰρ ἂν τοὺς μὲν εὐζώνους καὶ πνευματικωτέρους καὶ τὸν μονήρη βίον ἐπανῃρημένους, εἶναι τὰς περιστερὰς· τοὺς δὲ παιδοποιΐας καὶ τῆς ἄλλης οἰκονομίας πεποιημένους πρόνοιαν, τρυγόνας. Ὁ δέ γε μακάριος Συμεὼν, προφητικῇ χάριτι τετιμημένος, δέχεται μὲν εἰς ἀγκάλας αὐτὸν, θυμηδίας τε τῆς ἀνωτάτω πιμπλάμενος, εὐλογεῖ τὸν Θεὸν, λέγων· « Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα. » Πόθεν ἀπολύεις; Ἐκ τοῦ βιωτικοῦ σκάμματος· λύτρα γὰρ καὶ δεσμωτήριον ὁ βίος. Ὁ γὰρ μέλλων εἰρήνην ποιεῖν τῷ κόσμῳ παρεγένετο, ὁ συνάπτων τὸν οὐρανὸν τῇ γῇ, ὁ κατασκευάζων τὴν γῆν οὐρανὸν διὰ τῆς εὐαγγελικῆς διδασκαλίας. « Ὅτι εἶδον τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν. » Προητοίμαστο γὰρ τὸ Χριστοῦ μυστήριον καὶ πρὸ αὐτῆς τοῦ κόσμου καταβολῆς· πεφανέρωται δὲ ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς· γέγονε δὲ φῶς ἐν σκότει καὶ πεπλανημένοις καὶ ὑπὸ χεῖρα πεσοῦσι διαβολικήν· κέκληνται γὰρ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς πρὸς ἐπίγνωσιν τοῦ Υἱοῦ, ὃς ἐστι φῶς τὸ ἀληθινόν· ἀλλὰ καὶ εἰς δόξαν τοῦ Ἰσραήλ. Εἰ γὰρ καὶ γεγόνασί τινες ἐξ αὐτῶν ὑβρισταὶ καὶ ἀπειθεῖς καὶ ἀσυνεσίας ἐμπλεῳ τὴν διάνοιαν ἔχοντες, ἀλλ' οὖν σέσωσται τὸ κατάλειμμα, καὶ δεδόξασται διὰ Χριστοῦ. Ἀπαρχὴ δὲ τούτων οἱ θεσπέσιοι γεγόνασι μαθηταὶ, ὧν ἡ τῆς εὐκλείας φαιδρότης, ὅλην περιαστράπτει τὴν ὑπ' οὐρανόν· δόξα δὲ καὶ

(1) Corderius in Catena ad Psalmos, seu *ad canticum Simeonis*, t. III, p. 961, habet partem hujus fragmenti, sed ridicule βραχύς pro βραχύ, quod ipse, ut sensum mitiget, Latine interpretatur *radis* tam hic quam in catena Lat. ad Luc. p. 60.

Digitized by Google

ἑτέρως τοῦ Ἰσραὴλ ὁ Χριστὸς, ὅτι προῆλθεν ἐξ αὐτῶν κατὰ σάρκα, καίτοι Θεὸς ὢν ἐπὶ πάντας καὶ προαιώνιος.

carnem processit, quanquam Deus supremus erat et ante sæcula.

Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραήλ.

(A f. 39, E f. 128 b) Τέθειται μὲν παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Ἐμμανουὴλ εἰς τὰ θεμέλια Σιὼν, λίθος ὢν ἐκλεκτὸς ἀκρογωνιαῖος, ἔντιμος. Ἀλλ' οἱ μὲν ἐπ' αὐτῷ πιστεύσαντες οὐ κατῃσχύνθησαν· οἱ δὲ ἄπιστοι, καὶ τὸ ἐπ' αὐτῷ μυστήριον οὐκ ἰσχύσαντες ἰδεῖν, πεσόντες συνετρίβησαν. Ἔφη γάρ που πάλιν ὁ Θεὸς καὶ Πατήρ· « Ἰδοὺ τίθημι ἐν Σιὼν λίθον προσκόμματος, καὶ πέτραν σκανδάλου· καὶ ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ μὴ καταισχυνθῇ· ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν. » Ἀλλ' ἠσφαλίσατο τοὺς ἐξ Ἰσραὴλ ὁ προφήτης, λέγων· « Κύριον αὐτὸν ἁγιάσετε, καὶ αὐτὸς ἔσται σου φόβος· καὶ ἐὰν ἐπ' αὐτῷ πεποιθὼς ᾖς, ἔσται σοι εἰς ἁγιασμὸν, καὶ οὐχ ὡς λίθου προσκόμματι συναντήσεσθε αὐτῷ, οὐδὲ ὡς πέτρᾳ πτώματος. » — (A f. 39, E f. 129) Οὐκοῦν ἐπειδήπερ Κύριον καὶ Θεὸν ὄντα τὸν Ἐμμανουὴλ οὐχ ἡγίασεν ὁ Ἰσραὴλ, οὔτε μὴν ἠθέλησεν ἐπ' αὐτῷ πεποιθέναι, περιπταίσας ὡς λίθῳ διὰ τὴν ἀπιστίαν, συνετρίβη καὶ πέπτωκεν· ἀνέστησαν δὲ πολλοὶ, τουτέστιν οἱ τὴν εἰς αὐτὸν πίστιν παραδεξάμενοι. — (A f. 39 b, E f. 130, H f. 116) Ἢ καὶ ὡς ὁ σοφώτατος γράφει Παῦλος, « Ἰουδαίοις μέν ἐστι σκάνδαλον ὁ σταυρὸς, ἔθνεσι δὲ μωρία. » Καὶ πάλιν· « Ὁ λόγος ὁ τοῦ σταυροῦ, τοῖς μὲν ἀπολλυμένοις, μωρία ἐστί· τοῖς δὲ σωζομένοις ἡμῖν, δύναμις Θεοῦ εἰς σωτηρίαν. » Διὰ τοῦτο εἰς σημεῖον ἀντιλεγόμενον ὁ Κύριός ἐστι.

V. 34. *Ecce positus est hic in ruinam et in resurrectionem multorum in Israel.*

Positus est a Deo Patre Emmanuel in fundamentis Sionis, lapis electus, angularis, pretiosus. Et ei quidem credentes, non sunt confusi ; increduli autem, et qui latens in eo mysterium cernere haud potuerunt, præcipitio contriti fuere. Ait enim alicubi Deus Pater : « Ecce pono in Sione lapidem offensionis, petram scandali. Et qui ei confiderit, non confundetur ; in quem autem ceciderit, ipsum conteret [46]. » Sed enim securos esse jussit Israelitas propheta dicens : « Dominum ipsum honorate, et sit Dominus timor tuus. Quod si illi confisus fueris, erit tibi honori, nec velut ad lapidem offensionis petramque lapsus in illum incurretis [47]. » Ergo quia Dominum ac Deum Emmanuelem noluit honorare Israel, neque ei confidere, impingens in lapidem ob suam incredulitatem, ruit et confractus est. Contra multi consurrexerunt, ii nimirum qui fidem illius admiserunt. — Vel quomodo sapientissimus **136** scribit Paulus : « Judæis quidem scandalum est crux, gentibus autem stultitia [47]. » Et rursus : « Crucis doctrina, pereuntibus quidem stultitia est ; iis autem qui salvi fiunt, virtus Dei ad salutem [48]. » Propterea in signum contradictionis Dominus est.

Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία.

(A f. 40, B f. 31, E f. 131, H f. 117) Συντομώτερον δὲ εἰπεῖν, ῥομφαίαν ἐν τούτοις καταδηλοῦσθαί φαμεν, ὡς ἐν εἴδει μαχαίρας τὸν πειρασμὸν, ἢ καὶ αὐτὸ τὸ πάθος τὸ ἐκ τῆς τῶν Ἰουδαίων ἀπονοίας ἐπενηνεγμένον τῷ Ἐμμανουὴλ. Καὶ ἔοικέ γε συνιέναι οὕτως, καὶ μὴν καὶ εἰπεῖν ὁ δίκαιος Συμεών· μόνον γὰρ οὐχὶ ῥομφαίᾳ κατεσφάζετο ἡ ἁγία Παρθένος, σταυρούμενον ὁρῶσα τὸν ἐξ αὐτῆς γεννηθέντα κατά γε τὴν σάρκα (1). Τοιοῦτον καὶ τὸ παρὰ τῷ Ζαχαρίᾳ· « Ῥομφαία, ἐξεγέρθητι ἐπὶ τὸν ποιμένα μου· » τουτέστιν, Ἐνεργείσθω λοιπὸν τὸ σωτήριον πάθος, καὶ ὁ τῆς τῶν ἀγαθῶν ἀναδείξεως ἡκέτω καιρός.

V. 35. *Et tuam ipsius animam pertransibit gladius.*

Ut rem paucis expediamus, romphæa hic denotari dicimus, ceu gladio quodam, tentationem ; vel etiam passionem ipsam abs Judæorum vesania Emmanueli illatam. Atque ita videtur intelligere ac dicere justus Simeon. Gladius enim propemodum sanctam Virginem transfigebat, dum crucifixum videret, quem ipsa in carne genuerat. Simile quid dicitur etiam a Zacharia : « Romphæa, exsurge adversus pastorem meum [49], » id est, Salutaris demum perficiatur passio, et ostensionis bonorum tempus adveniat.

Τὸ δὲ παιδίον ηὔξανε, κ. τ. λ.

(A f. 42, B f. 32, C f. 109 b., E f. 133 b., H. f. 121) Τὸ δὲ λέγειν, ὅτι « Τὸ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι, πληρούμενον σοφίας, καὶ χάρις Θεοῦ ἦν ἐπ' αὐτῷ, » ταῦτα κατὰ τὸ ἀνθρώπινον εἰρῆσθαι δεκτέον. Ἄθρει δέ μοι τῆς οἰκονομίας τὸ βάθος·

V. 40. *Puer autem crescebat*, etc.

Cum dicitur puer crescere, et spiritu roborari, sapientia repletus, et Dei gratia exornatus, hæc de humana natura dici credendum est. Tu vero mihi specta dispensationis altitudinem. Humanum sustinet partum, quanquam initio ac tempore divinitus

[46] Isa. xxviii, 16. [47] Isa. viii, 13, 14. [47] I Cor. i, 23. [48] ibid. 18. [49] Zach. xiii, 7.

(1) In codice B f. 31, additur καὶ ἀμφιγνοοῦσα εἴ γε καὶ θανάτου κρατήσει θανατωθείς; quam particulam de B. Virginis dubitatione circa futuram Filii sui resurrectionem cum nec cæteri codices in Cyrillo habeant, nec pietas Christiana admittat, haud immerito prætermisimus ; quanquam eadem legitur sub finem prædictæ homiliæ in hypapanten. Qua super re loquitur Combefisius Auctar. t. I, in adn. ad Gregorii Antiocheni orationem, p. 849. Adi etiam Petavium in re simili copiosius disserentem, tract. *De incarn.* lib. xiv, cap. 1.

Digitized by Google

Verbum careat : qui est perfectissimus, utpote Deus, A crescit corpore; ac maturitate membrorum, incorporeus : repletur sapientia ille, in quo omnis sapientia est. Quid ad hæc dicimus? Cognosce ex his, illum qui in forma Patris erat, factum similem nobis; divitem, in inopia; excelsum, in humilitate; eum qui plenus divinitus est, dici nihilominus accipere. Adeo semetipsum exinanivit Deus Verbum [80]! Nam quæ humanitus de eo scripta sunt, exinanitionis modum demonstrant. Neque enim fieri poterat, ut quidquam hujusmodi in propria natura pateretur genitum ex Patre Verbum. **137** Sed cum caro factum est, id est homo æque ac nos, tunc carnaliter a muliere paritur, et quæ humanæ sunt conditionis perpeti dicitur. Profecto Deus Verbum poterat, cum perfecti viri mensura, suam ex B utero sine ulla mora carnem educere : verumtamen ea res a portento non abfuisset. Quamobrem humanitatis moribus atque legibus in suam quoque carnem potestatem dedit. Sic etiam dici puta profecisse eum sapientia, non quod sapientiæ incrementum acceperit, quia Deus omni re absolutissimus esse reputatur, et nullius Deo dignarum qualitatum indigus : sed quia Deus Verbum una cum corporis ætate manifestationem sapientiæ paulatim dilatabat.

Crescit corpus quidem ætate, sapientia vero animus : etenim Deitas neutrum incrementum admittit : nam usquequaque perfectissimum Dei Verbum erat. Congrue porro copulavit corporis incremento, sapientiæ augmentum; nam pro modulo corporalis ætatis, suam divina natura patefaciebat sapientiam. C

V. 42. *Et cum annos duodecim natus esset, ascendentibus illis Hierosolymam secundum consuetudinem diei festi.*

Evangelista qui dixit profecisse Jesum sapientia et gratia apud Deum et homines, verax ostendit dictum suum. Defert enim illum Hierosolymam cum sancta Virgine, festo illuc invitante tempore. Deinde ait ipsum illic substitisse, et mox inventum in templo inter doctores sedentem, rogantemque vicissim ac respondentem quæ in lege olim erant præscripta. Denique ait cunctos interrogationes ejus atque responsa fuisse admiratos. Vides quomodo sapientia et gratia profecerit, nempe quia D multis talis innotuit.

V. 48. *Pater tuus et ego dolentes quærebamus te.*

Profecto sciebat mater ejus, haud esse ipsum Josephi filium : nihilominus ob vitandas Judæorum suspiciones, ita ait. Jam **138** cum dixisset : « Pater tuus

[80] Philipp. II, 7.

Ἀνθρώπινον ὑπομένει τόκον, καίτοι τὸ ἀναρχον καὶ ἄχρονον θεϊκῶς ἔχων ὁ Λόγος· ἐν αὐξήσει σώματος ὁ παντέλειος ὡς Θεὸς, ἐν ἀδρότητι μελῶν ὁ ἀσώματος· πληροῦται σοφίας, αὐτὸς ὢν ἡ πᾶσα σοφία. Καὶ τί πρὸς τοῦτό φαμεν; Ὅρα διὰ τούτων τὸν ἐν μορφῇ τοῦ Πατρὸς ἐν ὁμοιώσει τῇ πρὸς ἡμᾶς, τὸν πλούσιον ἐν πτωχείᾳ, ἐν ταπεινώσει τὸν ὑψηλὸν, τὸν τὸ πλῆρες ἔχοντα θεϊκῶς, ἐν τῷ λέγεσθαι λαβεῖν· οὕτω κεκένωκεν ἑαυτὸν Θεὸς ὢν ὁ Λόγος. Τὰ γὰρ ἀνθρωπίνως περὶ αὐτοῦ γεγραμμένα, τὸν τῆς κενώσεως διαδείκνυσι τρόπον. Οὐ γάρ ἐστι τῶν ἐνδεχομένων εἰς ἰδίαν φύσιν ὑποστῆναί τι τοιοῦτον, τὸν ἐκ Θεοῦ Πατρὸς φύντα Λόγον· ἀλλ' ὅτε γέγονε σὰρξ, ἤγουν ἄνθρωπος καθ' ἡμᾶς, τότε τίκτεται μὲν ἐκ γυναικὸς κατὰ σάρκα, λέγεται δὲ καὶ ὑπομεῖναι τὰ ἀνθρώπινα. Ἦν μὲν γὰρ ἱκανὸς Θεὸς ὢν ὁ Λόγος, εἰς μέτρον ἀνδρὸς τελείου, καὶ ἐκ μήτρας εὐθὺς τὴν ἰδίαν ἀναβιβάσαι σάρκα· ἀλλ' ἦν οὐ μακρὰν τερατοποιίας τὸ δρώμενον. Διὰ τοῦτο τοῖς τῆς ἀνθρωπότητος ἔθεσί τε καὶ νόμοις, τὸ κρατεῖν ἐδίδου καὶ ἐπὶ τῆς ἑαυτοῦ σαρκός. Οὕτω καὶ ἐν σοφίᾳ προκόπτειν ἂν λέγοιτο, οὐ προσθήκην σοφίας δεχόμενος, καθ' ὃ νοεῖται Θεὸς ὁ ἐν πᾶσι παντέλειος, καὶ ἀπροσδεὴς εἰσάπαν τῶν θεοπρεπῶν ἀξιωμάτων, ἀλλὰ τοῦ Θεοῦ Λόγου τῇ τοῦ σώματος ἡλικίᾳ συνεκτείνοντος κατὰ βραχὺ τὴν σοφίας τὴν ἔκφανσιν.

(A f. 42 b., H f. 124 b) Προκόπτει δὲ ἡλικίᾳ μὲν σῶμα, σοφίᾳ δὲ ψυχή (1). Θεότης γὰρ οὐδετέραν ἐπίδοσιν ἐπιδέχεται· παντέλειος γὰρ ὁ τοῦ Θεοῦ Λόγος. Εἰκότως δὲ συνέζευξε τῇ τῆς ἡλικίας αὐξήσει, τὴν τῆς σοφίας ἐπίδοσιν· πρὸς γὰρ τὸ μέτρον τῆς τοῦ σώματος ἡλικίας, ἀπεκάλυπτεν ἡ θεία φύσις τὴν οἰκείαν σοφίαν.

Καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα, ἀναβάντων αὐτῶν εἰς Ἱεροσόλυμα κατὰ τὸ ἔθος τῆς ἑορτῆς.

(A f. 45, B f. 32, C f. 110, E f. 109, H f. 132 b) Εἰπὼν ὁ εὐαγγελιστὴς, ὅτι προέκοπτεν ὁ Ἰησοῦς ἐν σοφίᾳ καὶ χάριτι παρά τε Θεῷ καὶ ἀνθρώποις, δείκνυσι τὸν ἑαυτοῦ λόγον ἀληθῆ. Ἀποφέρει γὰρ αὐτὸν εἰς Ἱερουσαλὴμ, ἅμα τῇ ἁγίᾳ Παρθένῳ, ἑορτῆς καλούσης εἰς τοῦτο· εἶτά φησιν ἀπομεῖναι μὲν αὐτὸν, εὑρεθῆναι δὲ μετὰ ταῦτα ἐν τῷ ἱερῷ μεταξὺ τῶν διδασκάλων καθήμενον, ἐρωτῶντά τε καὶ ἀποκρινόμενον, δῆλον δὲ ὅτι τὰ πάλαι τῷ νόμῳ διηγορευμένα· εἶτα θαυμαζόμενον ἐπὶ ταῖς ἐρωτήσεσιν ὑπὸ πάντων καὶ ταῖς ἀπολογίαις. Ὁρᾷς ἐν σοφίᾳ καὶ χάριτι προκόπτοντα διὰ τοῦ γινώσκεσθαι πολλοῖς ὅτι τοιοῦτός ἐστιν.

Ὁ Πατήρ σου κἀγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε.

(B f. 33) Ἤδει μὲν γὰρ ἡ μήτηρ αὐτοῦ μὴ τέκνον εἶναι αὐτὸν τοῦ Ἰωσὴφ· ἀλλὰ διὰ τὴν ὑποψίαν τῶν Ἰουδαίων τοῦτό φησι· καὶ ἐπειδὴ εἶπεν, ὅτι « Ὁ

(1) De eo, quod sapientia Christus profecisse dicitur, legendus est Petavius *De incarn.* lib. XI, c. 2, qui rem plenissime edisserit. Et quidem etiam noster Cyrillus communem sententiam sequitur, quod nempe pro ætatis incremento, majoris sapientiæ externa indicia fecerit.

Digitized by Google

πατήρ σου κἀγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε, » ὁ Σωτὴρ πρὸς τοῦτο λέγει· A

Οὐκ ἤδειτε ὅτι ἐν τοῖς τοῦ Πατρός μου δεῖ εἶναί με;

(A f. 45 b, E f. 110 b, H f. 134) Ἐνταῦθα οὖν πρώτως τοῦ ἀληθῶς Πατρὸς φανερώτερον μνημονεύει, καὶ παραγυμνοῖ τὴν ἑαυτοῦ θεότητα. Ἐπειδὴ γὰρ ἔφασκεν ἡ ἁγία Παρθένος· « Τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; » τότε δή, τότε τῶν ἀνθρωπίνων ἐπέκεινα μέτρων ἑαυτὸν ὄντα δεικνὺς, καὶ διδάσκων ὅτι γέγονε μὲν ὑπουργὸς τῆς οἰκονομίας αὐτὴ τεκοῦσα τὴν σάρκα, φύσει δὲ καὶ ἀληθείᾳ Θεὸς ἦν, καὶ Υἱὸς τοῦ ἐν οὐρανοῖς ὄντος Πατρὸς, φησίν· « Οὐκ ἤδειτε, » κ. τ. λ. — (A f. 45 b., E f. 110 b., H f. 134) Ἐνταῦθα οἱ ἀπὸ Οὐαλεντίνου ἀκούοντες, ὅτι Θεοῦ ἦν ὁ ναὸς, καὶ νῦν ἐν ἰδίοις ὁ Χριστὸς, ὁ καὶ πάλαι διὰ B τοῦ νόμου γραφόμενος, καὶ ὡς ἐν σκιαῖς καὶ τύποις μορφούμενος, αἰδείσθωσαν λέγοντες, ὅτι οὐχ ὁ Δημιουργὸς, οὐδὲ ὁ Θεὸς τοῦ νόμου, οὐδὲ ὁ Θεὸς τοῦ ναοῦ, οὗτός ἐστιν ὁ Πατὴρ τοῦ Χριστοῦ (1).

Καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις.

(A f. 46, B f. 53 b., E f. 112, H f. 136 b) Φησὶν ὁ εὐαγγελιστὴς Ἰωάννης· « Καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ Πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας. » Ποῖ ποτε προκόψει τὸ πλῆρες; ἢ ποίαν ὅλως ἐπιδέξεται προσθήκην, οὗ ἐπέκεινα μηδέν; Οὐκοῦν οὐ καθ' ὃ Λόγος ἐστὶ καὶ Θεὸς προκόπτειν εἴρηται, ἀλλ' ὅτι μειζόνως ἀεὶ θαυμαζόμενος, χαριέστερος παρὰ τοῖς ὁρῶσι διὰ τῶν C ἀποτελεσμάτων ἀπεδείκνυτο, προκοπτούσης, ὡς ἔστι μᾶλλον εἰπεῖν ἀληθέστερον, τῆς τῶν θαυμάτων ἔξεως ἐν ταῖς τῶν ὁρώντων διανοίαις, ἥπερ αὐτοῦ τοῦ τελείου πρὸς χάριν ὡς Θεοῦ. Σκόπει δὲ ὡς τὸ ἔν τινι προκόπτον, ἕτερόν ἐστι παρ' ἐκεῖνο ἐν ᾧ προκόπτειν λέγεται. Εἰ τοίνυν ἐν σοφίᾳ προκόπτειν εἴρηται, οὐχ ἡ σοφία προέκοπτεν, ἀλλ' ἐν αὐτῇ τὸ ἀνθρώπινον. Ἀποκαλυπτομένης γὰρ καὶ φανερουμένης ὁσημέραι τῆς θεότητος ἐν αὐτῷ, ἀεὶ θαυμαστότερος παρὰ τοῖς ὁρῶσιν ἐγίνετο. Καὶ ἐπιτήρει ὡς οὐκ εἶπεν, Ὁ Λόγος δὲ *προέκοπτεν*, ἀλλ' « Ὁ Ἰησοῦς, » ἵνα μὴ γυμνὸν νοήσῃς τὸν Λόγον· ἀλλ' ὅτι γέγονε σὰρξ, καὶ προκόπτειν λέγεται, ὅτε τὸ προκόπτειν πεφυκὸς ἀνεδέξατο, τουτέστι τὸ ἀνθρώπινον. Τῆς οὖν ἀνθρωπότητος ἂν εἴη, καὶ κατὰ ταύτης ἂν φέροιτο εὐλόγως τὸ, D *προέκοπτεν*. Οὕτω γὰρ ἕκαστον τῶν λεγομένων ἐν τῇ οἰκείᾳ τάξει κείσεται, οὔτε τῶν ὅσα πρέπει γυμνῷ τῷ Λόγῳ καταφερομένων εἰς τὸ ἀνθρώπινον, οὔτε μὴν τῶν ἀνθρωπίνων ἀναβαινόντων εἰς τὸν τῆς θεότητος λόγον.

et ego dolentes quærebamus te, » respondit Servator:

V. 49. *Nesciebatis quia in his quæ Patris mei sunt, oportet me esse?*

Hic primum veri Patris manifestius mentionem infert, suamque detegit deitatem. Nam cum sancta Virgo dixisset: «Fili, cur fecisti nobis sic? » tunc demum supra humanam mensuram se esse demonstrans, matremque carnalem suam dispensationis quidem esse ministram docens, se tamen suapte natura Deum, Patrisque cœlestis Filium, ait: « Nesciebatis, » etc. — Hic Valentini asseclæ audientes et Dei esse templum, et quod Christus nunc in propriis est, qui et olim a lege descriptus erat, et tanquam umbris ac typis figuratus, pudore affi- B ciantur dum aiunt, quod neque Creator, neque Deus legis, neque Deus templi, ipse est Christi Pater.

V. 52. *Et Jesus proficiebat sapientia et ætate ac gratia apud Deum et homines.*

Ait evangelista Joannes: « Et vidimus gloriam ejus, gloriam quasi unigeniti a Patre, plenum gratiæ et veritatis [51]. » Si ergo gratiæ ac veritatis plenus, quomodo proficiet quod plenum est? vel quam omnino additionem recipiet, id quo majus nihil est? Non ergo quatenus Verbum Deusque est, proficere dictus est, sed quia majorem semper admirationem sui commovens, gratiosior cernentibus ob actus suos videbatur: progrediente magis, ut verius dicendum est, prodigiorum in spectatorum mentibus conceptu, quam ipsomet Jesu ad gratiam crescente, qui perfectus erat utpote Deus. Porro observa, illud quod in re aliqua proficit, diversum esse ab ea re in qua proficere dicitur. Si ergo in sapientia profecit, **139** haud ipsa sapientia (id est Verbum, Patris sapientia [52]) profecit, sed humana natura incrementum sapientiæ habuit. Cum enim se révelaret quotidie ac manifestaret in ipso Deitas, admirabilior spectantibus semper fiebat. Et animadverte non dixisse: Verbum proficiebat, sed « Jesus »: ne forte de solo cogitares Verbo: sed quia Verbum caro factum est, ideo proficere dicitur, postquam proficiendi facultatem acquisivit, id est humanitatem. Est itaque humanitatis proprium, deque ea recte prædicatur vocabulum *proficiebat*. Sic enim singulæ dictiones in ordine suo manebunt, nec ea quæ solum Verbum decent ad humanitatem deprimentur; neque humanæ qualitates, ad deitatis vocabula esse attollent.

[51] Joan. I, 14, [52] I Cor. I, 24.

(1) Hoc posterius fragmentum in cod. dicitur ex Cyrillo et Origene. Origenis autem locus pertinet ad ejus homiliam 18 in Lucam, quæ Latine, S. Hieronymo interprete, exstat in ed. Maur. t. III. Verumtamen sententia potius quam verba, consentit. Nam ne Valentini quidem nomen ibi scribitur, quod tamen non reticetur in fragmento Græco apud Gallandium Biblioth. t. XIV, Append. p. 89. Cæteroqui S. Thomas in Catena aurea tribuit hoc fragmentum uni Cyrillo sic: « Cyrillus. Hoc igitur dicit ostendens se mensuram humanam transcendere, et innuens quod sacra Virgo effecta sit ministra negotii (οἰκονομίας) cum peperit carnem. Ipse vero naturaliter et vere Deus erat, et Filius Patris excelsi. Hinc autem Valentini sequaces, » etc

Digitized by Google

CAP. III.

A

ΚΕΦΑΛ. Γ'.

V. 4. *Sicut scriptum est in libro sermonum Isaiæ prophetæ.*

Non ignoravit beatus Isaias propheta prædicationis Joannis scopum, sed antiquitus multoque ante tempore testimonium præbens, Christum quidem Dominum appellavit ac Deum; Joannem vero ministrum ac famulum nominavit [53]: quodque lampas esset, veræ lucis prævia; lucifer solis nuntius, diei quæ nos illuminatura est adventum significans. Vox erat, non tamen verbum, ante Jesum decurrens; sicuti reapse verbo vox præcurrit.

Ὡς γέγραπται ἐν βιβλίῳ λόγων Ἡσαΐου τοῦ προφήτου.

(A. f. 49, H f. 145 b) Οὐκ ἠγνόησεν ὁ μακάριος Ἡσαΐας τῶν Ἰωάννου κηρυγμάτων τὸν σκοπὸν, ἀλλ' ἄνωθεν καὶ πρὸ πολλοῦ τοῦ χρόνου μαρτυρῶν, τὸν μὲν Χριστὸν, Κύριον ἐκάλεσε καὶ Θεόν· τὸν δὲ Ἰωάννην, διάκονον αὐτοῦ καὶ ὑπηρέτην ὠνόμαζε· καὶ ὅτι λύχνος ἦν, τοῦ φωτὸς τοῦ ἀληθινοῦ προεισδεδηκὼς, ἑωσφόρος ἡλίου προάγγελος, τῆς μελλούσης ἐφ' ἡμᾶς διαυγάζειν ἡμέρας καταση μαίνων τὴν ἄφιξιν· καὶ ὅτι φωνὴ ἦν, οὐ λόγος προτρέχων τοῦ Ἰησοῦ, ὡς φωνὴ τοῦ λόγου (1).

Parate vias Domini, rectas facite semitas ejus.

Ἑτοιμάσατε τὰς ὁδοὺς Κυρίου, εὐθείας ποιεῖτε τὰς ὁδοὺς αὐτοῦ.

Delectus ad apostolatum, postremusque sanctorum prophetarum Joannes fuit. Quamobrem ceu si nondum Dominus adesset, « Parate, inquit, vias Domini, » id est componite vos ad recipiendum quidquid Christo constituere visum fuerit. Avertite corda ab umbra legis, typos omittite, a distortis consiliis desinite. Simul tamen et præsentem (Dominum) ostendit dicens: « Ecce Agnus **140** Dei, qui mundi peccatum tollit [54]. » — Quid autem sibi vult, « rectas facite semitas Dei nostri? » Recta quidem et lævis facilisque illa est quæ ad bonum defert semita: distorta autem altera, id est quæ ad pravitatem deducit incedentes per ipsam. De his enim scriptum est: « Quorum viæ perversæ sunt et obliquæ semitæ ipsorum [55]. » Ergo mentis æquitas, recta veluti via est, nihil distortum habens. Hujuscemodi erat divus Psalmista, dum caneret dicens: « Non adhæsit mihi cor perversum [56]. » Jesus quoque Navi filius populo aiebat: « Dirigite corda vestra ad Deum Israelis [57]. » Joannes vero, « Rectas facite, inquit, vias vestras. » In hoc autem consistit status animæ rectus, ut naturalem suum intellectum, prout condita fuit, præ se ferat. Nam pulchra quidem et recta apprime creata fuit. Cum autem naturam propriam perverterit, hæc improbitas et distorsio animæ dicitur. Non est difficile admodum negotium: nam si ut creati fuimus manserimus, media in virtute versamur.

B

(A f. 49, E f 143 b, F f 776, H f. 145 b) Ἀπόλεκτος εἰς ἀποστολὴν καὶ τέλος ἦν προφητῶν ἁγίων ὁ Ἰωάννης. Ὅθεν ὡς μὲν οὔπω παρόντος Κυρίου, τὸ, « Ἑτοιμάσατε, φησὶ, τὴν ὁδὸν Κυρίου· » τουτέστιν, Εὐτρεπίσθητε πρὸς παραδοχὴν ὧν ἂν βούλοιτο νομοθετεῖν ὁ Χριστός· ἀποστήσατε τὰς καρδίας τῆς τοῦ νόμου σκιᾶς· καταλήξατε τῶν τύπων· παύσασθε τοῦ φρονεῖν τὰ διεστραμμένα. Κατέδειξε δὲ καὶ παρόντα, λέγων· « Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. » — (A f. 49, E f. 143 b, F f. 776, H f. 145 b.) Τί δὲ βούλεται τὸ, « Εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν; » Εὐθεῖα μὲν πᾶσα λεία τε καὶ εὐχερὴς ἡ πρὸς τὸ ἀγαθὸν ἀποφέρουσα τρίβος· διεστραμμένη γε μὴν ἡ ἑτέρα, τουτέστιν ἡ εἰς φαυλότητα κατασύρουσα τοὺς δι' αὐτῆς ἐρχομένους. Γέγραπται γὰρ περὶ τῶν τοιούτων· « Ὧν αἱ τρίβοι σκολιαὶ, καὶ καμπύλαι αἱ τροχιαὶ αὐτῶν. » Οὐκοῦν ἡ τῆς διανοίας εὐθύτης, ὀρθή τις ὥσπερ ἐστὶν ὁδὸς, οὐκ ἔχουσα τὸ διεστραμμένον. Τοιοῦτος ἦν ὁ θεσπέσιος Ψαλμῳδὸς, ψάλλων τε καὶ λέγων· « Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή. » Καὶ ὁ μὲν τοῦ Ναυῆ Ἰησοῦς παραγγέλλων ἔλεγε τῷ λαῷ· « Εὐθύνατε τὰς καρδίας ὑμῶν πρὸς τὸν Θεὸν Ἰσραήλ· ὁ δὲ Ἰωάννης, « Εὐθείας ποιεῖτε τὰς τρίβους ὑμῶν. » Τοῦτο δέ ἐστι, τὸ εὐθεῖαν εἶναι τὴν ψυχὴν, τὸ κατὰ φύσιν νοερὸν αὐτῆς ὡς ἐκτίσθη δεικνύειν. Ἐκτίσθη δὲ καλὴ καὶ λίαν εὐθύς· ὅταν δὲ ἐκκλίνῃ καὶ ἐν διαστροφῇ τοῦ κατὰ φύσιν γένηται, τοῦτο κακία καὶ διαστροφὴ ψυχῆς λέγεται. Οὐκοῦν οὐκ ἔστιν δυσχερὲς τὸ πρᾶγμα· ἐὰν γὰρ μείνωμεν ὡς γεγόναμεν, ἐν τῇ ἀρετῇ ἐσμεν.

C

Sed tanquam aliquis reclamaret ac diceret: — Quomodo parabimus viam Domini? quomodo rectas faciemus semitas ejus? Multa enim impedimenta occurrunt bene vivere volentibus, nempe osor virtutis Satanas, malorum spirituum impia turba, ipsa lex peccati quæ in carneis membris menti ad bonum nitenti obsistit; multæ aliæ insuper perturbationes humano cogitatui imperant; quid ergo age-

D

(A f. 49, E f. 144. E f. 776 b, H f. 146) Ἀλλ' ὥσπερ τινὸς ἀνταναφωνοῦντος καὶ λέγοντος, Πῶς ἑτοιμάσομεν τὴν ὁδὸν Κυρίου, ἢ πῶς εὐθείας αὐτοῦ τὰς τρίβους ποιήσομεν; πολλὰ γάρ ἐστι τὰ μεταξὺ παρεμποδὼν τοῖς εὖ βιοῦν ἐθέλουσιν, ὁ μισόκαλος Σατανᾶς, τῶν πονηρῶν πνευμάτων ἡ ἀνοσία πληθὺς, αὐτὸς τῆς ἁμαρτίας ὁ νόμος ὁ ἐν τοῖς μέλεσι τῆς σαρκὸς ἀνθοπλιζόμενος ταῖς εἰς τὸ ἀγαθὸν τοῦ νοὸς

[53] Isa. XL, 3. [54] Joan. I, 29. [55] Prov. II, 15. [56] Psal. C, 3. [57] Jos. XXIV, 23.

(1) Hoc fragmentum in codd. A et H dicitur ex Chrysostomo et ex Cyrilli homilia. Habet etiam Latine Corderius ex Cyrillo et Basilio, ut ait; sed reapse is permiscet Basilium cum Cyrillo. Nam Basilius distinguitur in nostro codice, occupatque partem ultimam, et a nostra diversam, Corderiani fragmenti. Perperam etiam Corderius ait *lux Veræ* pro *vox*, etc.

Digitized by Google

ροπαῖς· πολλὰ δὲ πρὸς τούτοις ἕτερα πάθη, τῆς τοῦ ἀνθρώπου διανοίας κατακρατεῖ· τί οὖν ἄρα ὁράσομεν, τοσαύτης δυσχερείας κειμένης; πρὸς ταῦτα τῆς προφητείας ὁ λόγος ὑπαντᾷ λέγων· « Πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται· καὶ ἔσται ἡ σκολιὰ εἰς εὐθεῖαν, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας· καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ. » Εἰσὶ μὲν γὰρ λεωφόροι τινὲς ἢ καὶ τρίβοι, βάσιμοι μὲν ἥκιστά γε, τραχεῖαι δὲ οὕτως, ὡς πῇ μὲν ἀνίστασθαι πρὸς ὄρη τε καὶ βουνούς, πῇ δὲ καταφέρεσθαι, καὶ εἰς χρημνοὺς ἀποφέρεσθαι· αἱ δὲ τοιαῦται τῶν ὁδῶν ὡς ἐν ὕψει τε καὶ βάθει, δυσπόρευτοι λίαν εἰσίν. Εἰ δὲ δὴ γένοιτό πως ὑφιζῆσαι μὲν τὰ ὑψοῦ καὶ ἀνάντη, ἀνεμπίμπλασθαι δὲ τὰ ἐν κοίλῳ καὶ βάθει, τότε δὴ εἰς εὐθεῖαν ἔσται τὰ σκολιὰ, καὶ εἰς ψιλὰ πεδία καὶ οἷον ὑπτίαν ἔχοντα τὴν ὁδὸν τὰ τραχέα τε καὶ φαραγγώδη ποτέ. Τοῦτο γέγονε νοητῶς διὰ τῆς τοῦ Σωτῆρος ἡμῶν ἰσχύος. Πάλαι μὲν γὰρ δυσπόρευτα ἦν τῆς εὐαγγελικῆς ζωῆς τε καὶ πολιτείας τὰ βάσιμα, διὰ τὸ κρατεῖσθαι τὸν ἁπάντων νοῦν κοσμικαῖς ἐπιθυμίαις (1)· ἐπειδὴ δὲ ὁ πάντων Θεὸς γεγονὼς ἄνθρωπος κατήργηκεν ἐν τῇ σαρκὶ τὴν ἁμαρτίαν, λεῖα πάντα γέγονε καὶ εὐήλατα· οὐχ ὕψος, οὐ βάθος τοῖς εὐδοκιμεῖν ἐθέλουσιν ἁπαντᾷ, ἀλλὰ πάντα τὰ σκολιὰ εἰς εὐθεῖαν μετεποιήθη τρίβον. Αὐτὸς γὰρ λείαν ἡμῖν καὶ εὐδρομωτάτην ἀπέφηνε τὴν εἰς εὐσέβειαν ὁδὸν, οὐδὲν ἔχουσαν τὸ ἄναντες ἢ τὸ κοῖλον καὶ κάτω, δι' ἃ τραχεῖά ποτε καὶ δυσπόρευτος ἦν. Πάντα γὰρ τὰ σκολιὰ γέγονεν εὐθέα, ὡς αὐτός που πάλιν ὁ προφήτης φησὶν Ἡσαΐας· « Ὁδὸς εὐσεβῶν εὐθεῖα ἐγένετο, καὶ παρεσκευασμένη ἡ ὁδὸς τῶν δικαίων. » Ἐκ μέσου μὲν γὰρ ἡ τῶν δαιμόνων ἀπηλάθη πληθύς· καὶ αὐτὸς δὲ ὁ διάβολος κατηργήθη σὺν ἐκείνοις· νενέκρωται δὲ καὶ τῆς ἁμαρτίας ὁ νόμος, καὶ πάσας ἡμῶν ὁ Σωτὴρ ἰᾶται τὰς νόσους.

mus, tanta objecta difficultate? — his profeticus sermo occurrit dicens: « Omnis vallis implebitur, et omnis mons et collis humiliabitur: et erit distorta in viam rectam, et aspera in planam; et videbit omnis caro salutare Dei[58]. » Sunt enim viæ nonnullæ vel etiam semitæ, minime quidem gradibiles, imo tam asperæ, ut modo saliant in montes aut tumulos, modo deorsum vergant atque in præcipitia ferantur. Hujusmodi certe viæ sus deque tendentes difficile iter efficiunt. Quod si in his demum exæquentur celsa et ardua, **141** expleantur autem cava et profunda, tunc in recta vertentur distorta, et in nitidos campos, ac veluti supinam viam habentes, loci asperi et præcipti transformabuntur. Hoc spiritaliter accidit per Servatoris nostri vires. Olim quippe difficilis erat evangelicæ vitæ morumque via, quia omnium mentes mundanis cupiditatibus occupabantur. Postquam vero universalis Deus factus homo destruxit in carne peccatum, plana omnia facta sunt et gradibilia. Nihil arduum nihil præceps bene volentibus agere occurrit, sed distorta omnia in rectum conversa tramitem sunt. Ipse enim Christus facilem nobis pronamque ostendit ad pietatem viam, nihil habentem arduum aut depressum in præceps, quæ antea fuerat aspera atque difficilis. Unde omnia distorta fiunt recta, ut alicubi ait similiter Isaias propheta: « Via piorum recta facta est, et parata via justorum[59]. » Sublata enim de medio est dæmonum turba; diabolus ipse una cum illis debellatus fuit: mortificata quoque peccati lex: cunctas denique nostras Servator sanat infirmitates.

Καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ.

(A f. 49 b. E f. 145 b, F f. 777 b, H f. 147 b) Τεθέαται δὲ πᾶσα σὰρξ τὸ Σωτήριον τοῦ Θεοῦ, δηλονότι τοῦ Πατρός· Σωτῆρα γὰρ ἡμῖν πέπομφε τὸν Υἱόν. Σάρκα δὲ ἐν τούτοις ὁλοκλήρως τὸν ἄνθρωπον νοητέον, καὶ πᾶν τὸ ἀνθρώπειον γένος ὑπολαπτέον. — (A f. 50, E f. 146, F 779, H f. 149) Οὕτω γὰρ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ· οὐκέτι μόνος ὁ Ἰσραὴλ, ἀλλὰ πᾶσα σάρξ. Ὁ γὰρ τῶν ὅλων Σωτὴρ καὶ Κύριος, οὐ συνεσταλμένην ἔχει τὴν ἡμερότητα, οὔτε μὴν ἐν διέσωσεν ἔθνος· σεσαγήνευκε δὲ μᾶλλον τὴν ὑπ' οὐρανὸν, ἐφώτισε τοὺς ἐσκοτισμένους· καὶ τοῦτο ἦν ἄρα τὸ διὰ τῆς τοῦ Ψάλλοντος λύρας ὑμνούμενον· « Πάντα τὰ ἔθνη, ὅσα ἐποίησας, ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιόν σου, Κύριε. « Σέσωσται δὲ ὁμοῦ τὸ κατάλειμμα τῶν ἐξ Ἰσραὴλ, ὡς καὶ τοῦτο πάλαι προανεφώνηκεν (*sic*) ὁ μέγας Μωϋσῆς, οὕτω λέγων· « Εὐφράνθητε μετὰ τοῦ λαοῦ αὐτοῦ. »

V. 6. *Et videbit omnis caro salutare Dei.*

Vidit autem omnis caro salutare Dei, id est Patris, qui Servatorem ad nos Filium misit. Hic vero caro generaliter homo intelligendus est, imo universum hominum genus existimandum. Sic enim videbit omnis caro salutare Dei; non solus, inquam, Israel, sed caro universa. Namque omnium Servator ac Dominus haud definitam habet clementiam, neque unam salvavit gentem, sed universum orbem in suam ditionem redegit, et obtenebratos illuminavit. Atque hoc scilicet a Psalmistæ lyra celebrabatur: « Omnes gentes quascunque fecisti, venient et adorabunt coram te, Domine[60]. » Servataque simul sunt Israelis reliquiæ; quod ipsum pariter magnus prædixerat **142** Moyses ita inquiens: « Lætamini, gentes, cum populo ejus[61]. »

Ἔλεγεν οὖν τοῖς ἐκπορευομένοις ὄχλοις ὁ Βαπτιστής, κ. τ. λ.

(A f. 51, E f. 148 b, F f. 780 b, H f. 151) Καὶ

V. 7. *Dicebat ergo exeuntibus ad se turbis Baptista*, etc.

Nunc quidem Spiritu sancto plenus beatus Baptis-

[58] Isa. xl, 4; Luc. iii, 5. [59] Isa. xxvi, 7. [60] Psal. lxxxv, 9. [61] Deut. xxxii, 43.

(1) Paria fere his dicuntur a Cyrillo, sed diversis verbis, in Commentario ad Isaiam, ed. Aub. t. II (nunc III), p. 550.

Digitized by Google

sta, non ignorabat futuros Judaicæ improbitatis adversus Christum ausus. Etenim providebat fidem ei denegaturos, et venenatam linguam moventes convicium ei facturos. Hæc itaque spectans, reprehendit illos, quod etsi legem haberent sacramentum Christi prædicantem, et suadentia hoc ipsum prophetarum vaticinia, stupidis auribus fuerunt, et ad credendum Servatori omnium Christo segnes. « Quis enim vos docuit fugere a ventura ira? » Nonne inspirata divinitus Scriptura, quæ credentes Christo beatos esse ait; incredulos autem et indisciplinatos, duris et inevitabilibus obnoxios fore pœnis prædicit?

A νῦν δὲ Πνεύματος ἁγίου μεμεστωμένος ὁ μακάριος Βαπτιστής, οὐκ ἠγνόησε τῆς Ἰουδαίων δυστροπίας τὰ κατὰ Χριστοῦ τολμήματα. Προέγνω γὰρ, ὅτι καὶ ἀπιστήσουσιν αὐτῷ, καὶ τὴν ἰοβόλον αὐτῶν κινήσαντες γλῶτταν, λοιδορίας βαλοῦσι. Πρὸς ἐκεῖνα τοίνυν βλέπων, ἐλέγχει αὐτοὺς, ὅτι καίτοι νόμον ἔχοντες λαλοῦντα τὸ Χριστοῦ μυστήριον, καὶ προαγορεύσεις προφητῶν ἀποφερούσας εἰς τοῦτο, νωθροὶ γεγόνασι ταῖς ἀκοαῖς, καὶ ὀκνηροὶ πρὸς πίστιν τὴν ἐπί γε τῷ πάντων Σωτῆρι Χριστῷ· « Τίς γὰρ ὑμῖν ὑπέδειξε φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; » Ἆρ' οὐχ ἡ θεόπνευστος Γραφὴ, τοὺς μὲν εἰς Χριστὸν πιστεύσαντας, μακαρίους εἶναι λέγουσα, τούς γε μὴν ἀπίστους καὶ ἀμαθεῖς, σκληραῖς καὶ ἀφύκτων ὑποπεσεῖσθαι δίκαις προαγγέλλουσα;

V. 8. *Facite ergo fructus dignos pœnitentiæ.*

Pœnitentiæ fructus præcipuus est fides in Christum; insuper evangelicæ vitæ ratio; atque omnino cuncta, quæcunque sunt peccato contraria, justitiæ opera: quæ pœnitentes fructificare debent resipiscentiæ suæ convenientia. Addit etiam: « Et ne cœperitis dicere, Patrem habemus Abrahamum; dico enim vobis, quia potens est Deus de lapidibus istis suscitare filios Abrahamo. » Viden' quomodo sagacissime stultum illorum supercilium deprimit, inutilemque ipsis fore demonstrat carnalem ex Abrahamo nativitatem? Nam carnis nobilitas, quid eam habentibus prosit, nisi hi paribus moribus parique ac parentes virtute fuerint? « Si quidem Abrahami filii essetis, aiebat illis Servator, opera utique Abrahami peragueretis [62]. » Morum vitæque affinitatem postulat Deus. Stultum est bonis sanctisque parentibus gloriari, et ab illorum virtute longe fieri. — Quod si hæc ita se habent, ait Judæus, quomodo semen Abrahæ adhuc multiplicatur? Quomodo Dei ad illum promissio manebit quæ ait, fore ut **143** illius semen multiplicetur sicut astra cœli? Atqui hoc, o Judæe, per vocationem gentium factum iri nos dicimus. Dictum enim Abrahamo fuit: « In Isaaco vocabitur tibi semen, » et, « Multarum gentium patrem te constitui [63]. » Nam dictio *in Isaaco* denotat secundum promissionem. Ergo multarum gentium constitutus est pater, videlicet Christo credentium. De quibus alicubi voce Ezechielis Deus dixit: « Et auferam cor lapideum de carne eorum, daboque eis cor carneum ut me cognoscant, et quia ego sum Dominus [64]. » — Ut autem magis adhuc audientibus prosit beatus Baptista, aliud addit:

B *Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας.*

(A f. 51 b, E f. 150, F f. 781, H f. 153) Ἔ[σ]τι καρπὸς μετανοίας, προηγουμένως μὲν, ἡ εἰς Χριστὸν πίστις· πρὸς δὲ τούτῳ, καὶ ἡ εὐαγγελικὴ πολιτεία· καὶ ἁπλῶς τὰ ἀντικείμενα τῇ ἁμαρτίᾳ ἔργα τῆς δικαιοσύνης, ἅπερ ὁ μετανοῶν καρποφορεῖν ὀφείλει ἄξια τῆς μετανοίας. Ἐπήγαγε δέ· « Μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς· Πατέρα ἔχομεν Ἀβραάμ· λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. » —(E f. 150 b, F f. 781 b.) Ὁρᾷς ὅπως εὐτεχνέστατα λίαν τὴν ἀσύνετον αὐτῶν ὀφρὺν καταφέρει, καὶ ἀσυντελὲς εἰς ὄνησιν αὐτοῖς φαίνει τὸ ἐξ Ἀβραὰμ γενέσθαι κατὰ τὴν σάρκα; Τί γὰρ ἡ σαρκὸς εὐγένεια τοὺς ἔχοντας ὠφελεῖ, εἰ μὴ διὰ τῶν ὁμοίων ἔρχοιντο σπουδασμάτων, καὶ τῆς τῶν τεκόντων ἀρετῆς κατόπιν; « Εἰ γὰρ τέκνα τοῦ Ἀβραὰμ ἦτε, φησὶ πρὸς αὐτοὺς ὁ Σωτὴρ, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν. » Τὴν ἐν ἤθει καὶ τρόποις συγγένειαν ζητεῖ ὁ Θεός. Μάταιον οὖν τὸ προγόνοις ἐπαυχεῖν ἁγίοις καὶ ἀγαθοῖς, ἀπολιμπάνεσθαι δὲ μακρὰν τῆς ἐκείνων ἀρετῆς. — (A f. 52, E f. 151 b, F f. 783, H f. 155) Ἀλλ' εἰ ταῦτα οὕτως ἔχει, φησὶν ὁ Ἰουδαῖος, πῶς ἔτι τὸ σπέρμα Ἀβραὰμ πληθύνεται, καὶ ἡ πρὸς αὐτὸν τοῦ Θεοῦ ἐπαγγελία σωθήσεται, ἡ φάσκουσα πληθύνειν αὐτοῦ τὸ σπέρμα ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ; Διὰ τῆς τῶν ἐθνῶν κλήσεως, ὦ Ἰουδαῖε· εἴρηται γὰρ πρὸς αὐτὸν τὸν Ἀβραὰμ, ὅτι « Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα· » καὶ, ὅτι « Πατέρα πολλῶν ἐθνῶν τέθεικά σε· » δηλοῖ δὲ τὸ, « ἐν Ἰσαὰκ, » τὸ κατ' ἐπαγγελίαν. Οὐκοῦν πατὴρ τέθειται πολλῶν ἐθνῶν, τῶν διὰ πίστεως δηλονότι τῆς ἐν Χριστῷ· καὶ περὶ αὐτῶν ἔφη που Θεὸς, καὶ διὰ φωνῆς τοῦ Ἰεζεκιήλ· « Καὶ ἐκσπάσω τὴν καρδίαν αὐτῶν τὴν λιθίνην ἐκ τῆς σαρκὸς αὐτῶν, καὶ δώσω αὐτοῖς καρδίαν σαρκίνην, τοῦ εἰδέναι αὐτοὺς ἐμὲ, ὅτι ἐγώ εἰμι Κύριος. » — (A f. 52 b, H f. 156) Ἵνα δὲ καὶ ἔτι μειζόνως ὠφελῇ τοὺς ἀκροωμένους ὁ μακάριος Βαπτιστὴς, προσεπάγει τι καὶ ἕτερον·

V. 9. *Jam enim securis ad arborum radicem posita est.*

Vel securim hoc loco appellat acutissimam iram, quam Deus Pater Judæis intulit, propter ipsorum adversus Christum impietatem. Etenim illis, bipennis instar, impacta ira fuit. Idque nobis Zacharias

Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται.

(A f. 52 b, H f. 156) Ἡ ἀξίνην ἐν τούτοις ὀνομάζει τὴν τομωτάτην ὀργὴν, ἣν τοῖς Ἰουδαίοις ἐπήνεγκεν ὁ Θεὸς καὶ Πατὴρ, τῆς εἰς Χριστὸν δυσσεβείας ἕνεκα· ἐπενήνεκται γὰρ αὐτοῖς ὡς πέλεκυς,

[62] Joan. VIII, 39 [63] Gen. XXI, 12. [64] Ezech. XI, 19.

Digitized by Google

ἡ ὀργή. Καὶ τοῦτο ἡμῖν ὁ προφήτης Ζαχαρίας φανερὸν ἐποίει, λέγων· « Ἔσται ὁ κοπετὸς τῆς Ἱερουσαλὴμ ὡς κοπετὸς ῥοῶνος ἐν πεδίῳ ἐκκοπτομένου. » Ἔφη δὲ καὶ Ἱερεμίας, ὡς πρὸς αὐτήν· « Ἐλαίαν ὡραίαν εὔσκιον τῷ εἴδει ἐκάλεσε Κύριος τὸ ὄνομά σου· εἰς φωνὴν περιτομῆς αὐτῆς ἀνήφθη πῦρ ἐπ' αὐτήν· μεγάλη ἡ θλῖψις ἐπ' αὐτήν, ἠχρειώθησαν οἱ κλάδοι αὐτῆς, καὶ Κύριος τῶν δυνάμεων ὁ καταφυτεύσας σε, ἐλάλησεν ἐπὶ σὲ κακά. » Εἰς τοῦτο λήψῃ καὶ τὴν ἐν τοῖς Εὐαγγελίοις περὶ τῆς συκῆς παραβολήν. Οὐκοῦν ὡς ἄκαρπον καὶ οὐκ εὐγενὲς ἔτι φυτὸν ἐξεκόπη παρὰ Θεοῦ· πλὴν οὐκ εἰς τὴν ῥίζαν τὴν ἀξίνην τεθεῖσθαί φησιν, ἀλλὰ πρὸς τὴν ῥίζαν, τουτέστιν ἐγγὺς τῆς ῥίζης. Ἐξεκόπησαν γὰρ οἱ κλάδοι, καὶ οὐκ ἐκ ῥίζης αὐτῆς ἀνεβοθρεύθη τὸ φυτόν· σέσωσται γὰρ τὸ κατάλειμμα τοῦ Ἰσραὴλ, καὶ οὐχ ὁλόῤῥιζος ἀπόλωλεν.

A prophetæ patefaciebat dicens : « Erit planctus Jerusalem sicut planctus malogranati in agro succisi [66]. » Ait pariter ceu civitatem eamdem alloquens Jeremias : « Oleam pulchram, bene opaca specie, appellavit Dominus nomen tuum ; ad vocem circumcisionis ejus accensus est ignis super eam ; magna tribulatio super te; inutiles facti sunt rami ejus; et Dominus qui plantavit te, locutus est super te mala [66]. » Hunc sensum in Evangeliis quoque habere reputabis ficulneæ parabolam, quæ infructuosa malique generis arbor succisa fuit. Verumtamen non in radice defixam ait securim, sed positam ad radicem, id est prope radicem. Nam rami quidem decisi fuerunt, non tamen radicitus effossa arbor : quippe reliquiæ conservatæ sunt Israelis non ipse funditus periit.

B

Καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι.

(A f. 53, H f. 157 b) Τρία τάγματα εἰσήγαγε Λουκᾶς ὁ μακάριος, πυνθανόμενα τοῦ Ἰωάννου, ὄχλους, τελώνας, στρατιώτας τὸ τρίτον· καθάπερ δέ τις ἐπιστήμων ἰατρὸς ἑκάστῳ τῶν παθῶν τὸ πρόσφορόν τε καὶ εἰκὸς ἐπιφέρει βοήθημα, οὕτως καὶ ὁ Βαπτιστὴς ἑκάστῳ τῶν ἐπιτηδευμάτων τὸν ἐπωφελῆ καὶ πρέποντα λόγον ἐδίδου· τοῖς μὲν ὄχλοις βαδίζουσιν εἰς μετάνοιαν, φιλαλλήλῳ φρονήματι κεχρῆσθαι κελεύων· τελώναις δὲ, τὴν εἰς ἀκαθέκτους πλεονεξίας ἀποκλείων ὁδόν· τοῖς γε μὴν στρατιώταις τὸ μηδένα διασείειν, πανσόφως ἐπιφωνῶν, ἀρκεῖσθαι δὲ τοῖς ὀψωνίοις.

V. 10. *Et interrogabant eum turbæ.*

Tres hominum ordines introduxit beatus Lucas Joannem interrogantes, populum, publicanos, tertioque loco milites. Sicut autem sapiens medicus unicuique morbo congruum ac probabile remedium affert, **144** sic etiam Baptista singularum professionum hominibus utile atque conveniens dabat consilium : nempe populum ad pœnitentiam accedentem, mutuam charitatem fovere jubet : publicanis quominus iniquas exactiones exerceant, interdicit : denique milites ne quemquam vexent, aptissime adhortatur, sed ut victu suo contenti sint.

Προσδοκῶντος δὲ τοῦ λαοῦ, καὶ διαλογιζομένων πάντων ἐν καρδίαις αὐτῶν περὶ τοῦ Ἰωάννου, κ. τ. λ.

C

V. 15. *Populo autem expectatione suspenso, et cogitantibus omnibus in cordibus suis de Joanne*, etc.

(A f. 53 b, E f. 155, F f. 786, H f. 159) Οὕτως ἦν ἀξιάγαστος καὶ μέγας ὁ Ζαχαρίου παῖς, ὡς εἰς τοῦτο ὑπονοίας ἐλθεῖν τοὺς τῶν Ἰουδαίων δήμους, μὴ ἄρα πως αὐτὸς εἴη ὁ Χριστὸς, ὁ καὶ διὰ τῆς τοῦ νόμου σκιᾶς γραφόμενος, καὶ διὰ προφητῶν ἁγίων προκεκηρυγμένος. Ἐπειδὴ δὲ ἅπαξ εἰς τοῦτο ὑπονοίας προῆλθόν τινες, ἀποκείρει ὑποψίαν, Δεσποτικοῖς ἀξιώμασι ὡς οἰκέτης παραχωρῶν· ἀμέτρητον γὰρ τὸ μεταξὺ Θεοῦ καὶ ἀνθρώπων. Καί που ταῦτα λέγοντα τὸν ἱερὸν εὑρήσομεν Βαπτιστὴν ἐν τῇ κατὰ τὸν Ἰωάννην εὐαγγελικῇ συγγραφῇ· ἔφη γὰρ οὕτως· « Αὐτοὶ ὑμεῖς μαρτυρεῖτε, ὅτι εἶπον ὡς οὐκ εἰμὶ ὁ Χριστὸς, ἀλλ' ὅτι ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου. »

Adeo admirandus magnusque erat Zachariæ filius, ut eum populus Judæorum suspicaretur fortasse esse Christum illum, quem legis umbra delineaverat, et prophetæ sancti prædixerant. Quia igitur in hanc nonnulli suspicionem venerant, eam ipse præcidit, Dominicali dignitati tanquam famulus cedens. Distant enim immensum a Deo homines. Quod ipsum dici comperiemus a sacro Baptista in evangelica Joannis historia, ubi sic ait : « Vos ipsi testimonium mihi perhibetis quod dixerim, Non sum ego Christus, sed quia missus sum ante illum [67]. »

D

Ἀπεκρίνατο ὁ Ἰωάννης ἅπασι λέγων· Ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς, κ. τ. λ.

V. 16. *Respondit Joannes dicens omnibus : Ego quidem aqua baptizo vos*, etc.

(A f. 53 b, E f. 155, F f. 786, H f. 159 b) Ἀποφήνας τοίνυν ἑαυτὸν οὐκ ὄντα Χριστὸν, ἐπιφέρει λοιπὸν ἀποδείξεις, δι' ὧν ἔστι μαθεῖν, ὡς ἀμέτρητόν τι μεταξὺ διαφαίνεται Θεοῦ καὶ ἀνθρώπων, δούλου καὶ Δεσπότου, τοῦ προβαδίζοντος οἰκετικῶς, καὶ τοῦ θεοπρεπῶς ἀναλάμποντος· εἴπερ ὑπάρχων τοσοῦτος εἰς ἀρετὴν ὁ μακάριος Βαπτιστὴς, οὐκ ἄξιον ἑαυτὸν εἶναί φησιν, οὐδ' ὅσον εἰπεῖν τοῦ ἀποθίγειν τῶν ὑποδημάτων αὐτοῦ. Εἶτα τούτοις ἑτέραν ἀπόδειξιν

Cum itaque declarasset se non esse Christum, profert deinde argumenta, ex quibus discere licet distare immaniter a Deo homines, a famulo Dominum, ab eo qui serviliter præit, illum qui digna Deo majestate relucet ; siquidem cum tanta polleret virtute beatus Baptista, haud se dignum ait calceos ejus, ut dici solet, attingere. Deinde aliud quoque argumentum profert : « Equidem vos aqua baptizo, ille autem vos in Spiritu sancto baptizabit et igne. »

[66] Zach. XII, 1. [66] Jerem. XI, 16, 17. [67] Joan. III, 28.

Digitized by Google

Unius quippe proprium est superstantis omnia substantiæ, ut Spiritum sanctum possit aliquibus immittere, et divinæ substantiæ eos qui ad ipsam accedunt participes facere. Porro hæc Christo inest facultas : non quod eam alionde acceperit aut participaverit, sed ex suapte natura ac substantialiter. Etenim is in Spiritu sancto baptizat. Quamobrem humanatum Verbum, Deus **145** utique est fructusque substantiæ Dei Patris. Jam vero postea etiam quam factus est homo, id ipsum agebat, quia unus est Filius cum unita sibi ineffabiliter et incomprehensibiliter carne. Et quidem cum antea dixisset beatus Baptista, Non sum dignus calceamentorum sphærulam dissolvere (sic enim appellant calcei extremitatem, quæ in acutum desinit, cujusmodi gestare barbari solent), statim addidit : « Hic vos baptizabit in Spiritu sancto et igne; » et pedes scilicet habens et calceos. Neque enim quisquam sana mente præditus dicet, Verbum nondum incarnatum, neque adhuc apud nos versans, pedes et calceos habuisse. Sed quia cum Verbum factum est homo, deitatem suam non amisit, ideo tunc etiam Deo digna operabatur, Spiritum tribuens credentibus in eum. Idem quippe Deus simul erat et homo.

Sed dicet aliquis : Imo potius Verbum Deo digna faciebat per hominem de stirpe Davidis ortum. Atqui hæc tibi dicenti nos opponemus Joannis verba, qui alicubi ait Judæis : « Venit post me vir, qui ante me factus est, quia prior me erat, et ego illum nesciebam. Sed qui misit me aqua baptizare, ipse mihi dixit : Super quem videris descendentem Spiritum sanctum, supraque eum manentem, hic est qui baptizat in Spiritu sancto; et ego vidi, et testimonium perhibui quod ipse Dei Filius sit [46]. » En manifeste, quem virum dixit, eum ante se factum affirmat, et sibi esse priorem, divinitus nempe præexsistentem, prout a Christo ipso Judaicæ turbæ dictum fuit : « Antequam Abraham fieret, ego sum [47]. » Præterea mox dicit descendisse in ipsum de cœlo Spiritum. Num forte in simplex incorporeumque adhuc Dei Verbum descendisse aiunt Spiritum sanctum, et Spiritus sancti datorem, Spiritum proprium participare affirmant? Quid ni illud potius asserunt, eum in humanitatem suam Spiritum sanctum recepisse, baptizasse vero divinitus in sancto Spiritu; eumdemque unum **146** esse solumque et vere Patris Dei Filium, ut idem testatur Baptista? Sed alia quoque explicatio proferenda est. Fortasse cum Spiritus vocabulo, ignis mentionem copulavit Baptista, non ut omnes nos baptizandos fore igne per Christum affirmaret, sed ut vivificam Spiritus operationem, ignis vocabulo significaret. Nam pro diversa in subjecta re operatione, diversas sumit unus Spiritus appellationes.

εὐθὺς ἐπιφέρει· « Ἐγὼ μὲν βαπτίζω ὑμᾶς ὕδατι, ἐκεῖνος δὲ ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί. Μόνης γὰρ καὶ ἰδικῶς ἔργον ἐστὶ τῆς πάντα ὑπερκειμένης οὐσίας, τὸ ἐνιέναι δύνασθαί τισι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ θείας φύσεως κοινωνοὺς ἀποφαίνειν τοὺς προσιόντας αὐτῇ· ἐνυπάρχει δὲ τοῦτο, οὐ κατὰ λῆψιν καὶ μέθεξιν τὴν παρ' ἑτέρου τινός, ἀλλ' οἰκοθεν καὶ οὐσιωδῶς τῷ Χριστῷ· βαπτίζει γὰρ ἐν ἁγίῳ Πνεύματι. Θεὸς οὖν ἄρα ἐστὶ, καὶ καρπὸς τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς, ὁ ἐνανθρωπήσας Λόγος· ἀλλ' ἕδρα τοῦτο καὶ ὅτε γέγονεν ἄνθρωπος, εἷς ὢν Υἱὸς μετὰ τῆς ἀῤῥήτως τε καὶ ἀπερινοήτως ἑνωθείσης αὐτῷ σαρκός. Καὶ γοῦν ὁ μακάριος Βαπτιστὴς προειπὼν, « Οὐκ εἰμὶ ἄξιος, ἵνα λύσω τὸν σφαιρωτῆρα τῶν ὑποδημάτων (οὕτω δὲ εἰώθασι λέγειν τὸ ἄκρον τοῦ ὑποδήματος, τὸ εἰς ὀξὺ λῆγον· τοιούτοις γὰρ χρῶνται οἱ βάρβαροι), προσεπήνεγκεν εὐθύς· « Οὗτος ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί· » καὶ πόδας δηλονότι καὶ ὑποδήματα ἔχων. Οὐ γάρ τοι φαίη τις ἂν, εἴγε νοῦν ἔχοι, ὡς ἄσαρκος ὢν ὁ Λόγος, καὶ οὔπω γενόμενος καθ' ἡμᾶς, πόδας εἶχε καὶ ὑποδήματα· ἀλλ' ὅτε γέγονεν ἄνθρωπος, ἐπειδὴ τὸ εἶναι Θεὸς οὐκ ἀπώλεσεν, ἐνήργησε πάλιν καὶ οὕτω θεοπρεπῶς, τὸ Πνεῦμα διδοὺς τοῖς πιστεύουσιν εἰς αὐτόν· ἦν γὰρ ἐν ταυτῷ Θεός τε ὁμοῦ καὶ ἄνθρωπος ὁ αὐτός.

Ἀλλὰ, Ναὶ, φησὶν, ἐνήργησεν ὁ Λόγος τὰ θεοπρεπῆ διὰ τοῦ ἐκ σπέρματος Δαβίδ. Οὐκοῦν ἀντεροῦμέν σοι ταῦτα λέγοντι τοῦ Ἰωάννου τὰ ῥήματα· ἔφη γάρ που πρὸς Ἰουδαίους· « Ὀπίσω μου ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου, κἀγὼ οὐκ ἤδειν αὐτόν· ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, αὐτός μοι εἶπεν· Ἐφ' ὃν ἂν ἴδῃς καταβαῖνον τὸ Πνεῦμα, καὶ μένον ἐπ' αὐτὸν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ· κἀγὼ ἑώρακα καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ. » Ἰδοὺ δὲ, σαφῶς ἄνδρα λέγων, πρὸ αὐτοῦ γενέσθαι φησὶ, καὶ εἶναι πρῶτον αὐτοῦ, προϋπάρχοντα δηλονότι θεϊκῶς, κατά γε τὸ παρ' αὐτοῦ σαφῶς εἰρημένον τοῖς Ἰουδαίων δήμοις· « Ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι· » εἶτα πρὸς τούτῳ καὶ καταβῆναί φησιν ἐπ' αὐτὸν τὸ Πνεῦμα ἐξ οὐρανοῦ. Ἆρ' ἐπὶ γυμνὸν καὶ ἄσαρκον ἔτι τὸν τοῦ Θεοῦ Λόγον καταβῆναί φασι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ τὸν τοῦ Πνεύματος χορηγὸν, τοῦ ἰδίου Πνεύματος μέτοχον ἀποφαίνουσιν; Ἢ μᾶλλον ἐκεῖνό φασιν, ὅτι τὸ Πνεῦμα λαβὼν ἀνθρωπίνως, βαπτίζει θεϊκῶς ἐν ἁγίῳ Πνεύματι, καὶ ἔστιν αὐτὸς ὁ εἷς τε καὶ μόνος, καὶ ἀληθῶς Υἱὸς τοῦ Θεοῦ καὶ Πατρὸς, ὡς αὐτὸς μεμαρτύρηκεν ὁ μακάριος Βαπτιστής; (A f. 54 l, E f. 157, F f. 788, H f. 162) Ῥητέον καὶ οὕτως· Τάχα δὲ τῇ τοῦ Πνεύματος σημασίᾳ, τὴν τοῦ πυρὸς συνέδησεν ὁ μακάριος Βαπτιστὴς, οὐκ ἐν πυρὶ πάντας βαπτισθήσεσθαι λέγων ἡμᾶς διὰ Χριστοῦ, ἀλλὰ τὴν τοῦ Πνεύματος ἐνέργειαν τὴν ζωοποιὸν διὰ τῆς τοῦ πυρὸς σημασίας σημαίνων· ἐκ γὰρ τῆς διαφόρου περὶ τὸ ὑποκείμενον ἐνεργείας, διαφόρους λαμβάνει τὸ ἓν Πνεῦμα τὰς προσηγορίας.

[46] Joan. I, 27 seqq. [47] Joan. VIII, 58.

Digitized by Google

Διακαθαριεῖ τὴν ἄλωνα αὐτοῦ.

(A f. 56, E f. 158 b, F f. 789, H f. 168) Ἰδοὺ δέ φησιν ὁ μακάριος Βαπτιστὴς, Χριστῷ διαφέρειν ὡς Δεσπότῃ τὴν ἄλωνα· τοῦτο γὰρ σημαίνει τὸ *αὐτοῦ* (1). Οὕτω γὰρ αὐτὴν καθαίρει, διιστὰς καὶ διακρίνων ἀπὸ τοῦ σίτου τὸ ἄχυρον. Διανομέα τε καὶ οἷονεὶ σημάντορα τῶν ἑκάστῳ πρεπόντων, ὀφθήσεσθαι λέγει, ὡς τὸν μὲν δίκαιόν τε καὶ ἀγαθὸν, σίτου δίκην ταῖς οὐρανίαις εἰσκομίζειν αὐλαῖς, πυρὸς δὲ ποιεῖσθαι τροφὴν, ἀχύρου τρόπον ἀποτιναχθέντα τὸν ἄδικον. Ὁ μὲν γὰρ σῖτος, φησὶ, εἰς ἀποθήκην εἰσκομίζεται, τουτέστιν ἀσφαλείας ἀξιοῦται τῆς παρὰ Θεοῦ, φειδοῦς τε καὶ φυλακῆς καὶ ἀγάπης· τό γε μὴν ἄχυρον ὡς ἄχρηστος ὕλη, πυρὶ δαπανᾶται (2). — (A f. 56 b, E f. 158 b, F f. 789 b, H f. 168 b) Ἄκουε δὲ τί καὶ διὰ Ἱερεμίου φησὶν ὁ Θεὸς, σύγκρισιν προφητῶν καὶ ψευδοπροφητῶν ποιούμενος· « Τί τὸ ἄχυρον πρὸς τὸν σῖτον; » ἦγουν ἡ κουφολογία πρὸς τὴν ἀλήθειαν. Ὁ μὲν γὰρ παρὰ Θεοῦ λόγος τροφιμωτάτην ἔχει τὴν δύναμιν· ὁ δὲ τῶν ἀνοσίων ψευδοδιδασκάλων, εὐδιαθρυπτότατός τε καὶ ἀχυρώδης ὑπάρχων, οὐδεμίαν τοῖς ἀκροωμένοις ἐμποιεῖ τὴν ὄνησιν (3).

A V. 17. *Purgabit aream suam.*

Ecce autem ait Baptista, a Christo utpote Domino differre aream, id enim significat *suam*. Sic autem illam purgat, separando scilicet et discernendo a tritico paleam : seque futurum dicit distributorem ac veluti assignatorem sortis cuique debitæ; ita ut justus quidem ac bonus, tritici instar, cœlestibus cellis inferatur; flammæ autem esca fiat, paleæ instar excussus homo iniquus. Nam triticum, inquit, in horrea convehitur, id est Dei tutela dignum habetur, venia, custodia et charitate : at palea velut inutilis materia igne consumitur. Audi quid etiam per Jeremiam Deus dicat, prophetas cum pseudoprophetis contendens : « Quid palea ad triticum [70] ? » nempe vanitas ad veritatem. B Etenim Dei sermo nutrientem apprime vim habet; implorum vero pseudomagistrorum sermo cum fragilissimus acerosusque sit, nullam audientibus confert utilitatem.

Ἐγένετο δὲ ἐν τῷ βαπτισθῆναι ἅπαντα τὸν λαὸν, καὶ Ἰησοῦ βαπτισθέντος καὶ προσευχομένου, ἀνεῳχθῆναι τὸν οὐρανόν.

(E f. 163, F f. 793) Βαπτίζεται δὲ ὁ Ἰησοῦς εὐλογῶν τὰ ὕδατα καὶ καθαίρων αὐτὰ ὑπὲρ ἡμῶν. Ἅγιος γάρ ἐστιν ἁγίων ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος· καὶ οὐκ ἂν αὐτὸς ἐδεήθη τοῦ ἁγίου βαπτίσματος, οὐδὲ ἀφέσεως ἁμαρτιῶν τυχεῖν, ὥσπερ ἡμεῖς κερδαίνομεν δι' αὐτοῦ· ἐκ τοῦ πληρώματος γὰρ αὐτοῦ ἡμεῖς C πάντες ἐλάβομεν. Ἐκπορεύεται μὲν γὰρ ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον· ἔστι δὲ καὶ ἴδιον τοῦ Υἱοῦ. Καὶ γοῦν εἴρηται πλεισταχοῦ Πνεῦμα Χριστοῦ, τὸ ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπορευόμενον Πνεῦμα· καὶ μαρτυρήσει λέγων ὁ Παῦλος, ποτὲ μέν· « Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι, εἴπερ *Πνεῦμα* Χριστοῦ οἰκεῖ ἐν ὑμῖν· εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. » Καὶ πάλιν· « Ὅτι δέ ἐστε υἱοὶ, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ εἰς τὰς καρδίας ὑμῶν κράζον· *Ἀββᾶ* ὁ Πατήρ. » Οὐκοῦν ἐκπορεύεται μὲν, ὡς ἔφην, ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον, χορηγεῖ δὲ αὐτὸ τῇ κτίσει καὶ δίδωσι τοῖς ἀξίοις ὡς φύσει τε καὶ ἀληθῶς Υἱὸς, ὁ μονογενὴς αὐτοῦ Λόγος, καὶ τοῖς τοῦ Πατρὸς ἀξιώμασι διαπρέπων. Καὶ γοῦν ἔφασκεν· D

147 V. 21. *Contigit autem, cum baptizaretur universus populus, et Jesu baptizato et orante, ut aperiretur cœlum.*

Baptizatur Jesus benedicens aquis, easque nostri causa purificans. Sanctum enim sanctorum est unigenitum Dei Verbum. Certe Jesus sancto baptismate non indigebat, neque remissionem peccatorum consequi, quam nos per ipsum lucramur : nam nos ex plenitudine ejus cuncti accepimus [71]. Et procedit quidem de Deo Patre sanctus Spiritus, nihilominus Filii quoque proprius est. Sæpissime enim dictus est Spiritus Christi, is qui de Patre Deo procedit Spiritus. Testis aderit Paulus, semel quidem : « Vos autem non estis in carne, sed in spiritu, siquidem Spiritus Dei habitat in vobis. Quod si quis Spiritum Christi non habet, hic non est ejus [72]. » Et rursus : « Quia vero filii estis, misit Deus Spiritum Filii (sui) in corda vestra clamantem : Abba, Pater [73]. » Ergo procedit quidem, ut dixi, de Deo Patre Spiritus sanctus, verumtamen ipsum suppeditat creaturæ, dignisque dat naturalis verusque Filius, unigenitum Dei Verbum, Patris gloria exornatum. Quamobrem etiam aiebat : « Cuncta quæ habet Pater, mea sunt [74]. » Cur itaque

[70] Jerem. XXIII, 28. [71] Joan. I, 16. [72] Rom. VIII, 9. [73] Galat. IV, 6. [74] Joan. XVI, 15.

(1) Hoc loco divus Thomas in Catena habet Latine aliud fragmentum. « Cyrillus. Per hoc autem quod subdit : et permundabit aream suam; designat Baptista Ecclesiam pertinere ad Christum quasi ad Dominum. »

(2) Plus aliquid legebat D. Thomas in Catena. « Cyrillus. At paleæ lentos et inanes signant, et quolibet vento peccati ventilatos et volubiles. »

(3) Ad v. 19 seqq., ubi Lucas meminit Herodis Baptistam carceri tradentis, anonymus quidam interpres in codice B f. 39 b, hæc adnotat : Ὁ μακάριος Κύριλλος τοῦ Ἡρώδου ἐν τῇ ἑρμηνείᾳ οὐκ ἐπεμνήσθη. Οἶμαι δὲ καὶ ἐγὼ ὅτι περιττῶς ὧδε κεῖται. Εἰ γὰρ ἐνεκλείσθη ὁ Ἰωάννης, πῶς ἐβάπτιζεν; Οὐ γὰρ ἴσμεν αὐτὸν ἐγκλεισθέντα καὶ ἀπολυθέντα, καὶ αὖθις ἐγκλεισθέντα καὶ τελειωθέντα. *Beatus Cyrillus Herodis in explanatione non meminit. Reapse et ego judico, ex abundantia hic poni. Nam si Joannes jam in vinculis fuisset, quomodo nunc baptizaret? Neque enim nobis constat illum in vincula conjectum, postea liberatum; rursusque carcere conclusum, et necatum.* Videmus ergo ab anonymo testimonium præberi commentario Cyrilli in Lucam. Videmus item Cyrillum reapse nullam hic facere Herodis mentionem. Cæteroqui ad captum Joannem quod attinet, satis erit hic docti Calmeti adnotationem ascribere : *Hoc nonnisi multo post contigit, uti cæteri evangelistæ narrant. Visum autem est Lucæ hic omnia describere quæ ad Joannem spectant, antequam ad reliqua gradum faciat.*

Digitized by Google

baptizatus est, dicet aliquis, et Spiritum quoque recepit? Dicimus ergo, non eguisse Dominum sancto baptismate, sed nobis pro sua charitate salutis viam munivisse. Nam credentes in Patrem et Filium et Spiritum sanctum, atque hanc eximiam confessionem multis coram testibus facientes cunctas peccati sordes abluimus, tum sancti Spiritus participes efficimur, divinæ naturæ communicamus, et adoptionis gratiam consequimur. Necesse itaque erat, ut Patris Verbum, postquam semet exinaniverat, et similitudinem nostram induere non dedignatus fuerat, boni cujusvis operis exemplar nobis et trames fieret. Ergo ut ipsam sancti baptismatis vim cognoscamus, quantoque cum emolumento ad hanc gratiam accedamus, primus ipse opus aggreditur, et baptizatus **148** orat; ut tu nimirum, dilecte, cognoscas his qui sancto baptismate digni fuerunt, rem convenientissimam fore perpetuam orationem.

Ait autem apertos fuisse cœlos evangelista, ut significet antea fuisse clausos. Dixit enim Christus: « Deinceps videbitis apertum cœlum, et angelos Dei ascendentes et descendentes supra Filium hominis[75]. » Tanquam unum jam gregem esse demonstratum sit, supernum atque terrenum, unumque pastorem principem, aperti sunt cœli, et sanctis angelis consociatur homo terrestris: descenditque iterum Spiritus sanctus tanquam nova generis nostri facta inchoatione; et primo quidem in Christum, qui non tam sibi quam nobis ipsum recepit: cuncta enim in ipso et per ipsum adepti sumus. Eximia ergo dispensationis ratione nobiscum Christus patitur res humanas. Aliter enim, quomodo ipsum evacuatum vidissemus, etsi tota deitate plenum? Quomodo nobiscum pauper fuisset, nisi se nostræ paupertati conformavisset? Ait autem super Christum emissa vox Patris, sancti baptismi tempore, ceu per ipsum et in ipso terrenum hominem suscipientis, ait, inquam: « Hic est Filius meus dilectus[76]. » Nam verus natura Filius et unigenitus, postquam nostram conditionem assumpsit, Dei Filius esse definitur, haud sibi id sumens; jam enim erat, ut dixi, Deus verus; sed ut ad nos hanc gloriam transmitteret. Factus est enim inchoatio nostra, primogenitus, et alter Adamus. Propterea cuncta in ipso nova facta dicuntur. Atque Adami vetustatem exuentes, novitatem in Christo adepti sumus.

V. 22. *Descendit Spiritus sanctus.*

Si baptismi tempore Spiritus sanctus recipitur, id quoque præter cætera ad humanæ naturæ conditionem pertinebit. Neque enim quatenus Deus est, sanctificatur, dum Spiritum recipit (ipse enim potius est qui sanctificat), sed quatenus homo est.

149 V. 23. *Et ipse Jesus erat incipiens quasi annorum triginta.*

Hoc est Samosatensis deliramentum, evangelicum

[75] Joan. I, 51. [76] Matth. XVII, 5.

A « Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστι. » Πῶς οὖν ἐβαπτίζετο, φησὶν, ἐδέχετο δὲ καὶ τὸ Πνεῦμα, Καί φαμεν, ὅτι οὐκ ἦν ἐν χρείᾳ τοῦ ἁγίου βαπτίσματος ὁ Κύριος, ὁδὸν δὲ ἡμῖν ἐπενόησε σωτηρίας ὁ φιλάνθρωπος. Πιστεύοντες γὰρ εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, καὶ τὴν ἐξαίρετον ταύτην ὁμολογίαν ποιούμενοι ἐνώπιον πολλῶν μαρτύρων, πάντα μὲν ῥύπον τὸν ἐξ ἁμαρτίας ἀπονιπτόμεθα, καταπλουτοῦμεν δὲ καὶ τὴν τοῦ ἁγίου Πνεύματος ῥέθεξιν, καὶ θείας φύσεως ἀποτελούμεθα κοινωνοί, καὶ τὴν τῆς υἱοθεσίας κερδαίνομεν χάριν. Ἦν οὖν ἀναγκαῖον, καθέντα πρὸς κένωσιν ἑαυτὸν τὸν τοῦ Πατρὸς Λόγον, καὶ τὴν καθ' ἡμᾶς ὁμοίωσιν ὑπελθεῖν οὐκ ἀπαξιώσαντα, παντὸς ἀγαθοῦ πράγματος ὑποτύπωσιν γενέσθαι καὶ ὁδόν. Ἵνα τοίνυν μάθωμεν καὶ αὐτὴν τὴν δύναμιν τοῦ ἁγίου

B βαπτίσματος, καὶ ὅσα κερδαίνομεν τῇ τοιᾷδε προσιόντες χάριτι, ἄρχεται τοῦ πράγματος αὐτὸς, καὶ βαπτισθεὶς προσεύχεται, ἵνα σὺ μάθῃς, ἀγαπητὲ, ὅτι τοῖς ἄπαξ καταξιωθεῖσι τοῦ ἁγίου βαπτίσματος πρᾶγμα πρεπωδέστατον ἡ ἀδιάλειπτος προσευχή.

Ἀνεῳχθῆναι δέ φησι τὸν οὐρανὸν ὁ εὐαγγελιστὴς, ὡς πάλαι κεκλεισμένον. Ἔφη γὰρ ὁ Χριστός· « Ἀπάρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα, καὶ τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου. » Ὡς γὰρ μιᾶς ἤδη πολίμνης ἀποδεδειγμένης τῆς τε ἄνω καὶ τῆς κάτω, καὶ ἑνὸς ἅπασιν ἀναδειχθέντος ἀρχιποιμένος, ἀνεῴχθη μὲν ὁ οὐρανὸς, συνήφθη δὲ τοῖς ἁγίοις ἀγγέλοις ὁ ἐπὶ

C γῆς ἄνθρωπος· καταπεφοίτηκε δὲ καὶ τὸ Πνεῦμα πάλιν, ὡς ἐν ἀπαρχῇ τοῦ γένους ἡμῶν δευτέρᾳ· καὶ ὡς ἐν πρώτῳ Χριστῷ, οἰκονομικῶς οὐχ ἑαυτῷ μᾶλλον, ἀλλ' ἡμῖν γε αὐτὸ δεχομένῳ· πάντα γὰρ ἐν αὐτῷ τε καὶ δι' αὐτοῦ πεπλουτήκαμεν. Οἰκονομικώτατα τοίνυν ὑπομένει μεθ' ἡμῶν τὰ ἀνθρώπινα. Ἐπεὶ, ποῦ κεκενωμένον ὀψόμεθα, καίτοι τὸ πλῆρες ἔχοντα θεϊκῶς; ποῦ συνεπτώχευσεν ἡμῖν, εἰ μὴ τῇ καθ' ἡμᾶς πτωχείᾳ συμπλάττεται; Ἔφη δὲ ἡ τοῦ Θεοῦ καὶ Πατρὸς φωνὴ ἐπὶ Χριστῷ κατὰ τὸν καιρὸν τοῦ ἁγίου βαπτίσματος, ὡς δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ τὸν ἐπὶ γῆς ἄνθρωπον λαβών· « Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός. » Ὁ γὰρ φύσει καὶ ἀληθῶς καὶ μονογενὴς Υἱὸς, ὅτε γέγονε καθ' ἡμᾶς, εἰς Υἱὸν ὁρίζεται Θεοῦ, οὐχ ἑαυτῷ τοῦτο δεχόμενος (ἦν γὰρ καὶ ἔστιν, ὡς ἔφην, Θεὸς ἀληθινὸς), ἀλλ' ἵνα εἰς ἡμᾶς παραπέμψῃ

D τὴν δόξαν. Γέγονε γὰρ ἡμῶν ἀπαρχὴ, καὶ πρωτότοκος, καὶ δεύτερος Ἀδάμ· διὰ τοῦτο ἐν αὐτῷ πάντα καινὰ γεγενῆσθαι λέγεται. Ἀποδυσάμενοι δὲ τὴν ἐν Ἀδὰμ παλαίωσιν, τὴν ἐν Χριστῷ καινότητα πεπλουτήκαμεν.

Καταβῆναι τὸ Πνεῦμα τὸ ἅγιον.

(B f. 40 b) Εἰ ἐν καιρῷ τοῦ βαπτίσματος τὸ Πνεῦμα τὸ ἅγιον δέχεται, τῶν τῆς ἀνθρωπότητος μέτρων εἴη ἂν καὶ τοῦτο μετὰ τῶν ἄλλων. Οὐ γάρ τοι καθ' ὃ Θεός ἐστιν ἁγιάζεται, τὸ Πνεῦμα λαβὼν (αὐτὸς γὰρ ὁ ἁγιάζων ἐστὶν), ἀλλὰ καθ' ὃ πέφυκεν ἄνθρωπος.

Καὶ αὐτὸς ἦν ὁ Ἰησοῦς ὡσεὶ ἐτῶν τριάκοντα ἀρχόμενος.

(E f. 167, F f. 797) Τοῦτο τοῦ Σαμοσατέως τὸ

Digitized by Google

παραλήρημα, κακῶς ἐκδεχομένου τὸ εὐαγγελικὸν ῥητὸν, ὅτι « Ὁ Ἰησοῦς ὡσεὶ ἐτῶν τριάκοντα ἀρχόμενος· » καὶ οὐ συνιέντος ὅτι αὐτὸς ἦν, καὶ ἤρξατο, ἀλλ' οὐ κατὰ τὸ αὐτό. Ἦν μὲν γὰρ ἀεὶ ὡς Θεὸς, ἤρξατο δὲ ὡς ἄνθρωπος, ὅτε τὸ ἡμέτερον ἐπτώχευσεν· ἄρχεται δὲ, ἵνα σὺ καταργήσῃς τὴν προτέραν γέννησιν, καὶ ἀναλάβῃς δευτέραν διὰ τῆς παλιγγενεσίας. —(A f. 62 b, E f. 167 b, F f. 797, H f. 187 b) Οὕτω πολύ τι τὸ βλάβος καὶ ἀδόκητον συμβαίνει ἐκ τοῦ φυλάττεσθαι τὴν διὰ τοῦ βαπτίσματος χάριν εἰς μακρὰν καὶ ὑπέρορον ἀναβολήν (1). Μάλιστα μὲν γὰρ οὐκ ἀσφαλὴς ἡ ἐλπὶς, εἰ καὶ τῶν οἰκείων τις ἐπιτεύξεται βουλευμάτων· ἐκβεβηκότος δὲ πάλιν εἰς τέλος αὐτῷ τοῦ σκοποῦ, ἁγιάζεται μὲν, πλὴν μόνην ἔχει τῶν πλημμελημάτων τὴν ἄφεσιν, καὶ τὸ τάλαντον ἀποκομίζει τῷ Δεσπότῃ ξηρὸν, οὐδὲν ἐπεργάσασθαι σχολάσας αὐτῷ (2).

A dictum perperam interpretantis, quod « Jesus erat incipiens quasi annorum triginta. » Neque intellexit, quod idem et erat, et incipiebat, sed non secundum idem : erat enim ab æterno ut Deus; incipiebat ut homo, cum paupertatem nostram suscepit. Initium autem capit, ut tu quoque priorem nativitatem antiques, et secundam recipias per regenerationem. —Sic magnum detrimentum et inexspectatum contingit ob dilatam in longum et ultra debitum tempus baptismi gratiam. Namque in primis nunquam tuta spes est fore ut quisquam sui propositi finem consequatur. Tum etiamsi forte in vitæ termino scopo suo potiatur, sanctificatur quidem, sed unicam tamen percipit peccatorum remissionem; de cætero talentum Domino perfert infructuosum, in B quo nihil negotiari curavit.

ΚΕΦΑΛ. Δ'.

Ἰησοῦς δὲ Πνεύματος ἁγίου πλήρης ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορδάνου.

(A f. 72, Cf. 112 b, H f. 218) Ἐνταῦθά μοι βλέπε τὴν τοῦ ἀνθρώπου φύσιν, ὡς ἐν ἀπαρχῇ τῷ Χριστῷ τῇ τοῦ ἁγίου Πνεύματος χάριτι κατακεχρισμένην, καὶ ταῖς ἀνωτάτω τιμαῖς ἐστεφανωμένην. Πάλαι μὲν γὰρ ὑπισχνεῖτο λέγων ὁ τῶν ὅλων Θεὸς, ὅτι « Ἔσται ἐν ταῖς ἡμέραις ἐκείναις, ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός [cod. C mendose Πατρός] μου ἐπὶ πᾶσαν σάρκα. » Πεπλήρωται δὲ εἰς ἡμᾶς ὡς ἐν πρώτῳ Χριστῷ τὸ ἐπηγγελμένον· καὶ περὶ μὲν τῶν ἀρχαιοτέρων, ἀκαθέκτως ἐκκεκλικότων εἰς φιλοσαρκίαν, ἔφη που Θεός· C « Οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκα· » ἐπειδὴ δὲ πάντα γέγονεν ἐν Χριστῷ καινὰ, καὶ τὴν διὰ Πνεύματός τε καὶ ὕδατος ἀναγέννησιν πεπλουτήκαμεν, χρηματίζομεν δὲ οὐκέτι σαρκὸς καὶ αἵματος τέκνα, Πατέρα δὲ μᾶλλον καλοῦμεν τὸν Θεὸν, ταύτῃτοι καὶ *μᾶλα εἰκότως* ὡς τετιμημένοι λοιπὸν, καὶ τὸ λαμπρὸν ἔχοντες τῆς υἱοθεσίας καύχημα, θείας φύσεως γεγόναμεν κοινωνοὶ διὰ μετοχῆς τοῦ ἁγίου Πνεύματος. Ὁ δὲ ἐν ἡμῖν πρωτότοκος, ὅτε γέγονεν ἐν πολλοῖς ἀδελφοῖς, καθεὶς ἑαυτὸν εἰς κένωσιν, δέχεται πρῶτος τὸ Πνεῦμα, καίτοι τοῦ Πνεύματος δοτὴρ ὑπάρχων αὐτὸς, ἵνα καὶ εἰς ἡμᾶς ἔρχηται δι' αὐτοῦ τὸ ἀξίωμα, καὶ τῆς πρὸς τὸ ἅγιον Πνεῦμα κοινωνίας ἡ χάρις. Τοιοῦτόν τι καὶ ὁ Παῦλος διδάσκει ἡμᾶς, λέγων περί τε αὐτοῦ καὶ ἡμῶν· « Ὅ τε γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς πάντες· δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων· Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου. » Ἐπειδὴ γὰρ ὅλως οὐκ ἐπαισχύνεται καλεῖν ἡμᾶς ἀδελφοὺς, διά τοι τὸ D

CAP. IV.

V. 1. *Jesus autem plenus Spiritu sancto regressus est a Jordane.*

Hic mecum observa hominis naturam, in Christo tanquam primitiis, sancti Spiritus gratia unctam, et supernis honoribus coronatam. Olim quidem promiserat universalis Deus dicens, fore ut « diebus illis effundam de Spiritu meo super omnem carnem [77]. » Completum autem in nobis est, ceu primo in Christo id quod erat promissum. Et priscis quidem hominibus, utpote ad corporis voluptatem incontinenter proclivibus, dixit Deus : « Non permanebit Spiritus meus in hominibus his, quia caro sunt [78]. » Sed postquam in Christo cuncta facta sunt nova, et per Spiritum atque aquam regenerationem obtinuimus, neque jam carnis et sanguinis filii sumus, sed Patrem potius **150** Deum appellamus, propterea jure optimo abhinc ut honore ornati, splendidamque adoptionis gloriam adepti, divinæ naturæ communicamus propter sancti Spiritus participationem. Noster autem primogenitus ex quo inter multos fratres cœpit exsistere, ad exinanitionem semet demittens, primus Spiritum recipit, quanquam dator ipse Spiritus sit, ut ad nos quoque per ipsum dignitas redundet, et communionis cum sancto Spiritu gratia. Sic enim nos fere docet Paulus, dum et de nobis et de illo dicit : « Et sanctificans et sanctificati, ex uno omnes. Quam ob causam non erubescit fratres illos vocare dicens : Nuntiabo nomen tuum fratribus meis [79]. » Quia vero haud omnino eum pudet fratres nos appellare, quandoquidem similitudinem nostri subiit, idcirco nostra ad se translata inopia, sancti-

[77] Joel II, 29. [78] Gen. VI, 3. [79] Hebr. II, 11, 12; Psal. XXI, 23.

(1) Videtur in præcedentibus (nunc deperditis) Cyrillus verba eorum retulisse, qui ut baptismum differrent, Christi exemplum objiciebant anno ætatis tricesimo baptizati. Quam objectionem facile dissolvit dicens, diversam esse Christi ac peccatorum hominum conditionem : nam ille baptismo nunquam indiguit, istos imo festinare ad lavacrum oportet. Legatur hac super re Nazianzenus orat. 40, *De bapt.*, cap. 29.

(2) Apud D. Thomam in Catena Cyrillus reliqua etiam versiculi verba explanat sic. « Cyrillus. Licet tamen Christus secundum carnem careat patre, suspicabantur aliqui eum patrem habere; unde sequitur : *ut putabatur, filius Joseph.* »

Digitized by Google

ficatur nobiscum, quanquam ipse creaturæ omnis sanctificator est; ne humanitatis modulum repudiare videatur, is qui universalis salutis vitæque causa, homo fieri non detrectavit, nobisque quaqueversus similis, uno excepto peccato.

ἄνθρωπος γενέσθαι μὴ φυγών, καὶ ἐν ὁμοιώσει τῇ πρὸς ἡμᾶς γενόμενος κατὰ πᾶν ὁτιοῦν, δίχα μόνης ἁμαρτίας.

A ὑπελθεῖν τὴν πρὸς ἡμᾶς ὁμοίωσιν, διὰ τοῦτο τὴν ἡμῶν πτωχείαν εἰς ἑαυτὸν μεταθείς, ἁγιάζεται μεθ' ἡμῶν, καίτοι τὴν κτίσιν ἅπασαν ἁγιάζων αὐτός, ἵνα μὴ φαίνηται τὸ τῆς ἀνθρωπότητος παραιτούμενος μέτρον, ὁ τῆς ἁπάντων σωτηρίας ἕνεκα καὶ ζωῆς

V. 1. *Et agebatur a Spiritu in desertum.*

Vocabulum « agebatur » non tam hic significat deferebatur (1), quam versabatur atque habitabat. Solemus enim nos quoque interdum de quolibet pie vivente dicere : Ille quidem bene se agit. Versabatur itaque Dominus in deserto, in Spiritu, id est spiritaliter.

Καὶ ἤγετο ἐν τῷ Πνεύματι εἰς τὴν ἔρημον.

(A f. 72 b, B f. 44, H f. 220) Τὸ γάρ, « ἤγετο, » οὐ τὸ, ἀπεφέρετο, μᾶλλόν ἐστιν, ἀλλ' ὅτι διῆγε καὶ ἐπολιτεύετο. Κατειθίσμεθα γάρ που καὶ ἡμεῖς αὐτοὶ περὶ παντὸς ζῶντος ἐν ἐπιεικείᾳ, λέγειν· Ὁ δεῖνα τυχὸν καλῶς ἑαυτὸν ἄγει. Ἐπολιτεύετο τοίνυν ὁ Κύριος ἐν τῇ ἐρήμῳ, ἐν τῷ Πνεύματι, τουτέστι πνευ-

B ματικῶς.

V. 2. *Et nihil manducavit in diebus illis.*

Jejunavit itaque Dominus, nihil escæ omnino corporis usui suppeditans : non quod illi jejunio opus esset, sed ut nobis suos actus typum exemplarque proponeret, et imaginem delinearet agendæ apud nos selecti admirandique generis vitæ. Unde enim didicissent terreni homines, vitam in desertis actam utilem esse vel necessariam saluti? Evadunt enim, tanquam ex fluctuum tempestate, de vanis præsentis vitæ sollicitudinibus, ac propemodum, ut beatus Joseph [86], **151** exeunt remittuntque mundo quidquid ejus est. Demonstrat itaque his qui ita vivere constituerunt, necessariam esse continentiam, cujus jejunium fructus est. Sic enim superabitur tentator Satanas. Te quoque igitur oportet primum vestiri virtute ex alto, id est participem fieri sancti Spiritus; postea vero exoptabile, et summi apud Deum pretii, deligere vitæ recte gerendæ genus. Tunc spiritali fortitudine instinctus deserta loca requires : tunc sancte jejunabis, voluptatesque mortificabis, et tentantis Satanæ victor evades. — Ecce unus de certantibus fit, qui certaminum est munerarius, ut Deus; coronam obtinet, qui sanctorum capita coronat. Videamus itaque luctæ artificium, diabolicæ malitiæ cladem. Quadraginta exactis in jejunio diebus, postea esuriit. Atqui ille is est qui esurientibus cibum suppeditat : ipse imo est panis de cœlo descendens, vitæ causa mundo concessus : rerum denique omnium conservator. Sed quia oportebat eum qui inopiam nostram non fuerat aspernatus, ab humanitatis terminis prorsus non excedere, permisit carnis naturæ ea quæ sibi conveniunt requirere. Hoc modo ipsum esurisse dicimus. — Cum satis jam jejunasset, vique Deo congrua carnem sospitem absque potu esuque servasset, vix denique hanc sivit quæ sunt ejus propria pati. Dictum est enim esurisse. Quamobrem? Ut egregie ex utraque re, qui Deus simul et homo erat, cognosceretur unus idemque, et divinitus supra nos, et humanitus nobis par.

Καὶ οὐκ ἔφαγεν οὐδὲν ἐν ταῖς ἡμέραις ἐκείναις.

(A f. 73, B f. 44, H f. 221) Νενήστευκε τοίνυν ὁ Κύριος, οὐδὲν παντελῶς τῇ τοῦ σώματος χρείᾳ διδοὺς εἰς τροφήν· οὐκ αὐτὸς νηστείας προσδεόμενος, ἀλλὰ τύπον ἡμῖν τὰ καθ' ἑαυτὸν εἰς ὑπογραμμὸν ἀνατιθείς, καὶ εἰκόνα ποιούμενος τῆς παρ' ἡμῖν ἐξαιρέτου καὶ τεθαυμασμένης ζωῆς. Πόθεν γὰρ ἦν εἰδέναι τοὺς ἐπὶ τῆς γῆς, ὅτι τὸ ταῖς ἐρήμοις ἐνδιαιτᾶσθαι χρήσιμον αὐτοῖς καὶ ἀναγκαῖον εἰς σωτηρίαν, Ἀποφοιτῶσι γὰρ ὥσπερ κυμάτων ζάλης, καὶ τῶν εἰκαίων τοῦ παρόντος βίου περισπασμῶν, καὶ μονονουχί, κατὰ τὸν μακάριον Ἰωσὴφ, ἀποδύονται τῷ κόσμῳ πάντα τὰ αὐτοῦ. Δείκνυσι τοίνυν τοῖς οὕτω ζῆν ἑλομένοις, ἀναγκαίαν οὖσαν τὴν ἐγκράτειαν, ἧς νηστεία καρπός· ἡττηθήσεται γὰρ οὕτω πειράζων ὁ Σατανᾶς. Καὶ σὲ τοίνυν δεῖ πρότερον ἐνδύσασθαι τὴν ἐξ ὕψους δύναμιν, τουτέστι μέτοχον ἀποφανθῆναι τοῦ ἁγίου Πνεύματος, καὶ τότε τὴν ἀξιέραστον καὶ τετιμημένην παρὰ Θεῷ κατορθοῦν ἑλέσθαι ζωήν. Τότε τὰς ἐρήμους καταλήψῃ σὺν ἀνδρείᾳ πνευματικῇ· τότε νηστεύσεις ἁγίως, καὶ καταγενκρώσεις τὰς ἡδονάς, καὶ κρείττων ἔσῃ τοῦ πειράζοντος Σατανᾶ. — (A f. 73, B f. 44 b, H f. 221 b) Ἰδοὺ γέγονεν ἐν τοῖς ἀθλοῦσιν ὁ ἀθλοθέτης ὡς Θεός· ἐν τοῖς στεφανουμένοις, ὁ τὰς τῶν ἁγίων στεφανῶν κεφαλάς. Ἴδωμεν τοίνυν τῶν παλαισμάτων τὸ εὐτεχνὲς, τῆς τοῦ διαβόλου σκαιότητος τὴν ἀνατροπήν. Τεσσαρακοστῆς εἰς νηστείαν δαπανηθείσης ἡμέρας, ὕστερον ἐπείνασε· καίτοι δίδωσιν αὐτὸς τοῖς πεινῶσι τροφήν· καὶ αὐτός

C

D ἐστιν ὁ ἄρτος ὁ ἐξ οὐρανοῦ καταβάς, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ, ἡ τῶν ὅλων σύστασις· ἐπειδὴ δὲ πάλιν ἐχρῆν τὴν καθ' ἡμᾶς πτωχείαν οὐκ ἀτιμάσαντα, τῶν τῆς ἀνθρωπότητος μέτρων μὴ εἰσάπαν ἀποφοιτᾷν, συγκεχώρηκε τῇ τῆς σαρκὸς φύσει ζητῆσαι τὰ ἑαυτῆς· οὕτως αὐτὸν πεινάσαι φαμέν. — Νηστεύσας γε μὴν ἀποχρώντως, καὶ δυνάμει θεοπρεπεῖ, ποτοῦ καὶ σιτίων δίχα τὴν σάρκα τηρήσας ἀδιάφθορον, ἐφίησι μόλις τὰ οἰκεῖα παθεῖν αὐτήν· πεινῆσαι γὰρ λέγει· καὶ διὰ ποίαν αἰτίαν; Ἵνα δι' ἀμφοῖν εὐτέχνως θεός τε ὁμοῦ καὶ ἄνθρωπος ὑπάρχων, ἐπιγινώσκηται εἷς καὶ ὁ αὐτὸς δηλονότι, καὶ θεϊκῶς ὑπὲρ ἡμᾶς, καὶ καθ' ἡμᾶς ἀνθρωπίνως.

[86] Gen. xxvii, 23.

(1) Locus ferme repetitus in *Oratione ad reginas*, p. 157 (Opp., t. IX).

Digitized by Google

Καὶ εἶπεν αὐτῷ ὁ διάβολος, κ. τ. λ.

(A f. 73 b, B f. 45, H f. 224 b) Εἶτα προσέρχεται πειράζων ὁ Σατανᾶς, συνεργὸν ὥσπερ τῆς ἐνούσης αὐτῷ δυστροπίας, τὸ τοῦ λιμοῦ πάθος ἔσεσθαι προσδοκῶν· κατισχύει γὰρ ἡμῶν πολλάκις, τὰς ἐν ἡμῖν ἀσθενείας εἰς ἐπικουρίαν δεχόμενος τῶν ἑαυτοῦ σκευμάτων ἤτοι ἐπιχειρημάτων· ἐνόμισεν αὐτὸν ἑτοίμως ἐπιπηδᾷν τῷ βούλεσθαι παρακειμένους ἰδεῖν ἄρτους. Ἔφη γοῦν· « Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ ἵνα ὁ λίθος οὗτος ἄρτος γένηται. » Προσέρχεται μὲν, ὡς ἀνθρώπῳ κοινῷ, καὶ ὡς ἑνὶ τῶν ἁγίων· πλὴν ὕποπτος ἦν, μὴ ἄρα πως αὐτὸς εἴη ὁ Χριστός· πῶς οὖν ἠθέλησε τοῦτο μαθεῖν; Ἐνενόησεν ὡς θεοπρεποῦς ἰσχύος ἀποτέλεσμα καὶ ἔργον ἐστὶ, τὸ μεταστῆσαι φύσιν εἰς ὅπερ οὐκ ἦν· Θεὸς γάρ ἐστιν ὁ ποιῶν ταῦτα καὶ μετασκευάζων (1). Οὐκοῦν ἂν τοῦτο, φησὶ, γένηται, αὐτός που πάντως ἐκεῖνός ἐστιν, ὁ κατὰ τῆς ἐμῆς δυναστείας ἥξειν προσδοκώμενος· ἐὰν δὲ μὴ μεταβάλῃ, πρὸς ἄνθρωπον ἔχω, καὶ ἀποβέβληκα τὸν φόβον, καὶ τῶν κινδύνων ἀπήλλαγμαι. Διὰ τοῦτο Χριστὸς, ἅτε δὴ εἰδὼς τοῦ θηρίου τὴν σκέπην, οὔτε μεταβέβληκεν, οὔτε μὴν ἔφη μὴ δύνασθαι τοῦτο δρᾷν, ἤγουν μὴ ἐθέλειν· ἀποσείεται δὲ μᾶλλον ὡς ὀχληρὸν καὶ περιττὸν λέγων· « Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, » τουτέστιν, ἐὰν ὁ Θεὸς δύναμιν δῷ τῷ ἀνθρώπῳ, δύναται μὴ φαγεῖν, καὶ ζῆν ὡς Μωϋσῆς καὶ Ἠλίας, οἳ ῥήματι Θεοῦ ἔζησαν ἄσιτοι τεσσαράκοντα ἡμέρας. Εἰ οὖν δυνατὸν δίχα ἄρτου ζῆν, ἵνα τί ποιῶ τὸν λίθον ἄρτον; Οὔτε οὖν λέγει, Οὐ δύναμαι, ἵνα μὴ ἀρνήσῃ τε τὴν ἑαυτοῦ δύναμιν· οὔτε, ὅτι Δύναμαι, ἵνα μὴ γνοὺς ἐκεῖνος ὅτι Θεός ἐστιν, ᾧ μόνῳ τὰ τοιαῦτα δυνατὰ, ἀποστῇ ἀπ' αὐτοῦ. — (A f. 74, H f. 225) Καί μοι ὅρα τὴν ἀνθρώπου φύσιν ἐν Χριστῷ, τὰ τῆς ἐν Ἀδὰμ ἀκρασίας ἀποβάλλουσαν αἰτιάματα. Διὰ βρώσεως ἐν Ἀδὰμ νενικήμεθα· δι' ἐγκράτειαν ἐν Χριστῷ νενικήκαμεν.—(A f. 74 b, H f. 226) Τοῖς μὲν ἀπὸ γῆς σιτίοις τὸ γήϊνον ἡμῶν τρέφεται σῶμα, καὶ ζητεῖ πρὸς ἐπικουρίαν τὸ συγγενές· ψυχὴ δὲ ἡ λογικὴ λόγῳ τῷ θείῳ πρὸς εὐεξίαν ἀδρύνεται τὴν πνευματικήν· αἱ μὲν γὰρ ἀπὸ γῆς τροφαὶ τὸ συγγενὲς τρέφουσι σῶμα· αἱ δὲ ἄνωθεν καὶ ἐξ οὐρανοῦ νευροῦσι τὸ πνεῦμα. Τροφὴ νοῦ, ὁ λόγος ὁ παρὰ Θεοῦ, καὶ ἄρτος πνευματικὸς, στηρίζων ἀνθρώπου καρδίαν, κατὰ τὸ ἐν βίβλῳ Ψαλμῶν ὑμνούμενον· τοιαύτας δὲ εἶναί φαμεν καὶ αὐτῶν τῶν ἁγίων ἀγγέλων τὰς τροφάς.

A V. 3. *Dixit autem illi diabolus*, etc.

Deinde accedit tentator Satanas, auxiliarem veluti improbitatis suæ famis passionem fore sperans. Sæpe enim is prævalet, dum nostras infirmitates suarum sumit insidiarum aggressionumque adjutrices. Existimavit ipsum protinus accursurum quo paratos panes videret. Dixit igitur: « Si Filius Dei es, dic ut hic lapis panis fiat. » Accedit, inquam, ceu vulgari homini et sanctorum uni: neque tamen suspicione **152** carebat, num is forte esset Christus. Qua ratione itaque id cognoscere nititur? Cogitavit divinæ potentiæ effectum opusque esse, naturalis rei alicujus in aliud quid sibi extraneum transformationem. Nam talium factor est et immutator Deus. Si ergo, inquit, id patraverit, prorsus B hic ille est qui adversus potentiam meam venturus exspectatur. Quod si minime hanc transformationem fecerit, res mihi cum homine est, metum abjicio et periculo liberor. Propterea Christus, utpote belluæ insidiarum conscius, neque lapidem immutavit, neque se id agere posse aut velle negavit; sed et illum tanquam importunum, et rem tanquam supervacuam repulit, dicens: « Haud solo pane vivet homo; » id est, si Deus vim homini tribuerit, poterit ille cibo abstinere, et tamen vivere, sicuti Moyses atque Elias, qui verbo Dei vixerunt impasti quadraginta diebus. Si ergo vivi absque pane potest, cur ego ex lapide panem faciam? Neque ergo dicit, Non queo, ne suam potentiam neget; C nec ait, Possum, ne ille agnoscens quod Deus esset, cui soli hæc omnia sunt possibilia, ab eo recederet. — Et tu mecum considera hominis in Christo naturam, quæ gulosi Adami culpam repellit. Esu in Adamo victi fuimus, abstinentia in Christo vincimus. — Terrenis frugibus terrenum nostrum alitur corpus, quod homogeneæ rei adjutorium exquirit; rationalis autem anima divino verbo ad spiritalem habitudinem bonam roboratur. Nam quæ sunt de tellure alimenta, cognatum sibi nutriunt corpus; superna autem de cœlo spiritum roborant. Mentis alimonia est verbum Dei, panisque spiritalis qui hominis cor confirmat, sicut in Psalmorum libro cantatur [81]. Tales esse dicimus ipsorum etiam sanctorum angelorum cibos. D

Ἔδειξεν αὐτῷ πάσας τὰς βασιλείας τῆς οἰκουμένης.

V. 5. *Ostendit illi omnia regna orbis terræ.*

(A f. 74 b, H f. 227) Ἀλλ', ὦ κακοῦργε, καὶ πονηρὲ, καὶ ἀλιτήριε, πῶς ἐτόλμησας τῷ Κυρίῳ πάσης τῆς κτίσεως δεῖξαι πάσας βασιλείας, καὶ εἰπεῖν, ὡς Ταῦτα πάντα ἐμά ἐστι· νῦν οὖν εἰ πεσὼν προσκυνήσεις μοι, σοὶ δώσω; Πῶς ἐπαγγέλλῃ τὰ μὴ σά; Τίς σε κατέστησε κληρονόμον τῆς τοῦ Θεοῦ βασιλείας;

Sed heus tu malefice, et improbe, et **153** flagitiose, quomodo ausus es rei omnis creatæ Domino cuncta regna demonstrare, ac dicere, Omnia hæc mea sunt; quæ, si nunc procidens me adoraveris, tibi dabo? Quomodo quæ tua non sunt promittis? Quis te hæredem regni Dei constituit? Quis tibi terra-

[81] Psal. CIII, 15.

(1) Animadverte Cyrilli doctrinam de divina potentia transformandi rei alicujus naturam in diversam aliam; quod etiam ad dogma eucharisticæ transubstantiationis valet. Idem sentiebat Baptista cum ait: *Potens est Deus de lapidibus istis suscitare filios Abrahæ.*

Digitized by Google

rum orbem subjecit? Fraudulenter hæc tibi vindicas; redde igitur humanato Filio, cunctorum Domino. Audi quid de te dicat Isaias propheta: « Nunquid et tibi paratum est regnare? vallem profundam, ignem et sulphur ac ligna posita; furor Domini, sicut vallis sulphure succensa [83]. » Qui autem sortis tuæ loco habes inexstinguibilem flammam, cur rerum omnium regi tua promittis? Sperabas adoratorem habere quem omnia tremunt, quem laudant Seraphim cunctæque angelicæ virtutes? Scriptum est enim: « Dominum Deum tuum adorabis, et ipsi soli servies. » — Quasi intima illius contingens, hoc tempestive præceptum protulit. Namque ante suum adventum, universum ille irretiverat fraude mundum: ille ubique adorabatur. Verumtamen Dei lex, pellens illum de occupato fraudulenter imperio, unum suapte natura vereque Deum adorare jussit, eique soli cultum exhibere.

A Τίς ὑπέταξέ σοι τὴν ὑπ' οὐρανόν; Ἐξ ἀπάτης ἥρπασας· οὐκοῦν ἀπόδος ἀνανθρωπήσαντι τῷ Υἱῷ τῷ πάντων Δεσπότῃ· ἄκουε τί φησιν ὁ προφήτης Ἡσαΐας περὶ σοῦ· « Μὴ καὶ σοὶ ἡτοιμάσθη βασιλεύειν; φάραγγα βαθεῖαν, πῦρ καὶ θεῖον καὶ ξύλα κείμενα· ὁ θυμὸς Κυρίου ὡς φάραγξ ὑπὸ θείου καιομένη. » Ὁ δὲ κλῆρον ἔχων τὴν ἀσβεστον φλόγα, πῶς τῷ βασιλεῖ τῶν ὅλων ἐπαγγέλλεις τὰ αὐτοῦ; Προσεδόκησας ἔχειν προσκυνητὴν ὃν τρέμει τὰ σύμπαντα, καὶ δοξολογοῦσι τὰ Σεραφὶμ καὶ πᾶσαι αἱ ἀγγελικαὶ δυνάμεις; Γέγραπται· « Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις (1). » — (B f. 47 b) Ἀπτόμενος ὥσπερ τῶν σπλάγχνων αὐτοῦ, ταύτην παρεκόμισεν εὐκαίρως τὴν ἐντολήν· πρὸ μὲν γὰρ τῆς ἐπιδημίας αὐτοῦ, πᾶσαν ἐπλάνησε τὴν ὑπ' οὐρανόν· αὐτὸς ἦν ὁ B πανταχοῦ προσκυνούμενος· ὁ δέ γε τοῦ Θεοῦ νόμος ἔξω τιθεὶς αὐτὸν τῆς ἐξ ἀπάτης αὐτῷ πεπορισμένης ἀρχῆς, ἑνὶ τῷ κατὰ φύσιν καὶ ἀληθῶς ὄντι Θεῷ προσέταξε προσκυνεῖν, καὶ αὐτῷ μόνῳ τὰς λατρείας ἐπιτελεῖν.

V. 9. *Si Filius Dei es, mitte te hinc deorsum.*

Εἰ ὁ Υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν ἐντεῦθεν κάτω.

Tertiam admovet tentationem diabolus, vanam gloriam, « Mitte te deorsum » inquiens, ad deitatis demonstrationem. Sed enim haud eum elatione transversum egit; ipse potius nunc etiam scopo aberravit. « Dictum quippe est, inquit Christus, Non tentabis Dominum Deum tuum. » Equidem haud tentantibus Deus opem suppeditat, sed credentibus in eum. Non enim quia Deus nos clementia sua dignatur, idcirco ostentationi indulgere debemus. Insuper nunquam Christus tentantibus se miraculum edidit: « Generatio, aiebat, prava signum quærit, et signum non dabitur ei [84]. » Idem nunc sibi dictum audiat **154** tentator Satanas. Nos ergo in Christo vicimus. Qui autem ab Adamo olim victor discessit, nunc pudore suffusus recessit, ut nos ipsum pedibus suppositum teneamus. Cum enim Christus vicit, tunc nobis quoque vincendi vim tradens, « Ecce dedi, inquit, vobis potestatem calcandi serpentes et scorpiones, et universam inimici potentiam [85]. »

(A f. 75 b, B f. 47 b, H f. 230) Τρίτην πεῖραν ὁ διάβολος προσάγει τὴν τῆς κενοδοξίας· « Βάλε σεαυτὸν κάτω, » λέγων, εἰς ἐπίδειξιν τῆς θεότητος· ἀλλ' οὐ κατήνεγκε διὰ τῆς ἐπάρσεως, ἀλλ' ἔξω βέβληκε καὶ εἰς τοῦτο σκοποῦ· « Εἴρηται γὰρ, φησὶ, Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου. » Οὐ γὰρ τοῖς πειράζουσι χαρίζεται ὁ Θεὸς τὰς ἐπικουρίας, ἀλλὰ τοῖς πιστεύουσιν εἰς αὐτόν· οὐ γὰρ ὅτι φειδοῦς ἡμεῖς C ἀξιοῖ, διὰ τοῦτο ἡμεῖς ἐπιδεικτέον ὀφείλομεν. Πρὸς τούτοις οὐδέποτε Χριστὸς τοῖς πειράζουσιν αὐτὸν ἐδίδου σημεῖον· « Γενεὰ γὰρ, φησὶ, πονηρὰ σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ. » Τοῦτο καὶ νῦν ἀκουέτω πειράζων ὁ Σατανᾶς. Οὐκοῦν νενικήκαμεν ἐν Χριστῷ· καὶ ὅ ποτε κρατήσας ἐν Ἀδὰμ, ἀπῆλθε κατῃσχυμμένος, ἵν' ἡμεῖς ὑπὸ πόδας ἔχωμεν αὐτόν. Ὅτε γὰρ νενίκηκεν ὁ Χριστὸς, τότε καὶ εἰς ἡμᾶς παραπέμπων τὸ δύνασθαι νικᾷν, « Ἰδοὺ δέδωκα, φησὶν, ὑμῖν πατεῖν ἐπάνω ὄφεων, καὶ σκορπίων, καὶ ὅλην τὴν δύναμιν τοῦ ἐχθροῦ. »

V. 10. *Scriptum est enim: Angelis suis mandabit de te, ut custodiant te.*

Γέγραπται γὰρ, ὅτι Τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε.

Cerne quam malitiose conatur Scripturarum usu Domini gloriam delere, quasi is angelico auxilio egeat, et quasi impingere eum necesse sit, nisi ei angeli præsto fuerint. Atqui non de Christo dicta fuit psalmi sententia; namque angelis non eget Dominus. Porro pinnaculum fabrica erat quædam celsissima, juxta templi latus exstructa. — Male nonnulli referunt psalmum (xc, 9) ad Domini personam, versiculos seriatim legentes sic: « Quia tu, D

(B f. 47 b) Ὅρα δὲ πῶς κακούργως πειρᾶται διὰ τῆς χρήσεως τῶν Γραφῶν καθελεῖν τὴν δόξαν τοῦ Κυρίου, ὡς δεομένου ἀγγελικῆς βοηθείας· ὡς μέλλοντος προσκόπτειν, εἰ μὴ ἄγγελοι αὐτῷ βοηθεῖεν. Οὐ γὰρ περὶ τοῦ Χριστοῦ εἴρηται ἡ χρῆσις τοῦ ψαλμοῦ· οὐδὲ γὰρ δεῖται ἀγγέλων Δεσπότης. Τὸ δὲ πτερύγιον, οἰκοδόμημα ἦν ὑψηλὸν ἄγαν, παρῳκοδομημένον τῇ πλευρᾷ τοῦ ἱεροῦ. — (A f. 75 b, H f. 230 b) Ἀναφέρουσι μέντοι κακῶς τινες τὸν ψαλ-

[83] Isa. xxx, 33. [84] Matth. xii, 39. [85] Luc. x, 19.

(1) Hic interseritur apud D. Thomam in Catena: « Cyrillus. Qualiter autem, si, secundum hæreticos, Filius est creatura, adoratur? Quod crimen inferretur adversus eos, qui servierunt creaturæ et non Creatori, si Filium secundum eos creaturam exsistentem colimus tanquam Deum? »

Digitized by Google

μὲν (1) εἰς τὸ τοῦ Κυρίου πρόσωπον· καὶ τοὺς στίχους συνάπτοντες, οὕτως ἀναγινώσκουσι· « Ὅτι σὺ, Κύριε, ἡ ἐλπίς μου, τὸν Ὕψιστον ἔθου καταφυγήν σου. » Φασὶ γοῦν ὅτι ὁ Κύριος καταφυγὴν ἔχει τὸν Ὕψιστον, δηλονότι τὸν ἐν οὐρανοῖς Πατέρα. Γέγονε δὲ πρόφασις αὐτῶν τῆς τοιαύτης ἐννοίας ὁ Σατανᾶς· αὐτὸς γὰρ οὕτω νενόηκε τοὺς στίχους, εἰπών· « Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν κάτω. Γέγραπται γὰρ, ὡς Τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ. » Συκοφάντης γὰρ ὑπάρχων καὶ πλάνος ὁ Σατανᾶς, καὶ τὰ περὶ ἡμῶν εἰρημένα αὐτῷ προσάπτει τῷ προσώπῳ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ. Ἀλλ' ἡμεῖς οὐχ οὕτως νοοῦμεν, ὡς νοεῖν ἔθος τῷ Σατανᾷ· εἰ δὲ οὕτω νενοήκασιν Ἀρειανοὶ, θαυμαστὸν οὐδέν· ἀκολουθοῦσι γὰρ τῷ ἰδίῳ πατρὶ, ὃς ψεύστης ἐστὶ, καὶ ἀλήθεια ἐν αὐτῷ οὐκ ἔστι, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν· εἰ γάρ ἐστι κατ' αὐτοὺς ἀληθὲς τὸ τοιοῦτον, ἐλπίδα μὲν ἡμεῖς τὸν Χριστὸν πεποιήμεθα, αὐτὸς δὲ καταφυγὴν ἔχει τὸν Πατέρα· οὐκοῦν βοηθουμένῳ προσπεφεύγαμεν, Σωτῆρα καλοῦμεν τὸν παρ' ἑτέρου σωζόμενον. Οὐκ ἔστι ταῦτα, μὴ γένοιτο. Λέγομεν τοίνυν τοῖς οὕτω φρονεῖν εἰωθόσιν· Ἑτέραν ἡμῖν ἀναγγέλλετε πλάνησιν· ἔξω τῆς βασιλικῆς καὶ εὐθείας ἔρχεσθε τρίβου· εἰς ἀκάνθας καὶ βόθρους πίπτετε· τῆς ἀληθείας ἐκπεπτώκατε· ἴσος ἐστὶ κατὰ πάντα τοῦ Πατρὸς ὁ Υἱός· χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ· Ὕψιστος καθὰ καὶ ὁ Πατήρ. Ὁ μὲν οὖν Σατανᾶς τούτοις ἐχρήσατο τοῖς στίχοις (2) ὡς ἐπ' ἀνθρώπου κοινοῦ τοῦ Σωτῆρος· ἐπειδὴ γάρ ἐστιν ὅλος σκότος, καὶ κατεσκοτισμένην ἔχει τὴν διάνοιαν, οὐ συνῆκε τῶν εἰρημένων τὴν δύναμιν, ὅτι ὁ ψαλμὸς ἐκ προσώπου παντὸς δικαίου εἴρηται βοηθουμένου ὑπὸ τοῦ Ὑψίστου, ὄντος Θεοῦ τοῦ οὐρανοῦ· ἠγνόησέ τε πρὸς τούτῳ, ὅτι Θεὸς ὢν ὁ Λόγος γέγονεν ἄνθρωπος, καὶ αὐτὸς ἦν ὁ οἰκονομικῶς πειραζόμενος. Ὁ μὲν οὖν, ὡς ἔφην, ὡς ἐπ' ἀνθρώπου κοινοῦ, ἢ καὶ ὡς ἐφ' ἑνὸς τῶν ἁγίων προφητῶν εἰρῆσθαι τοὺς λόγους ὑπελάμβανεν· ἄτοπον ἡμᾶς τοὺς εἰδότας ἀκριβῶς τὸ μυστήριον, καὶ πεπιστευκότας ὅτι Θεός ἐστι καὶ Υἱὸς Θεοῦ, καὶ ὅτι δι' ἡμᾶς καθ' ἡμᾶς γέγονεν ἄνθρωπος, ὑπονοεῖν περὶ αὐτοῦ τοὺς στίχους εἰρῆσθαι. Οὐχ ἁρμόζει τοίνυν τῷ προσώπῳ τοῦ Σωτῆρος τὸ λέγεσθαι· « Τὸν Ὕψιστον ἔθου καταφυγήν σου. » Αὐτὸς γάρ ἐστιν Ὕψιστος, ἡ πάντων καταφυγὴ, ἡ πάντων ἐλπὶς, ἡ πάντα ἰσχύουσα τοῦ Πατρὸς δεξιά· κἂν τις αὐτὸν καταφυγὴν θεῖτο, οὐ προσελεύσεται πρὸς αὐτὸν κακά· αὐτὸς γὰρ ἐντελεῖται τοῖς ἀγγέλοις, λειτουργικοῖς οὖσι πνεύμασιν, ὅπως φρουρῶσι τὸν δίκαιον. Ὥσπερ γὰρ οἱ κατὰ σάρκα πατέρες (3), ὅταν ἴδωσιν ὁδὸν τραχεῖαν καὶ δύσβατον, ἁρπάζουσιν εἰς χεῖρας τὰ βρέφη, μή πως ἀδικηθῇ τρυφερὸν ἔχοντα τὸν πόδα, καὶ οὕπω διὰ σκληρᾶς ὁδοῦ βῆναι δυνάμενα, οὕτω καὶ αἱ λογικαὶ δυνάμεις τοὺς οὕπω πονεῖν ἰσχύοντας, νηπιοπρεπῆ δέ πως

A Domine, spes mea, Altissimum posuisti refugium tuum. » Aiunt ergo Dominum habere refugium suum Altissimum, id est residentem in cœlis Patrem. Causa autem hujusmodi est illis Satanas, qui ita versiculos intellexit, cum ait : « Si Filius Dei es, mitte te deorsum. Scriptum est enim : Angelis suis mandabit de te. » Nam cum sycophanta deceptorque sit Satanas, ea quæ de nobis dicta fuerunt, ipsi accommodat personæ Servatoris omnium nostrum Christi. Verumenimvero nos haud ita intelligimus ut Satanas solet. Quod si ita intellexerunt Ariani, nil mirum ; sequuntur enim patrem suum, qui mendax est, et veritate caret, juxta Servatoris effatum [65]. Nam si, ut isti volunt, ita se res haberet, nos quidem spem nostram in Christo collocavimus ; ipse autem refugium habet Patrem : ex quo sequitur ut ad egentem auxilio confugerimus, et Servatorem appellemus eum qui ab alio servatus est. Verum hæc non ita se habent; absit ! Dicimus ergo his qui ita sentire solent : Ecce **155** alterum vestrum nobis demonstratis errorem : extra regiam rectamque viam gradimini, in spinas foveasque deciditis, a veritate devii. Æqualis est per omnia Patri Filius, figura substantiæ illius, Altissimus æque ac Pater. Satanas ergo his usus est versiculis ceu si cum Servatore ageret tanquam vulgari homine. Cum sit enim totus tenebrosus, et mentem obscuratam gerat, non intellexit dictorum verborum vim ; nempe quod psalmus in persona cujusvis justi dictus fuerit ab illo Altissimo adjuti, qui Deus cœlorum est. Nescivit insuper Deum Verbum factum fuisse hominem, ipsumque adeo esse qui tunc ex dispensationis ratione tentabatur. Diabolus ergo, ut dixi, tanquam de communi homine, vel certe de uno aliquo sancto propheta, verba illa dicta esse putavit. Porro absurdum esset nos accurate mysterium jam edoctos, credentesque ipsum Deum esse Deique Filium, et pro nobis æque ac nos factum hominem, existimare dictos de ipso fuisse illos versiculos. Haud igitur Servatoris personæ quadrant verba : « Altissimum posuisti refugium tuum. » Ipse est enim Altissimus, omnium refugium, omnium spes, omnia potens dextera Patris : quem si quis refugium suum posuerit, mala ad eum non accedent. Etenim ipse imperat angelis, qui sunt ministratorii spiritus, ut justum custodiant. Nam sicuti carnales patres, cum viam asperam difficilemque aspexerint, infantulos suos manibus sustollunt, ne forte tenelli illorum pedes fædantur, qui nondum viæ duritiem ferre queunt, sic etiam intellectuales potentiæ eos qui nondum labores durare valent, quia puerili adhuc animo sunt, non sinunt eos supra vires fatigari, sed omni eripiunt tentatione.

[65] Joan. VIII, 44.

(1) Locus hic vel desumptus fuit a Cyrillo ex suo in psal. XC Commentario (supra t. II) ; vel ex hoc loco vice versa illuc translatus.

(2) Lege rursus Cyrillum ad psal. XC.

(3) Adhuc adi Cyrillum ad psal. XC.

Digitized by Google

τὴν διάνοιαν ἔχοντας, οὐκ ἐῶσι πονεῖν ὑπὲρ δύναμιν, ἀλλὰ παντὸς ἐξέλκουσι πειρασμοῦ (1).

V. 14. *Et regressus est Jesus in virtute Spiritus in Galilæam.*

Omisso urbium incolatu, desertis in locis **156** versabatur. Ibi jejunavit, tentatusque a diabolo est; ibi pro nobis vicit; ibi capita draconum contrivit; ibi, ut ait beatus David [66], inimici frameæ defecerunt in finem, et urbes sunt destructæ, id est, illi qui turrium urbiumque instar erant. Ergo Satana superato, atque in seipso coronata hominis natura spoliis de illo relatis, reversus est in Galilæam cum virtute Spiritus, operandi potentia utens, plurima edens miracula, multamque sui admirationem excitans. Miracula vero operabatur, non accepta exterius donataque sibi a Spiritu gratia, sicuti cæteris sanctis eveniebat, sed ipse potius exsistens naturalis verusque Dei Patris Filius, et eorum, quæ hujus propria sunt, hæres. Namque et ipsi aiebat: « Omnia mea, tua sunt, et tua, mea; et glorificatus sum in eis [67]. » Glorificatus est igitur, tanquam virtute et efficacia propria utens illa, quæ est Spiritus sibi consubstantialis.

A *Καὶ ὑπέστρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ Πνεύματος εἰς τὴν Γαλιλαίαν.*

(A f. 77, H f. 234 b) Ἀφεὶς τὰς ἐν ταῖς πόλεσι διατριβάς, ταῖς ἐρήμοις ἐνηυλίζετο· ἐκεῖ νενήστευκε πειραζόμενος ὑπὸ τοῦ Σατανᾶ, ἐκεῖ νενίκηκεν ὑπὲρ ἡμῶν, ἐκεῖ συνέτριψε τὰς κεφαλὰς τῶν δρακόντων, ἐκεῖ, καθά φησιν ὁ μακάριος Δαβίδ, τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος, καὶ πόλεις καθῄρηνται, τουτέστιν ὡς πύργοι καὶ πόλεις ὄντες· κατευμεγεθήσας τοίνυν τοῦ Σατανᾶ, καὶ στεφανώσας ἐν ἑαυτῷ τὴν τοῦ ἀνθρώπου φύσιν τοῖς κατ' ἐκείνου βραβείοις, ὑπέστρεψεν εἰς τὴν Γαλιλαίαν, ἐν τῇ δυνάμει τοῦ Πνεύματος, ἐνεργείᾳ τε καὶ δυνάμει χρώμενος, πλείστας τε θεοσημείας ἀποτελῶν, καὶ πολὺ τὸ θαῦμα παρεχόμενος. Εἰργάζετο δὲ τὰς θεοσημείας, οὐκ B ἐξωθεν καὶ πεπορισμένην τὴν τοῦ Πνεύματος χάριν λαβών, καθὰ καὶ ὁ τῶν ἁγίων χορὸς, ὑπάρχων δὲ μᾶλλον φύσει τε καὶ ἀληθῶς Υἱὸς τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ κλῆρον ἴδιον ἔχων τὰ αὐτοῦ· καὶ γὰρ ἔφη πρὸς αὐτὸν, ὅτι « Πάντα τὰ ἐμὰ, σά ἐστι, καὶ τὰ σὰ ἐμὰ, καὶ δεδόξασμαι ἐν αὐτοῖς. » Δεδόξασται τοίνυν ὡς ἰδίᾳ δυνάμει καὶ ἐνεργείᾳ χρώμενος τῇ τοῦ ὁμοουσίου Πνεύματος.

V. 16. *Et venit Nazareth. Et intravit in synagogam.*

Quoniam deinceps oportebat notum se constituere filiis Israelis, et incarnationis illucescere mysterium his qui illud ignorabant, et quod ipse unctus fuisset a Deo Patre ob mundi salutem; prudentissime hoc quoque agit. Primis autem hoc ante C alios beneficium largitur popularibus suis Nazareti, quos inter fuerat nutritus, secundum carnem videlicet. Ergo synagogam ingressus, sumit librum ad legendum; eoque aperte, propheticam deligit sententiam quæ mysterium de ipso loquebatur. — Manifestissime vero in his dictis ipse prophetæ voce aiebat, se hominem factum iri et venturum ad salvandum orbem terrarum. Namque unctum fuisse haud aliter dicimus Filium, quam quatenus caro factus erat, id est æque ac nos homo constitutus. Jam cum ipse Deus simul et homo sit, idem Spiritum divinitus donat creaturæ, idemque a Deo Patre ipsummet recipit humanitus, qui tamen creaturam omnem sanctificat; **157** quandoquidem et ex sancto Patre exsplenduit, et ex ipso profusum Spiritum D tum in supernas virtutes tanquam proprium immittit, tum etiam in illos qui adventum ejus cognoverunt.

Καὶ ἦλθεν εἰς τὴν Ναζαρὲτ· καὶ εἰσῆλθεν εἰς τὴν συναγωγήν.

(A f. 77, H f. 235) Ἐπειδὴ ἐχρῆν λοιπὸν ἐμφανῆ ἑαυτὸν καταστῆσαι τοῖς ἐξ αἵματος Ἰσραὴλ, καὶ τὸ τῆς ἐνανθρωπήσεως ἐκλάμψαι μυστήριον τοῖς οὐκ εἰδόσιν αὐτὸ, καὶ ὅτι κέχρισται παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς εἰς σωτηρίαν τῆς ὑπὸ οὐρανὸν, πανσόφως καὶ τοῦτο οἰκονομεῖ· χαρίζεται δὲ τοῦτο πρό γε τῶν ἄλλων τοῖς ἐν Ναζαρὲτ, οἷς καὶ συνετράφη, κατά γέ φημι τὴν σάρκα. Εἰσελθὼν τοίνυν ἐν τῇ συναγωγῇ, δέχεται βιβλίον εἰς ἀνάγνωσιν· καὶ ἀνοίξας, προφητικὴν ἐπελέξατο ῥῆσιν, τὸ περὶ αὐτοῦ λαλοῦσαν μυστήριον. — Ἐναργέστατα δὲ διὰ τούτων αὐτὸς ἦν ὁ λέγων διὰ τῆς τοῦ προφήτου φωνῆς, ὡς καὶ ἐνανθρωπήσει καὶ ἁφίξεται διασώσων τὴν ὑπ' οὐρανόν· κεχρίσθαι γὰρ οὐχ ἑτέρως φαμὲν τὸν Υἱὸν, πλὴν ὅτι κατὰ τὴν σάρκα γενόμενον δηλονότι καθ' ἡμᾶς καὶ ἐνανθρωπήσαντα· Θεὸς γὰρ ὑπάρχων ὁμοῦ καὶ ἄνθρωπος, ὁ αὐτὸς δίδωσι μὲν θεϊκῶς τὸ Πνεῦμα τῇ κτίσει, δέχεται δὲ αὐτὸ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς κατὰ τὸ ἀνθρώπινον, ὁ πᾶσαν ἁγιάζων τὴν κτίσιν, ἅτε καὶ ἐξ ἁγίου Πατρὸς πεφηνὼς, καὶ τὸ ἐξ αὐτοῦ προχεόμενον Πνεῦμα καὶ ταῖς ἄνω δυνάμεσιν ἐνιεὶς ὡς ἑαυτοῦ, καὶ προσέτι τοῖς ἐπεγνωκόσιν αὐτοῦ τὴν ἐπιφάνειαν.

V. 18. *Spiritus Domini super me; propter quod unxit me, evangelizare pauperibus misit me*, etc.

Manifeste his verbis demonstrat, se exinanitionis demissionem et humilitatem, et ipsum Christi nomen atque officium nostri causa excepisse. Namque ait: Spiritus, qui mihi naturaliter inest propter

Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ με, εὐαγγελίζεσθαι πτωχοῖς ἀπέσταλκέ με, κ. τ. λ.

(B f. 50) Σαφῶς διὰ τούτων δηλοῖ, ὡς τὸ τῆς κενώσεως ὑφειμένον, καὶ ὑποδεδηκὸς, καὶ αὐτὸ τὸ Χριστὸς ὄνομά τε καὶ πρᾶγμα δι' ἡμᾶς κατεδέξατο. Τὸ γὰρ Πνεῦμα, φησὶν, ὅπερ ἐστὶ φυσικῶς ἐν ἐμοὶ

[66] Psal. IX, 7. [67] Joan. XVII, 10.

(1) Animadverte de custodibus hominum angelis Cyrilli testimonium.

Digitized by Google

διὰ τὸ ταυτὸν τῆς οὐσίας καὶ τῆς θεότητος, τοῦτο ἐπ' ἐμὲ παραγέγονεν καὶ ἔξωθεν· ὥσπερ καὶ ἐν Ἰορδάνῃ ἐν εἴδει περιστερᾶς ἐπεφοίτησεν, οὐχ ὡς μὴ ὑπάρχον ἐν ἐμοί, ἀλλ' οὗ εἵνεκεν ἔχρισέ με. Τίνος δὲ εἵνεκεν χρισθῆναι προείλετο; Ἡμῶν τῶν ἐρήμων γενομένων τοῦ Πνεύματος διὰ τὴν ἀρχαίαν ἐκείνην ἀπόφασιν, τό· « Οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκα. » — Ταῦτα ὁ ἐνανθρωπήσας τοῦ Θεοῦ Λόγος φησί· Θεὸς γὰρ ὢν ἀληθινὸς ἐξ ἀληθινοῦ Θεοῦ τοῦ Πατρὸς, καὶ δι' ἡμᾶς ἄνθρωπος ἀτρέπτως γεγονὼς, μεθ' ἡμῶν κέχρισται τῷ ἐλαίῳ τῆς ἀγαλλιάσεως, τοῦ Πνεύματος αὐτῷ παρὰ τὸν Ἰορδάνην ἐπιφοιτήσαντος ἐν εἴδει περιστερᾶς. Πάλαι μὲν γὰρ συμβολικῶς ἐχρίοντο βασιλεῖς τε καὶ ἱερεῖς, ἁγιασμοῦ τινα μετοχὴν ἐκ τούτου κερδαίνοντες· ὁ δὲ δι' ἡμᾶς ἐνανθρωπήσας, τῷ νοητῷ τῆς ἀγαλλιάσεως ἐλαίῳ, καὶ αὐτῇ τῇ τοῦ Πνεύματος ἐπιφοιτήσει ἐχρίσθη· τοῦτο ἡμῖν λαμβάνων, οὐχ ἑαυτῷ· καὶ γὰρ ἀποπτάντος τοῦ Πνεύματος, καὶ μὴ καταμείναντος ἐν ἡμῖν διὰ τὸ εἶναι ἡμᾶς σάρκα, πένθους ἦν πλήρης ἡ γῆ, ἄτε μετουσίας ἐστερημένη Θεοῦ. — (B f. 50 b) Ἐκήρυξε δὲ καὶ αἰχμαλώτοις ἄφεσιν, ἣν καὶ ἐνήργησε, δήσας τὸν ἰσχυρὸν τὸν τυραννικῶς καταδυναστεύσαντα τοῦ γένους ἡμῶν Σατανᾶν, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσας ἡμᾶς.

A unitatem substantiæ ac deitatis, is, inquam, in me exterius supervenit : sicut etiam apud Jordanem sub columbæ specie descendit ; non quia in me non esset, sed quatenus unxit me. Cur autem ungi voluit? Nempe quia nos deserti eramus a Spiritu ob antiquam illam sententiam : « Non permanebit Spiritus meus in his hominibus, quia caro sunt [88]. » — Hæc ab humanato Dei Verbo dicuntur. Verus enim Deus ex Deo Patre, et propter nos homo sine mutatione factus, nobiscum unctus est oleo exsultationis, Spiritu in eum sub columbæ specie apud Jordanem convolante. Olim sane symbolice ungebantur reges ac sacerdotes, qui indidem quamdam sanctificationis partem nanciscebantur. Sed hic nostri causa homo factus, intellectuali exsultationis B oleo, et ipso Spiritus adventu unctus fuit; rem hanc non sibi, sed nobis accipiens. Etenim eum a nobis avolasset Spiritus, neque in nobis permansisset, quia caro eramus, luctus terram occupabat, quæ Dei participatione carebat. — Prædicavit etiam captivis remissionem, vinciens fortem et tyrannice generi nostro dominantem Satanam, ejusque vasa, nempe nos, rapiens.

(A f. 77, H f. 235 b) Ὥσπερ μέντοι τὸ, *ἔχρισέ με*, τῇ ἀνθρωπότητι πρέπει· χρίεται γὰρ οὐχ ἡ θεία φύσις, ἀλλὰ τὸ ἡμῖν ὁμογενές· οὕτω καὶ τὸ, *ἀπέσταλκέ με*, τῷ ἀνθρωπίνῳ λογιστέον.— (A f. 77 b, H f. 236) Καὶ τοὺς πάλαι τὴν ἐκ τοῦ διαβόλου ἀχλὺν ἔχοντας εἰς καρδίαν, λαμπροὺς ἀπέφηνεν, οἷά τις δικαιοσύνης ἥλιος ἀνίσχων, καὶ υἱοὺς ἀποφήνας οὐκέτι νυκτὸς καὶ σκότους, ἀλλὰ φωτὸς καὶ ἡμέρας, κατὰ τὴν Παύλου φωνήν· καὶ οἱ τυφλοὶ ὄντες· ἐτύφλωσε γὰρ τὰς καρδίας αὐτῶν ὁ ἀποστάτης· ἀνέβλεψαν, καὶ ἐπέγνωσαν τὴν ἀλήθειαν, καὶ καθὼς φησιν Ἡσαΐας, γέγονεν αὐτοῖς τὸ σκότος εἰς φῶς· τουτέστιν, οἱ ἀμαθεῖς γεγόνασι σοφοί· οἳ ποτε πλανώμενοι τὰς τῆς δικαιοσύνης ἐγνώκασιν ὁδούς. Φησὶ δέ που καὶ πρὸς αὐτὸν τὸν Υἱὸν ὁ Πατήρ· « Δέδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους, καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει. » Ἀφίκετο γὰρ ὁ Μονογενὴς εἰς τόνδε τὸν κόσμον, καὶ τοῖς ἐκ γένους, τουτέστι τοῖς ἐξ αἵματος Ἰσραὴλ· ἐξ αὐτῶν γὰρ πέφηνε τὸ κατὰ σάρκα· τὴν καινὴν δέδωκε διαθήκην, τὴν πάλαι προηγγελμένην διὰ φωνῆς προφητῶν· ἐνήστραψε δὲ καὶ τοῖς ἔθνεσι τὸ θεῖόν τε καὶ οὐράνιον φῶς· καὶ τοῖς ἐν ᾅδου πνεύμασι πορευθεὶς ἐκήρυξε, καὶ τοῖς καθειργμένοις ἐν οἴκῳ φυλακῆς ἐπεφάνη, καὶ πάντας ἀνῆκε δεσμῶν καὶ ἀνάγκης. Ταῦτα δὲ πῶς οὐκ ἂν ἔχοι σαφῆ τὴν ἀπόδειξιν τοῦ, ὅτι καὶ θεὸς καὶ ἐκ Θεοῦ κατὰ φύσιν ἐστὶν ὁ Χριστός;

Sicut verba *unxit me* humanitati conveniunt : ungitur enim non divina natura, sed id quod nobis cognatum est: ita etiam verba *misit me* humanæ conditioni reputanda sunt. — Et illos, qui olim diaboli tenebris obscuratum cor habebant, **158** splendidos fecit, sol veluti justitiæ oriens; eosque haud jam diutius noctis ac tenebrarum filios, sed lucis atque diei præstitit, juxta Pauli dictum [89]. Et qui cæci erant, quorum corda scilicet apostata ille excæcaverat, lumen viderunt, veritatemque agnoverunt ; atque, ut ait Isaias [90], tenebræ illis in lucem versæ sunt, id est rudes facti sunt sapientes; et qui illactenus erraverant, justitiæ vias cognoverunt. Dicit autem alicubi etiam Filio Pater : « Dedi te in fœdus generis, in lucem gentium, ut aperires oculos cæcorum, et educeres de vinculis alligatos, et de domo carceris sedentes in tenebris [91]. » Venit enim Unigenitus in hunc mundum, et iis qui de genere erant, id est de Israelis sanguine, ex quibus D carnaliter est ortus, novum fœdus tradidit, antiquitus jam prophetarum voce promissum. Illuxit quoque ethnicis divinum et cœleste lumen : quin etiam spiritibus in erebo conclusis profectus illuc prædicavit, et carcere detentis apparuit, cunctosque necessitatis vinculis expedivit. Quidni vero hæc manifeste demonstrant, et Deum et ex Deo naturaliter esse Christum?

Τί δέ τὸ ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει; Τὸ ἐλευθέρους ἐκπέμψαι, οὓς συνέθραυσε νοητῶς ῥαβδίζων ὁ Σατανᾶς. Τί δὲ τὸ κηρύξαι ἐνιαυτὸν Κυρίου

Quid est autem dimittere confractos in remissionem? Nempe liberos abire jubere, quos spiritaliter contriverat flagellans Satanas. Quid rursus est

[88] Gen. vi, 3. [89] I Thess. v, 5. [90] Isa. xlii, 16. [91] Ibid. vi, 7.

Digitized by Google

annum Domini acceptabilem prædicare ? Nempe suum nuntiare adventum, tempusque Domini, id est Filii, adesse. Vere enim acceptabile tempus illud fuit, quo pro nobis crucifixus est Christus : quippe tunc acceptabiles Deo Patri evasimus, ab illo oblati. Unde aiebat : « Cum exaltatus fuero de terra, omnes traham ad meipsum [93]. » Ecce autem post triduum revixit, calcata mortis potentia. Deinde discipulis coram aiebat : « Data est mihi omnis potestas, » et reliqua [94]. Acceptabilis itaque ille omnino annus quo in ejus familiaritatem sortito recepti fuimus, peccato per baptismum sanctum absterso, divinæque ejus **159** naturæ communicavimus per Spiritus sancti participationem. Vel acceptabilis annus dicendus, quo gloriam suam manifestavit miraculis humanam orationem excedentibus. Libenter sane excepimus salutis ab eo datæ tempus, quod etiam sapientissimus Paulus innuit dicens : « Ecce nunc tempus acceptabile, ecce nunc dies salutis [95]; » cum pauperes, qui cujuslibet boni inopia jamdiu laborabant, sine spe, sine Deo in mundo (erant autem hi ethnici), fide in eum divites facti sunt, divinumque et cœlestem lucrati sunt thesaurum, evangelicam videlicet salutarem doctrinam ; cujus gratia facti sunt regni cœlorum participes, sanctorum consortes, rerumque quæ mentem sermonemque excedunt hæredes. « Oculus enim non vidit, ait Scriptura, neque auris audivit, neque in cor hominis ascendit, quæ præparavit Deus iis qui diligunt illum [96]. » Vel fortasse etiam pauperibus spiritu donatam hic ait sermo evangelicus abundantem Christi charismatum subministrationem.

Confractos autem corde dicit debiles et instabilem mentem habentes, et qui cupiditatum impetum sustinere non valent, sed ita ab his arripiuntur, ut captivi videantur. His medelam remissionemque promittit. Quibus cum cæci sint, visum etiam confert. Reapse enim qui creaturam præ Creatore colunt, « et ligno aiunt, Pater meus es tu ; et lapidi, Tu me genuisti [97], » proindeque naturalem verumque Deum non agnoscunt, quidni cæci sint, divinoque et intellectuali lumine cassum cor habeant? His immittit Pater veræ Dei notitiæ lumen. Vocati enim per fidem fuerunt, et Deum cognoverunt, vel potius ab ipso sunt aguiti : et cum noctis ac tenebrarum filii essent, lucis filii evaserunt. Namque ipsis illuxit dies, sol justitiæ se extulit, splendidusque exortus est lucifer. Cæteroqui nihil est molestum, si etiam Israelitis cuncta dicta accommodentur. Quippe pauperes erant, et confracti corde, et quasi captivi atque obtenebrati. Non enim erat in terra qui bonum **160** faceret, nemo, ne unus quidem ; sed « omnes declinaverant, simul inutiles

A δεκτόν (1); Τὸ τὴν ἑαυτοῦ εὐαγγελίσασθαι παρουσίαν, τὸ τὸν καιρὸν ἐνστῆναι τοῦ Κυρίου, τουτέστι τοῦ Υἱοῦ· δεκτὸς γὰρ ἐνιαυτὸς, καθ' ὃν ἐσταυρώθη Χριστὸς ὑπὲρ ἡμῶν· δεκτοὶ γὰρ τότε γεγόναμεν τῷ Θεῷ καὶ Πατρὶ καρποφορηθέντες δι' αὐτοῦ. Διὸ ἔλεγεν· « Ὅταν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. » Καὶ γοῦν ἀνέβιω τριήμερος, πατήσας τοῦ θανάτου τὸ κράτος. Εἶτα τοῖς μαθηταῖς πρεσεφώνει· « Ἐδόθη μοι πᾶσα ἐξουσία, » καὶ τὰ ἑξῆς. Δεκτὸς οὖν ἐνιαυτὸς ἐκεῖνός που πάντως, καθ' ὃν εἰσεδέχθημεν τὴν πρὸς αὐτὸν λαχόντες οἰκείωσιν, ἀπονιψάμενοι τὴν ἁμαρτίαν, διὰ τοῦ ἁγίου βαπτίσματος· καὶ τῆς θείας αὐτοῦ φύσεως γενόμενοι κοινωνοὶ, διὰ μετοχῆς τοῦ ἁγίου Πνεύματος· ἤγουν δεκτὸς ἐνιαυτὸς, καθ' ὃν πεφανέρωκε τὴν δόξαν αὐ- B τοῦ, διὰ τὰς (Codd. τῆς, sed malui τὰς) ὑπὲρ λόγον θεοσημείας. Ἐδεξάμεθα γὰρ ἀσμένως τὸν τῆς παρ' αὐτοῦ σωτηρίας καιρὸν, ὃν δὴ καὶ ὁ πάνσοφος Παῦλος καταμεμήνυκεν λέγων· « Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας· » ὅτε οἱ πτωχοὶ, οἱ παντὸς ἀγαθοῦ νενοσηκότες τὴν ἔνδειάν ποτε, ἐλπίδα τε μὴ ἔχοντες, καὶ ἄθεοι ἐν τῷ κόσμῳ· οὗτοι δ' ἂν εἶεν οἱ ἐξ ἐθνῶν· τὴν εἰς αὐτὸν πίστιν ἐπλούτησαν, τὸν θεῖόν τε καὶ οὐράνιον κεκερδάκασι θησαυρὸν, τὸ εὐαγγελικὸν δηλονότι καὶ σωτήριον κήρυγμα, δι' οὗ γεγόνασι καὶ τῆς τῶν οὐρανῶν βασιλείας μέτοχοι, καὶ συμμερισταὶ τῶν ἁγίων, καὶ κληρονόμοι τῶν ὑπὲρ νοῦν καὶ λόγον. « Ὀφθαλμὸς γὰρ οὐκ εἶδε, φησὶ, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου C οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. » Ἦ τάχα που καὶ τοῖς πτωχοῖς τῷ πνεύματι, δεδωρῆσθαί φησιν ὁ λόγος ἐν τούτοις τῶν διὰ Χριστοῦ χαρισμάτων τὴν ἄφθονον χορηγίαν.

Συντετριμμένους δέ φησι τὴν καρδίαν, τοὺς ἀσθενεῖς καὶ εὐδιάθρυπτον ἔχοντας νοῦν, καὶ ταῖς τῶν παθῶν προσβολαῖς ἀντιφέρεσθαι μὴ δυναμένους, ὑπενηνεγμένους δὲ οὕτως αὐταῖς, ὡς αἰχμαλώτους εἶναι δοκεῖν. Τούτοις ἴασίν τε καὶ ἄφεσιν ἐπαγγέλλεται· τυφλοῖς δὲ οὖσιν αὐτοῖς δίδωσι καὶ ἀνάβλεψιν· οἱ γὰρ τῇ κτίσει παρὰ τὸν κτίσαντα λατρεύοντες, « καὶ τῷ ξύλῳ λέγοντες, Πατήρ μου εἶ σύ· καὶ τῷ λίθῳ, Σὺ ἐγέννησάς με, » εἶτα τὸν φύσει καὶ ἀληθῶς ὄντα Θεὸν οὐκ ἐπεγνωκότες, πῶς οὐκ ἂν εἶεν τυφλοὶ, καὶ φωτὸς τοῦ θείου καὶ νοητοῦ γυμνὴν ἔχοντες τὴν καρ- D δίαν ; Τούτοις ἐνίησιν ὁ Πατὴρ τῆς ἀληθοῦς θεογνωσίας τὸ φῶς. (H f. 237) Κέκληνται γὰρ διὰ πίστεως, καὶ ἔγνωσαν αὐτὸν, μᾶλλον δὲ ἐγνώσθησαν ὑπ' αὐτοῦ· καὶ υἱοὶ νυκτὸς ὄντες καὶ σκότους, φωτὸς γεγόνασι τέκνα· διηύγασε γὰρ αὐτῶν ἡ ἡμέρα, καὶ ὁ τῆς δικαιοσύνης ἀνίσχεν ἥλιος, καὶ λαμπρὸς ἀνέτειλεν ἑωσφόρος. Λυπεῖ δὲ οὐδὲν καὶ τῶν ἐξ αἵματος Ἰσραὴλ ἐφαρμόσαι πάντα τὰ εἰρημένα· καὶ γὰρ ἦσαν πτωχοὶ καὶ συντετριμμένοι τὴν καρδίαν, καὶ οἷον αἰχμάλωτοι καὶ ἐσκοτισμένοι· οὐ γὰρ ἦν ἐπὶ

[93] Joan. XII, 32. [94] Matth. XXVIII, 18. [95] II Cor. VI, 2. [96] I Cor. II, 9. [97] Jerem. II, 27.

(1) Cyrillum fecisse insignem explanationem hujus loci, id est anni acceptabilis, testis est priscus anonymus quem nos postea recitabimus cap. VI, 13.

Digitized by Google

γῆς ὁ ποιῶν χρηστότητα, οὐκ ἦν ἕως ἑνός. Ἀλλὰ A
« πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν · » ἀφίκται δὲ ὁ
Χριστὸς, καὶ πρό γε τῶν ἄλλων εὐαγγελιζόμενος τοῖς
ἐξ Ἰσραὴλ τῆς ἑαυτοῦ παρουσίας τὰ κατορθώματα
(τοιαῦτα δὲ ἦν καὶ τὰ τῶν ἐθνῶν ἀῤῥωστήματα), λε-
λύτρωνται δὲ δι' αὐτοῦ · πεπλουτήκασι γὰρ τὴν παρ'
αὐτοῦ σοφίαν, καὶ συνετοὶ γεγόνασι, καὶ ἀσθενῆ καὶ
συντεθραυσμένην οὐκέτι τὴν διάνοιαν ἀνέχουσιν, ὑγιᾶ
δὲ καὶ ἐῤῥωμένην, καὶ ἐπιτηδείως ἔχουσαν πρὸς
παραδοχὴν καὶ κατόρθωσιν παντὸς ἀγαθοῦ καὶ σωτη-
ρίου πράγματος. Ἔδει γὰρ σοφίας καὶ συνέσεως τοῖς
πεπλανημένοις, οἳ διὰ πολλὴν ἀβελτηρίαν προσεκύνη-
σαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, καὶ ξύλα καὶ
λίθους ἐπεγράφοντο θεούς. Ἀλλ' οἱ πάλαι Χριστὸν
οὐκ εἰδότες, διὰ τὸ ἐν ἀχλύῖ καὶ σκότῳ τελεῖν, Θεὸν
αὐτὸν ἐπεγράψαντο.

Τούτων ὑπαναγνωσθέντων τοῖς συνειλεγμένοις, ὁ
μὲν πάντων τοὺς ὀφθαλμοὺς πρὸς ἑαυτὸν ἐπέστρεψε,
θαυμαζόντων τάχα πῶς οἶδε γράμματα, μὴ μεμα-
θηκώς. Ἐπειδὴ δὲ ἔθος ἦν τοῖς ἐξ Ἰσραὴλ, τὰς περὶ
αὐτοῦ προφητείας ἐκπεπεράνθαι λέγειν, ἢ ἐπί τισι
τῶν παρ' αὐτοῖς ἐνδόξως βεβασιλευκότων, ἢ γοῦν
ἐπὶ προφήταις ἁγίοις · (B f. 51) συνιέντες γὰρ οὐδὲν
τῶν περὶ αὐτοῦ γεγραμμένων ὀρθῶς, ἑτέραν ᾖχοντο
τρίβον, ἔξω πίπτοντες σκοποῦ · ἵνα δὲ μὴ πάλιν λέ-
γωσί τι τοιοῦτον περὶ τῆς εἰρημένης προφητείας,
ἀναγκαίως προασφαλίζεται, καί φησιν, ὅτι « Σήμερον
αὕτη ἡ γραφὴ πεπλήρωται ἐν τοῖς ὠσὶν ὑμῶν, »
ἑαυτὸν ἐναργῶς παριστὰς ἐν τούτοις τὸν διὰ τῆς προ-
φητείας προηγορευμένον. — (A f. 78, H f. 237 b)
Αὐτὸς γὰρ εὐηγγελίσατο τὴν τῶν οὐρανῶν βασιλείαν
τοῖς ἀπὸ τῶν ἐθνῶν · αὐτοὶ γὰρ ἦσαν πτωχοὶ, μηδὲν
ἔχοντες, μὴ Θεὸν, μὴ νόμον, μὴ προφήτας · ἢ καὶ
ἅπασιν ἁπλῶς τὸν πλοῦτον οὐκ ἔχουσι πνευματικόν.
Αὐτὸς αἰχμαλώτους ὄντας ἐῤῥύσατο, τὸν ἀποστάτην
τύραννον καθελὼν, τουτέστι τὸν Σατανᾶν. Αὐτὸς τὸ
θεῖον καὶ νοητὸν φῶς ἐνήστραψε τοῖς ἐσκοτισμένην
ἔχουσι τὴν καρδίαν. Ἔφη γοῦν · « Ἐγὼ φῶς εἰς τὸν
κόσμον τοῦτον ἐλήλυθα... » Αὐτὸς ἀπέλυσε τῶν τῆς
ἁμαρτίας δεσμῶν, δηλονότι τοὺς συντεθραυσμένην
ἔχοντας τὴν καρδίαν · (B f. 51) ἀλλὰ τὴν μέλλουσαν
αὐτὸς ὑπέδειξε ζωὴν, καὶ τὴν δικαίαν ἠπείλησε κρίσιν.
Αὐτὸς ἐκήρυξεν ἐνιαυτὸν Κυρίου δεκτὸν, καθ' ὃν τὸ
κήρυγμα τοῦ Σωτῆρος ἐγένετο · ἐνιαυτὸν γὰρ δεκτὸν,
τὴν προτέραν αὐτοῦ οἶμαι λέγεσθαι παρουσίαν ·
ἡμέραν δὲ ἀνταποδόσεως, τὴν τῆς κρίσεως ἡμέραν.

Καὶ πάντες ἐμαρτύρουν αὐτῷ, καὶ ἐθαύμαζον, κ. τ. λ.

(A f. 78, H f. 237 b, C f. 113 b) Μὴ γὰρ
συνιέντες τὸν κεχρισμένον καὶ ἀπεσταλμένον,
καὶ τῶν οὕτω τεθαυμασμένων πραγμάτων ἀποτε-
λεστὴν, εἰς τὰ συνήθη κατεκομίζοντο, καὶ ψυχρο-
λογοῦσιν ἀβούλως · καίτοι γὰρ τεθαυμακότες ἐπὶ
τοῖς λόγοις τῆς χάριτος τοῖς ἐκπορευομένοις ἐκ
τοῦ στόματος αὐτοῦ, κατευτελίζειν ἤθελον · ἔφασκον
γάρ · « Οὐχ υἱός ἐστιν Ἰωσὴφ οὗτος; » Καὶ τί τοῦτο
παραλύει τοῦ θαυματουργοῦ τὴν δόξαν; Τί τὸ κωλύον

facti fuerant [97]. » Porro venit Christus, Israelitis ante omnes adventus sui faustitatem nuntians (et quidem pares erant ethnicorum quoque infirmitates), redemptique ab illo sunt : nam sapientiam acquisiverunt : et bono intellectu pollentes, jam diutius infirmam et confractam mentem non gerunt, sed sanam atque valentem, recteque comparatam ad cujusvis boni salutarisque operis prosecutionem. Namque opus erat sapientia et intellectu his qui errabant, qui ob suam multam vecordiam adorabant creaturam præ Creatore, et ligna ac lapides deos vocabant. Sed demum qui Christum olim ignorabant, quia in caligine ac tenebris versabantur, postea Deum ipsum appellarunt.

B

Hæc cum lecta in concione fuissent, ipse quidem Jesus omnium oculos ad se convertit, mirantium fortasse quomodo litteras sciret qui eas non didicerat. Quia vero solebant dicere Israelitæ, vaticinia de Christo edita, vel in aliquibus qui apud se gloriose regnaverant fuisse completa, vel certe in sanctis prophetis (nam nihil de eo scriptum recte intelligentes, alia via incedebant, et scopo aberrabant); ne quid rursus hujusmodi dicerent circa modo memoratam prophetiam, necessario præmunit, aitque : « Hodie hæc prophetia in auribus vestris completa est; » se ipsum diserte affirmans his in verbis a prophetia designatum. — Namque ipse cœlorum regnum ethnicis annuntiabat, qui sane inopes erant, nihil possidentes, neque Deum, neque legem, neque prophetas : vel generatim cunctis, quibus spiritales divitiæ deerant. Ipse captivos liberavit, apostatam tyrannum destruens, id est Satanam. Ipse divinum intellectuale lumen aspersit obtenebratum cor gerentibus. Quare aiebat : « Ego lux in hunc mundum veni [98]. » Ipse absolvit peccati vinculis, illos nimirum qui contritum cor habebant. Sed et futuram vitam ipse ostendit, **161** et justum interminatus est judicium. Ipse annum Domini acceptabilem prædicavit, quo Christi prædicatio contigit. Namque acceptabilem annum, ipsius dici puto priorem adventum; diem vero retributionis, judicii diem.

C

D

V. 22. *Et omnes testimonium illi dabant, et mirabantur*, etc.

Etenim non intelligentes eum esse illum unctum et missum, et tam mirabilium operum auctorem, ad suum ingenium redibant, inconsulteque inepta verba effutiebant. Et cum gratiosos admirati essent sermones qui de ore illius procedebant, attamen eos depretiare studebant, dum dicerent : « Nonne hic filius Josephi est? » Atqui id cur thaumaturgi gloriam abroget? Quid impedit quominus venerabilis admirabilisque sit, etiamsi Josephi, ut putabatur,

[97] Psal. xiii, 1. [98] Joan. xii, 46.

Digitized by Google

filius esset? Nonne viles miracula, Satanam prostratum, victos dæmoniorum greges, variis morbis multos mortales liberatos? Laudas gratiam magisterio ejus insitam, deinde cavillaris Judaice quod Josephi filius exsistat? O magnam insipientiam! Vere de ipsis dicitur: « Ecce populus stultus et vecors; habent oculos, et non vident; aures, et non audiunt [99]. »

A αὐτὸν εἶναι σεπτόν τε καὶ ἀξιάγαστον, εἰ καὶ υἱὸς ἦν, ὡς ἐνομίζετο, τοῦ Ἰωσήφ; Οὐχ ὁρᾷς τὰς θεοσημείας, πεσόντα τὸν Σατανᾶν, νενικημένας τὰς τῶν δαιμονίων ἀγέλας, διαφόρων νοσημάτων ἐλευθέρους γεγονότας πολλούς; Ἐπαινεῖς τὴν χάριν τὴν ἐνοῦσαν αὐτοῦ ταῖς διδασκαλίαις, εἶτα σμικρολογεῖς Ἰουδαϊκῶς ὅτι πατέρα τὸν Ἰωσὴφ ἐπεγράφετο; Ὦ πολλῆς ἀβουλίας! Ἀληθὲς ἐπ' αὐτοῖς εἰπεῖν· « Ἰδοὺ λαὸς μωρὸς καὶ ἀκάρδιος· ὀφθαλμοὶ αὐτοῖς, καὶ οὐ βλέπουσιν· ὦτα αὐτοῖς, καὶ οὐκ ἀκούουσιν. »

V. 23. *Utique dicetis mihi hanc similitudinem*, etc.

Vulgaris sermo apud Judæos erat, leporis causa inventus. Nam infirmis medicis inclamabant quidam: « Medice, cura teipsum. » Ergo hoc veluti proverbium illis referens aiebat Christus: Multa vultis a me fieri signa, apud vos præsertim, quia vobiscum sum educatus. Sed novi communem omnibusque contingere solitam animi passionem: semper enim despiciuntur vel res optimæ, si apud quosdam raræ non sint, sed ultroneæ. Sic etiam hominibus accidit: nam qui familiaris semperque ob oculos est, ei debitus quoque honor negatur ab ipsius notis. — Ergo illos coarguit insipienter dicentes: « Nonne hic Josephi filius est? » Nihilominus scopum doctrinæ suæ prosequitur, aitque: « Amen **162** dico vobis, nemo propheta in patria sua acceptus est. »

Πάντως ἐρεῖτέ μοι τὴν παραβολὴν ταύτην, κ. τ. λ.

(A f. 78, B f. 51 b, C f. 113 b, H f. 238) Κοινὸς λόγος παρὰ Ἰουδαίων ἦν, ἀστεϊσμοῦ χάριν ἐξευρημένος· τοῖς γὰρ ἀῤῥωστοῦσι τῶν ἰατρῶν ἐπιφώνουν B τινές· « Ἰατρὲ, θεράπευσον σεαυτόν. » Ὡσανεὶ οὖν τοῦτο προτείνας αὐτοῖς τὸ ῥητὸν ὁ Χριστὸς ἔλεγεν, ὅτι Πολλὰ βούλεσθε παρ' ἐμοῦ γενέσθαι σημεῖα, παρ' ὑμῖν μάλιστα παρ' οἷς καὶ ἐτράφην· ἀλλ' οἶδα τὸ κοινὸν δήπου καὶ ἅπασι συμβαῖνον πάθος· καταφρονεῖται γάρ πως ἀεὶ καὶ τὰ ἐξαίρετα τῶν πραγμάτων, ὅταν μὴ σπανίζῃ παρά τισιν, ἀλλ' ἔχωσιν ἐπ' ἀδείας αὐτά. Οὕτω καὶ ἐπ' ἀνθρώπων· ὁ γὰρ συνήθης καὶ παρὼν ἀεὶ, καὶ τῆς ὀφειλομένης αὐτῷ τιμῆς ἀποστερεῖται πολλάκις παρὰ τῶν εἰδότων αὐτόν. — Ἤλεγξε μὲν οὖν αὐτοὺς ἀσυνέτως τὰ τοιάδε λέγοντας· « Οὐχ ὁ υἱός ἐστι τοῦ Ἰωσὴφ οὗτος; » πλὴν ἔχεται τοῦ σκοποῦ τῆς μυσταγωγίας, καί φησιν· « Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι οὐδεὶς προφήτης δεκτός ἐστιν ἐν τῇ πατρίδι αὐτοῦ. »

V. 25. *Multæ viduæ erant in diebus Eliæ*, etc.

Quandoquidem, ut jam dixi, prophetias de ipso editas, affirmabant nonnulli Judæi exitum habuisse vel in sanctis prophetis, vel in aliquibus apud ipsos insignibus viris, commode illos ab hujusmodi suspicione depellit dicens, ad unam missum fuisse viduam Eliam [1], unumque sanatum leprosum a propheta Elissæo Neemanum Syrum [2]; his verbis innuens gentium Ecclesiam, quæ ipsum receptura erat, et lepræ morbo mundanda foret, dum interim Israeli sensus obstupesceret.

C *Πολλαὶ χῆραι ἦσαν ἐν ταῖς ἡμέραις Ἠλίου*, κ. τ. λ.

(A f. 78 b, C f. 113 b, H f. 239) Ἐπειδὴ γὰρ, ὡς ἔφην, τὰς περὶ αὐτοῦ προφητείας εἰς τέλος ἦχθαι διεβεβαιοῦντό τινες τῶν Ἰουδαίων, ἢ ἐπὶ προφήταις ἁγίοις, ἢ ἐπί τισι τῶν ἐνδόξων παρ' αὐτοῖς γεγονότων, ἀποφέρει χρησίμως αὐτοὺς τῆς τοιαύτης ὑπονοίας, πρὸς μίαν χήραν ἀπεστάλθαι Ἠλίαν εἰπών, ἕνα δὲ θεραπεῦσαι λεπρὸν τὸν προφήτην Ἐλισσαῖον, Νεεμὰν τὸν Σύρον· διὰ τούτων τὴν ἐξ ἐθνῶν σημαίνων Ἐκκλησίαν, τὴν μέλλουσαν αὐτὸν ὑποδέχεσθαι, καὶ τῆς λέπρας ἐλευθεροῦσθαι, διὰ τὴν ἀναισθησίαν τοῦ Ἰσραήλ.

V. 28-30. *Et repleti sunt omnes in synagoga ira*, etc.

Quia pravam illorum sententiam notaverat, idcirco ira exarserunt; et quia dixerat: « Hodie scriptura hæc impleta est » quæ dicit, « Spiritus Domini super me, » et reliqua. Existimarunt enim illum se æquare prophetis, oppidoque expulerunt. Sed enim sibi potius pœnam decreverunt, et Servatoris dictum confirmarunt: etenim ipsi superna civitate exciderunt, quia Christum non admiserunt. Ne autem impios verborum tantum argumentis convinceret, usque ad actum sivit illorum audaciam prorumpere, quorum cæcus erat impetus, et intractabilis invidia. Itaque ad supercilium montis perductum, præcipitem inde dare volebant. « Ipse autem trans-

Καὶ ἐπλήσθησαν πάντες θυμοῦ ἐν τῇ συναγωγῇ, κ. τ. λ.

(A f. 80, H f. 245 b) Ἐπειδὴ τὴν πονηρὰν αὐτῶν γνώμην ἔστιξε, διὰ τοῦτο πρὸς ὀργὰς ἀνεκαίοντο· καὶ διὰ τὸ εἰπεῖν· « Σήμερον ἡ γραφὴ αὕτη πεπλήρωται, » ἡ λέγουσα, « Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, » καὶ τὰ ἑξῆς. Ἐνόμισαν γὰρ αὐτὸν ἐξισοῦν ἑαυτὸν τοῖς προφήταις, καὶ τῆς πόλεως αὐτὸν ἐκβάλλουσι· καθ' ἑαυτῶν μᾶλλον τὴν δίκην ὁρίζοντες, καὶ βεβαιοῦντες τὸ ὑπὸ τοῦ Σωτῆρος εἰρημένον· ἐκπεπτώκασι γὰρ αὐτοὶ τῆς ἄνω πόλεως, τὸν Χριστὸν μὴ προσδεξάμενοι. Ἵνα δὲ μὴ μόνον ἐλέγξῃ δυσπειθήσαντας μέχρις ἐπιχειρημάτων, συγχεχώρηκε προελθεῖν τὰ καθ' ἑαυτοῦ τολμήματα· τῶν μὲν γὰρ ἄκρατος ἦν ἡ ὁρμὴ, καὶ ὁ φθόνος ἀτίθασσος· μέχρι γοῦν

[99] Jerem. v, 21. [1] III Reg. xvii, 9 seqq. [2] IV Reg. v, 1 seqq.

Digitized by Google

θφρύος τοῦ ὄρους ἀποκομίζοντες, κρημνῶν ἐνιέναι ἐπεχείρουν. « Ὁ δὲ διεξῆει διὰ μέσου αὐτῶν, » οὐδ' ὅσον εἰπεῖν λόγον τινὰ θέμενος τῆς ἐπιβουλῆς αὐτῶν· οὐ τὸ παθεῖν φεύγων, διὰ τοῦτο γὰρ καὶ ἐλήλυθεν, ἀλλὰ καιρὸν ἀναμένων ἐπιτήδειον· ἀρχὴ γὰρ νῦν τοῦ κηρύγματος, καὶ ἄκαιρον ἦν τὸ παθεῖν, πρὶν ἢ κηρύξαι τὸν λόγον τῆς ἀληθείας. Ἦν γὰρ ἐπ' αὐτῷ τὸ παθεῖν καὶ τὸ μὴ παθεῖν, καὶ Κύριος ἦν τῶν καιρῶν καὶ τῶν πραγμάτων· τοῦτο τεκμήριον τοῦ, καὶ ὅτε ἔπαθεν, ἑκόντα πεπονθέναι, καὶ ὡς οὐκ ἂν ἔπαθεν, εἰ μὴ ἑαυτὸν ἐπέδωκεν.

Καὶ κατῆλθεν εἰς Καπερναοὺμ, πόλιν τῆς Γαλιλαίας.

(A f. 80 b, C f. 114, H f. 246) Οὓς οὐ μεθίστησι λόγος πρὸς τὸ εἰδέναι σαφῶς τίς ὁ φύσει καὶ ἀληθῶς ἐστι Θεὸς καὶ Κύριος, τούτους σαγηνεύει πρὸς τὸ εὐήνιον ἡ τῶν σημείων ἐπίδειξις. Χρησίμως οὖν καὶ ἀναγκαίως προσεπάγει πολλάκις ταῖς μυσταγωγίαις τὰς μεγαλουργίας· ἄπιστοι μὲν γὰρ οἱ τῆς Ἰουδαίας οἰκήτορες, καὶ τοὺς τῶν καλούντων εἰς σωτηρίαν ἀτιμάζοντες λόγους, μάλιστα δὲ πάντων οἱ ἀπὸ τῆς Καπερναούμ· ἠτιᾶτο γοῦν αὐτὴν ὁ Κύριος λέγων· « Καὶ σὺ, Καπερναοὺμ, ἡ ἕως οὐρανοῦ ὑψωθεῖσα, ἕως ᾅδου καταβιβασθήσῃ. » Ἀλλὰ καίτοι γινώσκων, ὡς ἀπειθεῖς τε καὶ σκληροκάρδιοι, προσέβαλε μὲν αὐτοῖς ὥσπερ ἰατρὸς ἄριστος τοῖς εἰς ἐσχάτην πεσοῦσι νόσον, πειρᾶται δὲ ἀπαλλάττειν τοῦ κακοῦ· φησὶ γὰρ αὐτὸς, ὅτι « Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. » Ἐδίδασκε τοίνυν ἐν συναγωγαῖς ἐν πολλῇ παῤῥησίᾳ· τοῦτο γὰρ καὶ διὰ φωνῆς Ἡσαΐου προηγόρευσεν λέγων· « Οὐκ ἐν κρυφῇ λελάληκα, οὐδ' ἐν τόπῳ γῆς σκοτεινῷ. » Ἀλλὰ καὶ τοῖς ἁγίοις ἀποστόλοις ἐν παῤῥησίᾳ πολλῇ τοὺς περὶ αὐτοῦ ποιεῖσθαι λόγους προσέταττε, λέγων· « Ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ, εἴπατε ἐν τῷ φωτὶ, καὶ ὃ εἰς τὸ οὖς ἀκούετε, κηρύξατε ἐπὶ τῶν δωμάτων. » Καὶ ἐν Σαββάτῳ ὅτε ἤργουν, διελέγετο αὐτοῖς. Τεθαυμάκασι τοίνυν τῆς μυσταγωγίας τὴν δύναμιν, καὶ τὸ τῆς ἐξουσίας μέγεθος· ἦν γὰρ ἐν ἐξουσίᾳ, φησὶν, ὁ λόγος, οὐ κολακευτικὸς, ἀλλὰ προτρεπτικὸς εἰς σωτηρίαν. Ἰουδαῖοι μὲν γὰρ οὐδὲν ἕτερον ἐνόμιζον εἶναι Χριστὸν, πλὴν ὅτι καθ' ἕνα τῶν ἁγίων, καὶ ἐν τάξει προφήτου παρελθεῖν εἰς μέσον. Ἵνα δὲ μείζονα τὴν περὶ αὐτοῦ δόξαν τε καὶ ὑπόνοιαν ἔχωσι, τὸ προφητικὸν ἐκβαίνει μέτρον· οὐ γὰρ εἴρηκέ ποτε· Τάδε λέγει Κύριος, καθάπερ ἀμέλει ὑπὲρ νόμον ἐλάλει.

Ἔλεγε γοῦν ὁ Θεὸς διὰ Ἡσαΐου· « Καὶ διαθήσομαι ὑμῖν διαθήκην αἰώνιον, τὰ ὅσια Δαβὶδ τὰ πιστά. Ἰδοὺ μαρτύριον ἐν ἔθνεσι δέδωκα αὐτὸν, ἄρχοντα καὶ προστάσσοντα ἔθνεσιν. » Ἔδει γὰρ οἰκέτην μὲν ὄντα Μωϋσέα, τῆς μὴ μενούσης σκιᾶς γενέσθαι διάκονον· ἐξαγγελέα δὲ τῆς διηνεκοῦς καὶ μενούσης λατρείας τὸν αἰώνιον, φημὶ δὴ τὸν Χριστόν. Τίς δὲ ἡ αἰώνιος διαθήκη; Τὰ ἱερὰ θεσπίσματα τοῦ ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα Χριστοῦ· τὰ ὁσιουργὰ καὶ πιστοποιά· καθάπερ καὶ ὁ τοῦ Θεοῦ φόβος, ἁγνὸς ὡς

A iens per medium illorum ibat, » nihil prorsus de illorum conspiratione sollicitus: non quia pati vitaret, ejus enim rei causa in mundum venerat, sed quia tempus exspectabat idoneum. Nunc enim initium prædicandi faciebat, et importunum pati erat, antequam veritatis doctrinam nuntiaret. Poterat autem pati vel non pati, temporumque ac gerendarum rerum Dominus erat. Id autem indicat, tunc quoque cum passus est, sponte passum; neque eum fuisse passurum, nisi semetipse tradidisset.

V. 31. *Et descendit in Capharnaum civitatem Galilææ.*

Quos verba non convertunt ad perspicue **163** cognoscendum quis naturaliter vereque Deus sit B ac Dominus, hos dociles efficit signorum ostensio. Utiliter ergo, imo necessarie, magisterio doctrinæ sæpe addit miracula. Nam Judææ incolæ increduli erant, et vocantium ad salutem contemnebant sermones, Capharnaumi potissimum oppidani. Igitur illam incusabat Servator dicens: « Et tu, Capharnaum, usque ad cœlum exaltata, usque ad infernum detraheris [a]. » Sed quamvis sciret eos esse contumaces et duro corde, adest illis ceu optimus medicus extremo morbo languentibus, nititurque casu adverso liberare. Namque ipsemet ait non egere medico sanos, sed male habentes. Ergo admodum confidenter in synagogis docebat. Etenim jamdiu ore Isaiæ dixerat: « Non clam locutus sum, neque in tenebroso terræ loco [b]. » Præterea sanctis etiam apostolis ut magna fiducia de Christo verba facerent mandavit dicens: « Quod dico vobis in tenebris, dicite in lumine; et quod in aure auditis, prædicate super tecta [c]. » Et Sabbato cum otiarentur, apud eos concionabatur. Mirabantur itaque magisterii vim, et magnitudinem potestatis. Erat enim tanquam potestatem habentis sermo, neque blandus, sed impulsor ad salutem. Judæi porro nihil aliud esse credebant Christum, quam de sanctis unum, et unum ex ordine prophetarum in medium processisse. Ut autem majorem de ipso opinionem existimationemque haberent, propheticam excedit mensuram. Non enim ait unquam: Hæc dicit Dominus, sicuti nimirum illorum mos erat, sed tanquam legis Dominus, quæ supra le- D gem erant, loquebatur.

Dicebat ergo Deus per Isaiam: « Disponam vobiscum fœdus sempiternum, sancta David fidelia. Ecce testem in gentibus dedi illum, principem et imperantem populis [d]. » Et Moysen quidem utpote famulum oportebat umbræ haud duraturæ esse ministrum; præconem vero perpetui stabilisque cultus esse æternum, Christum, **164** inquam. Quodnam autem est fœdus æternum? Sacræ scilicet sanctiones illius, qui de semine Davidis secundum carnem est, Christi; quæ sanctificant et fideles ef-

[a] Luc. x, 15. [b] Isa. xlv, 19. [c] Matth. x, 27. [d] Isa. lv, 3; Act. xiii, 34.

Digitized by Google

ficiunt ; sicuti timor quoque Domini dicitur sanctus, id est sanctum efficiens ; et sicut evangelicum verbum dicitur vita, id est vivificans. « Nam verba, inquit, quæ ego locutus sum vobis, spiritus ac vita sunt [7], » id est spiritalia et vivifica. Attamen videsis accuratam prophetiæ rationem. Cum Isaias tanquam ex persona Dei Patris de Christo dixisset : « Ecce testem in gentibus dedi ipsum, » testificantem veluti hæc esse acceptabilia ; ne quis unum de sanctis prophetis ipsum arbitraretur, imo ut unusquisque sciret, eum dominationis gloria pollere : nam Deus cum esset nobis apparuit : non tantummodo testem eum datum dicit, sed etiam principem et gentibus imperantem. Secus vero beati prophetæ, et adhuc ante ipsos Moyses, servili modulo cohibiti « Hæc dicit Dominus » constanter audientibus inclamabant, non imperantium ritu, sed ceu divinis subservientes vocibus. Dominus vero noster Jesus Christus Deo dignissimos faciebat sermones. Mirabantur ergo illum ipsi Judæi, quia potestativam vim sermo ejus præ se ferebat, quodque ipsos doceret tanquam potestatem habens, non ut ipsorum Scribæ. Non enim ejus oratio legis umbram sequebatur, sed ipse legislator exsistens, litteram in veritatem, figurasque in spiritalem sensum convertebat. Quippe erat princeps, talemque habebat imperandi potestatem.

V. 35. *Et increpavit illum Jesus*, etc.

Potestate Deo digna impuros increpabat spiritus. Ne ergo discredamus, juncta verbis edebat miracula. — Vidimus in deserto victum a Christo flagitiosum Satanam, tribus elisum casibus. Vidimus denuo ejusdem quassatam vim, succumbentemque adversariam nobis potentiam. Vidimus a nobis ipsis, in Christo tanquam primitiis, malos spiritus objurgatos. Nam quod id **165** quoque ad humanæ naturæ decus pertineat, ex ipsis cognosces Servatoris verbis. Mentiebantur quidem adversus ejus gloriam Judæi, aiebantque : « Hic dæmonia non ejicit, nisi in Beelzebul principe dæmoniorum [8]. » Tum ipse adversus illos plurima ac necessaria præfatus, ad extremum ait : « Quod si ego in Spiritu Dei ejicio dæmonia, utique pervenit in vos regnum Dei [9]. » Nam si homo æque ac vos factus, inquit, potestate ac dominatione Deo congrua impuros increpo spiritus, vestra jam natura hac eadem gloria insignita est. Siquidem vos videmini per me et in me Dei regnum adepti.

ὑμετέρα φύσις ἐστὶ τῇ τοιᾷδε δόξῃ στεφανουμένη · Θεοῦ βασιλείαν καταπλουτήσαντες.

Pellebantur itaque mali dæmones, et invictam ipsius virtutem experti, neque conflictum cum deitate ferentes, tyrannice astuteque clamabant : « Sine; quid nobis tecum est ? » nempe cur non sinis nostrum nos locum tenere, dum irreligiositatis destruis errorem ? Deinde euphemismo uti simulant, et sanctum Dei ipsum appellant. Existimarunt enim

[7] Joan. VI, 64. [8] Matth. XII, 24. [9] ibid. 28.

ἁγνοποιός · καὶ τὸ εὐαγγελικὸν ῥῆμα, ζωὴ, ὡς ζωοποιόν. « Τὰ ῥήματα γὰρ, φησὶ, ἃ ἐγὼ ἐλάλησα ὑμῖν, πνεῦμά ἐστι καὶ ζωὴ, » τουτέστι πνευματικὰ καὶ ζωοποιά. Πλὴν ἄθρει τῆς προφητείας τὸ ἀκριβές · εἰπὼν Ἡσαΐας ὡς ἐκ προσώπου τοῦ Θεοῦ καὶ Πατρὸς περὶ τοῦ Χριστοῦ, ὅτι « Ἰδοὺ μαρτύριον τοῖς ἔθνεσι δέδωκα αὐτὸν, » διαμαρτυρούμενον ὥσπερ ὡς δεκτὰ καὶ ταῦτα γεγόνασι, ἵνα μή τις ἕνα τῶν ἁγίων προφητῶν ὑπάρχειν αὐτὸν ὑποτοπήσειεν, εἰδείη δὲ μᾶλλον πᾶς ὁστισοῦν, ὡς τῇ τῆς κυριότητος διαπρέπει δόξῃ · Θεὸς γὰρ ὢν ἐπέφανεν ἡμῖν · οὐ μόνον αὐτὸν μαρτύριον δεδόσθαι φησὶν, ἀλλὰ γὰρ καὶ ἄρχοντα καὶ προστάσσοντα ἔθνεσιν. Οἱ μὲν μακάριοι προφῆται, καὶ πρὸ αὐτῶν ἔτι Μωϋσῆς, μέτρον ἔχοντες τὸ οἰκετικὸν, τὸ « Τάδε λέγει Κύριος » ἐπεφώνουν ἀεὶ τοῖς ἀκροωμένοις, οὐχ ὡς προστάσσοντες μᾶλλον, ἀλλ' ὡς θείαις διακονοῦντες φωναῖς. Ὁ δέ γε Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς θεοπρεπεστάτους ἐποιεῖτο λόγους · ἐθαυμάζετο γοῦν καὶ παρ' αὐτοῖς τοῖς Ἰουδαίοις, ὡς ἐν ἐξουσίᾳ ἦν ὁ λόγος αὐτοῦ, καὶ ὡς ἐδίδασκεν αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ Γραμματεῖς αὐτῶν · οὐ γὰρ ἦν ὁ λόγος αὐτῷ τῆς τοῦ νόμου σκιᾶς, ἀλλ' ὡς αὐτὸς ὢν ὁ νομοθέτης, μετετίθη τὸ γράμμα πρὸς ἀλήθειαν, καὶ τοὺς τύπους εἰς ἐμφάνειαν τὴν πνευματικήν · ἄρχων γὰρ ἦν, καὶ τοῦ προστάττειν ταύτην ἔχων τὴν ἐξουσίαν.

Καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, κ. τ. λ.

(A f. 80 b, H f. 247) Καὶ μετ' ἐξουσίας τῆς θεοπρεποῦς τοῖς ἀκαθάρτοις ἐπετίμα πνεύμασιν. Ἵνα γοῦν μὴ ἀπιστῶμεν, γείτονα τοῖς λόγοις ἐποιεῖτο τὴν θεοσημείαν. — Εἴδομεν ἐν τῇ ἐρήμῳ νενικημένον παρ' αὐτοῦ τὸν ἀλιτήριον Σατανᾶν, καὶ τρισὶ καταῤῥαγέντα πτώμασιν · εἴδομεν αὐτοῦ πάλιν κατασειομένην τὴν δύναμιν, καὶ πίπτουσαν τὴν καθ' ἡμῶν ἐξουσίαν · εἴδομεν ἑαυτοὺς ὡς ἐν ἀπαρχῇ τῷ Χριστῷ τοῖς πονηροῖς ἐπιπλήττοντας πνεύμασιν. Ὡς γὰρ καὶ τοῦτο πρὸς καύχημα βλέπει τῆς ἀνθρωπείας φύσεως, ἐξ αὐτῶν μαθήσῃ τῶν τοῦ Σωτῆρος ῥημάτων · κατεψεύδοντο μὲν γὰρ Ἰουδαῖοι τῆς δόξης αὐτοῦ, καὶ δὴ καὶ ἔφασκον · « Οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων. » Εἶτα πρὸς αὐτοὺς πλεῖστά τε ὅσα καὶ ἀναγκαῖα προειρηκὼς, ὕστερον ἔφη · « Εἰ δὲ ἐγὼ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ. » Εἰ γὰρ ἄνθρωπος γεγονὼς καθ' ὑμᾶς, φησὶ, ἐν ἐξουσίᾳ καὶ βασιλείᾳ τῇ θεοπρεπεῖ τοῖς ἀκαθάρτοις ἐπιπλήττω πνεύμασιν, ἡ ὑμεῖς γὰρ ὁρᾶσθε δι' ἐμοῦ τε καὶ ἐν ἐμοὶ τὴν τοῦ

(B f. 53) Ἠλαύνοντο τοίνυν τὰ πονηρὰ δαιμόνια, καὶ δὴ καὶ πρὸς αἴσθησιν ἐνηνεγμένα τῆς ἀνικήτου δυνάμεως αὐτοῦ, καὶ μὴ φέροντες τὰς προσβολὰς τῆς θεότητος, τυραννικὸν καὶ πανοῦργον ἀνεφθέγγοντο · « Ἔα, λέγοντα · τί ἡμῖν καὶ σοί ; » τουτέστι · Τί οὐκ ἐᾷς ; ἡμᾶς χώραν ἔχειν, περιαιρῶν τῆς ἀσεβείας τὴν πλάνην ; Εἶτα εὐφημεῖν ὑποκρίνονται, καὶ ἅγιον τοῦ

Digitized by Google

Θεοῦ καλοῦσιν αὐτόν· ᾠήθησαν γὰρ ὅτι διὰ τῆς τοιαύτης εὐφημίας, κενῆς δόξης ἀποτελοῦσιν αὐτὸν ἐραστήν, καὶ ἀποσχέσθαι παρασκευάζουσι τοῦ ἐπιπλήττειν αὐτοῖς, οἷον ἀντὶ χάριτος διδόντα χάριν· ἀλλ' οὐκ ἐπιτεύξεται δόλιος θήρας. Θεὸς γὰρ οὐ μυκτηρίζεται, ἀποφράττει δὲ αὐτῶν τὰς ἀκαθάρτους γλώσσας ὁ Κύριος. Εἶτα προστάττει τῶν ἐχόντων ἀποφοιτᾷν. Οἱ δὲ τῶν οὕτω μεγάλων θεωροὶ γεγονότες, καταπλήττονται τοῦ λόγου τὴν ἐξουσίαν· οὐ γὰρ εὐχὴν ἀνατείνων, ἢ γοῦν παρ' ἑτέρου τὸ δύνασθαι κατορθοῦν αἰτήσας πώποτε, τὰς θεοσημείας ἐπλήρου, ἀλλ' αὐτὸς ὢν ὁ Λόγος τοῦ Θεοῦ καὶ Πατρὸς, ὁ ζῶν τε καὶ ἐνεργὴς, καὶ δι' οὗ τὰ πάντα, καὶ ἐν ᾧ τὰ πάντα, ἐκεῖνος ἦν ὁ συντρίβων τὸν Σατανᾶν, καὶ τῶν ἀκαθάρτων δαιμόνων ἀποφράττων τὸ βέβηλον στόμα.

A se tali euphemismo, vanæ gloriæ cupiditatem illi injecturos, eumdemque a propria persecutione aversuros, ceu si gratiam pro gratia esset relaturus. Sed enim dolosus præda non potietur. Deus quippe non irridetur [10], sed impuras impedit linguas illorum Dominus. Denique jubet ut ab obsessis discedant. Jam vero tantæ rei spectatores obstupescunt sermonis potestatem : quandoquidem haud preces intendens, nec facultatem a quoquam bene rem gerendi postulans, miracula patrabat ; sed ipsemet quia Dei Patris Verbum erat, vivens et operans, per quem omnia, et in quo omnia, ipse, inquam, Satanam conterebat, et immundorum dæmonum profanum os oppilabat.

B

Εἰσῆλθεν εἰς τὴν οἰκίαν Σίμωνος.

(A f. 81, B f. 53 b, C f. 114 b, D f. 17, H f. 249) Θέασαι τοίνυν, πῶς κατέλυσε παρ' ἑνὶ τῶν μαθητῶν, ἀνθρώπῳ πένητι καὶ ἀσήμῳ κατὰ τὸν βίον, ὁ τὴν ἐκούσιον δι' ἡμᾶς ὑπομείνας πτωχείαν, ἵν' ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν, καὶ μάθωμεν τοῖς ταπεινοῖς συναπάγεσθαι, καὶ μὴ κατεπαίρεσθαι τῶν ἐν ἐνδείᾳ καὶ θλίψει. — Ἐφίστησι τῇ τοῦ Σίμωνος οἰκίᾳ ὁ Ἰησοῦς, καὶ εὑρίσκει πυρέττουσαν τὴν αὐτοῦ πενθεράν· καὶ ἐπιστὰς ἐπετίμησε τῷ πυρετῷ, καὶ ἀφῆκεν αὐτήν. Μήποτε οὖν ἐν μὲν τῷ, « Ἀφῆκεν αὐτὴν ὁ πυρετὸς, » εἰρημένῳ ὑπὸ Ματθαίου καὶ Μάρκου, οὐδενὸς περὶ ζώου ἐμφαίνηται τοῦτον πυρετὸν ἐνεργοῦντος· ἐν δὲ τῷ, « Ἐπιστὰς ἐπάνω αὐτῆς ἐπετίμησε τῷ πυρετῷ, καὶ ἀφῆκεν αὐτὴν, » εἰρημένῳ ὑπὸ Λουκᾶ, οὐκ οἶδα εἰ μὴ ἀναγκασθησόμεθα τὸ ἐπιτιμώμενον ζῶον εἰπεῖν μὴ χωροῦν τὴν τοῦ ἐπιτιμῶντος ἐνέργειαν· ἄψυχόν γὰρ καὶ μὴ αἰσθανόμενον ἐπιτιμίας, ἐπιτιμᾶσθαι οὐκ εὔλογον λέγειν. Οὐδὲν δὲ θαυμαστὸν εἶναί τινας κακωτικὰς τοῦ ἀνθρωπίνου σώματος δυνάμεις, καὶ οὐ πάντως κατηγορήσομεν τῆς ψυχῆς τῶν πασχόντων ὡς ἐκ τούτων βλαπτομένης. Οὐδὲ γὰρ ἐπεὶ ἔπαισε τὸν Ἰὼβ ἕλκει πονηρῷ, λαβὼν ὁ διάβολος τὴν ἐξουσίαν εἰς τὸ διὰ τοῦ σώματος πειράσαι αὐτὸν, περὶ τοῦτο κατηγορητέος ὁ Ἰὼβ, ἀθλήσας καὶ γενναίως ὑπομείνας τὴν πληγήν. Μόνον εἴη λέγεσθαι, εἴ ποτε κατὰ σωματικοὺς πειραζόμεθα πόνους, τὸ, Ἀλλὰ τῆς ψυχῆς αὐτοῦ μὴ ἅψητε· ὡς καὶ ὁ Κύριος ἐπιτιμῶν ἰᾶται τοὺς ἔχοντας.

V. 38. *Intravit in domum Simonis.*

Animadverte igitur quomodo hospitatus est apud unum e discipulis, hominem pauperem et in hoc mundo obscurum ; ille, inquam, qui pro nobis inopiam subiit, ut **166** nos inopia ejus ditemur, discamusque cum humilibus versari, neque fastu adversus eos efferri qui egestate et tribulatione premuntur. — Adit Simonis domum Jesus, invenitque febrientem ejusdem socrum. Et stans super illam increpavit febrem, quæ dimisit eam. Jam vero in verbis « Dimisit eam febris, » quæ sunt etiam apud Matthæum ac Marcum [11], nullum innuitur animal, quod eam febrim efficeret. In verbis autem, « Stans super illam increpavit febrem, quæ dimisit eam, » a Luca dictis, haud scio an fortasse cogemur animal aliquod objurgatum dicere, quod objurgantis efficaciam sustinere non potuerit. Nam res inanimis sensuque carens increpari non recte dicitur. Alioqui nil mirum videtur esse aliquas in humano corpore maleficas potentias ; neque plane idcirco animam patientis accusabimus, quasi ab illis detrimentum patiatur. Neque enim quia percussit Jobum ulcere malo, potestate accepta a Deo diabolus tentandi illum per corporis afflictionem ; non, inquam, ideo reprehendendus Jobus, qui sane certamen sustinuit, plagamque fortiter pertulit. Tantum dicere licet, si quando corporeis tentamur doloribus, Animam ejus nolite tangere [11*]. Sic et Dominus increpando sanat obsessos.

C

D

Ἐπιτίθησι δὲ καὶ τὰς χεῖρας ἑνὶ ἑκάστῳ τῶν νοσούντων, καὶ ἀπήλλαττεν αὐτοὺς τοῦ νοσήματος, δεικνὺς ὅτι τῆς τοῦ Λόγου δυνάμεως τὴν ἐνέργειαν πεφόρηκεν ἡ ἁγία σὰρξ, ἣν ἰδίαν ἐποιήσατο, θεοπρεπῆ δύναμιν ἐμφυτεύσας αὐτῇ· — (A f. 81 b, B f. 53 b, H f. 249 b) ἵνα μάθωμεν ὡς καίτοι καθ' ἡμᾶς γεγονὼς ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, οὐδὲν ἧττόν ἐστι καὶ οὕτω Θεὸς, πάντα πληρῶν εὐκόλως· καὶ διὰ τῆς οἰκείας σαρκὸς· εἰργάζετο γὰρ καὶ δι' αὐτῆς τὰ παράδοξα· καὶ μὴ σφόδρα θαυμάσῃς, διαλογίζου δὲ μᾶλλον ὡς καὶ ἐν σκεύει χαλκῷ γεγονὸς τὸ πῦρ, τῆς ἰδίας αὐτῷ θερμότητος ἐντίθησι τὴν ἐνέργειαν. Οὕτω

Imponit etiam infirmo cuique manum, demonstrans potentis Verbi efficaciam a sancta carne geri, quam suam fecerat, Deo congruam virtutem illi inserens : ut discamus quod, etiamsi nostram subiit conditionem unigenitum Dei Verbum, nihilo tamen minus sic quoque Deus est, cuncta facile efficiens etiam per carnem propriam : nam revera per ipsam miracula operabatur. Neque id magnopere mireris ; cogita potius, quod et in æneo vase positus ignis, proprii caloris communicat illi vim. Sic ergo etiam omnipotens Dei Verbum, unito sibi vere animato et intellectuali ex sancta Virgine templo, sui pro-

[10] Galat. VI, 7. [11] Matth. VIII, 15 ; Marc. I, 31. [11*] Job II, 6.

Digitized by Google

prii ac Deo digni vigoris inserulit efficaciam. Quamobrem ut Judæis pudorem inculeret : « Si non **167** facio, inquit, opera Patris mei, nolite mihi credere ; sin autem facio, etiamsi mihi nolitis credere, operibus meis credite [12]. » Nempe ipsa testante de visu veritate, quod non homini per seispum et singulariter considerato, natoque ex muliere, suam attribuisset gloriam Unigenitus ; sed quod unicus Filius exsistens, cum unito sibi sancto corpore miracula patrabat, et a creatis rebus tanquam Deus adorabatur. Ecce autem Petri domum ingreditur, ubi muliercula in lecto jacebat, vehementi febri correpta. Cumque dicere posset, utpote Deus, Omitte morbum et surge, non ita egit; sed operatricem salutis ostendens carnem suam, quæ nimirum caro Dei erat, manum ejus tetigit; statimque, inquit Scriptura, reliquit eam febris. — Age vero recipiamus et nos Jesum. Cum enim in nos etiam ingredietur, eumque mente et corde tenebimus, tunc absurdarum voluptatum flammam exstinguet, excitabit autem, valentesque nos efficiet, spiritaliter inquam, ut ei serviamus, id est, quæ sunt ei placita exsequamur.

A τοίνυν καὶ ὁ παναλκὴς τοῦ Θεοῦ Λόγος, ἐνώσας ἑαυτῷ κατὰ ἀλήθειαν ἔμψυχόν τε καὶ ἔννουν τὸν ἐκ τῆς ἁγίας Παρθένου ναὸν, τῆς ἰδίας αὐτῷ καὶ θεοπρεποῦς ἰσχύος ἐνεφύτευσε τὴν ἐνέργειαν· καὶ γοῦν Ἰουδαίους ἐκδυσωπῶν· « Εἰ οὐ ποιῶ, φησὶ, τὰ ἔργα τοῦ Πατρός μου, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις μου πιστεύετε. » Ἔστι τοίνυν ἰδεῖν μαρτυρούσης ἀληθείας αὐτῆς, ὡς οὐχ ὡς ἀνθρώπῳ παρ' ἑαυτὸν ἀνὰ μέρος ὄντι καὶ νοουμένῳ τῷ ἐκ γυναικὸς, τὴν ἰδίαν ἔδωκε δόξαν ὁ Μονογενὴς, ἀλλ' ὡς εἷς ὑπάρχων Υἱὸς, μετὰ τοῦ ἐνωθέντος αὐτῷ ἁγίου σώματος, εἰργάζετο τὰς θεοσημείας· προσκυνεῖται δὲ καὶ παρὰ τῆς κτίσεως ὡς Θεός. Καὶ γοῦν εἰσῆλθε μὲν εἰς τὴν οἰκίαν Πέτρου, ἐπειδὴ γύναιον ἐπὶ κλίνης ἔρριπτο, λάβρῳ πυρετῷ B δαπανώμενον· καίτοι δυνάμενος εἰπεῖν ὡς Θεός· Ἀπόθου τὴν νόσον, ἀνάστηθι, τοῦτο μὲν οὐ πεποίηκεν· ἐνεργὸν δὲ πρὸς θεραπείαν ἀποφαίνων τὴν ἑαυτοῦ σάρκα, Θεοῦ γὰρ ἦν σὰρξ, ἥψατο τῆς χειρὸς αὐτῆς, καὶ παραχρῆμα, φησὶ ἡ Γραφὴ, ἀφῆκεν αὐτὴν ὁ πυρετός. — Ἀλλ' ὑποδεξώμεθα καὶ ἡμεῖς τὸν Ἰησοῦν· ὅταν γὰρ εἰσβάλῃ καὶ ἐν ἡμῖν, καὶ ἔχωμεν αὐτὸν εἰς νοῦν καὶ καρδίαν, τότε τῶν ἐκτόπων ἡδονῶν τὴν πύρωσιν ἀποσβέσει, ἐγερεῖ δὲ καὶ εὐρώστους ἀποφανεῖ, πνευματικῶς δηλονότι, ὥστε καὶ ὑπηρετεῖν αὐτῷ, τουτέστι τὰ δοκοῦντα αὐτῷ πληροῦν.

Et vide rursus quanta sit sanctam ejus carnem tangendi utilitas : nam morbos multiplices dæmonumque turbam pellit, diaboli quoque potestatem subvertit, talemque ac tantum populum uno temporis momento sanat. Jam cum solis verbis ac nutu miracula patrare posset, nihilominus ut rem necessariam nos doceret, manus quoque ægrotis imponit. Namque omnino oportebat scire nos, quod Verbi potentiam gestabat sancta caro, quam ipse suam fecerat, Deo congruam vim illi inserens. Ergo Jesus nos quoque contingat, imo magis nos ipsum per mysticam eulogiam, ut nos pariter animæ liberet morbis, et dæmonum incursu ac tyrannide!

(A f. 81 b, C f. 114 b, H f 251) Ἄθρει δέ μοι πάλιν ὅσην ἔχει τὴν ὠφέλειαν τῆς ἁγίας αὐτοῦ σαρκὸς ἐπαφή· ἐλαύνει γὰρ καὶ ποικίλας νόσους, καὶ C δαιμονίων ὄχλον, καὶ τὴν τοῦ διαβόλου ξύναμιν καταστρέφει, καὶ τοσοῦτον δῆμον θεραπεύει ἐν μιᾷ καιροῦ ῥοπῇ. Καίτοι γὰρ λόγῳ καὶ νεύματι πληροῦν δυνάμενος τὰς τερατουργίας, ἵνα τι τῶν ἀναγκαίων διδάξῃ, καὶ τὰς χεῖρας ἐπιφέρει τοῖς οὖσιν ἐν ἀῤῥωστίαις. Ἔδει γὰρ, ἔδει μαθεῖν ἡμᾶς, ὅτι τῆς τοῦ Λόγου δυνάμεως τὴν ἐνέργειαν πεφόρηκεν ἡ ἁγία σὰρξ, ἣν αὐτὸς ἰδίαν ἐποιήσατο, θεοπρεπῆ τὴν δύναμιν ἐμφυτεύσας αὐτῇ. Οὐκοῦν ἁπτέσθω καὶ ἡμῶν, μᾶλλον δὲ ἡμεῖς αὐτοῦ διὰ τῆς μυστικῆς εὐλογίας, ἵνα καὶ ἡμᾶς ἐλευθερώσῃ ψυχικῶν ἀῤῥωστημάτων, καὶ τῆς τῶν δαιμονίων ἐφόδου καὶ πλεονεξίας.

V. 41. *Et increpans non sinebat eos loqui.*

Non sinebat impuros dæmonas ipsum confiteri : non enim oportebat apostolici ministerii eos gloriam usurpare, neque immundis linguis Christi mysterium eloqui. **168** Quamobrem etiamsi verum aliquid dicant, nemo credat; namque ex tenebris lux non agnoscitur. Quam rem Christi discipulus docet dicens · « Quæ communio luci cum tenebris? vel qui consensus Christi cum Belial [13]? »

Καὶ ἐπιτιμῶν οὐκ εἶα αὐτὰ λαλεῖν.

(A f. 81 b, H f. 251) Οὐκ ἠφίει τοὺς ἀκαθάρτους δαίμονας ὁμολογεῖν αὐτόν· οὐ γὰρ ἔδει τῆς ἀποστολικῆς λειτουργίας τὴν δόξαν ἁρπάζειν αὐτοὺς, ἀλλ' D οὔτε ἔδει ἐξ ἀκαθάρτου γλώττης λαλεῖσθαι τοῦ Χριστοῦ μυστήριον· ὥστε κἂν λέγωσί τι τῶν ἀληθῶν, πιστευέτω μηδείς· οὐ γὰρ διὰ σκότους τὸ φῶς γινώσκεται· καὶ τοῦτο διδάξει λέγων ὁ Χριστοῦ μαθητής· « Τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; ἢ τίς συμφώνησις Χριστῷ πρὸς Βελίαρ; »

CAP. V.

ΚΕΦ. Ε'.

V. 2. *Et vidit duas naves stantes secus stagnum; piscatores autem descenderant, et lavabant retia.*

Καὶ εἶδε δύο πλοῖα ἑστῶτα παρὰ τὴν λίμνην· οἱ δὲ ἁλιεῖς ἀποβάντες ἀπ' αὐτῶν ἀπέπλυναν τὰ δίκτυα.

Admiremur divinæ agendi rationis solertiam ad prædandum illos qui vicissim orbem terrarum præ-

(A f. 82 b, B f. 54 b, C f. 114 b, H f. 253 b) Θαυμάσωμεν τῆς οἰκονομίας τὸ εὐτεχνὲς, τὸ ἐπί γε

[12] Joan. x, 37, 38. [13] II Cor. vi, 15.

Digitized by Google

τῇ θήρᾳ τῶν τεθηρευκότων τὴν ὑπ' οὐρανὸν, φημὶ δὴ τῶν ἁγίων ἀποστόλων, οἱ καὶ ἁλιεύειν εἰδότες, ὑπὸ τοῦ Χριστοῦ γεγόνασι λίνον· ἵνα καὶ αὐτοὶ τὴν τῶν εὐαγγελικῶν κηρυγμάτων σαγήνην χαλάσαντες, προσκομίσωσιν αὐτῷ τοὺς κατὰ πᾶσαν τὴν γῆν. Καὶ γοῦν ἔφη που δι' ἑνὸς τῶν ἁγίων προφητῶν· « Ἰδοὺ ἐγὼ ἀποστέλλω ἁλιεῖς πολλοὺς, λέγει Κύριος, καὶ ἁλιεύσουσιν αὐτούς· καὶ μετὰ ταῦτα ἀποστελῶ πολλοὺς θηρευτὰς, καὶ θηρεύσουσιν αὐτούς (1). » Καὶ τοὺς μὲν ἁλιεῖς, τοὺς ἁγίους ἀποστόλους φησὶ, θηρευτὰς δὲ τοὺς κατὰ καιροὺς τῶν ἁγίων Ἐκκλησιῶν ἡγουμένους τε καὶ μυσταγωγούς. Σὺ δέ μοι σκόπει, ὡς οὐ κηρύττει μόνον, ἀλλὰ καὶ σημεῖα ἐπιδείκνυται, ἐνέχυρα τῆς αὐτοῦ παρέχων δυνάμεως, καὶ τῇ τῶν θαυμάτων ἐπιδείξει βεβαιῶν τὰ λεγόμενα. Ἐπειδὴ γὰρ ἀρκούντως τοῖς ὄχλοις διεῖλεκται, τρέπεται πάλιν πρὸς τὴν συνήθη μεγαλουργίαν, καὶ διὰ φῶν ἁλιευτικῶν ἐπιτηδευμάτων ἁλιεύει τοὺς μαθητάς· ἵν' εἰδεῖεν ὡς πανσθενὲς ἔχει τὸ θέλημα, καὶ τοῖς θεοπρεπεστάτοις αὐτοῦ νεύμασιν ἡ κτίσις ὑπηρετεῖ.

Ὡς δὲ ἐπαύσατο λαλῶν, εἶπε πρὸς τὸν Σίμωνα· Ἐπανάγαγε εἰς τὸ βάθος, κ. τ. λ.

(A f. 82 b, C f. 115, H f. 254) Καὶ γοῦν μετὰ τὴν αὐτάρκη διδασκαλίαν, ἐπειδὴ καὶ ἔργον ἔδει θεῖον προσθεῖναι τοῖς λόγοις ἐπ' ὠφελείᾳ τῶν θεωμένων, προσέταξε τοῖς περὶ τὸν Σίμωνα, βραχὺ τῆς γῆς ἀποφέρεσθαι, καὶ καθεῖναι πρὸς ἄγραν τὸ δίκτυον. Οἱ δὲ δι' ὅλης μὲν ἔφασκον κοπιάσαι νυκτὸς, λαβεῖν δὲ μηδέν· πλὴν ἐν ὀνόματι τοῦ Χριστοῦ καθῆκαν τὸ λίνον, καὶ μεστὸν εἶχον εὐθὺς τῶν τεθηρευμένων· ἵνα διὰ πράγματος ἐναργοῦς, καὶ ὡς ἐκ τύπου καὶ εἰκόνος, τοῦ παραδόξως τετελεσμένου πληροφορηθῶσιν, ὅτι οὐκ ἄμισθος ὁ πόνος αὐτῶν, οὔτε ἄκαρπος ἡ σπουδὴ ἣν ἂν ποιήσαιντο, τῆς εὐαγγελικῆς μυσταγωγίας τὸ λίνον ἁπλώσαντες, ἀλλ' ἐν αὐτῷ πάντη τε καὶ πάντως τὰς τῶν ἐθνῶν ἀγέλας συλλέξουσι. Πλὴν ἐκεῖνο ἄθρει· οὐ γὰρ ἰσχύσαντες ἀνελκύσαι τὸ λίνον Σίμων τε καὶ οἱ σὺν αὐτῷ, καὶ διὰ τοῦτο ἀπὸ τοῦ φόβου καὶ τῆς ἐκπλήξεως μὴ τολμῶντες λαλῆσαι, ἀπὸ γὰρ τοῦ θαυμάζειν εἰς ἀφωνίαν περιέστησαν, κατένευσαν, φησὶ, τοῖς μετόχοις, δῆλον δὲ ὅτι τῶν ἁλιευτικῶν ἐπιτηδευμάτων, ὥστε συλλαβέσθαι αὐτοῖς, καὶ συνδιασῶσαι τὴν ἄγραν. Πολλοὶ γὰρ τοῖς τῶν ἁγίων ἀποστόλων συνήραντο καὶ συναίρονται πόνοις, καὶ πρό γε τῶν ἄλλων, οἱ τὰς ἱερὰς ἡμῖν τῶν ἁγίων Εὐαγγελίων ἀνερευνῶντες Γραφὰς, καὶ μετ' ἐκείνους ἕτεροι ποιμένες τε καὶ διδάσκαλοι, καὶ λαῶν ἡγούμενοι, καὶ τῶν τῆς ἀληθείας δογμάτων ἐπιστήμονες· ἀναφέρεται γὰρ ἔτι τὸ λίνον, πληροῦντος αὐτὸ Χριστοῦ, καὶ καλοῦντος εἰς ἐπιστροφὴν τοὺς ἐν βυθοῖς θαλάσσης, κατὰ τὸ γεγραμμένον, τουτέστι τοὺς ἐν ζάλῃ καὶ κύμασιν ὄντας κοσμικοῖς.

dati sunt, sanctos inquam apostolos, qui cæteroqui piscandi periti, nihilominus in Christi retia inciderunt : ut postea et ipsi prædicationis evangelicæ sagenam demittentes, ex universo mundo prædam ad eum comportarent. Quapropter alicubi dixit Deus per unum de sanctis prophetis : « Ecce ego mitto piscatores multos, dicit Dominus, et piscabuntur eos. Et post hæc mittam venatores multos, et venabuntur eos [16]. » Et piscatores quidem dicit sanctos apostolos; venatores autem, futuros per tempora sanctarum Ecclesiarum præsules et magistros. Tu vero mecum considera Christum non prædicare tantummodo, sed signa etiam ostendere, testimonia videlicet potentiæ suæ, et miraculis editis sua dicta confirmare. Nam postquam satis ad turbas concionatus fuit, convertit se rursus ad solitam prodigiorum operam, et piscatorio artificio piscatur sibi discipulos; ut cognoscerent omnipotentem esse voluntatem ejus, et quod divinis ejusdem nutibus res omnis creata obtemperat.

V. 4. *Ut cessavit autem loqui, dixit Simoni : Duc in altum*, etc.

Itaque postquam satis concionatus publice fuerat, quia jam oportebat divinam **169** quoque operam dictis adjungere ob spectantium utilitatem, mandavit Simoni a littore aliquantum navim subducero, atque ad piscatum rete demittere. Illi autem integra nocte aiebant se laborantes nihil cepisse; nihilo tamen minus in Christi nomine rete demiserunt, quod illico præda repletum senserunt : ut ex manifesto facto, typi instar et imaginis, mire patrato, certiores fierent haud cariturum mercede laborem ipsorum, neque infructuosum fore conatum quem in explicando evangelici magisterii rete exproment, sed ipso potius cunctas et ubique gentium catervas conclusuros. Sed tamen illud considera. Cum non possent rete ad se trahere Simon et qui cum eo erant, ideoque metu attoniti non auderent loqui, namque admiratio mutos eos fecerat; innuerunt, inquit, sociis, piscatoriæ scilicet artis, ut se adjuvarent, quo prædam in tutum subducerent. Multi enim sanctorum apostolorum labores adjuverunt et adhuc adjuvant, ii præ cæteris qui sacras nobis sanctorum Evangeliorum Scripturas explanant; et post hos alii pastores atque magistri, et populorum præsules, ac veritatis dogmatum periti. Adhuc enim jactatur rete, Christo id complente, atque ad conversionem vocante eos qui in profundo maris sunt, ut ait Scriptura [17], id est in tempestate fluctibusque mundanis versantur.

[16] Jerem. xvi, 16. [17] Psal. lxviii, 15.

(1) Ad hunc Cyrilli locum, anonymus quidam interpres in codice B p. 55, novum Cyrilli commentario dat testimonium sic : Θαυμαστήν τινα θεωρίαν λέγει Ὠριγένης εἰς τὸ προφητικὸν ῥητὸν τοῦ Θείου Ἱερεμίου, ὅπερ ἀνωθεν ἐξηγήσατο ὁ ἅγιος Κύριλλος, τὸ, *Ἰδοὺ ἐγὼ ἀποστελῶ ἁλιεῖς πολλοὺς, λέγει Κύριος, καὶ ἁλιεύσουσιν αὐτούς· καὶ μετὰ ταῦτα ἀποστελῶ θηρευτὰς πολλοὺς, καὶ θηρεύσουσιν αὐτούς. Mirum quamdam expositionem facit Origenes in propheticum divi Jeremiæ effatum, quod superius explanavit sanctus Cyrillus; nempe « Ecce ego mittam piscatores multos, dicit Dominus, qui piscabuntur eos. Et postea mittam venatores multos, qui eos venabuntur. »*

Digitized by Google

V. 8. *Quod cum vidisset Simon Petrus*, etc.

Propterea et Petrus, prioribus peccatis suis in mentem revocatis, pavet tremitque, ac veluti immundus purum excipere non audet, laudabili metu. Noverat enim juxta legem inter sanctum et profanum distinguere [16].

A Ἰδὼν δὲ Σίμων Πέτρος, κ. τ. λ.

(A f. 83, H f. 255) Διὰ ταῦτα καὶ Πέτρος, ἐπεὶ τῇ μνήμῃ τῶν προτέρων ἁμαρτημάτων προσέπεσε, τρέμει καὶ δέδοικε, καὶ ὡς ἄναγνος, τὸν καθαρὸν οὐ θαρρεῖ ὑποδέξασθαι, διὰ δειλίαν ἐπαινουμένην· ἔμαθε γὰρ, κατὰ τὸν νόμον, ἀνὰ μέσον ἁγίου καὶ βεβήλου διαστέλλειν.

V. 12. *Et ecce vir plenus lepra*, etc.

Verumtamen laude omni digna est accedentis fides. Testatus est enim omnia prospere posse Emmanuelem facere, et divinis nutibus relevari se petit, quanquam morbus esset insanabilis. Non enim solet lepra medicorum remediis cedere. Atqui **170** ego vidi, inquit, pulsos divina virtute impuros dæmones, aliosque aliis morbis expeditos homines. Intelligo divina aliqua invictaque manu hæc fieri. Video simul te bonum et indulgentissimum, et effusa erga accedentes clementia. Quid ergo impedit me quoque misericordiam impetrare? Quid vero ad hæc Christus? Confirmat in illo fidem, eamque hoc ipso opere ratam facit. Admittit enim preces, fatetur se posse, aitque : « Volo, mundare. » Largitur ei quoque sanctæ suæ et omnipotentis manus tactum; statimque recessit ab illo lepra, et morbus evanuit. — Tu vero mecum in hoc admirare divinitus simul corporaliterque operantem Christum. Est enim divinum, ita velle, ut ei præsto sint quæcunque velit; humanum autem est, manum extendere. Unus ergo ex duobus intelligitur Christus, quandoquidem Verbum caro factum est.

ἱστασθαι αὐτῷ πάντα ὅσα ἠθέλησεν· ἀνθρώπινον δὲ Χριστὸς, εἰ καὶ γέγονε σὰρξ ὁ Λόγος (1).

B Καὶ ἰδοὺ ἀνὴρ πλήρης λέπρας, κ. τ. λ.

(A f. 84, C f. 115 b, D f. 18 b, H f. 259 b) Πλὴν ἐπαίνου παντὸς ἀξία τοῦ προσελθόντος ἡ πίστις· μεμαρτύρηκε γὰρ τὸ πάντα δύνασθαι κατορθοῦν τὸν Ἐμμανουὴλ, καὶ διὰ νευμάτων θεοπρεπῶν ἐλευθεροῦσθαι ζητεῖ, καίτοι τὸ πάθος οὐκ ἴάσιμον· οὐ γὰρ οἶδεν ἡ λέπρα ταῖς τῶν ἰατρῶν ἐμπειρίαις παραχωρεῖν· ἀλλὰ τεθέαμαι, φησὶν, ἐλαυνομένους ἐν ἐξουσίᾳ θεοπρεπεῖ τοὺς ἀκαθάρτους δαίμονας, νοσημάτων πολλῶν ἀπαλλαττομένους ἑτέρους. Συνῆκα ὡς θείᾳ τινὶ καὶ ἀμάχῳ χειρὶ τὰ τοιαῦτα γίνεται· ὁρῶ δὲ, πρὸς τούτῳ, χρηστὸν ὄντα καὶ ἑτοιμότατον, κατοικτείροντα τοὺς προσιόντας αὐτῷ. Τί τοίνυν τὸ κωλύον ἐλεεῖσθαι κἀμέ; Καὶ τί πρὸς ταῦτα Χριστός; Βεβαιοῖ ἐν αὐτῷ τὴν πίστιν, καὶ τὴν ἐπ' αὐτῷ δὲ τούτῳ πληροφορίαν ἐργάζεται· δέχεται γὰρ τὴν αἴτησιν, καὶ ὁμολογεῖ τὸ δύνασθαι, καὶ φησι· « Θέλω, καθαρίσθητι. » Χαρίζεται δὲ αὐτῷ καὶ ἁφὴν τῆς ἁγίας αὐτοῦ καὶ πανσθενεστάτης χειρὸς, καὶ εὐθέως ἀπῆλθεν ἀπ' αὐτοῦ ἡ λέπρα, καὶ τὸ πάθος ἦν ἐκπεδών.—(A f. 84 b, H f. 260 b) Σὺ δέ μοι θαύμασον ἐν τούτοις, θεϊκῶς τε ἅμα καὶ σωματικῶς ἐνεργοῦντα Χριστόν· θεϊκὸν μὲν γὰρ τὸ θέλειν οὕτως, ὡς παρὰ τὸ ἐκτεῖναι τὴν χεῖρα. Εἷς οὖν ἐξ ἀμφοῖν νοείτω

V. 14. *Et ipse præcepit illi ut nemini diceret.*

Sufficiebat equidem, etiam tacente leproso, rei patratæ natura ad sanatis potentiam cunctis, qui leprosum cognoverant, patefaciendam. Ipse tamen nemini hoc dici jubet. Cur? ut hinc discant qui curationum gratia a Deo sunt ornati, plausum a sanatis non exposcere, neque a quibusvis laudem affectare, ne forte in superbiam incidant, quod est omnium malorum turpissimum. Prudenter vero mandat leproso, ut donum ex Mosaicæ legis præscripto sacerdotibus offerat. Nam volebat quidem sine dubio auferre umbram, et in spiritalem cultum figuras immutare; sed quia nondum ei credentes Judæi, Moysis præceptis adhærebant, ceu lege vetere adhuc stante, permittit leproso id agere in testimonium ipsis. Quid porro hoc est? **171** Suum erga legem obsequium Judæi prætextui semper habentes, et su-

C Καὶ αὐτὸς παρήγγειλεν αὐτῷ μηδενὶ εἰπεῖν.

(A f. 84 b, B f. 58, C f. 115 b, D f. 18 b, H f. 261) Ἦρκει μὲν γὰρ καὶ σιωπῶντος αὐτῇ τοῦ πράγματος ἡ φύσις ἀπαγγέλλαι πᾶσι τοῖς εἰδόσιν αὐτὸν τὴν τοῦ θεραπεύσαντος δύναμιν· αὐτὸς δὲ παραγγέλλει μηδενὶ εἰπεῖν· τί δήποτε; Ἵνα μάθωσιν ἐντεῦθεν οἱ τὴν τῶν ἰαμάτων χάριν παρὰ Θεοῦ δεχόμενοι, μὴ τὰ παρὰ τῶν θεραπευομένων εὐφημίας αἰτεῖν, μήτε μὴν τοὺς παρά τινων ἐπαίνους, ἵνα μὴ εἰς ὑπερηφάνειαν ἐκπέσοιεν, τὸ πάντων τῶν κακῶν αἴσχιστον (al. cod. ἔσχατον) πάθος. Οἰκονομικῶς δέ φησι προσάγειν τὸ δῶρον τῷ λεπρῷ κατὰ τὸν Μωϋσέως νόμον τοῖς ἱερεῦσιν· ἤθελε μὲν γὰρ ὁμολογουμένως μεταστῆσαι τὴν σκιὰν, καὶ μεταπλάσαι τοὺς τύπους εἰς πνευματικὴν λατρείαν· ἀλλ' ἐπειδὴ μήπω πιστεύσαντες εἰς αὐτὸν Ἰουδαῖοι προσέκειντο ταῖς Μωϋσέως ἐντολαῖς, ὡς ἔτι τῶν ἀρχαίων ἐθῶν ἰσχυόντων, ἐπιτρέπει τῷ

[16] Exech. XLIII, 26.

(1) Plus legebat hic D. Thomas in Catena. « Cyrillus. A majestate autem processit imperiosum mandatum. Qua ergo ratione in servis computatur unigenitus Filius, qui volendo tantummodo cuncta potest? Legitur de Deo Patre, quod *omnia quæcunque voluit fecit* (Psal. CXIII, 3). Qui vero sui Patris potestate fungitur, quomodo diversus ab illius natura erit? Solent etiam quæcunque sunt ejusdem virtutis, ejusdem esse substantiæ. Mirare tamen in his Christum divine et corporaliter operantem : divinum enim est ita velle ut præsto sint omnia, humanum autem extendere dexteram. Unus itaque Christus ex utrisque perficitur, eo quod Verbum caro factum est. »

Digitized by Google

λεπρῷ τοῦτο ποιεῖν εἰς μαρτυρίαν αὐτοῖς. Καὶ τί δὴ τοῦτό ἐστι; Πρόφασιν ἀεὶ ποιούμενοι τὴν εἰς τὸν νόμον αἰδῶ, καὶ διάκονον τῆς ἄνωθεν ἐντολῆς γεγενῆσθαι λέγοντες τὸν ἱεροφάντην Μωϋσέα, μικρὰ φρονεῖν ἐσπούδαζον περὶ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· καὶ γοῦν ἔφασκον ἐναργῶς· « Ἡμεῖς οἴδαμεν ὡς Μωϋσεῖ λελάληκεν ὁ Θεός· τοῦτον δὲ, οὐκ οἴδαμεν πόθεν ἐστίν. » Ἔδει τοίνυν αὐτοὺς ἐξ αὐτῶν ἀναπείθεσθαι τῶν πραγμάτων, ὅτι τὸ Μωϋσέως μέτρον κατόπιν ἔρχεται τῆς δόξης τοῦ Χριστοῦ· ὁ μὲν γὰρ ἦν ὡς θεράπων πιστὸς ἐπὶ τὸν οἶκον αὐτοῦ· ὁ δὲ ὡς Υἱὸς, ἐπὶ τὸν οἶκον τοῦ Πατρός· καὶ ἐξ αὐτοῦ καὶ τοῦ θεραπεῦσαι τὸν λεπρὸν ἔξεστιν ἰδεῖν, καὶ μάλα σαφῶς ἐν ἀπαραβλήτοις ὑπεροχαῖς τῶν Μωϋσέως νόμων ὄντα Χριστόν. Ἐλεπρώθη μὲν γὰρ ἡ Μαριὰμ, ἀδελφὴ δὲ Μωϋσέως αὕτη, κατελάλησε γὰρ αὐτοῦ· καὶ κατεδάκνετο μὲν λίαν ἐπὶ τούτῳ Μωϋσῆς· ἐπειδὴ δὲ οὐκ ἦν ἱκανὸς ἀποστῆσαι τοῦ γυναίου τὴν νόσον, προσέπιπτε τῷ Θεῷ λέγων· « Ὁ Θεὸς, δέομαί σου, ἴασαι ταύτην. » Πρόσχες τοίνυν ἀκριβῶς· αἴτησις ἦν ἐκεῖ, διὰ προσευχῆς τῆς ἄνωθεν ἡμερότητος ἠξίου τυχεῖν· ὁ δέ γε τῶν ὅλων Σωτὴρ μετ' ἐξουσίας ἔφη τῆς θεοπρεποῦς· « Θέλω, καθαρίσθητι. » Οὐκοῦν μαρτύριον τοῖς ἱερεῦσιν ἦν ἡ τῆς λέπρας ἀποβολὴ, καὶ ἦν ἐντεῦθεν εἰδέναι τοὺς τὴν κρείττονα ψῆφον ἀπονέμοντας τῷ Μωϋσεῖ, ὅτι τῆς ἀληθείας ἔξω βαδίζουσιν· ἔδει γὰρ, ἔδει Μωϋσέα μὲν θαυμάζειν ὡς νόμου διάκονον, καὶ χάριτος ὑπουργὸν λαληθείσης δι' ἀγγέλων, ὑπερθαυμάζειν δὲ τὸν Ἐμμανουὴλ, καὶ δοξολογεῖν αὐτὸν ὡς Υἱὸν ἀληθινὸν τοῦ Θεοῦ καὶ Πατρός.

(A f. 85, H f. 262) Ἴδοι δ' ἄν τις τὸ κατὰ Χριστὸν βαθὺ καὶ μέγα μυστήριον, ἐν τῷ Λευϊτικῷ ἡμῖν γραφόμενον· μεμολυσμένον μὲν γὰρ ἀποφαίνει τὸν λεπρὸν ὁ διὰ Μωϋσέως νόμος· ἐκπέμπεσθαι δὲ προστέταχε τῆς παρεμβολῆς, ὡς ἀκάθαρτον· ὅτε δὲ συμβαίνοι καταλωφῆσαι τὸ πάθος, τότε δὴ, τότε παραδεκτὸν γενέσθαι κελεύει. Εἶτα καὶ τίνα τρόπον ἔσται καθαρὸς, διασαφεῖ λέγων· « Οὗτος ὁ νόμος τοῦ λεπροῦ, ᾗ ἂν ἡμέρᾳ καθαρισθῇ, καὶ προσαχθήσεται πρὸς τὸν ἱερέα· καὶ ἐξελεύσεται ὁ ἱερεὺς ἔξω τῆς παρεμβολῆς, καὶ ὄψεται ὁ ἱερεὺς, καὶ ἰδοὺ ἴαται ἡ ἁφὴ τῆς λέπρας ἀπὸ τοῦ λεπροῦ· καὶ προστάξει ὁ ἱερεὺς, καὶ λήψονται τῷ κεκαθαρμένῳ δύο ὀρνίθια ζῶντα καθαρά· καὶ προστάξει ὁ ἱερεὺς, καὶ σφάξουσι τὸ ἓν εἰς ἄγγειον ὀστράκινον ἐφ' ὕδατι ζῶντι· καὶ τὸ ὀρνίθιον τὸ ζῶν λήψεται αὐτὸ, καὶ βάψει εἰς τὸ αἷμα τοῦ ὀρνιθίου τοῦ σφαγέντος ἐφ' ὕδατι ζῶντι, καὶ περιῤῥανεῖ ἐπὶ τὸν καθαρισθέντα ἀπὸ τῆς λέπρας ἑπτάκις, καὶ καθαρισθήσεται· καὶ ἐξαποστελεῖ τὸ ὀρνίθιον τὸ ζῶν εἰς τὸ πεδίον. » Δύο μὲν οὖν τὰ πτηνὰ καὶ ἀκίβδηλα, τουτέστι καθαρὰ, καὶ μηδὲ μίαν ἔχοντα διαβολὴν τὴν ἀπὸ τοῦ νόμου· καὶ τὸ μὲν ἓν ἐσφάζετο ἐφ' ὕδατι ζῶντι· τό γε μὴν ἕτερον μένον ἔξω σφαγῆς, εἶτα βαπτισθὲν ἐν τῷ αἵματι τοῦ τετελευκότος, ἐξεπέμπετο.

Ὑπεμφαίνει δ' ἄν ὁ τύπος ἡμῖν τὸ μέγα καὶ σεπτὸν τοῦ Σωτῆρος ἡμῶν μυστήριον· ἦν μὲν γὰρ ἄνωθεν, τουτέστιν ἐκ τοῦ Πατρὸς καὶ ἐξ οὐρανῶν, ὁ Λόγος· ταύτητοι καὶ μάλα εἰκότως πτηνῷ παρεικάζεται. Καταπεφοίτηκε δὲ οἰκονομικῶς, εἰς ὁμοίωσιν

perni præcepti ministrum dicentes fuisse hierophantam Moysen, parvifacere nitebantur omnium nostrum Servatorem Christum. Ideoque palam dicebant: « Nos scimus Moysi locutum Deum, hunc autem nescimus unde sit [17]. » Oportebat ergo factis ipsis persuadere illis Moysis conditionem gloria Christi esse inferiorem. Ille enim erat instar servi fidelis in domo Dei; hic autem uti Filius in Patris est domo. Atque ex hac ipsa leprosi sanatione licet perquam manifeste cognoscere, Christum incomparabili excessu Moysis legem transcendere. Lepram experta est Maria Moysis soror, quia huic obtrectaverat; qua calamitate magnopere doluit Moyses; sed quia morbum a muliere nequibat depellere, Deo supplex fuit dicens: « Obsecro te, Deus, hanc sana [18]. » Attende igitur diligenter: illic erat postulatio, precibusque supernam clementiam impetrare volebat: at enim universalis Servator cum potestate Deo digna ait: « Volo, mundare. » Ergo loco testimonii erat lepræ hæc sanatio sacerdotibus, quia hinc cognoscere poterant hi qui potiores partes Moysi tribuebant, se veritate procul aberrare. Prorsus enim oportebat Moysen ut legis ministrum suspicere, gratiæque adjutorem per angelos nuntiatæ [19]; sed multo magis Emmanuelem admirari et glorificare, utpote verum Dei Patris Filium.

Cernet autem quispiam profundum Christi et magnum mysterium in Levitico nobis descriptum. Nam contaminatum judicari leprosum decernit Moysis lex, castrisque ut immundum ejici jubet. Postea quam vero morbus desiverit, tunc demum recipi præcipit [20]. Deinde etiam quomodo purus habebitur, declarat dicens: « Hic est leprosi ritus quando mundatus fuerit, atque ad sacerdotem adducetur. Sacerdos castris egressus illum inspiciet, et si comperiet lepram esse sanatam, eo jubente sument ei qui mundatus est aviculas duas **172** viventes puras; quarum unam sacerdos mactari jubebit in vase testaceo super viva aqua. Tum alteram sumet viventem aviculam, et tinget sanguine mactatæ super viva aqua, septiesque hominem asperget lepra mundatum; atque ita purus habebitur. Emittetque viventem aviculam in agrum [21]. » Duo sunt itaque, et quidem sincera, volatilia, id est munda, nullam a lege vituperationem habentia: quorum unum super viva aqua mactabatur; alterum cæde exemptum, deinde occisi sanguine aspersum, emittebatur.

Profecto hæc figura magnum venerandumque Servatoris nostri mysterium denotat: erat enim de supernis, id est a Patre cœlisque Verbum: ideo volatili apte admodum comparatur. Descendit vero per incarnationem in similitudine nostra, serviqué

[17] Joan. IX, 29. [18] Num. XII, 13. [19] Galat. III, 19. [20] Levit. XIII, 8. [21] Levit. XIV, 12 seqq.

Digitized by Google

formam suscepit. Attamen etiam sic, de supernis erat. Quamobrem et Judæis aiebat sine ambage alloquens : « Vos deorsum estis, ego de supernis sum. Ego non sum de hoc mundo [22]. » Et rursus : « Nemo in cœlum ascendit, nisi qui de cœlo descendit Filius hominis [23]. » Ut enim jam dixi, caro factus, id est homo perfectus, haud terrenus erat, haud luteus ut nos, sed cœlestis ac supramundanus, quatenus intelligitur Deus. Verumtamen in avicularum figura videre Christum licet, carne quidem passum, ut aiunt Scripturæ [24], simulque superiorem passioni manentem ; humanitus mortuum, divinitus vivum : est enim vita Verbum. Quare sapientissimus discipulus mortificatum quidem ipsum ait carne, vivificatum tamen spiritu [25]. Sed enim quanquam mortem in propria natura pati Verbum non poterat, nihilominus propriam sibi facit passionem carnis suæ. Namque avicula vivens sanguine exstinctæ aspergebatur : sic autem sanguine tincta, passionis propemodum particeps facta, in desertum emittebatur. Rediit ergo in cœlum **173** unigenitum Dei Verbum, cum unita sibi carne ; novumque fuit in cœlo spectaculum. Stupebat ergo angelorum populus, videns in forma nostra regem terræ et virtutum Dominum. Imo et aiebat : « Quis est iste de Edom veniens? » id est de terra. « Rubrum est indumentum ejus ex Bosor [26], » quod *caro* interpretatur, aut *angustia* vel *pressura*. » Deinde sic interrogabant : « Hæccine in manibus ejus vulnera? » Ille autem ipsis : « His in domo dilecti mei vulneratus sum [27]. » Sicut enim incredulo Thomæ prudentissime post resurrectionem a mortuis, manus ostendens, clavorum in eis signa jussit tangere, nec non et latus perfossum [28] ; sic etiam in cœlum redux persuasit sanctis angelis, merito Israelem ab ejus gratia repulsum corruisse. Propterea imbutam sanguine vestem et manuum vulnera ostendebat, non quod ea obducere non posset (nam suscitatus e mortuis corruptelam exuerat, et cum ea quidquid ex eadem oritur), sed ut secundum incarnationis rationem nunc cognosceretur a principatibus ac potestatibus per Ecclesiam multiformis sapientia Dei, quam in Christo operatus est.

τὴν πρὸς ἡμᾶς, καὶ ἔλαβε δούλου μορφήν· πλὴν καὶ οὕτως ἄνωθεν ἦν· καὶ δ' οὖν ἔφασκεν Ἰουδαίοις ἐναργῶς προσλαλῶν, « Ὑμεῖς ἐκ τῶν κάτω ἐστὲ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί· ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου. » Καὶ πάλιν· « Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς ὁ Υἱὸς τοῦ ἀνθρώπου. » Ὡς γὰρ ἔφην ἄρτιος, καὶ σὰρξ γεγονὼς, ἦγουν τέλειος ἄνθρωπος, οὐ γήϊνος ἦν, οὐ χοϊκὸς καθ' ἡμᾶς, ἀλλ' οὐράνιος καὶ ὑπερκόσμιος καθ' ὃ νοεῖται Θεός. Πλὴν ἔστιν ἰδεῖν ἐν τοῖς ὀρνιθίοις, σαρκὶ μὲν παθόντα κατὰ τὰς Γραφὰς, μείναντα δὲ καὶ ἐπέκεινα τοῦ παθεῖν· καὶ ἀποθνήσκοντα μὲν ἀνθρωπίνως, ζῶντα δὲ θεϊκῶς· ζωὴ γὰρ ὁ Λόγος. Καὶ γοῦν ὁ πάνσοφος μαθητὴς, θανατωθῆναι μὲν αὐτὸν ἔφη σαρκὶ, ζωοποιηθῆναι δὲ πνεύματι. Πλὴν εἰ καὶ τοῦ παθεῖν τὸν θάνατον εἰς ἰδίαν φύσιν ἄμοιρος ἦν ὁ Λόγος, ἀλλ' οὖν οἰκειοῦται τὸ πάθος τῆς ἑαυτοῦ σαρκός. Ἐβαπτίζετο γὰρ τὸ ὀρνίθιον τὸ ζῶν ἐν τῷ αἵματι τοῦ τετελευτηκότος· πεφυρμένον δὲ τῷ αἵματι, μόνον δὲ οὐχὶ καὶ κοινωνῆσαν τοῦ πάθους, εἰς τὴν ἔρημον ἐξεπέμπετο· ἀναπεφοίτηκε γὰρ ἐν τοῖς οὐρανοῖς ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, μετὰ τῆς ἐνωθείσης αὐτῷ σαρκός· καὶ ξένον ἦν ἐν οὐρανοῖς τὸ θέαμα. Κατεπλήττετο γοῦν ἡ τῶν ἀγγέλων πληθὺς, ἐν εἴδει βλέπουσα τῷ καθ' ἡμᾶς, τὸν βασιλέα τῆς γῆς, καὶ τῶν δυνάμεων Κύριον· καὶ δὴ καὶ ἔφασκον· « Τίς οὗτος ὁ παραγινόμενος ἐξ Ἐδώμ; » τουτέστιν ἐκ γῆς· « ἐρύθημα ἱματίων αὐτοῦ ἐκ Βοσόρ· » διερμηνεύεται δὲ *σὰρξ*, ἤτοι *συνοχὴ* καὶ *θλῖψις*. Εἶτα τούτοις προσεπυνθάνοντο· « Τοιαῦται αἱ πληγαὶ αἱ ἀνὰ μέσον τῶν χειρῶν σου; » Ὁ δὲ πρὸς αὐτούς· « Ἃς ἐπλήγην ἐν τῷ οἴκῳ τοῦ ἀγαπητοῦ μου. » Ὥσπερ γὰρ ἀπιστήσαντι τῷ Θωμᾷ οἰκονομικώτατα λίαν καὶ μετὰ τὴν ἐκ νεκρῶν ἀναβίωσιν ἐπιδεικνὺς τὰς χεῖρας, καὶ τοὺς ἐν αὐταῖς τῶν ἥλων τύπους ἐκέλευε ψηλαφᾷν καὶ τὰς ἐν τῇ πλευρᾷ διατρήσεις, οὕτω καὶ ἐν τῷ οὐρανῷ γεγονὼς, πεπληροφόρηκε τοὺς ἁγίους ἀγγέλους ὅτι δικαίως τῆς πρὸς αὐτὸν οἰκειότητος ἐκβέβληται καὶ ἀπώλισθεν ὁ Ἰσραήλ· διὰ τοῦτο πεφυρμένον ἐν αἵματι τὸ ἄμφιον, καὶ τὰς ἐν χερσὶν ἐπεδείκνυτο πληγὰς, οὐκ ἀναποβλήτους ἔχων αὐτάς· ἐγηγερμένος γὰρ ἐκ νεκρῶν, ἀπεδύσατο τὴν φθοράν, καὶ σὺν αὐτῇ πάντα τὰ ἐξ αὐτῆς· ἀλλ' ἵνα οἰκονομικῶς νῦν γνωρισθῇ ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις διὰ τῆς Ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ, ἣν ἐποίησεν ἐν τῷ Χριστῷ.

Sed fortasse dicet aliquis : Cur ergo unum eumdemque dicis Filium et Dominum Jesum Christum, cum duæ fuerint oblatæ aviculæ? Nonne hinc fortasse haud obscure lex demonstrat duos omnino esse filios atque christos? Certe in tantam quidam impietatem venerunt, ut arbitrentur et dicant alium esse Christum seorsum Dei Patris Verbum, alium rursus illum de Davidis stirpe natum. Nos autem dicimus his qui ob suam inscitiam rem ita se habere putant; dicimus, inquam, quod divus scribit

Ἀλλ' ἴσως ἐρεῖ τις· Πῶς οὖν ἕνα καὶ τὸν αὐτὸν φὴς Υἱὸν καὶ Κύριον Ἰησοῦν Χριστὸν, καίτοι δύο παρενηνεγμένων ὀρνιθίων; Ἡ τάχα που καταδείξιεν ἂν οὐκ ἀσυμφανῶς ὁ νόμος, ὡς δύο πάντως εἰσὶν υἱοὶ καὶ Χριστοί; Καὶ δυσσεβείας μὲν εἰς τοῦτο κατεβιβάσθησαν ἤδη τινὲς, ὡς οἴεσθαί τε καὶ λέγειν, ἕτερον μὲν εἶναι Χριστὸν ἰδικῶς τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον, ἕτερον δ' αὖ τὸν ἐκ σπέρματος Δαβὶδ (1)· ἡμεῖς δέ φαμεν τοῖς ὧδε ταῦτ' ἔχειν ἐξ ἀμαθίας ὑπειληφόσιν. Ὁ θεσπέσιος γράφει Παῦλος· « Εἷς Κύ-

[22] Joan. VIII, 23. [23] Joan. III, 13. [24] I Petr. IV, 5. [25] I Petr. III, 18. [26] Isa. LXIII, 1. [27] Zach. XIII, 6. [28] Joan. XX, 26 seqq.

(1) Evidenter denotat Nestorianos.

Digitized by Google

ριος, μία πίστις, ἓν βάπτισμα. » Οὐκοῦν εἰ δύο φα- A Paulus : « Unus Dominus, una fides, unum baptisma [29]. » Igitur si duos dicunt filios, duo prorsus erunt domini, bina fides, totidemque baptismata. Falsa ergo docebit is qui Christum in se habuit loquentem, ut ipse ait [30]. Non tamen ista sunt; absit ! Ergo unum **174** Dominum scimus, id est unigenitum Dei Verbum incarnatum; haud seorsum ponentes hominem et seorsum Deum, sed ipsum Dei Patris Verbum hominem factum affirmantes, simulque in sua deitate perseverantem. Alioqui dicant adversarii : Si duo sunt filii, unum quidem seorsum ex Davidis stirpe, alterum item sigillatim Dei Patris Verbum; nonne meliore natura est Dei Patris Verbum, quam ille de Davide oriundus filius? Age vero quid agemus? dum duo volatilia spectamus, haud equidem naturaliter invicem aliena, sed uniformia potius, nullaque re differentia, qualia quantaque ipsa sunt. Ergo concedant propter volatilium uniformitatem, nihil ab homine differre Dei Verbum. Sed hilum non proficient; multum distat a deitate humanitas : oportet autem exempla conveniente ratione intelligere; ea enim inferiora veritate sunt, nec nisi partiariam interdum faciunt significatæ rei demonstrationem. Porro dicimus legem quidem umbram fuisse ac figuram, ac veluti quamdam picturam quæ futuras res spectantibus exponebat. Verumtamen umbræ in pictoria arte principia colorum sunt; quibus cum flos ipse colorum accesserit, tum demum picturæ elegantia elucebit. Quandoquidem ergo oportebat Mosaicam legem perspicue delineare Christi mysterium, haud in una avicula moriente simul et vivente ipsum denotat, ne res scenicum quoddam terriculamentum videretur; sed considerat in una quidem tanquam morti occumbentem; in altero autem viventem demonstrat et liberum.

σις εἰσὶν υἱοὺς, δύο δὴ πάντως ἂν εἶεν οἱ κύριοι, δύο δὲ πίστεις, τοσαῦτα δὲ βαπτίσματα. Ψευδομαθήσει οὖν ὁ Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα, καθά φησιν αὐτός· ἀλλ' οὐκ ἔστι ταῦτα, μὴ γένοιτο. Οὐκοῦν ἕνα Κύριον ἴσμεν, τουτέστι μονογενῆ τοῦ Θεοῦ Λόγον ασσαρκωμένον· οὐκ ἀνὰ μέρος τιθέντες ἄνθρωπον καὶ Θεὸν, ἀλλ' αὐτὸν τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον, ἄνθρωπον γενέσθαι διαβεβαιούμενοι, μετὰ τοῦ μεῖναι Θεόν. Ἐπειδὴ λεγέτωσαν οἱ δι' ἐναντίας· Εἰ δύο φασὶν υἱοὺς, ἕνα μὲν ἰδικῶς τὸν ἐκ σπέρματος Δαβὶδ, ἕτερον δ' αὖ ἀνὰ μέρος τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον, ἆρ' οὐκ ἀμείνων κατὰ φύσιν ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος τοῦ ἐκ σπέρματος Δαβὶδ; Εἶτα τί δράσομεν τὰ δύο ὁρῶντες πτηνὰ, οὐχ ἑτεροφυῆ ὄντα ἀλλήλων, ὁμοειδῆ δὲ μᾶλλον, καὶ κατ' οὐδὲν ἀλλήλων διαφέροντα, κατά γε τοῦ εἶναι τοῦθ' ὅπερ ἐστίν; Οὐκοῦν συγχωρείτωσαν διὰ τὸ τῶν πτηνῶν ὁμοειδὲς, μηδὲν ἀνθρώπου διαφέρειν τὸν τοῦ Θεοῦ Λόγον (1)· ἀλλ' οὐκ αὔξονται· πολὺ γὰρ τὸ μεταξὺ θεότητος καὶ ἀνθρωπότητος· πλὴν χρὴ τὰ παραδείγματα κατὰ τὸν αὐτοῖς πρέποντα νοεῖσθαι λόγον· ἡττᾶται γὰρ τῶν ἀληθῶν, καὶ μερικὴν ἔσθ' ὅτε ποιεῖται τῶν σημαινομένων τὴν ἔνδειξιν. Φαμὲν δὲ, ὡς σκιὰ καὶ τύπος ὁ νόμος ἦν, καὶ οἷόν τις γραφὴ παρατιθεῖσα πρὸς θέαν τοῖς ὁρῶσι τὰ πράγματα. Αἱ δὲ σκιαὶ τῆς τῶν γραφόντων ἐν πίνακι τέχνης, τὰ πρῶτα τῶν χρωμάτων εἰσίν· αἷς εἴπερ ἐπενεχθείη τῶν χρωμάτων τὰ ἄνθη, τότε δὴ, τότε τῆς γραφῆς ἀπαστράψει τὸ κάλλος. Ἐπειδὴ οὖν ἔδει τὸν διὰ Μωϋσέως νόμον καταγράψαι σαφῶς τὸ Χριστοῦ μυστήριον, οὐκ ἐν ἑνὶ τῶν ὀρνιθίων ἀποθνήσκοντά τε ὁμοῦ καὶ ζῶντα καταδείκνυσιν αὐτὸν, ἵνα μὴ τερατοποιΐα σκηνικὴ δόξῃ εἶναι τὸ δρώμενον· ἀλλ' ἐδέχετο μὲν ὡς ἐν ἑνὶ παθόντα τὴν σφαγήν· κατεδείκνυ δὲ τὸν αὐτὸν ἐν ἑτέρῳ ζῶντά τε καὶ ἀφειμένον.

B

C

Ἀποφῆναι δὲ τὸν ἐπὶ τῷδε λόγον οὐκ ἔξω βαίνοντα τοῦ εἰκότος, δι' ἑτέρας ἱστορίας πειράσομαι. Εἰ γάρ τις τῶν καθ' ἡμᾶς ἐπεθύμησεν ἰδεῖν καταγεγραμμένην ὡς ἐν πίνακι τὴν ἐπὶ τῷ Ἀβραὰμ ἱστορίαν, πῶς ἂν αὐτὸν ἐχάραξε ζωγράφος; Ἆρ' ἐν ἑνὶ πάντα δρῶντα; ἢ ἀνὰ μέρος καὶ ἑτεροίως, ἤγουν ἑτεροειδῶς πλειστάχου τὸν αὐτόν; Οἷον, φημὶ, ποτὲ μὲν ἐφιζήσαντα τῇ ὄνῳ συμπαραληφθέντος τοῦ παιδὸς καὶ ἑπομένων τῶν οἰκετῶν· ποτὲ δὲ αὖ πάλιν ἀπομεινάσης τῆς ὄνου κάτω τοῖς οἰκέταις ὁμοῦ, καταφορτίσαντα μὲν τοῖς ξύλοις τὸν Ἰσαὰκ, ἔχοντα δὲ μετὰ χεῖρας τὴν μάχαιραν καὶ τὸ πῦρ· καὶ μὴν καὶ ἑτέρωθι, τὸν αὐτὸν ἐν εἴδει πάλιν ἑτέρῳ, συμποδίσαντα μὲν τὸ μειράκιον ἐπὶ τὰ ξύλα, ὁπλίσαντα δὲ τῇ μαχαίρᾳ τὴν δεξιὰν, ἵν' ἐπαγάγοι τὴν σφαγήν. Ἀλλ' ἦν οὐχ ἕτερος καὶ ἕτερος Ἀβραὰμ, πλειστάχου τῆς γραφῆς ὁρωμένης ἑτέρως, ἀλλ' ὁ αὐτὸς πανταχοῦ, ταῖς τῶν πραγμάτων χρείαις συγκαθιστάμενης ἀεὶ τῆς τοῦ γράφοντος τέχνης· οὐ γὰρ ἦν ἐνδεχόμενον ἐν ἑνὶ

D

Sed age hujus rei rationem haud inverisimili modo, ex alia historia patefacere nitar. Si quis nostrum videre cuperet tanquam in tabula depictam Abrahami historiam, quomodo eam expressam a suo pictore comperiet? Num una actione Abrahamum omnia absolventem, an particulatim et diversis modis variisque formis sæpissime **175** eumdem variatum? Veluti, inquam, modo jumento insidentem, puero comite, sequentibus famulis : modo subsistente infra montem jumento cum famulis, gestantem ligna Isaacum, ipsum vero Abrahamum gladium manu tenentem ac ignem. Item in alia tabulæ parte eumdem Abrahamum alia in specie, puerum super ligna alligantem, dexteram ense armantem, ut ictum incutiat. Attamen non alius atque alius Abrahamus erat, etsi persæpe in eadem tabula varie repræsentatus, sed idem ubique, quia ad cujusque rei usum ars pictoris se accommodavit : fieri enim non poterat ut una simul cerneretur Abraha-

[29] Ephes. IV, 5. [30] II Cor. XIII, 3.

(1) Hoc dicit ore Monophysitarum.

Digitized by Google

mus cuncta facere quæ supra dicta sunt. Erat igitur lex pictura ac typus, rerum postea exitu veritatem pariente : ita ut, etiamsi par avium fuerit, unus nihilominus ab ipsis repræsentabatur Christus, tum patiens, tum extra passionem, tum moriens, tum etiam morti superior; denique etiam in cœlum ascendens, inchoatio tanquam secunda humanitatis ad immortalitatem renovatæ. Ipse certe nobis novam viam ad superna munivit, eumque tempore debito subsequemur. Utique, quod una ex aviculis mactaretur, altera vero occisæ sanguine aspergeretur, cædemque libera evaderet, id omne loco typi verarum rerum habendum est. Mortuus est enim pro nobis Christus, nosque in ejus mortem baptizati fuimus, et ipse suo nos sanguine salvos fecit.

A κατιδεῖν αὐτὸν πάντα δρῶντα τὰ εἰρημένα. Γραφὴ τοιγαροῦν καὶ τύπος ἦν ὁ νόμος, πραγμάτων ὠδινόντων ἀλήθειαν· ὥστε κἂν δυὰς ὀρνέων ἦν, ἀλλ' εἷς ἦν ὁ ἐν ἀμφοῖν, καὶ ὡς ἐν πάθει καὶ ἐξω πάθους, καὶ ἐν θανάτῳ, καὶ ὑπὲρ θάνατον, καὶ ἀναβαίνων εἰς οὐρανοὺς ἀπαρχή τις ὥσπερ δευτέρα τῆς ἀνθρωπότητος ἀνανεωθείσης εἰς ἀφθαρσίαν· αὐτὸς γὰρ ἡμῖν ἐνεκαίνισε τὴν εἰς τὸ ἄνω τρίβον, καὶ ἐψόμεθα κατὰ καιροὺς αὐτῷ· τό γε μὴν τὸ ἓν τῶν ὀρνιθίων σφάζεσθαι, ἐν δὲ τῷ τοῦ σφαγέντος αἵματι τὸ ἕτερον βαπτίζεσθαι μὲν, ἀποπέμπεσθαι δὲ τῆς σφαγῆς, ἀντίτυπον δ' ἂν εἴη τῶν ἀληθινῶν· ἀπέθανε γὰρ ὑπὲρ ἡμῶν ὁ Χριστὸς, καὶ ἡμεῖς εἰς τὸν αὐτοῦ θάνατον βεβαπτίσμεθα, καὶ σέσωκεν ἡμᾶς αἵματι τῷ ἰδίῳ.

V. 17. *Ipse docebat, eratque Pharisæi sedentes*, etc.

Circumstabat eum invidorum theatrum, Scribæ nimirum ac Pharisæi, qui miraculorum fuerant spectatores, et docentem audiverant. Et erat, inquit evangelista, virtus Dei cum eo ad sanandum : utrum quia Deus potentiam illi prodigiorum dedisset, vel quia virtutem illam abs quovis mutuam accepisset? Quis vero hæc dicere audeat? Ipse enim potius propria virtute operabatur, tanquam divinæ gratiæ particeps. Namque homines digni sæpe habentur spiritalibus donis; sed tamen eosdem impotentes **176** quoque aliquando videre est, prout divinorum donorum largitori placitum fuerit. Verumtamen in universali nostro Servatore nihil hujusmodi fuit; sed ad sanandum incumbebat non tum humana quam divina et invicta virtus ejus. Erat enim Deus Deique Filius. — Solus Christus, utpote magister Patrisque sapientia, docet; nam cæteri omnes quod ab ipso accipiunt docent. Erat autem, inquit evangelista, virtus quoque Domini in eo ad sanandos omnes, id est, haud humanam vim sanandi habebat, sed divinam quamdam et invictam. Namque alii quidem sancti modo facultatem recipiunt sanitates efficiendi, modo secus : Jesus vero, ceu Deus et Patris virtus, cunctos semper sanabat.

B *Αὐτὸς δὲ ἦν διδάσκων, καὶ ἦσαν καθήμενοι Φαρισαῖοι*, κ. τ. λ.

(A f. 87, H f. 269) Περὶ αὐτὸν μὲν ἦν τῶν βασκάνων τὸ θέατρον· Γραμματεῖς δὲ οὗτοι καὶ Φαρισαῖοι, καὶ τῶν παραδόξως ἐπιτελουμένων ἐγίνοντο θεωροὶ, καὶ κατηκροῶντο διδάσκοντος· καὶ ἦν, φησὶ, δύναμις Θεοῦ εἰς τὸ ἰᾶσθαι αὐτόν· [ita cod. αὐτόν] ἆρα ὡς τοῦ Θεοῦ διδόντος αὐτῷ τὸ δύνασθαι κατορθοῦν τὰς θεοσημείας; ἆρα τὴν παρ' ἑτέρου δύναμιν ἐδανείζετο; Καὶ τίς ὁ φάναι ταῦτα τολμῶν; Αὐτὸς γὰρ μᾶλλον ἦν ἐξ ἰδίας ἰσχύος ἐνεργῶν ὡς Θεὸς καὶ Κύριος, καὶ οὐχ ὡς θείας χάριτος μέτοχος. Ἄνθρωποι μὲν γὰρ ἀξιοῦνται πολλάκις χαρισμάτων πνευματικῶν (1)· ἀλλ' ἔστιν ἰδεῖν ἐνιαχοῦ καὶ ἀσθενοῦντας ἔσθ' ὅτε, καθ' ὃν οἶδε λόγον αὐτὸς ὁ τῶν θείων C χαρισμάτων διανομεύς· ἐπὶ δέ γε τοῦ πάντων ἡμῶν Σωτῆρος τοιοῦτον οὐδὲν, ἀλλ' ἦν εἰς τὸ ἰᾶσθαι αὐτὸν, οὐκ ἀνθρωπίνη μᾶλλον, ἀλλὰ καὶ θεία καὶ ἄμαχος ἰσχύς· Θεὸς γὰρ ἦν, καὶ Υἱὸς Θεοῦ.—(D f. 19) Μόνος ὁ Χριστὸς ὡς διδάσκαλος καὶ σοφία ὢν τοῦ Πατρὸς διδάσκει· οἱ γὰρ ἄλλοι πάντες ἐξ αὐτοῦ δεχόμενοι διδάσκουσιν· ἦν δὲ, φησὶν, καὶ δύναμις Κυρίου ἐπ' αὐτὸν εἰς τὸ ἰᾶσθαι πάντας, τουτέστιν, οὐκ ἀνθρωπίνην εἶχεν ἰσχὺν εἰς τὸ ἰᾶσθαι, ἀλλὰ θείαν τινὰ καὶ ἄμαχον. Οἱ μὲν ἄλλοι ἅγιοι, ποτὲ μὲν λαμβάνουσι τὸ δύνασθαι ποιεῖν ἰάσεις, ποτὲ δὲ οὔ. Ἰησοῦς δὲ, ὡς Θεὸς, καὶ δύναμις ὢν τοῦ Πατρὸς, ἀεὶ πάντας ἐθεράπευσεν (2).

V. 18. *Et ecce viri ferentes in lecto hominem paralyticum*, etc.

Deinde haud exiguo numero Scribarum ac Pharisæorum circumsistente, ecce viri ferentes in lecto hominem paralyticum; qui cum per januam ingredi non possent, tulerunt illum supra tectum, insolitum novumque ausi facinus. Revulsis enim tegulis, interpositam materiam removerunt : quæ dum fierent, et Jesus patienter se habebat, et astantes silebant rei exitum spectare volentes, et quid Jesus diceret agereve. Patefacto igitur tecto, demittunt grabatum, mediumque collocant paralyticum. Quid ergo Dominus? Videns illorum fidem,

D *Καὶ ἰδοὺ ἄνδρες φέροντες ἐπὶ κλίνης ἄνθρωπον ὃς ἦν παραλελυμένος*, κ. τ. λ.

(D f. 19) Εἶτα οὐκ εὐαριθμήτου πλήθους τῶν Γραμματέων, φησὶν, καὶ Φαρισαίων συνειλεγμένου, ἰδοὺ ἄνδρες φέροντες ἐπὶ κλίνης ἄνθρωπον, ὃς ἦν παράλυτος· καὶ μὴ δυνηθέντες διὰ τῆς θύρας εἰσελθεῖν, ἀνεκόμισαν ἐπὶ τὸ δῶμα, ὡς ξένῳ καὶ καινῷ ἐπιχειρῆσαι πράγματι· ἀνασπάσαντες γὰρ τὸν κέραμον, μετεκίνησαν τὴν ἀποκειμένην ὕλην· καὶ ὅμως τούτων γινομένων, καὶ ὁ Ἰησοῦς ἐμακροθύμει, καὶ οἱ παρόντες ἐσιώπων, τὴν ἔκβασιν βουλόμενοι θεωρῆσαι, καὶ ἰδεῖν τί λαλεῖ καὶ τί ποιεῖ. Ἀναστομώσαντες τοίνυν τὸ δωμάτιον, χαλῶσι τὸν κράβαττον,

(1) Animadverte gratiam miraculorum identidem in Ecclesia conspicuam etiam Cyrilli ætate.

(2) Pauca hic intersunt similia superioribus propter diversæ catenæ auctorem.

Digitized by Google

καὶ φέρουσι μέσον τὸν παραλελυμένον. Τί οὖν ὁ Κύριος; Ἰδὼν τὴν πίστιν αὐτῶν, οὐ τὴν παραλελυμένου, ἀλλὰ τῶν κομιζόντων· ἔνεστι γὰρ καὶ ἄλλον δι' ἄλλων πίστιν θεραπεύεσθαι (3)· ἢ καὶ αὐτὸν τὸν παράλυτον πιστεύσαντα ἰάσατο. Εἶποι δ' ἄν τις ὕπαιθρον εἶναι τὸν τόπον, εἰς ὃν διὰ τῶν κεράμων κατεβίβασαν τὴν κλίνην τοῦ παραλύτου, μηδὲν παντελῶς τῆς στέγης ἀνατρέψαντες. Εἰπὼν δὲ πρὸς αὐτὸν ὁ Σωτήρ· « Ἄνθρωπε, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, » κοινῶς τῇ ἀνθρωπότητι τοῦτο λέγει· ἐμελλον γὰρ οἱ πιστεύοντες εἰς αὐτὸν, ἰαθέντες τῶν ψυχικῶν παθημάτων τὰς ἁμαρτίας ἃς πρῶτον ἐπλημμέλουν ἀφίεσθαι. Ἢ τοῦτό φησιν· Ἔδει με πρὸ τοῦ σώματός σου τὴν ψυχήν. Ἐπεὶ ἐὰν μὴ τοῦτο γένηται, ἐπὶ πλεῖον ἁμαρτάνεις λαβὼν ἰσχὺν εἰς τὸ περιπατεῖν. Εἰ γὰρ καὶ μὴ ἐζήτησας τοῦτο, ἀλλ' ἐγὼ ὡς Θεὸς ὁρῶ τὰ τῆς ψυχῆς πάθη ἐξ ὧν καὶ ἡ νόσος σοι συμβέβηκε.

A ferentium scilicet, non paralytici (contingit enim aliquando sanari aliquem ob alterius fidem), vel etiam credentem ipsum paralyticum, sanitati restituit. Aliquis tamen dicere malet subdialem fuisse locum, ubi per tegulas paralytici lectum demiserunt, quin omnino tectum diruerent. Cum vero huic Servator dixisset : « Homo, remittuntur tibi peccata tua, » communiter hoc generi humano dicit. Futurum quippe erat ut credentes in ipsum, sanati ex animi **177** morbis, peccata quæ antea admiserant deponerent. Vel hoc alt : Oportebat me ante corpus animam sanare tuam. Nam nisi hoc fieret, gravius tu peccares, sumptis gradiendi viribus. Quanquam enim id non postulasti, attamen ego, B utpote Deus, novi animæ passiones, unde et morbus tibi accidit.

(A f. 87, B f. 58 b, C f. 116, H f. 269 b) Καλῶς οὖν ὁ Σωτὴρ, ἐπειδὴ ἀναγκαῖον ἦν, οὐκ εὐαριθμήτου πλήθους τῶν Γραμματέων καὶ Φαρισαίων συνειλεγμένης, γενέσθαι τι τῶν ὅτι μάλιστα θεοπρεπεστάτων εἰς ὄνησιν αὐτῶν, μικρὰ γὰρ ἐφρόνουν περὶ αὐτοῦ, ᾠκονομήθη τι πάλιν τῶν τεθαυμασμένων· ἔρριπτο μὲν γὰρ ἐπὶ κλίνης παράλυτος ἀνὴρ, ἀνιάτῳ νόσῳ κεχρατημένος· ἐπειδὴ ἀσθενοῦσα πρὸς τὸ σῶσαι μᾶλλον ἡ τῶν ἰατρῶν ἠλέγχετο τέχνη, πρὸς τὸν ἄνωθεν καὶ ἐξ οὐρανῶν ἰατρὸν παρὰ τῶν οἰκείων ἀπεκομίζετο. Ὡς δὲ ἦν ἐν ὄψει λοιπὸν τοῦ θεραπεύειν ἰσχύοντος, δεκτὴ μὲν αὐτοῦ γέγονεν ἡ πίστις· ὅτι δέ ἐστιν ἁμαρτίας ἀναιρετικὴ, δείκνυσιν εὐθὺς ὁ Χριστός· ἐπεφώνει γὰρ τῷ κειμένῳ· « Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. » Ἀλλ' ὥς γε οἶμαι, πρὸς τοῦτο ἐρεῖ τις· Ἀπαλλαγῆναι τῆς νόσου ἐβούλετο, καὶ πῶς ἔφησιν αὐτῷ τῆς ἁμαρτίας Χριστὸς ἐπαγγέλλεσθαι; Ἵνα μάθῃς; ὅτι σεσιγημένως καὶ ἀφοφητὶ Θεὸς κατασκέπτεται τὰ ἀνθρώπινα, καὶ ἐφορᾷ τῆς ἑκάστου ζωῆς τὴν ὁδόν· οὕτω καὶ γέγραπται· « Ἐνώπιον γάρ εἰσι τῶν τοῦ Θεοῦ ὀφθαλμῶν ὁδοὶ ἀνδρὸς, εἰς δὲ πάσας τὰς τροχιὰς αὐτοῦ σκοπεύει. » Ἐπειδὴ δέ ἐστιν ἀγαθὸς, καὶ πάντας ἀνθρώπους θέλει σωθῆναι, διασμήχει πολλάκις ἐξ ἁμαρτιῶν τοὺς ἐνειλημμένους, ἀῤῥωστίαν ἐμβάλλων τῷ σώματι· οὕτω γάρ πού φησι διὰ φωνῆς Ἱερεμίου· « Πόνῳ καὶ μάστιγι παιδευθήσῃ, Ἱερουσαλήμ. » Ἔφη δέ που καὶ ὁ Παροιμιαστής· « Υἱὲ, μὴ ὀλιγώρει παιδείαν Κυρίου, μὴ δὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος· ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. » Καλῶς οὖν ἄρα Χριστὸς τὰς τοῦ νοσεῖν ἀφορμὰς, καὶ οἷον τοῦ πάθους τὴν ῥίζαν, τουτέστιν τὴν ἁμαρτίαν, προαποκείρειν ἐπαγγέλλεται· ἐξαιρεθείσης γὰρ ταύτης, δι' ἣν καὶ τὸ πάθος, ἔδει πάντως συναναιρεθῆναι τὴν νόσον.

Egregie itaque Servator, quia oportebat, præsente haud modica Scribarum ac Pharisæorum turba, fieri aliquem Deo maxime dignum actum ob illorum utilitatem : etenim satis humiliter de eo sentiebant : sapienti consilio curatum est ut mirum aliquid eveniret. Jacebat enim in lecto paralyticus vir, insanabili morbo correptus ; qui postea quam medicorum arte juvari non potuerat, ad supernum cœlestemque medicum a suis deferebatur ; atque ubi coram illo stetit qui mederi valebat, visa est C ejus fides digna respectu ; quam ut peccati delectricem esse ostenderet, statim Christus jacenti inclamavit : « Remittuntur tibi peccata tua. » Atqui, ut arbitror, hic dicet aliquis, Si quidem ille morbo liberari volebat, cur ei Christus peccati remissionem nuntiabat? Nempe ut discas, tacite et sine ullo strepitu res humanas Deum inspicere, et singulorum viventium semitas observare. Sic enim scriptum est : « Ante oculos Domini viæ hominis, et omnes semitas ejus scrutatur [31]. » Quia vero bonus est, atque omnes homines vult salvos fieri [32], purgat sæpe peccatis implicitos, infirmitate in corpus immissa. Sic enim alicubi voce Jeremiæ dixit : « Ærumna et flagris erudieris, Jerusalem [33]. » Item proverbialis auctor : « Fili, cave negligas disciplinam Domini, nec deficias cum ab eo corriperis : D quem enim diligit Dominus, corripit ; et omnem sibi acceptum filium flagellat [34]. » Egregie itaque Christus ægrotandi causas, et quasi morbi radicem, culpam scilicet, abscindere se denuntiat. Namque hac amota, quæ origo infirmitatis est, morbum omnino simul auferri necesse erat.

Καὶ ἤρξαντο διαλογίζεσθαι οἱ Γραμματεῖς καὶ Φαρισαῖοι λέγοντες, κ. τ. λ.

178 V. 21. *Et cœperunt cogitare Scribæ ac Pharisæi, dicentes*, etc.

(A f. 87 b, C f. 116 b, H f. 271) Ὁ μὲν οὖν,

Et ille quidem, prout dictum est, Deo dignam

[31] Prov. v, 21. [32] I Tim. II, 4. [33] Jerem. VI, 7, 8. [34] Prov. III, 11.

(3) Observa Cyrilli doctrinam de sanctorum meritis, quæ et aliis fiunt utilia.

Digitized by Google

apprime potestatem habens, peccatorum remissionem nuntiabat. Verumtamen hic rursus sermo indocilem invidamque Pharisæorum officinam conturbat. Colloquebantur enim : Quis est hic qui dicit blasphemias? Atqui non ita loquereris, o Pharisæe, de illo, si divinas calleres Scripturas, si propheticorum meminisses verborum, si venerabile ac magnum incarnationis intelligeres sacramentum. Nunc ei crimen blasphemiæ impingunt, supremam decernentes pœnam, mortis reum damnantes : nam qui blasphemiam pronuntiasset adversus Deum, hunc perpeti supplicium Mosaica lex jubebat. Jam quia talia audebant, demonstrat illico se esse Deum, ut intolerabilem ipsorum impietatem coarguat. Nam quid, ait, cogitatis in cordibus vestris? Ergo cum dicis, o Pharisæe : Quis potest peccata dimittere, nisi unus Deus? ego quoque tibi dicam : Quis potest corda nosse, et intima in mente cogitationes pervidere, nisi solus Deus? Ipse enim alicubi dicit prophetarum voce : « Ego Dominus corda scrutans, et renes explorans [35]. » Ait item David de se simul et nobis : « Qui finxit sigillatim corda eorum [36]. » Ergo qui corda novit ac renes utpote Deus, hic peccata quoque dimittit tanquam Deus.

A ὅπερ εἴρηται, θεοπρεπεστάτην ἔχων τὴν ἐξουσίαν, τὴν τῶν ἁμαρτιῶν ἄφεσιν ἐπηγγέλλετο· θορυβεῖ δὲ πάλιν ὁ λόγος τὸ δυσμαθὲς καὶ βάσκανον τῶν Φαρισαίων ἐργαστήριον· προσελάλουν γὰρ ἀλλήλοις· Τίς οὗτός ἐστιν ὃς λαλεῖ βλασφημίας; Ἀλλ' οὐκ ἂν ἔφης ταῦτα, ὦ Φαρισαῖε, περὶ αὐτοῦ, εἰ τὰς θείας ἠπίστασο Γραφάς, εἰ τῶν προφητικῶν ἐμέμνησο λόγων, εἰ τὸ σεπτὸν καὶ μέγα τῆς ἐνανθρωπήσεως συνῆκας μυστήριον. Βλασφημίας δὲ ἐγκλήματι περιβάλλουσι, τὴν ἐσχάτην αὐτοῦ καθορίζοντες δίκην, καὶ θάνατον καταψηφιζόμενοι· τὸν γὰρ εἰπόντα δυσφημίας κατὰ τοῦ Θεοῦ θάνατον ὑπομένειν ὁ διὰ τοῦ Μωϋσέως προσέταττε νόμος. Ἐπειδὴ δὲ ἅπαξ τοῦτο τετολμήκασι, δείκνυσιν εὐθὺς ὅτι Θεός ἐστιν, ἵνα πάλιν οὐ φορητῶς δυσσεβοῦντας ἐλέγξῃ. Τί γὰρ, φησὶ, διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; Οὐκοῦν, ὅταν λέγεις, B ὦ Φαρισαῖε, Τίς δύναται ἁμαρτίας ἀφιέναι, εἰ μὴ εἷς ὁ Θεός; ἐρῶ σοι κἀγώ· Τίς δύναται καρδίας εἰδέναι καὶ τοὺς ἐν τῷ βάθει τῆς διανοίας λογισμοὺς καθορᾷν, εἰ μὴ μόνος ὁ Θεός; Αὐτὸς γάρ πού φησι διὰ φωνῆς τῶν προφητῶν, ὅτι « Ἐγὼ Κύριος ἐτάζων καρδίας, καὶ δοκιμάζων νεφρούς. » Ἔφη δέ που καὶ ὁ Δαβὶδ περί τε αὐτοῦ καὶ ἡμῶν· « Ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν. » Οὐκοῦν ὁ εἰδὼς καρδίας τε καὶ νεφροὺς ὡς Θεὸς, οὗτος ἀφίησι καὶ ἁμαρτίας ὡς Θεός.

V. 24. *Ut autem cognoscatis quia Filius hominis habet potestatem*, etc.

Deinde quia dicendo « dimittuntur tibi peccata tua » locus adhuc verisimilis incredulitati superest; nam remissa peccata homo non videt corporeis oculis; paralyticus autem pulso morbo surgens et gradiens, plane demonstrat Deo congruam potentiam; addit : Surgens« tolle grabatum tuum, et vade in domum tuam; » quod reapse peractum fuit; profectus est enim domum suam ille tam longa infirmitate liberatus. Demonstratum est itaque ipso facto Filium hominis potestatem habere dimittendi **179** in terra peccata. Jam vero de quonam hoc dicit? utrum de se, an etiam de nobis? Utrumque verum est. Ipse enim tanquam Deus humanatus, legisque Dominus, peccata remittit : verumtamen nos quoque tam splendidam miramque accepimus ab eo gratiam. Namque hac etiam dignitate naturam hominis voluit exornare. Ait itaque sanctis apostolis : « Amen dico vobis, quæcunque ligaveritis super terram, ligata erunt et in cœlis : et quæcunque solveritis super terram, soluta erunt et in cœlis [37]. » Et rursus : « Quorum remiseritis peccata, remittuntur eis : et quorum retinueritis, retenta sunt [38]. » Quandonam autem hæc illis dixisse comperitur? Nempe cum calcata mortis potentia, et e mortuis suscitatus, insufflavit eis dicens : « Accipite Spiritum sanctum [39]. » Nam cum eos suæ naturæ participes demonstrasset, eisdemque sanctum Spiritum inhabitare fecisset, tunc suæ quoque majestatis participes effecit, potestatem tribuens re-

Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου, κ. τ. λ.

(A f. 88, H f. 272) Εἶτα ἐπειδὴ γὰρ ἐν μὲν τῷ εἰπεῖν, « Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, » τόπος C ἐστὶ πολλάκις ἀπιστίας εὐάφορμος· ἀφιεμένας γὰρ ἁμαρτίας ἄνθρωπος οὐχ ὁρᾷ τοῖς τοῦ σώματος ὀφθαλμοῖς· τὸ δὲ ἀποβαλεῖν τὴν νόσον, καὶ ἀναστάντα περιπατεῖν τὸν παράλυτον, ἀπόδειξιν ἔχει σαφῆ τῆς θεοπρεποῦς ἰσχύος, ἐπάγει· « Ἐγερθεὶς ἆρον τὸ κλινίδιόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. » (A f. 88, H f. 273) Ὃ δὴ καὶ πέπραχται· ὑπενόστησε γὰρ εἰς τὴν οἰκίαν, τῆς οὕτω μακρᾶς ἀῤῥωστίας ἀπηλλαγμένος. Δέδεικται τοίνυν δι' αὐτοῦ τοῦ πράγματος, ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ γῆς ἀφιέναι ἁμαρτίας. Καὶ περὶ τίνος ἆρα τοῦτό φησιν; ἆρα περὶ αὐτοῦ ἢ καὶ περὶ ἡμῶν; Ἀληθὲς τοῦτό τε κἀκεῖνο· αὐτὸς μὲν γὰρ ὡς ἐνανθρωπήσας Θεὸς, ὡς τοῦ νόμου Κύριος, ἀφίησιν D ἁμαρτίας· ἐλάβομεν δὲ καὶ ἡμεῖς παρ' αὐτοῦ τὴν οὕτω λαμπρὰν καὶ ἀξιοθαύμαστον χάριν· ἐστεφάνωστε γὰρ τὴν ἀνθρώπου φύσιν καὶ τῇ τοιᾷδε τιμῇ· καὶ γοῦν ἔφη τοῖς ἁγίοις ἀποστόλοις· « Ἀμὴν λέγω ὑμῖν, ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς· καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τοῖς οὐρανοῖς. » Καὶ πάλιν· « Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἂν τινων κρατῆτε, κεκράτηνται. » Πότε δὲ ταῦτα πρὸς αὐτοὺς εὑρίσκεται λέγων; Ὅτε πατήσας τοῦ θανάτου τὸ κράτος καὶ ἐγηγερμένος ἐκ νεκρῶν, ἐνεφύσησεν αὐτοῖς λέγων· « Λάβετε Πνεῦμα ἅγιον. » Ἀποδείξας γὰρ αὐτοὺς τῆς αὐτοῦ φύσεως κοινωνοὺς, καὶ ἐνοι-

[35] Jerem. xvii, 10. [36] Psal. xxxiii, 15. [37] Matth. xviii, 18. [38] Joan. xx, 23. [39] ibid. 22.

Digitized by Google

κίσας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, τότε καὶ τῆς ἑαυτοῦ δόξης ἀπέφηνε κοινωνούς, δοὺς ἐξουσίαν ἀφιέναί τε καὶ κρατεῖν ἁμαρτίας. Ὅτι τοίνυν ἡμεῖς αὐτὸ δὴ τοῦτο πληροῦν προστετάγμεθα, πῶς οὐ πολὺ μᾶλλον αὐτὸς ἀφίησιν ἁμαρτίας, ὁ δοὺς ἑτέροις τὴν ἐξουσίαν τοῦ δύνασθαι τοῦτο δρᾶν (1) ; A mittendi vel etiam retinendi peccata. Jam quia nos hoc idem facere jussi fuimus, quanto magis ille peccata dimittit, qui aliis ejus rei faciendæ facultatem tradidit?

Καὶ ἐθεάσατο τελώνην ὀνόματι Λευΐν.

(A f. 88 b, B f. 60, C f. 116 b, H f. 275) Τελώνης γὰρ ἦν ὁ Λευΐς, ἀνὴρ ἄπληστος εἰς φιλοκερδείας, ἀχάλινος εἰς πλεονεξίαν, τῶν οὐδὲν αὐτῷ προσηκόντων ἄδικος ἁρπαστής· τοῦτο γὰρ τοῖς τελώναις τὸ ἐπιτήδευμα. Ἀλλ' ἐξ αὐτῶν ἡρπάζετο τῶν τῆς ἀδικίας ἐργαστηρίων, καὶ σέσωσται παραδόξως, κεκληκότος αὐτὸν τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· ἔφη γὰρ αὐτῷ· « Ἀκολούθει μοι· ὁ δὲ πάντα ἀφεὶς, ἠκολούθησεν αὐτῷ. » — (A f. 89, H f. 276 b) Ὁρᾷς ὡς ἀληθεύει λέγων ὁ σοφώτατος Παῦλος, ὡς Χριστὸς ἦλθεν ἁμαρτωλοὺς σῶσαι ; Ὁρᾷς ὡς σαρκωθεὶς ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος τὰ σκεύη τοῦ διαβόλου μετέστησεν εἰς ἑαυτόν ; Καὶ σέσωσται μὲν ὁ Λευΐς, ἡμῖν δὲ τὸ πρᾶγμα χρηστὰς ἐνεποίησε τὰς ἐλπίδας. Ὡς γὰρ σώσει τὸ μετανοεῖν, ἐξ αὐτοῦ τοῦ γεγονότος δεδιδάγμεθα. Πιστώσεται δὲ καὶ αὐτὸς ὁ τῶν ὅλων Δεσπότης Θεὸς διὰ φωνῆς προφήτου λέγων· « Ἐπιστράφητε πρός με, καὶ σωθήσεσθε, οἱ ἀπ' ἐσχάτου τῆς γῆς. » Ἀλλ' οὐδὲν τούτων τοὺς Φαρισαίους ἐνέτρεψεν· ἀλλ' ἐγκαλοῦσι τοῖς μαθηταῖς· ἄκουε γάρ· B V. 27. *Et vidit publicanum nomine Levi.*

Publicanus quippe erat Levi, homo lucris insatiabilis, effrenatus ad avaritiam, bonorum non suorum injustus appetitor. Sunt enim hæc publicanorum studia. Nihilo tamen minus ereptus fuit de officina iniquitatis, et præter spem salvatus, vocante ipsum communi nostro Servatore Christo, qui dixit ei : « Sequere me. At ille, omnibus relictis, secutus est eum. » — Viden' quam vere sapientissimus Paulus dicat [40], Christum venisse ob salvandos peccatores? **180** Viden' ut humanatum unigenitum Dei Verbum vasa diaboli ad se transtulit? Et salvatus est quidem Levi, nobis vero hæc res bonam spem creavit. Nam quod pœnitentia salvet, ex acta re docti fuimus. Sed et ipse universalis Dominus Deus prophetæ voce testabitur dicens : « Convertimini ad me, atque ab extremis usque terræ salvabimini [41]. » Sed nihil horum Pharisæos permovit ; quinimo exprobrabant discipulis. Audi enim :

Καὶ ἐγόγγυζον οἱ Γραμματεῖς αὐτῶν καὶ οἱ Φαρισαῖοι, πρὸς τοὺς μαθητὰς αὐτοῦ λέγοντες, κ. τ. λ. C V. 30. *Et murmurabant Scribæ eorum et Pharisæi, dicentes ad discipulos ejus*, etc.

(A f. 89, C f. 117, G f. 11 b, H f. 277 b) Ἀλλ' εἰσί τινες οἱ τῆς θείας γαληνότητος ἐπιχειροῦντες ἀποστερεῖν τοὺς ταῖς ἁμαρτίαις ἐνειλημμένους· οὐ γὰρ παραδέχονται τὴν μετάνοιαν, ἀλλ' οἷον ἐπιτιμῶσι τῷ σώζοντι, ζητοῦντι τὰ ἑαυτοῦ, καὶ πανταχόθεν συλλέγοντι τὸ ἐσκορπισμένον. Πρὸς οὓς ἐροῦμεν· Ἐγόγγυζον πρὸ ὑμῶν οἱ Φαρισαῖοι, κεκλημένον ὁρῶντες τὸν Λευΐν, καὶ τελωνῶν ὄχλον συναγηγερμένων καὶ συνεστιωμένων τῷ πάντων ἡμῶν Σωτῆρι Χριστῷ. Εἶτα προσιόντες τοῖς ἁγίοις ἀποστόλοις, κατηγοροῦντο λέγοντες· Διὰ τί μετὰ τῶν τελωνῶν ἐσθίετε καὶ πίνετε ; Ἀλλ' ἤκουον· Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ. Ὁ γὰρ τῶν ὅλων Σωτὴρ, ἅτε δὴ ἰατρὸς ὑπάρχων πνευμάτων, οὐκ ἀποφοιτᾷ τῶν δεομένων αὐτοῦ, καὶ ὡς διασῴζειν δυνάμενος, τοῖς οὔπω κεκαθαρμένοις οἰκονομικῶς συνηυλίζετο. Ἴδωμεν δὲ, Φαρισαῖε, τοῦ σοῦ φρονήματος τὴν ἀγερωχίαν· ὁποίων σοι γεγονέναι αἰτιαμάτων πρόξενος ἡ κατὰ τῶν ἐν ἁμαρτίαις ὀφρὺς, αὐτὸν λάβωμεν ἐξηγητὴν, At sunt nonnulli, qui divina clementia spoliare nituntur illos qui peccatis se implicuerunt. Non enim pœnitentiam admittunt, sed quodammodo objurgant salvantem, sua quærentem, atque undique colligentem quod dispersum est. Quos ita nos affabimur: Murmurarunt ante vos Pharisæi, vocatum cernentes Levim, et publicanorum turbam congregatorum, et cum communi nostro Servatore Christo epulantium. Accedentes deinde ad sanctos apostolos expostulabant dicentes : Cur cum publicanis vescimini ac bibitis? Sed responsum acceperunt : Non est opus medico valentibus. Namque omnium Servator, utpote spirituum medicus, non fugit a quærentibus se ; sed quia abluere poterat, prudente consilio cum nondum mundis conversabatur. Nunc videamus, Pharisæe, mentis tuæ tumorem. Quanto tibi crimini ascripta fuerit tua adversus peccatores superbia, ipsum audiamus narrantem, qui omnia novit, Christum. Dixit enim de D

[40] I Tim. I, 15. [41] Isa. XLV, 22.

(1) Observent hæretici evidentem sacramenti pœnitentiæ institutionem, datamque a Christo sacerdotibus absolvendi a peccatis potestatem. Observent etiam Græci quam sit datæ a Christo auctoritati, et huic Cyrilli loquendi modo, magis consentanea formula apud Latinos potestativa *Ego te absolvo in nomine*, etc., quam Græcorum deprecatoria. Cæteroqui de hac formulæ controversia copiose Arcudius, *De concord.*, lib. IV, cap. 3 et 4, et laudabili cum æquitate Goarius in adn. ad Enchologium Gr. p. 351. Benedictus PP. XIV in const. *Etsi pastoralis* (Bullar. ejus t. I, p. 172), ritus magis retinendi causa, quam aliquid definiendi, jubet ut Græci ipsi presbyteri, si necessitas urgeat, Latinos absolvant, formula tamen potestativa nostra; cui, si voluerint, superaddant etiam suam deprecatoriam.

Digitized by Google

Pharisæo inter orandum gloriante, et de publicano semet accusante : « Amen dico vobis, descendit hic justificatus in domum suam, præ illo Pharisæo[42]. » En ergo justus evasit publicanus suum confessus peccatum, magis quam superbus Pharisæus. — Quamobrem reprehendunt Pharisæi Servatorem cum peccatoribus vescentem? Quia lege cautum erat[43], ut inter sanctum et profanum distingueretur, id est ut res sanctificata **181** cum polluta non commisceretur. Hanc illi tuentes legem, accusabant; reapse autem livor erat adversus Dominum, et cavillatio. Declarat ergo illis se nunc haud judicem adesse, sed medicum : agitque medici officium cum illis versans qui medela egebant. A prima ergo criminatione repulsi, aliam intendunt, causantes quod discipuli non jejunarent, atque hinc occasionem Jesum quoque calumniandi captantes.

Et videsis malitiæ illorum perseverantiam. Postquam primæ interrogationi suæ responsum acceperant, ad aliam transeunt, ansam omnino quærentes accusandi sanctos discipulos et ipsum cum illis Jesum, quod legem Moysis pensi non haberent. Sed responsum audiunt : Nunc nuptiæ sunt, tempus est vocationis, tempus magisterii : educantur pueri, lactantur vocati, non est jejunandi tempus. Utique vos, aiunt, cum publicanis ac peccatoribus convivamini : cum tamen lex vetet quominus purus misceatur impuris. Et quidem ut legem transgrediamini, charitatem erga homines obtentui habetis. Cur ergo saltem non jejunatis, ut pii homines solent et ex legis norma viventes? Atqui ad hæc respondere sic licet : Ain' vero satisne tu nosti, o Judæe, jejunandi rationem? Jejunastine aliquando juxta Dei voluntatem? Imo potius, ut ait Isaias, « Jejuniorum vestrorum tempore voluntates vestras invenitis, omnesque subditos vestros compungitis. Si ad lites contentionesque jejunatis, et humilem pugno percutitis, cur mihi, inquam, jejunatis? Haud ego tale jejunium elegi, dicit Dominus[44]. » Age vero quomodo tu qui jejunandi rationem ignoras, sanctos incusas apostolos, quia ex norma tua non jejunant? Sed et alioqui, hi qui in novo Christi fœdere sunt instituti, jejunant rationaliter, videlicet seipsos deprimentes ante oculos Dei, sibique voluntariam pœnam imponentes, afflictionem cibique abstinentiam, ut culparum veniam referant, vel certe aliud lucrentur spiritale donum, vel denique peccati legem **182** in carnis membris mortificent. Hanc tu ignoras, Pharisæe, viam : non enim admisisti venientem de cœlo sponsum, virtutis omnis satorem ac magistrum, Christum scilicet. Præterea sancti quidem ideo jejunant, ut corpus macerantes, perturbationes ejus sedent. Christus autem haud indiguit jejunio ob implenda virtutis officia, cum eujuslibet perturbationis utpote Deus expers esset :

A τὸν πάντα εἰδότα Χριστόν· ἔφη γὰρ περὶ Φαρισαίου μεγαλαυχοῦντος ἐν τῷ προσεύχεσθαι, καὶ τελώνου τινὸς ἑαυτοῦ κατηγοροῦντος· « Ἀμὴν λέγω ὑμῖν, ὅτι κατέβη δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ, παρ' ἐκεῖνον τὸν Φαρισαῖον. » Ἆρ' οὖν δεδικαίωται ὁ τελώνης, ὁμολογήσας τὴν ἁμαρτίαν ὑπὲρ τὸν ὑπερόπτην[a] Φαρισαῖον.— (B.f.60) Δι' ἣν δὲ αἰτίαν ἐπιλαμβάνονται οἱ Φαρισαῖοι τοῦ Σωτῆρος ἁμαρτωλοῖς συνεσθίοντος; Ὅτι νόμος ἦν διαστέλλειν ἀνὰ μέσον ἁγίου καὶ βεβήλου, τουτέστιν ἡγιασμένον μὴ συναναμίγνυσθαι βεβήλοις· τοῦτον ἐκδικοῦντες ὄθεν τὸν νόμον ἐνεκάλουν· τὸ δὲ ἦν φθόνος κατὰ τοῦ Κυρίου, καὶ φιλοσκωμμοσύνη. Δείκνυσιν οὖν αὐτοῖς, ὅτι οὐχ ὡς κριτὴς πάρεστι νῦν, ἀλλ' ὡς ἰατρός· καὶ ποιεῖ τὸ ἐπιβάλλον τῇ ἰατρικῇ, συνὼν τοῖς ἰάσεως δεομένοις. Ἐπειδὴ δὲ B τοῦ πρώτου τὸν λόγον ἐδέξαντο, καὶ ἕτερον προστιθέασιν αἰτιώμενοι τὸ μὴ νηστεύειν τοὺς μαθητάς, ἐντεῦθεν βουλόμενοι πορίσασθαι λαβὴν κατ' αὐτοῦ.

(A f. 89 b, B f. 60, H f. 278 b) Ὅρα δὲ τὴν ἐπιμονὴν τῆς κακουργίας αὐτῶν. Ἐπειδὴ τοῦ πρώτου τὸν λόγον ἐδέξαντο, ἀπ' ἄλλων εἰς ἄλλα μεταβαίνουσι, βουλόμενοι λαβὴν ποιήσασθαι καὶ ἀποφῆναι τοὺς ἁγίους μαθητὰς, καὶ αὐτὸν δὲ σὺν αὐτοῖς τὸν Ἰησοῦν, ὀλίγα τοῦ νόμου πεφροντικότας· ἀλλ' ἀκούουσι πάλιν· Νυμφών ἐστι νῦν, καιρὸς κλήσεως, καιρὸς διδασκαλίας· ἀνατρέφονται οἱ παῖδες, γαλουχοῦνται οἱ κεκλημένοι, οὐκ ἔχει καιρὸν ἡ νηστεία. Ναὶ γάρ, φασὶ, συνεστιᾶσθε τελώναις καὶ ἁμαρτωλοῖς, καίτοι τοῦ νόμου προστάττοντος μὴ συναναμίγνυσθαι τοῖς ἀκαθάρτοις C τὸν καθαρόν· καὶ πρόφασις ὑμῖν τοῦ παραβαίνειν τὸν νόμον, ἡ φιλανθρωπία γέγονε. Διὰ τί μὴ νηστεύετε κατά γε τὸ εἰωθὸς τοῖς ἐπιεικέσι καὶ ζῆν ἐθέλουσι νομικῶς; Πρὸς δὲ τὰ τοιαῦτα φαίη τις ἄν· Ὅλως γὰρ οἶδας, ὦ Ἰουδαῖε, τοῦ νηστεύειν τὴν ὁδόν; Νενήστευκάς ποτε κατὰ τὸ θέλημα τοῦ Θεοῦ; Ὡς γάρ φησιν ὁ προφήτης Ἡσαΐας· « Ἐν ταῖς ἡμέραις τῶν νηστειῶν ὑμῶν εὑρίσκετε τὰ θελήματα ὑμῶν, καὶ πάντας τοὺς ὑποχειρίους ὑμῖν ὑπονύσσετε. Εἰ εἰς κρίσεις καὶ μάχας νηστεύετε, καὶ τύπτετε πυγμαῖς ταπεινὸν, ἵνα τί μοι νηστεύετε; Οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην, λέγει Κύριος.» Εἶτα, πῶς ὁ νηστεῦσαι μὴ εἰδὼς, αἰτιᾷ τοὺς ἁγίους ἀποστόλους ὅτι μὴ νηστεύουσι κατὰ σέ; Καὶ καθ' ἕτερον δὲ τρόπον οἱ διὰ τῆς νέας καὶ ἐν Χριστῷ διαθήκης σεσο- D φωμένοι, νηστεύουσι λογικῶς· τοῦτο μὲν, ταπεινοῦντες ἑαυτοὺς ἐν ὀφθαλμοῖς τοῦ Θεοῦ, καὶ αὐτόθλητον ὥσπερ ἐφ' ἑαυτοῖς ἄγοντες δίκην, τὴν ἀπό γε τοῦ πόνου καὶ τῆς ἀσιτίας, ἵνα πλημμελημάτων ἀμνηστίαν κομίσωνται, ἢ γοῦν ἕτερον χάρισμα κερδάνωσι πνευματικὸν, ἢ καὶ τὸν τῆς ἁμαρτίας κατανεκροῦντες νόμον τὸν ἐν τοῖς μέλεσι τῆς σαρκός· ταύτην δὲ οὐκ οἶσθα τὴν ὁδὸν, ὦ Φαρισαῖε· οὐ γὰρ παρεδέξω τὸν ἐξ οὐρανοῦ νυμφίον, τὸν ἁπάσης ἀρετῆς σπορέα καὶ διδάσκαλον, ὁηλονότι Χριστόν. Ἔτι οἱ μὲν ἅγιοι διὰ τοῦτο νηστεύουσιν, ἵνα κατατήκοντες τὸ σῶμα, κατευνάσωσι τὰ ἐν αὐτῷ πάθη· ὁ δὲ

[42] Luc. XVIII, 14. [43] Levit. XI, 47. [44] Isa. LVIII, 3-5.

[a] Al. cod. ὑπερόφρυν.

Digitized by Google

Χριστὸς οὐ χρείαν εἶχε νηστείας πρὸς κατόρθωσιν ἀρετῆς, παντὸς ὢν πάθους, ὡς Θεὸς, ἐλεύθερος· πλὴν οὔτε οἱ συνόντες αὐτῷ, μεταλαμβάνοντες τῆς δι' αὐτοῦ χάριτος, καὶ ἰσχυροποιούμενοι, καὶ τὴν ἀρετὴν ἐργαζόμενοι καὶ δίχα νηστείας· εἰ δὲ καὶ ἐνήστευσε τὰς τεσσαράκοντα ἡμέρας, οὐχ ἵνα νεκρώσῃ ἐν ἑαυτῷ τὰ πάθη, ἀλλ' ἵνα τοῖς ἀνθρώποις τὸν τῆς ἐγκρατείας ἐν ἑαυτῷ διαγράψῃ νόμον. Εἰκότως τοίνυν ἀπολογεῖται λέγων ταῦτα ἅπερ, ἐπάγει ὁ εὐαγγελιστής. A neque item jejunio indigebant familiares ejus, postquam ejusdem gratiam participaverant, eaque fuerant roborati, ideoque absque etiam jejunio virtutem exerrebant. Quod si nihilominus quadraginta diebus jejunavit Christus, haud sane ob eam causam ut in se passiones mortificaret, sed ut hominibus continentiæ legem exemplo suo describeret. Merito igitur defendit se, dicens ea verba quæ subjicit evangelista :

Ὁ δὲ εἶπε πρὸς αὐτούς· Μὴ δύνασθε τοὺς υἱοὺς τοῦ νυμφῶνος, ἐν ᾧ ὁ νυμφίος μετ' αὐτῶν ἐστι, ποιῆσαι νηστεύειν;

V. 34. *Quibus ipse ait : Num potestis filios sponsi, dum cum illis est sponsus, facere jejunare?*

(A f. 90, H f. 279 b) Ἄθρει δή μοι πάλιν, πῶς αὐτοὺς ἀποφαίνει Χριστὸς οὐ μετεσχηκότας τῆς ἑορτῆς, ἀλλ' ἡμοιρηκότας εἰσάπαν τῆς ἐπ' αὐτῷ θυμηδίας, ἔξω τε κειμένους πανηγύρεως οἰκουμενικῆς· πανήγυρις γὰρ, καὶ ἕτερον οὐδὲν, ἡ τοῦ Σωτῆρος ἡμῶν εἰς τόνδε τὸν κοσμὸν ἀνάδειξις, καθάπερ τινὰ νύμφην συνάπτουσα νοητῶς αὐτῷ τὴν ἀνθρώπου φύσιν· ἵν' ἡ πάλαι στεῖρα, εὔκαρπος γένηται καὶ γονιμωτάτη. Οὐκοῦν τοῦ μὲν νυμφῶνος υἱοὶ πάντες, ὅσοι κέκληνται παρ' αὐτοῦ διὰ τοῦ νέου τε καὶ εὐαγγελικοῦ κηρύγματος· οὐκέτι δὲ καὶ οἱ Γραμματεῖς καὶ Φαρισαῖοι, μόνῃ προσέχοντες τῇ τοῦ νόμου σκιᾷ. — (A f. 90, H f. 180 b) Ἐπειδὴ δὲ ἅπαξ τοῖς τοῦ νυμφῶνος υἱοῖς συγκεχώρηκε τὸ ὡς ἐν καιρῷ καὶ χρείᾳ μὴ χρῆναι πονεῖν, ὡς ἑορτὴν τελοῦντας πνευματικὴν, ἵνα μὴ ἀπόβλητος ἡ νηστεία γένηται παρ' ἡμῖν εἰς ἅπαν, οἰκονομικώτατα λίαν ἐπιφέρει λέγων· B ejusdem gaudio carituros, extra œcumenicam panegyrim positos. Nam nihil aliud nisi panegyris fuit Servatoris nostri in hunc mundum ostensio, qua veluti quamdam sponsam sibi intellectualiter copulavit hominis naturam : ut quæ olim sterilis erat, fructuosa deinceps et fecundissima fieret. Igitur sponsi filii omnes sunt, qui ab eo vocati fuerunt nova et evangelica prædicatione : non tamen Scribæ ac Pharisæi, qui legis umbræ unice adhærent. — Postquam vero semel concessit sponsi filiis quominus pro tempore et rei usu haud se affligerent, utpote qui spiritalem solemnitatem agerent; ne nobis abjiciendum prorsus videretur jejunium, prudentissime pergit dicere :

Ἐλεύσονται δὲ ἡμέραι καὶ ὅτε ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος· τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις. C

V. 5. *Venient autem dies cum ablatus fuerit ab ipsis sponsus : tunc jejunabunt illis diebus.*

(A f. 90, H f. 280 b) Πάντα γὰρ καλὰ ἐν καιρῷ αὐτῶν. Τί δέ ἐστι τὸ ἀρθῆναι ἀπ' αὐτῶν τὸν νυμφίον; Τὸ ἀναληφθῆναι δηλονότι.

Cuncta enim si suo tempore fiant, bona sunt. Quid est enim auferri ab ipsis sponsum? nimirum in cœlum assumi.

Ἔλεγε δὲ καὶ παραβολὴν πρὸς αὐτούς, κ. τ. λ.

183 V. 36. *Dicebat autem et similitudinem illis*, etc.

(A f. 90 b, B f. 60 b, G f. 12, H f. 281) Ὅτι δὲ ἀπαράδεκτα τοῖς τὴν νομικὴν ἔχουσιν ἀγωγὴν τὰ διὰ Χριστοῦ θεσπίσματα, καὶ ἀχώρητά πως εἰσιν ἀνθρώπων καρδίαις οὔπω λαχούσαις τὸν διὰ τοῦ ἁγίου Πνεύματος ἀνακαινισμὸν, διαδείκνυσι λέγων ὁ Κύριος, μὴ δύνασθαι ῥάκος ἱματίου καινῷ προσβάλλεσθαι· μήτε μὴν ἀσκοὺς παλαιοὺς οἶνον νέον δύνασθαι χωρεῖν. Πεπαλαίωται μὲν γὰρ ἡ πρώτη διαθήκη, D καὶ οὐκ ἦν ἄμεμπτος· οὐκοῦν οἱ ταύτῃ προσκαθήμενοι, καὶ τὴν γηράσασαν ἐντολὴν εἰς νοῦν ἔχοντες, ἀμέτοχοι μέν εἰσι τῆς ἐν Χριστῷ καινότητος· « Πάντα γὰρ γέγονεν ἐν αὐτῷ καινά· » σεσαθρωμένην δὲ τὴν διάνοιαν ἔχοντες, ἀσύμβατοί τε καὶ ἀσυναφεῖς εἰσι τοῖς τῆς νέας διαθήκης ἱερουργοῖς. Καὶ γοῦν δι' ἑνὸς τῶν ἁγίων προφητῶν ἔφη που περὶ αὐτῶν ὁ τῶν ὅλων Θεὸς, ὅτι « Καρδίαν καινὴν καὶ πνεῦμα καινὸν δώσω ἐν αὐτοῖς. » Ψάλλει δὲ καὶ Δαβίδ· « Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεὸς, καὶ πνεῦμα εὐθὺ ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. » Προστετάγμεθα δὲ καὶ ἀποδύσασθαι μὲν τὸν παλαιὸν ἄνθρωπον, ἐνδύσασθαι Quod ab iis qui legalis vitæ generi adhærent, admitti nequeant Christi constituta, neque cordibus capi hominum qui nondum a sancto Spiritu renovationem sint nacti, demonstrat Dominus dicens : non posse vetus vestis segmentum in novam vestem immitti, neque veteres utres vinum novum capere posse. Senuerat jam fœdus primum, nec reprehensione carebat. Ergo qui huic adhærent, et antiquatum præceptum mente adhuc tenent, Christi novitatem non possunt participare; namque « omnia in eo facta sunt nova [45]. » Marcidam ergo mentem habentes, concordare aut conciliari novi fœderis sacerdotibus nequeunt. Atqui per unum de sanctis prophetis dixit alicubi de ipsis universalis Deus : « Cor novum spiritumque novum dabo ipsis [46]. » Canit etiam David : « Cor mundum crea in me, Deus, et spiritum rectum innova in visceribus meis [47]. » Præterea jussi sumus veterem hominem exuere, novumque induere, ad sui Creatoris imaginem renovatum [48]. Suadet quoque Paulus dicens :

[45] II Cor. v, 17. [46] Ezech. xxxvi, 26. [47] Psal. l, 12. [48] Coloss. iii, 9.

Digitized by Google

« Nolite conformari huic sæculo, sed transformamini novitate mentis vestræ, ut probetis quæ sit voluntas Dei bona et beneplacens et perfecta [48]. » Igitur qui spiritus nondum sunt adepti renovationem, ne probare quidem sciunt quæ sit voluntas Dei bona et beneplacens et perfecta. Est ergo vetus utriculus, Judæorum cor, neque propterea novum capit vinum, id est evangelicam salutaremque legem, quæ hominis cor lætificat [49]. Nos autem hujusmodi bonis redundantes Christus effecit.

A δὲ τὸν νέον, τὸν ἀνακαινούμενον κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν. Συμβουλεύει δὲ καὶ Παῦλος λέγων· « Μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν, εἰς τὸ δοκιμάζειν ὑμᾶς τί τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν, καὶ εὐάρεστον καὶ τέλειον. » Οὐκοῦν οἱ μήπω τὸν ἐν πνεύματι λαχόντες ἀνακαινισμὸν, οὐδὲ δοκιμάζειν ἴσασι τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν, καὶ εὐάρεστον καὶ τέλειον· ἀσκὸς τοιγαροῦν παλαιὸς, ἡ τῶν Ἰουδαίων καρδία· καὶ οὐ κεχώρηκε διὰ τοῦτο τὸν οἶνον τὸν νέον, τουτέστι τὸ εὐαγγελικὸν καὶ σωτήριον θέσπισμα, τὸ καρδίαν εὐφραῖνον ἀνθρώπου. Ἡμᾶς δὲ μεστοὺς τῶν τοιούτων ἀγαθῶν ἀπέφηνεν ὁ Χριστός.

CAP. VI.

ΚΕΦΑΛ. ϛ' (1).

V. 2. *Cur facitis quod non licet in Sabbatis facere?*

Adhuc novum fœdus nobis Deus promittit, ceu jam veterascente priore, et propediem abolendo, juxta divi Pauli dictum [51]. Et quidem per unum de sanctis prophetis **184** jam dixerat Deus : « Ecce dies veniunt, dicit Dominus, et faciam cum domo Israelis et cum domo Judæ fœdus novum; non secundum fœdus quod pepigi cum patribus eorum, die qua apprehendi manum eorum, ut educerem eos de regione Ægypti [52]. » Si ergo diversum a priore est hoc alterum fœdus, prorsus necesse est eos qui ipsum exsequi volunt, haud jam veteribus uti legibus, sed iis potius quæ ad evangelicæ vitæ novitatem transferre queunt. Atqui nihil hujusmodi mente volutare Scribas et Pharisæos apparet· quippe qui sacrarum Litterarum omnino sunt imperiti; unum vero illis inest studium obtrectandi semper divinæ ac cœlesti prædicationi. Insidiantur itaque sanctis apostolis omnium nostrum Servatorem Christum inseparabiliter sequentibus, aiuntque huic de ipsis : En legis præceptis adversantes videmus alumnos tuos; nam quæ Sabbatis non licent, faciunt; siquidem jubente lege otiari Sabbato, nullumque omnino laborem attingere, spicas manibus contundunt discipuli. Ain' vero tu ipse (o Pharisæe), cum sabbaticam tibi exhibes mensam, nonne panem confringis? Cur ergo alios criminaris? Ut autem ipsa tibi Servatoris verba opponamus, audi :

Τί ποιεῖτε ὃ οὐκ ἔξεστι ποιεῖν ἐν τοῖς Σάββασι;

(A f. 91 b, B f. 61 b, H f. 284 b) Ἔτι καινὴν διαθήκην ἡμῖν ὑπισχνεῖται Θεὸς, ὡς παλαιωθείσης τῆς πρώτης, καὶ ἐγγὺς γενομένης ἀφανισμοῦ, κατὰ τὴν τοῦ θεσπεσίου Παύλου φωνήν. Καί γέ φησι δι' ἑνὸς τῶν ἁγίων προφητῶν· « Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ καὶ ἐπὶ τὸν οἶκον Ἰούδα, διαθήκην καινήν· οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, τοῦ ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου. » Οὐκοῦν εἰ ἑτέρα παρὰ τὴν πρώτην ἐστὶ καὶ δευτέρα ἡ καινὴ, πᾶσά πως ἀνάγκη τοὺς ἀποπεραίνειν αὐτὴν ἐθέλοντας οὐχὶ τοῖς ἀρχαίοις κεχρῆσθαι νόμοις, ἀλλὰ τοῖς εἰς καινότητα πολιτείας εὐαγγελικῆς ἀποφέρειν εἰδόσιν. Ἀλλ' οὐδὲν τῶν τοιούτων εἰς νοῦν ἐσχηκότας ἔνεστιν ἰδεῖν τοὺς Γραμματέας τε καὶ Φαρισαίους· ἀνεπιστήμονες γὰρ παντελῶς τῶν ἱερῶν εἰσι Γραμμάτων· εἷς δὲ γέγονεν αὐτοῖς ὁ σκοπὸς, τὸ διασύρειν ἀεὶ τὸ θεῖόν τε καὶ οὐράνιον κήρυγμα. Ἐφεδρεύουσι γοῦν τοῖς ἁγίοις ἀποστόλοις, ἑπομένοις ἀπερισπάστως τῷ πάντων ἡμῶν Σωτῆρι Χριστῷ, καί φασιν αὐτῷ περὶ αὐτῶν· Ἰδοὺ τοῖς νομικοῖς ἐντάλμασιν ἐναντιουμένους ὁρῶμεν τοὺς ὑπὸ σοῦ παιδαγωγουμένους· ὁρῶσι γὰρ ὃ οὐκ ἔξεστι ποιεῖν τοῖς Σάββασι· τοῦ γὰρ νόμου κελεύοντος ἀργεῖν ἐν Σαββάτῳ, καὶ μηδενὸς παντάπασιν ἅπτεσθαι πόνου, περιτρίβουσι ταῖς χερσὶν ἀστάχυας οἱ μαθηταί. Σὺ δὲ αὐτὸς εἰπέ μοι, τὴν σαββατικὴν σαυτῷ τράπεζαν παραθεὶς, οὐ συνθραύεις τὸν ἄρτον; Τί οὖν ἑτέρους αἰτιᾷ; Ἵνα δέ σοι καὶ αὐτοὺς ἐπιτειχίσωμεν τοῦ Σωτῆρος τοὺς λόγους, ἄκουε·

V. 3. *Respondensque eis Jesus ait : Ne hoc quidem legistis quod fecit David?* etc.

Atqui etiamsi hæc contra legis omnino placitum David egit, in summa apud nos æstimatione est, jure meritoque; nam sanctus vere prophetaque erat. Ergo cum Moysis lex diserte jubeat [53], æquo jure judicare, neque alicujus personæ respectum in judicio habere, curnam meos, inquit, condemnastis discipulos; cum nihilominus suspiciatis in sancti prophetæque loco beatum Davidem, qui Moysis

Καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπεν ὁ Ἰησοῦς· Οὐδὲ τοῦτο ἀνέγνωτε ὃ ἐποίησε Δαβίδ; κ. τ. λ.

(A f. 91 b, B f. 61 b, H f. 284 b) Ἀλλὰ καίτοι ταῦτα πεπραχὼς ὁ Δαβὶδ, παρά γε τὸ τῷ νόμῳ δοκοῦν, τοῦ παντὸς παρ' ἡμῖν ἀξιοῦται θαύματος, ὀρθῶς καὶ δικαίως· καὶ γὰρ ἦν ἀληθῶς ἅγιος καὶ προφήτης. Οὐκοῦν τοῦ διὰ Μωϋσέως νόμου φάσκοντος ἐναργῶς, « Κρῖμα δίκαιον κρίνατε, καὶ οὐ λήψῃ πρόσωπον ἐν κρίσει, » πῶς τοὺς ἐμοὺς, φησὶ, κατεκρίνατε μαθητὰς, καὶ εἰς δεῦρο θαυμάζοντες ὡς

[48] Rom. XII, 2. [49] Judic. IX, 13. [51] Hebr. VIII, 13. [52] Jerem. XXXI, 31. [53] Deut. I, 16.

(1) Divus Thomas in catena habet Cyrilli particulam etiam ad v. 1. « CYRILLUS. Duplex enim erat festum; et principalis festi, et alterius solemnitatis Sabbati. »

Digitized by Google

ἅγιον καὶ προφήτην τὸν μακάριον Δαβίδ, καίτοι τὴν Μωϋσέως ἐντολὴν οὐ τετηρηκότα; — (A f. 92, B f. 287) Διὰ μὲν οὖν τῶν ἄρτων, σαφῶς ὁ ἄρτος ἡμῖν ὁ ἐξ οὐρανοῦ δείκνυται προκειτόμενος ἐν ἁγίαις τραπέζαις ἐκκλησιῶν. Ὅσα δὲ σκεύη τῆς τραπέζης, δι' ὧν ἡ μυστικὴ χρεία πληροῦται, τῶν θείων κειμηλίων τύπος ἂν εἴη σαφής. — Πνευματικῶς δὲ τοὺς δώδεκα ἀποστόλους· περὶ ὧν ἑξῆς δὲ εἰρήσεται, ὅτε εἰς αὐτοὺς δὴ τοὺς μαθητὰς ἡμῖν ὁ λόγος περιελεύσεται.

A præceptum non servavit? — Panibus illis (propositionis) manifeste denotatur nobis cœlestis panis in sanctis postea mensis proponendus. Quotquot autem vasa ad mysticum mensæ usum adhibebantur, ea sacrorum apud nos cimeliorum typus **185** perspicuus erant.—Spiritaliter autem (duodecim panibus) duodecim significantur apostoli, de quibus infra dicetur, cum ad ipsos discipulos sermo noster deveniet (1).

Καὶ ἐδίδασκεν. Καὶ ἦν ἐκεῖ ἄνθρωπος, καὶ ἡ χεὶρ αὐτοῦ ἡ δεξιὰ ἦν ξηρά.

V. 6. *Et docebat. Eratque ibi homo, cujus manus dextera erat arida.*

(A f. 92 b, B f. 61 b, G f. 12 b, H f. 288 b) Ἐδίδασκε δὲ πάντως που τὰ ὑπὲρ νοῦν, καὶ ὅσα τῆς δι' αὐτοῦ σωτηρίας ἐμφανῆ καθίστη τὴν ὁδὸν τοῖς ἀκροωμένοις· εἶτα ταῖς μυσταγωγίαις ἐπομένην εὐθὺς τῆς θεοπρεποῦς ἰσχύος ἐποιεῖτο τὴν ἐπίδειξιν, μονονουχὶ καταλεαίνων τῷ λόγῳ τὴν εἰς τὸ πιστεύεσθαι τρίβον· μεθίστησι γὰρ ἔσθ' ὅτε τὸ θαῦμα πρὸς πίστιν, κἂν ἀπιστῆται λόγος. Φαρισαῖοι δὲ παρετηροῦντο αὐτὸν, εἰ ἐν Σαββάτῳ θεραπεύσει. Τοιοῦτος γάρ ἐστι βάσκανος ἀνήρ· τὰς ἑτέρων εὐφημίας τροφὴν ποιεῖται τῇ νόσῳ, καὶ ταῖς ἑτέρων εὐκλείαις ἀδίκως ἐπιμαίνεται. Καὶ τί πρὸς τοῦτο πάλιν ὁ πάντα εἰδὼς, ὁ τὰς καρδίας ἐτάζων καὶ γινώσκων τὰ ἐν αὐταῖς; « Τὸ γὰρ φῶς μετ' αὐτοῦ ἐστι, » κατὰ τὸ γεγραμμένον. Εἶπε τῷ ξηρὰν ἔχοντι τὴν χεῖρα· « Στῆθι εἰς τὸ μέσον. » Καὶ τίς ὁ λόγος τοῦ πράγματος; Τάχα ὅπως καλέσῃ πρὸς ἔλεον τὸν ἀπηνῆ καὶ ἀφιλοικτίρμονα Φαρισαῖον· τάχα δυσωπήσει τὸ πάθος αὐτοὺς, καὶ τὰς τοῦ φθόνου φλόγας ἠρεμεῖν ἀναπείσει.

B Docebat prorsus superiora intellectui, et quæ viam salutis a se dandam audientibus patefaciebant. Deinde doctrinæ consentaneam statim faciebat demonstrationem dignæ Deo potentiæ, postquam verbis viam fidei quodammodo complanasset. Nam miraculum aliquando ad fidem convertit, etiamsi forte verbis non credatur. Pharisæi interim observabant eum, num Sabbato curaret. Sic enim comparatus est homo lividus: aliorum bonam famam morbo suo escam facit, et alienæ gloriæ irascitur iniquе. Quid autem ad hæc rursus is qui omnia scit, qui corda scrutatur et quæ intra ea sunt cognoscit? nam lux cum illo est, ut ait Scriptura [84]. « Dixit aridam manum habenti: Consiste in medio. » Cur autem ita fieri voluit? Fortasse ut ad misericordiam provocaret crudelem et immitem Pharisæum: fortasse etiam ut hominis morbus illos permoveret, et invidiæ flammam omittere suaderet.

Ἐπερωτήσω ὑμᾶς τι· ἔξεστι τοῖς Σάββασιν ἀγαθοποιῆσαι, ἢ κακοποιῆσαι; κ. τ. λ.

V. 9. *Interrogabo vos, utrum liceat Sabbatis benefacere an male?* etc.

(A f. 92 b, H f. 289) Σοφωτάτη δὲ λίαν ἡ πεῦσις, πρέπουσα ταῖς ἐκείνων ἀδελτηρίαις ἡ πρότασις. Εἰ μὲν γὰρ ἔξεστιν ἀγαθοποιεῖν ἐν Σαββάτῳ, καὶ τὸ κωλύον οὐδὲν ἐλεεῖσθαι παρὰ Θεοῦ τοὺς κάμνοντας, παῦσαι συλλέγων τῆς κατὰ Χριστοῦ συκοφαντίας τὰς ἀφορμὰς, καὶ τῆς σαυτοῦ κεφαλῆς καταχέων τὴν δίκην, ἣν ἐπήρτησεν ὁ Πατὴρ τοῖς ἀτιμάζουσι τὸν Υἱόν. Ἤκουσας λέγοντος περὶ αὐτοῦ διὰ φωνῆς τοῦ Δαβίδ· « Καὶ συγκόψω τοὺς ἐχθροὺς αὐτοῦ ἀπὸ προσώπου αὐτοῦ, καὶ τοὺς μισοῦντας αὐτὸν τροπώσομαι. » Εἰ δὲ οὐκ ἔξεστιν εὖ ποιεῖν ἐν Σαββάτῳ, καὶ κεκώλυκεν ὁ νόμος σώζεσθαι ψυχήν. γέγονας τοῦ νομοθέτου κατήγορος· διαβέβληκας ἐντολήν, ἐφ' ᾗ καὶ τεθαύμασται ἡ διὰ Μωϋσέως διακονία. Ἀλλ' οὐχ ἑαυτῷ, φησὶν, ὁ τῶν ὅλων Θεὸς τὸν ἐπὶ τῷ Σαββάτῳ τέθεικε νόμον, ἡμῖν δὲ μᾶλλον τοῖς ὑπέχουσιν αὐτῷ τὸν αὐχένα. Καλῶς ἔφης· ἐπαινῶ τοὺς λόγους· οὐκοῦν ἀνάγκης καὶ νόμου τὸ Θεῖον ἐλεύθερον. Πῶς οὖν αἰτιᾷ καὶ ἐν Σαββάτῳ Χριστὸν ἐλεεῖν ἐθέλοντα καὶ εὐεργετοῦντα ψυχήν; Ὅταν δὲ καὶ ἐπὶ τῷ Σαββάτῳ τεθέντα νόμον πολυπραγμονεῖν ἐθέλωμεν,

C Multo sapientissima interrogatio, et idonea contra illorum stultitiam propositio. Nam si licet benefacere in Sabbato, nihilque impedit quominus Deus ægrotantium misereatur, desine captare calumniandi Christum occasiones, atque in caput tuum illam attrahere pœnam, quam Pater adversus Filii sui contemptores intentam habet. Audisti illum voce Davidis dicentem: « Concidam a facie ipsius inimicos ejus, et odientes eum in fugam convertam [85]. » Si vero non licet Sabbato benefacere, D et si lex vetat vitam alicujus servari, factus es legislatoris **186** accusator: præceptum reprehendis, cujus tamen causa, Moysis ministerium in honore est. Atqui non sibi, inquit, universalis Deus Sabbati legem statuit, sed nobis potius qui ei cervicem subjectam habemus. Recte ais; verba laudo. Ergo Deus necessitate simul et lege caret. Cur itaque Christum insimulas, misereri volentem, et alicujus vitam salvare? Quin adeo si Sabbati ipsam legem vestigare velimus, misericordiæ causa a Deo præscriptam comperiemus. Otiari enim Sabbato

[84] Dan. II, 22. [85] Psal. LXXXVIII, 24.

(1) Nempe in hoc capitulo, v. 13.

Digitized by Google

mandavit, nullumque omnino laborem attingere, imo et ipsis ratione carentibus bestiis requiem concedere. Edixit enim, ut nimirum requiescat famulus tuus ac famula, bos tuus ac jumentum tuum, et tui juris animal quodlibet [56]. Jam qui bovis et reliquorum animalium misereatur, quidni Sabbato etiam misereretur hominis gravi et insanabili infirmitate correpti?

V. 11. *Ipsi vecordia repleti sunt.*

Non tibi satis est ad fidem miraculum? Vides agentem quæ Deum decent, supernaque potestate infirmos sanantem, et tamen liveris et invidiæ filium parturis homicidium?

V. 12. *Exiit in montem orare.*

Omnia ad nostram ædificationem, atque ad credentium ei utilitatem Christus operabatur: et spiritalis vitæ imaginem quodammodo res suas proponens, veros volebat efficere adoratores. Videamus igitur in Christi operibus, tanquam in imagine ac typo, quemadmodum nos oporteat Deum orare. Clam videlicet et in abscondito, atque inspectante nemine, oportet orare. Namque hoc innuit solitarius in montem secessus, et Jesu tanquam in vacatione oratio: quam rem ipse verbis quoque nos docuit: « Tu autem cum oraveris, ingredere cubiculum tuum [57]. » Nam sine jactantia, sanctasque manus extollentes orare opus est [58]; ita ut meus tanquam in verticem aliquem ad Dei contemplationem conscendat, seque tumultu omni subtrahat, atque a mundanis **187** curis aufugiat. Atque hoc agat non fastidiose, neque cum infirma pusillanimitate, sed fortiter potius atque studiose, nec mediocri cum patientia. Audisti enim quod non solum oraverit Christus, sed quod orando pernoctaverit.

Fortasse autem veritatis hostis hæc nos dicentes non patietur. Ait enim: Orat Jesus et a Patre petit, quæ ipse non habet. Quomodo ergo ipsum dicitis et consubstantialem Patri, et ei per omnia æqualem, nullaque re differentem? Nam sine controversia, quod minus est, a potiore benedicitur [59]. Major porro omnino est qui dat, quam ille qui accipere aliquid postulat. Age vero in primis nos doceant isti orthodoxiæ subversores, quanam re indigere Filium existiment? Quid item, tanquam eo carens, postulabat accipere? Lumen erat verum, vita suapte natura, et vivificans, virtutum Dominus, sapientia, justitia, creator omnium rerum et auctor, creaturæ cuilibet superior, rex universalis, cœli terræque dispensator, omnis boni una cum Deo Patre dator. Atque id a Paulo disces quibusdam scribente: « Gratia vobis et pax a Deo Patre nostro, et Domino Jesu Christo [60]. » Is in

A ἐλεημοσύνης ἕνεκα τῆς παρὰ Θεοῦ διωρισμένον εὑρήσομεν· ἐκέλευσε γὰρ ἀργεῖν ἐν Σαββάτῳ, καὶ μηδενὸς τὸ σύμπαν ἅπτεσθαι πόνου, ἀνίεσθαι δὲ μᾶλλον καὶ αὐτοῖς ὁμοῦ τοῖς ἀλόγοις τῶν ζώων· ἔφη γάρ, ὅτι « Ἵνα ἀναπαύσηται ὁ παῖς σου καὶ ἡ παιδίσκη σου, ὁ βοῦς σου, καὶ τὸ ὑποζύγιόν σου, καὶ πᾶν κτῆνός σου. » Ὁ δὲ καὶ βοῦν ἐλεῶν, καὶ τὰ ἕτερα τῶν κτηνῶν, πῶς οὐκ ἂν ἠλέησεν ἄνθρωπον ἐν Σαββάτῳ δεινῇ καὶ ἀφύκτῳ περιπεσόντα νόσῳ;

Αὐτοὶ δὲ ἐπλήσθησαν ἀνοίας.

(A f. 93, G f. 13, H f. 280 b) Οὐκ ἀρκεῖ σοι τὸ παράδοξον εἰς πίστιν; Ὁρᾷς ἐνεργοῦντα θεοπρεπῶς, καὶ μετ' ἐξουσίας τῆς ἀνωτάτω θεραπεύοντα τοὺς ἐν ἀῤῥωστίαις, καὶ τὸν ἐκ φθόνου καὶ βασκανίας ὠδίνειν φόνον;

B Ἐξῆλθεν εἰς τὸ ὄρος προσεύξεσθαι.

(A f. 93 a b, B f. 62, G f. 13 b, H f. 290 b sq.) Πάντα πρὸς οἰκοδομὴν ἡμετέραν, καὶ εἰς ὄνησιν τῶν πιστευόντων εἰς αὐτὸν εἰργάζετο Χριστὸς, καὶ πνευματικῆς πολιτείας εἰκόνα τρόπον τινὰ τὰ καθ' ἑαυτὸν ἀναθεὶς, ἀληθινοὺς ἤθελεν ἀποφαίνειν προσκυνητάς. Ἴδωμεν τοίνυν ὡς ἐν εἰκόνι καὶ τύπῳ πραγμάτων τῶν γεγενημένων διὰ Χριστοῦ, τίνα τρόπον ἡμᾶς ποιεῖσθαι προσήκει τὰς πρὸς Θεὸν ἱκετείας. Λάθρα, καὶ κεκρυμμένως, καὶ οὐδενὸς ὁρῶντος, προσεύχεσθαι χρή· τοῦτο γὰρ ὑποδηλοῖ τὸ εἰς ὄρος κατὰ μόνας καὶ ὡς ἐν σχολῇ προσεύχεσθαι τὸν Ἰησοῦν, καὶ τοῦτο αὐτὸς ἡμᾶς ἐδίδαξεν εἰπών· « Σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμιεῖόν σου. » Ἀφιλοδόξως γὰρ καὶ ὁσίους ἐπαίροντας χεῖρας προσεύχεσθαι δεῖ, C καὶ ὥσπερ εἰς ὕψος εἰς τὸ τῆς θεοπτίας ὕψος ἀναπηδῶντος τοῦ νοῦ, καὶ ἀποφοιτῶντος μὲν θορύβου παντὸς, ἀποτρέχοντος δὲ καὶ μερίμνης κοσμικῆς· δεῖ δὲ τοῦτο δρᾶν, οὔτε ἀψικόρως, οὔτε ἀθρανῆ ἔχοντας ὀλιγοψυχίαν· ἐντόνως δὲ μᾶλλον, καὶ ἐν σπουδῇ, καὶ οὐκ ἀθαύμαστον ἔχοντας τὴν ὑπομονήν. Ἀκήκοας γὰρ ὅτι οὐχ ἁπλῶς ἠύξατο Χριστὸς, ἀλλ' ὅτι καὶ διενυκτέρευσε τοῦτο δρῶν.

Οὐκ ἀνέξεται δὲ ἴσως ὁ τῆς ἀληθείας ἐχθρὸς ταῦτα λεγόντων ἡμῶν· φησὶ γάρ· Προσεύχεται καὶ ζητεῖ παρὰ τοῦ Πατρὸς, ἅπερ οὐκ ἔχει. Πῶς οὖν ἔτι φατὲ καὶ ὁμοούσιον αὐτῷ ἴσον τε κατὰ πάντα, καὶ κατ' οὐδένα τρόπον ἀπεικότα; Χωρὶς γὰρ πάσης ἀντιλογίας τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται· D μείζων δὲ πάντως ὁ διδοὺς τοῦ παρακαλοῦντός τι λαβεῖν (1). Οὐκοῦν ἐκεῖνο καὶ πρό γε τῶν ἄλλων διδασκέτωσαν ἡμᾶς οἱ τὰ ὀρθὰ διαστρέφοντες, τίνος εἶναι νομίζουσιν ἐπιδεᾶ τὸν Υἱόν; Τί δὲ ὡς οὐκ ἔχων ἐζήτει λαβεῖν; Φῶς ἐστι τὸ ἀληθινὸν, ζωὴ κατὰ φύσιν, καὶ ζωοποιὸς, καὶ τῶν δυνάμεων Κύριος, σοφία καὶ δικαιοσύνη, κτίστης καὶ δημιουργὸς τῶν ὅλων, παντὸς ἐπέκεινα γενητοῦ, βασιλεὺς τῶν ὅλων, ταμίας οὐρανοῦ καὶ γῆς, δοτὴρ ἀγαθοῦ παντὸς ὁμοῦ τῷ Θεῷ καὶ Πατρί. Καὶ τοῦτο μαθήσῃ γεγραφότος τισὶ τοῦ μακαρίου Παύλου· » Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. »

[56] Deut. v, 14. [57] Matth. vi, 6. [58] I Tim. ii, 8. [59] Hebr. vii, 7. [60] Rom. i, 7.

(1) Hanc esse Arianorum objectionem patet.

Digitized by Google

Τοῖς ἀνωτάτω θρόνοις ἐμπρέπει, δοξολογεῖται παρὰ πάσης κτίσεως λογικῆς· οὐκοῦν ἁπάντων ἐστὶ τῶν τοῦ Θεοῦ καὶ Πατρὸς θεοπρεπῶν ἀξιωμάτων οὐσιωδῶς κληρονόμος. Καὶ γοῦν ἔφη πρὸς αὐτὸν, ὡς « Πάντα τὰ ἐμὰ, σά ἐστι· καὶ τὰ σὰ, ἐμά· καὶ δεδόξασμαι ἐν αὐτοῖς. » Ὁ δὲ πάντα ἔχων ἴδια τὰ τοῦ Θεοῦ καὶ Πατρὸς, τίνος ἔτι λείπεται; Εἰ δὲ ὅλως λείπεταί τινος, καὶ τοῦτο εἶναί φασιν ἀληθὲς, οὐδέν ἐστι τὸ κωλύον εἰπεῖν, ὅτι καὶ αὐτὸς ὁ Πατὴρ ἐν χρείᾳ καθέστηκέ τινων. Εἰ γὰρ πάντα τὰ τοῦ Υἱοῦ, τοῦ Πατρός ἐστι, λείπεται δέ τινος ὁ Υἱὸς, τοιοῦτος ἄρα ἐστὶ καὶ ὁ Πατήρ· αὐτοῦ γάρ ἐστι πάντα τὰ τοῦ Υἱοῦ. Ἀλλ' ἔστι παντέλειος ὁ Πατὴρ, δεῖται δὲ ὅλως οὐδενὸς τῶν θεοπρεπῶν ἀγαθῶν· οὐκοῦν παντέλειος ὁ Υἱὸς, ὡς πάντα ἔχων τὰ τοῦ Πατρὸς, εἰκών ἐστι καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ· ἐν δὲ τῷ χαρακτῆρι φαίνεται πάντως τὸ πρωτότυπον, καὶ ἐν τῷ πρωτοτύπῳ πάντως ὁ χαρακτήρ. Καὶ ταῦτα μὲν πρὸς ἐκείνους.

A supernis thronis pro dignitate sedet, atque ab omni creatura rationali glorificatur. Est itaque totius dignitatis, quæ Deum Patrem decet, substantialiter hæres. Aiebat igitur ipsi : « Mea omnia, tua sunt, et tua, mea; et clarificatus sum in eis [61]. » Jam qui omnia habet quæ Dei Patris sunt propria, quid præterea requirat? Quod si rem aliquam reapse desiderat, idque hi vere dici aiunt, nihil jam vetat dicere Patrem ipsum rei alicujus inopia laborare. Nam si cuncta Filii, sunt æque Patris; re autem aliqua destituitur Filius; idipsum Pater quoque experietur. Hujus enim propria sunt omnia quæ Filius habet. Atqui Pater reapse perfectissimus est, nulloque Deo digna re bona eget : sequitur ergo ut B etiam Filius perfectissimus **188** sit, quandoquidem paterna omnia habet, et est imago ac figura substantiæ illius [62]. Porro in figura prorsus agnoscitur prototypon, vicissimque in prototypo figura. Atque hæc contra illos dicta sint.

Φασὶ δὲ καὶ οἱ ταῖς Νεστορίου κενοφωνίαις συνηρπασμένοι, ὡς ἀνάρμοστον δὲ παντελῶς Θεῷ κατὰ φύσιν ὄντι τῷ Υἱῷ, προσεύχεσθαι· πρέπει δὲ μᾶλλον ἀνθρώπῳ τῷ κατὰ συνάφειαν αὐτῷ συναφθέντι, τουτέστι τῷ ἐκ σπέρματος Δαβίδ. Αὐτὸς οὖν ἄρα ἦν ὁ τὴν εὐχὴν ἀναπέμπων. Τί οὖν πρὸς τοῦτο ἐροῦμεν; Ἠγνοήσατε παντελῶς τῆς ἐνανθρωπήσεως τοῦ Μονογενοῦς τὸ μυστήριον· μνημονεύσατε λέγοντος τοῦ μακαρίου εὐαγγελιστοῦ Ἰωάννου· « Καὶ ὁ Λόγος σὰρξ ἐγένετο. » Καὶ τοῦτο ἡμῖν ὁ πάνσοφος C Παῦλος ἐμφανὲς κατέστησε, λέγων περὶ αὐτοῦ· « Οὐ γὰρ δή που ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται· ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεὸν, εἰς τὸ ἱλάσκεσθαι ταῖς ἁμαρτίαις τοῦ λαοῦ. » Ἀνθ' ὅτου δὴ οὖν τὸν γεννηθέντα μὲν θεϊκῶς, ὡς Λόγον ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς, ἑαυτὸν δὲ καθέντα πρὸς κένωσιν, καὶ πρὸς ἀδελφότητα τὴν πρὸς ἡμᾶς, διὰ τοῦ γενέσθαι καθ' ἡμᾶς, ὁμοιωθῆναί τε κατὰ πάντα τοῖς ἐπὶ τῆς γῆς, δίχα μόνης ἁμαρτίας, τῶν τῆς ἀνθρωπότητος ἐκπέμπεται μέτρων. Ἐπειδὴ γὰρ γέγονε καθ' ἡμᾶς, ἐκ πολλῆς ἄγαν ἡμερότητος καὶ φιλανθρωπίας, οὐκ ἀπαξιοῖ τὰ ἀνθρώπινα· τύπους ἡμεῖς τῆς εἰς λῆξιν ἐπιεικείας ποιούμενος τὰ καθ' ἑαυτόν· ἵν', ὡς ἔφην, τοῖς ἴχνεσιν αὐτοῦ καταχολουθεῖν σπουδάσωμεν (1).

Sed et qui Nestorii vana doctrina se abripi siverunt, aiunt prorsus non convenire ut Filius qui est suapte natura Deus oret : id autem decere potius copulatum illi hominem, id est eum qui de stirpe Davidis est. Hic ergo erat, a quo oratio flebat. Jam quid ad hæc dicimus? Profecto vos incarnati Unigeniti mysterium prorsus ignoratis. Mementote verborum beati evangelistæ Joannis dicentis : « Et Verbum caro factum est [63]. » Quam rem sapientissimus nobis Paulus edisserit, de illo dicens : « Non enim angelos, sed Abrahami semen apprehendit : unde oportuit eum per omnia fratribus similari, ut misericors fieret et fidelis pontifex erga Deum, atque hunc populi peccatis propitium redderet [64] : » propterea quoque natum illum quidem divinitus, utpote Dei Patris Verbum, semet ad exinanitionem demisisse ad nostram usque fraternitatem [65], nostra scilicet conditione suscepta, factum esse terrigenis omnino similem, excepto peccato, atque ex humana conditione processisse. Nam quia factus est tanquam unus ex nobis, ob multam suam bonitatem atque clementiam, humana non dedignatur; typum nobis summæ mansuetudinis præbens seipsum, ut vestigia ejus sectari studeamus [66].

Καὶ ὅτε ἐγένετο ἡμέρα, προσεφώνησε τοὺς μαθητὰς αὐτοῦ, καὶ ἐκλεξάμενος ἀπ' αὐτῶν δώδεκα, κ. τ. λ.

D V. 13. *Et cum dies factus esset, vocavit discipulos suos; electisque duodecim ex ipsis*, etc.

(A f. 93 b, B f. 63, G f. 13 b) Διανυκτερεύσας εἰς προσευχὴν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, καὶ ἀῤῥήτως τε καὶ ἀπερινοήτως, καὶ ὡς μόνος οἶδεν αὐτὸς, τὰς πρός γε τὸν ἐν οὐρανοῖς Πατέρα καὶ Θεὸν

Postquam tota nocte perseveraverat orans Dominus noster Jesus Christus, et ineffabili incomprehensibilique ratione, quam solus ipse novit, cum cœlesti Patre Deo collocutus fuerat, exemplar

[61] Joan. xvii, 10. [62] Hebr. i, 3. [63] Joan. i, 14. [64] Hebr. ii, 16, 17. [65] Philipp. ii, 6, 7. [66] I Petr. ii, 21.

(1) Post hoc lautum Cyrilli fragmentum, in cod. H. folio extremo 295, hæc sunt : Τέλος τοῦ πρώτου τῶν τεσσάρων τεύχους τῶν εἰς τὸ κατὰ Λουκᾶν ἅγιον Εὐαγγέλιον κατὰ συναγωγὴν ἐξηγήσεων γεγονυῖαν παρὰ Νικήτα, διακόνου τῆς τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας καὶ διδασκάλου, τοῦ Σερρῶν. *Explicit primus ex quatuor tomis explanationum in sanctum Lucæ Evangelium collectionis, quam fecit Nicetas magnæ Dei Ecclesiæ diaconus et magister, Serrarum deinde episcopus.* At in magno codice A. sunt etiam reliqui tomi tres.

Digitized by Google

nobis rei **189** salutaris seipsum exhibens : docuit enim quomodo oporteat recte inculpateque preces facere ; descendit de monte, et mundi sacerdotes designat. — Ait enim illis : « Vos estis lux mundi [67]. » Hujus apostolorum sanctorum electionis beatus quoque David meminit dicens veluti ad Christum : « Constitues eos principes super omnem terram : memores erunt nominis tui in omni generatione et generatione [68]. » Certe dum adhuc in corporibus versabantur, memores gloriæ Christi erant, et civitatibus atque regionibus sacramentum ejus prædicabant. Postquam autem ad supernas vocati fuerunt stationes, nihilo adhuc minus de ipso nobis loquuntur, per suas sapientissimas quas de eodem exararunt Scripturas. Et illi quidem secundum legem Mosaicam electi sacerdotes, Aaron et socii ejus, sacris decoris vestibus exterius ornabantur : at divi discipuli spiritalibus donis fulgentes, evangelicorum oraculorum ministerio deputantur. Dictum quippe illis est : « Infirmos curate, dæmonia ejicite, leprosos mundate, mortuos resuscitate [69]. » Reapse Christi virtute instructi, universum orbem stupore affecerunt. Verumtamen specta summam evangelistæ sedulitatem. Non enim simpliciter dixit electos fuisse apostolos, sed nominatim **190** intulit primorum horum mentionem ; ne quis forte seipsum ascribere auderet electorum choro. Namque ut Paulus ait : « Nemo sumit sibi honorem, sed qui a Deo vocatur [70]. » Age vero quanquam sancti apostoli ad hanc magnam splendidamque dignitatem vocati nominatim fuerunt, nihilominus per tempora quidam homines tantam sibi insaniam audaciamque sumpserunt, ut se Christi apostolos nominarint, honoremque minime sibi concessum arripuerint. Hos divi discipuli commemorarunt dicentes : « Ejusmodi pseudoapostoli, operarii subdoli, in angelos justitiæ semet transfigurantes [71]. » Nec mirum ; namque et ipse Satanas transfigurat se in angelum lucis : ergo magni non est æstimandum si

A διαλέξεις ποιησάμενος, καὶ τύπον ἡμῖν σωτηριώδους πράγματος ἑαυτὸν παραθείς· ἐδίδαξε γὰρ τίνα τρόπον ὀρθῶς τε καὶ ἀμωμήτως χρὴ ποιεῖσθαι τὰς προσευχάς, κάτεισιν ἐκ τοῦ ὄρους, καὶ τοὺς τῆς οἰκουμένης μυσταγωγοὺς ἀναδείκνυσιν (1). — (A f. 94) Ἔφη γὰρ πρὸς αὐτούς· « Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. » Ταύτης δὲ τῆς τῶν ἁγίων ἀποστόλων προβολῆς μνημονεύει λέγων καὶ ὁ μακάριος Δαβίδ, ὡς πρὸς Χριστόν· « Καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν, μνησθήσονται τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. » Καὶ μὲν γὰρ ὄντες ἐν σώματι, ἐμνημόνευον τῆς δόξης Χριστοῦ, πᾶσί τε καὶ χώραις τὸ αὐτοῦ λαλοῦντες μυστήριον. Ἐπειδὴ δὲ πρὸς τὰς ἄνω κέκληνται μονάς, οὐδὲν ἧττον ἡμῖν καὶ οὕτω διαλέγονται περὶ αὐτοῦ, διὰ τῆς πανσόφου B συγγραφῆς ἧς πεποίηνται περὶ αὐτοῦ· καὶ οἱ μὲν κατὰ Μωϋσέως νόμον χειροτονηθέντες ἱερουργοὶ, Ἀαρὼν θηλονότι καὶ οἱ σὺν αὐτῷ, ἱεροπρεπέσιν ἐσθήμασιν αἰσθητῶς κατεκαλλύνοντο· οἱ δέ γε θεσπέσιοι μαθηταὶ, χαρίσμασι τοῖς πνευματικοῖς διαπρέποντες, τῶν εὐαγγελικῶν θεσπισμάτων τὴν διακονίαν ἐνεχειρίζοντο· εἴρηται γὰρ πρὸς αὐτούς· « Ἀσθενοῦντας θεραπεύετε, δαιμόνια ἐκβάλλετε, λεπροὺς καθαρίζετε, νεκροὺς ἐγείρετε. » Καὶ γοῦν, τὴν Χριστοῦ φοροῦντες δύναμιν, κατέπληττον πᾶσαν τὴν οἰκουμένην. Πλὴν ὅρα τὴν εἰς ἄκρον νῆψιν τοῦ εὐαγγελιστοῦ· οὐ γὰρ ἁπλῶς ἀναδειχθῆναι τοὺς ἁγίους ἀποστόλους φησὶν, ὀνομαστὶ δὲ μᾶλλον ἐπενηνεγμένης αὐτοῖς καὶ τῆς τῶν προτέρων μνήμης, C ἵνα μή τις ἑαυτὸν ἐγγράψαι τολμήσῃ τῷ χορῷ τῶν ἐξειλεγμένων. Ὡς γὰρ ὁ Παῦλός φησιν· « Οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμὴν, ἀλλ' ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ. » Καὶ γοῦν ὀνομαστὶ τῶν ἁγίων ἀποστόλων κεκλημένων εἰς τὸ μέγα τοῦτο καὶ λαμπρὸν ἀξίωμα, πρὸς τοῦτό τινες καθίκοντο κατὰ καιροὺς ἀπονοίας καὶ θράσους, ὡς ἀποστόλους ἑαυτοὺς ὀνομάσαι Χριστοῦ, καὶ τιμὴν ἁρπάσαι τὴν οὐκ ἐκνεμηθεῖσαν αὐτοῖς. Τούτων οἱ θεσπέσιοι μαθηταὶ πεποίηνται μνήμην· φασὶ γάρ· « Οἱ τοιοῦτοι ψευδαπόστο-

[67] Matth. v, 14. [68] Psal. xliv, 17. [69] Matth. x. 8. [70] Hebr. v, 4. [71] II Cor. xi, 13.

(1) Ad hunc locum in codice B. p. 63, et in cod. G. f. 14, anonymus interpres subsequens scholion scribit, testimonium præbens commentariis Cyrilli non in Lucam tantummodo, verum etiam in Matthæum. (Et quidem Cyrilli in Matthæum locus hic appellatus, adhuc desideratur. Namque ad Matth. iv, 18 seqq. ubi de apostolorum designatione agitur, nihil habent Cyrillianum catenæ Possini atque Corderii). Sic ergo hoc loco anonymus Vaticanus. Ζήτει τοὺς λόγους τῆς δωδεκαρίθμου τῶν ἀποστόλων ἐκλογῆς ἐν τῷ ιὺ' κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου, καὶ περὶ τὰ μέσα τοῦ ἑβδόμου κεφαλαίου τοῦ παρόντος εὐαγγελιστοῦ, ἔνθα ὁ Χριστὸς λαβὼν τὸ βιβλίον Ἡσαΐου τοῦ προφήτου ἀνέγνω. Εὑρήσεις γὰρ ἐκεῖ ἑρμηνείαν θαυμαστὴν τοῦ ἁγίου Κυρίλλου, ἣν ποιεῖται εἰς τὸ κηρύξαι ἐνιαυτὸν Κυρίου δεκτόν· ὡσαύτως καὶ ἐν λθ' κεφαλαίῳ τοῦ αὐτοῦ τούτου εὐαγγελιστοῦ. Ἰστέον δὲ ὅτι καὶ κατὰ τὸν τύπον τῶν δώδεκα βοῶν, τῶν βασταζόντων τὴν ὑπὸ Σολομῶντος κατασκευασθεῖσαν θάλασσαν, ὁ τῶν ἀποστόλων ὁρίζεται ἀριθμός· καὶ γὰρ ἀνὰ τρεῖς ἐκ τεσσάρων μερῶν ταύτην βαστάζοντες τὴν τῆς ἁγίας Τριάδος κήρυκα, καὶ τὴν δι' αὐτῶν τῶν τεσσάρων Εὐαγγελίων ἐκπομπὴν εἰς τὰ τέσσαρα τῆς γῆς πέρατα. Καὶ γὰρ καὶ διὰ τῆς θαλάσσης ἐκείνης ἡ νοητὴ τοῦ βαπτίσματος θάλασσα, ἡ ἀποκαθαίρουσα τὸν κόσμον ἐκ τῶν ἁμαρτιῶν, ἡ ἐκ τοῦ νοητοῦ συστᾶσα Σολομῶντος, εἰκονίζεται. *Quære quæ late dicuntur de duodecim apostolorum electione in* xix *capitulo* (iv, 18) *Evangelii secundum Matthæum, et circa medium septimi capituli* (iv, 17) *præsentis evangelistæ, ubi Christus capitum manibus Isaiæ librum legit. Illic enim invenies sancti Cyrilli miram explanationem, quam facit verborum* « *prædicare annum Domini acceptabilem.* » *Similiter etiam in* xxxiv *capitulo hujus ipsius evangelistæ. Sciendum porro est, justæ exemplum duodecim boum, qui fabricatum a Salomone mare gestabant, duodecim apostolorum definiri numerum. Nam terni in quatuor ducti, sanctæ Trinitatis tulerunt prædicationem, quatuorque evangeliorum per ipsos in quatuor mundi partes gestatio fuit. Et quidem mari illo, intellectualis baptismi mare, quod mundum peccatis purgat, et a spiritali Salomone constitutum fuit, figuratur.* Recole dicta supra in not. ad Luc. cap. iv, vers. 18.

Digitized by Google

λοι, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀγγέλους δικαιοσύνης (1). » Καὶ οὐ θαῦμα· αὐτὸς γὰρ ὁ Σατανᾶς, μετασχηματίζεται εἰς ἄγγελον φωτός. Οὐ μέγα οὖν εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται εἰς ἀγγέλους δικαιοσύνης. Οὐδένα τοίνυν ἴσμεν ἡμεῖς ἢ παραδεξόμεθα, πλὴν ὅτι μόνους τοὺς διὰ τῶν εὐαγγελικῶν γραμμάτων ὠνομασμένους, καὶ τὸν μετ' ἐκείνους ἀναδεδειγμένον, τὸν σοφώτατον Παῦλον· ᾧ καὶ αὐτὸς ὁ Σωτὴρ μεμαρτύρηκε λέγων· « Ὅτι σκεῦος ἐκλογῆς ἐστί μοι οὗτος τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον πάντων τῶν ἐθνῶν. »

ministri quoque ejus in angelos justitiæ sese transformant. Neminem itaque nos agnoscimus aut recipimus, nisi solos illos in evangelicis litteris nominatos, et illum post eos electum sapientissimum Paulum; cui et ipse Servator testimonium dedit dicens : « Quia mihi vas electionis est, ut portet nomen meum coram omnibus gentibus [75]. »

(A f. 94, H f. 293) Τούτους (2) προανετύπου μὲν ὁ νόμος, προεκήρυξαν δὲ καὶ προφῆται. Γέγραπται γοῦν ἐν Μωσαϊκῷ βιβλίῳ· « Καὶ λήψεσθε σεμίδαλιν, καὶ ποιήσετε αὐτὴν δώδεκα ἄρτους· καὶ ἐπιθήσετε αὐτοὺς δύο θέματα, ἐπὶ τὴν τράπεζαν τὴν καθαρὰν, ἐναντι Κυρίου· καὶ ἐπιθήσετε ἐπὶ τὸ θέμα λίβανον καὶ ἅλας· καὶ ἔσονται εἰς ἄρτους, εἰς ἀνάμνησιν προκείμενα τῷ Κυρίῳ. » Ἄρτος μὲν γὰρ ὁ ἐξ οὐρανοῦ κατελθὼν, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ, τίς ἂν ἕτερος εἴη παρὰ τὸν τῶν ὅλων Σωτῆρα Χριστόν; Κατὰ μίμησιν δὲ τὴν πρὸς αὐτὸν, ἄρτοι κέκληνται καὶ οἱ μακάριοι μαθηταί· μέτοχοι γὰρ γεγονότες τοῦ τρέφοντος ἡμᾶς εἰς ζωὴν αἰώνιον, τρέφουσι καὶ αὐτοὶ διὰ τῶν ἰδίων συγγραμμάτων τοὺς πεινῶντας καὶ διψῶντας τὴν δικαιοσύνην. Ὥσπερ δὲ φῶς ὑπάρχων τὸ ἀληθινὸν ὁ Σωτὴρ, φῶς ὠνόμασε καὶ τοὺς μαθητάς· « Ὑμεῖς γάρ ἐστε τὸ φῶς τοῦ κόσμου· » οὕτως καὶ αὐτὸς ὢν ὁ ἄρτος τῆς ζωῆς, ἐχαρίσατο τοῖς ἑαυτοῦ μαθηταῖς τὸ ἐν τάξει νοεῖσθαι τῶν ἄρτων. Καί μοι βλέπε τοῦ νόμου τὸ εὐτεχνές. Ἐπιθήσετε γὰρ, φησὶν, ἐπὶ τοὺς ἄρτους λίβανον καὶ ἅλας. Καὶ ὁ μὲν λίβανος εὐωδίας ἐστὶ σύμβολον· οἱ δὲ ἅλες (3), συνέσεως καὶ φρενῶν· ἐνυπῆρχον δὲ ἄκρως ἀμφότερα τοῖς ἁγίοις ἀποστόλοις· εὐώδης γὰρ ἦν ὁ βίος αὐτοῖς· καὶ γοῦν ἔφασκον, ὅτι « Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ. » Ἦσαν δὲ, πρὸς τούτῳ, καὶ πανσύνετοι. Ἀκούω δὲ καὶ τοῦ προφήτου Δαβὶδ ψάλλοντός τε καὶ λέγοντος περὶ αὐτῶν· « Ἐκεῖ Βενιαμὶν ἐν ἐκστάσει· ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν, ἄρχοντες Ζαβουλὼν, ἄρχοντες Νεφθαλίμ. » Σχεδὸν γὰρ ἐξ ἁπάσης φυλῆς τῆς ἐξ Ἰσραὴλ ἀπόλεκτοι γεγόνασιν οἱ μακάριοι μαθηταί· καὶ φωστῆρες ἦσαν οἰκουμενικοὶ, λόγον ζωῆς ἐπίσχοντες· καὶ τό γε παράδοξον· εὐγλωττίαν μὲν γὰρ ἔχουσι λαμπρὰν οἱ τῶν Ἑλλήνων σοφοὶ, καὶ εὐστομοῦσιν ἄγαν· οἱ δέ γε τοῦ Σωτῆρος ἡμῶν μαθηταὶ, ἀνθρωποι γεγόνασι χειροτέχναι, καὶ θαλασσουργοὶ, καὶ ἰχθυοθῆραι, οὐ κόμπον ἔχοντες λόγων, οὐ λέξεων εὐπορίαν δεδοκιμασμένων· ἀλλ' ἰδιῶται μὲν τῷ λόγῳ, πλούσιοι δὲ τῇ γνώσει· καὶ σεσίγηται μὲν τὰ Ἑλλήνων γράμματα, καὶ ἡ τῶν λέξεων εὐκομπία· κατακρατεῖ

Hos (apostolos) lex portendebat, prædixerunt etiam prophetæ. Scriptum est enim in Mosaica lege : « Et accipietis similam, ex eaque duodecim conficietis panes; et imponetis ex eis duos missus (seu propositiones) in mensa munda ante Dominum : et super re proposita thus ponetis et sal; eruntque hi panes memorialis instar propositi Domino [76]. » Certe panis de cœlo descendens, vitamque mundo suppeditans, quisnam erit alius nisi omnium Servator Christus? Porro ad hujus imitationem panes appellantur etiam beati discipuli : qui participes effecti ejus a quo nos ad æternam **191** vitam nutrimur, ipsi quoque Scripturis suis alunt esurientes sitientesque justitiam. Sicuti etiam cum lux vera Servator esset, lucem appellavit etiam discipulos : « Vos enim estis, inquit, lux mundi [77]; » sic et ipse cum panis vitæ sit, discipulis suis concessit, ut panis instar esse crederentur. Jam tu mecum considera legis solertiam : superponetis, inquit, panibus thus et sal. Quippe thus boni odoris symbolum est, sal autem sapientiæ ac mentis : quæ ambo apprime sanctis apostolis inerant. Nam beneolens erat vita ipsorum, ita ut dicerent : « Christi bonus odor sumus Deo [78]. » Erant præterea valde prudentes. Audio item prophetam Davidem in Psalmis de ipsis dicentem: « Ibi Benjamin in mentis excessu : principes Judæ duces eorum, principes Zabulonis, principes Nephthalimi [79]. » Etenim ex omni prope Israelis tribu delecti fuerunt beati discipuli, erantque lumina universi mundi, et vitæ verbum continebant. Quodque mirum est, splendidam quidem eloquentiam habent ethnicorum sapientes, politeque admodum dicunt; verum Servatoris nostri discipuli opifices erant et nautæ ac piscatores, absque orationis pompa, sine verborum selectorum copia. Sed etsi sermone rudes, scientia tamen divites. Ecce enim jam tacent ethnicorum litteræ, et vocabulorum deflexit ornatus; prævalet autem in universo terrarum orbe evangelicæ prædicationis vis. Hujus rei meminit Deus etiam ore Jeremiæ loquens de communi hoste Satana : « Væ, qui non sua multiplicat, et qui clavum

[75] Act. IX, 15. [76] Levit. XXIV, 5, 6. [77] Matth. V, 14. [78] II Cor. II, 15. [79] Psal. LXVII, 28.

(1) Sacer textus Gr. et Lat., *in apostolos Christi*. Ergo hic mendum potius videtur, præsertim quia postea repetitur *in angelos justitiæ*.

(2) Totus qui sequitur tractus usque ad verba προσεκόμισαν τῷ Θεῷ τὴν ὑπ' οὐρανόν, dicitur in codd. A. et H. sumptus ex homilia, Cyrilli scilicet, quia præcedens textus Cyrilli est. Cum autem hic ipse tractus promissus fuerit a Cyrillo superius in hoc capite (vers. 3), sequitur rursus ut omnino ex homilia Cyrilli sit. Porro Cyrilli SS. Bibliorum explanationes concionatorio more sæpe dictas fuisse constat atque conscriptas; ut usuvenit etiam apud Latinos, puta Augustinum, et alios.—Similia leguntur in Corderii catena ad Matth. x, 8.

(3) Ita est in codd. Et sic Latine sal tum neutrius generis est tum etiam masculini.

Digitized by Google

suum graviter figit ! » Nam statim exsurgent qui eum mordeant, et evigilabunt adversarii tui, qui te diripient. Cunctos videlicet in mundo homines, licet in ære suo non haberet, collegerat ad se Satanas suosque adoratores effecerat, clavo suo graviter fixo. Sed enim evigilarunt qui ejus vasa diriperent. Namque **192** apostolici magisterii rete cunctos errore vagantes cepit, atque ita universus orbis ad Deum est conversus.

A δὲ τῆς ὑπ' οὐρανὸν τῶν εὐαγγελικῶν κηρυγμάτων ἡ δύναμις. Τούτων διαμέμνηται Θεὸς καὶ διὰ φωνῆς Ἱερεμίου (3), λέγων περὶ τοῦ πάντων ἐχθροῦ, φησὶ δὴ τοῦ Σατανᾶ· « Οὐαὶ, ὁ πληθύνων αὐτῷ τὰ οὐκ ὄντα αὐτοῦ, καὶ βαρύνων τὸν κλοιὸν αὐτοῦ στιβαρῶς· » ὅτι ἐξαίφνης ἀναστήσονται οἱ δάκνοντες αὐτὸν, καὶ ἐκνήψουσιν οἱ ἐπίβουλοί σου, καὶ ἔσῃ εἰς διαρπαγὴν αὐτοῖς. Ἅπαντας μὲν τοὺς ἐπὶ γῆς ἀνθρώπους οὐκ ὄντας αὐτοῦ, συνήγαγεν ὁ Σατανᾶς, καὶ ἰδίους κλοιόν· ἀλλ' ἐξένηψαν οἱ διαρπάζοντες αὐτοῦ τὰ σκεύη· ἐθήρευσε γὰρ τῆς ἀποστολικῆς μυσταγωγίας τὸ δίκτυον ἅπαντας τοὺς πεπλανημένους, καὶ προσεκόμισαν τῷ Θεῷ τὴν ὑπ οὐρανόν.

ἀπέφηνε προσκυνητὰς, καταβαρύνων αὐτοῦ τὸν

V. 17. *Stetit in loco campestri, et turba discipulorum ejus, et multitudo copiosa plebis.*

Animadverte sis electionis rationem; non enim clam neque latenter rem actam dicit sapientissimus evangelista, sed congregatis potius multis discipulis, magnoque plebis numero ex universa Judæorum regione, et ex maritima Tyri ac Sidonis. Hi porro idololatræ erant, sive in utramque partem claudicantes [77]; Judæorum nempe ritus partim reverentes, neque tamen idololatriæ crimen satis omittentes. Peracta fuit igitur electio, cunctis his astantibus, et universo orbi dati sunt sacri magistri : quod reapse munus gesserunt, Judæos a legali cultu vocantes, dæmonum vero cultores ab ethnico errore, ad veritatis notitiam. Jam vero sanctis deputatis apostolis, plurima ac mira cœpit miracula patrare, dæmonas increpans, insanabilibus morbis ad se accedentes liberans, suamque Deo convenientissimam demonstrans potentiam; ut Judæi accurrentes cognoscerent, nec non idololatricarum terrarum incolæ, honoratos illos fuisse apostolatus dignitate a Christo, non tanquam uno ex nobis communi homine, sed Deo potius incarnato Verbo, qui majestatem suam conservabat. « Etenim virtus de illo exibat, et sanabat omnes [78]. » Non enim vires ab alio mutuabatur Christus, sed ipse naturaliter Deus, etsi caro factus, vim suam ægris inspirans, cunctos sanabat. Quod si vis apostolicorum quoque interpretationem nominum cognoscere, sic habeto. Petrus interpretatur *solvens* aut *cognoscens;* Andreas, *vis decora*, vel *respondens;* Jacobus, *laboris supplantator;* Joannes, *Dei gratia;* Matthæus, *donatus;* Philippus, *os magnum* (1), vel *lampadis os;* Bartholomæus, **193** *filius aquas suspendens;* Thomas, *abyssus* vel *gemellus;* Jacobus Alphæi, *supplantatio vitæ incedentis;* Judas, *confessio;* Simon, *obedientia* (2).

Ἔστη ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ.

B (A f. 94 b) Ἄθρει δή μοι τῆς χειροτονίας τὸν τρόπον· οὐ γὰρ ἐν παραδύστῳ καὶ λελῃθότως πεπράχθαι φησὶν αὐτὸς ὁ σοφώτατος εὐαγγελιστὴς, συναγηγερμένων δὲ μᾶλλον πολλῶν μαθητῶν ὄχλου τε πολλοῦ ἐξ ἁπάσης τῆς Ἰουδαίων χώρας, καὶ ἐκ τῆς παραλίου Τύρου καὶ Σιδῶνος. Οὗτοι δὲ ἦσαν εἰδωλολάτραι, ἦγουν ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις χωλεύοντες, καὶ τιμῶντες μὲν ἐκ μέρους τὰ τῶν Ἰουδαίων ἔθη, τῶν γε μὴν τῆς εἰδωλολατρίας αἰτιαμάτων οὐκ εἰσάπαν ἀποφοιτήσαντες. Πέπρακται τοίνυν ἡ χειροτονία, τούτων πάντων παρόντων, καὶ ἐφ' ἅπασαν τὴν ὑπ' οὐρανὸν τίθεινται μυσταγωγοί· ὃ δὴ καὶ πεπράχασι, καλοῦντες μὲν Ἰουδαίους ἐκ νομικῆς λατρείας, τοὺς δέ γε τῶν δαιμονίων θεραπευτὰς ἐκ πλάνης Ἑλληνικῆς, εἰς τὴν τῆς ἀληθείας

C ἐπίγνωσιν. Ἀναδείξας δὲ τοὺς ἁγίους ἀποστόλους, πλείστων ὅσων καὶ ἀξιαγάστων σημείων γέγονεν ἀποτελεστὴς, δαιμονίοις ἐπιπλήττων, ἀνιάτων ἀρρωστημάτων ἐλευθερῶν τοὺς προσιόντας αὐτῷ, καὶ θεοπρεπεστάτην ἀποφαίνων τὴν ἑαυτοῦ δύναμιν· ἵν' εἰδεῖεν οἱ ἐπ' αὐτῷ συνδεδραμηκότες Ἰουδαῖοί τε καὶ οἱ ἐκ τῆς Ἑλλήνων χώρας, ὅτι τετίμηνται τῷ τῆς ἀποστολῆς ἀξιώματι παρὰ Χριστοῦ, καὶ οὐχ ἑνὸς ὄντος τῶν καθ' ἡμᾶς ἀνθρώπου κοινοῦ, Θεοῦ δὲ μᾶλλον ὡς ἐνανθρωπήσαντος Λόγου, καὶ τὴν ἰδίαν σώζοντος δόξαν· « Δύναμις γὰρ παρ' αὐτοῦ ἐξήρχετο, καὶ ἴατο πάντας. » — (C f. 118) Οὐ γὰρ ἰσχὺν ἐδανείζετο τὴν παρ' ἑτέρου Χριστὸς, ἀλλ' αὐτὸς ὢν φύσει Θεὸς, εἰ καὶ γέγονε σὰρξ, τὴν ἐπὶ τοῖς κάμνουσιν ἐκπέμπων δύναμιν, ἴατο πάντας. Εἰ

D δὲ βούλει καὶ τὴν ἑρμηνείαν τῶν ἀποστολικῶν μαθεῖν ὀνομάτων, ἴσθι ὅτι Πέτρος μὲν ἑρμηνεύεται, *ἐπιλύων*, ἢ *ἐπιγνούς*· Ἀνδρέας δὲ, *δύναμις εὐπρεπὴς*, ἢ *ἀποκρινόμενος*· Ἰάκωβος, *πτερνιστὴς πόνου*· Ἰωάννης, *Κυρίου χάρις*· Ματθαῖος, *δεδωρημένος*· Φίλιππος, *στόμα χειρῶν*, ἢ *στόμα λαμπάδος*· Βαρθολομαῖος (4), *υἱὸς κρεμάσας ὕδατα*· Θωμᾶς, *ἄβυσσος*, ἢ *δίδυμος*· Ἰάκωβος Ἀλφαίου, *πτερνισμὸς βαδίσεως ζωῆς*· Ἰούδας, *ἐξομολόγησις*· καὶ Σίμων, *ὑπακοή*.

[77] III Reg. XVIII, 21. [78] Luc. VI, 19.

(1) Mendose in D. Thomæ catena : Philippus, *os magnum;* nam Græce est χειρῶν. Mendum hoc certe exstat in tribus, quas inspexi, Thomisticæ catenæ editionibus, Romæ 1470, Parisiis 1546, Venetiis 1746.

(2) Hæc omnia nomina similiter fere explicata invenies in S. Hieronymi libro *De nom. Hebr.*

(3) Imo dicendum est Habacuc II, 6. Paria mendas nos arguimus in Cyrilli comment. in Epist. I ad Cor., cap. IV, v. 21, et alias.

(4) Ita est in cod., et sic in aliis quoque libris scribitur. Cæteroqui vera lectio videtur Βαρτολομαῖος, *Ptolemæi filius.*

Digitized by Google

Μακάριοι οἱ πτωχοί.

(A f. 95 b, B f. 63 b, C f. 118) Εἰς καινότητα μὲν οὖν ζωῆς εὐαγγελικῆς μετὰ τὴν χειροτονίαν καταρρυθμίζων τοὺς ἑαυτοῦ μαθητὰς ὁ Σωτὴρ, ταῦτά φησι. Περὶ ποίων δὲ ἄρα πτωχῶν ταῦτα ἔλεγεν, ἀναγκαῖον ἰδεῖν. Ἐν μὲν γὰρ τῷ κατὰ Ματθαῖον, μακαρίους ἔσεσθαί φησι τοὺς πτωχοὺς τῷ πνεύματι, καὶ αὐτῶν εἶναι τὴν βασιλείαν τῶν οὐρανῶν· ἵνα νοῶμεν πτωχὸν τῷ πνεύματι, τὸν μετριόφρονα καὶ συνεσταλμένον ὥσπερ ἔχοντα νοῦν· ἀξιοζήλωτος δὲ ὁ τοιοῦτος καὶ Θεῷ γνώριμος. Καὶ γοῦν ἔφη δι' ἑνὸς τῶν ἁγίων προφητῶν· « Ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους; » Ἔφη δὲ καὶ ὁ προφήτης Δαβὶδ, ὅτι « Καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. » Ναὶ μὲν καὶ αὐτὸς ὁ Σωτήρ· « Μάθετε ἀπ' ἐμοῦ, φησὶν, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ. » Ἐν δέ γε τοῖς προκειμένοις ἡμῖν ἀναγνώσμασι, μακαρίους ἔσεσθαί φησι τοὺς πτωχοὺς, οὐ προσκειμένου τοῦ, *πνεύματι*. Οὕτω δέ φασιν οἱ εὐαγγελισταὶ, οὐκ ἀλλήλοις ἐναντιούμενοι, ἀλλὰ μεριζόμενοι πολλάκις τὰ διηγήματα· καὶ ποτὲ μὲν διὰ τῶν αὐτῶν βαδίζουσι κεφαλαίων, ποτὲ δὲ τὸ τῷ ἑνὶ παραλειφθὲν, ἕτερος ταῖς ἰδίαις ἐντίθησι συγγραφαῖς· ἵνα μηδὲν τῶν ἀναγκαίων εἰς δύνησιν λαθεῖν δυνηθῇ τοὺς πιστεύοντας εἰς Χριστόν. Ἔοικε τοίνυν πτωχοὺς ὀνομάζειν ἐν τούτοις, τοὺς φιλοκερδείας κρείττονας, καὶ τὸν τρόπον ἔχοντας ἀφιλάργυρον. Καὶ γοῦν ὁ σοφώτατος Παῦλος ἀρίστων ἡμῖν μαθημάτων εἰσηγητὴς ἀναδείκνυται, λέγων· « Ἀφιλάργυρος ὁ τρόπος, ἀρκούμενος τοῖς παροῦσι. » Προστίθει δὲ τούτοις, ὡς « Ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. » Ἔδει γὰρ, ἔδει τὸ σωτήριον καὶ εὐαγγελικὸν μέλλοντας αὐτοὺς διαγγέλλειν κήρυγμα, ἀφιλόπλουτον ἔχειν τὸ φρόνημα, καὶ εὔσχολον ἐπὶ τὰ κρείττω τὴν ἐπιθυμίαν. Οὐ πάντων δὲ τῶν ἐν εὐπορίᾳ ὄντων ὁ λόγος καθάπτεται, μόνων δὲ ἐκείνων τῶν περὶ τὰ χρήματα τὸν πόθον κεκτημένων. Τίνες δέ εἰσιν οὗτοι; Οἱ μὲν τῆς τοῦ Κυρίου φωνῆς ἀκούοντες λέγοντος· « Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, » κ. τ. λ.

Μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε.

(A f. 97 b, B f. 64 b, G f. 14 b) Καί τοι πάλιν ἐν τῷ Ματθαίῳ φησί· « Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται· » ἐνταῦθα δὲ τοὺς πεινῶντας ἁπλῶς, μακαρίους ἔσεσθαί φησι. Φαμὲν οὖν ὅτι μέγα μὲν καὶ ἐξαίρετον τὸ πεινῆν καὶ διψῆν τὴν δικαιοσύνην, τουτέστι, καθάπερ τινὸς τροφῆς καὶ ποτοῦ μεταποιεῖσθαι φιλεῖν τῶν εἰς εὐσέβειαν σπουδασμάτων· τοῦτο γὰρ ἡ δικαιοσύνη δηλοῖ. Ἐπειδὴ δὲ χρὴ ταῖς ἀρτίως ἡμῖν εἰρημέναις ἐκδόσεσιν ἑπομένην ἀποφῆναι καὶ τὴν ἐν τούτοις διάνοιαν, πάλιν ἐκεῖνό φαμεν· ἐμακάρισεν ὁ Σωτὴρ τοὺς τὴν ἐθελούσιον ἀγαπῶντας πτωχείαν, ὑπέρ γε τοῦ καλῶς καὶ ἀπερισπάστως τὸν ἀποστολικὸν διανῦσαι δρόμον. Τῷ γὰρ

A V. 20. *Beati pauperes.*

Igitur ad evangelicæ vitæ novitatem post electionem suos erudiens discipulos Servator, sic loquitur. Quosnam vero pauperes sermone designet, cognoscere necesse est. Namque apud Matthæum beatos futuros ait pauperes spiritu, atque ipsorum fore regnum cœlorum [79]; ut pauperem spiritu illum esse intelligamus, qui sit modestus, et limitatum veluti animum gerat : est enim hic præclarus et Deo spectabilis vir. Quare et per quemdam sanctorum prophetarum ait : « Super quem respiciam, nisi super humilem et quietum et sermones meos trementem [80]? » Ait etiam propheta David : « Cor contritum et humiliatum Deus non despiciet [81]. » Imo et ipse Servator : « Discite a me, inquit, quia mitis sum et B humilis corde [82]. » Verumtamen in proposita nuper nobis lectione, beati fore dicuntur pauperes, sine illo additamento, *spiritu*. Sic autem loquuntur evangelistæ, haud invicem adversantes, sed narrationem sæpe inter se dispertientes. Modo enim iisdem capitulis juncti incedunt; modo autem partem ab uno prætermissam alius suis scriptis supplet, ne quid necessarium vel utile Christi fideles latere possit. Videtur ergo hoc loco pauperes dicere illos qui lucri amorem cohibent, et moribus sunt minime avaris. Itaque sapientissimus Paulus optimæ nobis doctrinæ magister apparet dum ait : « Mores sine avaritia, contenti præsentibus [83]. » Addebat præterea : « Habentes escas et indumenta, his contenti erimus [84]. » Apprime scilicet oportebat, quia salutarem et evan- C gelicam doctrinam **194** prædicaturi erant, animum divitiarum cupiditate vacuum habere, et alacre rerum meliorum studium. Non omnes autem in rerum copia versantes hic sermo pulsat, sed illos tantum qui divitiarum amore tenentur. Quinam porro hi sunt? Nempe ii, quibus Domini voce dictum fuit : « Nolite thesaurizare vobis thesauros in terra, » et reliqua [85].

V. 21. *Beati qui nunc esuritis, quia saturabimini.*

Porro alibi apud Matthæum ait Servator : « Beati D qui esuriunt et sitiunt justitiam, quoniam ipsi saturabuntur [86]; » hic autem esurientes simpliciter beatos fore ait. Dicimus ergo magnum quid esse esurire et sitire justitiam, id est ceu cibo quodam potuque uti velle pietatis operibus; id enim significat justitiæ vocabulum. Jam quia oportet nos prolatis nuper explanationibus consentaneam nunc etiam dicere sententiam, denuo affirmamus beatos a Servatore appellatos illos qui voluntariam paupertatem sectantur, ut bene et sine ulla dissipatione apostolicum cursum absolvant. Nam quibus aurum argentumve in loculis non est, neque duæ tunicæ, his plane contingit plurimis vitæ incommodis con-

[79] Matth. v, 3. [80] Isa. lxvi, 2. [81] Psal. l, 19. [82] Matth. xi, 29. [83] Hebr. xiii, 5. [84] I Tim. vi, 8. [85] Matth. vi, 19. [86] Matth. v, 6.

Digitized by Google

flictari, et vix alimenta nancisci. Grave autem est in paupertate et persecutionibus versari : idcirco opportune admodum is qui corda novit, vetat animo concidere propter inopiæ casus. Etenim qui nunc religionis causa famem patiuntur, satiabuntur ait, id est, dandis postea bonis suaviter fruentur, intellectualibus, inquam, et spiritualibus.

A μὴ ἔχειν χρυσίον ἢ ἀργύριον ἐν ταῖς ζώναις, ἢ δύο χιτῶνας, ἔπεται πάντως πλείστης δσης αὐτοὺς ἀνασχέσθαι σκληραγωγίας, καὶ μόλις αὐτοὺς εὐπορῆσαι τροφῆς· φορτικὸν δὲ τοῦτο τοῖς ἐν πενίᾳ καὶ διωγμοῖς· ταύτητοι καὶ μάλα εἰκότως ὁ καρδίας εἰδὼς, μικροψυχεῖν οὐκ ἐᾷ πρὸς τὰ ἐκ τῆς πτωχείας συμβαίνοντα. Τοὺς γὰρ νῦν πεινῶντας τῆς εἰς αὐτὸν εὐσεβείας ἕνεκα, χορταθήσεσθαί φησι (1)· τουτέστι τοῖς δοθησομένοις ἐντρυφήσουσιν ἀγαθοῖς, νοητοῖς δὲ δηλονότι καὶ πνευματικοῖς.

Beati qui nunc fletis, quia ridebitis.

Beatos dicit qui flent, aitque postea risuros. Flere autem dicimus non illos tantummodo qui oculis lacrymas demittunt : hoc enim communiter usuvenit tum fidelibus tum etiam infidelibus, si quid accidit eorum quæ molesta esse solent : sed **195** de illis potius verba fieri dicimus, qui lætam et vanam deliciisque carnalibus deditam vitam fugiunt. Hos, inquam, lætos fore et risuros dicimus. Qui nimirum deliciari et carnalibus indulgere recusant, ac propemodum flent propter mundi detestationem, hos beatos dicit Servator : propterea que paupertatem sectari jubet, et ea quæ ex paupertate consequuntur præmiis coronat. Sunt autem hæc : ad alendas delicias inopia, et ob angustias tristitia. Scriptum est enim multas esse tribulationes justorum, quibus ex omnibus eripiet eos Dominus [87].

Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε.

(A f. 98 b) Μακαρίζει τοὺς κλαίοντας, καί φησιν ὅτι γελάσουσι· κλαίειν δέ φαμεν, οὐ τοὺς ἁπλῶς τὸ ἐξ ὀμμάτων καθιέντας δάκρυον· κοινὸν γὰρ τοῦτο καὶ πᾶσι συμβαῖνον πιστοῖς καὶ ἀπίστοις, εἴπερ τι γένοιτο τῶν εἰωθότων καταλυπεῖν· ἐκείνους δὲ μᾶλλον τοὺς τὸν ἴλαρὸν καὶ ἐξίτηλον, καὶ ἐν τρυφαῖς ὄντα ταῖς σαρκικαῖς φεύγοντας βίον· ἐκείνους μέν γάρ ἐν τῷ τέρπεσθαι καὶ γελᾷν εἶναί φαμεν. Τοὺς δέ γε τὸ τρυφᾷν καὶ ἀνίεσθαι σαρκικῶν παραιτουμένους, καὶ μονονουχὶ κλαίοντας διὰ τοῦ μισεῖν τὰ ἐν κόσμῳ, μακαρίους εἶναί φησιν ὁ Σωτήρ· οὐκοῦν πτωχεῦσαι κελεύσας, καὶ τὰ ἑπόμενα τῇ πτωχείᾳ τιμαῖς στεφανοῖ· ταῦτα δέ ἐστι, τῶν εἰς τρυφὰς ἐπιτηδείων ἡ σπάνις, καὶ τὸ κατηφὲς διὰ τὴν θλῖψιν. Γέγραπται γὰρ ὡς πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος.

V. 22. *Beati eritis, cum vos oderint homines*, etc.

Jam nunc Dominus persecutionem nuntiat, antequam apostolos mittat. Evangelium eventum præoccupat. Futurum quippe erat ut illi dum evangelicam spargerent prædicationem, dum Judæos a legali cultu avocarent ut viam evangelicæ rectitudinis agnoscerent; dumque idolorum cultores in veritatis notitiam irretirent : futurum, inquam, erat ut in multorum Dei osorum impiorumque hominum offensionem incurrerent. Hi enim bella et persecutiones Jesu præconibus suscitant, rectam pietatem insectantes. Ne igitur instante jam tempore, quo mala hujusmodi a nonnullis inferenda erant, in inconsideratum mœrorem incideret, prænuntiat utiliter molestiarum quoque incursum utilem ipsis nec absque mercede fore. Vituperabunt enim vos, inquit, ut fallaces ac deceptores : a se vos separabunt, id est amicitia sua et communione excludent. Verumtamen nullam, inquit, rerum hujusmodi rationem habeatis. Qui enim linguæ illorum intemperantia firmæ menti noceat? Certe iis qui religiose philosophari sciunt, haud infructuosam fore dicit patientiam suam, sed superni gaudii conciliatricem. Commode insuper demonstrat nihil ipsis novi eventurum cum talia patientur : imo illorum fore imitatores, qui ante ipsos Israelis filiis cœlitus sibi creditos intulere sermones : nam

Μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, κ. τ. λ.

(A f. 99 b, B f. 64 b) Ἤδη μέντοι ὁ Κύριος τὸν διωγμὸν ἀπήγγειλε, πρὶν ἀποσταλῆναι τοὺς ἀποστόλους. Προέλαβε τὸ εὐαγγέλιον τὴν ἔκβασιν· ἐχρῆν γὰρ πάντως αὐτοὺς τὸ εὐαγγελικὸν διαγγέλλοντας κήρυγμα, καὶ Ἰουδαίους μὲν ἀφιστῶντας τῆς κατὰ νόμον λατρείας, ἵνα τῆς εὐαγγελικῆς εὐζωΐας εἰδεῖεν τὴν ὁδὸν, τοὺς δέ γε εἰδωλολάτρας εἰς τὴν τῆς ἀληθείας ἐπίγνωσιν σαγηνεύοντας, προσκροῦσαι πολλοῖς ἀφιλοθέοις τε καὶ ἀνοσίοις ἀνδράσιν· οὗτοι γὰρ πολέμους καὶ διωγμοὺς τοῖς τὸν Ἰησοῦν καταγγέλλουσιν ἐπεγείρουσι, διώκοντες τὴν εὐσέβειαν. Ἵνα τοίνυν ἐνστάντος τοῦ καιροῦ, καθ' ὃν ἔμελλεν ἔσεσθαι ταῦτα παρά τινων, μὴ εἰς ἀνοήτους ἐμπίπτωσιν ἀκηδίας, προαπαγγέλλει χρησίμως, ὡς καὶ τῶν σκυθρωπῶν ἡ ἔφοδος, ἔμμισθος ἔσται καὶ ἐπωφελὴς αὐτοῖς. Ὀνειδίσουσι γὰρ, φησὶν, ὑμᾶς ὡς πλάνους καὶ ἀπατεῶνας· ἀφορίσουσιν ἑαυτῶν, τουτέστι τῆς πρὸς ἑαυτοὺς φιλίας καὶ κοινωνίας· ἀλλὰ μηδεὶς ἔστω παρ' ὑμῖν, φησὶ, τῶν τοιούτων ὁ λόγος· τί γὰρ ἀδικήσει τῆς ἐκείνων γλώττης τὸ ἄταχτον τὸν εὖ βεβηκότα νοῦν; Τοῖς γὰρ εὐσεβῶς εἰδόσι φιλοσοφεῖν, οὐκ ἄκαρπον ἔσεσθαί φησι τὴν ἐπὶ τούτων ὑπομονὴν, ἀλλ' εὐθυμίας τῆς ἀνωτάτω πρόξενον. Διαδείκνυσι δὲ πρὸς τούτῳ χρησίμως, ὡς ξένον αὐτοῖς οὐδὲν συμβήσεται καὶ ταῦτα παθοῦσιν· ἔσονται δὲ μᾶλλον κατ' ἐκείνους, οἳ καὶ πρὸ αὐτῶν τοὺς θείους καὶ ἄνωθεν τοῖς ἐξ

[87] Psal. xxxiii, 20.

(1) Huc pertinet fragmentum apud D. Thomam. « Cyrillus. Consequitur autem inopiam non solum defectus rerum ad delectationes facientium, sed etiam depressus vultus propter mœstitiam. Unde sequitur : *Beati qui nunc fletis.* » Sunt tamen propesimilia apud nos in fine sequentis fragmenti.

Digitized by Google

Ἰσραὴλ διαπορθμεύοντες λόγους, ἐδιώχθησαν, ἐπρίσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον, λοιδοριῶν ἠνέσχοντο ἀδίκως αὐτοῖς ἐπενηνεγμένων. Οὐκοῦν δίδωσιν ἐκεῖνο νοεῖν, ὡς ὧν ἂν γένοιντο μιμηταί, τούτων ἔσονται καὶ κοινωνοί· καὶ προφητικῶν στεφάνων οὐκ ἀμοιρήσουσι, τὴν ἐκείνοις ἐντριβῆ βαδίσαντες ὁδόν.

A persecutionem passi sunt, secti sunt, gladio cæsi perierunt, convicia inique sibi inflicta pertulerunt. Ergo vult eos intelligere, quorum fuerunt imitatores, eorum fore etiam participes, et prophetarum coronis non carituros, si viam illorum terendo decurrerint.

Οὐαὶ ὑμῖν, τοῖς πλουσίοις (1).

(A f. 100 b) Προαναφωνήσας αἰτίαν παντὸς ἀγαθοῦ τὴν διὰ Θεὸν πτωχείαν, καὶ τὸ πεινῆν καὶ κλαίειν οὐκ ἄμισθον ἔσεσθαι τοῖς ἁγίοις εἰπών, μεθίστησι τὸν λόγον ἐπὶ τὰ ἐναντίως ἔχοντα τούτων, καὶ διαδείκνυσιν αὐτὰ κολάσεως ὄντα καὶ δίκης ἐμποιητικά, ἵνα τῇ μὲν τῶν στεφάνων ἐπιθυμίᾳ, καὶ τῇ τοῦ μακαρισμοῦ ἐφέσει, σαγηνεύωνται πρὸς τοὺς πόνους, καὶ τὴν διὰ Θεὸν αἱρεῖσθαι πτωχείαν πείθωνται· τῷ δὲ φόβῳ τῆς ἐπηρτημένης κολάσεως, φεύγωσι τὸ πλουτεῖν, καὶ τὸ ἐν τρυφαῖς εἶναι καὶ γέλωτι, τουτέστιν ἐν τέρψεσι κοσμικαῖς. Καὶ τοὺς μὲν κληρονόμους ἔσεσθαι τῆς τῶν οὐρανῶν βασιλείας φησί, τοὺς δὲ ἐσχάταις περιπεσεῖσθαι συμφοραῖς· « Ἀπέχετε γάρ, φησί, τὴν παράκλησιν ὑμῶν. » Ἔξεστι δὲ τοῦτο ἰδεῖν, ὡς ἐν πίνακι καλῶς γεγραμμένον, ἐν τῇ περὶ τοῦ πλουσίου καὶ Λαζάρου παραβολῇ· « Ἀπέλαβες γάρ, φησὶ πρὸς τὸν πλούσιον, τὰ ἀγαθά σου ἐπὶ ζωῇ σου, καὶ Λάζαρος τὰ κακά· νῦν δὲ αὐτὸς ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. » Ἀλλὰ φέρε, καθ' ἑαυτοὺς ἐκεῖνο γυμνάσωμεν. Ἆρα, εἴ τίς ἐστι πλούσιος ἐν κόσμῳ, οὗτος ἀπώλισθε πάντως τοῦ προσδοκᾶν ἐλεεῖσθαι παρὰ Θεοῦ; Οὐ τοῦτό φαμεν, ἐκεῖνο δὲ μᾶλλον· ἐξῆν τῷ πλουσίῳ κατελεῆσαι τὸν Λάζαρον, ὡς καὶ τῆς αὐτοῦ παρακλήσεως γένηται κοινωνός. Καὶ γοῦν ὁ Σωτὴρ τοῖς τὸν ἐπίγειον ἔχουσι πλοῦτον, ὁδὸν ὑπέδειξε σωτηρίας, εἰπών· « Ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ ἀδίκου μαμωνᾶ, ἵνα ὑποδέξωνται ὑμᾶς εἰς τὰς ἑαυτῶν σκηνάς. »

B C

V. 24. *Væ vobis, divitibus!*

Locutus antea de omnis boni causa propter Deum paupertate, famemque ac fletum haud sine mercede sanctis fore præfatus, ad contraria his transfert orationem, demonstratque ea pœnam ultionemque importare; ut sic coronæ cupiditate et beatitudinis studio, ad labores impellantur, et ob Dei amorem paupertatem amplecti velint; metuque vicissim impendentis pœnæ, a divitiis abhorreant, et a deliciis atque risu, id est mundanis delectationibus. Et illos quidem regni cœlorum hæredes futuros ait, hos autem calamitates extremas subituros. « Habetis enim, inquit, consolationem vestram. » Licet autem hoc, tanquam in depicta egregie tabula, spectare in divitis Lazarique parabola. « Recepisti enim, ait diviti, bona tua dum viveres; Lazarus vero mala: nunc autem ille hoc in loco recreatur, tu contra cruciaris [88]. » Sed age nobis ipsis ita objiciamus: Num si quis in mundo dives est, hic a misericordiæ divinæ spe prorsus excidit! Haud ita dicimus, sed illud potius, potuisse divitem misereri Lazari, atque ita consolationis ejusdem particeps fuisset. Ecce enim Servator iis qui terrenas habent divitias, viam ostendit salutis, dicens: « Facite vobis amicos de mammona iniquitatis, ut hi in sua vos tabernacula recipiant [89]. »

Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν.

(A f. 101 b, B f. 66, C f. 118 b) Ἀληθεύει λέγων ὁ μακάριος Παῦλος, ὅτι « Εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις· πάντα γὰρ γέγονεν ἐν αὐτῷ τε καὶ δι' αὐτοῦ καινά, καὶ διαθήκη, καὶ νόμος, καὶ πολιτεία. » Ἄθρει δὲ ὅπως πρεπωδεστάτη λίαν ἐστὶ τοῖς ἁγίοις μυσταγωγοῖς ἡ τοιάδε πολιτεία τε καὶ ζωή, οἳ ἔμελλον τοῖς ἁπανταχόσε γῆς τὸ σωτήριον ἐξαγγέλλειν κήρυγμα. Καὶ ἦν ἐντεῦθεν προσδοκᾶν, οὐκ εὐαριθμήτους ἔσεσθαι τοὺς διώκοντας αὐτοὺς καὶ πολυτρόπως ἐπιβουλεύοντας· ἀλλ' εἰ συνέβη ταῖς τοιαύταις λύπαις ἀχθεσθῆναι τοὺς μαθητάς, εἶτα θέλειν ἀμύνεσθαι τοὺς λελυπηκότας, ἐσίγησαν ἂν καὶ παρέδραμον αὐτούς, οὐκέτι τὸ θεῖον αὐτοῖς παρατιθέντες κήρυγμα, οὐ καλοῦντες εἰς ἐπίγνωσιν ἀληθείας. Ἔδει τοίνυν ταῖς οὕτω σεπταῖς ἀνεξικακίαις, τὸν τῶν ἁγίων μυσταγωγῶν ἀναχαιτίσαι νοῦν, ἵνα πάντα γενναίως φέρωσι τὰ συμβαίνοντα, κἂν ὑβρίζωσί

V. 27. *Diligite inimicos vestros.*

Vere dicit beatus Paulus: « Si qua in Christo nova creatura; omnia enim facta **197** sunt in ipso et per ipsum nova, et fœdus, et lex, et vitæ genus [90]. » Videsis autem quam sit convenientissima sanctis doctoribus hæc agendæ vitæ ratio, qui cunctis per orbem hominibus salutarem prædicationem illaturi erant. Atqui hinc exspectandi erant persecutores innumeri et omnimodi insidiatores. Quod si contigisset, ut his molestiis gravarentur nimis discipuli, voluissentque offensores suos ulcisci, utique tacuissent, eosque præterissent, omissa deinceps apud eos prædicatione, nec ipsos ad veritatis notitiam vocavissent. Oportebat igitur tam sancta patientia sanctorum magistrorum mentes inhibere, quo casus omnes fortiter ferrent, etiamsi quidam conviciis incesserent, et impias molirentur insidias. Ita vero se gessit ante alios ipse Jesus,

[88] Luc. xvi, 25. [89] ibid. 9. [90] II Cor. v, 17.

(1) Apud D. Thomam. « Cyrillus. Prædicto quod paupertas apud Deum causa sit cujuslibet boni, et esurire et flere non vacabit mercede sanctorum, transfert sermonem ad opposita, et innuit ipsa damnationis et supplicii fore materiam. Unde dicitur: *Verumtamen væ vobis divitibus, quia habetis consolationem vestram.* Hæc enim dictio, *væ*, semper in Scripturis dicitur his qui non possunt evadere a futuro supplicio. ».

Digitized by Google

ut exemplar nobis fieret. Namque adhuc de veneranda cruce pendens, Judaica plebe ipsum irridente, preces Patri Deo pro illis offerebat dicens: « Dimitte illis, non enim sciunt quid faciunt [91]. » Utique et beatus Stephanus lapidibus licet pulsatus, flexis genibus oravit dicens: « Domine, ne statuas illis hoc peccatum [92]. » Divus denique Paulus ait: « Convicium passi, benedicimus; maledicti, obsecramus [93]. » Necessario itaque hæc ad apostolos adhortatio fit: perutilis vero nobis quoque est, ut bonam et admiratione dignam vitam instituamus. Et hæc quidem adhortatio omni philosophia redundat; sed eam nostris mentibus difficilem efficiunt præjudicia non bona, et insitarum cupiditatum superabilis ægre tyrannis. Quare cum sciret animalem hominem haud hæc admittere, quia Spiritus oracula stultitiam existimat, et factu impossibilia, idcirco separans eos qui sunt hujusmodi ab iis qui edicta audire queunt, vobis, inquit, dico qui audire et audita exsequi vultis. Etenim alacritas ad fortitudinem spiritualem, in tentationibus laboribusque manifestatur. Imitare ergo in his Christum, « Qui cum malediceretur, non maledicebat; cum pateretur, non comminabatur, **198** tradebat autem se juste judicanti [94]. » Sed enim intra te ipsum sic fortasse dices: Deus erat Christus, ego autem homo infirmus, infirma mente præditus, et quæ dominari cupiditati ac mœrori non valet. Recte ais; proclivis enim ad peccandum mens humana est. Attamen ego aio: Non te destituit nudum patrocinio suo ac benevolentia Dominus. Habes ipsum apud te, id est intra te, per sanctum Spiritum. Habitaculum quippe illius sumus, qui in animabus diligentium se diversatur. Ipse te roborat, ut irruentia mala fortiter feras, et tentationum incursibus viriliter resistas. « Ne igitur malo vincaris, sed bono malum superа [95]. »

A τινες, κἂν ἀνοσίως ἐπιβουλεύωσι. Πέπραχε δὲ τοῦτο καὶ πρό γε τῶν ἄλλων αὐτὸς εἰς ὑποτύπωσιν ἡμετέραν· ἔτι γὰρ ἀπηρτημένος τοῦ τιμίου σταυροῦ, καίτοι τῆς Ἰουδαίων πληθύος ἐπιγελώσης αὐτῷ, τὰς πρὸς τὸν Θεὸν καὶ Πατέρα λιτὰς ὑπὲρ αὐτῶν ἐποιεῖτο, λέγων· « Ἄφες αὐτοῖς, ὅτι οὐκ οἴδασι τί ποιοῦσι. » Ναὶ μὲν καὶ ὁ μακάριος Στέφανος, καίτοι βαλλόμενος λίθοις, θεὶς τὰ γόνατα, προσηύξατο λέγων· « Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. » Καὶ ὁ θεῖος δὲ Παῦλός φησι· « Λοιδορούμενοι, εὐλογοῦμεν· δυσφημούμενοι, παρακαλοῦμεν. » Οὐκοῦν ἀναγκαία μὲν ἡ τοιάδε παραίνεσις τῶν ἁγίων ἀποστόλων· χρησιμωτάτη δὲ καὶ ἡμῖν αὐτοῖς, εἴς γε τὸ χρῆναι βιοῦν ὀρθῶς καὶ τεθαυμασμένως· μεστὴ γάρ ἐστι πάσης φιλοσοφίας· δυσκατόρθωτον δὲ ἀποτιλοῦσιν αὐτὴν ταῖς ἡμετέραις διανοίαις προλήψεις οὐκ ἀγαθαὶ, καὶ τῶν ἐν ἡμῖν ὄντων παθῶν ἡ δυσκαταγώνιστος τυραννίς· διόπερ εἰδὼς ὡς ψυχικὸς ἄνθρωπος ταῦτα οὐ δέχεται, μωρίαν ἡγούμενος τὰ τοῦ Πνεύματος λόγια καὶ ἀδύνατα εἰς κατόρθωσιν, διαιρῶν τοὺς τοιούτους ἀπὸ τῶν ἀκούειν δυναμένων· Ὑμῖν λέγω, φησὶ, τοῖς ἀκούουσιν, καὶ ποιεῖν ἑτοίμως τὰ λεγόμενα προαιρουμένοις. Τὸ γὰρ εὐδόκιμον εἰς ἀνδρείαν τὴν πνευματικὴν, ἐν τοῖς πειρασμοῖς καὶ πόνοις διαφαίνεται. Μίμησαι οὖν ἐν τούτοις Χριστόν· « Ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει· παρεδίδου δὲ τῷ κρίνοντι δικαίως (1). » Ἀλλ' ἴσως κατὰ σαυτὸν, ἐκεῖνο ἐρεῖς· Θεὸς ἦν ὁ Χριστὸς, ἐγὼ δὲ ἄνθρωπος ἀσθενὴς, ἔχων τὴν διάνοιαν ἀσθενῆ, καὶ ἀνικάνως ἔχουσαν πρὸς τὸ δύνασθαι καὶ πλεονεξίας καὶ λύπης κατευμεγεθῆσαι. Ὀρθῶς ἐρεῖς· εὐόλισθος γὰρ ὁ ἀνθρώπινος νοῦς εἰς τὸ πλημμελεῖν. Πλὴν ἐκεῖνό φημι· Οὐκ ἀφῆκέ σε γυμνὸν τῆς παρ' αὐτοῦ φειδοῦς καὶ ἀγάπης ὁ Κύριος· ἔχεις αὐτὸν ἐν σεαυτῷ, ἤτοι ἐντὸς, διὰ τοῦ ἁγίου Πνεύματος· οἶκος γάρ ἐσμεν αὐτοῦ, καὶ ταῖς τῶν ἀγαπώντων αὐτὸν ψυχαῖς ἐναυλίζεται. Αὐτὸς σε νευροῖ πρὸς τὸ φέρειν γενναίως τὰ παρεμπίπτοντα, καὶ ταῖς τῶν πειρασμῶν ἐμβολαῖς ἀνταγωνίσασθαι νεανικῶς· « Μὴ νικῶ τοίνυν ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν. »

V. 29. *Percutienti te in maxillam, præbe et alteram.*

Finem legis atque prophetarum esse Christum sapientissimus ait Paulus [96]. Nam lex ad hujus mysterium erudit. Sed ut idem rursus dicit Paulus [97], postquam fides supervenit, ulterius sub ductore non sumus; neque puerilem mentem jam gerimus, sed in virum perfectum succrevimus, in ætatem plenitudinis Christi. Itaque nobis haud diutius lacte opus erat, sed cibo potius solidiore; quem nobis largitur Christus, justitiæ, quæ supra legem est, viam ostendens. Ait enim ipse sanctis apostolis: « Amen dico vobis, nisi abundaverit justitia vestra magis quam Scribarum et Pharisæorum, non intrabitis in regnum cœlorum [98]. »

Τῷ τύπτοντί σε ἐπὶ τὴν σιαγόνα, πάρεχε καὶ τὴν ἄλλην.

(A f. 103, B f. 65 b) Τέλος νόμου καὶ προφητῶν γενέσθαι Χριστὸν, ὁ σοφώτατος ἔφη Παῦλος· παιδαγωγεῖ γὰρ ὁ νόμος ἐπὶ τὸ αὐτοῦ μυστήριον. Ἀλλ' ὡς αὐτὸς ἔφη πάλιν ὁ μακάριος Παῦλος, ἐλθούσης τῆς πίστεως, οὐκέτι ὑπὸ διαγωγόν ἐσμεν· οὐ γὰρ ἔτι τὰς φρένας νηπιάζομεν, ηὐξήθημεν δὲ μᾶλλον εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ. Ἔδει τοίνυν ἡμῖν οὐ γάλακτος, τροφῆς δὲ μᾶλλον τῆς στερεωτέρας· τοῦτο ἡμῖν χαρίζεται Χριστὸς, τῆς ὑπὲρ νόμον δικαιοσύνης ἐμφανίζων τὴν ὁδὸν· ἔφη γὰρ αὐτὸς τοῖς ἁγίοις ἀποστόλοις· « Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν Γραμματέων καὶ Φαρι-

[91] Luc. xxiii, 34. [92] Act. vii, 59. [93] I Cor. iv, 12. [94] I Petr. ii, 23. [95] Rom. xii, 21. [96] Rom. x, 4. [97] Ephes. iv, 13. [98] Matth. v, 20.

(1) De hac lectione ἀδίκως pro δικαίως, videsis quæ nos diximus in adn. ad commentarium Cyrilli in Epist. II ad Cor., cap. x, vers. 1. (*Opp. Cyrilli hujusce novissimæ edit.*, tom.).

Digitized by Google

σαίως, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. » Εἶτα, τί τὸ περιττὸν ἐν δικαιοσύνῃ τῇ κατά τε, φησί, τὸ εὐαγγελικὸν καὶ σωτήριον κήρυγμα, διειπεῖν ἀναγκαῖον. Ὁ νόμος ὁ διὰ Μωϋσέως, τοῖς ὀρχαιοτέροις τεθεσπισμένος, διὰ τῶν ἴσων ἔρχεσθαι πραγμάτων ἐκέλευε· κεκώλυκε δὲ τὸ ἀδικεῖν, καὶ οὐχὶ δὴ μᾶλλον προηδικημένους ἀνεξικακεῖν, ὅπερ ὁ τοῦ Εὐαγγελίου βούλεται νόμος· « Οὐ γὰρ φονεύσεις, φησὶν, οὐ κλέψεις, οὐκ ἐπιορκήσεις. » Ἔτι τε πρὸς τούτοις· « Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, χεῖρα ἀντὶ χειρὸς, πόδα ἀντὶ ποδὸς, τραῦμα ἀντὶ τραύματος, μώλωπα ἀντὶ μώλωπος. » Ταυτὶ δὲ κελεύοντος ἦν, μὴ ἀδικεῖν ἑτέρους· ἢ γοῦν προηδικημένους, μὴ πέρα τῶν ἴσων τὰς κατὰ τὸν ἀδικήσαντα ἐκτείνειν ὀργάς. Ἀλλ' ἦν οὐ πάντως ἀρέσκουσα τῷ Θεῷ τῆς κατὰ νόμον πολιτείας ἡ δύναμις· γέγονε δὲ τοῖς ἀρχαιοτέροις ἐν τάξει παιδαγωγοῦ κατὰ βραχὺ προσεθίζοντος εἰς δικαιοσύνην σύμμετρον, καὶ ἀναβιβάζοντος εὐφυῶς ἐπὶ τὸ τελέως ἔχειν ἀγαθόν· γέγραπται γάρ· « Ἀρχὴ ὁδοῦ ἀγαθῆς, τὸ ποιεῖν τὰ δίκαια. » Πᾶσα δὲ λοιπὸν τελειότης ἐν Χριστῷ καὶ τοῖς αὐτοῦ θεσπίσμασι· « Τῷ γὰρ τύπτοντί σε, φησὶν, ἐπὶ τὴν σιαγόνα, πάρεχε καὶ τὴν ἄλλην. » Τῆς εἰς λῆξιν ἀνεξικακίας ἐν τούτοις ὁδὸς ἡμῖν ὑποδείκνυται. Βούλεται δὲ, πρὸς τούτῳ, καὶ χρημάτων εἶναι καταφρονητὴν, ὥστε, κἂν εἰ μόνον ἱμάτιον ἔχοι, μὴ ἀφόρητον ἡγεῖσθαι τὸ συναποβαλεῖν αὐτῷ καὶ τὸν χιτῶνα τυχόν. Ἀρετὴ δὲ αὕτη ψυχῆς ὁλοτρόπως ἀπεστραμμένης τὸ φιλόπλουτον πάθος· « Μὴ γὰρ ἀπαίτει, φησὶ, τὸν αἴροντά τι τῶν σῶν· ἀλλὰ καὶ παντὶ τῷ αἰτοῦντί σε, δίδου· » ὅπερ ἀγάπης καὶ φιλοπτωχίας τεκμήριον. Τὸν δὲ φιλοικτίρμονα χρὴ πάντως εἶναι καὶ ἀμνησίκακον· ὥστε καὶ τὰ φίλων εἰς ἐχθροὺς ἐργάζεσθαι.

A Deinceps quæ sit justitiæ abundantia, illius, inquam, quæ secundum evangelicam Servatoris doctrinam fit, dicere necesse est. Lex a Moyse priscis hominibus lata, res pari conditione esse jubebat; namque injuriam facere vetabat, haud vero antea offensum patienter se gerere præcipiebat, quod tamen Evangelii lex fieri vult. « Non occides, lex aiebat, non furaberis, non pejerabis [1]. » Tum addebat: « Oculum pro oculo, manum pro manu, pedem pro pede, vulnus pro **199** vulnere, livorem pro livore [2]. » Hæc erant verba imperantis ne alios injuste læderemus; vel si forte antea læsi, ne ultra talionem iram nostram extenderemus. Atqui non satis placebat Deo vitæ secundum legem actæ ratio: sed ea fuit antiquis instar pædagogi paulatim deducentis ad justitiam congruam, atque ad perfecti boni adeptionem prudenter provehentis. Scriptum est enim: « Initium bonæ viæ justa facere [3]. » Reliqua vero perfectio omnis in Christo præceptisque ejus conficitur. « Nam percutienti te, inquit, in maxillam, præbe et alteram. » Summæ nobis patientiæ in his via demonstratur. Vult præterea hominem divitiarum esse contemptorem, ita ut, etiamsi unum pallium fortasse habuerit, ne grave judicet dimittere cum illo etiam tunicam, si opus fuerit. Est autem hæc virtus animæ prorsus alienatæ ab avaritiæ passione. « Ne enim repetas, inquit, si quis tuarum rerum partem aliquam abstulerit: sed et cuilibet a te aliquid petenti, da; » quod est charitatis et erga pauperes benignitatis indicium. Jam misericordem oportet simul esse injuriarum immemorem, it aut amice se cum inimicis gerat.

B

C

Καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως.

V. 31. *Prout vultis ut vobis faciant homines, et vos facite illis similiter.*

(A f. 106, B f. 66, C f. 119, G f. 15 b) Ἀλλ' ἦν εἰκὸς οἰηθῆναι τοὺς ἁγίους ἀποστόλους τάχα που δυσκατόρθωτα εἶναι ταυτί. Ὁ τοίνυν πάντα εἰδὼς, τὸν τῆς ἐν ἡμῖν φιλαυτίας δέχεται νόμον βραβευτὴν ὧν ἂν βούλοιτό τις παρ' ἑτέρου τυχεῖν. Γενοῦ τοιοῦτος, φησὶν, εἰς ἑτέρους αὐτὸς, ὁποίους περ ἂν εἶναι θέλῃς περὶ σέ· εἰ μὲν σκληροὺς καὶ ἀσυμπαθεῖς, θρασεῖς καὶ ὀργίλους, μνησικάκους καὶ πονηροὺς, ἴσο καὶ αὐτὸς τοιοῦτος· εἰ δὲ τοὐναντίον, χρηστοὺς καὶ ἀμνησικάκους, μὴ ἀφόρητον ἡγοῦ τὸ εἶναι τοιοῦτος· καὶ τάχα που τοῖς οὕτω διακειμένοις περιττὸς ὁ νόμος, ἐγγράφοντος Θεοῦ ταῖς καρδίαις ἡμῶν τὴν τοῦ ἰδίου θελήματος γνῶσιν· « Ἐν γὰρ ταῖς ἡμέραις ἐκείναις, φησὶ Κύριος, διδοὺς δώσω νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ τὴν καρδίαν αὐτῶν ἐπιγράψω αὐτούς. »

Sed verisimile erat hæc sanctis apostolis difficilia fortasse factu videri. Qui ergo cuncta novit, proprium cujusque suimet amorem regulam constituit ac definitorem eorum quæ ab aliis consequi vellet. Talis esto, inquit, in alios ipse, quales eos erga te ipsum velles experiri: si duros, immisericordes, procaces, iracundos, ultores, et improbos; tu quoque hujusmodi esto. Sin contra, mites, injuriarum obliviosos, ne intolerandum putes te quoque talem præstare. Fortasse hæc regula hominibus sic recte compositis superflua est, quorum in cordibus suæ voluntatis notitiam Deus scribit. « Etenim diebus illis, inquit Dominus, dabo legem meam in mentem eorum, et in eorumdem corde inscribam illam [4]. »

D

Γίνεσθε οὖν οἰκτίρμονες.

200 V. 36. *Estote ergo misericordes.*

(A f. 109 b) Μέγα τῆς ἐλεημοσύνης τὸ καύχημα. Καὶ τοῦν γέγραπται, ὡς « Μέγα ἄνθρωπος, καὶ τίμιον ἀνὴρ ἐλεήμων. » Μορφοῖ γὰρ ἡμᾶς πρὸς Θεὸν ἡ ἀρετὴ, καὶ τῆς ἀνωτάτω φύσεως οἱονεί τινας χαρακτῆρας ταῖς ἡμετέραις ψυχαῖς ἐνεργάζεται.

Magna est misericordiæ gloria. Quare scriptum est: « Magna res homo, et pretiosum quid vir misericors [5]. » Certe Deo nos conformat virtus, et supernæ naturæ veluti quosdam characteres in animis nostris imprimit.

[1] Exod. xx, 13. [2] Exod. xxi, 24. [3] Prov. xvi, 5. [4] Jerem. xxxi, 33. [5] Prov. xx, 6.

Digitized by Google

V. 37. *Nolite judicare, et non judicabimini.*

Diram abscindit ex animis nostris passionem, superbiæ initium et causam. Nam quidam cum se ipsos deberent considerare, et secundum Deum vivere, minime id agunt, sed aliorum potius facta scrutantur. Et si forte aliquos vitio quolibet laborantes viderint, suarum veluti obliti infirmitatum, vituperandi occasionem atque obtrectandi materiam hinc arripiunt, Condemnant enim illos, neque reputant quod cum ipsi eadem ac illi, quos reprehendunt, infirmitate laborent, semet ipsi condemnant. Sic enim alicubi sapientissimus quoque Paulus scribit : « Nam in quo alium judicas, te ipsum condemnas ; eadem enim facis qui judicas [8]. » Cum contra opus foret infirmantium misereri, ceu qui passionum incursibus strati fuerint, et peccati laqueis inevitabiliter irretiti : ideoque orandum pro ipsis, et consolandos, atque ad resipiscendum hortandos, cavendumque ne in pares culpas incurramus ? Nam « Qui fratrem suum judicat, ait Christi discipulus, detrahit legi, et judicat legem. Unus autem est legislator et judex [9]. » Oporteret itaque superiorem esse peccanti animæ illum qui de hac judicat. Tu vero cum non sis hujusmodi, cur de proximo tuo judicas ? respondebit judicanti is qui peccat. Quod si nihilominus damnare audes, etsi hujusrei potestatem non habes, ipse potius damnaberis, quia lex non sinit de aliis judicium ferre. Certe qui recto intellectu regitur, haud aliena peccata inspicit, nec quid iniquum sit in suo proximo scrutatur, sed mala potius propria considerat. Ita se beatus gerebat Psalmista, Deo supplicans pro peccatis suis ac dicens : « Si iniquitates observaveris, Domine, **201** Domine, quis sustinebit [1] ? » Interdum vero humanæ naturæ infirmitatem prætendens, non incongruam petebat veniam dicens : « Memento quod pulvis sumus [2]. »

V. 38. *Date, et dabitur vobis.*

Affinem veluti prædictis benignitatibus sermonem intulit eleemosynæ. Optima enim res est ac Deo gratissima, et sanctas animas apprime decens. « Estote enim, inquit, misericordes, sicuti Pater vester est. » Quod autem divitiore manu accepturi remunerationem simus a Deo, qui diligentibus se abundanter omnia largitur, ipse testatur dicens : « Mensuram bonam et confertam et coagitatam et supereffluentem dabunt in sinum vestrum. » Videtur tamen priori quodammodo contradicere alterum. Nam si supereffluentem mercedem accipiemus, qui fieri poterit ut qua mensura mensi fuerimus remetiatur nobis ? Ubi paritas potius, quam redundantia dandæ nobis mercedis significari videtur. Quid ergo dicimus ? Omni nos difficultate expediet sapientissimus Paulus, quæstionis solutionem præbens. Ait enim : « Qui parce seminat, id est modice contractaque manu, parce et metet : qui autem in benedictionibus seminat, in benedictionibus

A *Μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε.*

(A f. 110, C f. 119) Παγχάλεπον ἀποκείρει πάθος τῶν ἡμετέρων διανοιῶν, ὑπεροψίας ἀρχὴν καὶ γένεσιν. Καίτοι γὰρ δέον τινὰς ἑαυτοὺς κατασκέπτεσθαι καὶ κατὰ Θεὸν πολιτεύεσθαι, τοῦτο μὲν οὐ δρῶσιν, πολυπραγμονοῦσι δὲ τὰ ἑτέρων· κἂν ἀσθενοῦντας ἴδωσί τινας, ὥσπερ εἰς λήθην ἐρχόμενοι τῶν ἰδίων ἀῤῥωστημάτων, φιλοψογίας ὑπόθεσιν ποιοῦνται τὸ χρῆμα, καὶ καταλαλιᾶς ἀφορμήν· καταψηφίζονται γὰρ αὐτῶν, οὐκ εἰδότες ὅτι νοσοῦντες τὰ ἴσα τοῖς παρ' αὐτῶν διαβεβλημένοις, ἑαυτοὺς κατακρίνουσι. Οὕτω που καὶ ὁ σοφώτατος γράφει Παῦλος· « Ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις· τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων. » Καίτοι μᾶλλον ἐχρῆν ἀσθενοῦντας ἐλεεῖν, ὡς ταῖς τῶν παθῶν ἐφόδοις ὑπεστρωμένους, καὶ τοῖς ἁμαρτίας βρόχοις ἀφύκτως ἐνειλημμένους, καὶ ὑπερεύχεσθαι τῶν τοιούτων, καὶ παρακαλεῖν αὐτοὺς, καὶ διεγείρειν εἰς νῆψιν, καὶ πειρᾶσθαι μὴ τοῖς ἴσοις περιπεσεῖν αἰτιάμασιν. Ὁ γὰρ κρίνων τὸν ἀδελφὸν, καθά φησιν ὁ τοῦ Χριστοῦ μαθητὴς, καταλαλεῖ νόμου, καὶ κρίνει νόμον· εἷς ἐστιν ὁ νομοθέτης καὶ κριτής. » Ἄνω γὰρ δεῖ τῆς ἁμαρτανούσης ψυχῆς εἶναι τὸν ταύτης κριτὴν· σὺ δὲ μὴ τοιοῦτος ὤν, τί κρίνεις τὸν πλησίον; Ἀπολογήσεται τῷ κριτῇ ὁ ἁμαρτάνων· εἰ δὲ ταλμᾷς κατακρίνειν, καίτοι τούτου μὴ ἔχων τὴν ἐξουσίαν, κατακριθήσῃ μᾶλλον αὐτὸς, ὡς οὐκ ἐῶντος τοῦ νόμου τὸ κρίνειν ἑτέρους· ὅ γε μὴν συνέσει κυβερνώμενος, οὐκ εἰς τὰς ἑτέρων ἁμαρτίας ὁρᾷ, οὐδὲ τί ἐστι τὸ φαῦλον ἐν τῷ πέλας περιεργάζεται, ἀλλ' ἐν τοῖς ἰδίοις ἐνατενίζει κακοῖς· τοιοῦτος ἦν ὁ μακάριος Ψαλμῳδὸς, προσπίπτων Θεῷ καὶ λέγων ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων· « Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται; » Ποτὲ δὲ πάλιν τῆς ἀνθρωπείας φύσεως τὴν ἀσθένειαν προϊσχόμενος, εὔλογον ἀπῄτει συγγνώμην, λέγων· « Μνήσθητι ὡς χοῦς ἐσμεν.

Δίδοτε, καὶ δοθήσεται ὑμῖν.

(A f. 111, C f. 119) Γείτονα ὥσπερ ταῖς εἰρημέναις ἐπιεικείαις τὸν περὶ τῆς ἐλεημοσύνης ποιεῖται λόγον· ἄριστον γὰρ τὸ χρῆμα, καὶ Θεῷ θυμηρέστατον, καὶ ὁσίαις ψυχαῖς ὅτι μάλιστα πρέπον· « Γίνεσθε γὰρ, φησὶν, οἰκτίρμονες, καθὼς ὁ Πατὴρ ὑμῶν. » Ὅτι δὲ πλουσιωτέρᾳ χειρὶ ληψόμεθα τὴν ἀνταπόδοσιν παρὰ τοῦ πάντα πλουσίως νέμοντος Θεοῦ τοῖς ἀγαπῶσιν αὐτὸν, αὐτὸς πεπληροφόρηκεν εἰπών· « Μέτρον καλὸν, πεπιεσμένον καὶ σεσαλευμένον καὶ ὑπερεκχυνόμενον δώσουσιν εἰς τὸν κόλπον ὑμῶν. » Καὶ δοκεῖ μέν πως εἰσφέρεσθαι τῷ πρώτῳ τὸ δεύτερον· εἰ γὰρ μέτρον ὑπερεκχυνόμενον ληψόμεθα, πῶς ᾧ μέτρῳ μετροῦμεν ἀντιμετρηθήσεται ἡμῖν; Ἔοικε γὰρ ἐν τούτοις ἰσότης μᾶλλον οὐ πλεονασμὸς εἶναί τις τῆς δοθησομένης ἡμῖν ἀμοιβῆς. Τί οὖν ἄρα φαμέν; Ἀπαλλάξει πραγμάτων ἡμᾶς ὁ σοφώτατος Παῦλος, τῶν ζητουμένων τὴν λύσιν ἐπενεγκών· ἔφη γάρ, ὅτι « Ὁ σπείρων φειδομένως, ἀντὶ τοῦ, συμμέτρως καὶ συνεσταλμένῃ χειρὶ, φειδομένως καὶ ἐ-

[8] Rom. II, 1. [9] Jacob. IV, 11. [1] Psal. CXXIX, 3. [2] Psal. CII, 14.

Digitized by Google

A ἐν ταῖς καρδίαις αὐτῶν κράζον, Ἀββᾶ, ὁ Πατήρ. » Ὅτε γὰρ ἀνεβίω Χριστὸς σκυλεύσας τὸν ᾅδην, τότε τοῖς πιστεύσασιν εἰς αὐτὸν τὸ τῆς υἱοθεσίας δέδωκε Πνεῦμα, καὶ πρό γε τῶν ἄλλων τοῖς οἰκείοις μαθηταῖς· « Ἐνεφύσησε γὰρ αὐτοῖς, λέγων· Λάβετε Πνεῦμα ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, » καὶ τὰ ἑξῆς. Ἐπειδὴ γὰρ ὅλως γεγόνασι θείας κοινωνοὶ φύσεως, τὸ Δεσποτικὸν καὶ κατεξουσιάζον τῶν ὅλων πλουτήσαντες Πνεῦμα, ταύτῃ τοι καὶ θεοπρεπὴς ἀξίωμα περιτέθεικεν αὐτοῖς, τὸ ἀφιέναι φημὶ τὰς ἁμαρτίας ὧν ἂν βούλωνται, κρατεῖν δὲ καὶ τὰς ἑτέρων (1). Ὅτι δὲ πρὸ τῆς ἀναφοιτήσεως οὐκ ἦν ἐν ἀνθρώποις τῆς υἱοθεσίας τὸ Πνεῦμα, ὁ πάντοσε εὐαγγελιστὴς Ἰωάννης δηλοῖ, λέγων· « Οὐδέπω γὰρ ἦν Πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη· » B δόξαν, τὴν ἐκ νεκρῶν ἀνάστασιν, καὶ τὴν εἰς οὐρανὸν ἄνοδον λέγων. Ἐκεῖ γὰρ ἀναφοιτήσας ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος ἔπεμψεν ἡμῖν ἀνθ' ἑαυτοῦ τὸν Παράκλητον, καὶ ἐν ἡμῖν ἐστι δι' αὐτοῦ· καὶ τοῦτο ἡμᾶς ἐδίδαξεν, εἰπών· « Ἐὰν μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς. » Λοιπὸν οὖν κἂν ἐλάττους ὦμεν τῶν τὴν ἐν νόμῳ δικαιοσύνην ἐχόντων, κατά γε τὴν τῆς ζωῆς ἀστειότητά φημι, ἀλλ' ἐν μείζοσι γεννητῶν γυναικὸς διὰ Χριστόν.

V. 32. *Similes sunt pueris sedentibus in foro.*

Ὁμοιοί εἰσι παιδίοις τοῖς ἐν ἀγορᾷ καθημένοις.

Erat fortasse ludi quoddam genus apud Judæorum pueros ita se habentis : Duas in partes puerorum multitudo discriminabatur, quorum alii mundi hujus ridebant tumultum, et insanum rerum cursum ; alii terribilem præcipitemque in contrarium versam vicem ; et pars quidem tibiis canebant, **215** pars lugebant : sed neque canentibus ac lætantibus, hi qui lugebant delectabantur ; neque vicissim lugentibus, hi qui tibias tenebant se conformabant. Deinde invicem quodammodo imputabant immisericordem animum atque incompositum. Hujuscemodi aliquid contigisse Judæorum populo ac ejus principibus, Servator affirmabat. Venerant enim prophetæ tristia futura prædicentes, et luctu digna. Mox post illos venit Christus atque apostoli, tibiæ instar, prædicationem regni occinentes, et pœnitentiæ gratiam. Sed præduro corde Judæi non solum non gemuerunt auditis prioribus, sed ne coram quidem posterioribus saltaverunt, nullum scilicet virtutis actum expromentes.

(A f. 118 b, B f. 73, C f. 121 b). Ἦν τάχα που παιγνίου τις τρόπος παρὰ τῶν Ἰουδαίων παισὶν οὕτω; ἔχων· Εἰς μέρη δύο πληθὺς παιδίων ἐτέμνετο, ἃ καὶ τὴν τοῦ βίου γελῶντα τύρβην καὶ τῶν ἐν αὐτῷ C πραγμάτων τὸ ἀνώμαλον, καὶ τῶν ἑτέρων τὴν εἰς ἕτερα δεινὴν καὶ ἀθρόαν μεταβολὴν, τὰ μὲν ηὔλουν, τὰ δὲ ἐθρήνουν· ἀλλ' οὔτε τοῖς αὐλοῦσι καὶ χαίρουσιν οἱ θρηνοῦντες συνῇδοντο, οὔτε μὴν τοῖς κλαίουσιν οἱ τὸν αὐλὸν ἔχοντες, συνεπλάττοντο. Εἶτα ἀλλήλοις; ἐνεκάλουν τρόπον τινὰ τὸ ἀσυμπαθὲς; ἦγουν ἀδιάθετον. Τοιοῦτόν τι πεπονθέναι τοὺς τῶν Ἰουδαίων δήμους ὁμοῦ τοῖς πρωτοστηκόσιν, ἰσχυρίζετο Χριστός. (*B f.* 73) Ἦλθον γὰρ οἱ προφῆται τὰ ἐσόμενα προαναφωνοῦντες σκυθρωπὰ, καὶ πρὸς θρῆνον διεγερτικά· εἶτα μετ' ἐκείνους ἐλήλυθεν ὁ Χριστὸς, καὶ οἱ ἀπόστολοι αὐλοῦ δίκην ἐξηχοῦντες τὸ τῆς βασιλείας κήρυγμα, καὶ τὴν χάριν τῆς μετανοίας. Ἀλλ' οἱ σκληροκάρδιοι Ἰουδαῖοι οὐ μόνον οὐκ ἐκόψαντο ἐπὶ τοῖς προτέροις, ἀλλ' οὐδὲ ὠρχήσαντο ἐπὶ τοῖς δευτέροις, D μηδὲν ἔργον ἀρετῆς διαπραξάμενοι.

V. 33. *Venit enim Joannes Baptista, neque manducans panem, neque bibens vinum.*

Ἐλήλυθε γὰρ Ἰωάννης ὁ Βαπτιστὴς, μήτε ἄρτον ἐσθίων μήτε οἶνον πίνων.

Quanam demum ratione pertraheris ad fidem, Pharisæe insipiens, qui omnia indiscrete vituperas, nihilque laude dignum existimas? Anteivit Servatori beatus Baptista, « Pœnitentiam agite, » dicens ; « appropinquavit enim regnum cœlorum [45]. » Profecto is erat persuadendo idoneus, qui in tam splendido et admirando vitæ genere testimonium præ-

(A f. 118 b, B f. 73). Διὰ ποίου πράγματος εὐγνευθήσῃ πρὸς πίστιν, ἀσύνετε Φαρισαῖε, πάντα διασύρων ἀδιακρίτως, καὶ οὐδὲν ἀξιῶν ἐπαινεῖν; Προεβάδισε τοῦ Σωτῆρος ὁ μακάριος Βαπτιστὴς. « Μετανοεῖτε, » λέγων, « ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. » Ἀξιόχρεως ἦν εἰς τὸ δύνασθαι πείθειν, καὶ ἐξ αὐτῆς τῆς οὕτω λαμπρᾶς καὶ ἀξιαγάστου

[41] Joan. xx, 22. [42] II Petr. i, 4. [43] Joan. vii, 39. [44] Joan. xvi, 7. [45] Matth. iii, 2.

(1) En pœnitentiæ sacramentum sacerdotibus commissum a Christo per sanctum Spiritum.

Digitized by Google

ζωῆς μαρτυρούμενος· εἶτα κακίζειν τὸν τοιοῦτον ἀποτολμᾷς, ὃς ἔδει μᾶλλον τοῦ παντὸς ἀξιοῦσθαι θαύματος; Δαιμονᾷν ἔφης τὸν κατανεκροῦντα ταῖς ἀσιτίαις τῆς ἁμαρτίας τὸν νόμον, τὸν φωλεύοντα τοῖς μέλεσι τῆς σαρκὸς, καὶ ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοὸς ἡμῶν; Ὁδὸς ἦν ὁ μακάριος Βαπτιστὴς τῆς εἰς Χριστὸν εὐσεβείας. Ἴδωμεν δὲ καὶ τὸν ἕτερον, ὃς δοκεῖ πως τὴν ἐναντίαν ἰέναι τρίβον τῆς τοῦ ἁγίου Βαπτιστοῦ πολιτείας. Οὐκ ἦν ἐν ἐρήμῳ Χριστὸς, ἐν ἄστει δὲ μᾶλλον ἐποιεῖτο τὴν διατριβὴν ὁμοῦ τοῖς ἁγίοις ἀποστόλοις· καὶ ἡ δίαιτα δὲ οὐ σκληραγωγίαν εἶχε τοιαύτην, ὁποία τις ἦν ἡ τοῦ ἁγίου Βαπτιστοῦ. Ἆρ' οὖν ἐπαινεῖς κἂν τοῦτον; Οὐδαμῶς· γέγονας δὲ φιλαίτιος; καὶ ἐπ' αὐτῷ τῷ Χριστῷ. Ἔφης γάρ· « Ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης. » Ποῦ δὲ τοῦτο δεικνύειν ἔχεις, Καίτοι Μαρίας καὶ Μάρθας ὑποδεξαμένων ἐν Βηθανίᾳ ποτὲ, εἶτα μιᾶς τῶν ὠνομασμένων περὶ πολλὴν διακονίαν περισπωμένης, ἀνακόπτων ὁρᾶται Χριστὸς τὸ πέρα μέτρου, καὶ καταῤῥυθμίζων ἡμᾶς εἰς αὐτάρκειαν· ἔφη γάρ· « Μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά· » ὀλίγων δέ ἐστι χρεία, ἢ ἑνός. Ἦν δὲ τοιοῦτος ἀεί τε καὶ πανταχοῦ. Τελώναις δὲ συνηυλίζετο, ἀνάλωτος ὢν αὐτὸς ἁμαρτίας παντελῶς· ἔφη γάρ· « Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; » Οὐκοῦν οὐδὲν ἂν ἠδικήθη καὶ συνὼν ἁμαρτωλοῖς, τοὐναντίον δὲ πάσης αὐτοῖς ὠφελείας καὶ σωτηρίας ἐγίνετο πρόξενος· ἔλεγε γάρ· « Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. » Ὑμᾶς μὲν γὰρ ὁ διὰ Μωϋσέως νόμος μὴ συνδιαιτᾶσθαι πονηροῖς ἐκέλευσεν, ἵνα μὴ ὡς ἀσθενεῖς καὶ πρὸς ἁμαρτίαν εὔκολοι, ῥᾳδίως εἰς τὸν αὐτὸν τῆς ἀσεβείας ἐμπέσητε βυθόν. Εἰ γὰρ ἑδραῖοι ἦτε πρὸς ἀρετὴν, καὶ πρὸς εὐσέβειαν εἴχετε βεβηκότα τὸν νοῦν, οὐκ ἂν κεκώλυκε. Χριστὸς δὲ τί ἂν πάθοι τῶν ἀδικεῖν πεφυκότων; Ἀλλ' ἠγνόησας παντελῶς τὸ περὶ αὐτοῦ μυστήριον. Θεὸς γὰρ ὢν Λόγος, γέγονε μεθ' ἡμῶν, τουτέστιν ἐσαρκώθη δι' ἡμᾶς, οὐχ ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ· τοῦ δὲ κατακρίνοντος ἦν, τὸ μὴ συνεῖναι θέλειν τοῖς οὖσιν ἐν ἁμαρτίαις· τοῦ δὲ σώζειν ἐθέλοντος, τὸ καὶ συνιέναι καὶ νουθετεῖν, καὶ τῶν αἰσχιόνων ἀναπείθειν ἀποστῆναι· καὶ τῆς εἰς τὸ φαῦλον ὁδοῦ, τὴν τῆς εἰς αἰῶνα ζωῆς ἀνθελέσθαι τρίβον· οὐκ ἦλθε καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. Οὐ μολύνεται ἥλιος πᾶσαν φωτίζων τὴν ὑπ' οὐρανὸν, καὶ ἀκαθάρτοις πολλοῖς σώμασιν ὁμιλῶν· οὐδὲ ὁ τῆς δικαιοσύνης ἥλιος ἀδικηθείη ἂν κατ' οὐδένα τρόπον, πονηροῖς ἀνδράσι συναναστρεφόμενος. Μηδεὶς δὲ τὸ ἑαυτοῦ μέτρον Δεσποτικοῖς ἀξιώμασιν ἀμιλλᾶσθαι ζητείτω· ἀλλὰ τὴν ἑαυτοῦ ἀσθένειαν ἕκαστος λογιζόμενος, τὴν τῶν τοιούτων φευγέτω συνήθειαν· « Φθείρουσι γὰρ ἤθη χρηστὰ ὁμιλίαι κακαί. » Νουθετεῖν δὲ τοὺς τοιούτους, τὸ κωλύον οὐδέν.

bebat. Tu vero huic conviciari audes, quem cum summa admiratione deberes suspicere? Dæmonium habere dicis eum qui jejuniis peccati legem mortificat carnis membris hærentem, mentisque nostræ legi repugnantem? Via erat beatus Baptista ad Christi religionem. Nunc videamus et alterum, qui diversa via videtur incedere quam Baptista sectatus est. Non erat in deserto Christus, imo in urbe potius cum sanctis apostolis versabatur: neque diætæ ratio tam dura quam sancti Baptistæ erat. Num ergo hunc saltem laudas? Nequaquam: sed ipsi Christo litem intendis. Dixisti enim: « Ecce homo devorator et bibens vinum. » Undenam porro demonstrare id potes? Certe cum Maria ac Martha aliquando illum hospitio receperunt Bethaniæ, cumque ex prædictis una sedulo **216** ministerio distraheretur, cernimus Christum sollicitudinem immodicam præcidere, atque ad frugalitatem nos erudire. Dixit enim: « Sollicita es et turbaris erga plurima [46]: » modicis autem opus est, imo et uno. Ita semper et ubique sese gerebat. Quod si cum publicanis versabatur, ipse omni prorsus peccato carebat. Aiebat enim: « Quis ex vobis arguet me de peccato [47]? » Ergo nihil ex peccantium consuetudine lædebatur; contra autem omnimodæ iis utilitatis atque salutis conciliator erat. Dicebat enim: « Non egent sani medico, sed qui male habent [48]. » Vobis quidem Moysis lex quominus cum improbis versemini vetat, ne utpote infirmi et ad peccandum proni, facile in impietatis barathrum incurratis. Nam si stabili virtute essetis, firmamque in recta pietate mentem retineretis, nihil vobis vetuisset. Christus autem cuinam peccandi occasioni fuisset obnoxius? Tu vero prorsus ignoras mysterium ejus. Nam Deus Verbum venit ad nos, id est propter nos est incarnatum; non ut mundum judicet, sed ut mundus per ipsum salvetur. Est sane damnantis officium, ut ne cum illis versetur qui delictis sunt irretiti: ejus autem qui vult salvare, mos est et conversandi et admonefaciendi, et ut a turpibus resiliant adhortandi, atque ut viæ pravæ loco, æternæ vitæ semitam præoptent. Non venit vocare justos, sed peccatores ad pœnitentiam [49]. Sol orbem terrarum illuminans non sordidatur, quamquam impuris multis corporibus incidat. Justitiæ sol nullo modo lædi poterat dum pravis cum hominibus versaretur. Attamen nemo modulum suum cum Dominica dignitate comparare velit; sed suam quisque infirmitatem reputans, pravorum familiaritatem devitet. « Corrumpunt enim bonos mores colloquia prava [50]. » Cæteroqui eos qui sunt hujusmodi nihil nos vetat quominus admoneamus.

Ἠρώτα δέ τις αὐτὸν τῶν Φαρισαίων ἵνα φάγῃ μετ' αὐτοῦ.

V. 36. *Rogabat autem illum quidam de Pharisæis ut manducaret cum eo.*

(A f. 119 b). Κέκληται μὲν οὖν παρ' ἑνὸς τῶν Φαρισαίων ὁ Κύριος· ἐπειδὴ δὲ χρηστός ἐστι καὶ φιλ-

Invitatus itaque fuit ab uno Pharisæorum **217** Dominus, qui utpote bonus et clemens, volensque

[46] Luc. x, 41. [47] Joan. viii, 46. [48] Luc. v, 31. [49] ibid. 32. [50] I Cor. xv, 33.

Digitized by Google

omnes homines salvos fieri, et ad agnitionem veritatis venire [81], gratiam petenti annuit; et ingressus, discubuit. Ecce autem muliercula intro accurrit, quæ intemperantibus sane moribus fuerat, nunc tamen fidele propositum præ se ferebat; nec præteritæ vitæ infamiam ignorans, Christum rogabat ceu qui mundare eam atque omni reatu liberare poterat, et peccatorum remissionem largiri. Id vero agebat retro stans; neque enim ante dimissa peccata consistere coram poterat.

A ἀνθρωπος, καὶ πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, κατένευσεν αἰτοῦντι τὴν χάριν, καὶ εἰσελθὼν κατεκλίθη. Εἶτα γύναιον ἐπιστρέχει, ἀκόλαστον μὲν ἐν τῷ βίῳ γενόμενον, πιστὴν δὲ προαίρεσιν ἐπιδεικνύμενον, καὶ τὸν ἐπὶ τοῖς φθάσασι μῶμον οὐκ ἀγνοήσασα, παρεκάλει Χριστὸν ὡς ἀποσμῆξαι δυνάμενον καὶ ἀπαλλάξαι παντὸς αἰτιάματος, καὶ τῶν ἡμαρτημένων δωρήσασθαι ἄφεσιν. Ἕδρα δὲ τοῦτο στᾶσα ὀπίσω· ἔμπροσθεν γὰρ ἐστάναι οὕπω ἠδύνατο πρὸ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν.

CAP. VIII.

V. 4. Dixit per similitudinem.

Beati prophetæ multifariam verba de Christo fecerunt. Alii quippe ceu lumen venturum prænuntiarunt; alii regali dignitate et eminentia prædictum. Itaque et quidam illorum dixit: « Beatus qui habet in Sion semen, et familiares in Jerusalem! Ecce Rex justus regnabit, et principes cum judicio præcerunt. Et erit vir sermones suos celans, et abscondet se quasi ab aqua ruente [81a]. » Quod autem plerumque arcanus Servatoris sermo fuerit, patet. Sic eum nobis beatus quoque Psalmista loquentem introducit: « Aperiam in parabolis os meum [82]. » Nunc videsis ad exitum jam perduci quod ille ante nuntiaverat. Plurima Jesum ex universa Judæa circumsteterat multitudo, quam alloquebatur parabolis utens: verumtamen iis, utpote indignis mysteria cognoscere regni cœlorum, obscurus sermo erat: neque curæ illis erat, fidem erga Christum suscipere: imo et ipsius prædicationibus impie obsistebant. Quare et illos objurgabant qui Christo adhærere, ejusque sacra doctrina imbui volebant; non sine scelere, dicentes: « Dæmonium habet et insanit; cur eum auditis [83]? » Itaque illis non fuit datum mysteria cognoscere regni cœlorum; nobis vero potius qui ad fidem paratiores fuimus. Namque ipse copiam nobis dedit parabolam obscurumque **218** sermonem intelligendi, dictaque sapientium et ænigmata. — Dicendum est insuper, parabolas esse velut imagines haud visibilium rerum, sed intellectualium potius ac spiritalium. Quod enim corporeis oculis spectare non licet, hoc ostendit parabola mentis obtutibus, sensibilibus et quasi tangibilibus rebus egregie informans intellectualium objectorum subtilitatem. Videamus igitur quodnam nobis meditamentum paret Servatoris oratio (1).

ΚΕΦΑΛ. Η'.

Εἶπε διὰ παραβολῆς.

(A f. 121, B f. 76 b, C f. 122 b). Οἱ μακάριοι προφῆται πολυτρόπως τοὺς περὶ Χριστοῦ πεποίηνται λόγους. Οἱ μὲν γὰρ ὡς φῶς ἤξοντα προαπήγγελλον· οἱ δὲ καὶ ἐν τάξει καὶ ὑπεροχῇ τῇ βασιλικῇ· καὶ γοῦν ἔφη τις αὐτῶν· « Μακάριος ὃς ἔχει ἐν Σιὼν σπέρμα, καὶ οἰκείους ἐν Ἰερουσαλήμ! Ἰδοὺ καὶ βασιλεὺς δίκαιος βασιλεύσει, καὶ ἄρχοντες μετὰ κρίσεως ἄρξουσι. Καὶ ἔσται ὁ ἄνθρωπος κρύπτων τοὺς λόγους αὐτοῦ, καὶ κρυβήσεται ὡς ἀφ' ὕδατος φερομένου. » Ὅτι δὲ κεκρυμμένος ἀεί πως τοῦ Σωτῆρος ὁ λόγος, δῆλον. Οὕτως ἡμῖν αὐτὸν καὶ ὁ μακάριος Ψαλμῳδὸς εἰσκεκόμικε λέγοντα· « Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου. » Ἆθρει δὲ οὖν εἰς πέρας ἐκβεβηκὸς τὸ παρ' αὐτοῦ διηγορευμένον. Πλείστη μὲν γὰρ πληθὺς συναγήγερτο περὶ αὐτὸν ἐξ ἁπάσης τῆς Ἰουδαίας· προσελάλει δὲ αὐτοῖς ἐν παραβολαῖς· ἀλλ' ἐκείνοις μὲν οὐκ οὖσιν ἀξίοις μαθεῖν τὰ μυστήρια τῆς τῶν οὐρανῶν βασιλείας, ἀσυμφανὴς ἦν ὁ λόγος· λόγου γὰρ ἠξίουν οὐδενός, τὸ τὴν εἰς αὐτὸν πίστιν προσήκασθαι· ἀντέπραττον δὲ ἀνοσίως καὶ τοῖς ὑπ' αὐτοῦ κηρύγμασι. Καὶ γοῦν ἐπετίμων τοῖς εἰθέλουσι προσεδρεύειν αὐτῷ, καὶ τὴν παρ' αὐτοῖς διῳδὸν μυσταγωγίαν, δυσσεβοῦντές τε καὶ λέγοντες· « Δαιμόνιον ἔχει καὶ μαίνεται, τί ἀκούετε αὐτοῦ; » Οὐκοῦν οὐκ ἐκείνοις δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν, ἡμῖν δὲ μᾶλλον τοῖς ἑτοιμοτέροις εἰς πίστιν· δέδωκε γὰρ ἡμῖν αὐτὸς τὸ δύνασθαι νοεῖν παραβολὴν καὶ σκοτεινὸν λόγον, ῥήσεις τε σοφῶν καὶ αἰνίγματα. — (A f. 122). Ῥητέον δὲ καὶ ἔτι, ὅτι εἰκόνες εἰσὶν ὥσπερ αἱ παραβολαὶ πραγμάτων οὐχ ὁρατῶν, νοητῶν δὲ μᾶλλον καὶ πνευματικῶν· ὃ γὰρ ἰδεῖν οὐκ ἔνεστι τοῖς τοῦ σώματος ὀφθαλμοῖς, τοῦτο δείκνυσιν ἡ παραβολὴ τοῖς τῆς διανοίας ὄμμασι, διὰ τῶν ἐν αἰσθήσει καὶ οἷον ἁπτῶν πραγμάτων διαμορφοῦσα καλῶς τὴν τῶν νοητῶν ἰσχνότητα. Ἴδωμεν τοίνυν ὁποίαν ἡμῖν ἐξυφαίνει τὴν νόησιν, τοῦ Σωτῆρος ὁ λόγος.

[81] I Timoth. II, 4. [81a] Isa. XXXII, 9. Gr. et XXXI, 1, 2. [82] Psal. LXXVII, 2. [83] Joan. X, 20.

(1) Hæc fere loco apud Latinam Corderii catenam sic. CYRILLUS. Hic enim manifeste prædicat mysterium Unigeniti in carne. Beatos namque dicit eos, qui isto tempore inhabitabant Sion, rationalem nempe, quæ est Ecclesia Dei vivi. Habuimus autem et nos domesticos secundum spiritum, sanctos sacrorum antistites. Justus quoque et irreprehensibilis est omnis justitiæ remunerator. Imperarunt autem cum judicio sive auctoritate judiciaria principes illi sancti discipuli, quique post illos ecclesiarum rectores exstiterunt, de quibus sic canit David: « Constitues eos principes super omnem terram. » « Erit autem, inquit, rex justus: » Homo quidem ac frater noster secundum omnia illa quæ in terra habuit; in veritate vero, Deus. Nam Verbum caro factum est, secundum Scripturam. Abscondet autem sermones suos: plurima siquidem Christus in parabolis locutus est. Etenim abscondetur tanquam absorptus ab aqua currente, hoc est rapi non poterit insidiis insidiantium: sæpenumero enim Judæi insidiati sunt illi, ipse autem, ut evangelista dicit: « per medium illorum ibat. » Et sic aderat, scilicet curam gerens.

Digitized by Google

Ἐπηρώτων δὲ αὐτὸν οἱ μαθηταὶ λέγοντες, τίς εἴη ἡ παραβολὴ αὕτη.

A *V. 9. Interrogabant autem eum discipuli ejus, quæ esset hæc parabola.*

(A f. 122 b, B f. 68). Τίς δὲ ἄρα ἐστὶ τῆς παραβολῆς ὁ σκοπὸς, καὶ ὅποι ποτὲ βλέπει τῆς παραβολῆς τὸ βάθος, παρ' αὐτοῦ μάθωμεν τοῦ συνθέντος αὐτήν. Ἠγνόησαν ταῦτα πρὸ ἡμῶν οἱ μακάριοι μαθηταὶ, καὶ προσῆλθον τῷ Σωτῆρι, παρακαλοῦντες καὶ λέγοντες· « Τί ἐστιν αὕτη ἡ παραβολή; » — (A f. 123, C f. 123). Ἀλλ' ἴδωμεν ποία τίς ἐστιν ἡ πρόφασις, δι' ἣν ἁρπάζεται τὰ ἐν ταῖς ὁδοῖς. Σκληρὰ καὶ ἀνήροτός ἐστι πᾶσά πως ὁδὸς, διὰ τὸ τοῖς ἁπάντων ὑποκεῖσθαι ποσὶ, καὶ οὐδὲν αὐταῖς ἐγχώννυται τῶν σπερμάτων. Οὐκοῦν ὅσοι τὸν νοῦν ἔχουσι σκληρὸν, οὐκ εἰσδύεται ἐν αὐτοῖς θεῖόν τι καὶ ἱερὸν νουθέτημα, δι' οὗ δύναται καρποφορεῖν τὰ εἰς ἀρετὴν αὐχήματα. B Οὗτοι τοῖς ἀκαθάρτοις πνεύμασι, καὶ αὐτῷ δὴ τῷ Σατανᾷ, πεπατημένη γεγόνασιν ὁδὸς, οὓς οὐκ ἔστι ποτὲ καρπῶν ἁγίων γενέσθαι τροφοὺς, στεῖραν καὶ ἄγονον ἔχοντας τὴν καρδίαν. Πάλιν εἰσί τινες ἀπεριεργάστως ἔχοντες τὴν πίστιν ἐν ἑαυτοῖς, ὡς ἐν ἁπλότητι λόγων. Οὗτοι ἄρριζον ἔχουσι τὴν εὐσέβειαν· εἰσιόντες γὰρ ἐν ἐκκλησίαις, ἐπιγάννυνται μὲν τῷ πλήθει τῶν συναγηγερμένων, καὶ ἀσμένως προσίενται τὰς μυσταγωγίας· πλὴν οὐ κεκριμένως, ἀλλ' ἐξ ἐλαφρῶν θελημάτων. Ἀποφοιτήσαντες δὲ τῶν ἐκκλησιῶν, εἰς λήθην εὐθὺς ἀποφέρονται τῶν ἱερῶν μαθημάτων. Κἂν μὲν μὴ χειμάζηται τὰ Χριστιανῶν, σώζουσιν ἐκεῖνοι τὴν πίστιν· δωγμοῦ δὲ θορυβήσαντος, φυγάδα τὸν νοῦν ἔχουσι. Πρὸς οὓς ὁ προφήτης Ἱερεμίας φησίν· « Ἀναλάβετε ὅπλα καὶ ἀσπίδας. » C Μάλιστα μὲν γὰρ ἄμαχον ἔχει τὴν χεῖρα ὁ διασώζων Θεὸς, καὶ καθά φησιν ὁ πάνσοφος Παῦλος· « Πιστὸς ὁ Θεὸς, ὃς οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν. »

Quinam sit parabolæ scopus, et quo spectet arcanum ejus, ab illo qui eam composuit audiamus. Namque id ante nos nesciebant beati discipuli, qui Servatorem accedentes rogarunt, dicentes : « Quænam est hæc parabola? » — Sed videamus quænam sit causa ob quam semen in viis diripitur. Dura atque inarata quælibet fere via est, quia omnium pedibus teritur, nullumque iis semen committitur. Ergo quicunque mentem obduratam habent, nullum in eos ingreditur divinum sacrumve monitum, cujus beneficio læta virtutis germina possint oriri. Hujusmodi homines impuris spiritibus et ipsi Satanæ trita via sunt, nec unquam sanctorum fructuum fieri possunt altores, quia eor sterile habent et infecundum. Rursus alii sunt qui incuriose intra se retinent fidem, tanquam simplici suasione nixam. Hi non bene fundatam religionem habent : namque in ecclesias ingressi, lætantur multitudine congregetorum, et sacras res libenter participant; verumtamen haud cum serio judicio, **219** sed cum quadam voluntatis levitate. Mox ecclesiis egressos doctrinarum sacrarum statim capit oblivio. Et si quidem res Christianorum haud procella jactentur, fidem illi servant; sed persecutione grassante, fugitivam mentem gerunt. Quibus Jeremias propheta ait : « Sumite arma et scuta [84]. » Profecto enim invictam habet manum servator Deus; atque, ut doctissimus Paulus : « Fidelis Deus, qui non patietur nos tentari supra id quod possumus, qui tentationem simul ejusque exitum dabit, ut sustinere possimus [85]. »

Πλὴν εἰ γένοιτό πως καὶ τῆς εἰς Χριστὸν εὐσεβείας ὑπεραθλοῦντας παθεῖν, τότε πάντη τε καὶ πάντως ἐσόμεθα ζηλωτοί. Καὶ γοῦν, τοῖς ἁγίοις ἀποστόλοις ἔφασκεν ὁ Σωτήρ· « Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι, » καὶ τὰ ἑξῆς. Οὐ' μόνοις δὲ λόγοις ταῦτα ἡμᾶς ἐξεπαίδευεν, ἀλλὰ καὶ ἔργοις. Τέθεικε γὰρ ὑπὲρ ἡμῶν τὴν ἑαυτοῦ ψυχὴν, καὶ αἵματι τῷ ἰδίῳ κατεκτήσατο τὴν ὑπ' οὐρανόν. Ἐσμὲν τοιγαροῦν οὐχ ἑαυτῶν, τοῦ πριαμένου δὲ μᾶλλον καὶ D διασώσαντος, καὶ αὐτῷ τὴν ἑαυτῶν ὀφείλομεν ζωήν. Ὧ; γάρ φησιν ὁ θεσπέσιος Παῦλος, διὰ τοῦτο Χριστὸς ἀπέθανε καὶ ἔζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ. Ἴδωμεν δὲ καὶ τὰς ἀκάνθας αἷς ὁ θεῖος ἀποπνίγεται σπόρος. Τί πάλιν φησὶν ὁ Σωτήρ; Ἔνίησι μὲν οὖν αὐτὸς τὸν σπόρον, ὁ δὲ καί τοι ταῖς τῶν δεξαμένων ἐναπομείνας ψυχαῖς, καὶ οἷον ἀνασχὼν ἤδη καὶ ἐν ἀργαῖς (1) τοῦ φαίνεσθαι διελάσας, ὑπὸ μεριμνῶν συμπνίγεται κοσμικῶν, καὶ καθά φησιν

Jam vero si quando accidat ut pro Christi religione pugnantes patiamur, tunc demum felicissimi usquequaque erimus. Nam sanctis apostolis Servator aiebat : « Ne terreamini ab his qui corpus occidunt, animam autem non possunt occidere, » et reliqua [86]. Quod quidem non verbis tantum, sed factis etiam nos docuit. Animam quippe suam pro nobis posuit, suoque sanguine universum mundum acquisivit. Haud ergo nostri arbitrii sumus, sed ejus potius qui nos emit servavitque, atque ei vitam nostram debemus. Namque, ut divus ait Paulus, propterea mortuus est Christus et revixit, ut mortuorum et vivorum sit dominus [87]. Videamus etiam quæ sint spinæ, quibus divinum suffocatur semen. Quid rursus ait Servator? Projicit quidem ipse semen, quod in recipientibus manens animabus, et jam pene se attollens, et semet ostendendi initium faciens, mundanis curis opprimitur, atque, ut ait Jeremias, fit manipulus efficiendæ farinæ ineptus [88]. « Novate ita-

[84] Jerem. XLVI, 3. [85] I Cor. X, 13. [86] Luc. XII, 4. [87] Rom. XIV, 9. [88] Imo, Osc. VIII, 7.

(1) Ita cod. Num pro ἐναργῆς, vel potius ἐν ἀρχαῖς?

Digitized by Google

que vobis novalia, ait alius propheta, et in spinis ne seminetis [59]. » Ergo ut divinum in nobis germinet semen, mundanas sollicitudines mentibus nostris pellamus. — Sunt autem terra pinguis et frugifera, quæ centuplum fructum reddit, egregiæ bonæque animæ, quæ sermonis **220** semina penitus concipiunt retinentque, et strenue alunt. De his recte admodum dici potest, quod per unum de sanctis prophetis a Deo dictum fuit : « Et beatos vos dicent cunctæ gentes, quia facti estis vos terra desiderabilis [60]. » Cum enim in mentem, rebus quæ turbare solent purgatam, divinus aliquando sermo incidit, tunc altas radices agit, et spicæ instar erumpit, et bene fructificat.

'Ιερμίας (1), γίνεται δράγμα μὴ ἔχον ἰσχὺν τοῦ ποιῆσαι ἄλευρον. « Νεώσατε τοίνυν ἑαυτοῖς νεώματα, ἕτερος προφήτης φησὶ, καὶ μὴ σπείρητε ἐν ἀκάνθαις. » Οὐκοῦν ἵνα ὁ θεῖος ἡμῖν ἐξανθήσῃ σπόρος, προαποβάλωμεν τῆς ἑαυτῶν διανοίας μερίμνας κοσμικάς. — (A f. 123 b, B f. 78 b) Εἴη δ' ἂν γῆ πίων καὶ εὔτοκος, ποιοῦσα καρπὸν ἑκατονταπλασίονα, ψυχαὶ καλαί τε καὶ ἀγαθαὶ, εἰς βάθος δεχόμεναι τὰ τοῦ λόγου σπέρματα, καὶ κατέχουσαι, καὶ γενναίως τρέφουσαι. Περὶ τῶν τοιούτων ἂν λέγοιτο καὶ μάλα δικαίως, τὸ δι' ἑνὸς τῶν ἁγίων προφητῶν εἰρημένον παρὰ Θεοῦ· « Καὶ μακαριοῦσιν ὑμᾶς πάντα τὰ ἔθνη, διότι ἐγένεσθε ὑμεῖς γῆ θελητή. » « Ὅταν γὰρ εἰς νοῦν καθαρὸν τῶν παρενοχλεῖν εἰωθότων θεῖος ποτὲ λόγος κατενεχθῇ, τότε δίδωσι ῥίζαν εἰς βάθος, καὶ ἀστάχυος δίκην ἐπιπηδᾷ, καὶ τελεσφορεῖται καλῶς.

Verumtamen commodum reor, iis qui utilia discere volunt, aliud quoque edisserere. Nam Matthæus hoc ipsum argumentum nobis narrans [61], bonam ait terram tribus diversis gradibus fructificasse. Alia enim, inquit, fecit centesimum, alia sexagesimum, alia denique tricesimum fructum. Videsis itaque quomodo tria dixit Christus fuisse detrimenta, et simul pari numero prosperitates. Nam quæ secus viam deciderunt semina, ab avibus direpta fuerunt. Quæ autem in petrosis locis germinarunt, paulo post exaruerunt. Quæ denique in spinis, ea suffocata fuerunt. Item terra optabilis triplici cum differentia fructus, ut dixi, parit, centum, sexaginta, triginta. Ut enim scribit sapientissimus Paulus, « unusquisque nostrum proprium habet Dei donum, alius sic, alius aliter [62]. » Non enim parem prorsus mensuram sanctorum hominum bona facinora habuisse comperimus. Verumtamen nos majora, et quæ humilioribus supereminent, æmulari opus est.

Πλὴν ἐκεῖνο χρήσιμον οἶμαι χρηστομαθεῖν ἐλομένοις εἰπεῖν. Ὁ γάρ τοι Ματθαῖος αὐτὸ δὲ τοῦτ' τὸ κεφάλαιον ἡμῖν ἐξηγούμενος, τὴν ἀγαθὴν ἔφη γῆν ἐκδοῦναι καρποὺς ἐν τρισὶ διαφοραῖς. Ἡ μὲν γὰρ, φησὶν, ἐποίησεν ἑκατὸν, ἡ δὲ ἑξήκοντα, ἡ δὲ τριάκοντα. Ἄθρει δὴ οὖν ὅπως τρεῖς ἔφη Χριστὸς εἶναι τὰς βλάβας, καὶ ὁμοίως ἰσαρίθμους αὐταῖς τὰς εὐδοκιμήσεις. Τὰ μὲν γὰρ εἰς τὴν ὁδὸν πίπτοντα τῶν σπερμάτων, ὑπὸ πτηνῶν διαρπάζεται· τὰ δὲ ἐν τοῖς πετρώδεσιν ἐξανθήσαντα μόνον, οὐκ εἰς μακρὰν ξηραίνεται. Τὰ δὲ ταῖς ἀκάνθαις, ἐναποπνίγεται. Γῆ δὲ ἡ θελητὴ καρποὺς ἀποτίκτει, τοὺς ἐν τρισὶν, ὡς ἔφην, διαφοραῖς, ἑκατὸν καὶ ἑξήκοντα, καὶ τριάκοντα· ὡς γὰρ ὁ πάνσοφος γράφει Παῦλος, « ἕκαστος ἡμῶν ἴδιον ἔχει χάρισμα ἐκ Θεοῦ, ὁ μὲν οὕτως, ὁ δὲ οὕτως. » Οὐ γὰρ ἐν ἴσῳ μέτρῳ πάντη τε καὶ πάντως τὰς τῶν ἁγίων εὐδοκιμήσεις γεγενημένας εὑρίσκομεν. Πλὴν ζηλοῦν ἀναγκαῖον τὰ μείζονά τε καὶ ὑπερκείμενα τῶν χθαμαλωτέρων.

V. 21. *Mater mea et fratres mei hi sunt qui verbum Dei audiunt et faciunt illud.*

Qui in Mosaica lege dixit : « Honora patrem tuum et matrem tuam, ut bene sit tibi [63]; » nobis vero præcepit ut inimicos etiam amemus; num idem, inquam, parum erat de honoranda matre sollicitus, et erga fratres charitatem abjecerat? Minime gentium. Quid ergo docere vult? Eximie extollit charitatem erga homines qui suis voluerint legibus obtemperare; summosque honores debere ipse nobis vult quasi matribus fratribusque. Si enim matrem fratresque **221** ejus esse dicit, qui audiunt verbum ejus et faciunt illud, quidni omnibus sit exploratum, eum peculiari et pretiosa prosequi dilectione sua eos qui asseclæ ipsius erant? Sic enim provocabat omnes, ut accederent, et sermonibus suis obsequi vellent.

Μήτηρ μου καὶ ἀδελφοί μου οὗτοί εἰσιν οἱ τὸν λόγον τοῦ Θεοῦ ἀκούοντες καὶ ποιοῦντες αὐτόν.

(B f. 79 b) Ὁ διὰ τῆς Μωϋσέως νομοθεσίας εἰπὼν, « Τίμα τὴν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται· » ἡμῖν δὲ ἐπιτάξας καὶ τοὺς ἐχθροὺς ἀγαπᾷν, ἆρα αὐτὸς ὠλιγώρει τῆς εἰς τὴν μητέρα τιμῆς, καὶ ἀπωθεῖται τὴν εἰς τοὺς ἀδελφοὺς ἀγάπην; Οὐδαμῶς. Τί οὖν ἆρα διδάξαι βούλεται; Εἰς ὕψος αἴρει μέγα τὴν εἰς ἀνθρώπους ἀγάπην, οἵπερ ἂν ἐθέλοιεν τοῖς αὐτοῦ πείθεσθαι νόμοις· καὶ τὰς ἀνωτάτω τιμὰς ὀφείλειν ἡμῖν βούλεται, ὡς μητράσι καὶ ἀδελφοῖς. Εἰ γὰρ μητέρα καὶ ἀδελφοὺς αὐτοῦ εἶναί φησι τοὺς ἀκούοντας τὸν λόγον αὐτοῦ, καὶ ποιοῦντας αὐτὸν, πῶς οὐχ ἅπασιν ἐναργὲς, ὡς ἐκκεκριμένην καὶ ἀξιόληπτον χαρίζεται τὴν ἀγάπην τοῖς ἑπομένοις αὐτῷ; Οὕτω γὰρ ἦν πείσαι πάντας ἥκειν ἐπὶ τὸ βούλεσθαι τοῖς αὐτοῦ καταπείθεσθαι λόγοις.

V. 22. *Ipse ascendit in naviculam, et discipuli ejus.*

Αὐτὸς ἀνέβη εἰς πλοῖον, καὶ οἱ μαθηταὶ αὐτοῦ.

[59] Jerem. IV, 3. [60] Malach. III, 12. [61] Matth. XIII, 23. [62] I Cor. VII, 7. [63] Deut. V, 16.

(1) Imo Oseas. Paria sphalmata alibi nos coarguimus. Et quidem mox vers. 22, *Matthæus* mendose pro *Marcus*.

Digitized by Google

(A f. 125 b, B f. 80, C f. 123 b) Διέπλει μὲν ὁμοῦ τοῖς ἁγίοις ἀποστόλοις Χριστὸς τὴν Τιβεριάδα θάλασσαν ἤτοι λίμνην. Ἐγήγερται δὲ κατὰ τοῦ σκάφους ἀβόκητός τε καὶ ἀπηνὴς χειμών, καὶ ταῖς τῶν ἀνέμων ἐμβολαῖς ὑψοῦ τὸ κῦμα κυρτούμενον, τὸ τοῦ θανάτου δέος ἐνετίθει τοῖς μαθηταῖς· τεθορύβηνται γὰρ οὐ μετρίως, καί τοι τὸ θαλασσουργεῖν εἰδότες, καὶ κλύδωνος οὐκ ὄντες ἀπείρατοι. Ἐπειδὴ δὲ λοιπὸν τοῦ κινδύνου τὸ μέγεθος πρὸς ἀφόρητον αὐτοὺς ἐκάλει δειλίαν, ὡς ἑτέραν οὐκ ἔχοντες τοῦ σώζεσθαι τὴν ἐλπίδα, πλὴν ὅτι μόνον αὐτὸν τὸν τῶν δυνάμεων Κύριον, δῆλον δὲ ὅτι Χριστὸν, διανιστῶσι λέγοντες· « Ἐπιστάτα, σῶσον, ἀπολλύμεθα. » Καθευδῆσαι γὰρ αὐτὸν ὁ εὐαγγελιστὴς φησί· ὁ δὲ Μάρκος προστίθησιν ὅτι καὶ ἐν προσκεφαλαίῳ, δεικνύς τε τὸ ἄτυφον, καὶ πολλὴν ἐντεῦθεν ἡμᾶς παιδεύων φιλοσοφίαν. Οἰκονομικώτατα δέ μοι καὶ τοῦτο λίαν πεπρᾶχθαι δοκεῖ, ἵνα μὴ εὐθὺς ἀρξαμένου τοῦ κλύδωνος ἐπιπηδᾷν τῷ σκάφει, τὴν παρ' αὐτοῦ ζητῶσιν ἐπικουρίαν· ἀλλ' οἷον ἀγμάσαντος ἤδη τοῦ κακοῦ, ἐμφανεστέρα γένηται τῆς θεοπρεποῦς ἐξουσίας ἡ δύναμις, μαινομένην καθιστῶσα θάλασσαν, καὶ μεθιστῶσα πρὸς γαλήνην μεγάλην, ὡς μηδὲ ἴχνος ἐπιμεῖναι τῆς ταραχῆς. Εἰ γὰρ ἐγρηγορότος ἐγένετο, ἢ οὐκ ἂν ἐφοβήθησαν, ἢ οὐκ ἂν παρεκάλεσαν, ἢ οὐδ' ἂν ἐνόμισαν αὐτὸν δύνασθαί τι τοιοῦτον εἰπεῖν. Διὰ τοῦτο καθεύδει, διδοὺς καιρὸν τῇ δειλίᾳ, τρανοτέραν αὐτοῖς ποιῶν τῶν γινομένων τὴν αἴσθησιν. Οὐ γὰρ ὁμοίως τις ὁρᾷ τὰ ἐν τοῖς ἀλλοτρίοις σώμασι γινόμενα, καὶ τὰ ἐν ἑαυτῷ. Ἐπεὶ οὖν πάντας εὐεργετηθέντας εἶδον, ἑαυτοὺς δὲ οὐδενὸς ἀπολελαυκότας, ὕπτιοί τε ἦσαν, ἔδει δὲ αὐτοὺς διὰ τῆς οἰκείας αἰσθήσεως ἀπολαῦσαι τῶν εὐεργεσιῶν, συγχωρεῖ τὸν χειμῶνα γυμνασίας ἕνεκεν, καὶ τὸ θορυβηθῆναι συμφερόντως ἐγίνετο, ὥστε μεῖζον φανῆναι τὸ θαῦμα, καὶ διηνεκῆ γενέσθαι τοῦ συμβάντος τὴν μνήμην. Προσδοκησάντων γὰρ ἀπόλλυσθαι πρότερον, τότε ἐσώθησαν, ἵνα ὁμολογήσαντες τὸν κίνδυνον, μάθωσι τοῦ θαύματος τὸ μέγεθος. Ἠλίν, ὡς ἔφην, διανιστῶσι λέγοντες· « Σῶσον, ἀπολλύμεθα. » Ἐνταῦθά μοι βλέπε μετὰ πίστεως ὀλιγοπιστίαν· πιστεύουσι μὲν γὰρ ὅτι σῶσαι δύναται, ὡς δὲ ὀλιγόπιστοι, λέγουσιν ὅτι « Ἀπολλύμεθα. » Οὐ γὰρ ἦν ἐφικτὸν ἀπολέσθαι ποτὲ, συνόντος αὐτοῖς τοῦ πάντα ἰσχύοντος. —(A f. 126) Ἀλλ' ἐγήγερται παραχρῆμα Χριστὸς, ὁ πάντων ἔχων τὴν ἐξουσίαν, καὶ καθίστησι μὲν εὐθὺς τὸν κλύδωνα, συνέστειλε δὲ τὰς τῶν πνεύματων ὁρμὰς, καὶ τὸν θόρυβον ἔπαυσε, καὶ δι' αὐτῶν ἔδειξε τῶν πραγμάτων ὅτι Θεός ἐστι. Λεγέσθω τοίνυν παρ' ἡμῶν τὸ ἐν βίβλῳ Ψαλμῶν· « Σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης, καὶ τὸν σάλον τῶν κυμάτων αὐτῆς σὺ καταπραΰνεις. »

A Transfretabat una cum sanctis apostolis Christus Tiberiadis mare seu stagnum. Adorta est autem navim subita ac sæva tempestas, vique ventorum elatæ conglobatæque undæ mortis metum discipulis incutiebant. Non parum enim terrefacti erant, quanquam remigandi periti, neque tempestatum ignari. Quia igitur periculi magnitudo intolerandum jam faciebat timorem, cum alia nulla spes salutis reliqua esset, nisi ipse virtutum Dominus, id est Christus, hunc excitant dicentes : « Præceptor, salva nos, perimus : » Namque obdormisse illum ait hic evangelista ; Marcus autem addit [46], quod etiam in cervicali jaceret, simul eum fastu alienum demonstrans, multamque hinc nos docens vitæ modestiam. Providentissime autem mihi accidisse videtur, quominus B statim incipiente procella opem ab eo peterent; ut malo jam veluti extremo, manifestior esset Deo dignæ potentiæ vis, furibundum cohibens mare, atque ad magnam tranquillitatem redigens, ita ut ne vestigium quidem turbationis maneret. Nam si tempestas vigilante Christo evenisset, vel non metuissent, vel precati non essent, vel ne existimassent quidem quidquam eum hujusmodi posse mandare. Propterea obdormit, timori tempus concedens, atque ipsis evidentiorem faciens rei gestæ sensum. Neque enim quisquam pari modo agnoscit quæ in alienis corporibus fiunt, et quæ in proprio. Nam quia cæteros omnes beneficiis affectos viderant, se vero nihil fruitos, et supino animo erant, oportebat- C que ipsos quoque beneficium aliquod experiri, tempestatem exercitii causa fieri annuit, terrorque utiliter 222 accidit, ut majus appareret miraculum, et perpetua fieret rei gestæ memoria. Nam qui antea perituros se putaverant, postea servati sunt; ut fatentes periculum, miraculi magnitudinem agnoscerent. Verum, prout dixi, ipsum excitant dicentes : « Salva nos, perimus. » Hic mecum animadverte fidem simul et ejusdem fidei infirmitatem. Credunt eum posse salvare, et tamen ut modica fide præditi dicunt : Perimus. Profecto enim fieri non poterat ut tunc perirent, cum ille aderat qui omnia potest. Evigilat itaque statim Christus, qui rerum omnium potestatem habet, tempestatemque protinus sistit, ventorum impetum cohibet, perturbationem D sedat, reque ipsa demonstrat se esse Deum. Dicatur itaque a nobis quod est in libro Psalmorum : « Tu dominaris potestati maris, motumque fluctuum ejus tu mitigas [47]. »

Καταστήσας δὲ τὸν κλύδωνα τῆς θαλάσσης, καὶ χειμαζομένην ἅμα τῷ σκάφει τῶν ἁγίων μαθητῶν τὴν πίστιν μεθίστησι πρὸς τὸ ἀραρὸς, καὶ οἱονεὶ γαλήνην αὐτοῖς ἐνεργάζεται, τὰ τῆς ὀλιγοπιστίας περιστείλας κύματα. Καὶ μετὰ τοῦ χειμῶνος τῶν ὑδάτων, τὸν χειμῶνα τῆς ψυχῆς αὐτῶν λύει, ἐπιτιμῶν. καὶ παιδεύων ὁμοῦ, ὡς τὸν φόβον οὐχ ἡ τῶν

Sedata maris procella, fluctuantem simul cum navicula sanctorum discipulorum fidem ad firmitatem convertit, ac serenitatem ipsis quodammodo efficit, modicæ fidei fluctus compescens. Atque ita cum undarum procella perturbationem animi illorum solvit, objurgans simul et docens, causam esse timoris non tentationum incursum, sed mentis infirmitatem. Dice-

[46] Marc. IV, 38. [47] Psal. LXXXVIII, 10.

Digitized by Google

bat itaque : « Ubinam vestra fides? » Alius autem evangelista ipsum dixisse narrat : « Cur timidi estis, modicæ fidei[66]? » Namque interdum mentem quoque constantem turbat incumbens subito mortis timor. Idcirco accesserunt aliquando ad Christum dicentes : « Adauge nobis fidem[67]. » A fidei perfectione desciscit, qui diffidentiæ culpa abripitur. Sicut enim aurum igne probatur, sic tentationibus fides. Verumtamen mens hominis infirma est, egetque prorsus superna manu, quo ingruentia mala perferre fortiter valeat. Idque nos Servator docebat cum diceret : « Sine me nihil potestis facere[68]. » Fatetur hoc sapientissimus quoque Paulus scribens : « Omnia possum in eo qui me confortat[69]. » Ergo repressa procella, **223** marique reddita quiete ac serenitate reducta, divinum mirantes prodigium discipuli, murmurabant inter se dicentes : « Quis est hic, qui ventis quoque sic imperat et aquis ut ei obediant? » Num ergo quia ipsum non noverant, verba, « Quis est hic? » inter se loquebantur? Atqui quidni hoc prorsus sit incredibile? Sciebant enim et Deum esse et Dei Filium Jesum, stupebant tamen hærentis ei potentiæ summatum, et gloriam divinitatis : cumque adhuc inter homines versaretur, et in carne cerneretur, dicunt ea verba : « Quis est hic? » nempe, quantus qualisque est hic, quantaque vi ac potestate pollet, quoniam ipsis imperat aquis ac vento, a quibus ei obtemperatur? Est enim hic imperativus nutus, Dominicale præceptum, non servilis precatio. Grande est hoc et audientibus utile miraculum : obedit scilicet creatura jubenti quodlibet Christo. Quin adeo ipsum increpationis modum cum digna Deo auctoritate peractum dicit Marcus. Ait enim dixisse mari Dominum : « Tace, obmutesce[70] : » Quæ verba comitatum est præceptum; mare autem fluctibus spumans, incarnatum Verbum audiit, et a sæviendo destitit, agnovitque illum qui se a mundi principio nutibus suis congregaverat, qui arenosum littus posuerat ei terminum quem non transgredietur[71].

Hæc omnia imago fuerunt rerum quæ postea discipulis evenerunt. Stagnum quippe Judea fuit, in qua vehemens commota est tempestas Judæorum adversus Christum. Turbati autem adeo sunt discipuli, ut etiam diffugerint. Sed enim ceu ex somno surrexit Servator, rursusque discipulis tranquillitas adfuit. Etenim iis apparens dixit : « Pax vobis[72]. » Alio etiam modo, maris figuram habet hic apud nos visibilis mundus, navis Ecclesia intelligetur, sanctos habens remiges, qui propterea quod fidem receperunt, præsentem semper habent Christum. At enim gravis interdum commovetur procella, ac plurimi calamitatum **224** sanctam navim circumstant fluctus, innumeræ æstuant tentationes,

A πειρασμῶν ἐργάζεται ἐπαγωγὴ, ἀλλὰ τὸ τῆς διανοίας ἀσθενές. Ἔφη γοῦν· « Ποῦ ἡ πίστις ὑμῶν; » Ὅ γε μὴν ἕτερος τῶν εὐαγγελιστῶν εἰπεῖν αὐτὸν διατείνεται· « Τί δειλοί ἐστε, ὀλιγόπιστοι; » Θορυβεῖ γὰρ ἔσθ' ὅτε καὶ τὸν εὖ βεβηκότα νοῦν, ἐπισκήψας ἀδοκήτως φόβος θανάτου. Διὰ τοῦτο προσῆσάν ποτε λέγοντες τῷ Χριστῷ· « Πρόσθες ἡμῖν πίστιν. » Λείπεται τοῦ τελείου πρὸς πίστιν, ὁ τοῖς τῆς ὀλιγοπιστίας ἐγκλήμασιν ὑπενηνεγμένος. Ὥσπερ γὰρ ὁ χρυσὸς ἐν πυρὶ δοκιμάζεται, οὕτως καὶ πίστις ἐν πειρασμοῖς. Πλὴν ἀσθενὴς ὁ ἀνθρώπου νοῦς· δεῖται δὲ πάντως τῆς ἄνωθεν χειρὸς, εἰς τὸ δύνασθαι ἀνεγκεῖν ἀνδρείως τὰ παρεμπίπτοντα. Καὶ τοῦτο ἡμᾶς ὁ Σωτὴρ ἐδίδασκεν, εἰπών· « Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. » Ὁμολογεῖ δὲ τοῦτο καὶ ὁ σοφώτατος B Παῦλος, γράφων· « Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ. » Παυσαμένου δὲ τοῦ χειμῶνος, καὶ εἰς γαλήνην καὶ εὐδίαν, νεύματι Χριστοῦ, τῆς θαλάσσης μεταβληθείσης, καταπεπληγμένοι τὴν θεοσημείαν οἱ μαθηταὶ, παρεψιθύριζον ἀλλήλοις λέγοντες· « Τίς ἄρα οὗτός ἐστιν, ὅτι καὶ τοῖς ἀνέμοις ἐπιτάσσει, καὶ τῷ ὕδατι, καὶ ὑπακούουσιν αὐτῷ; » Ἆρ' οὖν ὡς οὐκ εἰδότες αὐτὸν, τὸ, « Τίς οὗτός ἐστι; » παρηγόρευον ἀλλήλων; Εἶτα, πῶς οὐκ ἀπίθανον παντελῶς τὸ χρῆμά ἐστιν; Ἤδεσαν γὰρ ὄντα Θεὸν καὶ Υἱὸν Θεοῦ τὸν Ἰησοῦν, καταπληττόμενοι δὲ τῆς ἐνούσης αὐτῷ δυνάμεως τὴν ὑπερβολὴν, καὶ τὴν τῆς θεότητος δόξαν· καίτοι καθ' ἡμᾶς ὄντι τε καὶ ὁρωμένῳ κατὰ τὴν σάρκα, λέγουσι τό· « Τίς οὗτός ἐστιν· » ἀντὶ τοῦ, Πόσος καὶ οἷος, καὶ ἐν ὅσῃ δυνάμει καὶ C ἐξουσίᾳ, ὅτι καὶ αὐτοῖς ἐπιτάσσει τοῖς ὕδασι καὶ τῷ ἀνέμῳ, καὶ ὑπακούουσιν αὐτῷ; Ἐπιτακτικὸν γάρ ἐστι τὸ ἔργον, Δεσποτικὴ πρόσταξις, καὶ οὐκ ἀξίωσις οἰκετική. Μέγα καὶ τοῦτο πρὸς θαῦμα καὶ ὕνησιν τοῖς ἀκροωμένοις· ὑπακούει γὰρ ἡ κτίσις οἷς ἂν ἐπιτάττειν βούλεται Χριστός. Ἀμέλει καὶ τὸν τῆς ἐπιτιμήσεως τρόπον ἐν ἐξουσίᾳ θεοπρεπεῖ γενέσθαι φησὶν ὁ Μάρκος. Ἔφη γὰρ εἰπεῖν τῇ θαλάσσῃ τὸν Κύριον· « Σιώπα, πεφίμωσο· » Καὶ ἅμα τῷ λόγῳ, ἠκολούθησε τὸ πρόσταγμα· καὶ ἡ θάλασσα ἐπαρρὶ καὶ πέπαυται τοῦ χειμῶνος, καὶ γινώσκει τὸν ἀπ' ἀρχῆς αὐτὴν συναγαγόντα προστάγματι, τὸν θέμενον ἄμμον ὅριον αὐτῇ, ὃ οὐχ ὑπερβήσεται.

D (A f. 126) Καὶ τύπος τοῦ περὶ τοὺς μαθητὰς συμβάντος ὕστερον. Λίμνη γὰρ ἡ Ἰουδαία, περὶ ἣν κατέβη λαίλαψ πολλὴ τῆς κατὰ τοῦ Χριστοῦ μανίας τῶν Ἰουδαίων· ἐταράχθησαν δὲ οἱ μαθηταὶ, ὥστε καὶ φυγεῖν. Ἀλλ' ὥσπερ ἐξ ὕπνου ἀνέστη ὁ Σωτὴρ, καὶ πάλιν οἱ μαθηταὶ ἐν γαλήνῃ. Ἐπιστὰς γὰρ αὐτοῖς, εἶπεν· « Εἰρήνη ὑμῖν. » Ἐνέρως δὲ, ἐν σχήματι θαλάσσης τοῦδε τοῦ καθ' ἡμᾶς νοουμένου κόσμου, σκάφος ἡ Ἐκκλησία νοηθήσεται, πλωτῆρας ἔχουσα τοὺς ἡγιασμένους, οἳ καὶ διὰ τοῦ κατασβέσθαι τὴν πίστιν, συνόντα διὰ παντὸς ἔχουσι τὸν Χριστόν. Ἀλλὰ καὶ δεινὸς ἔσθ' ὅτε χειμὼν καταβρήγνυται, καὶ μυρία περιστάσεων τοῦ ἁγίου σκάφους κατεξανίσταται κύματα, ἀναρίθμητοι δὲ ὥσπερ πα-

[66] Matth. VIII, 26. [67] Luc. XVII, 5. [68] Joan. XV, 5. [69] Philipp. IV, 13. [70] Marc. IV, 39. [71] Psal. CIII, 9. [72] Luc. XXIV, 36.

Digitized by Google

φλάζουσι πειρασμοί, καὶ μὴν καὶ πνευμάτων πονηρῶν ἀγριότης ἐγκατασκήψασα, πρὸς αὐτὸ καταφέρει τοῦ θανάτου τὸ δεῖμα. Καὶ σύνεστι μὲν τοῖς ἑαυτοῦ γνωρίμοις Χριστός· διὰ δὲ τὸ πολλάκις ἐφεῖναι παθεῖν οἰκονομικῶς, ἀπομιμεῖσθαί πως δοκεῖ τὸν νυστάζοντα. Ὅταν τοίνυν ὑπέρμετρος ἀληθῶς, καὶ οὐκέτι τοῖς πλωτῆρσι φορητὸς ὁ θόρυβος ᾖ, καὶ πρὸς ἄκρον ἤδη τοῦ κακοῦ τὰ πρόδατα (1) βλέπῃ, τότε προσήκει βοᾷν μονονουχὶ λέγοντας· « Ἐξεγέρθητι, ἵνα τί ὑπνοῖς, Κύριε; » Ἀμελητὶ γὰρ διαναστήσεται, καὶ πάντα μὲν ἐκποδὼν ποιήσει φόβον· ἐπιτιμήσει δὲ τοῖς πειράζουσι, καὶ μεταστήσει τὸ πένθος εἰς εὐθυμίαν, εὐδίαν ἁπλώσας τὴν ἀπαλὴν καὶ ἀκύμονα· περιόψεται γὰρ οὐδαμῶς τοὺς ἐπ' αὐτῷ πεποιθότας.

A et impurorum spirituum sævitia incumbens, ad usque mortis terrorem compellit. Attamen familiaribus suis adest Christus; et dum sæpe illos prudente consilio pati sinit, imitari videtur dormitantem. Cum itaque vere summa fuerit remigibusque intoleranda procella, et cum in extremum plane discrimen (Christi) oves venerint; tunc nos oportet clamare, sic fere dicentes: « Expergiscere, quare obdormis, Domine? » Sine mora enim exsurget, omnemque depellet timorem, tentatores objurgabit, et luctum convertet in gaudium, serenitatem explicans nitidam et imperturbatam. Neque enim confidentes ei prorsus despiciet.

Κατέπλευσαν εἰς τὴν χώραν τῶν Γεργεσηνῶν, κ. τ. λ.

B V. 26. *Navigaverunt ad regionem Gergesenorum*, etc.

(A f. 127, B f. 80 b, C f. 124) Προσωρμίσθη ὁ Σωτὴρ τῇ Γεργεσηνῶν, ὁμοῦ τοῖς ἁγίοις μαθηταῖς. Εἶτά τις ὑπήντησεν ἀνὴρ, ὃς ἦν ἐνδιαίτημα πολλῶν καὶ ἀκαθάρτων πνευμάτων, ἔξω καὶ νοῦ καὶ φρενὸς ὑπάρχων, καὶ οὐδὲν ἀπεοικὼς τῶν τεθνεώτων ἤδη καὶ ἐν γῇ κειμένων· μᾶλλον δὲ τάχα που καὶ ἐν τοῖς ἔτι χείροσι· γυμνὸς γὰρ τὰ τῶν τεθνεώτων μνήματα περιφοιτῶν, τῆς τῶν δαιμονίων ἀπανθρωπίας ἀπόδειξις ἦν. Ἐφίησι γάρ τινας οἰκονομικῶς ὁ τῶν ὅλων Θεὸς ὑπ' αὐτοῖς γίνεσθαι, οὐχ ἵνα πάθωσι μᾶλλον, ἀλλ' ἵν' ἡμεῖς δι' αὐτῶν μάθωμεν ὁποῖοί τινές εἰσιν ἐκεῖνοι περὶ ἡμᾶς, οὕτω τε παραιτώμεθα τὸ ὑποκεῖσθαι θέλειν αὐτοῖς· ἑνὸς γοῦν πεπονθότος, οἰκοδομοῦνται πολλοί. — Ὁ Γεργεσηνὸς, ἤγουν ἡ ἐν αὐτῷ C λανθάνουσα τῶν δαιμονίων ἀγέλη, προσέπιπτε τῷ Χριστῷ, καὶ ταῦτα ἐβόα· « Τί ἐμοὶ καὶ σοὶ, Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ; » κ. τ. λ. Καί μοι ἐνταῦθα βλέπε, θάρσει πολλῷ καὶ ἀπονοίᾳ συμπεπλεγμένην δειλίαν· δεῖγμα μὲν γὰρ ἀπονοίας διαβολικῆς, τὸ τολμῆσαι λέγειν· « Τί ἐμοὶ καὶ σοὶ, Υἱὲ τοῦ Θεοῦ; » Δειλίας δὲ, τὸ δέεσθαι ἵνα μὴ βασανισθῇ. Ἀλλὰ γὰρ εἰ οἶδας ὅλως αὐτὸν Υἱὸν ὄντα τοῦ ὑψίστου Θεοῦ, ὁμολογεῖς ὅτι Θεός ἐστιν οὐρανοῦ τε καὶ γῆς καὶ τῶν ἐν αὐτοῖς. Εἶτα πῶς τὰ μὴ σὰ, μᾶλλον δὲ τὰ αὐτοῦ, διαρπάζεις; Εἶτα λέγεις· « Τί ἐμοὶ καὶ σοί; » Καὶ τίς ἀνέξεται τῶν ἐπὶ γῆς βασιλέων μέχρι παντὸς ἀνεῖναι Βαρβάροις τοὺς ὑπὸ σκῆπτρα κειμένους; Τὰς σαυτῷ πρεπούσας ἐρεύγου φωνάς· αὗται δέ εἰσιν ἐν τῷ, D Ἀσόμαί σου, μή με βασανίσῃς. Καὶ ἄθρει δή μοι πάλιν τὴν ἀπαράβλητον δόξαν τοῦ πάντων ἐπέκεινα, φημὶ δὴ Χριστοῦ τὴν ἀκαταγώνιστον ἰσχύν. Συντρίβει τὸν Σατανᾶν, ἐθελήσας μόνον τοῦτο παθεῖν αὐτόν. Πῦρ αὐτῷ καὶ φλόγες εἰσὶ τὰ Χριστοῦ ῥήματα. Ἀληθὲς οὖν ὅτι, καθά φησιν ὁ μακάριος Ψαλμῳδὸς, « Τὰ ὄρη ἐτάκησαν ἀπὸ προσώπου τοῦ Θεοῦ. » Ὄρεσι γὰρ τὰς ὑψηλὰς καὶ ὑπερηφάνους παρεικάζει δυνάμεις πονηρὰς δηλονότι. Ἠλὴν ὡς πυρὶ προσβαλοῦσαι τῇ τοῦ Σωτῆρος ἡμῶν δυνάμει τε καὶ ἐξουσίᾳ κατατήκονται κηροῦ δίκην.

Navim appulit Servator cum sanctis discipulis ad regionem Gergesenorum. Mox ibi occurrit vir, qui multorum spirituum impurorum domicilium erat, mente quoque et intellectu captus, nihil a mortuis et sub terra conditis differens, imo et pejore conditione utens; nudus enim mortuorum monumenta circumiens, dæmonum crudelitatis spectaculum erat. Nam aliquos sub horum potestatem decidere sinit universalis Deus, non tam ut hi patiantur, quam ut nos discamus quo ingenio sint dæmones adversus nos, atque ita nolimus iis subesse: namque uno patiente, erudiuntur multi. - Gergesenus, seu latens in ipso dæmonum grex, ante Christum procidit atque ita exclamabat: « Quid mihi et tibi, Jesu Fili Dei? » etc. Hic mecum animadverte, multæ audaciæ ac vesaniæ mistum timorem. Quippe indicium diabolicæ vesaniæ est, quod dicere audet: « Quid mihi et tibi est, Fili Dei? » Timoris autem, quod obsecrat ne torqueatur. Atqui si omnino scis hunc esse altissimi Dei Filium, confiteris Deum esse cœli ac terræ et omnium quæ in his sunt. Cur ergo quæ tua non sunt, **225** imo aliena diripis? Deinde ais, « Quid mihi et tibi? » Nemo certe terrenorum regum homines sceptro suo suppositos Barbaris in perpetuum permittit. Verba tibi congrua fare. Sunt autem hæc: Rogo te, ne me torqueas. Et videsis incomparabilem dignitatem ejus qui supra omnes est, id est Christi invictam potentiam. Satanam conterit, ut id tantum patiatur volens. Ignis loco flammæque diabolo sunt Christi verba. Vere itaque dixit Psalmista: « Montes extabuerunt a facie Dei [73]. » Nam montibus comparat excelsas superbasque potentias, improbas illas videlicet. Verum hæ, tanquam igni admotæ, Servatoris nostri virtuti atque potentiæ, ceræ instar liquefiunt.

(A f. 127) Ἠρώτα Χριστὸς, καὶ προστέταχεν εἰ-

Sciscitatus est Jesus jussitque edicere nomen

[73] Psal. xcvi, 5.

(1) Ita cod. Num erat scribendum πράγματα, *res*?

Digitized by Google

sum. Num quia ignoraret interrogavit, atque ut unus de nobis volebat id cognoscere? Quidni vero prorsus sit fatuum quidquam hujusmodi dicere vel cogitare? Cuncta enim scit utpote Deus, et cor scrutatur ac renes. Prudente consilio interrogavit, ut cognoscamus magnam dæmonum multitudinem unam hominis animam possedisse. Nam quia Dominus noverat magnum esse dæmonum illic habitantium numerum; spectatores autem unum cernebant hominem, unamque vocem emissam audiebant, ait Christus: « Dic, quod est tibi nomen; » ne si forte ipsemet dixisset multos illic esse, haud ei crederetur. Ipsos itaque fateri vult multitudinem suam.

A πεῖν τί τὸ ὄνομα αὐτῷ. Ἆρ' οὖν οὐκ εἰδὼς ἤρετο, καὶ ὡς εἷς τῶν καθ' ἡμᾶς ἐζήτει μαθεῖν; Καίτοι πῶς οὐκ ἀσύνετον παντελῶς τὸ φράσαι τι τοιοῦτον ἢ νοεῖν; Πάντα γὰρ οἶδεν ὡς Θεὸς, καὶ καρδίαν ἐξετάζει καὶ νεφρούς. Ἤρετο οἰκονομικῶς, ἵνα μάθωμεν ὅτι πολλὴ δαιμονίων πληθὺς μίαν ἀνθρώπου ψυχὴν κατενείματο. Ἐπειδὴ γὰρ ὁ Κύριος ᾔδει τὸ πλῆθος τῶν ἐνοικούντων δαιμόνων, οἱ δὲ ὁρῶντες, ἕνα μὲν ἄνδρα ἔβλεπον, μιᾶς δὲ προφερομένης φωνῆς ἤκουον, λέγει· « Εἰπὲ, τί ὄνομά σοι· » ἵνα μὴ αὐτὸς εἰπὼν ὅτι Πολλοί εἰσιν, ἀπιστηθῇ, ἀλλ' αὐτοὶ ὁμολογήσωσιν ὅτι πολλοὶ τυγχάνουσι.

V. 31. *Et rogabat eum, ne juberet*, etc.

Nam quia alii jam in abyssum præmissi fuerant, reliqui idem sibi timebant (1).

Καὶ παρεκάλει αὐτὸν ἵνα μὴ ἐπιτάξῃ, κ. τ. λ.

B (B f. 82 b) Ὡς γὰρ ἑτέρων ἤδη προαπεσταλμένων, οἱ καταλειφθέντες τὸ χρῆμα ἐπεφρίκεσαν.

V. 31. *Rogabant eum ut permitteret sibi in illos (porcos) ingredi.*

Impurorum spirituum grex postulavit sibi parem porcorum gregem. Annuit vero dispensativo consilio Christus, quanquam quid ab ipsis eventurum foret non ignorabat. Rei copiam ipsis concessit, ut hoc **226** etiam cum cæteris nobis fieret utilitatis argumentum et tutelæ spes. Petunt in porcos potestatem, nempe quia non habebant. Jam vero qui adeo parvæ vilisque rei dominio non potiebantur, quomodo cuiquam nocebunt cui Christi sigillum receperit, in eoque spem suam collocaverit? Illud insuper præter cætera discere licet, nempe ex iis C quæ porcorum gregi acciderunt, scelestos dæmones esse noxios, et suis subditis mala moliri. Res patet evidentissime ex porcorum præcipitio et in aquis suffocatione. Propterea petentibus illis indulsit Christus, ut ex rei eventu nos discamus cujusmodi sint dæmones, crudeles scilicet atque ferini (2).

Παρεκάλουν αὐτὸν ἵνα ἐπιτρέψῃ αὐτοῖς εἰς ἐκείνους εἰσελθεῖν.

(A f. 127 b) Ἠτησέ γε μὴν ἡ τῶν ἀκαθάρτων πνευμάτων ἀγέλη τὴν ἴσην τε καὶ ὁμοίαν ἑαυτῇ τῶν χοίρων ἀγέλην. Κατένευσε δὲ Χριστὸς οἰκονομικῶς, καίτοι τὸ παρ' αὐτῶν ἐσόμενον οὐκ ἠγνοηκώς. Δέδωκε γὰρ τὴν ἐξουσίαν αὐτοῖς, ἵνα ἡμῖν γένηται καὶ τοῦτο μετὰ τῶν ἄλλων, ὠφελείας πρόφασις καὶ ἀσφαλείας ἐλπίς. Αἰτοῦσι γὰρ χοίρων τὴν ἐξουσίαν, ὡς οὐκ ἔχοντες δηλονότι· οἱ δὲ τῶν οὕτω μικρῶν καὶ εὐτελεστάτων οὐκ ἔχοντες ἐξουσίαν, πῶς ἂν ἀδικήσειάν τινα τῶν ἐσφραγισμένων παρὰ Χριστοῦ, καὶ τῆς εἰς αὐτὸν ἐλπίδος ἀνηρτημένων; Καὶ μὴν καὶ τοῦτο πρὸς τούτοις ἔξεστι μαθεῖν, ὡς ἀπό γε τοῦ συμβεβηκότος τῇ τῶν χοίρων ἀγέλῃ, ὅτι εἰσὶν οἱ ἀλιτήριοι δαίμονες κακοὶ, καὶ τῶν ὑπ' αὐτοῖς γενομένων ἐπίβουλοι. Τοῦτο γὰρ ἐκδείξειεν ἂν καὶ μάλα σαφῶς τὸ κατακρημνίσαι τοὺς χοίρους, ἐναποπνίξαι τε τοῖς ὕδασι. Καὶ διὰ τοῦτο κατένευσεν αἰτοῦσιν αὐτοῖς ὁ Χριστὸς, ἵνα ἐκ τοῦ συμβεβηκότος μάθωμεν ἡμεῖς ὁποῖοί τινές εἰσιν, ὡς ἀπηνεῖς τε καὶ θηριώδεις.

V. 45. *Ait Jesus: Quis me tetigit?*

Mira ac subita res ab eo non ignorabatur, etsi qui omnia novit Servator, tanquam ignarus interrogat, aitque: « Quis me tetigit? » Sanctis autem apostolis non inepte respondentibus, « En turbæ te comprimunt et affligunt, » quod maximum erat indicium eum veram gerere carnem, et omni fastu D abhorrere, non enim eum procul sequebantur, sed undique circumsistebant; ipse, inquam, rem actam in medium profert, substitutque dicens: « Vere aliquis me tetigit; etenim ego novi virtutem de me exiisse. » Quod quidem pro ruditate audientium ita locutus est. Num ergo ob gloriæ cupiditatem noluit Dominus latere divinæ suæ efficaciæ demonstrationem? Minime hoc dicimus. Cur enim id ageret, qui multoties tacere jussit? Illud potius censendum est, nempe ubique propositam fuisse ei

Εἶπεν ὁ Ἰησοῦς· Τίς ὁ ἁψάμενός μου;

(A f. 130) Οὐκ ἠγνοήθη δὲ τὸ παράδοξον, καίτοι γὰρ πάντα εἰδὼς ὁ Σωτὴρ, ὡς μὴ εἰδὼς ἐρωτᾷ, καί φησι· « Τίς ὁ ἁψάμενός μου; » Οὐκ ἀπιθάνως δὲ τῶν ἁγίων ἀποστόλων εἰπόντων, ὅτι « Οἱ ὄχλοι συνέχουσί σε καὶ ἀποθλίβουσιν, » ὃ μέγιστον ἦν σημεῖον τοῦ καὶ σάρκα αὐτὸν ἀληθῆ περικεῖσθαι, καὶ πάντα τῦφον καταπατεῖν, οὐδὲ γὰρ πόρρωθεν εἵποντο, ἀλλὰ συνεῖχον αὐτὸν πάντοθεν· αὐτὸς τὸ πραχθὲν εἰς μέσον συνάγει, καὶ ἐπέμενε λέγων, ὅτι « Ἥψατό μού τις· ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξελθοῦσαν ἀπ' ἐμοῦ· » πρὸς τὴν ὑπόνοιαν τῶν ἀκουόντων παχύτερον ἀποκρινόμενος. Ἆρ' οὖν φιλοδόξως ὁ Κύριος οὐκ ἐφῆκε λαθεῖν τῆς θεοπρεποῦς ἐνεργείας τὴν ἔνδειξιν, ἢ τοι τὸ συμβαῖνον ἐπὶ τῷ γυναίῳ παράδοξον; Οὐ τοῦτό φαμεν· πῶς γὰρ, ὁ κελεύων σιγᾷν πολλαχοῦ; Ἐκεῖνο δὲ μᾶλλον· βλέπει γὰρ εἰς ὄνησιν πανταχοῦ

(1) Addit vel præponit D. Thomas in catena. « Cyrillus. Hinc autem palam est, quod æmulæ catervæ a majestatis divinæ ineffabili potentia Salvatoris detrudebantur ad inferna. »

(2) Apud D. Thomam pergit « Cyrillus. Erat enim necessarium ostendere, Filium Dei providentiam rerum habere non minus quam Pater, ut æqualitatis decor in utroque appareat. »

Digitized by Google

τῶν καλουμένων εἰς τὴν διὰ πίστεως χάριν· οὐκοῦν πολλοὺς μὲν ἠδίκησεν ἀγνοηθὲν τὸ σημεῖον· γεγονὸς δὲ γνώριμον, ὠφέλησεν οὐ μετρίως, καὶ πρό γε τῶν ἄλλων τὸν ἄρχοντα τῆς συναγωγῆς. Ἀσφαλεστέραν γὰρ ἐτίθει τὴν τοῦ προσδοκηθέντος ἐλπίδα· καὶ ἀραρότως ἐδίδου θαρρεῖν, ὅτι καὶ τῶν τοῦ θανάτου βρόχων ἐξαρπάσει Χριστὸς τὸ θυγάτριον αὐτοῦ. — (A f. 130 l) Οὐ γὰρ ἐξῆν τοῖς μὴ καθαροῖς, ἢ ἅψασθαί τινος τῶν ἁγίων, ἢ ἐγγὺς γενέσθαι ἀνδρὸς ἱεροῦ. Πεπληροφορήμεθα τοίνυν ὡς Θεὸς ἀληθινός ἐστιν ὁ Ἐμμανουὴλ, καὶ ἀπό γε τοῦ παραδόξως ἐνηργημένου, καὶ ἐξ ὧν ἔφη θεοπρεπῶς· « Ἐγὼ γὰρ καὶ ἔγνων, φησὶ, δύναμιν ἐξεληλυθυῖαν ἀπ' ἐμοῦ. » Ἔστι δὲ μέτρων ἐπέκεινα τῶν καθ' ἡμᾶς, ἢ τάχα που καὶ ἀγγελικῶν, τὸ δύνασθαι δύναμιν ἐκπέμψαι τινὰ, καὶ ὡς ἀπό γε τῆς ἰδίας φύσεως, τουτέστιν ἀφ' ἑαυτῶν. Πρέπει δὲ μόνῃ τῇ πάντων ἐπέκεινα καὶ ἀνωτάτῳ φύσει· οὐδὲν γὰρ τῶν ἐν τοῖς κτίσμασι φέρει τινὰ δύναμιν ἰατρικὴν, ἢ γοῦν ἑτέραν τινὰ ἰδίαν, ἀλλὰ θεόσδοτον.

A utilitatem illorum qui per fidem ad gratiam vocati erant. Multis reapse nocumento fuisset miraculi ejus ignoratio; quod contra palam factum non parum profuit, atque in primis principi Synagogæ. Id enim spem tutiorem exspectanti injecit, firmamque fiduciam contulit, fore ut ejus filiolam de mortis laqueis expediret. — Non enim licebat **227** immundis vel rem sanctam tangere, vel ad sacrum quemvis virum accedere. Persuasum ergo fuit nobis, Deum verum esse Emmanuelem, tum inusperato prodigii effectu, tum etiam ejus verbis Deo dignis. « Ego enim, inquit, novi virtutem de me exiisse. » Est autem supra nostram conditionem, et fortasse angelorum etiam vim excedit, ut virtutem aliquis de se possit emittere, tanquam ex propria natura, B id est se ipso. Id autem uni congruit supremæ naturæ atque altissimæ: neque ulla creatura medicam vim in se gerit, aut aliam quamlibet propriam, sed a Deo tantum concessam.

Καὶ ἐπέστρεψε τὸ πνεῦμα αὐτῆς, καὶ ἀνέστη παραχρῆμα.

V. 55. *Et reversus est spiritus ejus, et surrexit continuo.*

(H f. 30) Πλὴν (1) ἀλλὰ τοιαύτη μὲν ἡ τοῦ θαύματος ἱστορία· χρὴ δὲ ἴσως καὶ ἰσχνότερον αὐτὴν θεωρῆσαι καὶ ὑψηλότερον. Οἱ μὲν οὖν ἁπλούστεροι θαυμαζέτωσαν τὰ μεγαλεῖα τοῦ Θεοῦ κατὰ ταῦτα· οἰκοδομεῖ γὰρ καὶ σωματικῶς νοούμενα· οἱ δὲ δυνάμενοι διαβαίνειν ἐπὶ τὸ βλέπειν ὅτι καὶ ταῦτα τυπικῶς συνέβαινεν ἐκείνοις, ἐγράφη δὲ δι' ἡμᾶς, εὐξάμενοι τῷ Θεῷ, αἰτήσωμεν λόγον ἐλθεῖν τὸν σαφηνίζοντα καὶ ταῦτα· πῶς ὁ Ἰησοῦς πρὸς ἀρχισυναγώγου θυγατέρα προηγουμένως ἀπῆει, οὐ πρὸς τὴν αἱμορροοῦσαν, καὶ ἐν τῇ ὁδῷ αὐτῷ ἀπαντῶσαν· καὶ ὅτι προηγουμένως ἀπιόντος αὐτοῦ πρὸς ἐκείνην, πρώτη αὐτὴ θεραπεύεται. Ἦλθε γὰρ ὁ Υἱὸς τοῦ Θεοῦ προηγουμένως εἰς τὴν Ἰουδαίων Συναγωγὴν, καὶ εὗρεν αὐτὴν νοσοῦσαν καὶ ἀποθνοῦσαν. Τὰ γὰρ παραπτώματα τοῦ Ἰσραὴλ πεποίηκεν αὐτὴν ἀποθανεῖν· ἡ δὲ αἱμορροοῦσα ἡ ἐν τῇ ὁδῷ, ἡ ἀκαθαρσίας πεπληρωμένη, ἡ ῥέουσα οὐκ ἐν καιρῷ ἀφέδρου, ἀλλ' ἀεὶ αἱμορροοῦσα, αὐτὴ πρὸ ἐκείνης πιστεύει τῷ Υἱῷ τοῦ Θεοῦ. Καὶ ἐκεῖ μὲν οὗτος ἀπέρχεται, αὐτὴ δὲ κἂν τοῦ κρασπέδου τοῦ ἱματίου ἅψασθαι θέλει. Ὁ δὲ Λουκᾶς, ὃ μὴ εἶπε Ματθαῖος, προσέθηκεν ὅτι δωδεκαετὴς ἦν ἡ τοῦ ἀρχισυναγώγου θυγάτηρ. Καὶ ἡ αἱμορροοῦσα δώδεκα ἔτη εἶχεν αἱμορροοῦσα· οὐκοῦν ἅμα τῇ γενέσει ἐκείνης, αὕτη αἱμορροεῖ. Ἐν ἀπαθείᾳ γάρ ἐστιν ἐκείνη ὅσον χρόνον ζῇ ἡ Συναγωγὴ, καὶ ὁ αὐτὸς ὅρος τοῦ χρόνου τοῦ τέλους ἐκείνης, καὶ τῆς ἀρχῆς τῆς σωτηρίας ταύτης ἐστί. Δώδεκα ἐτῶν ἐκείνη ἀποθνήσκει, καὶ δώδεκα ἐτῶν τοῦ πάθους αὕτη πιστεύσασα θεραπεύεται, ἥτις οὐκ ἰσχυσεν ὑπ' οὐδενὸς τῶν ἰατρῶν θεραπευθῆναι.

Talis utique est miraculi historia. Sed enim fortasse oportet aliquanto subtilius et sublimius hanc ipsam considerare. Itaque simpliciores quidem Dei magnalia mirentur secundum prædicta; quæ etiam materialiter intellecta ædificant. Verum nos qui transcendere possumus ad contemplandum, quod hæc in figura illis contingebant, et nostri gratia scripta fuerunt [14], Deum invocantes petamus ut nobis sermo suppetat qui et hanc partem illustrare queat; quomodo scilicet Jesus ad archisynagogi filiam recte itinere abierit, non autem ad hæmorrhoissam, quæ ei in via occurrit; et tamen quamvis recta ad illam pergeret, nihilominus prior hæc sanata fuerit. Venit enim Dei Filius principaliter ad Judæorum Synagogam, invenitque eam languentem, imo mortuam. Namque Israelitarum peccata illam exstinxerant. At vero hæmorrhoissa quæ in via erat, immunditia scatens, fluxum præter tempus patiens in naturalibus, ipsa ante illam credit Filio Dei. Et Jesus quidem illuc abibat, ipsa autem vestimenti ejus fimbriam vult attingere. Porro **228** Lucas quod non dixerat Matthæus, addidit D duodennem fuisse archisynagogi filiam. Et hæmorrhoissa pariter jam a duodecim annis fluxum patiebatur. Ergo inde a tempore quo illa nata, hæc sanguine fluebat. Namque illa nihil passa est, quandiu Synagoga vixit, idemque terminus temporis interitus illius, et initii salutis istius. Duodennis illa moritur, et duodecimo morbi anno hæc propter fidem suam sanatur, quæ a nullo medico impetrare salutem potuerat. Nam multi medici

[14] I Cor. x, 2.

(1) Totum hoc fragmentum mihi occurrit tantummodo in codice H. f. 30, sub utroque nomine Cyrilli atque Origenis, qui mos interdum catenarum est. Et quidem ex codice Veneto jam dederat auctor appendicis Galland. *Bibl.* t. XIV, p. 95. Corderius quoque in sua Lat. edit. habet sub Cyrilli et Geometræ nominibus.

Digitized by Google

ethnicos a se sanatum iri promiserant. Si quidem philosophos observaveris veritatem profitentes, hi medici sunt, qui sanare nituntur. Sed enim ipsa omni re sua consumpta, a nomine medicorum sanari potuit; donec Jesu fimbriam cum fide tangens valetudinem recuperavit. Si consideremus nostram in Christum Jesum fidem, et reputemus qualis quantusque sit Filius Dei, et quidnam ejus tetigerimus, videbimus quod præ tot quæ sunt in eo fimbriis, unam fimbriam contigimus: et tamen vel una hæc fimbria nos sanat, facitque ut a Jesu audiamus: « Filia, fides tua salvam te fecit. » Et postquam nos sanati fuerimus, filia quoque archisynagogi resurget. « Quando enim plenitudo gentium intraverit, tunc universus Israel salvabitur [76]. »

A Πολλοὶ γὰρ ἰατροὶ τοὺς ἀπὸ τῶν ἐθνῶν ὑπέσχοντο θεραπεῦσαι. Ἐὰν ἴδῃς τοὺς φιλοσοφοῦντας ἐπαγγελλομένους ἀλήθειαν, ἰατροί εἰσι θεραπεῦσαι πειρώμενοι. Ἀλλ' αὐτὴ δαπανήσασα τὰ παρ' ἑαυτῆς πάντα, οὐκ ἴσχυσεν ὑπ' οὐδενὸς τῶν ἰατρῶν θεραπευθῆναι· ἥψατο δὲ τοῦ κρασπέδου τοῦ Ἰησοῦ διὰ πίστεως, καὶ ἰάθη. Ἐὰν ἴδωμεν τὴν πίστιν ἡμῶν τὴν εἰς Χριστὸν Ἰησοῦν, καὶ νοήσωμεν πηλίκος ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ τίνος ἡψάμεθα αὐτοῦ, ὀψόμεθα ὅτι πρὸς σύγκρισιν τῶν ἐν αὐτῷ κρασπέδων, κρασπέδου ἡψάμεθα· ἀλλ' ὅμως τὸ κράσπεδον θεραπεύει ἡμᾶς, καὶ ποιεῖ ἀκούειν ἀπὸ τοῦ Ἰησοῦ· « Θύγατερ, ἡ πίστις σου σέσωκέ σε. » Καὶ ἐὰν θεραπευθῶμεν, καὶ ἡ θυγάτηρ ἀναστήσεται τοῦ ἀρχισυναγώγου. « Ὅταν γὰρ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, τότε πᾶς Ἰσραὴλ σωθήσεται. »

CAP. IX.

V. 1. *Dedit illis virtutem et potestatem super omnia dæmonia, et ut languores curarent.*

Vere dicitur, bonorum laborum fructus gloriosus. Namque eos, qui sanctam et immaculatam, quoad hominibus datum est, degere volunt vitam, donis suis Christus illustrat, uberemque illis bonorum operum, prout Deo dignum est, retributionem largitur, gloriæque suæ participes facit. Accipe rei hujus perpicuam evidentemque demonstrationem, sanctos apostolos. Cerne illos illustrissimos factos, et plus quam humana gloria exornatos, hanc eis largiente præter alia dona Christo. « Dedit enim illis, inquit evangelista, virtutem ac
229 potestatem super omnia dæmonia, et ut languores curarent. » Et rursus animadverte, humanatum Dei Verbum humanitatis mensuram excedere, et deitatis dignitate fulgere. Superat enim humanæ naturæ fines ut aliquis, quibus vult, adversus impuros spiritus det potestatem. Morbis item liberandi implicitos, solius Dei potentia est. Nam supremæ naturæ excelsitas et majestas nemini existenti naturaliter inest, nisi ipsi uni. Digna itaque admiratione est quæ sanctis apostolis gratia data fuit. Excedit autem laudem quamlibet atque admirationem, dantis liberalitas; suam quippe ipsis, ut dixi, gloriam largitur. Homo potestatem adversus malos spiritus accipit, elatamque adeo superbiam, diaboli, inquam, prosternit. Quanquam hic aliquando dixerat: « Universum orbem manu mea nidi instar capiam, et ut ova derelicta sumam, nec me quisquam effugiet aut mihi resistet [77]. » Verumtamen a veritate longe aberravit, et spe sua falsus est superbus ille et audax, et qui omnium debilitate gaudebat. Opposuit enim illi sacræ prædicationis ministros, virtutum Dominus. Atque hoc scilicet per unum de sanctis prophetis prædictum fuerat, de Satana videlicet et de sanctis doctoribus, quod « subito exsurgent qui illum mordeant, et evigilabunt adversarii tui, fiesque illis in prædam [77]. »

[76] Rom. xi, 25. [77] Isa. x, 14. [77] Habac. ii, 7.

ΚΕΦΑΛ. Θ'.

Ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια, καὶ νόσους θεραπεύειν.

(A f. 132, B f. 88, C f. 125 b, D f. 34 b) Ἀληθὲς εἰπεῖν, ὅτι πόνων ἀγαθῶν ὁ καρπὸς εὐκλεής. Τοὺς γάρ τοι τὴν πάναγνον καὶ ἀδέθηλον, κατά γε τὸ ἀνθρώποις ἐγχωροῦν κατορθοῦν ἐθέλοντας ζωὴν, τοῖς παρ' ἑαυτοῦ χαρίσμασι καταφαιδρύνει Χριστὸς, καὶ πλουσίαν αὐτοῖς τῶν κατωρθωμένων ἁγιοπρεπῶς χαρίζεται τὴν ἀντέκτισιν, καὶ δόξης αὐτοὺς τῆς ἰδίας καθίστησι κοινωνούς. Δέχου τοῦ πράγματος ἀπόδειξιν σαφῆ τε καὶ ἐναργῆ, τοὺς ἁγίους ἀποστόλους. Ὅρα γεγονότας ἐκπρεπεστάτους, καὶ τῇ ὑπὲρ ἄνθρωπον δόξῃ κατεστεμμένους, νέμοντος αὐτοῖς μετὰ τῶν
C ἄλλων καὶ τοῦτο Χριστοῦ· « Δέδωκε γὰρ αὐτοῖς, φησὶ, δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια, καὶ νόσους θεραπεύειν. » Ἀλλ' ὅρα πάλιν τὸν ἐνανθρωπήσαντα τοῦ Θεοῦ Λόγον, τὸ τῆς ἀνθρωπότητος ὑπερτρέχοντα μέτρον, καὶ τοῖς τῆς θεότητος ἀξιώμασι διαπρέποντα· ἐπέκεινα γὰρ τῶν τῆς ἀνθρωπότητος μέτρων, τὸ διδόναι κατὰ πνευμάτων ἀκαθάρτων οἷς ἂν βούληται τὴν ἐξουσίαν, καὶ μὴν καὶ τὸ δύνασθαι νοσημάτων ἐλευθεροῦν τοὺς ἐνειλημμένους, καὶ μόνου Θεοῦ· ἡ γὰρ τῆς ἀνωτάτω φύσεως ὑπεροχή τε καὶ
D δόξα οὐδενὶ τῶν ὄντων ἔνεστι φυσικῶς, πλὴν ὅτι αὐτῷ τε καὶ μόνῳ. Ἄξια τοίνυν θαύματος ἡ τοῖς ἁγίοις ἀποστόλοις ἐκνεμηθεῖσα χάρις· ἐπέκεινα δὲ παντὸς ἐπαίνου καὶ θαύματος, ἡ τοῦ νέμοντος ἀφθονία· τὴν ἑαυτοῦ γὰρ αὐτοῖς, ὡς ἔφην, χαρίζεται δόξαν. Ἄνθρωπος ἐξουσίαν κατὰ πνευμάτων δέχεται πονηρῶν, καὶ τὴν οὕτως ὑπέροπτον ὀφρὺν, τὴν τοῦ διαβόλου φημὶ, καταστρέφει. Καί τοι λέγοντός ποτε· « Τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρὶ ὡς νοσσιὰν, καὶ ὡς καταλελειμμένα ᾠὰ ἀρῶ, καὶ οὐκ ἔστιν ὃς διαφεύξεται ἢ ἀντείπῃ μοι. » Ἐσφάλλετο δὲ τῆς ἀληθείας, καὶ διημάρτηκε τῆς ἐλπίδος, ὁ σοβαρὸς καὶ θρασὺς, καὶ τῆς ἁπάντων ἀσθενείας κατακαυχώμενος. Ἀντέταξε γὰρ αὐτῷ τοὺς τῶν ἱερῶν κηρυγμάτων ἱερουργοὺς, ὁ τῶν δυνάμεων Κύριος. Καὶ τοῦτο ἦν ἄρα τὸ ὅτι ἑνὸς τῶν ἁγίων προφητῶν

Digitized by Google

προσεκηρυγμένον, περί τε τοῦ Σατανᾶ καὶ τῶν ἁγίων μυσταγωγῶν, ὡς « ἐξαίφνης ἀναστήσονται οἱ δάκνοντες αὐτὸν, καὶ ἐκνήψουσιν οἱ ἐπίβουλοί σου, καὶ ἔσῃ εἰς διαπραγὴν αὐτοῖς. » Μόνον γὰρ οὐχὶ κατεδηδόκασι τὸν Σατανᾶν, ἐπιβουλεύοντες αὐτοῦ τῇ δόξῃ, καὶ διαρπάζοντες αὐτοῦ τὰ σκεύη, καὶ προσκομίζοντες Χριστῷ διὰ πίστεως τῆς εἰς αὐτόν.

A Pene enim Satanam consumpserunt, gloriationi ejus adversantes, vasa diripientes, et ad Christum per fidem in ipsum transferentes.

Εἶτα πόθεν εἰς ἀνθρώπους ἡ λαμπρὰ καὶ διαβόητος οὕτω κατενήνεκται χάρις, πολυπραγμονῶμεν, εἰ δοκεῖ. Οὐκοῦν ἐστεφάνωσε τῇ τοιᾷδε τιμῇ τὴν ἀνθρώπου φύσιν ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, γενόμενος ἄνθρωπος, καὶ τῆς ἰδίας ὑπεροχῆς κατ' οὐδένα τρόπον ἐκβεβηκὼς, ἐνήργηκε τὰ θεοπρεπῆ, συντρίψε τὸν Σατανᾶν ῥήματι τῷ πανσθενεστάτῳ, ἐπετίμησε πνεύμασι πονηροῖς. Αὕτη γέγονεν ὁδὸς τοῦ δύνασθαι πονηροῖς ἐπιπλήττειν πνεύμασι, τοὺς ἐπὶ τῆς γῆς. — (A f. 132 b) Τί δὲ ἄρα γε εἰκῆ τοιούτους ἀπέφηνε τοὺς ἀποστόλους, καὶ ἐπ' οὐδενὶ τῶν ἀναγκαίων ἐκπρεπεστάτους; Καί τοι πῶς τοῦτό ἐστιν ἀληθές; Ἔδει γὰρ, ἔδει τῶν ἱερῶν κηρυγμάτων διακόνους ἐπιδεδειγμένους κατορθοῦν δύνασθαι τὰ παράδοξα, καὶ δι' αὐτῶν πιστεύεσθαι τῶν ἐκτελεσμάτων ὅτι τέ εἰσι Θεοῦ διάκονοι, καὶ μεσῖται τῆς ὑπ' οὐρανὸν, καλοῦντες ἅπαντας εἰς διαλλαγὴν καὶ εἰς τὴν ἐν πίστει δικαίωσιν. Τοῖς μὲν γὰρ νουνεχεστέροις, ἀπόχρη καὶ λόγος ἔσθ' ὅτε πρὸς τὴν τῆς ἀληθείας ἐπίγνωσιν· τοῖς γε μὴν οὐχ ἑτοίμως ἔχουσιν εἰς παραδοχὴν ὧν ἄν τις λέγοι, δεῖ δὴ θαυμάτων καὶ τερατουργίας. Καλοῦνται γὰρ οὕτω μόλις πρὸς τὴν ἀλήθειαν.

B — Cur vero, dicet aliquis, tales tantosque frustra ostendit **230** Christus apostolos, et sine ulla necessitate illustrissimos? Quid tu, inquam ego, adversus veritatem ais? Necesse prorsus erat ut delecti sacræ prædicationis ministri patrandi prodigia copiam haberent, et ipsis factis fidem facerent se Dei esse ministros et orbis terrarum mediatores, mortales cunctos ad reconciliationem vocantes atque ad eam quæ fide fit justificationem. Et sapientioribus quidem vel solus interdum satis erat sermo ad veritatis cognitionem; verum iis qui minime parati erant ad alienæ doctrinæ receptionem, opus erat miraculis portentisque. Vix enim ita ad veritatem invitantur.

Εἶπε πρὸς αὐτούς· Μηδὲν αἴρετε εἰς τὴν ὁδόν.

C V. 3. *Ait ad illos: Nihil tuleritis in via.*

(A f. 133, D f. 34 b) Οὕτω δὴ τοὺς ἁγίους ἀποστόλους κατακοσμήσας, ἰέναι προστέταχεν ἐπὶ τὸ χρῆναι λαλεῖν τοῖς ἁπανταχόσε γῆς τὸ αὐτοῦ μυστήριον. Ταύτῃ τοι καὶ εὐζωνοτάτους εἶναι κελεύει, καὶ μερίμνης ἁπάσης κοσμικῆς ἀπαλλάττεσθαι βούλεται, ὡς μηδὲ αὐτῆς τῆς ἀναγκαίας τροφῆς καὶ ἀπαραιτήτου ποιεῖσθαί τινα λόγον. Κόσμον γὰρ αὐτοῖς, καὶ οἷόν τινα στέφανον ἔσεσθαί φησι, τὸ κεκτῆσθαι μηδέν· μήτε μὴν ἐπικομίζεσθαί τι παράπαν, μὴ ῥάβδον, μὴ πήραν, μὴ ἄρτον, μὴ ἀργύριον, μὴ χιτῶνας δύο· μονονουχὶ τὸ ἐν Ψαλμοῖς ἐκεῖνο λέγων· « Ἐπίῤῥιψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει. » Καὶ γάρ ἐστιν ἀληθὲς ὅπερ αὐτὸς ἔφη Χριστός· « Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ. » Ἵνα τοίνυν μονοειδῆ καὶ μονότροπον ἔχωσι τὴν ζωὴν, εἰς μόνον ὁρῶντες τὸ χρῆναι μυσταγωγεῖν, μηδένα προστέταχε ποιεῖσθαι λόγον ἢ ἀμφίων ἢ τροφῆς. Ἀλλὰ φαίη τις ἄν· Καὶ πόθεν αὐτοῖς προσγένοιτο τῶν ἀπαραιτήτως ζητουμένων ὁ πόρος; Διαδείκνυσι καὶ τοῦτο εὐθὺς λέγων·

D Sic honorabiliter instructos sanctos apostolos, pergere jussit ad ubique nuntiandum mysterium suum. Propterea expeditissimos etiam ire præcipit, atque omni mundana cura vult carere, ita ut ne cibi quidem necessarii et inevitabilis rationem haberent. Namque ipsis fore ornamentum, et quamdam veluti coronam, rerum omnium abdicationem; neque omnino quidquam deferre, non baculum, non peram, non panem, non argentum, aut tunicas duas. Ac prope illud Psalmi dicit: « Jacta in Dominum curam tuam, et ipse te enutriet [78]. » Nam vere Christus dixit: « Non potestis Deo servire et mammonæ [79]. » Ut ergo minime variam curisque distractam vitam degerent, et ad doctrinæ officium unice incumberent, nullam gerere jussit vestitus aut victus curam. Sed dicet aliquis: undenam ipsis necessariæ res suppetebant? Hoc etiam demonstrat statim subjiciens:

Καὶ εἰς ἣν οἰκίαν εἰσέλθητε, κ. τ. λ.

V. 4. *Et in quamcunque domum intraveritis*, etc.

A f. 133, B f. 88 b, D f. 34 b) Ἀρκέσει, φησὶν, ὁ παρὰ τῶν μυσταγωγουμένων καρπός· ἐκεῖνοι παρ' ὑμῶν τὰ πνευματικὰ λαμβάνοντες, τῶν σωματικῶν ποιήσονται πρόνοιαν. Ἐν οἰκίᾳ δὲ μιᾷ μένειν τε αὐτοὺς προστέταχε καὶ [μὴ] ἀπ' αὐτῆς ἐξέρχεσθαι· ὥστε μήτε τὸν δεχόμενον λυπεῖν, μήτε αὐτοὺς δόξαν λαβεῖν γαστριμαργίας καὶ εὐκολίας. Ἔδει γὰρ μήτε

Sufficiet, inquit, quem dabunt neophyti fructum: hi enim spiritalibus a vobis acceptis, vestræ rei corporalis curam gerent. In una autem domo manere jussit, neque inde discedere, ne et hospitem constristarent, et ipsi gulositatem et commoda sectari viderentur. Oportebat enim neque eos **231** qui semel suscepissent dono privare, neque ipsos

[78] Psal. LIV, 23. [79] Matth. VI, 24; Luc. XVI, 13.

Digitized by Google

sanctos apostolos impedimentum ullum studio ac sedulitati divinæ prædicationis interponere ; dum a multis ad se vocarentur, non ut aliquid utile discerent, sed ut delicatas ipsis et præter necessitatem dapes apponerent. Quod autem mercede non careat honor sanctis exhibitus, de Servatoris cognoscemus sermonibus. Aiebat enim discipulis : « Qui vos recipit, me recipit, et eum qui me misit [69]. » Solerte enim consilio sibi proprios facit, atque in suam recipit personam qui sanctis deferuntur honores, ut iis undique munimenta conciliet. Quod si optima conditione est, et in splendida spe versatur qui sanctos recipit : quidni contrarium quoque meritum eodem gradu habeatur ? Extrema enim laborabit miseria si quis honoris sanctis viris exhibendi negligens fuerit. Ideo ait : « Et quicunque non receperint vos, exeuntes de civitate illa, pedum quoque pulverem super illos excutite. » Quippe oportet ab illis qui ministros non receperint, neque sacram prædicationem admiserint, nihil omnino accipere. Est enim plane incredibile, eos qui Servatoris doctrinam, patremque familias contempserint, erga famulos videri benevolos, eorumque benedictionem expetere.

A τοὺς ἅπαξ λαβόντας ἀποστρεῖσθαι τῆς δωρεᾶς, μήτε μὴν αὐτοὺς τοὺς ἁγίους ἀποστόλους ἐγκοπήν τινα δοῦναι ταῖς εἰς τὸ θεῖον κήρυγμα σπουδαῖς τε καὶ προθυμίαις, ἐλκομένους παρὰ πολλῶν, οὐχ ἵνα τι τῶν ἀναγκαίων ἔσθ' ὅτε μανθάνωσιν, ἀλλ' ἵνα τράπεζαν αὐτοῖς παραθεῖεν ἄβρὰν, καὶ πέρα τῆς χρείας. Ὅτι δὲ οὐκ ἄμισθον τὸ τιμᾶν ἁγίους, ἐκ τῶν τοῦ Σωτῆρος εἰσόμεθα λόγων. Ἔφη γὰρ πρὸς τοὺς μαθητάς· « Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται καὶ τὸν ἀποστείλαντά με. » Οἰκονομικῶς, καὶ εἰς ἴδιον πρόσωπον τὰς εἰς τοὺς ἁγίους ἀναφέρει τιμὰς, ἵνα πανταχόθεν αὐτοῖς ὑπάρχῃ τὸ ἀσφαλές. Καὶ εἴπερ ἐστὶν ἐν παντὶ καλῷ καὶ ἐν ἐλπίσι λαμπραῖς ὁ δεχόμενος αὐτοὺς, πῶς οὐ πάντη τε καὶ πάντως, καὶ ἐμπαλιν, ἀληθές; Ἀθλιότητος γὰρ τῆς ἐσχάτης ἐπίμεστος ἂν γένοιτό τις, τὸ χρῆναι τιμᾶν τοὺς ἁγίους, B οὐδενὸς ἀξιώσας λόγου. Διὰ τοῦτό φησιν· « Καὶ ὅσοι ἐὰν μὴ δέξωνται ὑμᾶς, ἐξερχόμενοι ἀπὸ τῆς πόλεως ἐκείνης, καὶ τὸν κονιορτὸν τῶν ποδῶν ἐκτινάξατε ἐπ' αὐτούς. » Δεῖ γὰρ παρὰ τῶν μὴ δεξαμένων αὐτοὺς, μήτε μὴν ἀνασχομένων τῶν ἱερῶν κηρυγμάτων, μηδὲν τὸ παράπαν ἐθελῆσαι λαβεῖν. Ἀπίθανον γὰρ κομιδῇ τοὺς ἀτιμάζοντας τὸ σωτήριον κήρυγμα καὶ τὸν οἰκοδεσπότην, περὶ τοὺς οἰκέτας ὁρᾶσθαι χρηστοὺς, ἢ τὰς παρ' αὐτῶν εὐλογίας ζητεῖν.

V. 11. *Quod cum cognovissent turbæ, secutæ sunt illum.*

Partim quidem liberari se dæmonibus partim morbis exquirentes, partim etiam doctrinæ ejus studentes, constanter admodum illi adhærebant.

Οἱ δὲ ὄχλοι γνόντες, ἠκολούθησαν αὐτῷ.

(A f. 134 b) Οἱ μὲν δαιμονίων ζητοῦντες ἀπαλλαγὴν, οἱ δὲ καὶ ἀῤῥωστημάτων ἀπόθεσιν ἦσαν, οἱ καὶ τῆς παρ' αὐτοῦ μυσταγωγίας γλιχόμενοι, C προσεδρεύοντές τε καὶ μάλα εὐτόνως.

V. 12. *Dies autem cœperat declinare*, etc.

Die declinante, vel potius vespertino jam tempore, cura discipulos subiit turbarum, ideoque accedentes pro iis rogabant. Jam quid hic significet dictio, *Dimitte*, accurate vestigemus. Alii, ut dixi, eorum qui Jesum assectabantur, liberari malorum spirituum obsessione volebant, alii aliis infirmitatibus levari expetebant. Discipuli ergo ceu probe gnari posse Jesum vel uno nutu laborantium votis satisfacere, *dimitte eos*, aiunt : neque id fastidio **232** quodam faciunt tempore jam elapso, sed benevolo erga turbas studio, quasi jam pastorali officio vacantes, et populorum curam gerere incipientes. Age vero specta incomparabilem exorati D Jesu bonitatem. Non enim ea solum concedit, quæ discipuli sequacibus turbis ab eo fieri volebant, verum etiam liberali manu beneficium adjicit, amatores suos omnimode sibi demerens, atque ad spiritalem alacritatem educens. Jussit enim victum quoque illis distribui. Verumtamen inextricabile hoc erat negotium discipulis ; nihil enim secum attulerant præter quinque panes duosque pisciculos, quam rem Jesu accedentes annuntiarunt. Jam vero ut miraculi sublimitas magis constaret, et ipse suapte natura Deus omnimode appareret, quod tenue fuit multiplicat. Tum cœlum suspicit, ceu inde be-

Ἡ δὲ ἡμέρα ἤρξατο κλίνειν, κ. τ. λ.

(A f. 134 b, C. f. 126) Κλινούσης τῆς ἡμέρας, καὶ ὅσον οὐδέπω προσδοκωμένης ἔσεσθαι τῆς ἑσπέρας, προενόουν τῶν ὄχλων οἱ μαθηταὶ, καὶ δὴ καὶ προσῄεσαν, τὰς ὑπὲρ αὐτῶν παρακλήσεις προσάγοντες. Καὶ τί, τὸ *Ἀπόλυσον* ἐστὶν, ἐξετάσωμεν ἀκριβῶς· οἱ μὲν ὡς ἔφην τῶν ἑπομένων αὐτῷ, πονηρῶν πνευμάτων συνεχόντων αὐτοὺς, ἀπαλλάττεσθαι παρεκάλουν· οἱ δὲ καὶ ἑτέρων ἀῤῥωστημάτων ἐζήτουν ἔκθεσιν. Ὡς οὖν εἰδότες μαθηταὶ ὅτι κατανεύσεως μόνον, ἀποπεραίνει τοῖς κάμνουσι τὸ ποθούμενον, τὸ *Ἀπόλυσον αὐτοὺς*, φασὶ· καὶ οὐκ αὐτοὶ μᾶλλον ἀκηδιῶντες ὡς παρακμάσαντος τοῦ καιροῦ, ἀλλὰ τῆς εἰς τοὺς ὄχλους ἀγάπης ἐχόμενοι, καὶ οἷον μελετῶντες ἤδη τὴν ποιμενικὴν ἐπιστήμην, καὶ τοῦ κήδεσθαι λαῶν ἀρχόμενοι. Πλὴν ὅρα τὴν ἀπαράβλητον ἡμερότητα τοῦ παρακαλουμένου. Οὐ γὰρ μόνον ἐκεῖνα δίδωσιν, ἅπερ ἂν αἰτῶσιν ὑπάρξαι παρ' αὐτοῦ τοῖς ἀκολουθοῦσιν αὐτῷ, ἀλλὰ γὰρ προστίθησιν αὐτοῖς τὰ ἐκ τῆς φιλοτίμου δεξιᾶς, τοὺς ἀγαπῶντας αὐτὸν διὰ τρόπου παντὸς ἀνακτώμενος καὶ τρέφων εἰς εὐανδρίαν δηλονότι πνευματικήν· ἐκέλευε γὰρ καὶ διανέμειν αὐτοῖς τροφάς. Ἀλλ' ἦν ἄπορον τὸ χρῆμα τοῖς μαθηταῖς· ἐπεκομίζοντο γὰρ οὐδὲν, πλὴν ἄρτων πέντε καὶ ἰχθύων δύο· καὶ ἀπήγγελλον τοῦτο προσιόντες αὐτῷ. — (B f. 90) Ἵνα δὲ καὶ ἔτι μείζων εἰς

[69] Matth. x, 40.

Digitized by Google

ὕψος τὸ θαῦμα τρέχῃ, καὶ Θεὸς ὢν φύσει, διὰ τρόπου παντὸς ἐπιγινώσκηται, πολυπλασιάζει τὸ βραχὺ· βλέπει τε εἰς οὐρανὸν, οἷον τὴν ἄνωθεν εὐλογίαν αἰτῶν. Ἔδρα δὲ καὶ τοῦτο δι' ἡμᾶς, οἰκονομικῶς· ἔστι μὲν γὰρ αὐτὸς ὁ πάντα πληρῶν, ἡ ἄνωθεν καὶ παρὰ Πατρὸς εὐδοκία. Ἵνα δὲ μάθωμεν ὅτι τραπέζης ἀρχόμενοι, καὶ μέλλοντες ἄρτον διακλᾶν, Θεῷ προσάγειν ὀφείλομεν, ὑπτίαις ὥσπερ ἐνθέντες χερσὶ, καὶ τὴν ἄνωθεν εὐλογίαν ἐπ' αὐτὸν καταφέρειν, ἀρχὴ καὶ τύπος καὶ ὁδὸς τοῦ πράγματος γέγονεν ἡμῖν οἰκονομικῶς.—(B f. 90 b) Εἶτα ὅποι ποτὲ προέβη τὸ θαῦμα; Κατεκορέσθη πληθὺς ἀνδρῶν οὐκ ὀλίγων, εἰς πέντε γὰρ ἐξετείνετο χιλιάδας, χωρὶς γυναικῶν καὶ παιδίων. Τοῦτο γὰρ ἕτερός τις τῶν ἁγίων εὐαγγελιστῶν τοῖς ἑαυτοῦ προσεπήνεγκε λόγοις. Καὶ οὐ μέχρι τούτου τὸ παράδοξον· ἀλλὰ γὰρ καὶ κόφινοι συνελέγησαν κλασμάτων δώδεκα. Καὶ τί τὸ ἐντεῦθεν; Πληροφορία σαφὴς, ὅτι τῆς φιλοξενίας τὸ χρῆμα, πλουσίαν ἔχει παρὰ Θεοῦ τὴν ἀντέκτισιν. Ἔξεστι δὲ καὶ ἰδεῖν τοῖς ἀρχαιοτέροις θαύμασι τὰ νέα συμβαίνοντα, καὶ μιᾶς ὄντα καὶ τῆς αὐτῆς δυνάμεως ἐνεργήματα. Ἔβρεξεν ἐν ἐρήμῳ τὸ μάννα τοῖς ἐξ Ἰσραὴλ· « Ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς· ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος, » κατὰ τὸ ἐν Ψαλμοῖς ὑμνούμενον. Ἀλλ' ἰδοὺ πάλιν ἐν ἐρήμῳ τοῖς ἐν ἐνδείᾳ τροφῆς κεχορήγηκεν ἀφθόνως, οἷον ἐξ οὐρανοῦ καθεὶς αὐτήν. Τὸ γὰρ πολυπλασιάσαι τὸ βραχὺ, καὶ οἷον ἐκ τοῦ μηδενὸς τὴν οὕτω πολλὴν ἀποῤῥῖψαι πληθὺν, οὐκ ἀπεικὸς ἂν εἴη τῷ πρώτῳ σημείῳ.

A nedictionem postulans; verumtamen hoc sapienter nostri causa faciebat, cum alioquin ipse omnia impleat, et sit superna ac Patris bona voluntas. Sed ut nos discamus, mensæ initio, quem panem fracturi sumus, Deo offerri a nobis debere, supinis veluti impositum manibus, ut benedictionem super eum desursum impetremus; typus ipse et rei gerendæ trames nobis dispensativa ratione factus est. —Deinde quo evasit demum miraculum? Satiata fuit non paucorum hominum multitudo; nam quinque millium numerum exæquabant, præter mulieres ac parvulos. Hoc enim sanctorum evangelistarum alius narrationi suæ adjecit [61]. Neque hic substitit miraculum; sed et fragmentis repleti fuere cophini duodecim. Quid inde? Manifestum hoc argumentum B est, liberalitatis virtutem a Deo uberem referre remunerationem. Licet autem animadvertere, quomodo cum antiquis prodigiis nova conspirent, et unius ejusdemque potentiæ opera sint. Pluit in deserto manna Israelis filiis: « Panem cœli dedit eis, panem angelorum manducavit homo, » prout in Psalmis canitur [62]; sed ecce rursus in deserto indigentibus cibo, large 233 subvenit tanquam cœlo illum demittens. Namque exiguum multiplicare et veluti ex nihilo tantam alere multitudinem, non est priori illo prodigio absimile.

Ἐπηρώτησεν αὐτοὺς λέγων· Τίνα με λέγουσιν οἱ ὄχλοι εἶναι; C

V. 18. *Interrogavit illos dicens: Quem me dicunt esse turbæ?*

(A f. 135 b) Πρῶτον ἐκεῖνο καὶ πρό γε τῶν ἄλλων ἄξιον ἰδεῖν, τί τὸ κεκληκὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐπὶ τοῦτο δραμεῖν, καὶ προτεῖναι τοῖς ἁγίοις ἀποστόλοις τὴν πεῦσιν, ἧγουν τὴν ἐρώτησιν. Οὐδὲν γὰρ ἔξω τοῦ καιροῦ καὶ τοῦ καθήκοντος λόγου, καὶ λαλεῖ καὶ ἐργάζεται. Τί οὖν ἄρα φαμέν; Ἔβρεξεν ἐν ἐρήμῳ τοὺς ὄχλους οὐκ εὐαριθμήτους ὄντας ἄρτοις πέντε, συνδιαθρύψας ἰχθύδια δύο· πεπλεόνακε δὲ οὕτως τὰ ἐκ μηδενὸς, ὥστε καὶ κλασμάτων ληφθῆναι κοφίνους δώδεκα. Κατεπλήττοντο τοίνυν ὁμοῦ τοῖς ὄχλοις οἱ μακάριοι μαθηταὶ καὶ Θεὸν ὄντα καὶ Θεοῦ Υἱὸν κατὰ ἀλήθειαν, δι' αὐτῶν τεθέανται τῶν κατωρθωμένων. Εἶτα τῶν ὄχλων ἀποφοιτήσας, καὶ γενόμενος καταμόνας, εἰς προσευχὰς συνετείνετο, τύπον D ἡμῖν ἑαυτὸν καὶ κατὰ τοῦτο τιθεὶς, μᾶλλον δὲ διδασκαλικῶν μαθημάτων εὐτυχίαν διδάσκων τοὺς μαθητάς. Δεῖ γὰρ, οἶμαι, τοὺς λαῶν προεστηκότας, καὶ καθηγεῖσθαι λαχόντας τῶν αὐτοῦ θρεμμάτων, ἐν πράγμασιν ἀναγκαίοις εἶναι διὰ παντὸς, κἀκεῖνα δρῶντας ὁρᾶσθαι, τὰ ἐφ' οἷς ἥδεται Θεός. Καὶ τοῦτο εἰδὼς ὁ θεσπέσιος Παῦλος· « Ἀδιαλείπτως προσεύχεσθε, » φησίν. Οὐκοῦν ὁ μὲν τῶν ὅλων Σωτὴρ καὶ Κύριος, τύπον ἑαυτὸν, ὡς ἔφην, πολιτείας ἁγιοπρεποῦς ἐποιεῖτο τοῖς μαθηταῖς, καταμόνας προσευχόμενος μετὰ μόνων αὐτῶν. Ἀλλ' ἦν εἰκὸς θορυβεῖν τὸ πρᾶγμα τοὺς μαθητάς· ἑώρων γὰρ ἀνθρωπίνως εὐχόμενον, ὃν χθὲς τεθέανται θαυματουρ-

Primo ac præ cæteris cognosci dignum est, quid Dominum nostrum Jesum Christum ad hoc permoverit, ut ita sanctos apostolos interrogaret. Nihil enim intempestivum aut sine idonea ratione loquitur aut agit. Quid ergo dicimus? Paverat in deserto innumerabilem turbam quinque panibus, duos admiscens pisciculos. Quæ autem prope nihil erant adeo creverant, ut reliquiarum cophini duodecim reportarentur. Obstupuerant itaque una cum turbis beati discipuli, illumque Deum esse vereque Dei Filium factis ipsis perviderant. Deinde a populo secedens, solitarius orationi instabat, seipsum nobis exemplar hac quoque re exhibens, imo vero excellentem magisterii artem discipulos docens. Existimo enim præsules populorum, et qui Christi gregi ductando electi sunt, necessariis semper negotiis occupari debere, atque id constanter agere quod Deo gratum est. Quod probe sciens divus Paulus aiebat: « Semper orate [63]. » Ergo omnium Servator ac Dominus semet typum, ut dixi, vitæ sancto homine dignæ discipulis præbebat, solitarius orans cum ipsis solis. Verum ea res discipulorum animis perturbandis par erat: videbant enim humano more orantem, quem heri prodigia Deo digna edentem spectaverant. Non est ergo incredibile dixisse eos fortasse intra se: Quem hunc esse existimabimus? Num Deum an hominem, ac

[61] Matth. xv, 38. [62] Psal. lxxxvii, 25.

Digitized by Google

verint unum de sanctis apud nos prophetis? Sane miracula edit tanquam Deus, attamen indignum naturali Deo est orare. Quenam aut quanam re indiget Deus? Ut ergo cogitationum hujusmodi tumultum compesceret, quæstionem hanc commovet; non quod aliquid eorum ignoraret, quæ de se ab exteris dicebantur, **234** sed ut potius suos a multorum opinione retraheret, et rectam ipsis fidem imprimeret. « Quemnam itaque, ait, turbæ me esse dicunt? » — Viden' interrogationis solertiam? Non illico dixit: « Quem vos me esse dicitis? » sed magis eos ad externam famam refert, ut hanc mox refutans, et improbabilem convincens, eos deinde in veram sententiam deduceret, quod et reapse factum est. Nam referentibus populi opinionem discipulis, ait Jesus: « Vos autem quem me esse dicitis? » Quam solerter dictum est *vos!* Ita nimirum discipulos ab aliis secernit, quominus illorum opinionem sectentur, nec humilem de eo sententiam gerant. Vos, inquit, selecti, decreto meo ad apostolatum vocati, prodigiorum meorum testes, « quem me esse dicitis? »

οἱ ἐξειλεγμένοι, οἱ ψήφῳ τῇ παρ' ἐμοῦ κεκλημένοι μάρτυρες, « τίνα με εἶναί φατε; »

Erumpit ecce præ cæteris Petrus, et universi collegii fit os, plenaque Dei amore verba pronuntiat, atque accuratam fidei confessionem facit dicens, eum esse Christum Dei. Citra dubium loquitur discipulus; non enim dicit eum simpliciter Christum sed Christum Dei. Plurimi enim per tempora exstiterant, qui utpote a Deo uncti, dicti fuerant christi: alii enim ut reges, alii ut prophetæ fierent, uncti fuerant; alii denique, nempe nos, accepta ab omnium nostrum Servatore Christo redemptione, et sancto Spiritu uncti, christi appellationem contraximus. Dictum est itaque Psalmistæ voce de antiquioribus: « Nolite tangere christos meos, et in prophetis meis nolite malignari [84]. » De nobis autem Habacuci voce: « Egressus es in salutem populi tui, ut salves christos tuos [85]. » Ergo plurimi christi; sic autem ex re ipsa vocitati fuere; sed unus solusque ille Patris Dei: non quia nos christi simus ab alio potius quolibet quam a Deo uncti; sed quia ille solus proprium habet in cœlis Patrem. Constat igitur a Petro reliqua multitudine separatum Jesum, relatum fuisse ad Patrem, ceu ipsius solius proprium. Nam Deus naturaliter exsistens, et ex Deo Patre singulariter effulgens unigenitum **235** ipsius Verbum, caro factum est secundum Scripturas. Sed illud necesse est cognoscere, quod nempe in Matthæi Scriptura beatum discipulum invenimus dicentem: « Tu es Christus Filius Dei vivi [86]. » Breviaqs autem veluti incarnationis mysterium sapientissimus Lucas, pari quidem sententia est, sed tamen paucioribus ver-

γοῦντα θεοπρεπῶς· οὐδὲν οὖν ἄρα τὸ ἀπεικὸς. ἐκεῖνό που τάχα πρὸς ἑαυτοὺς εἰπεῖν, τίνα τοῦτον εἶναι νομίσομεν; ἆρα Θεὸν, ἢ ἄνθρωπον, καὶ ὡς ἕνα τῶν καθ' ἡμᾶς ἡγοῦν τῶν ἁγίων προφητῶν; Θαυματουργεῖ μὲν γὰρ, ὡς Θεὸς, ἔστι δὲ ἀνάρμοστον αὐτῷ κατὰ φύσιν Θεῷ τὸ προσεύχεσθαι. Τίνος γὰρ ὅλως δεῖται Θεός; Ἵνα τοίνυν τὸν τῶν τοιούτων ἐννοιῶν ἀποσοβήσῃ θόρυβον, ποιεῖται τὴν πεῦσιν· οὐδὲν μὲν ἠγνοηκὼς τῶν περὶ αὐτοῦ θρυλλουμένων παρά γε τοῖς ἔξω· ἀποφέρων δὲ μᾶλλον τῆς τῶν πολλῶν ὑπονοίας, καὶ ὀρθὴν αὐτοῖς τὴν πίστιν ἐμφυτεῦσαι θέλων. « Τίνα δή οὖν, φησὶν, οἱ ὄχλοι με λέγουσιν εἶναι; » — (B f. 91, C f. 126 b) Ὁρᾷς τὸ τῆς πεύσεως εὐτύχημες; Οὐκ εὐθὺς εἶπεν· « Ὑμεῖς τίνα με λέγετε εἶναι; » Ἀποφέρει δὲ μᾶλλον, ἐπὶ τὸν τῶν ἔξω θρύλλον· ἵν' ἐκβαλὼν αὐτὸν καὶ ἀδόκιμον ἀποφήνας, μετασοβήσῃ λοιπὸν εἰς δόξαν ἀληθινὴν, ὃ δὴ καὶ πέπρακται. Εἰπόντων γὰρ τῶν μαθητῶν τὴν τοῦ ὄχλου δόξαν, ἔφη αὐτοῖς· « Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; Ὦ πῶς ἐξαίρετον τὸ, *ὑμεῖς!* Ἔξω τίθησιν αὐτοὺς τῶν ἄλλων, ἵνα καὶ τὰς ἐκείνων φύγωσιν ὑπονοίας, καὶ μὴ μικρὰν ἔχωσι περὶ αὐτοῦ τὴν δόξαν. Ὑμεῖς, φησὶν, πρὸς ἀποστολὴν, οἱ τῶν ἐμῶν τερατουργημάτων

Προπηδᾷ δὲ πάλιν τῶν ἄλλων ὁ Πέτρος, καὶ πανδὸς τοῦ χοροῦ γίνεται στόμα, καὶ τὰς φιλοθέους ἐρεύγεται φωνάς· ἀκριβῆ δὲ τῆς εἰς αὐτὸν πίστεως ἀπολογίαν ἐκφέρει, λέγων, Τὸν Χριστὸν τοῦ Θεοῦ. Ἀσφαλὴς ὁ μαθητής· οὐ γάρ τοι φησὶν ἁπλῶς Χριστὸν αὐτὸν εἶναι, τοῦ Θεοῦ τὸν Χριστὸν δὲ μᾶλλον. Πλεῖστοι μὲν γὰρ οἱ, ὡς ἀπό γε τοῦ κεχρῖσθαι παρὰ Θεοῦ, κατὰ διαφόρους τρόπους ὠνομασμένοι χριστοί· οἱ μὲν γὰρ ἐχρίσθησαν εἰς βασιλέας, οἱ δὲ εἰς προφήτας, οἱ δὲ καὶ τὴν δι' αὐτοῦ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ λαβόντες λύτρωσιν, τουτέστιν ἡμεῖς, καὶ τῷ ἁγίῳ Πνεύματι κατακεχρισμένοι, τὴν τοῦ χριστοῦ κλῆσιν ἐσχήκαμεν. Εἴρηται γοῦν διὰ τῆς τοῦ Ψάλλοντος φωνῆς περὶ τῶν ἀρχαιοτέρων· « Μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε. » Ἡμῶν δὲ πέρι διὰ φωνῆς Ἀβακούμ· « Ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου, τοῦ σῶσαι τοὺς χριστούς σου. » Οὐκοῦν πλεῖστοι μὲν οἱ χριστοὶ, κέκληνται δὲ οὕτως ἐπὶ τοῦ πράγματος· εἷς δὲ καὶ μόνος ὁ τοῦ Θεοῦ καὶ Πατρός· οὐχ ὡς ἡμῶν μὲν ὄντων χριστῶν, καὶ οὐ Θεοῦ μᾶλλον, ἀλλ' ἑτέρου τινός· ἀλλ' ὡς αὐτοῦ καὶ μόνου, ἴδιον ἔχοντος Πατέρα, τὸν ἐν τοῖς οὐρανοῖς. Δῆλον οὖν ἐστιν ὅτι τῆς ἑτέρων πληθύος ὑπεξαίρων αὐτὸν, προσενέμηκε τῷ Πατρὶ, ὡς ὄντα μόνον αὐτοῦ. Θεὸς γὰρ ὢν φύσει, καὶ ἐκ Θεοῦ Πατρὸς ἐλλάμψας ἐξαιρέτως ὁ μονογενὴς αὐτοῦ Λόγος, γέγονε σὰρξ (1), κατὰ τὸ γεγραμμένον· ἐκεῖνό γε μὴν ἀναγκαῖον εἰδέναι· ἐν γὰρ τῇ τοῦ Ματθαίου συγγραφῇ, τὸν μακάριον μαθητὴν εὑρήσομεν εἰπόντα· « Σὺ εἶ ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. » Ἐπιτεμὼν δὲ ὥσπερ

[84] I Thess. v, 17. [85] Psal. cv, 15. [86] Habac. III, 13. [86] Matth. xvi, 16.

(1) Adhuc contra Arianos sine pausa Cyrillus.

Digitized by Google

τὴν οἰκονομίαν ὁ σοφώτατος Λουκᾶς, συμφέρεται μὲν κατὰ τὰς ἐννοίας, βραχυλογήσας δέ φησι, εἰπεῖν αὐτὸν τὸν Χριστὸν τοῦ Θεοῦ· ἀλλ' ἐνταῦθα μὲν ὁ παρὰ τοῦ Σωτῆρος γεγονὼς πρὸς αὐτὸν, σεσίγηται λόγος. Ἐν δὲ τῷ Ματθαίῳ πάλιν εἰπόντα σαφῶς εὑρήσομεν· « Μακάριος εἶ, Σίμων Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς. » Ἐστὶν οὖν ὁμολογουμένως θεοδίδακτος ὁ μαθητὴς, εἰς ἐπίγνωσιν αὐτὸν τοῦ κατὰ Χριστὸν μυστηρίου ποδηγήσαντος αὐτοῦ τοῦ Πατρός. Σημειωτέον δὲ ὡς ἕνα τὸν Χριστὸν ὁμολογεῖ ὁ σοφώτατος Πέτρος, διὰ τοὺς εἰς δύο τέμνειν τολμῶντας Χριστοὺς, τὸν Ἐμμανουὴλ (1). Οὐ γὰρ ἤρετο αὐτοὺς λέγων· Τίνα λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν τοῦ Θεοῦ Λόγον, ἀλλὰ « Τὸν Υἱὸν τοῦ ἀνθρώπου· » καὶ τοῦτον ὁ Πέτρος; ὡμολόγει εἶναι τὸν Χριστὸν τοῦ Θεοῦ. Πῶς δὲ ἀξιοθαύμαστος ἡ ὁμολογία Πέτρου, εἰ μηδὲν ἔχοι τὸ βαθὺ καὶ κεκρυμμένον, καὶ οἷον ἄπτωτον τοῖς πολλοῖς; Τί γὰρ ὅλως ἀπεκάλυψεν αὐτῷ ὁ Θεὸς καὶ Πατήρ; Ὅτι ἄνθρωπός ἐστι; Τοῦτο θεοδίδακτόν ἐστιν μυστήριον; Ἐπὶ τούτῳ τεθαύμασται, καὶ τῶν οὕτως ἐξαιρέτων ἠξιώθη γερῶν; Ἤκουσε γάρ· « Μακάριος εἶ, Σίμων Βὰρ Ἰωνᾶ. » Ἀλλὰ τεθαύμασται, καὶ σφόδρα δικαίως. Διὰ ποίαν αἰτίαν; Ὅν γὰρ τεθέαται ἐν εἴδει τῷ καθ' ἡμᾶς, τοῦτον πεπίστευκεν εἶναι τὸν Χριστὸν τοῦ Πατρὸς, τουτέστι σαρκωθέντα καὶ ἐνανθρωπήσαντα τὸν ἐκ τῆς οὐσίας αὐτοῦ προελθόντα Λόγον.

bis utens, dixit ipsum Christum Dei; reticet autem Servatoris ad Petrum orationem. Apud Matthæum vero dicentem Jesum comperiemus: « Beatus es, Simon Bar-Jonæ, quia caro et sanguis non revelavit tibi, sed Pater meus qui in cœlis est. » Sine dubio itaque divinitus edoctus fuit discipulus, Patre ipso deducente eumdem ad Christi mysterium cognoscendum. Adnotandum insuper, sapientissimum Petrum, unum confiteri Christum, propter eos qui in duos dividere Christos Emmanuelem audent. Non enim interrogavit discipulos dicens: Quem dicunt homines esse Verbum Dei, sed « Filium hominis. » Porro hunc Petrus confessus est Christum esse Dei. Cur vero Petri confessionem miraremur, si nihil haberet profundum atque reconditum, ac cæteris veluti invisibile? Nam quid omnino Pater Deus ei revelavit? Num quod homo esset? Ergone hoc erat a Deo revelatum mysterium? Hujusne rei causa Petrum admiramur, et ipse tam singulari præmio dignus evasit? Sibi enim dictum audivit: « Beatus es, Simon Bar-Jonæ. » Atqui reapse dignus summa admiratione est. Quamobrem? Quia quem in forma nostra cernebat, hunc credidit esse Christum Patris, id est incarnatum et humanatum, quod ex ipso prodierat, Verbum.

Ὁ δὲ ἐπιτιμήσας αὐτοῖς, παρήγγειλε μηδενὶ εἰπεῖν τοῦτο.

V. 21. *At ille increpans eos, præcepit ne cui dicerent hoc.*

(A f. 136 b) Ὁμολογήσαντος τὴν πίστιν τοῦ μαθητοῦ, ἐπετίμησεν αὐτοῖς ὁ Κύριος, ἵνα μηδενὶ εἴπωσιν ὅτι αὐτός ἐστιν ὁ Χριστός. Καί τοι πῶς μᾶλλον ἔδει τοὺς μαθητὰς τοῦ ἁπανταχόσε κηρύττειν αὐτόν; Τοῦτο γὰρ ἦν ἔργον τῶν παρ' αὐτοῦ προχειρισμένων εἰς ἀποστολήν· ἀλλ' ὡς φησι τὸ Γράμμα τὸ ἱερὸν, καιρὸς παντὶ πράγματι· ἔδει τοῖς παρ' ἑαυτοῦ κηρύγμασι ἀκολουθῆσαι τὰ λείποντα τοῖς ἤδη προτετελεσμένοις· τοῦτο δὲ ἦν ὁ σταυρὸς, τὸ πάθος, ὁ κατὰ σάρκα θάνατος, ἡ ἐκ νεκρῶν ἀνάστασις· τὸ μέγα καὶ ἐξαίσιον ἀληθῶς σημεῖον, δι' οὗ μεμαρτύρηται Θεὸς ὢν ἀληθινὸς, καὶ Υἱὸς κατὰ φύσιν τοῦ Θεοῦ καὶ Πατρὸς, ὁ Ἐμμανουήλ. Τὸ γὰρ ὅλως καταργῆσαι θάνατον, καὶ ἀνατρέψαι τὴν φθορὰν καὶ σκυλεῦσαι τὸν ᾅδην, καὶ καταλῦσαι τοῦ διαβόλου τὴν τυραννίδα, καὶ ἐκ μέσου ποιῆσαι τὴν ἁμαρτίαν, καὶ ἀνοῖξαι τοῖς ἐπὶ γῆς τὰς ἄνω πύλας, καὶ συνάψαι τὴν γῆν οὐρανῷ, Θεὸν ὄντα κατὰ ἀλήθειαν ἀπέφηνεν αὐτόν. Οὐκοῦν ἐν καιρῷ κελεύει σιγῆσαι τὸ μυστήριον, ἄχρις ἂν ὁ σύμπας τῆς οἰκονομίας λόγος, εἰς τὸ αὐτῷ πρέπον ἐξέλθῃ πέρας· τότε γὰρ ἐγηγερμένος ἐκ νεκρῶν, ἀπογυμνοῦσθαι τοῖς ἁπανταχόσε γῆς προστέταχε τὸ μυστήριον, προθεὶς ἅπασι τὴν ἐν πίστει δικαίωσιν, τὴν διὰ τοῦ ἁγίου βαπτίσματος κάθαρσιν· ἔφη γάρ· « Ἐδόθη μοι πᾶσα ἐξ-

Cum fidem suam discipulus fuisset confessus, comminatus est illis Dominus, ne se esse Christum cuipiam dicerent. Attamen quidni potius oportebat discipulos **236** ubique ipsum prædicare? Hoc enim ad apostolatum designatorum officium erat. Verumtamen, ut sacræ Litteræ aiunt, omni rei suum tempus est [87]. Sciebat prædicationem suam subsecutura ea quæ priorum complementa forent. Erant autem hæc, crux, passio, mors in carne, resurrectio e mortuis, magnum hoc videlicet vereque eximium prodigium, quo Deus verus comprobatur, naturalisque Dei Patris Filius, Emmanuel. Namque omnino mortem destruere, corruptionem annihilare, inferos spoliare, diaboli tyrannidem abolere, aperire terrestribus supernas januas, terram cum cœlo copulare, hæc, inquam, Jesum Deum verum esse demonstrarunt. Ergo ad tempus sileri mysterium jubet, donec universa humanationis ratio ac cursus ad congruum sibi exitum perduceretur. Tunc enim e mortuis resuscitatus, revelari ubique terrarum jussit mysterium, proponens cunctis in fide justificationem, et per sanctum baptisma purgationem. Dixit enim: « Data est mihi omnis potestas in cœlo et in terra: euntes docete omnes gentes, in nomine Patris et Filii et

[87] Eccle. III, 1.

(1) Nestorii hæresim Cyrillus sugillat, adversus quam tot aliis scriptis pugnavit.

Digitized by Google

Spiritus sancti baptizantes, monentes eas observare omnia quæcumque vobis præcepi. Et ecce ego vobiscum sum omnibus diebus usque in finem [88]. » Nobiscum enim reapse est, et in nobis per sanctum Spiritum, atque in omnium animabus inhabitat Dominus.

A ουσία, ἔν τε οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν. Καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας. » Μεθ' ἡμῶν γάρ ἐστιν καὶ ἐν ἡμῖν διὰ τοῦ ἁγίου Πνεύματος, καὶ ταῖς ἁπάντων ψυχαῖς; ἐναυλίζεται Κύριος; (1).

V. 26. *Nam qui me erubuerit*, etc.

Multa simul utilia, imo necessaria his verbis exsequitur. Primo quidem ostendit, fore ut eos omnino qui se suosque sermones erubuerint, par eventus corripiat. **237** Certe undenam nobis major alacritas accidat? Nam si judex quosdam reveretur, eeu ipsis obsequii præstiti mercedem debens, vel amoris præmia, vel benevolentiæ retributionem : cur B sine ulla dubitatione non dicemus fore ut in æternis honoribus gloriaque versentur ii, qui adeo splendida consequentur bona? Deinde timorem quoque illis injicit, se cœlo esse descensurum, haud jam vili illa priore cum specie, et conditionis nostræ humilitate, sed cum Patris majestate, stipantibus angelis. Ergo gravissimum est et exitiosum, damnari nos eeu pusillanimitatis atque ignaviæ reos a superveniente cœlitus judice, et angelicis ordinibus circumstantibus. Magnum quid autem et admiratione dignum et summam præbens felicitatem, si quis exantlatis suis laboribus lætari possit, et sudoris præmia sperare. Laudabuntur enim hi, dicente Christo : « Venite, benedicti Patris mei, possidete paratum vobis regnum jam inde a mundi C constitutione [89]. »

Ὃς γὰρ ἂν ἐπαισχυνθῇ με, κ. τ. λ.

(B f. 92) Πολλὰ κατὰ ταὐτὸν ἐργάζεται χρήσιμά τε καὶ ἀναγκαῖα διὰ τούτων τῶν λόγων. Πρῶτον μὲν δείκνυσιν ὅτι πάντη τε καὶ πάντως ἥψεται τοῖς αἰσχυνομένοις αὐτὸν καὶ τοὺς αὐτοῦ λόγους τὸ τῶν ἴσων τυχεῖν. Τί δ' ἂν γένοιτο ἴσον εἰς εὐθυμίας δύναμιν; Εἰ γὰρ ἐπαισχύνεταί τινας ὁ κριτής, ὡς ἐποφείλων αὐτοῖς τὸν τῆς εὐπειθείας μισθόν, καὶ τῆς εἰς αὐτὸν ἀγάπης τὰ γέρα, καὶ τὸν τῆς εὐνοίας στέφανον, πῶς οὐκ ἔστιν ἀναμφιλόγως εἰπεῖν, ὅτι πάντη τε καὶ πάντως ἐν ἀτελευτήτοις ἔσονται τιμαῖς τε καὶ δόξαις οἱ τῶν οὕτω λαμπρῶν τετυχηκότες ἀγαθῶν; Εἶτα πρὸς τούτοις φόβον αὐτοῖ; ἐντίκτει, καταβήσεσθαι λέγων ἐξ οὐρανοῦ, οὐκ ἐν σμικροπρεπείᾳ τῇ πρώτῃ καὶ ὑφέσει τῇ καθ' ἡμᾶς, ἀλλ' ἐν δόξῃ τῇ τοῦ Πατρὸς, δορυφορούντων ἀγγέλων. Οὐκοῦν παγχάλεπον καὶ ὀλέθρου μεστὸν τὸ καταγνωσθῆναι μὲν ἐπὶ δειλίᾳ τε καὶ ἀφιλεργίᾳ, καταφρετήσαντος ἄνωθεν τοῦ κριτοῦ, καὶ ἀγγελικῶν ταγμάτων περιεστηκότων. Μέγα δὲ καὶ παντὸς θαύματος ἄξιον, καὶ τῆς εἰς λῆξιν εὐημερίας πρόξενον, τὸ ἐπὶ τοῖς ἤδη προπεπονημένοις χαίρειν αὐτοὺς, καὶ τὸ προσδοκᾷν τῶν ἱδρώτων τὰς ἀμοιβάς. Ἐπαινεθήσονται γὰρ οἱ τοιοῦτοι, Χριστοῦ λέγοντος· « Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.

V. 27. *Dico autem vobis : sunt quidam de hic stantibus*, etc.

Cum nondum ex alto virtutem accepissent discipuli, congruum erat eos humanis infirmitatibus laborare, Christique verba apud se reputantes, dicere : Ecquis semet ipse negabit? vel quomodo, si animam suam amiserit, denuo inveniet eam? Quodnam vero hæc damna passis par præmium erit? Ut igitur ab his cogitationibus eos avocaret, atque ad animi robur transferret, eventuræ ipsis felicitatis cupiditatem injiciens ait : « Dico autem vobis, sunt quidam de hic stantibus, » et reliqua. Regnum porro Dei ipsam dicit gloriæ visionem, in qua ipsemet coram spectabitur, quo

Λέγω δὲ ὑμῖν· εἰσί τινες τῶν ὧδε ἑστηκότων, κ. τ. λ.

(B f. 92, C f. 127, F f. 811 b) Οὕπω τὴν ἐξ ὕψους δύναμιν ἐσχηκότας τοὺς μαθητὰς, εἰκὸς ἦν ἀνθρωπίναις ἀσθενείαις περιπεσεῖν, καί τι τοιοῦτον περὶ αὐτοῦ ἐννενοηκότας εἰπεῖν· Πῶς ἀρνήσεταί τις ἑαυτόν; ἢ πῶς ἀπολέσας τὴν ἑαυτοῦ ψυχὴν εὑρήσει πάλιν αὐτήν; τί δὲ τοῖς τοῦτο παθοῦσι τὸ ἰσοστατοῦν ἔσται γέρας; Ἵνα τοίνυν τῶν τοιούτων αὐτοὺς ἀποστήσῃ λογισμῶν, καὶ οἷον μεταχαλκεύσῃ πρὸς εὐανδρίαν, τῆς ἐσομένης αὐτῆς εὐκλείας ἐπιθυμίαν ἐντεκών φησι· « Λέγω δὲ ὑμῖν, εἰσί τινες τῶν ὧδε ἑστηκότων, » καὶ τὰ ἑξῆς. Βασιλείαν δὲ Θεοῦ αὐτὴν τὴν θέαν λέγει τῆς δόξης, ἐν ᾗ καὶ αὐτὸς ὀφθήσεται,

[88] Matth. xxviii, 18. [89] Matth. xxv, 34.

(1) Ad v. 22 : *Oportet Filium hominis multa pati*, etc., sunt apud D. Thomæ catenam : « Cyrillus. Ducum magnanimi strenuos in armis ad audaciam provocant, non solum eis honores pollicendo victoriæ, sed etiam ipsum pati generosum esse fatentes. Tale quid videmus docere Dominum Jesum Christum : prædixerat enim apostolis quod oporteret eum perpeti Judæorum calumnias, occidi, et tertia die resurgere. Ne igitur putarent, Christum quidem passurum persecutiones pro vita mundi, eis vero licere lentam vitam ducere, ostendit quod necessario per aspera certamina gradi decet cupientes ejus gloriam obtinere; unde dicitur (v. 23) : *Dicebat autem ad omnes*, » etc.

Item ad v. 25 apud D. Thomæ catenam, nec non paulo melius apud Corderium : « Cyrillus. Quod autem Christo in charitate placere, incomparabiliter præstat mundi splendoribus atque deliciis, declarat dicens : *Quid enim prodest* » etc.

Digitized by Google

καθ' ὃν καιρὸν ἐπιλάμψει τοῖς ἐπὶ γῆς. Ἥξει γὰρ ἐν δόξῃ, καὶ τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ οὐκ ἐν σμικροπρεπείᾳ τῇ καθ' ἡμᾶς· ταῦτα ὑποσχόμενος ἀνεισιν εἰς τὸ ὄρος, τρεῖς αὐτῶν τοὺς ἀπολέκτους ἔχων. — (E f. 344) Δεικνὺς ὅτι χθαμαλὸς νοῦς οὐκ ἂν γένοιτο πρὸς θεωρίαν ἐπιτήδειος, ἀλλ' ὁ τῶν γηΐνων κατεπαρθεὶς καὶ ὑπεράνω πάντων τῶν κατὰ σῶμα γενόμενος, καὶ ἔξω φροντίδων βιωτικῶν κατ' ἰδίαν ἐν ἡσυχίᾳ καταστὰς, καὶ τῆς τῶν παθῶν ὑψηλότερος καταδυναστείας χρηματίσας. Εἶτα μεταπλάττεται πρὸς ἐξαίρετόν τινα καὶ θεοπρεπῆ λαμπρότητα, ὥστε καὶ ἱματισμὸν αὐτοῦ τῇ τοῦ φωτὸς προσβολῇ διαλάμψαι, καὶ ὅσον ἀπαστράψαι δοκεῖν. Εἶτα Μωϋσῆς καὶ Ἠλίας περιεστηκότες τὸν Ἰησοῦν προσελάλουν ἀλλήλοις τὴν ἔξοδον αὐτοῦ, ἣν ἔμελλε πληροῦν, φησὶν, ἐν Ἱερουσαλὴμ, τουτέστι τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ μυστήριον, καὶ τὸ ἐπὶ τοῦ σταυροῦ σωτήριον πάθος. Καὶ γάρ ἐστιν ἀληθὲς, ὅτι ὁ διὰ Μωϋσέως νόμος καὶ τῶν ἁγίων προφητῶν ὁ λόγος, τὸ Χριστοῦ μυστήριον προανέδειξαν, ὁ μὲν ἐν τύποις καὶ σκιαῖς, μονονουχὶ καθάπερ ἐν πίνακι καταγράφων αὐτό· οἱ δὲ πολυτρόπως προηγορευκότες, ὡς καὶ ὀφθήσεται κατὰ καιροὺς ἐν εἴδει τῷ καθ' ἡμᾶς, καὶ τῆς πάντων ἕνεκεν σωτηρίας οὐ παραιτήσεται τὸν ἐπὶ ξύλου θάνατον. Οὐκοῦν ἡ Μωϋσέως καὶ Ἠλιοῦ παράστασις, καὶ τὸ προσλαλεῖν ἀλλήλοις αὐτοὺς, οἰκονομία τις ἦν, εὖ μάλα δεικνῦσα, δορυφορούμενον μὲν ὑπὸ νόμου καὶ προφητῶν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ὡς καὶ νόμου καὶ προφητῶν Δεσπότην, προδειχθέντα δὲ παρ' αὐτῶν, δι' ὧν ἀλλήλοις συνῳδὰ προεκήρυττον. Οὐ γὰρ ἀσύμβατα τοῖς δι' τοῦ νόμου καὶ τῶν προφητῶν· καὶ τοῦτο, οἶμαι, ἔστι τὸ ἀλλήλοις προσλαλεῖν Μωϋσέα τὸν ἱερώτατον, καὶ τὸν τῶν προφητῶν πανάριστον Ἠλίαν.

tempore scilicet terræ incolis illucesceat. Veniet enim cum Dei Patris gloria, non vero in humili nostra specie. His promissis, scandit in montem, tres habens in comitatu delectos discipulos. — Ut ostendat depressam humi mentem minime aptam contemplationi fore; sed illam potius quæ cunctis superior sit corporalibus rebus, et extra mundanas curas seorsum cum silentio constiterit, quæ denique passionum tyrannide celsior fuerit. Deinde semet transfigurat in eximium quemdam Deoque congruum **238** splendorem, ita ut etiam vestis ejus luce aspersa fulgeret, ac veluti radiis scintillare videretur. Mox Moyses atque Elias Jesum circumstantes loquebantur invicem de excessu ejus, quem erat, inquit, Hierosolymis completurus, id est de assumptæ carnis mysterio, et de salutari in cruce passione. Vere enim in lege sua Moyses, nec non sanctorum prophetarum litteræ, Christi mysterium præmonstrarunt; ille quidem umbris atque figuris, tanquam pene in tabula illud depingens, hi autem aliis aliisque modis prænuntiarunt, ipsum et in forma nostra statuto tempore visum iri, et pro omnium salute necem in ligno perferre non recusaturum. Itaque Moysis atque Eliæ præsentia, atque colloquium, prudente quodam consilio contingebat, ut præclare demonstraret, stipatum quidem a lege prophetisque Dominum nostrum Jesum Christum, utpote legis ac prophetarum Dominum, ab ipsis vero prænonstratum, quatenus consona de eo prædicaverant. Non enim a dictis in lege et prophetis discrepabant. Atque hoc fuisse colloquium sacratissimi Moysis cum præstantissimo propheta Elia puto.

Ἀλλ' οἱ μὲν μακάριοι μαθηταὶ βραχύ πως ἀπονοστάζουσι, τῇ προσευχῇ σχολάζοντος τοῦ Χριστοῦ· εἶτα διαγρηγορήσαντες, θεωροὶ γεγόνασι τῆς οὕτω σεπτῆς καὶ παραδόξου μεταβολῆς· ἦγουν ἀνενεγκόντες τοῦ κάρου, ἐγίνωσκον ἀκριβῶς τὴν ἀλήθειαν· καὶ οἰηθεὶς λοιπὸν ἴσως ὁ θεσπέσιος Πέτρος, ὅτι τάχα ἔνεστιν ὁ καιρὸς τῆς βασιλείας τοῦ Θεοῦ, ἀποδέχεται μὲν τὰς ἐν τῷ ὄρει διατριβὰς, σκηνὰς δὲ τρεῖς δεῖν γενέσθαι φησίν. Ἀλλ' οὐκ ᾔδει, φησὶν, ὃ λέγει· οὐ γὰρ ἦν καιρὸς τῆς συντελείας τοῦ αἰῶνος, καὶ τοῦ λαβεῖν τοὺς ἁγίους τῆς ἐπηγγελμένης ἐλπίδος τὴν μέθεξιν. Οὔτης οὖν ἐν ἀρχαῖς ἔτι τῆς οἰκονομίας, πῶς ἦν εἰκὸς καταλῆξαι τὸν Χριστὸν τῆς εἰς τὸν κόσμον ἀγάπης, ἀποφοιτήσαντα τοῦ παθεῖν ὑπὲρ αὐτοῦ; Σέσωκε γὰρ τὴν ὑπ' οὐρανὸν, καὶ αὐτὸν ὑπομείνας τὸν κατὰ σάρκα θάνατον, καὶ διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως καταργήσας αὐτόν. Οὐκ ᾔδει τοιγαροῦν ὁ Πέτρος, ὅπερ ἔφη.

Sed enim beati quidem discipuli parumper dormitant, Christo orationi operam dante: deinde experrecti, spectatores fiunt tam venerandæ ac mirabilis immutationis. Nempe sopore discusso veritatem agnoverunt. Putansque mox fortasse divus Petrus, tempus regni Dei adesse, vult quidem in monte habere stationes, tria tamen fieri debere tabernacula dicit. Atqui nesciebat, inquit Scriptura, quid diceret: nondum enim tempus consumendi mundi erat, neque recipiendæ a sanctis promissæ spei participationem. Cum ergo nonnisi initium esset sacræ dispensationis, cur oportuisset Christum, omisso suo erga mundum amore, passionem ejus causa subeundam recusare? Reapse enim orbem terrarum salvavit Christus patiens pro eo mortem, et hanc ipsam per suam a mortuis resurrectionem destruens. **239** Constat ergo Petrum sine rei sensu verba fecisse.

Ἐγένετο τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον.

V. 29. *Facta est species vultus ejus altera.*

(B f. 93 b) Ἐπειδὴ ἠκουον, ὅτι δεῖ ἀναστῆναι τὴν ἡμετέραν σάρκα, ποίῳ δὲ σχήματι ἄδηλον ἦν, ἵνα δῷ δεῖγμα τῆς μεταβολῆς, αὐτοῦ τὴν σάρκα μετέβαλεν, ἵνα ἡμῖν τὴν ἐλπίδα βεβαιώσῃ· μεταμορφοῦται τοιγαροῦν ἔμπροσθεν αὐτῶν. Πεπράχθαι δέ φαμεν τὴν

Quoniam audierant, fore quidem ut caro nostra resurgeret, quanam tamen figura nesciebant, ut ejus mutationis exemplum proponeret, carnem suam transfiguravit, ut spem nostram firmaret. Coram ipsis itaque transformatur. Factam

Digitized by Google

vero transfigurationem putamus, haud abjiciendo humani corporis formam, sed lucida quadam gloria illud ambiente, et vilissimam carnis speciem in nobiliorem aspectum mutando, juxta illud, « Seminatur in ignominia, surgit in gloria, » a divo Paulo præclare dictum [90]. Nunc enim corpus hoc caro nuda est, nullo honore vestita, nullo naturali decore ornata, sed nihil aliud, quam naturæ suæ ignobilitatem infirmitatemque habens. Verumtamen cum resurrectio fiet, transformatio quædam mirifica accidet, et gloriæ non tamen figuræ mutatio. Tunc enim corpus divini honoris vestitu jam splendescet. Fulgebunt quippe justi tanquam sol in regno Patris ejus, secundum Servatoris effatum [91]. Futuræ itaque illius gloriæ exemplum exhibebat discipulis demonstrata transfiguratio; quæ idcirco in corpore peracta fuit, ut sub mortalium oculorum visionem caderet, etiamsi illi splendoris nimietatem non pertulerunt.

μεταμόρφωσιν αὐτοῦ, οὐχὶ δή που τὸ σχῆμα τὸ ἀνθρώπινον ἀποβαλόντος τοῦ σώματος, ἀλλὰ δόξης τινὸς φωτοειδοῦς περιστελλούσης αὐτὸ, καὶ τὸν ἀτιμότατον τῆς σαρκὸς χαρακτῆρα μεταχρωννύσης ὥσπερ εἰς ὄψιν εὐκλεεστέραν· κατὰ τὸ, « Σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ, » παρὰ τοῦ θείου Παύλου καλῶς εἰρημένον. Νῦν μὲν γὰρ αὐτὸ τοῦτο σάρξ ἐστι γυμνὴ, οὐ δόξῃ τινὶ κατακεχρωσμένη, οὐ λαμπρότητι φυσικῇ κατηγλαϊσμένη, ψιλὴν δὲ καὶ μόνην τὴν ἐκ φύσεως ἀδοξίαν τε ὁμοῦ καὶ ἀσθένειαν ἔχουσα. Κατὰ δὲ τὸν τῆς ἀναστάσεως καιρὸν ἐξαλλαγή τις ἔσται θεοπρεπὴς, καὶ δόξης οὐ σχήματος μεταβολή. Θείας γὰρ δόξης ἐπιβλήμασι περιαστράψει λοιπόν· ἐκλάμψουσι γὰρ οἱ δίκαιοι καθάπερ ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς αὐτοῦ, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν. Ἐκείνης οὖν τῆς μελλούσης δόξης ὑπόδειγμα παρεδήλου ἡ παραδειχθεῖσα τοῖς μαθηταῖς μεταμόρφωσις· καὶ σωματικῶς ἐπεδείκνυτο πρὸς τὸ καὶ τοῖς θνητοῖς αὐτῶν εἰς θέαν ὑποπεσεῖν ὀφθαλμοῖς, εἰ καὶ τὴν ὑπερβολὴν οὐκ ἤνεγκαν τῆς λαμπρότητος.

V. 35. *Vox de nube facta est.*

Aliud quoque utile peractum fuit firmandæ erga Christum fidei tum discipulorum tum omnium nostrum. Namque ex nube superne, tanquam a Deo Patre, emissa vox fuit, dicens : « Hic est Filius meus dilectus, ipsum audite. » Dumque hæc vox fieret, inventus est, inquit Scriptura, Jesus stans solus. Præcipit ergo hunc magis audiri quam Moysen atque prophetas. Ne quis autem forte veritati calumniam struat, quasi Deus Moysen ab iis potius audiri mandaverit, caute adnotavit evangelista dicens, dum ea vox fieret, inventum esse solum **240** Jesum. Hunc ergo audiri Deus præcepit; namque ipse et legis et prophetarum complementum est; qui idcirco Judæis aiebat : « Si credideretis Moysi, utique et mihi credideretis; de me enim ille scripsit [92]. » Et Dei quidem Patris præclara et mirabilis vox fecerat; summo autem terrore correpti discipuli procumbunt in faciem : ut hinc etiam denuo cognoscamus, necessariam apprime terræ incolis Servatoris fuisse præsentiam et mediatricem operam, quæ videlicet per humanationem contigit. Nam nisi conditionem nostram subiisset unigenitus Dei Verbum, quis ex nobis venientem de cœlo Deum pertulisset? quis ineffabilem majestatem ejus, et mortalium nemini tolerabilem sustinuisset? Namque eum lucem inaccessibilem inhabitare Paulus dicit [93].

Φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης.

(B f. 95, F f. 817) Πέπρακταί τι καὶ ἕτερον χρήσιμον εἰς βεβαίωσιν τῆς ἐπ' αὐτῷ πίστεως τοῖς τε μαθηταῖς καὶ πᾶσιν ἡμῖν. Ἐκ νεφέλης γὰρ ἄνωθεν ὡς ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς κατεπέμφθη φωνὴ λέγουσα· « Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, αὐτοῦ ἀκούετε· » καὶ ἐν τῷ γενέσθαι τὴν φωνὴν, εὑρέθη, φησὶν, ὁ Ἰησοῦς ἐστὼς μόνος. Μωϋσέως δὲ καὶ προφητῶν μᾶλλον αὐτοῦ ἀκούειν ἐπιτάττει. Ἵνα δὲ μὴ συκοφαντῆται παρά τινων ἡ ἀλήθεια λεγόντων, ὅτι Μωϋσέως μᾶλλον ἀκούειν αὐτοὺς προστέταχεν, ἐπεσημήνατο ὁ εὐαγγελιστὴς λέγων, ὅτι ἐν τῷ γενέσθαι τὴν φωνὴν, εὑρέθη ὁ Ἰησοῦς μόνος. Αὐτοῦ τοιγαροῦν προστέταχεν ἀκούειν· καὶ γάρ ἐστιν αὐτὸς τέλος νόμου καὶ προφητῶν· διὸ καὶ πρὸς Ἰουδαίους ἔλεγεν· « Εἰ ἐπιστεύετε Μωϋσεῖ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. » Ἡ μὲν τοῦ Θεοῦ καὶ Πατρὸς φωνὴ καλή τε καὶ ἀξιάγαστος· ἀκράτῳ δὲ ἤδη κατεχόμενοι οἱ μαθηταὶ δείματι, πίπτουσιν ἐπὶ πρόσωπον, ἵνα πάλιν καὶ διὰ τούτου μάθωμεν, ὡς ἀναγκαιοτάτη τοῖς ἐπὶ γῆς ἡ τοῦ Σωτῆρος γέγονε παρουσία καὶ μεσιτεία γενομένη δηλαδὴ κατὰ τὸν τῆς ἐνανθρωπήσεως τρόπον. Εἰ μὴ γὰρ γέγονε καθ' ἡμᾶς ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, τίς ἂν ἡμῶν ἤνεγκεν ἄνωθεν προσβάλλοντα Θεόν; τίς δ' ἂν ὑπέστη τὴν ἄφραστον αὐτοῦ δόξαν, τὴν οὐδενὶ τάχα τῶν γενητῶν φορητήν; Φῶς γὰρ αὐτὸν οἰκεῖν ἀπρόσιτον, καὶ ὁ θεσπέσιός φησι Παῦλος.

V. 38. *Et ecce vir de turba exclamavit*, etc.

Haud inculpabilem vir hic fecit accessum; incusavit enim sanctorum apostolorum cœtum, qui dæmonium increpare nequivissent. Oportebat autem eum potius reverentiam Jesu exhibentem, auxilium ejus implorare. Ideo Christus ait : « O generatio incredula! » propter tuam scilicet incredulitatem gratia non est operata. Nam quod et ad

Καὶ ἰδοὺ ἀνὴρ ἀπὸ τοῦ ὄχλου ἀνεβόησε, κ. τ. λ.

(B f. 95 b, C f. 127 b) Οὐκ ἀμώμητον οὗτος τὴν πρόσοδον ἐποιήσατο, κατεβόησε γὰρ τοῦ χοροῦ τῶν ἁγίων μαθητῶν, ὡς μὴ ἰσχυσάντων ἐπιτιμῆσαι τῷ δαιμονίῳ. Ἔδει γὰρ τιμῶντα μᾶλλον τὸν Ἰησοῦν τὴν παρ' αὐτοῦ αἰτεῖν ἐπικουρίαν. Διό φησιν ὁ Χριστός· « Ὦ γενεὰ ἄπιστος! » Διὰ τὴν σὴν, λέγων, ἀπιστίαν οὐκ ἐνήργησεν ἡ χάρις. Ὅτι γὰρ χρὴ μετὰ

[90] I Cor. xv, 43. [91] Matth. xiii, 43. [92] Joan. v, 45. [93] I Tim. vi, 16.

Digitized by Google

πίστεως καὶ Χριστῷ προσιέναι, καὶ τοῖς παρ' αὐτοῦ τὴν τοῦ δύνασθαι θαυματουργεῖν χάριν λαβοῦσιν, αὐτὸς ἡμᾶς ἐδίδαξε, πανταχοῦ τὴν πίστιν αἰτῶν παρὰ τῶν προσιόντων αὐτῷ. Ταύτης ἕνεκα τῆς αἰτίας αὐτοῦ καταβριᾷ ὁ Χριστὸς, γενεὰν ἄπιστον καὶ διεστραμμένην αὐτόν τε καὶ τοὺς ὁμογνώμονας αὐτοῦ ἀποκαλῶν· ὁ γὰρ ἄπιστος, καὶ διεστραμμένος πάντως, κατ' οὐδένα τρόπον ὀρθοποδεῖν εἰδώς· τοῖς οὕτω γνώμης ἔχουσιν ἀνοσιώτατα, οὐκ ἀξιοῖ συνεῖναι Χριστός. Καὶ εἰ χρή τι τῶν ἀνθρωπίνων εἰπεῖν, ὀλιγωρεῖ καὶ ἀκηδιᾷ· « Ἕως τίνος, λέγων, ἔσομαι πρὸς ὑμᾶς, καὶ ἀνέξομαι ὑμῶν; » Ὁ γὰρ λέγων ἀσθενῆ πρὸς τὴν κατὰ τῶν πνευμάτων ἐνέργειαν τοὺς παρ' αὐτοῦ λαβόντας τὴν χάριν, αὐτῆς μᾶλλον κατηγορεῖ τῆς χάριτος, οὐ τῶν λαβόντων αὐτήν. Αὐτοῦ γοῦν ἀνοσίως κατηγόρησεν ὁ εἰπὼν περὶ τῶν μαθητῶν, ὅτι οὐκ ἠδυνήθησαν αὐτὸ ἐκβαλεῖν.

A Christum cum fide sit accedendum, et ad eos qui ab ipso miraculorum gratiam sunt consecuti, ipse nos docuit, fidem ubique exigens ab accedentibus ad se. Atque ob hanc causam hominem objurgat Christus, generationem incredulam et perversam ipsum appellans et ejusdem mentis homines. Etenim qui incredulus est et omnino perversus, nullatenus recte incedere sciet. His corruptissima mente præditis haud dignatur Christus adesse. Et si quid humano more loqui licet, negligit hos et fastidit, « Quandiu, dicens, apud vos ero, et patiar vos? » Nam qui dixerat infirmas fuisse adversus spiritus vires illorum, qui acceperant a Christo gratiam, ipsam gratiam incusaverat potius, quam ejusdem compotes. Itaque Christum impie vituperavit, **241** B qui discipulos ejus dixit non potuisse dæmonium ejicere.

Ἐπετίμησε δὲ ὁ Ἰησοῦς τῷ πνεύματι τῷ ἀκαθάρτῳ.

(B f. 96) Ἔδει μὲν οὖν τὸν τοῦ δαιμονῶντος πατέρα λυπούμενον ἀπελθεῖν, οὐ τετυχηκότα τῆς φιλοτιμίας. Ἵνα δὲ μή τις οἴηται καὶ αὐτὸν τὸν Χριστὸν ἀτονῆσαι πρὸς τὴν θαυματουργίαν, ἐπετίμησε τῷ ἀκαθάρτῳ πνεύματι, καὶ παραχρῆμα ἐφυγαδεύετο, « Καὶ ἀπέδωκεν αὐτὸν, φησὶ, τῷ πατρὶ αὐτοῦ· » οὐ γὰρ ἦν ἔτι τοῦ πατρὸς, ἀλλὰ τοῦ κρατοῦντος πνεύματος. Ἐπειδὴ δὲ ἀπεσείσατο τὴν πλεονεξίαν, γέγονε πάλιν τοῦ ἰδίου πατρὸς τῇ Χριστοῦ δυνάμει, ὃς καὶ τοῖς ἰδίοις ἀποστόλοις δέδωκεν ἐξουσίαν τὰς θεοσημείας κατορθοῦν, καὶ τοῖς ἀκαθάρτοις ἐπιτιμᾷν πνεύμασι.

V. 42. *Et increpavit Jesus spiritum immundum.*

Consentaneum fuit dæmoniaci patrem mœstum discedere, beneficio non impetrato. Ne quis tamen existimaret Christo ipsi decsse ad miracula patranda vires, imperavit immundo spiritui, qui illico fugatus est, « Tradiditque, inquit Scriptura, puerum parenti suo. » Neque enim is antea in parentis sui potestate erat, sed ejus a quo obsidebatur. Sed postquam diaboli tyrannidem a se depulit, rursus sub proprio parente fuit, Christi virtute, qui et propriis apostolis miraculorum potestatem tradidit, et impuros spiritus objurgandi.

Θέσθε ὑμεῖς εἰς τὰς καρδίας ὑμῶν τοὺς λόγους τούτους.

(B f. 96) Ποία τις ἡ παρασκευάσασα πρόφασις τὸν Χριστὸν ταῦτα νῦν εἰπεῖν πρὸς τοὺς μαθητάς; Ἀνήνεγκε μὲν τοὺς κορυφαίους αὐτῶν εἰς τὸ ὄρος, καὶ μεταμορφωθεὶς ἔδειξεν αὐτοῖς τὴν δόξαν, μεθ' ἧς κατὰ καιροὺς ἐπιλάμψει· κατελθὼν δὲ ἐκ τοῦ ὄρους, πονηροῦ καὶ ἀπηνοῦς πνεύματος ἠλευθέρωσέ τινα. Ἀλλ' ἔδει πάντως αὐτὸν τὸ σωτήριον ὑπὲρ ἡμῶν ὑπομεῖναι πάθος, καὶ τῆς Ἰουδαίων ἀνασχέσθαι σκαιότητος· οὗ γεγονότος, οὐδὲν ἀπεικὸς ἐννοεῖν ἐν θορύβοις ἔσεσθαι τοὺς μαθητὰς, καὶ τοιαῦτά που καθ' ἑαυτοὺς ἐννοεῖν τε καὶ λέγειν· Ὁ τοσοῦτος, ὁ νεκροὺς ἀναστήσας ἐν ἐξουσίᾳ θεοπρεπεῖ, ὁ θαλάσσαις ἐπιτιμῶν καὶ πνεύμασιν, ὁ λόγῳ συντρίβων τὸν Σατανᾶν, πῶς ἥλω νυνὶ, καὶ τοῖς τῶν φονώντων ἐμπέπτωκε βρόχοις; Ἆρ' οὖν ἠπατήμεθα, Θεὸν εἶναι νομίζοντες αὐτόν; Ἵν' οὖν εἰδεῖεν τὸ πάντως ἐσόμενον, ἀπόθετον ὥσπερ εἰς νοῦν ποιεῖσθαι κελεύει τὸ μυστήριον· « Θέσθε γὰρ ὑμεῖς, φησὶν, εἰς τὰς καρδίας ὑμῶν. » Τὸ δὲ *ὑμεῖς* ἐν τούτοις, διαστέλλοντός ἐστιν ἀπὸ τῶν ἄλλων αὐτούς. Ἤθελε γὰρ εἰδέναι αὐτοὺς τὸ συμβησόμενον, οὐ μὴν καὶ λαλεῖν ἑτέροις· τούς τε γὰρ ἀγελαίους λαθεῖν ἔδει, ὅτι πείσεται· καὶ αὐτοὺς

V. 44. (1) *Ponite vos in cordibus vestris sermones istos.*

Quamobrem Christus hæc discipulis ait? Duxerat præcipuos illorum in montem, ubi transfiguratus gloriam ipsis ostenderat, qua constituto tempore radiaturus erat. Mox de monte redux, malo crudelique spiritu quemdam liberaverat. Nihilominus opus erat ipsum salutarem obire passionem, et Judæorum improbitatem sustinere; quæ cum fierent, satis apparebat discipulos perturbandos fore, atque hæc fere secum reputaturos atque dicturos: Qui talis tantusque erat, qui potestate Deo congrua mortuos suscitavit, qui mari et spiritibus imperavit, qui verbo Satanam contrivit; D quomodo hic, inquam, captus est, et in hostium suorum cruentorum laqueos incurrit? Num ergo falsi sumus, dum Deum ipsum esse credidimus? Ut ergo scirent quod omnino futurum erat, depositum quodammodo vult in illorum mentibus hoc mysterium. « Ponite enim, inquit, vos in cordibus vestris. » Jam vocabulum *vos* hoc loco distinguit eos a cæteris. Volebat enim rem eventuram ab ipsis cognosci, **242** non autem cæteris edici. Nam plebem latere volebat futuram suam passionem: ipsos au-

(1) Ad hunc versiculum sic apud cat. D. Thomæ « Cyrillus »: Omnia quæcunque operabatur Jesus, admiratione digna penes omnes erant: irradiabat enim quidam præcipuum et divinum in qualibet operatione ipsius, secundum illud Psal. xx: *Gloriam et decorem superpones ei.* Etsi omnes mirarentur in his quæ faciebat, ipse tamen hæc quæ sequuntur, non omnibus, sed discipulis, retulit: *Ponite vos,* » etc.

Digitized by Google

tem sibimet insuper persuadere, fore ut resurgeret morte conculcata, atque ita facile scandali detrimentum vitare.

V. 45. *At illi ignorabant verbum istud.*

Quomodo ignorabant discipuli mysterium Christi, quod sæpissime in lege fuerat adumbratum? Erant quidem ipsi de Judæorum grege, non tamen incuriosi ac rudes Mosaicarum litterarum; ideoque et a Christo electi fuerant. Sed enim, ut beatus ait Paulus, « Cæcitas ex parte Israeli contigit, et usque in hodiernum diem cum legitur Moyses, velamen super cor eorum jacet nondum ablatum quia non nisi per Christum tollitur [94]. » Oportet igitur ad Christum accedentes dicere: « Revela oculos meos, et considerabo mirabilia de lege tua [95]. »

V. 46. *Intravit autem cogitatio in eos, quis eorum major esset.*

(1) Non omnes morbo hoc beatos discipulos laborasse puto; neque enim credibile est communem cunctos unamque infirmitatem præ se tulisse. Sed meo, ut arbitror, hanc miseriam experto, ne quem nominatim condiscipulorum accusare sapientissimus evangelista videretur, indefinite narrat, dicens cogitationem eis incidisse, quis ipsorum major esset.— Itaque vanæ gloriæ passio sanctorum aliquem apostolorum invasit. Namque in mente revolvere quisnam eorum major esset, ambitiosi hominis est et aliis præminere volentis. Sed qui omnia scit Christus Deus noster, in discipuli mente cogitationem hanc, tanquam amarum quid et noxium, uti scriptum est, priusquam alte succresceret, antequam roboraretur, ex ipsa radice malum germen evertit. Namque incipientes intra nos passiones facile vincuntur; adultæ autem ægre **243** expelluntur (2). Qua ergo ratione vanæ gloriæ passionem amputat spirituum medicus? Manu cepit puerum, et juxta se collocavit. Id vero juvandi causa fecit tum sanctos apostolos, tum etiam nos post illos. Depascitur enim hic morbus omnino homines, si certe sint in aliquo superiore gradu præ aliis. Cujusnam itaque rei typum et imaginem hunc coram exhibitum puerum esse volebat? Utique innocuæ et sine ambitione vitæ. Hæc enim ætas mentem habet incorruptam, sincerum cor, et cogitationum simplicitatem; vanæ gloriæ non studet, nescit ambitionis mores. Deinde ait Christus: « Qui hunc puerum receperit in nomine meo, » et reliqua. Id est, « Qui minimus est ex omnibus vobis,

πεπληροφορημένους, ὅτι ἀναβιῴη πατήσας τὸν θάνατον, διαφυγεῖν ἑτοίμως τὰ ἐκ τοῦ σκανδαλίζεσθαι βλάβη.

Οἱ δὲ ἠγνόουν τὸ ῥῆμα τοῦτο.

(B f. 96 b) Πῶς ἠγνόουν οἱ μαθηταὶ τὸ Χριστοῦ μυστήριον, πλειστάχοῦ διὰ τῆς τοῦ νόμου σκιᾶς προγραφόμενον; Ἦσαν μὲν γὰρ ἐκ τῆς τῶν Ἰουδαίων ἀγέλης, οὐ ῥᾴθυμοι δὲ οὐδὲ τῶν Μωϋσέως γραμμάτων ἀνεπιστήμονες· καὶ γοῦν διὰ τοῦτο ἀπόλεκτοι γεγόνασι παρὰ Χριστοῦ. Ἀλλ' ὡς ὁ μακάριός φησι Παῦλος· « Πώρωσις ἀπὸ μέρους γέγονε τῷ Ἰσραὴλ, καὶ ἄχρι τῆς σήμερον, ἡνίκα ἀναγινώσκεται Μωϋσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται. » Χρὴ τοιγαροῦν προσιόντας τῷ Χριστῷ λέγειν· « Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου. »

Εἰσῆλθε δὲ διαλογισμὸς ἐν αὐτοῖς, τὸ τίς ἂν εἴη μείζων αὐτῶν.

(B f. 96 b) Οὐ πάντας οἶμαι τοὺς μακαρίους μαθητὰς τὴν τοιαύτην ἐσχηκέναι νόσον· ἀπίθανον γὰρ ἅπαντας κοινὴν καὶ μίαν εὐθὺς εἰσδέξασθαι νόσον· ἑνὸς δέ, ὡς οἶμαι, παθόντος αὐτὴν, ἵνα μή τινα διαβολὴν κατά τινος τῶν συμμαθητῶν ὁ σοφώτατος εὐαγγελιστὴς ἐξυφαίνων εὑρεθῇ, ἀδιορίστως ἀποφαίνεται λέγων, ὅτι « Εἰσῆλθε διαλογισμὸς ἐν αὐτοῖς, τὸ, τίς ἂν εἴη μείζων αὐτῶν. » — (C f. 127 b) Πάθος δὴ οὖν διακένου δόξης εἰσδεδραμηκέ τινα τῶν ἁγίων ἀποστόλων· τὸ γὰρ ὅλως διαλογίζεσθαι τὸ, τίς ἂν εἴη μείζων αὐτῶν, φιλονεικοῦντός ἐστι καὶ τὸ προεστάναι τῶν ἄλλων ἐπιθυμήσαντος. Ἀλλ' ὁ τὰ πάντα εἰδὼς Χριστὸς ὁ Θεὸς ἡμῶν ἐν τῇ τοῦ μαθητοῦ διανοίᾳ διαλογισμὸν ὥσπερ τινὰ πικρίαν ἄνω φύουσαν, κατὰ τὸ γεγραμμένον, πρὶν εἰς ὕψος ἀρθῆναι, πρὶν ἀδρυνθῆναι, ἐκ ῥίζης αὐτῆς ἀναβαθρεύει τὸ κακόν. Ἀρχόμενα γὰρ ἐν ἡμῖν τὰ πάθη, νικᾶται (cod. νικᾷ) ῥᾳδίως, ἀδρυνθέντα δὲ δυσαπόβλητά ἐστι. Πῶς οὖν ἆρα τὸ φιλόδοξον πάθος ἀποκείρει ὁ πνευμάτων ἰατρός; Ἐπελάβετο τὸ παιδίον, καὶ ἔστησεν αὐτὸ παρ' ἑαυτῷ. Ὠφελείας δὲ χάριν ἐποιεῖτο τὸ χρῆμα καὶ αὐτοῖς τοῖς ἁγίοις ἀποστόλοις, καὶ ἡμῖν δὲ τοῖς μετ' ἐκείνους. Περιβόσκεται γὰρ ἡ τοιάδε νόσος ὡς ἐπίπαν τοὺς ἀνθρώπους, εἴπερ ἂν εἶεν ἐν ὑπεροχῇ τῇ κατά τινων [cod. καταπίνων]. Τίνος οὖν ἆρα τύπον καὶ εἰκόνα τὸ παρενεχθὲν ἐποιεῖτο παιδίον; Ἀπονήρου καὶ ἀφιλοδόξου ζωῆς· ἀκαπάλευτον γὰρ ἔχει τὴν γνώμην, ἀνώθευτον τὴν καρδίαν, καὶ ἔστιν ἐν ἁπλότητι διαλογισμῶν· οὐ φιλοδοξίας ἐρᾷ, οὐκ οἶδεν ὑπεροχῆς τρόπον. Εἶτά φησιν, ὅτι· « Ὃς ἂν δέξηται τοῦτο τὸ παιδίον ἐπὶ τῷ ὀνόματί μου, » καὶ τὰ ἑξῆς

[94] II Cor. III, 14. [95] Psal. CXVIII, 18.

(1) Auctior hic initio Cyrillus apud D. Thomam. « Cyrillus. Insidiatur diabolus multimode diligentibus optimam vitam; et siquidem per carnales illecebras, obsidere valet alicujus mentem, affectus voluptatum exacuit; si quis hos effugerit laqueos cupidinis, gloriæ suscitat passionem, quæ quidem passio vanæ gloriæ invasit quemdam apostolorum suorum; unde dicitur: *Intravit autem*, etc. »

(2) Hic interponitur apud D. Thomam ex Cyrillo. « Unde sequitur: *At Jesus videns cogitationes*, etc. Discat qui unquam hominem putat esse Jesum, se errasse: quamvis enim Verbum caro factum sit, mansit tamen Deus: nam solius Dei est posse rimari corda et renes. »

Digitized by Google

τουτέστιν, « Ὁ μικρότερος ἐν πᾶσιν ὑμῖν ὑπάρχων, αὐτὸς ἔσται μέγας, » τὸν μετριόφρονα λέγων, καὶ οὐδὲν ὑψηλὸν περὶ ἑαυτοῦ λογιζόμενον διὰ εὐλάβειαν.

A hic magnus erit : » modestum nempe dicens, et nihil altum de se cogitantem propter insitam religionem.

Ὃς ἂν δέξηται τοῦτο τὸ παιδίον ἐπὶ τῷ ὀνόματί μου, κ. τ. λ.

(B f. 98 b) Ὅτε τοίνυν τοῖς τιμῶσιν ἁγίους εἷς τε καὶ ὅμοιος ὁ μισθὸς, κἂν μικρὸν εἴη τις τυχὸν, κἂν τῶν ἐν προὐχοντι μέτρῳ τε καὶ δόξῃ (« Ὁ δεχόμενος γὰρ, φησὶ, τὸ παιδίον τοῦτο, ἐμὲ δέχεται, καὶ τὸν Πατέρα μου »), πῶς οὐχ ἧκιστα παντελῶς τὸ ἀλλήλοις φιλονεικεῖν, καὶ πρωτείων ἐρᾷν; Διατρανοῖ δὲ ἐπὶ πλέον τὸν ἐπὶ τούτῳ τῷ λόγῳ σκοπὸν, καί φησιν, τὸν μικρότερον ἐν πᾶσι διὰ ταπεινοφροσύνην, τοῦτον εἶναι μέγαν. Διότι γέγραπται, ὅτι « Πᾶς ὁ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται· ὁ δὲ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται (1). »

V. 48. *Quicunque susceperit puerum istum in nomine meo*, etc.

Cum igitur honorantibus sanctos una æqualisque sit merces, sive tenuis quidam sit ille, sive in magna fortuna ac dignitate constitutus : (nam « Qui hunc puerum, inquit, suscipit, me suscipit et Patrem meum : ») quidni vanum omnino sit invicem æmulari, primatumque ambire? Scopum autem sermonis sui magis explanat dicens, eum qui minimus omnium propter animi humilitatem fuerit, hunc revera esse magnum. Propterea scriptum est, B quod « Omnis qui se exaltat, humiliabitur ; qui autem se humiliat, exaltabitur [96]. »

Εἶπεν αὐτῷ ὁ Ἰησοῦς· Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, κ. τ. λ.

(B f. 98 b) Δικαίως τοῦτον ἀπεπέμψατο· ἐχρῆν γὰρ αὐτὸν λαβεῖν τὸν ἑαυτοῦ σταυρὸν, ἤγουν ἀποτάξασθαι τοῖς ματαίοις τοῦ βίου τούτου περισπασμοῖς. « Ἡ γὰρ φιλία τοῦ κόσμου ἐχθρὰ τοῦ Θεοῦ ἐστι. » Τοιοῦτον ὄντα τὸν ἄνθρωπον ἐλέγχει πλαγίως, οὐχ ὀνειδίζων μᾶλλον, ἀλλ' ἐπανορθῶν· διὰ τοῦτό φησιν·

244 V. 58. *Dixit illi Jesus : Vulpes foveas habent*, etc.

Merito hunc dimisit, quem oportuisset crucem suam sibi sumere, et vanis vitæ curis valedicere. Nam « Mundi amicitia, inimica Dei est [97]. » Hunc hominem ita se habentem oblique reprehendit, non tam convicians quam corrigens. Propterea dicit : « Vulpes foveas habent, et cœli volucres habitacula ;

[96] Luc. XIV, 11. [97] Jacob. IV, 4.

(1) Ad v. 49. Sic apud D. Thomam : « Cyrillus. Sed oportebat magis pensare, non hunc ipsum esse miraculorum auctorem, sed gratiam quæ est in eo qui in virtute Christi miracula perficit. Quid autem si non connumerentur apostolis, qui Christi gratia coronantur? Multæ sunt differentiæ Christi donorum: sed quia tradidit Salvator potestatem apostolis ut spiritus immundos ejicerent, putaverunt nulli aliorum quam sibi solis licere concessam gerere dignitatem, et ideo accedunt sciscitantes an liceat et aliis hoc gerere. »

Ad v. 50. Apud D. Thomam : « Cyrillus. Quasi dicat : pro vobis, qui Christum diligitis, sunt qui prosequi volunt ea quæ ad ipsius gloriam spectant, ejusdem gratia coronati. »

Ad v. 51. D. Thomas et Corderius in catenis : « Cyrillus. Hoc est, cum immineret tempus, quo decebat de reliquo Dominum tolerata salubri passione in cœlum quidem conscendere, consedere vero Deo ac Patri, decrevit ascendere in Jerusalem. Hoc enim existimo significare illud, *Firmavit faciem suam.* » etc.

Item ad v. 52. Corderius in catena : « Cyrillus. Misit nuntios qui sibi comitibusque suis diversorium pararent. Illi vero cum in oppidum Samaritanorum venissent, non fuere recepti ; quamobrem indignabantur sancti discipuli, non tam sui ipsorum causa, quam quod Servatorem omnium ac Dominum non honorassent. Deinde potentiæ ipsi insitæ magnitudinem non ignorantes, dixerunt : *Domine, vis dicimus, ut ignis descendat de cœlo, et consumat illos?* Hoc autem alebant nondum nova gratia confirmati, sed adhuc pro antiqua consuetudine ad Eliam respicientes, qui bis quinquaginta cum eorum ducibus combussit. Hoc autem cum dicerent, increpavit illos Christus, quod persequentium se Samaritanorum impietatem sine misericordia judicarent. Et non placuit hoc illis audientibus quod nondum participassent de mansuetudine ac spiritus benignitate. »

Item D. Thomas in catena : « Cyrillus. Sed cum Dominus, qui omnia noverat, sciret quod ejus nuntii non essent a Samaritanis recipiendi, ideo tamen præcepit eis ut præcederent, quia mos erat ei omnia satagere erga profectum discipulorum. Ascendebat quidem Hierosolymam propinquante tempore C passionis. Ut igitur quando pati eum viderent, non scandalizarentur, considerantes quod oportet patientes esse cum contumelias inferunt aliqui, præmisit quasi quoddam præludium Samaritanorum repulsam. Profuit autem eis et aliter. Futuri enim erant doctores orbis terrarum, civitates et villas percurrentes ad prædicandum evangelicam doctrinam ; quibus aliquando occurrerent aliqui minime recipientes sacram prædicationem, quasi non concedentes secum habitare Jesum. Docuit igitur eos, quod divinam annuntiantes doctrinam, pleni esse deberent patientia et mansuetudine, non autem hostiles et iracundi, et adversus peccantes in eos atrociter insurgentes. Sed adhuc non erant tales ; imo zelo fervido concitati volebant ignem de cœlo super eos deducere. »

Ad v. 57, apud D. Thomam in cat. : « Cyrillus. Etsi munificus sit omnium Dominus, non simpliciter et improvide singulis dat superna et divina D dona, sed illis qui digni sunt recipere, qui scilicet animam suam alienant a maculis pravitatum ; et hoc nos docet evangelicorum verborum virtus, cum dicitur : *Factum est autem, ambulantibus illis,* » etc.

Item ad v. 57, sic apud Corderium et D. Thomam : « Cyrillus. Quid igitur ad hæc dicemus? Non erat ille scopus ejus, uti conspicuum fit attente considerantibus, quoniam primum quidem plurima in accessu ejus continetur inertia, et consequenter nimia impudentia plenus est. Non enim simpliciter Christum sequi petebat, ut et plurimi alii ex multitudine Judæorum, sed magis insiliebat ad apostolicas dignitates, ac talem ipse quærebat sequelam a semetipso vocatus ; cum beatus Paulus dicat : *Nec quisquam sibi sumit honorem, sed qui vocatur a Deo* (*Hebr.* v, 4.) »

Digitized by Google

Filius autem hominis non habet ubi caput suum reclinet. » Profecto simplicior loci sensus hic est. Videtur tamen profundiore sensu vulpes et cœli volucres dicere maleficos et dolosos dæmonum greges; sic enim sæpenumero apud sacram Scripturam appellantur (1) : « Capite nobis vulpes parvulas quæ demoliuntur vineas [98]. » Et ipse Dominus Herodem vulpem vocitavit [99]. Et de jactis in terra seminibus dicit, ea volucres cœli vorasse, malos nimirum spiritus innuens [1]. Si quidem igitur **245** hujusmodi vulpes et volucres caveas suas recessusque in nobis habent, quomodo veniet Christus? Ubinam requiescet? Quænam societas lucis cum tenebris [2] (2)?

A « Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. » Καὶ ἡ μὲν ἁπλουστέρα διάνοια αὕτη. Ἔοικε δὲ κατὰ τὴν βαθυτέραν ἔννοιαν ἀλώπεκας καὶ πετεινὰ τοῦ οὐρανοῦ τὰς πανούργους καὶ δολερὰς τῶν δαιμόνων ἀγέλας ἀποκαλεῖν· οὕτω γὰρ πολλαχοῦ τῆς θείας Γραφῆς κέκληνται· « Πιάσατε ἡμῖν ἀλώπεκας μικρούς ἀφανίζοντας ἀμπελῶνας. » Καὶ αὐτὸς δὲ ὁ Κύριος τὸν Ἡρῴδην ἀλώπεκα προσεῖπε. Καὶ περὶ τῶν ἐν τῇ γῇ καταβληθέντων σπερμάτων φησὶ, ὅτι τὰ πετεινὰ τοῦ οὐρανοῦ κατέφαγεν αὐτὰ, περὶ τῶν πονηρῶν πνευμάτων λέγων. Ὅτε τοίνυν αἱ τοιαῦται ἀλώπεκες καὶ τὰ πετεινὰ φωλεοὺς καὶ καταδύσεις ἔχουσιν ἐν ἡμῖν, πῶς ἔλθῃ Χριστός; Ποῦ δὲ ἀναπαύσεται; Τίς κοινωνία φωτὶ

B πρὸς σκότος;

V. 59. *Permitte mihi primum ire, et sepelire patrem meum.*

Honestum hic et laudabile propositum demonstraverat. Verumtatem postulatio ut suis sibi valedicere liceret, hipertitam seu vacillantem innuit mentem. Nam velle omnino communicare antea cum iis, qui idem vitæ institutum non sunt amplexuri, haud est firmi judicii documentum. Propterea dicit ei : « Nemo mittens manum suam, » et reliqua. Nam sicut arator, si forte ad absolvendum opus torpuerit, fructuum ubertatem non est visurus, sic etiam qui Christum quidem sequi decrevit, neque tamen mundanis negotiis valedicit, neque cognatis hominibus, præsertim iis qui idem C propositum non ceperunt, nequaquam hic bonam animi sui fiduciam consummabit, neque aptus erit regno cœlorum. Nam qui hujusmodi est, is aratro quidem manum applicat, ideoque ad sequendum videtur paratus; sed tamen retro respicit, quia moræ causam facit colloquia cum suis et deliberationem. Atqui haud tales fuisse comperiemus sanctos apostolos. Vix enim audita Christi voce, « Venite post me, » relicta navi et patre secuti sunt illum. Quorum exemplum imitari oportet Christi asseclas (3).

Ἐπίτρεψόν μοι ἀπελθόντι πρῶτον θάψαι τὸν πατέρα μου.

(B f. 99 b) Ἀξιοζήλωτον μὲν οὖτος τὴν ὑπόσχεσιν ἐνεδείξατο καὶ ἐπαινουμένην· τὸ δὲ ζητεῖν ἀποτάξασθαι τοῖς οἰκείοις, μεμερισμένην ἔχειν ἐνδείκνυται τὴν διάνοιαν· τὸ γὰρ ἐθέλειν ὅλως προαναποινοῦσθαι τοῖς μὴ ἀποδεξομένοις, οὐ βεβηκότος ἐστὶ λογισμοῦ. Διὸ καί φησι πρὸς αὐτόν· « Οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ, » καὶ τὰ ἑξῆς. Ὥσπερ γὰρ ὁ ἀροτριῶν, ὅταν ὀκνήσῃ πρὸς τὸ λεῖπον, οὐκ ὄψεται τοὺς καρποὺς πληθύνοντας, οὕτως καὶ ὁ ἑλόμενος μὲν ἀκολουθεῖν τῷ Χριστῷ, οὐκ ἀποτασσόμενος δὲ τοῖς κοσμικοῖς πράγμασι, καὶ τοῖς κατὰ σάρκα οἰκείοις, μάλιστα τοῖς μὴ τὸν σκοπὸν ἀποδεχομένοις αὐτοῦ, οὐδαμῶς οὗτος κατορθώσει τὴν ἀγαθὴν εὐτολμίαν, οὐδὲ εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ὁ γὰρ τοιοῦτος ἐπιβάλλει μὲν ἀρότρῳ τὴν χεῖρα, δὸ πρόθυμός ἐστιν ἀκολουθεῖν· ὀπίσω δὲ βλέπει, διότι ἀναβολῆς πρόφασιν ποιεῖται τὴν πρὸς τοὺς οἰκείους διάλεξιν καὶ συμβουλήν. Ἀλλ' οὐδαμῶς τοιούτους εὑρήσομεν ὄντας τοὺς ἁγίους ἀποστόλους· ἅμα γὰρ τῷ ἀκοῦσαι τοῦ Χριστοῦ λέγοντος· « Δεῦτε ὀπίσω μου, » ἀφέντες τὸ πλοῖον, καὶ τὸν πατέρα αὐτῶν, ἠκολούθησαν αὐτῷ. Οὓς μιμεῖσθαι χρὴ τοὺς ἀκολουθοῦντας Χριστῷ.

[98] Cant. II, 15. [99] Luc. XIII, 32. [1] Luc. VIII, 5. [2] II Cor. VI, 14.

(1) In catena Corderii hic ex Cyrillo interseritur : « De quibusdam enim beatus Psalmodes ait: *Partes vulpium erunt.* (*Psal.* LXII, 11.) In Canticorum autem cantico, » etc.

(2) Additur apud Cord. « Requiescit siquidem in iis qui ipsum diligunt, vitat autem profanum. »

(3) Ad hunc v. 59, sic in catenis Lat. Corderii et D. Thomæ : « Vel aliter. CYRILLUS : Erat enim pater senectute gravatus. Putat autem honestum aliquid agere, dum proponeret observare ei debitam pietatem, secundum illud Exod. XX, 12: *Honora Patrem tuum et matrem tuam.* Unde ubi vocatus est ad evangelicum ministerium, dicente Domino, *Sequere me*, quærebat inducias quæ sufficere possent ad decrepiti patris sustentationem, dicens : *Permitte mihi*, etc. Neque dicimus quod pridem defunctum patrem sepelire voluerit; non enim prohibuisset hoc facere volentem Christus: sed sepelire dixit, pro, usque ad sepulturam de alimentis providere. Quid igitur ad ipsum Salvator? *Sine ut mortui sepeliant mortuos suos; tu autem vadens, annuntia regnum Dei.* Erant siquidem etiam alii domestici et propinqui, qui patris illius curam gerebant; sed adhuc mortui, uti autumo, eo quod necdum in Christum crederent, neque per Spiritum sanctum in vitam aliam regenerati adhuc essent. Illi, inquit, sepeliant mortuos suos, cum et ipsi mentem habeant mortuam, neque annumerari possint iis qui Christo vivunt. — Hinc percipe quod præferenda sit pietas qua Deo tenemur, amori parentum; quibus reverentiam exhibemus, qui per eos geniti sumus. Sed omnium Deus, cum non essemus, ad exsistendum nos perduxit; parentes autem facti sunt ministri introitus ad exsistentiam. »

Digitized by Google

ΚΕΦ. Ι'.

Ἀνέδειξεν ὁ Κύριος καὶ ἑτέρους ἑβδομήκοντα.

Καὶ ἐπειδὴ πολλή τις ἐμελλεν ἔσεσθαι τῶν εἰς αὐτὸν πιστευόντων ἡ πληθύς, ἐσαγηνεύετο γὰρ οὐ μόνον ὁ Ἰσραὴλ, ἀλλὰ γὰρ καὶ αἱ τῶν ἐθνῶν ἀγέλαι· διὰ τοῦτο ἀνεδείχθησαν παρὰ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πρὸς τοῖς δύο καὶ δέκα καὶ ἕτεροι ἑβδομήκοντα. (Τὰ ἀκόλουθα τούτων, οἷον· « Ὁ μὲν θερισμὸς πολὺς (1). » καὶ τὰ ἑξῆς· καὶ, « Μὴ μεταβαίνετε ἐξ οἰκίας εἰς οἰκίαν, » ὅπερ ῥεμβασμὸν δηλοῖ, καὶ μισθὸν αἰτούντων, καὶ διαβολῆς ἐστι τεκμήριον· προεγράφετο εἰς τὸ κατὰ Ματθαῖον (2). Ἔτι δὲ καὶ τὰ τούτων ἀκόλουθα ἕως ὧδε· « Ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με. »)— (B f. 100 b) Τούτου ὁ τύπος καὶ ἐν τοῖς Μωϋσέως προεγράφετο λόγοις· ἑβδομήκοντα μὲν γὰρ ἐπελέξατο, καὶ αὐτὸς Θεοῦ προστάττοντος· ἐπηφίει δὲ τοῖς ἐξειλεγμένοις τὸ Πνεῦμα Θεός· καὶ καθ' ἕτερον δὲ τρόπον τούς τε δώδεκα μαθητάς, καὶ αὐτοὺς τοὺς ἑβδομήκοντα, διὰ τῆς τοῦ νόμου σκιᾶς σημαινομένους εὑρήσομεν· γέγραπται γὰρ ἐν τῇ ἐξόδῳ περὶ τῶν υἱῶν Ἰσραήλ· « Ἦλθον, φησὶν, Ἐλὶμ (ἑρμηνεύεται δὲ *ἀνάβασις*, ἤτοι *αὔξησις*), καὶ ἦσαν ἐκεῖ δώδεκα ὑδάτων πηγαὶ, καὶ ἑβδομήκοντα στελέχη φοινίκων. » Ἀναβαίνοντες γὰρ εἰς τελειοτέραν σύνεσιν καὶ αὔξησιν πνευματικὴν, εὑρίσκομεν τοὺς δώδεκα ἁγίους ἀποστόλους, καὶ τοὺς ἀναδειχθέντας ὑπὸ Χριστοῦ ἑβδομήκοντα. Ἀρρυόμεθα γὰρ ὡς ἐκ πηγῶν ἁγίων τῶν τοῦ Σωτῆρος μαθητῶν παντὸς ἀγαθοῦ εἴδησιν. Θαυμάζομεν δὲ καὶ τοὺς ἑβδομήκοντα, καὶ οἱονεὶ φοίνικας εἶναί φαμεν· εὐκάρδιον γὰρ τὸ φυτὸν, εὔκαρπόν τε καὶ εὔριζον, καὶ ἀεὶ τοῖς ὕδασιν ἐντεθηλός.

Ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς ἄρνας ἐν μέσῳ λύκων. — Μὴ βαστάζετε βαλάντιον, κ. τ. λ.

(B f. 101) Προλέγει τοὺς διωγμοὺς, ἵνα ἐνέγκωσι τὴν πεῖραν. Καὶ πῶς ἂν περιγένοιτο πρόβατον λύκου; Ἐγὼ, φησὶ, συνέσομαι, καὶ συνασπιῶ, μεταβάλλων τοὺς λύκους εἰς πρόβατα· οὐδὲν γάρ μου τῷ θελήματι ἀνθέστηκεν· καὶ τοῦτο ἡ πεῖρα ἔδειξεν ἐπὶ Παύλου· τὸν γὰρ παντὸς λύκου ἀπηνέστερον τοῖς πιστεύουσιν εἰς αὐτὸν, προβάτου πεποίηκεν ἡμερώτερον. (B f. 101) Οὐδὲ τὴν περὶ τοῦ σώματος ἔχειν φροντίδα ἐπιτρέπει, μὴ ὅτι περὶ τὰ ἔξω τοῦ σώματος ἀσχολεῖσθαι, ὅπου μὴ δὲ ἐφοδίων φροντίσαι, μηδὲ ἐπικομίσασθαί τι τῶν οὐκ ἤδη περικειμένων τῷ σώματι, οἷον ὑποδήματα· ἀλλ' ἐπ' αὐτῷ πᾶσαν τίθεσθαι

[a] Num. xi, 16. [b] Exod. xv, 27.

(1) Apud D. Thomam in cat. : « Cyrillus. Sicut autem agri spatiosi messores multos exigunt, sic multitudo creditorum in Christum. Unde subdit : *Rogate*, etc. Illud autem attende, quod cum dixisset *Rogate Dominum*, etc., ipse postmodum hoc peregit. Ipse igitur est dominus messis, ac per eum et cum eo Deus Pater omnibus dominatur. »

(2) Videlicet ad Matth. IX, 1 seqq. Sed enim Cyrilliani ad hos Matthæi locos commentarii vix raræ laciniæ in symbolis a Corderio et Possino editis occurrunt.

A

246 CAP. X.

V. 1. *Designavit Dominus et alios septuaginta.*

Et quia multus futurus erat credentium in eum numerus; namque haud Israel solus sagena conclusus fuit, sed etiam ethnicorum greges : propterea designati fuerunt a Deo nostro Christo, ultra illos duodecim, alii quoque septuaginta. (Jam vero quæ his subtexuntur, nempe, « Messis quidem multa » et reliqua; et, « Ne transieritis de domo in domum, » id quod inconstantiam demonstrat, et mercedis postulationem, nec non queruli ingenii indicium est; hæc, inquam, in Matthæo jam scripsimus. Insuper et his consectanea usque huc : « Qui me negat, negat mittentem me. ») — Numeri hujus exemplum in Moysis scriptis ferebatur; namque et hic, Deo jubente, septuaginta delegit, quibus Deus Spiritum largitus est [a]. Alio quoque modo tum duodecim discipulos, tum et ipsos septuaginta, legis umbra denotatos inveniemus. Scriptum est enim in Exodo de filiis Israelis : « Venerunt, inquit, in Elim (quod vocabulum interpretatur *ascensus* vel *incrementum*); erantque ibi duodecim fontes aquarum, et septuaginta palmarum plantæ [b]. » Sane si ad perfectiorem intelligentiam et spiritale incrementum ascendimus, duodecim invenimus apostolos, itemque illos designatos a Christo septuaginta. Haurimus enim tanquam e sanctis fontibus discipulorum Servatoris omne bonorum genus. Miramur etiam septuaginta illos, et palmarum instar esse dicimus. Nam bona medulla, fructuque ubere, et firma radice pollet hæc arbor, semperque juxta aquas viget (3).

B C

247 V. 3, 4. *Ego mitto vos ut agnos in medio luporum. — Nolite portare sacculum*, etc.

Persecutiones prædicit, ut earum experimentum postea tolerent. Quomodo autem lupum superabit ovis? Ego, inquit, vobiscum ero, et protegam, lupos in oves transformans. Nihil enim meæ voluntati resistit. Quod sane experimento in Paulo cognitum est; nam qui lupo quolibet sævior erat adversus fideles Christi, eum ove mansuetiorem effecit. Sed ne corporis quidem curam gerere sinit, neque earum rerum quæ extra corpus sunt : siquidem nec de viatico esse sollicitis concedit, neque quidquam circumferre eorum quæ corpori adhibentur, veluti calceos; sed in Deo spem omnem vult reponi. De-

D

(3) Pergit in catena Divi Thomæ Cyrillus de palma : « alta simul, et frondes porrigens sursum. »

Ad v. 3. In cat. D. Thomæ : « Cyrillus. Narrat Lucas, consequenter septuaginta discipulos vindicasse sibi a Christo apostolicam eruditionem, modestiam, innocentiam, æquitatem, nihilque mundanorum sacris prædicationibus anteferre; aspirare autem adeo ad fortitudinem mentis, ut nihil terribile formident, neque ipsam mortem. Unde dicit : *Ite*, etc. »

Digitized by Google

nique ne officii quidem aliquam appendicem reti- A
neri vult, neque ipsos obvios salutari : id quod olim Elisæo quoque misso indictum fuit, nempe ut recto itinere ad demandatum opus pergeret, neque salutantem resalutaret [a]. Sedulitati enim nocet respectus ad alios. Neque prædicationem impediat colloquium incidens, neque moras nectamus amicitiæ causa. Nulla itaque diabolica malitia nos abripiat.

τὴν φροντίδα. Ἀλλ' οὐδὲ τῆς σπουδῆς παρελκυσμόν τινα παρῆκε προσδέξασθαι, μηδὲ ἄχρι τοῦ τῶν συντυγχανόντων ἀσπασμοῦ συγχωρήσας ἀφέλκεσθαι· ὃ καὶ πάλαι ὑπὸ Ἐλισσαίου ἐλέγετο τῷ ἀποσταλέντι, εὐθείᾳ ὁρμῇ ἐπὶ τὸ ἔργον χωρεῖν, καὶ μηδὲ εὐλογοῦντα ἀντευλογεῖν. Ζημία γὰρ τῆς σπουδῆς ἡ πρὸς ἑτέρους ἀπόνευσις· μηδὲ τοῦτο, φησὶν, ἐμπόδιον τοῦ κηρύγματος γένηται, ὁμιλίας ἐν μέσῳ παρεμπιπτούσης, καὶ βραδύτητος προφάσει φιλίας. Μηδεμία οὖν διαβολικὴ κακουργία ὑμᾶς ἀποσπάσῃ.

V. 17, 18. *Reversi sunt cum gaudio*, etc. *Videbam Satanam*, etc.

Ne forte existimarent virtute propria ad prædicandum accedere, testis aderat data ipsis Spiritus gratia. Nam adjunctis doctrinæ miraculis, nullum contra eos prævalebat calumniæ genus. Gaudebant B
itaque ceu digni habiti qui miracula ederent, et dæmonia subjugarent. — Jam quod ceu fulgur decidisset, significat Satanam ex alto humi dejectum, ex gloria in ignominiam, ex viribus in infirmitatem. Ante enim Servatoris incarnationem, dominabatur orbi Satanas, ab omnibus ferme cultus. Sed ceu fulgur demum decidit, qui omnes errore deceptos habebat adoratores, et nunc sub pedibus cultorum suorum jacet. Id enim significant verba : « Ecce dedi vobis potestatem serpentes scorpiosque calcandi ; » dæmonas **248** scilicet serpentium scorpionumque vocabulis denotans.

Ὑπέστρεψαν μετὰ χαρᾶς, κ. τ. λ. Ἐθεώρουν τὸν Σατανᾶν, κ. τ. λ.

(B f. 102 b) Ἵνα γὰρ μὴ νομίζοιντο οἰκοθεν ἔχειν πρὸς τὸ κήρυγμα, ἐμαρτύρει ἡ δοθεῖσα αὐτοῖς τοῦ Πνεύματος χάρις· ἐπαγομένης γὰρ τῷ λόγῳ τῆς θεοσημείας, οὐδεὶς ἂν ἴσχυσεν κατ' αὐτῶν συκοφαντίας τρόπος. Ἔχαιρον ὡς ἀξιωθέντες θαυματουργεῖν, καὶ ὑποτάσσειν τὰ δαιμόνια. — (B f. 103) Τὸ ὡς ἀστραπὴν πεσεῖν, δηλοῖ τὸ ἐξ ὕψους αὐτὸν κατενεχθῆναι πρὸς γῆν, ἐκ δόξης εἰς ἀτιμίαν, ἐξ ἰσχύος εἰς ἀσθένειαν. Πρὸ μὲν γὰρ τῆς οἰκονομίας τοῦ Σωτῆρος κατεκράτησε τῆς ὑπ' οὐρανὸν, προσκυνηθεὶς σχεδὸν παρὰ πάντων· τότε δὲ πέπτωκεν ὡς ἀστραπὴ, ὁ πάντας ἔχων προσκυνητὰς τοὺς πεπλανημένους, καὶ ὑπὸ πόδας τέθειται τῶν προσκυνούντων αὐτόν· τοῦτο γὰρ μηνύει τό· « Ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων· » τοὺς δαίμονας, ὄφεις καὶ σκορπίους καλῶν (2).

V. 21. *In ipsa hora exsultavit Jesus Spiritu sancto, et dixit*, etc.

Videamus quoque sermonem, quo propter nos et C
pro nobis Christus Patrem suum allocutus est. « Confiteor tibi, Pater, Domine cœli ac terræ, quod abscondisti hæc a sapientibus et prudentibus, et revelasti ea parvulis. » (1) En, aiunt hi mente perversi, gratiam se Patri debere ait. Quomodo igitur non est illo minor ? At enim, o egregii, quid impedit, dicet aliquis, quominus consubstantialis Filius commendet dilaudetque Patrem suum, qui per ipsum salutem mundi efficiebat ? Quod si putas, propter hanc confessionem, Filium esse minorem, audi reliqua. Dominum cœli ac terræ suum vocat Patrem. Atqui omnipotentis Dei Filius, sine dubio cum illo rebus omnibus dominatur, superque omnia est Deus ex Deo, omnino æqualis ei substantialiter. — Nobis revelavit Deus Pater absconditum D

Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ Πνεύματι (3) ὁ Ἰησοῦς, καὶ εἶπεν, κ. τ. λ.

(A f. 137) Ἴδωμεν δὲ καὶ τοὺς λόγους, οὓς δι' ἡμᾶς ὑπὲρ ἡμῶν Χριστὸς ἐποιήσατο πρὸς τὸν ἑαυτοῦ Πατέρα· « Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. » (B f. 103 b) Ἰδοὺ, φασὶν οἱ διεστραμμένοι τὸν νοῦν, χάριν ὁμολογεῖ τῷ Πατρί· πῶς οὖν οὐκ ἐλάττων αὐτοῦ ; Καὶ τί τὸ κωλύον, ὦ βέλτιστοι, φαίη τις ἂν, τὸ ὁμοούσιον Υἱὸν ἀποδέχεσθαι, καὶ ἐπαινεῖν τὸν ἑαυτοῦ Πατέρα, σώζοντα δι' αὐτοῦ τὴν ὑπ' οὐρανόν ; Εἰ δὲ νομίζεις διὰ τὴν ἐξομολόγησιν ἐλάττονα εἶναι, ἄκουσον τῶν ἑξῆς. Κύριον οὐρανοῦ καὶ γῆς τὸν ἑαυτοῦ καλεῖ Πατέρα· ὁ Υἱὸς δὲ τοῦ τῶν ὅλων κρατοῦντος Θεοῦ, πάντως που σὺν αὐτῷ δεσπόζει τῶν ὅλων, καὶ ἐπάνω πάντων ἐστὶν ὡς Θεὸς ἐκ Θεοῦ, καὶ τὴν κατὰ πᾶν ὁτιοῦν ἰσότητα πρὸς αὐτὸν ἔχων οὐσιωδῶς.

[a] IV Reg. IV, 29.

(1) Hic amplius apud Corderium cat. Lat. « Illud, *Confiteor tibi, Pater*, dicit more hominum, pro, gratiam agnosco, quare laudo te, gratias ago tibi. Solet enim divinitus inspirata Scriptura confessionis nomen secundum talem aliquem modum sumere. Scriptum est enim : *Confiteantur nomini tuo magno.* (*Psal.* CV, 47.) Et iterum : *Confitebor tibi, Domine, in toto corde meo.* (*Psal.* IX, 2.) Verum ecce, etc., ut apud nos sequitur. »

(2) Prosequitur hic apud Corderium, « Idem Cyrillus. De hoc etiam Ezechiel lamentando dicit : *Tu signaculum similitudinis in paradiso Dei fuisti.* Et paulo post : *Perfectus in viis tuis a die conditionis tuæ, donec inventa est iniquitas in te.* Non extrinsecus inducta, sed nata est in te malitia, et per peccatum tuum vulneratus es ; et in terram projeci te. »

(3) Apud Corderium in Lat. cat. « Cyrillus. *Exsultavit in Spiritu sancto*, hoc est in beneficiis et virtutibus Spiritus sancti, bene sciens a se missus plurimis profuisse, et præ cæteris ipsa experientia gloriam ejus cognovisse, animus ejus lætitia implebatur. Erat enim exsultandum, quoniam bonus hominumque amantissimus Deus, omnes salvari volens, errantium conversionem exsultationis gaudiique occasionem fecerat. »

Digitized by Google

— (A f. 137 b. B f. 104) Ἡμῖν ἀπεκάλυψεν ὁ Θεὸς καὶ Πατὴρ τὸ πρὸ τῆς τοῦ κόσμου καταβολῆς κεκρυμμένον καὶ σεσιγημένον παρ' αὐτῷ μυστήριον· δῆλον δὲ, ὅτι τὸ περὶ τῆς ἐνανθρωπήσεως τοῦ Μονογενοῦς, ὃ προεγνώσθη μὲν πρὸ καταβολῆς κόσμου, πεφανέρωται δὲ τοῖς ἐπὶ γῆς ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς. Γράφει γοῦν ὁ μακάριος Παῦλος, ὅτι « Ἐμοὶ, τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων, ἐδόθη ἡ χάρις αὕτη, τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ, καὶ φωτίσαι πάντας, τίς ἡ οἰκονομία τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ τῷ τὰ πάντα κτίσαντι. » Οὐκοῦν ἐν τῇ τοῦ Πατρὸς γνώσει ἐκέκρυπτο καὶ πρὸ τῆς τοῦ κόσμου καταβολῆς, τὸ σεπτὸν καὶ μέγα τοῦ Σωτῆρος ἡμῶν μυστήριον· οὕτω καὶ ἡμεῖς προεγνώσθημεν καὶ προωρίσθημεν εἰς υἱοθεσίαν. Καὶ τοῦτο πάλιν ἡμᾶς ὁ σοφώτατος Παῦλος διδάξει γράφων· « Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν ἐπουρανίοις ἐν Χριστῷ πρὸ καταβολῆς κόσμου, εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ, ἐν ἀγάπῃ προορίσας ἡμᾶς εἰς υἱοθεσίαν, διὰ Ἰησοῦ Χριστοῦ εἰς αὐτόν. » Ἡμῖν οὖν ἄρα τοῖς νηπίοις τὸ κεκρυμμένον καὶ σεσιγημένον ἐκ τῶν αἰώνων μυστήριον ἀπεκάλυψεν ὁ Πατήρ.

Καί τοι πρὸ ἡμῶν πλεῖστοί τε ὅσοι καὶ ἀριθμοῦ κρείττονες ἦσαν κατὰ τόνδε τὸν βίον ἄνδρες τό γε ἧκον ἐν λόγοις σοφοί· ἀλλ' ὡς ὁ Παῦλός φησιν, « Ἐματαιώθησαν ἐν διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία· φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν, καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ, ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν, καὶ τετραπόδων, καὶ ἑρπετῶν· ταύτης ἕνεκα τῆς αἰτίας, παρεδόθησαν εἰς ἀδόκιμον νοῦν, καὶ οὐκ ἐγνώρισεν αὐτοῖς τὸ μυστήριον. » Γέγραπται δὲ καὶ ἡμῖν· « Εἴ τις δοκεῖ ἐν τῷ κόσμῳ σοφὸς εἶναι, μωρὸς γενέσθω, ἵνα γένηται σοφός· ἡ γὰρ τοῦ κόσμου τούτου σοφία, μωρία παρὰ τῷ Θεῷ ἐστιν. » Οὐκοῦν ἀληθὲς εἰπεῖν, ὅτι ὁ ψιλὴν καὶ μόνην ἔχων τὴν τοῦ κόσμου σοφίαν, μωρός ἐστι καὶ ἀσύνετος παρὰ Θεῷ· ὁ δὲ μωρὸς εἶναι δυκῶν παρὰ τοῖς τοῦ κόσμου σοφοῖς, ἔχων δὲ εἰς νοῦν καὶ καρδίαν τῆς ἀληθοῦς θεοπτίας τὸ φῶς, οὗτος σοφός ἐστιν παρὰ τῷ Θεῷ. Οὐκοῦν τοῖς δοκοῦσιν εἶναι μωροῖς, ἤγουν ἄκακον καὶ νηπιάζουσαν ἐπὶ κακίᾳ τὴν διανοιαν ἔχουσιν, ἀπεκάλυψεν ὁ Πατὴρ τὸν Υἱὸν, ἅτε δὴ καὶ προεγνωσμένοις καὶ προωρισμένοις εἰς υἱοθεσίαν.

Οὐκ ἀπίθανον δὲ, ὡς γε οἶμαι, κἀκεῖνο τούτοις ἐπενεγκεῖν. Οἱ Γραμματεῖς τε καὶ οἱ Φαρισαῖοι, καὶ

A apud se silentioque pressum jam inde a constitutione mundi mysterium, id est incarnationem Unigeniti; quæ quidem prævisa fuit ante mundi primordia, sed terræ incolis demum manifestata fuit postremis sæculi temporibus. Scribit ergo beatus Paulus : « Mihi omnium sanctorum minimo data est gratia hæc, in gentibus evangelizare investigabiles divitias Christi : et illuminare omnes, quæ sit dispensatio sacramenti absconditi a sæculis in Deo qui omnia creavit [6]. » Ergo in Patris mente celabatur, **249** etiam ante mundi constitutionem, venerandum magnumque Servatoris nostri mysterium. Sic et nos prævisi fuimus et prædestinati ad adoptionem in filios. Quod rursus nos sapientissimus Paulus docet scribens : « Benedictus Deus et Pater B Domini nostri Jesu Christi, qui benedixit nos in omni benedictione spirituali in cœlestibus in Christo ; sicut elegit nos in Christo ante mundi constitutionem, ut essemus sancti et immaculati in conspectu ejus in charitate; qui prædestinavit nos in adoptionem filiorum per Jesum Christum in ipsum [7]. » Nobis itaque parvulis absconditum tacitumque a sæculis mysterium revelavit Pater (1).

Quamquam vero ante nos plurimi, imo innumerabiles magnique hoc in mundo viri fuere, ad doctrinam quod attinet, plane sapientes ; hi tamen, ut Paulus ait, « evanu erunt in cogitationibus suis, et C obscuratum est insipiens cor eorum : dicentes se esse sapientes, stulti facti sunt, et mutaverunt gloriam incorruptibilis Dei in similitudinem imaginis corruptibilis hominis, et volucrum et quadrupedum et serpentium. Quam ob causam traditi sunt improbæ menti, neque iis mysterium manifestavit [8]. » Quamobrem nobis quoque scriptum est : « Si quis videtur in mundo sapiens esse, stultus fiat, ut sit sapiens. Sapientia enim hujus mundi stultitia est apud Deum [9]. » Ergo vere dici potest, eum qui nudam solamque habet mundi sapientiam, stultum esse atque insipientem coram Deo. Qui autem stultus esse videtur mundi sapientibus, is si mente et corde gerat veræ Dei contemplationis lumen, sapiens est coram Deo. Iis itaque qui videntur stulti, D id est **250** innocuum et pueri instar ad malitiam ineptum ingenium habent, revelavit Filium Pater, ceu jam præcognitis et adoptioni destinatis.

Porro non est, ut opinor, absurdum prædictis hoc quoque addere. Scribæ ac Pharisæi, et qui

[6] Ephes. III, 8. [7] Ephes. I, 3-5. [8] Rom. I, 21-24. [9] I Cor. III, 18.

(1) Ad v. 17. Adhuc in catena D. Thomæ. « Cyrillus. Supra dictum est, quod Dominus misit discipulos gratia Spiritus sancti insignitos; et quod hi facti prædicationis ministri potestatem super immundos spiritus acceperunt. Nunc autem reversi confitentur honorantis eos potentiam; unde dicitur : *Reversi sunt*, etc. Videbantur itaque gaudere magis quod facti fuissent miraculorum auctores, quam quod prædicationis ministri. Erat autem melius eos gaudere in illis, quos ceperant; sicut vocatis per ipsum dicit Paulus (*Philipp.* IV) : *Gaudium meum et corona mea.* »

Ad v. 20. In D. Thomæ catena sic. « Cyrillus. Sed cur, Domine, non sinis lætari in honoribus a te collatis, cum scriptum sit (*Ps.* LXXXVIII, 17) : *In nomine tuo exsultabunt tota die?* Sed Dominus eos ad majus gaudium erigit; unde subdit : *Gaudete autem quia nomina vestra*, etc. »

Digitized by Google

Judaico populo præerant, cum legis periti viderentur, loco sapientum habebantur. Quod tamen tales haud vere essent, factis coarguebantur. Quamobrem Jeremias propheta sic eos alloquebatur: « Quomodo dicitis : Sapientes nos sumus, et sermo Domini nobiscum est? Vanus evasit funiculus mendax scribis. Confusi sunt sapientes, perterriti et capti. Quænam illis sapientia est, quandoquidem sermonem Domini improbaverunt [10]? » Postquam ipsi Servatoris sermonem repulerunt, id est Evangelii salutarem prædicationem, scilicet Dei Patris Verbum, pro nobis hominem factum, ipsi reprobi facti sunt. Unde ait de illis Jeremias : « Reprobatum argentum hos vocate, quia Deus ipsos reprobavit [11]. » His quoque absconditum est Christi mysterium. Quare de iisdem aiebat aliquando discipulis suis Dominus : « Vobis datum est nosse mysteria regni cœlorum; non item illis [12]. » Quibusnam vobis? nempe qui credidistis, qui adventum ejus cognovistis, qui legem spiritaliter intelligitis. Ilis, inquam, revelare Filium suum placuit Patri.

A οἱ τῶν Ἰουδαϊκῶν κρατοῦντες ταγμάτων, νομομαθείας δόκησιν ἔχοντες, ἐνομίζοντό τινες εἶναι σοφοί· ἀλλ' οὐκ ὄντες τοιοῦτοι κατὰ τὸ ἀληθὲς, δι' αὐτῶν ἠλέγχοντο τῶν πραγμάτων. Καὶ γοῦν ὁ προφήτης Ἱερεμίας οὕτω πού φησι πρὸς αὐτούς· « Πῶς ἐρεῖτε ὡς Σοφοὶ ἐσμεν ἡμεῖς, καὶ λόγος Κυρίου μεθ' ἡμῶν ἐστιν; Εἰς μάτην ἐγενήθη σχοῖνος ψευδὴς γραμματεῦσιν· ἠσχύνθησαν σοφοὶ, ἐπτοήθησαν, καὶ ἑάλωσαν· σοφία τίς ἐστιν ἐν αὐτοῖς, ὅτι τὸν λόγον Κυρίου ἀπεδοκίμασαν; » Ἐπειδὴ δὲ ἀπεδοκίμασαν αὐτοὶ τοῦ Σωτῆρος τὸν λόγον, τουτέστι τὸ εὐαγγελικὸν καὶ σωτήριον κήρυγμα, ἤγουν τὸν τοῦ Θεοῦ καὶ Πατρὸς Λόγον, τὸν δι' ἡμᾶς γενόμενον ἄνθρωπον, αὐτοὶ γεγόνασιν ἀδόκιμοι· ἔφη οὖν Ἱερεμίας περὶ αὐτῶν· « Ἀργύριον ἀποδεδοκιμασμένον καλέσατε αὐτοὺς, B ὅτι ἀπεδοκίμασεν αὐτοὺς Κύριος· » Κέκρυπται καὶ ἀπὸ τούτων τὸ Χριστοῦ μυστήριον· καὶ γοῦν ἔφη που τοῖς ἑαυτοῦ μαθηταῖς ὁ Κύριος περὶ αὐτῶν· « Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν· ἐκείνοις δὲ οὐ δέδοται. » Ὑμῖν δὲ τίσι; Τοῖς πιστεύσασι δηλονότι, τοῖς ἐπεγνωκόσι τὴν ἐπιφάνειαν αὐτοῦ, τοῖς τὸν νόμον νοοῦσι πνευματικῶς, τούτοις εὐδόκησεν ὁ Πατὴρ ἀποκαλύψαι τὸν ἴδιον Υἱόν.

V. 22. *Omnia mihi tradita sunt a Patre meo.*

Manifestat iterum nobis gloriam suam, et congruæ Deo celsitudinis dignitatem, nec non humanationis solertem rationem, Dominus noster Jesus Christus; et quanta hinc evenerit terræ incolis utilitas, palam facit. « Omnia, inquit, tradita sunt mihi a Patre meo. » Erat enim, et adhuc est cœli C ac terræ Dominus, Patri assidens, et cum ipso rerum omnium Dominator. Postquam vero semet demittens homo inter nos exstitit, loquitur item haud alieno a carnis dispensatione modo, et convenientia exinanitionis modulo verba non recusat, ut **251** credatur factus unus de nobis, nostramque gerere paupertatem. Itaque cœli et terræ, et omnino rerum omnium Dominus, cuncta sibi tradita dicit a Patre. Nam totius orbis terrarum Dominus est. Cæteroquin his dictis, statim transilit ad majestatem suam ac sublimitatem, seque demonstrat nullatenus Parenti proprio inferiorem. Quid enim Patri dicit? Et nemo scit, sine magisterio, Patris naturam, inquit, nisi Filius. Neque consubstantialem ei Filium quispiam agnovit, nisi Pater. Quotquot autem per revelationem noverunt Deum, hi non quid sit sciunt, sed eum exsistere sciunt. — Qui ergo priora verba, « Omnia mihi tradita sunt a Patre, » ad Filii depressionem trahunt, discant e posterioribus, Filii in re omni æqualitatem Patri. Cur enim, nemine sciente, ut ait, Filium præter solum Patrem, vos audetis cogitare ac dicere, Patre minorem esse Filium, quasi hunc apprime cognoscatis? Nam qui a solo cognoscitur Patre, is supra omnem mentem sermonemque est; sicuti et ipse Pater, qui a solo cognoscitur proprio Filio. Sola enim se ipsam novit sancta consubstantialis Trini-

Πάντα παρεδόθη μοι ὑπὸ τοῦ Πατρός μου.

(A f. 139, B f. 104) Ἐμφανίζει γοῦν πάλιν ἡμῖν τὴν ἑαυτοῦ δόξαν, καὶ τῆς θεοπρεποῦς ὑπαρχῆς τὸ ἀξίωμα, καὶ τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ εὐτεχνὲς, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· ὅση τε γέγονεν ἐντεῦθεν ἡ ὄνησις, τοῖς ἐπὶ τῆς γῆς καθίστησιν ἐναργές· « Πάντα μοι, φησὶ, παρεδόθη ὑπὸ τοῦ Πατρός μου. » Ἦν μὲν γὰρ καὶ ἔστιν οὐρανοῦ τε καὶ γῆς Κύριος, καὶ σύνθρονος τῷ Πατρὶ, καὶ συγκατάρχων αὐτῷ τῶν ὅλων. Ἐπειδὴ καὶ καθεὶς ἑαυτὸν ἐν τοῖς καθ' ἡμᾶς κεχρημάτικεν ἄνθρωπος, διαλέγεται πάλιν οὐκ ἀπεικότως τῇ μετὰ σαρκὸς οἰκονομίᾳ, καὶ τὰς πρεπούσας τοῖς τῆς κενώσεως μέτροις οὐ παραιτεῖται φωνὰς, ἵνα πιστεύηται γεγονὼς καθ' ἡμᾶς, καὶ τὴν ἡμῶν φορέσας πτωχείαν. Ὁ τοίνυν οὐρανοῦ τε καὶ γῆς, καὶ συλλήβδην τῶν ὅλων Κύριος, ἑαυτῷ πάντα παραδεδόσθαι φησὶν ὑπὸ τοῦ Πατρός· κεκυρίευκε γὰρ τῆς ὑπ' οὐρανόν. Ἀλλὰ τοῦτο εἰπὼν, ἄνεισιν εὐθὺς εἰς τὴν ἑαυτοῦ δόξαν καὶ ὑπεροχήν· καὶ διαδείκνυσι κατ' οὐδένα τρόπον, τοῦ ἰδίου Πατρὸς ἑαυτὸν ἡττώμενον· τί γὰρ ἔφη πρὸς ἐκεῖνον; D Καὶ οὐδεὶς γινώσκει τὴν τοῦ Πατρὸς φύσιν ἀδιδάκτως, φησὶν, εἰ μὴ ὁ Υἱός· οὐδὲ τὸν ὁμοούσιον αὐτῷ Υἱὸν εἶδέ τις, εἰ μὴ ὁ Πατήρ· ὅσοι δι' ἀποκαλύψεως ἔγνωσαν τὸν Θεὸν, οὗτοι οὐ τί ἐστιν ἔγνωσαν, ἀλλ' ὅτι ἔστιν. — (A f. 139 b, B f. 104 b) Οἱ τοίνυν τὰς πρώτας λέξεις, τὰς λεγούσας, « Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρὸς, εἰς ὕφεσιν ἐκλαμβάνοντες τοῦ Υἱοῦ, μανθανέτωσαν διὰ τῶν ἑφεξῆς τὴν κατὰ πᾶν ὁτιοῦν τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα ἀπαραλλαξίαν. Πῶς γὰρ οὐδενὸς εἰδότος, καθά φησι, τὸν Υἱὸν, εἰ μὴ μόνου τοῦ Πατρὸς, αὐτοὶ τετολμήκατε φρονεῖν καὶ λέγειν, ὅτι ἐλάττων ἐστὶν αὐτοῦ, ὡς ἀκριβῶς εἰδότες αὐτόν; Ὃν γὰρ μόνος εἶδεν ὁ Πατὴρ, ὑπὲρ

[10] Jerem. VIII, 8, 9. [11] Jerem. VI, 30. [12] Luc. VIII, 10.

Digitized by Google

πάντα νοῦν ἐστι καὶ λόγον, καθὰ καὶ αὐτὸς ὁ Πατὴρ ὁ ὑπὸ μόνου γινωσκόμενος τοῦ ἰδίου γεννήματος· μόνη γὰρ οἶδεν ἑαυτὴν ἡ ἁγία καὶ ὁμοούσιος Τριάς, ἡ πάντὼς ἐπέκεινα καὶ νοῦ καὶ λόγου· ἀποκαλύπτει δὲ ἡμῖν ὁ Υἱὸς διὰ τοῦ ἁγίου Πνεύματος, ὡς φησι Παῦλος· « Ἡμῖν γὰρ ἀπεκάλυψεν ὁ Θεὸς διὰ τοῦ Πνεύματος αὐτοῦ. »

A tas, quæ omnem superat intellectum atque orationem. Revelat autem nobis Filius per sanctum Spiritum, ut ait Paulus : « Nobis autem revelavit Deus per Spiritum suum [13]. »

Καὶ στραφεὶς πρὸς τοὺς μαθητὰς, κατ' ἰδίαν εἶπε· Μακάριοι οἱ ὀφθαλμοὶ οἱ βλέποντες ἃ βλέπετε.

V. 23. *Et conversus ad discipulos suos seorsum dixit : Beati oculi qui vident quæ vos videtis !*

(A f. 140) Τὰ τῶν πραγμάτων ἀπορρητότερα, τοῖς ἀναγκαίοις μάλιστα τῶν ἐπιτηδείων, ἀνακοινοῦσθαι χρὴ, καὶ οὐχὶ τοῖς τυχοῦσιν ἁπλῶς. Φίλοι δὲ αὐτοῦ μαθητείας ἠξιωμένοι, καὶ πεφωτισμένον ἔχοντες τῆς καρδίας τὸν ὀφθαλμὸν, καὶ τὸ οὗς ἕτοιμον εἰς ὑπακοήν. Καὶ γοῦν ἔφη ποτὲ πρὸς τοὺς ἁγίους ἀποστόλους· « Οὐκέτι λέγω ὑμᾶς δούλους, ὑμεῖς φίλοι μού ἐστε· ὁ δοῦλος οὐκ οἶδε τί ποιεῖ αὐτοῦ ὁ Κύριος· ὑμᾶς δὲ εἴρηκα φίλους, ὅτι πάντα ἃ ἤκουσα παρὰ τοῦ Πατρός μου, ἐγνώρισα ὑμῖν. » Τούτοις καὶ τὰ προγεγραμμένα φησὶν οἰκονομικώτατα στραφεὶς πρὸς αὐτοὺς, τουτέστιν ἐν ἀποστροφῇ ποιησάμενος τοὺς μήτε ὁρᾷν μήτε ἀκούειν ἐθέλοντας, ἀνηκόους δὲ ὄντας, καὶ τυφλὸν ἔχοντας ἐν ἑαυτοῖς τὸν νοῦν, ὅλον ἑαυτὸν ἐχαρίζετο τοῖς ἀγαπῶσιν αὐτόν· καὶ εἰς αὐτοὺς ἀφορῶν, μακαρίους ἔφη τοὺς ὀφθαλμοὺς τοὺς ὁρῶντας ἤγουν ὀψομένους ἃ πρὸ τῶν ἄλλων αὐτοὶ καὶ πρῶτοι τεθέανται. Πεποίηται μὲν οὖν ὁ ἐπὶ τούτοις λόγος, ὡς ἀπό γε τῆς παρὰ πᾶσι καὶ κοινῆς συνηθείας· πλὴν ἐκεῖνο ἡμᾶς ἐξεπίστασθαι χρή· τὸ γὰρ βλέπειν ἐν τούτοις, οὐκ ἐνεργείας τῆς δι' ὀμμάτων σωματικῶν εἰσκομίζει δήλωσιν, ἀπολαύσεως δὲ μᾶλλον τῶν δι' αὐτοῦ τοῖς εὐσεβέσι δεδωρημένων· οἷον, ὡς εἴ τις λέγοι· Ὁ δεῖνα τυχὸν καιροὺς εἶδε καλοὺς, ἀντὶ τοῦ, Ἐν ἀπολαύσει γέγονε καιρῶν ἀγαθῶν. Καὶ τό· « Ἴδοις δὲ τὰ ἀγαθὰ Ἰερουσαλὴμ, » ἐν ψαλμοῖς εἰρημένον, οὕτω νοήσεις, ἀντὶ τοῦ, Γένοιτό σοι μετασχεῖν τῶν ἀγαθῶν τῆς Ἰερουσαλὴμ, τῆς ἄνω δηλονότι καὶ ἐν οὐρανοῖς. Ὅτι γὰρ οὐχ' οἱ γεγονότες θεωροὶ τῆς διὰ Χριστοῦ θεοσημείας, εἶεν ἂν μακάριοι πάντη τε καὶ πάντως, πῶς ἔστιν ἀμφιβάλλειν; Πλεῖστοι μὲν γὰρ Ἰουδαῖοι τεθέανται θεοπρεπῶς ἐνεργοῦντα Χριστόν· ἀλλ' οὐχ ἅπασιν ἂν πρέποι τὸ μακαρίζεσθαι· πεπιστεύκασι γὰρ οὐδαμῶς, ἀλλ' οὐδὲ τεθέανται τὴν δόξαν αὐτοῦ τοῖς τῆς διανοίας ὄμμασιν.

Secretiora negotia necessariis potissimum familiarium communicanda sunt, non autem indifferenter quibuslibet. Amici vero Domini sunt ii omnes, qui discipulatu illius digni fuerunt, cordisque oculum illuminatum habent, et aurem obtemperando paratam. Quamobrem aiebat aliquando sanctis apostolis : B « Jam non dico vos servos; vos enim amici mei estis : servus nescit quid faciat Dominus suus; vos autem dixi amicos, quia omnia quæ audivi a Patre meo, nota feci vobis [14]. » Illis ea etiam quæ supradicta sunt ait, prudentissime ad eos **252** conversus; id est ab illis avertens se, qui neque videre neque audire volebant, contumacibus videlicet, cæcamque mentem gerentibus, totum se præbebat amatoribus suis; in eosque intuens, beatos dixit oculos videntes vel potius visuros, quæ præ cæteris ipsi primi spectabant. Hic ergo ita locutus est, ut in communi consuetudine fit. Verumtamen hoc nos sedulo cognoscere debemus; nempe hic videre, haud corporeorum oculorum actionem significare, C sed oblectationem potius quam pii homines ex Christi donis percipiunt. Veluti si quis dicat : Ille bona tempora vidit, pro bonis temporibus fruitus est. » Et illud, « Videas utinam tempora bona Jerusalem ! » quod in Psalmis dicitur [15], pro eo intelliges : utinam tibi contingat potiri bonis Jerusalem, supernæ illius scilicet et cœlestis ! Nam quod illi qui Christi miraculorum fuere spectatores, haud per se omnino absoluteque beati fuerint, quis dubitare queat? Plurimi enim Judæi Christum Deo digna operantem viderunt : neque tamen omnes appellare beatos merito possumus : nam neque crediderunt, neque gloriam ejus mentis oculis viderunt.

Ἀλλὰ γὰρ τίνα τρόπον ἐμακαρίσθησαν ἡμῶν οἱ ὀφθαλμοί; Τί δὲ ἄρα τεθεαμένοι; Εἴδομεν τὸν ἐν μορφῇ τοῦ Θεοῦ καὶ Πατρὸς Θεὸν Λόγον, δι' ἡμᾶς γενόμενον ἄνθρωπον· τὸν ὁμόθρονον τῷ Πατρὶ, μεθ' ἡμῶν, ἤγουν ἐν εἴδει τῷ καθ' ἡμᾶς, ἵν' ἡμᾶς ἑαυτῷ συμμόρφους ἀποτελέσῃ, δι' ἁγιασμοῦ καὶ δικαιοσύνης, ἐγχαράττων ἡμῖν τὸ τῆς ἑαυτοῦ θεότητος κάλλος, νοητῶς δηλονότι καὶ πνευματικῶς. Καὶ τούτου μάρτυς ὁ Παῦλος, οὕτω γεγραφώς· « Ὥσπερ γὰρ ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, οὕτω φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου· » χοϊκὸν κενὸν ἄνθρωπον εἶναι λέγων, τὸν πρωτόπλαστον Ἀδάμ· ἐπουράνιον δὲ, τὸν ἄνωθεν καὶ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς

Sed age quomodo beati dicti sunt oculi nostri? D Vel quid demum hi viderunt? Vidimus in forma Dei Patris Deum Verbum, propter nos hominem factum : Patris assessorem, inter nos versantem, id est, forma nostra vestitum; ut nos sibi conformes faceret, per sanctificationem atque justitiam, nobis imprimens divinitatis suæ pulchritudinem, intellectualiter nimirum ac spiritaliter. Rei hujus testis Paulus, ita scribens : « Sicut enim terreni imaginem gessimus, ita cœlestis quoque imaginem geremus [16] ; » terrenum vanumque hominem esse dicens, primum illum creatum Adamum; cœlestem autem, illud quod desuper ex substantia Patris efful-

[13] I Cor. II, 10. [14] Joan. XV, 15. [15] Psal. CXXVII, 5. [16] I Cor. XV, 49.

Digitized by Google

sit Verbum. Deinde factus, ut dixi, in similitudinem nostram naturalis ille Filius formam servi assumpsit [17], ut nos servitutis jugo alligatos, naturaliter **253** enim serva est creatura quælibet, liberos efficeret, bona ejus participantes : etenim filii appellati fuimus per ipsum et cum ipso. Pauper nobiscum effectus est, qui dives erat, ut hominis naturam ad suas opes extolleret. Mortem in crucis ligno gustavit, ut de medio auferret quæ propter lignum evenerat transgressionem, ut contractam culpam elueret, mortisque a nobis tyrannidem procul pelleret. Vidimus cadentem Satanam; humiliatum, qui superbiebat; sine honore eum, qui antea adorabatur; eum qui Deus videbatur, sanctorum pedibus conculcatum. Iis enim potestas fuit attributa impuros spiritus increpandi.

Maxima est hæc dignitas hominisque naturam excedens, imo uni congruens qui est super omnia Deo. Hujus vero rei initium nobis fuit, manifestatum humana forma Verbum; increpabat enim impuros spiritus. Attamen miseri Judæi aiebant : « Hic non ejicit dæmonia nisi ope Beelzebul principis illorum [18]. » Quarum vocum impietati occurrebat Dominus dicens : Si ego ope Beelzebul ejicio dæmonia, filii vestri quo juvante ejiciunt? Quod si ego cum Dei Spiritu ejicio dæmonia, profecto pervenit in vos regnum Dei [19]. » Nam si ego, inquit, homo æque ac vos factus, nihilominus habeo congruæ Deo potestatis efficaciam, utique ad vos tam grande tamque eximium bonum devenit. In me enim gloriatur hominis natura posse Satanam se calcare. Itaque ad nos pervenit regnum Dei, dum versans nobiscum Verbum, in carne ipsa operatur quæ Deum decent. In hac nos conditione esse cognoscimus; beatique oculi nostri sunt, ineffabilem doctrinam ejus audivimus, notitiam Patris sui nos docuit, eum nobis propria in natura manifestavit, Mosaicarum figurarum veritatem fecit conspicuam. Hæc multi prophetarum cernere optarunt, plurimi quoque reges. Itaque **254** comperiemus modo quidem dicentes : « Ostende nobis, Domine, misericordiam tuam, et salutare tuum da nobis [20]. » Salutaris quippe misericordiæ nomine Filium designant. Rursus aliquando : « Memento, Domine, in beneplacito populi tui; visita nos in salutari tuo; ad videndum in bonitate electorum tuorum, ad lætandum in lætitia cum gente tua [21]. » Quænam autem sit gens electa in Christo a Deo Patre, edisseret sapientissimus Petrus homines fide præstantes alloquens : « Vos autem genus electum, regale sacerdotium, gens sancta, populus acquisitionis, ut virtutes annuntietis ejus, qui de tenebris vos vocavit in admirabile lumen suum [22]. »

A ἐλλάμψαντα Λόγον. Εἶτα γενόμενος ὡς ἔφην, ἐν ὁμοιώσει τῇ πρὸς ἡμᾶς ὁ κατὰ φύσιν Υἱὸς ἔλαβε δούλου μορφήν, ἵν' ἡμᾶς τοὺς ἐν ζυγῷ δουλείας κατεσφιγμένους, φύσει γὰρ δοῦλόν ἐστι τὸ κτιστὸν, ἐλευθέρους ἀποφήνῃ, τὰ αὐτοῦ κερδαίνοντας· ὠνεμάσμεθα γὰρ υἱοὶ δι' αὐτόν τε καὶ σὺν αὐτῷ· συνεπτώχευσεν ἡμῖν πλούσιος ὤν, ἵνα τὴν ἀνθρώπου φύσιν εἰς τὸν ἴδιον ἀγάγῃ πλοῦτον· ἐγεύσατο θανάτου διὰ ξύλου καὶ σταυροῦ, ἵν' ἐκ μέσου ποιήσῃ τὴν διὰ ξύλου παράβασιν, καὶ τὰ ἐπ' αὐτοῖς δὴ τούτοις αἰτιάματα καταλύσῃ, καὶ τῆς καθ' ἡμῶν τυραννίδος ἀποστήσῃ τὸν θάνατον· εἴδομεν πεσόντα τὸν Σατανᾶν· ἐν ταπεινώσει, τὸν ἀλαζόνα· ἄτιμον, τὸν ποτὲ προσκυνούμενον· τὸν ἐν ὑπολήψει θεότητος, ὑπὸ πόδας ἁγίων· ἔλαβον γὰρ ἐξουσίαν πνεύμασιν ἀκαθάρτοις B ἐπιτιμᾷν (1).

Ἀξίωμα δὲ τοῦτο πάμμεγα καὶ ὑπὲρ ἀνθρώπου φύσιν καὶ μόνῳ πρέπον τῷ πάντων ἐπέκεινα Θεῷ· ἀρχὴ δὲ τούτου γέγονεν ἡμῖν, ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνὼς ὁ Λόγος· καὶ γοῦν ἐπέπληττε μὲν τοῖς ἀκαθάρτοις πνεύμασιν. Ἔφασκον δὲ οἱ τάλανες Ἰουδαῖοι, ὅτι « Οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων. » Πρὸς ταύτας αὐτῶν τὰς ἀνοσίους φωνὰς ὑπήντα λέγων ὁ Κύριος· « Εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσιν; Εἰ δ' ἐγὼ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ. » Εἰ γὰρ ἐγὼ, φησὶν, ἄνθρωπος καθ' ὑμᾶς γεγονὼς, ἔχω οὕτως τῆς θεο- C πρεποῦς ἐξουσίας τὴν ἐνέργειαν, ἐφ' ὑμᾶς κατέβη τὸ οὕτω μέγα καὶ ἐξαίρετον ἀγαθόν· εὐδοκιμεῖ γὰρ, φησὶ, ἡ ἀνθρώπου φύσις ἐν ἐμοὶ πατοῦσα τὸν Σατανᾶν· οὐκοῦν ἐφ' ἡμᾶς ἔφθασεν ἡ βασιλεία τοῦ Θεοῦ, τοῦ καθ' ἡμᾶς γεγονότος Λόγου καὶ μετὰ σαρκὸς ἐνεργοῦντος τὰ θεοπρεπῆ· ἐν τούτοις ὄντας ἑαυτοὺς; τεθεάμεθα· καὶ μακάριοι γεγόνασιν ἡμῶν οἱ ὀφθαλμοί· ἠκούσαμεν αὐτοῦ τῆς ἀῤῥήτου μυσταγωγίας· ἐδίδαξεν ἡμᾶς τὰ περὶ τοῦ Θεοῦ καὶ Πατρός· ἔδειξεν ἡμῖν αὐτὸν ἐν ἰδίᾳ φύσει· ἐμφανῆ κατέστησε τῶν διὰ Μωϋσέως τύπων τὴν ἀλήθειαν. Ταῦτα πολλοὶ τῶν προφητῶν ἐπεθύμησαν ἰδεῖν, πλεῖστοι δὲ καὶ βασιλεῖς· καὶ γοῦν εὑρήσομεν ποτὲ μὲν λέγοντας· « Δεῖξον ἡμῖν, Κύριε, τὸ ἔλεός σου, καὶ τὸ σωτήριόν σου δῷης ἡμῖν· » ἔλεος γὰρ σωτήριον ὀνομά- D ζουσι τὸν Υἱόν· ποτὲ δὲ πάλιν· « Μνήσθητι ἡμῶν, Κύριε, ἐπὶ εὐδοκίᾳ τοῦ λαοῦ σου, ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ σου· τοῦ ἰδεῖν ἐν τῇ χρηστότητι τῶν ἐκλεκτῶν σου, τοῦ εὐφρανθῆναι ἐν εὐφροσύνῃ, μετὰ τοῦ ἔθνους σου. » Ἔθνος δὲ ποῖόν ἐστι τὸ ἐξειλεγμένον ἐν Χριστῷ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, ἐξηγήσεται λέγων ὁ σοφώτατος Πέτρος πρὸς τοὺς διὰ πίστεως εὐδοκιμηκότας· « Ὑμεῖς δὲ γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν, ἵνα τὰς ἀρετὰς ἐξαγγείλητε τοῦ ἐκ σκότους ὑμᾶς καλέσαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς. »

[17] Philipp. II, 7. [18] Matth. XII, 24. [19] Ibid. 27, 28. [20] Psal. LXXXIV, 8. [21] Psal. CV, 4, 5. [22] I Petr. II, 9.

(1) Agitur de potestate exorcismorum quam Ecclesiæ suæ Christus contulit.

Digitized by Google

Ἰδοὺ νομικός τις ἀνέστη ἐκπειράζων αὐτὸν, κ. τ. λ.

(E f. 170) Καιρὸν μὲν ἐκεῖνόν φησι καθ' ὃν ὁ Σωτὴρ τὰς διατριβὰς ἐπὶ τῆς γῆς ἐποιεῖτο, ὁ πανταχοῦ παρὼν, καὶ τῶν πατρικῶν μὴ ἐξιστάμενος. — (A f. 141) Νομικὸν (1) δὲ ἐν τούτοις φησὶν ὁ εὐαγγελιστὴς, τὸν νομοῖστορα, κατά γε τὴν παρὰ Ἰουδαίοις συνήθειαν, ἤγουν τὸν οἰόμενον εἰδέναι τὸν νόμον, οὐ μὴν ἔτι καὶ εἰδότα κατὰ ἀλήθειαν. Οὗτος ἐνόμισε συναρπάσαι Χριστόν· καὶ ἐπί τισιν, ἐρῶ. Λογοποιοί τινες ἀθυροστομεῖν εἰωθότες, ἅπασαν περιεφοίτων τὴν τῶν Ἰουδαίων χώραν, καὶ αὐτὴν δὲ τὴν Ἱερουσαλὴμ, κατηγοροῦντες Χριστοῦ, καὶ φάσκοντες, ὅτι τὴν μὲν διὰ τοῦ Μωϋσέως ἐντολὴν ἀνόνητον εἶναί φησι, καινὰ δὲ αὐτὸς εἰσφέρει διδάγματα· ἦσαν δὲ τῶν πιστευσάντων ἤδη τινὲς, οἱ τοῖς παρ' ἐκείνων ἀντέπραττον λόγοις, ἀποδεχόμενοι πανταχοῦ τὸ εὐαγγελικὸν σωτήριον κήρυγμα. Ἐθελήσας τοίνυν ὁ νομικὸς, ἤγουν οἰηθεὶς δύνασθαι παγιδεῦσαι Χριστὸν εἰς τὸ λαλῆσαί τι κατὰ Μωϋσέως, ἤγουν τῆς δι' αὐτοῦ λαληθείσης ἐντολῆς, κρείττονα τὴν παρ' ἑαυτοῦ διδασκαλίαν εἰπεῖν, πρόσεισι πειράζων αὐτὸν καὶ λέγων· « Τί ποιήσας, ζωὴν αἰώνιον κληρονομήσω. » Μεθ' ὑποκρίσεως πρόεισι, καὶ γνώμης ἐπιπλάστου καὶ τιμᾷν ὑποκρινόμενος, διδάσκαλον ὀνομάζει, ὡς ἂν διὰ τῆς χρηστολογίας ἡ ἐν αὐτῷ κεκρυμμένη διαλάθῃ πεῖρα· ἀλλ' εἶπεν ἄν τις αὐτῷ τῶν εὖ εἰδότων τῆς μετὰ σαρκὸς οἰκονομίας· τὸ μυστήριον· Εἰ νόμον ἠπίστασο, καὶ τῆς ἐν αὐτῷ κεκρυμμένης θεωρίας τὴν δύναμιν, οὐκ ἂν ἠγνόησας ὃν πειράζειν ἐπεχείρεις, εἰδότα τὰ κεκρυμμένα, καὶ καθορᾷν ἰσχύοντα τὰς τῶν προσιόντων αὐτῷ καρδίας. Διδάσκαλον ἀποκαλεῖς, μανθάνειν οὐκ ἀνεχόμενος· ὑποκρίνῃ τιμᾷν, συναρπάσαι προσδοκῶν. Ἄθρει δέ μοι πάλιν τὸ κακόηθες εἰς λόγους τοῦ νομικοῦ (2)· ἐξῆν μὲν γὰρ εἰπεῖν· Τί ποιήσας, σωθήσομαι, ἤγουν ἀρέσω Θεῷ, καὶ τὸν παρ' αὐτοῦ λήψομαι μισθόν; Ἀλλ' ἐκεῖνα μὲν ἀφίησι· κέχρηται δὲ μᾶλλον ταῖς τοῦ Σωτῆρος φωναῖς, τῆς ἑαυτοῦ κεφαλῆς καταχέων τὸν γέλωτα (3). Ἐπειδὴ γὰρ ἔθος ἦν τῷ πάντων Σωτῆρι Χριστῷ περὶ ζωῆς αἰωνίου διαλέγεσθαι συχνῶς τοῖς προσιοῦσιν αὐτῷ, διαλεγόμενος ὡς ἔφην ὁ περίαυτος νομικὸς, ταῖς αὐτοῦ κέχρηται φωναῖς. Ἀλλ' εἴπερ ἤσθα φιλομαθὴς ἀληθῶς, ὦ νομικὲ, ἤκουσας ἂν παρ' αὐτοῦ τὰ εἰς ζωὴν ἀποφέροντα τὴν αἰώνιον· ἐπεὶ δὲ πειράζεις· κακούργως, οὐδὲν ἕτερον ἀκούσῃ, πλὴν ὅτι μόνον τὰ διὰ Μωϋσέως τοῖς πάλαι τεθεσπισμένα· ἅπερ προδήλως οὐδὲ τὴν αἰώνιον εἶχε ζωὴν ἀντιμισθίαν, ἀλλὰ τὴν ἐνταῦθα διδομένην, τῶν τε κακῶν ἀπαλλαγὴν, καὶ τῶν χρηστοτέρων ἀντίδοσιν. « Ἐὰν γὰρ θέλητε καὶ εἰσακούσητέ μου, φησὶ, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται. »

Εἶπε δὲ αὐτῷ· Ὀρθῶς ἀπεκρίθης, κ. τ. λ.

(A f. 143, B f. 106, E f. 177) Πλὴν ἀπαγγείλαντος τοῦ νομικοῦ τὰ ἐγκείμενα τῷ νόμῳ, κολάζων αὐτοῦ

A V. 25. *Ecce quidam nomicus surrexit tentans illum*, etc.

Tempus quidem dicit illud quo Servator versabatur in terra, ille ubique præsens et a paterno sinu nunquam absens. Nomicum autem hic evangelista legisperitum appellat secundum Judæorum consuetudinem, nempe hominem qui credebatur legem cognoscere, etsi aliter res se habebat. Hic putavit posse a se Christum decipi. Quanam autem in re, jam dicam. Garruli quidam homines, effreni lingua uti soliti, universam Judæorum regionem concursabant, ipsamque Jerusalem, Christum criminantes, cum dicerent ab illo Moysis legem inutilem pronuntiari, novasque doctrinas invehi. Erant tamen jam nonnulli credentes, qui illorum sermonibus contradicebant et evangelicam Servatoris prædicationem prono animo admittebant. Volens itaque nomicus, vel potius sperans, posse a se Christum irretiri, ut aliquid contra Moysen, id est contra legem per eum latam diceret, melioremque esse affirmaret doctrinam suam, accedit tentans eum dicensque : « Quid agam, ut vitam æternam consequar ? » Nimirum cum hypocrisi procedit fictaque mente ; et honorare simulans, magistrum appellat, ut sub blandi sermonis velamine tentatio ejus lateret. Atqui aliquis incarnationis mysterium minime ignorans fortasse hujusmodi diceret : Si legem **255** scires, reconditæque illic doctrinæ vim, profecto etiam scires, ab eo quem tentas, res occultas non ignorari eique corda accedentium patescere. Magistrum dicis, quem audire non sustines ; honorare simulas, quem decipere speras. Et videsis adhuc nomici improbam loquendi rationem. Nam cum dicere posset : Quid agam ut salver, sive Deo placeam, ab eoque mercedem recipiam ; his omissis, Servatoris vocabulis utitur, ridiculum plane se exhibens. Nam quia solebat universalis Servator Christus de vita æterna ad sibi accedentes perpetuo loqui, nomicus hic de se magnifica sentiens, utitur illius vocibus. Sed enim si vere esses, o nomice, discendi cupidus, utique ab eo quæ ad vitam æternam conferunt audivisses ; nunc quia maligne tentas, nihil aliud audies quam quæ a Moyse priscis hominibus præscripta fuerunt ; quæ quidem constat ne æternam quidem vitam, sed præsentem tantummodo mercedis loco contulisse, malaque avertisse, et paulo meliora bona retribuisse. Nam « Si volueritis, inquit, mihi auscultare, terræ bona manducabitis ; sin vero obtemperare mihi recusabitis, gladio consumemini [22]. »

V. 28. *Dixitque illi : Recte respondisti*, etc.

Nomico referente quid esset in lege, ut malitiam ejus puniat, mentemque improbam Christus, qui

[22] Lev. xxvi, 3 seqq.

(1) De nomico videsis copiose disserentem Arsenium apud nos *Class.* 14., t. X, p. 553-557.

(2) Corderius in sua Lat. catena a loci sensu prorsus aberrans scribit, *verum incitat me rursus cacoethes in sermonem legisperiti.*

(3) Perverso rursus sensu Corderius, *ut eum risui haberet.*

Digitized by Google

omnia novit, coarguat, « Recte respondisti, ait; hoc fac, et vives. » Atque ita speratam prædam amisit nomicus, ruptum est fraudis rete. Ergo nos illi inclamemus Jeremiæ voce : « Præda fuisti, captus es [24]. » — Præda amissa, ad jactantiam devolvitur, a dolo ad superbiam; nam vitia eum alternatim circumveniunt. Interrogaverat enim non quia discere vellet, sed, ut ait evangelista, quia **256** semet justum ostendere studebat. Et videsis quomodo et sui nimis amans et simul tumidus impudenter respondet : « Et quis est meus proximus? » Quis est hic, inquit, ut eum tanquam me ipsum amem? Ego enim cunctis emineo, legis doctor sum, sententiam dico in omnes, nemo in me; judico, et non judicor, excedo dignitate omnes, cunctis præsto, cunctis impero. Quis est, inquam, proximus meus, ut hunc ceu me ipsum diligam? Nemo igitur, o legis doctor, tibi est comparandus? Cunctis superiorem te facis? Demitte supercilium, memento quid dicat Proverbiorum auctor : « Sui ipsius cognitores, sapientes sunt [25]. » Revera in his tota vitæ virtus consistit, in Deo scilicet amando ac proximo : quæ quidem a nobis præcepta non immutantur, sed ultra Judaicam mensuram extenduntur : cujus extensionis virtus, prædictorum præceptorum utrumque complectitur. Namque ex toto corde et anima et viribus Deum amare, expellit amorem divitiarum, voluptatum, vanæque gloriæ; abstrahit a mundi affectu, a mundo separat, Christo copulat; atque ut summatim dicam, Christianum ex Judæo facit. Item proximi amor recte intellectus, nempe si erga non unam gentem fuerit, sed erga omne nobis connaturale genus, charitatem erga Deum subsequitur; adjiciens etiam, per Christi imitationem, ut ne tantummodo sicuti nosmet ipsos proximum diligamus, verum etiam supra nos; in tantum, ut animam quoque pro dilectis hominibus ponamus, quod fecit Dominus. Porro laudatus a Servatore nomicus quod pulchrum responsum fecisset, in superbiam erupit, neminem sibi proximum esse statuens; quasi nemo justitiæ merito secum certare posset. Ita apud se existimans ceu Pharisæus ille qui aiebat : « Non sum sicut cæteri hominum [26]. » Nempe ignorans, justitiam corrumpi, nisi quod fit, charitate fiat. Et hic itaque charitate carere convincitur; neque illa tantummodo erga Deum, sed sine dubio etiam **257** illa quæ tendit in proximum, quandoquidem is neminem sibi proximum judicat. Exploratum quippe est, eum qui fratrem quem videt non diligit, non posse Deum quem non videt diligere.

V. 30. *Homo quidam descendebat*, etc.

Animadverte quomodo proximum designat Salvator, non ex genere illum definiens, non virtute pro-

A τὴν πονηρίαν, καὶ τὸ δύστροπον ἐλέγχων φρόνημα Χριστὸς ὁ πάντα εἰδώς· « Ὀρθῶς ἀπεκρίθης, φησί· τοῦτο ποίει καὶ ζήσῃ. » Ἐκπέπτωκε τῆς θήρας (1) ὁ νομικὸς, ἐρράγη τῆς ἀπάτης τὸ λίνον· οὐκοῦν ἐπιφωνῶμεν αὐτῷ τὸ διὰ τῆς Ἱερεμίου φωνῆς· « Ἠγρεύθης καὶ ἐλήφθης. » — (A f. 143 b, E f. 178) Ἀποτυχὼν τῆς θήρας, ἐκκεκύλισται πρὸς φιλοδοξίαν· ἐξ ἀπάτης εἰς ὑπεροψίαν· ἀλλήλαις ὥσπερ αὐτὸν αἱ κακίαι κιχρῶσιν. Ἠρώτησε γὰρ οὐ μαθεῖν θέλων, ἀλλ' ἵ, φησὶν ὁ εὐαγγελιστὴς, θέλων ἑαυτὸν δικαιῶσαι. Ἄθρει δὲ ὅπως ἐκ φιλαυτίας τε ὁμοῦ καὶ ὑπεροψίας, ἀναίδην ἀνεφώνει· « Καὶ τίς ἐστί μου πλησίον; » Τίς ἐστιν οὗτος, φησὶν, ἵνα τοῦτον ὡς ἐμαυτὸν ἀγαπήσω; Ὑπερέχω πάντων· εἰμὶ νομικός· κρίνω πάντας, οὐ κρίνομαι παρά τινος· δικάζω, καὶ οὐ

B δικάζομαι· πάντων διαφέρω· πάντων κρειττων τυγχάνω· πᾶσιν ἐπιτάττω· πάντες μου χρῄζουσιν, ἐγὼ δὲ χρῄζω οὐδενός· τίς μου ἄρα ἐστὶ πλησίον, ἵνα τοῦτον ὡς ἐμαυτὸν ἀγαπήσω; Οὐδεὶς; αὖ, νομικὲ, κατὰ σέ; Πάντων ἐπέκεινα σαυτὸν ἀποφέρεις; Κατένεγκε τὴν ὀφρύν· μέμνησο τοῦ λέγοντος παροιμιαστοῦ· « Οἱ δὲ ἑαυτοῖς ἐπιγνώμονες, σοφοί. » Ὄντως ἐν τούτοις ἡ τῆς ζωῆς δύναμις ἐν τῷ ἀγαπᾷν τὸν Θεὸν καὶ πλησίον, οὐκ ἀλλαττομένοις ὑφ' ἡμῶν, ἀλλ' ἐπιτεινομένοις ὑπὲρ τὰ μέτρα τὰ Ἰουδαϊκὰ, καὶ τῆς ἐπιτάσεως ἐμπεριεχομένης δυνάμει τοῖς εἰρημένοις ἐπιτάγμασι. Τὸ γὰρ ἐξ ὅλης καρδίας, καὶ ψυχῆς,

C καὶ ἰσχύος τὸν Θεὸν ἀγαπᾷν, ὑπεξαίρει τὴν πρὸς χρήματα, τὴν πρὸς ἡδονὴν, τὴν πρὸς κενὴν δόξαν ἀγάπην· ἐξάγει κοσμικῆς διαθέσεως, ἐκλεκτὸν ἀπὸ κόσμου καθίστησι, συνάπτει Χριστῷ, καὶ τὸ ὅλον εἰπεῖν, Χριστιανὸν ἐξ Ἰουδαίου ποιεῖ. Ἥ τε πρὸς τὸν πλησίον ἀγάπη καλῶς νοουμένη, ὅταν μὴ πρὸς τὸ ὁμοεθνὲς ᾖ μόνον, ἀλλὰ πρὸς πᾶν τὸ ὁμογενὲς, ἀκόλουθος τῇ πρὸς Θεὸν ἀγάπῃ καθίσταται· προσλαμβάνουσα καὶ τὸ κατὰ μίμησιν Χριστοῦ, τὸ μὴ μόνον ὡς ἑαυτὸν, ἀλλὰ καὶ ὑπὲρ ἑαυτόν· ὥστε θεῖναι τὴν ψυχὴν ὑπὲρ τῶν φίλων· ὅπερ ὁ Κύριος πεποίηκεν. Ἐπαινεθεὶς μέν τοι ὑπὸ τοῦ Σωτῆρος ὁ νομικὸς, ὡς καλὴν τὴν ἀπόκρισιν ἐποιήσατο, τὴν ἀλαζονείαν ἐξέῤῥηξεν· οὐδένα εἶναι πλησίον ἑαυτοῦ τιθέμενος, ὡς οὐδενὸς ὄντος αὐτῷ κατὰ τὴν δικαιοσύνην ἐφαμίλλου. Τοιαῦτα δὴ φρονῶν οἷα ἐκεῖνος ὁ Φαρισαῖος, ὁ λέγων· « Οὐκ εἰμὶ ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων· »

D οὐκ εἰδὼς ὡς τοῦτο διαφθείρει τὴν δικαιοσύνην, τὸ μὴ ἐξ ἀγάπης ὃ πράττει ποιεῖν. Ἐνδεὴς οὖν καὶ οὗτος τῆς ἀγάπης ἁλίσκεται· πάντως μὲν καὶ τῆς πρὸς Θεὸν, οὐ μὴν ἀλλὰ καὶ τῆς γε πρὸς τὸν πλησίον, ἐμφανῶς, ὅπου οὐδὲ εἶναί τινα πλησίον ἑαυτοῦ λογίζεται· δῆλον δὲ ὅτι τὸν ἀδελφὸν οὐκ ἀγαπῶν ὃν ἑώρακεν, οὐ δύναται Θεὸν ἀγαπᾷν ὃν οὐχ ἑώρακεν.

Ἄνθρωπός τις κατέβαινεν, κ. τ. λ.

(E f. 179) Ὅρα δὲ πῶς δείκνυσιν τὸν πλησίον ὁ Σωτὴρ τίς ἐστιν, οὐ γένει διορίζων, οὐκ ἀρετῇ δο-

[24] Jerem. II, 14. [25] Prov. XIII, 10, juxta LXX. [26] Luc. XVIII, 11.

(1) **Corderius, mendose legens θύρας, ait, *jurisperitus a janua.* Item voc. ἠγρεύθης vertit *venabatur*, pro *præda fuisti.* Sed omnia hujusmodi animadvertere jam desinam; est enim id prope inutile vel certe odiosum, præsertim quia scriptores omnes multifariam labimur.**

Digitized by Google

κιμάζων ἀλλὰ τῇ φύσει συνάπτων, διηγούμενος περὶ τοῦ δεινὰ πεπονθότος ὑπὸ λῃστῶν, ᾧ φιλανθρωπία παρὰ παντὸς ἀνθρώπου προσήκει, τοῦτο τῆς φύσεως αὐτῆς ἀπαιτούσης. Συνεπιδείκνυται δὲ ἐν τῇ παραβολῇ καὶ τοῦτο, ὅτι μᾶλλον εὑρίσκει τὸν κατὰ φύσιν πλησίον ὁ μὴ τετυφωμένος, ἤπερ ὁ τετυφωμένος· Σαμαρείτης γὰρ ὑπὲρ ἱερέα καὶ Λευίτην· ὅτι οἱ μὲν κείμενον ἡμιθνῆτα καὶ ἐν ἐσχάτοις ὄντα κακοῖς, ἀντιπαρῆλθον, οὐδὲν ἐπ' αὐτῷ πεπονθότες ἀνθρώπινον, οὐ τὸ ἐξ ἀγάπης ἔλαιον ἐπιστάξαντες, ἀσυμπαθὲς δὲ μᾶλλον καὶ ἀκηνὲς ἐσχηκότες τὸ φρόνημα. Ὁ γε μὴν ἀλλογενὴς καὶ τελῶν ἐν Σαμαρείταις πεπλήρωκε τῆς ἀγάπης τὸν νόμον. Ἄκουε γοῦν καὶ τῆς παραβολῆς. Ὑπολαβὼν δὲ ὁ Ἰησοῦς, κ. τ. λ.

A bans, sed ex sola natura denotans, narratione quam facit de quodam a latronibus male mulcato, cui misericordiam abs quovis homine deberi ait, ita ipsa natura exigente. Insuper in ea parabola docet facilius proximum connaturalem a non superbo inveniri, quam a superbo : Samaritanus enim sacerdote et Levita melior apparet : hi enim semivivum jacentem, et suprema calamitate correptum præterierunt, nulla humanitate commoti, neque charitatis oleum ei affundentes, sed inclementem potius crudelemque indolem retinentes. Contra vero alienigena et Samaritanus impleyit charitatis legem. Audi ergo etiam parabolam. Suscipiens autem Jesus, etc.

Ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, κ. τ. λ. B

V. 34. *Et imponens illum in jumentum suum*, etc.

(A f. 144, B f. 106 b, E f. 180 b) Ἄλλως δὲ, ἐπειδὴ, κατὰ τὸ γεγραμμένον, « Ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκεν, ἀλλὰ παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς, » καὶ πᾶσαν μὲν ἐπιθυμίαν βοσκηματώδη καὶ ἀκόλαστον κατηρρώστησεν· ἀπαρχὴ γενόμενος τοῦ γένους ἡμῶν ὁ Χριστὸς, ὁ μὴ εἰδὼς ἁμαρτίαν, ἐν ἑαυτῷ πρῶτον ἔδειξε τούτων τῶν κτηνωδῶν παθῶν ὑπεραναβάντας ἡμᾶς· αὐτὸς γὰρ τὰς ἀσθενείας ἡμῶν ἔλαβε, καὶ τὰς νόσους ἐβάστασε. Διὰ τοῦτο εἶπεν, ὅτι τὸν τυχόντα τῆς θεραπείας ἐπὶ τὸ ἴδιον ὑποζύγιον ἀνεβίβασεν· ἐν ἑαυτῷ γὰρ ἡμᾶς ἔφερεν, ὅτι ἐσμὲν μέλη τοῦ σώματος αὐτοῦ. Ἀλλὰ μὴν καὶ εἰς πανδοχεῖον ἀπήγαγε· πανδοχεῖον δὲ τὴν Ἐκκλησίαν καλεῖ, τὴν πάντων γενομένην δεκτικὴν καὶ χωρητικήν. Οὐκέτι γὰρ κατὰ τὸ στενὸν τῆς νομικῆς σκιᾶς καὶ τῆς ἐν τύποις λατρείας ἀκούσομεν· « Οὐκ εἰσελεύσεται Ἀμμανίτης καὶ Μωαβίτης εἰς ἐκκλησίαν Θεοῦ· » ἀλλά· « Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη. » Καί· « Ἐν παντὶ ἔθνει ὁ φοβούμενος τὸν Κύριον καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστι. » Καὶ ἀπαγαγὼν, μείζονος ἐπιμελείας ἠξίωσε. Καὶ γὰρ τῆς Ἐκκλησίας συλλεγείσης ἐκ τῶν τῇ πολυθεΐᾳ νενεκρωμένων ἐθνῶν, αὐτὸς ἦν ὁ Χριστὸς ἐν αὐτῇ, κατὰ τὸ γεγραμμένον, οἰκῶν καὶ ἐμπεριπατῶν, καὶ πᾶσαν πνευματικὴν δωρούμενος χάριν. Ὅθεν καὶ τῷ προεστῶτι τοῦ πανδοχείου (νοηθείη δ' ἂν οὗτος τύπον ἐπέχειν τῶν ἀποστόλων καὶ τῶν μετ' αὐτοὺς ποιμένων καὶ διδασκάλων) εἰς οὐρανοὺς ἀνιὼν ἔδωκε δύο δηνάρια, προνοεῖν ἐπιμελῶς τοῦ ἠρρωστηκότος. Καὶ προσθεὶς, ὡς Ἐάν τι προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι. Δύο δηνάρια, τὰς δύο Διαθήκας φησὶ, τήν τε διὰ τοῦ νόμου Μωϋσέως καὶ τῶν προφητῶν, τήν τε διὰ τῶν Εὐαγγελίων δοθεῖσαν καὶ τῶν ἀποστολικῶν διατάξεων· καὶ ἀμφοτέρας ἑνὸς οὔσας Θεοῦ, καὶ μίαν εἰκόνα τοῦ ἄνω καὶ ἑνὸς βασιλέως φερούσας, ὡς τὰ δηνάρια, καὶ τὸν αὐτὸν μὲν χαρακτῆρα ταῖς καρδίαις ἡμῶν διὰ τῶν ἱερῶν λογίων ἐνσφραγιζομένας καὶ ἐντυπούσας, ἐπείπερ καὶ ἐν αὐταῖς καὶ τὸ αὐτὸ Πνεῦμα λελάληκεν. Ἐρ-

Alioqui vero, quia, uti scriptum est : « Homo cum in honore esset, non intellexit, sed comparatus est jumentis insipientibus, et similis factus est illis [27], » atque omni belluina ac effreni cupiditate laborare cœpit ; factus generis nostri inchoatio Christus, qui peccatum nescivit, in seipso primo nos ostendit belluinarum harum cupiditatum victores. Ipse enim infirmitates nostras suscepit, morbosque gestavit. Propterea dixit, quod illum cui medebatur in jumentum suum imposuerit ; in se enim nosmet ferebat, quia membra sumus corporis ejus. Sed et in publicum hospitium duxit ; hospitium Ecclesiam vocans, quæ cunctos excipit continetque. Neque C enim jam secundum legalis umbræ typicique cultus angustias audiemus : « Non intrabit Ammanita ac Moabita in ecclesiam Dei [28] ; » sed : « Euntes, docete omnes gentes [29]. » Itemque : **258** « In omni gente, qui timet Dominum et operatur justitiam, acceptus est illi [30]. » Et sic deductum ægrum majore adhuc cura prosecutus est. Nimirum in Ecclesia, quæ ex gentibus polytheismo mortuis constat, Christus ipse versatur, uti scriptum est, habitans et inambulans, et spiritualem omnem suppeditans gratiam. Unde et hospitii præfecto (hic autem figuram gerere credendus est apostolorum et reliquorum post ipsos pastorum ac magistrorum), cum in cœlum abiit, duos dedit denarios ut diligentem ægroto curam impen- D derent. Addens etiam : Et si quid supererogaveris, ego cum rediero reddam tibi. Duos denarios dicit Testamenta duo, nempe illud a Moysis lege prophetisque, et hoc ab Evangelio atque apostolicis constitutionibus datum ; quæ ambo a Deo sunt, unamque imaginem superni uniusque regis præ se ferunt, ut denarii solent ; eumdemque cordibus nostris characterem per sacras doctrinas imprimunt ac repræsentant ; quoniam utrumque unus et idem Spiritus dictavit Testamentum. Facessat enim Manes, et ante eum Marcion, irreligiosissimi homines, qui diversis diis ea attribuerunt. Unius profecto regis ambo denarii sunt, eodemque actu ac valore dati præfecto

[27] Psal. XLVIII, 21. [28] Deut. XXIII, 3. [29] Matth. XXVIII, 19. [30] Act. X, 35.

Digitized by Google

hospitii a Christo. Quos quidem acceptos sanctissimarum ecclesiarum pastores, nec sine labore ac sudoribus ampliantes, et de propria etiam crumena aliquid proferentes, et usu potius augentes (hoc enim spirituale argentum impensis non minuitur, sed augetur, cujusmodi reapse est doctrinæ magisterium) revertenti postrema die Domino dicent unusquisque : Domine, duos denarios dedisti mihi : ecce insuper mea industria expendens, duos alios lucratus sum, quibus gregem amplificavi. Ille vero respondens dicet : « Euge, serve bone et fidelis ; quia in paucis fuisti fidelis, super multa te constituam ; intra in gaudium Domini tui [31]. »

259 V. 36. *Quis horum trium videtur tibi proximus fuisse illi, qui incidit in latrones?*

Merito Dominus interrogavit, quemnam e tribus proximiorem se demonstrasse patienti existimaret? Hic autem : Illum puto, inquit, qui misericors fuit. Non enim sive sacerdos sive Levita proximus fuit patienti, sed qui misertus est ejus. Tunc ait Christus : « Vade, et tu fac similiter. » Est enim inutilis sacerdotii dignitas his qui eam sortiti sunt; item iis qui videntur legis periti, hoc nomine appellari non prodest, nisi factis ipsis justam famam obtineant. En charitatis corona texitur ei qui proximum adamavit. Erat hic Samaritanus, non tamen idcirco abjectus. Propterea testatus est discipulorum princeps, beatus nimirum Petrus, his verbis utens : « Vere comperimus, non esse personarum acceptorem Deum, sed in omni gente quisquis eum timet, et operatur justitiam, acceptum illi esse [32]. » Recipit enim omnes bonorum operum studiosos virtutis amans Deus, eosque diligit, et amicorum loco habet, ac futuris bonis dignatur.

V. 38. *Mulier quædam Martha nomine excepit illum in domum suam.*

Verumtamen, ut hæc historia demonstrat, magnum quid est et pretiosum hospitalitatis officium. Testabitur et sapientissimus Paulus dicens : « Hospitalitatis nolite oblivisci [33]. » Talis erat Martha quæ Dominum hospitio excepit, quam imitari præclarum est : sicuti etiam sororem ejus cupidissimam discendi Mariam, quæ Domini pedibus assidens, doctrinis ejus mentem suam complebat. Erudit item hoc facto discipulos suos Servator, ut cognoscant qualiter quove modo in hospitum suorum domibus diversari debeant. Oportet enim ingressos non tam supinari ad oblectationes, ne harum causa videantur apud aliquos hospitari, sed ut potius hospites suos sacris divinisque doctrinis impleant.

δαπανήσας οἰκοθεν, ἕτερα δύο κεκέρδηκα, δι' ὧν τὸ ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σου. »

A ῥέτω γὰρ Μάνης, καὶ πρὸ αὐτοῦ Μαρκίων, οἱ ἀθεώτατοι, διαφόροις θεοῖς ταύτας μερίζοντες (1)· ἑνὸς γὰρ βασιλέως ἐστὶ τὰ δύο δηνάρια, καὶ κατὰ ταὐτὸν καὶ ὁμοτίμως δοθέντα τῷ προεστῶτι τοῦ πανδοχείου παρὰ Χριστοῦ· ἃ δὴ καὶ λαβόντες οἱ τῶν ἁγιωτάτων ἐκκλησιῶν ποιμένες, καὶ μετὰ πόνων καὶ ἱδρώτων ταῖς διδασκαλίαις πλατύναντες, καὶ οἰκοθεν προσδαπανήσαντες, καὶ διὰ τῆς δαπάνης μᾶλλον αὐξήσαντες (τοιοῦτον γὰρ τὸ νοητὸν ἀργύριον ἐξ ὧν δαπανᾶται, μὴ μειούμενον ἀλλ' αὐξόμενον, ὅπερ ὁ τῆς διδασκαλίας λόγος ἐστὶν), ἐπανερχομένῳ τῷ Δεσπότῃ κατὰ τὴν τελευταίαν ἡμέραν, ἐροῦσιν ἕκαστος· Κύριε, δύο δηνάρια δέδωκάς μοι· ἰδοὺ προσποίμνιον ἠύξησα. Καὶ ἀποκριθεὶς ἐρεῖ· « Εὖ, δοῦλε σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου. »

B *Τίς οὖν τούτων τῶν τριῶν δοκεῖ σοι πλησίον γεγονέναι τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς;*

(A f. 146, E f 189 b) Εἰκότως ὁ Κύριος ἤρετο, τίνα τῶν τριῶν πλησίον γενέσθαι νενόμικε τοῦ πεπονθότος; Ὁ δέ· Ὁ ποιήσας, φησὶ, τὸ ἔλεος μετ' αὐτοῦ. Οὔτε γὰρ ὁ ἱερεὺς, οὔτε ὁ Λευίτης πλησίον γέγονε τοῦ πεπονθότος, ἀλλ' ὁ οἰκτισάμενος. Καὶ πρὸς ταῦτα Χριστός· « Πορεύου, καὶ σὺ ποίει ὁμοίως. » Ἀνόητον γὰρ τὸ τῆς ἱερωσύνης ἀξίωμα, τοῖς λαχοῦσιν αὐτὸ, καὶ τοῖς δοκοῦσιν εἶναι νομομαθέσι, τὸ ὠνομάσθαι νομομαθεῖς, εἰ μὴ δι' αὐτῶν εὐδοκιμοῦσι τῶν ἔργων. Ἰδοὺ γὰρ πέπλεκται τῆς ἀγάπης ὁ στέφανος τῷ τὸν πλησίον ἠγαπηκότι· Σαμαρείτης οὗτος ἦν, ἀλλ' οὐκ ἀπόβλητος. Διὰ τοῦτο μεμαρτύρηκεν ὁ πρῶτος ἐν μαθηταῖς, τουτέστιν ὁ μακάριος Πέτρος, C ὧδέ πως φήσας· « Ἐπ' ἀληθείας καταλαμβάνομεν ὅτι οὐκέτι προσωπολήπτης ὁ Θεὸς, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ποιῶν δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστι. » Προσίεται γὰρ ἅπαντας τοὺς τῶν ἀγαθῶν ἐπιτηδευμάτων ἐραστὰς ὁ φιλάρετος Κύριος, καὶ ἀσπάζεται, καὶ γνησίους τίθησι, καὶ τῶν μελλόντων ἀξιοῖ ἀγαθῶν.

Γυνὴ δέ τις ὀνόματι Μάρθα ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς.

(A f. 146 b) Πλὴν, κατὰ τὴν ἱστορίαν, μέγα τε χρῆμα καὶ ἀξιόκτητον ὁ τῆς φιλοξενίας τρόπος· καὶ μαρτυρήσει λέγων ὁ σοφώτατος Παῦλος· « Τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε. » Τοιαύτη τις ἡ Μάρθα ὑποδεχομένη τὸν Κύριον, ἣν καλὸν καὶ μιμήσασθαι· D ὥσπερ καὶ τὴν φιλομαθεστάτην αὐτῆς ἀδελφὴν Μαρίαν, ἣ τοῖς τοῦ Σωτῆρος ποσὶ προσιζήσασα, τῶν παρ' αὐτοῦ διδαγμάτων τὴν ἑαυτῆς ἐμπίπλησι φρένα. Ὀνίνησι δὲ πάλιν καὶ διὰ τούτων ὁ Σωτὴρ τοὺς ἑαυτοῦ μαθητὰς, ἵν' εἰδεῖεν, ὅπως τε καὶ τίνα τρόπον ταῖς τῶν ἐπιδεχομένων αὐτοὺς οἰκίαις ἐνδιαιτᾶσθαι χρή. Δεῖ γὰρ εἰσβάλλοντας οὐχ ὑπτιοῦσθαι μᾶλλον εἰς ἀνέσεις, οὔτε μὴν ὅλως δοκεῖν ταύτης ἕνεκα τῆς αἰτίας καταλύειν παρά τισιν, ἀλλ' ἵνα

[31] Matth. xxv, 16-21. [32] Act. x, 34, 35. [33] Hebr. xiii, 2.

(1) Hanc Marcionis cum Mancte impiam consensionem narrat etiam sanctus Epiphanius hæres. 42, cap. 4.

Digitized by Google

μᾶλλον αὐτοὺς ἐπιμεστώσειαν μαθημάτων θείων καὶ ἱερῶν. Οἱ δὲ τὴν ἑστίαν αὐτοῖς ἀνευρύνοντες, ὑπαντάτωσαν ἱλαροὶ καὶ πρόθυμοι· οὐχ ὡς διδόντες τι μᾶλλον, ἀλλ' ὡς αὐτοὶ ληψόμενοι, κατὰ διττὸν τρόπον· πρῶτον μὲν γὰρ ταῖς παρὰ τῶν ξενιζομένων ἐντρυφήσουσι μυσταγωγίαις· εἶτα πρὸς τούτῳ καὶ τὸν τῆς φιλοξενίας κερδανοῦσι μισθόν. Ἐπιδεχόμενοι δὲ εἰς ἑστίαν τοὺς ἀδελφοὺς, μὴ περισπάσθωσαν περὶ πολλὴν διακονίαν, μὴ ζητείτωσαν τὰ ὑπὲρ χεῖρα καὶ χρείαν· λυπεῖ γὰρ πανταχοῦ ἐν παντὶ πράγματι τὸ περιττόν· ἐνεργάζεται μὲν γὰρ τοῖς φιλοξενεῖν ἐθέλουσιν ὄχνον· καμάτου δὲ τοῖς ἑστιωμένοις εὑρίσκεται πρόξενον.

A Verumtamen ii qui victum iis largiuntur, occurrant hilares alacresque, non tam ut dantes quam **260** ut accepturi; idque duplici ex causa: primum quidem quia hospitum suorum fruentur doctrinis, deinde etiam quia hospitalitatis mercedem consequentur. Dum autem convivio excipiunt fratres, ne multo ministerio distrahantur, nec præter id quod ad manum usumque fuerit, quidquam requirant: molestum enim est ubique et in omni re quidquid est nimium: nam et eos qui exhibere hospitalitatem volunt, remoratur, et iis qui recipiuntur hospitio grave est.

ΚΕΦΑΛ. ΙΑ'.

Ἐν τῷ εἶναι αὐτὸν ἐν τόπῳ τινὶ προσευχόμενον.

(A f. 147) Καί τοι Θεός ἐστιν ἀληθινὸς, καὶ Υἱὸς τοῦ ἐπὶ πάντας Θεοῦ, καὶ διανέμει μὲν αὐτὸς τῇ κτίσει τὰ πάντα, δι' ὧν ἂν εὖ ἔχοι καὶ σώζηται· δεῖται δὲ ὅλως αὐτὸς οὐδενός· πλήρης γάρ ἐστι, φησὶν, αὐτός· τίνος οὖν ἐν χρείᾳ καθεστάναι φαίη τις ἂν αὐτὸν, πάντα ἔχοντα φυσικῶς τὰ τοῦ Πατρός; Ἔφη γὰρ ἐναργῶς, ὅτι « Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστιν. » Ἔχει δὲ ὁ Πατὴρ τὸ εἶναι πλήρης ἀγαθοῦ παντὸς καὶ θεοπρεπῶν ἀξιωμάτων. Ἔστι δὲ τοῦτο καὶ τοῦ Υἱοῦ· καὶ τοῦτο εἰδότες οἱ ἅγιοι λέγουσιν, ὅτι « Ἐκ τοῦ πληρώματος αὐτοῦ πάντες ἡμεῖς ἐλάβομεν. » Τί δῆτα οὖν προσεύχεται, φησὶν, εἰ πλήρης ἐστὶ, καὶ οὐδενὸς ὅλως δεῖται τῶν τοῦ Πατρός; Πρὸς τοῦτό φαμεν ὅτι δίδωσι μὲν αὐτῷ τῆς μετὰ σαρκὸς οἰκονομίας ὁ τρόπος τὸ εἴπερ ἔλοιτο πληροῦν τὰ ἀνθρώπινα, καιροῦ καλοῦντος εἰς τοῦτο. Εἰ γὰρ ἔφαγε καὶ πέπωκεν, ὕπνου τε μετεσχηκὼς εὑρίσκεται, τί τὸ ἄτοπον κἂν εἰ τοῖς καθ' ἡμᾶς συγκαθιστάμενος μέτροις, καὶ ἀνθρωπίνην δικαιοσύνην ἀποπληρῶν, οὐκ ἀνεπιτήδευτον ἐποιεῖτο τὴν προσευχήν; ἵνα ἡμᾶς διδάξῃ μὴ ῥᾳθύμους εἶναι πρὸς τοῦτο· συντείνεσθαι δὲ μᾶλλον λιτὰς, οὐκ ἐν πλατείαις ἑστῶτας μέσαις (ἔδρων γὰρ τοῦτο τῶν Ἰουδαίων τινὲς, Γραμματεῖς δέ εἰσιν οὗτοι καὶ Φαρισαῖοι, φιλοδοξίας ἀφορμὴν τὸ χρῆμα ποιούμενοι), καταμόνας δὲ μᾶλλον, ἡσυχῇ τε καὶ ἀνακεχωρημένως, καὶ οἷον μόνους μόνῳ λαλοῦντας Θεῷ, καθαρῷ καὶ ἀπερισπάστῳ νῷ. Ἔδει γὰρ ἀγαθοῦ παντὸς καὶ ἐπωφελεστάτου τράγματος ἀρχὴν καὶ διδάσκαλον οὐχ ἕτερόν τινα ἡμῖν γενέσθαι μᾶλλον, ἀλλ' αὐτὸν τὸν ἐν πᾶσι πρωτεύοντα καὶ τὰς παρὰ πάντων δεχόμενον λιτάς.

CAP. XI.

V. 1. *Cum esset in quodam loco orans.*

Cum verus sit Deus, Filiusque supremi Dei, et ipse creaturis omnia distribuat per quæ bene habeant et conserventur; cumque nulla re prorsus indigeat, quia plenus, ut ait[35], est: cujusnam rei usum optari ab eo quisquam dicat, qui omnia naturaliter habet quæ Patris sui sunt? Dixit enim manifeste: « Omnia quæ Pater habet, mea sunt[36]. » Est Patris proprietas, ut omni re bona sit plenus Deoque dignis muneribus. Id vero proprium quoque Filii est: cujus rei sancti homines gnari aiunt: « De plenitudine ejus nos omnes accepimus[37]. » Cur ergo jam orat, inquit aliquis, si plenus est, et nulla re caret quam habet Pater? Ad hæc dicimus, dispensationis in carne modum concedere ei facultatem humana officia, si velit, implendi, cum occasio id tulerit. Nam si comedit et bibit, et somno indulsisse comperitur; quomodo sit absurdum, dum in nostræ naturæ finibus versaretur, et humanæ justitiæ daret operam, eum non incongruas preces frequentasse? ut nos doceret ne ad id genus officii torperemus, sed orationi animum intenderemus haud in mediis plateis stantes (id quod factitabant Judæi nonnulli, Scribæ nimirum ac Pharisæi, jactantiæ occasionem inde capientes), sed solitarii potius, tacite atque seorsum, soli cum solo Deo colloquentes, pura minimeque distracta **261** mente. Oportebat enim bonæ omnis atque utilissimæ rei cujuslibet initium nobis fieri atque magistrum haud alium magis, quam ipsum qui in cunctis princeps est, atque omnium preces excipit.

A

B

C

D

Εἶπε δὲ αὐτοῖς· Ὅταν προσεύχησθε, λέγετε· Πάτερ ἡμῶν, κ. τ. λ.

(A f. 149) Ὦ πολλῆς ἀφθονίας! ὦ γαληνότητος ἀσυγκρίτου καὶ μόνῳ πρεπούσης αὐτῷ! Τὴν ἰδίαν ἡμῖν χαρίζεται δόξαν, ἀναβιβάζει τὸ δοῦλον εἰς ἐλεύθερον ἀξίωμα, Πατέρα καλεῖν ἐφίησι τὸν Θεὸν, ὡς ἐν υἱῶν τάξει γεγενημένους. Παρ' αὐτοῦ δὲ καὶ τοῦτο μετὰ τῶν ἄλλων ἐσχήκαμεν· καὶ μαρτυρήσει λέγων ὁ σοφὸς Ἰωάννης περὶ αὐτοῦ· « Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι. »

V. 2. *Ait autem illis: Cum oratis, dicite: Pater noster*, etc.

O magna liberalitas! o incomparabilis unique ipsi conveniens clementia! Suam nobis largitur gloriam, servum ad liberi dignitatem subvehit, Patrem appellare concedit nobis Deum, ceu in filiorum ordine constitutis. Ab ipso autem hoc quoque munus accepimus; quam rem testabitur sapiens Joannes dicens: « Quotquot autem eum receperunt, dedit eis potestatem filios Dei fieri[37]. »

[35] Isa. I, 11. [36] Joan. XVI, 15. [37] Joan. I, 16. [37] ibid. 12.

Digitized by Google

Filii enim efficimur per genituram spiritalem, quæ nobis accidit haud a corruptibili semine, sed a verbo Dei virentis permanentisque, sicuti scriptum est : « Voluntarie enim genuit nos verbo veritatis, ut simus initium aliquod creaturarum ejus. » Namque ita sanctorum apostolorum quidam locutus est [58]. Quin adeo et ipse Christus rei viam evidentem ostendit dicens : « Nisi quis genitus fuerit ex aqua et Spiritu, non potest introire in regnum Dei [59]. » Imo vero, oportet enim quædam etiam penitiora vobis dicere, ipse nobis factus est tam splendidæ pretiosæque gratiæ via, janua, occasioque, cum sibi nostram similitudinem induit. Sumpsit enim servi formam; quamquam, prout intelligitur et est reapse Deus, liber est, ut sua nobis communicaret. Solus enim suapte natura ipse liber est, qui solus Filius est illius qui omnia excedit et universalis est Dominus, Patris, inquam, natura sua vereque liberi. Nam quod ad nativitatem perducitur, subditam habet creanti se cervicem. Canit itaque Melodus, aitque ad eum : « Quoniam omnia serviunt tibi [60]. » Quod autem nostra ad se transferens, sapiente ratione sua nobis communicaverit, testis aderit mysteriorum ejus **262** sacerdos sapientissimus Paulus scribens : « Qui cum dives esset, egenus est factus, ut nos inopia ejus divites essemus [61]. » Etenim inopiæ instar Deo Verbo fuit, res humani generis participare; opum autem instar est hominis naturæ, dum quæ sunt Christi accipit; quas inter libertatis dignitas est, eos potissime decens qui ad adoptionem in filios sunt vocati. Jam et hoc ipsum, ut dixi, donum ipsius est. Dixit enim nobis : « Nolite patrem vobis vocare super terram : unus enim est Pater vester cœlestis : vos autem cuncti fratres estis [62]. » Nam quia unus ipse de nobis factus est, idcirco fraternitatem cum illo nacti sumus. Jubet itaque nos audere, et Patrem in precibus invocare. Sapientissime autem illud quoque orantes vult cogitare : nam si Patrem appellamus Deum, tamque splendido affecti honore fuimus, cur indignam honorante vitam degimus? Hoc quidam sanctorum apostolorum ait : « Si Patrem invocatis eum qui sine personarum acceptione, secundum uniuscujusque opus judicat, cum timore incolatus vestri tempore conversamini [63]. »

Μεμορφώμεθα γὰρ εἰς υἱότητα, διὰ γεννήσεως τῆς πνευματικῆς, τελουμένης ἐν ἡμῖν οὐκ ἐκ σπορᾶς φθαρτῆς μᾶλλον, ἀλλὰ διὰ λόγου ζῶντος Θεοῦ καὶ μένοντος, καθὰ γέγραπται· « Βουληθεὶς γὰρ ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας, εἰς τὸ εἶναι ἡμᾶς ἀπαρχήν τινα τῶν ἑαυτοῦ κτισμάτων. » Ἔφη γάρ οὕτω τις τῶν ἁγίων ἀποστόλων. Καὶ αὐτὸς δέ που Χριστὸς, τὴν τοῦ πράγματος ὁδὸν ἐναργῆ καθίστη, λέγων· « Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. » Μᾶλλον δέ, δεῖ γὰρ πρὸς ὑμᾶς (1) καί τι τῶν ἀπορρήτων εἰπεῖν, αὐτὸς ἡμῖν γέγονε τῆς οὕτω λαμπρᾶς καὶ ἀξιοκτήτου χάριτος ὁδὸς, καὶ θύρα, καὶ ἀφορμὴ, τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ὑπελθών· ἔλαβε γὰρ δούλου μορφὴν, καίτοι καθ' ὃ νοεῖται καὶ ἔστιν Θεὸς, ἐλεύθερος ὤν, ἵν' ἡμῖν τὰ ἑαυτοῦ χαρίσηται. Μόνος γὰρ κατὰ φύσιν ἐλεύθερος αὐτὸς, ὅτι καὶ μόνος ἐστὶν Υἱὸς τοῦ τὰ πάντα ὑπερκειμένου καὶ κατεξουσιάζοντος τῶν ὅλων, φύσει τε καὶ ἀληθῶς ἐλευθέρου Πατρός· πᾶν γὰρ τὸ παρενεχθὲν εἰς γένεσιν, δοῦλον ὑπέχει τῷ κτίσαντι τὸν αὐχένα. Ψάλλει γοῦν ὁ Μελῳδὸς, καί φησι πρὸς αὐτόν· « Ὅτι τὰ σύμπαντα δοῦλά σου. » Ὅτι δὲ τὰ ἡμῶν εἰς ἑαυτὸν μεταθεὶς, οἰκονομικῶς δέδωκεν ἡμῖν τὰ ἑαυτοῦ, πιστώσεται γράφων ὁ τῶν αὐτοῦ μυστηρίων ἱερουργὸς, ὁ πάνσοφος Παῦλος· « Ὅτι πλούσιος ὢν, ἐπτώχευσεν, ἵν' ἡμεῖς τῇ αὐτοῦ πτωχείᾳ πλουτήσωμεν. » Πτωχεία μὲν γὰρ τῷ Θεῷ Λόγῳ, τὰ καθ' ἡμᾶς, ἤτοι τὰ ἀνθρώπινα· πλοῦτος δὲ τῇ ἀνθρώπου φύσει, τὸ λαβεῖν τὰ αὐτοῦ· ὧν ἓν ἐστι τὸ ἐλεύθερον ἀξίωμα, πρέπον ὡς μάλιστα τοῖς εἰς υἱότητα κεκλημένοις. Αὐτοῦ δὲ καὶ τοῦτο, ὡς ἔφην, τὸ δῶρον· ἔφη γὰρ πρὸς ἡμᾶς· « Καὶ πατέρα μὴ καλέσητε ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὁ Πατὴρ ὑμῶν, ὁ οὐράνιος· πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστε. » Ἐπειδὴ γὰρ γέγονε καθ' ἡμᾶς, διὰ τοῦτο πεπλουτήκαμεν ἡμεῖς τὴν πρὸς αὐτὸν ἀδελφότητα. Κελεύει τοίνυν παῤῥησιάζεσθαί τε καὶ λέγειν ἐν προσευχαῖς Πατέρα. Οἰκονομικώτατα δὲ λίαν δίδωσι κἀκεῖνο τοῖς προσευχομένοις ἐννοεῖν· εἰ γὰρ Πατέρα καλοῦμεν τὸν Θεὸν, καὶ τῆς οὕτω λαμπρᾶς ἠξιώθημεν τιμῆς, πῶς οὐκ ἄξιος τοῦ τετιμῆκότος πολιτευσόμεθα; Τοῦτό τις ἔφη τῶν ἁγίων ἀποστόλων· « Εἰ Πατέρα ἐπικαλεῖσθε τὸν ἀπροσωπολήπτως κρίνοντα κατὰ τὸ ἑκάστου ἔργον, ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε. »

V. 2. *Sanctificetur nomen tuum.*

Num sanctitatis additamentum fieri petimus Deo sanctissimo? Hoc quidem prorsus est improbabile. Plenus est enim, ut ipse ait [64], se ipso, atque in se perfectissimus; imo ipse sanctitatem creatis rebus suppeditat de plenitudine sua. Stultum insuper et ridiculum est existimare, eos qui orant non magis pro se, quam pro illo, preces effundere. Quid

Ἁγιασθήτω τὸ ὄνομά σου.

(A f. 149 b) Ἆρα ἁγιασμοῦ προσθήκην ἐγγενέσθαι παρακαλοῦμεν τῷ παναγίῳ Θεῷ; Καὶ μὴν τοῦτό ἐστιν οὐκ ἄμεμπτον παντελῶς. Πλήρης γάρ ἐστι, καθά φησιν αὐτὸς, ἐξ ἑαυτοῦ τε καὶ ἐν ἑαυτῷ παντέλειος, καὶ αὐτός ἐστιν ὁ χορηγῶν τῇ κτίσει τὸν ἁγιασμὸν ἐξ ἰδίου πληρώματος. Πρὸς δὲ αὖ τούτοις, εὔηθες καὶ καταγέλαστον τὸ νομίζεσθαι τοὺς

[58] Jac. I, 18. [59] Joan. III, 5. [60] Psal. CXVIII, 91. [61] II Cor. VIII, 9. [62] Matth. XXIII, 9. [63] I Petr. I, 17. [64] Isa. I, 2.

(1) Nota indicium, recitatam ad populum fuisse homiliarum more hanc explanationem; sicut alibi vocabulum vocativum *charissime* id ipsum innuit.

Digitized by Google

προσευχομένους οὐχ ὑπέρ γε μᾶλλον ἑαυτῶν, ἀλλ' ὑπὲρ αὐτοῦ ποιεῖσθαι τὰς λιτάς. Τί οὖν ἄρα ἐστὶ τὸ, « Ἁγιασθήτω τὸ ὄνομά σου; » Φαμὲν, ὅτι οὐχ ἁγιασμοῦ προσθήκην ἐνυπάρξαι παρακαλοῦσι τῷ ἐπὶ πάντας Θεῷ. Τίς γὰρ ἐστιν ὁ μείζων αὐτοῦ, καὶ προσδοῦναί τι δυνάμενος; Χωρὶς γὰρ πάσης ἀντιλογίας, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται· ἐκεῖνο δὲ μᾶλλον ἑαυτοῖς τε καὶ πᾶσιν ὑπάρξαι παρακαλοῦσιν. Ὅτε διακείμεθα καὶ πιστεύομεν ὅτι Θεὸς ὁ φύσει καὶ ἐπὶ πάντας, ἅγιος ἁγίων ἐστὶ, τότε τὸν φόβον αὐτοῦ λαβόντες εἰς νοῦν, ὀρθήν τε καὶ ἀνεπίληπτον ἐπιτηδεύομεν ζωήν· ἵνα οὕτως ἅγιοι γεγονότες, ἐγγὺς εἶναι δυνηθῶμεν τοῦ ἁγίου Θεοῦ. Γέγραπται γάρ, ὅτι « Ἅγιοι ἔσεσθε, ὅτι ἐγὼ ἅγιός εἰμι. » Ἔφη δή που καὶ πρὸς τὸν ἱεροφάντην Μωϋσέα· « Ἐν τοῖς ἐγγίζουσί μοι ἁγιασθήσομαι. » Οὐκοῦν ἐν ἡμῖν, φησὶν, ἅγιον ἔστω τὸ ὄνομά σου· τοῦτο γὰρ δὴ τὸ *ἁγιασθήτω* δηλοῖ. Καὶ οὐχ ὑπὲρ ἑαυτῶν μόνον, ἀλλὰ καὶ ὑπὲρ παντὸς τοῦ κόσμου, τοῦτο παρακαλοῦσιν. Ἐννόησον γὰρ ὅτι παρὰ τοῖς οὔπω τὸ τῆς ἀληθείας πλουτήσασι φῶς, μήτε μὴν τὴν πίστιν παραδεξαμένοις, ἔτι καταπεφρόνηται τὸ ὄνομα τοῦ Θεοῦ. Οὕπω γὰρ αὐτοῖς ἅγιον εἶναι δοκεῖ, καὶ σεπτὸν καὶ προσκυνητόν. Ἐπὰν δὲ τὸ τῆς ἀληθείας αὐτοῖς ἐλλάμψῃ φῶς, καὶ ὡς ἐκ νυκτὸς καὶ σκότους διαγρηγορήσωσι, μόλις τότε μαθόντες τίς τε καὶ ὅσος ἐστὶν, ἅγιον ἁγίων ὁμολογοῦσιν αὐτόν. Ὅτι δὲ τοῦθ' οὕτως ἔχει, συνήσεις ἐντεῦθεν. Ἔφη τις τῶν ἁγίων προφητῶν· « Κύριον αὐτὸν ἁγιάσατε, καὶ αὐτὸς ἔσται σοι φόβος· καὶ ἐάν ἐπ' αὐτῷ πεποιθὼς ᾖς, ἔσται σοι εἰς ἁγιασμόν. » Ἆρα οὖν ἡμεῖς ἅγιον ἀποτελοῦμεν τὸν Θεὸν, τὸν ἐξ ἰδίου πληρώματος διανέμοντα πλουσίως τῇ κτίσει τὰ παρ' ἑαυτοῦ; Ἀλλὰ δῆλον ὡς ἐκεῖνο διδάσκειν φαμὲν αὐτὸν, ὅτι Ἅγιον εἶναι αὐτὸν πιστεύετε· τότε γὰρ αὐτὸν φοβηθήσεσθε, ἔσται δὲ οὗτος ὑμῖν καὶ εἰς ἁγιασμόν. Γέγραπται δὲ πάλιν περὶ Χριστοῦ· « Ἁγιάσατε τὸν φαυλίζοντα τὴν ψυχήν· » τουτέστι, παρ' οὐδὲν αὐτὴν ἡγήσατο· τέθεικε γὰρ αὐτὴν ὑπὲρ ἡμῶν. Πλὴν ἁγιαζέσθω, φησὶ, παρ' ὑμῶν, τουτέστιν ὁμολογείσθω ἅγιος. Καὶ γάρ ἐστι τοῦτο κατὰ φύσιν, Θεὸς ὢν ἀληθινὸς, καὶ Υἱὸς Θεοῦ. Τὸ γὰρ ἅγιον οὐσιωδῶς πρέποι ἂν οὐδενὶ μὲν τῶν ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παρενηνεγμένων, μόνῃ δὲ τῇ ἀνωτάτῳ καὶ ὑπὲρ πάντα φύσει. Ὅταν οὖν πιστεύωμεν ὅτι κατὰ φύσιν ἅγιός ἐστι, τοῦτο γάρ ἐστι τὸ « ἁγιάζειν αὐτὸν, » τότε προσομολογοῦμεν ὅτι καὶ Θεός ἐστιν ἀληθινὸς, ἔτι δὲ κεχωρισμένος ἀπὸ τῶν λοιπῶν, καὶ ἐν ὑπεροχῇ μεγίστῃ.

A ergo sibi volunt verba « Sanctificetur nomen tuum? » Dicimus homines haud precari ut summo Deo sanctitatis fiat accessio. Quis enim major est illo, atque ei quidquam superadditare valens? Nam quod minor a majore benedicatur, extra omnem controversiam est. Sed illud potius et sibi et cunctis ut eveniat orant. Cum consideramus et credimus Deum, qui natura sua supra omnes est, sanctum sanctorum esse, tunc ejus timorem mente nostra volventes, rectam et inculpabilem vitam **263** degimus; ut sic sancti effecti, ad Deum sanctum appropinquare possimus. Scriptum est enim: « Sancti estote, quia ego sanctus sum [45]. » Dixit vero aliquando Deus hierophanti Moysi: « In appropinquantibus mihi sanctificabor [46]. » Ergo in nobis, B inquit, sanctum esto nomen tuum; hoc enim hic vocabulum *sanctificetur* significat. Neque pro seipsis tantum, sed etiam pro universo mundo hoc orantes petunt. Etenim reputandum est, apud eos qui nondum veritatis lumen sunt adepti, neque fidem receperunt, contemni adhuc nomen Dei. Nondum quippe illis sanctum videtur, augustum atque adorabile. Cum autem ipsis veritatis jubar illuxerit, ac veluti ex nocte et tenebris evigilaverint, vix tum denique cognoscentes quis quantusve sit, ipsum sanctum esse sanctorum confitebuntur. Quod vero hæc ita se habeant, inde intelliges. Ait quidam de sanctis prophetis: « Dominum ipsum sanctificate, et ipse erit tibi pavor: quod si illi confisus fueris, erit tibi in sanctificationem [47]. » C Num ergo nos sanctum efficimus Deum, qui de propria plenitudine distribuit copiose creaturis quæ sua sunt? Sine dubio autem hoc dicimus ab eo doceri, nempe, Ipsum sanctum credite; tunc enim eumdem timebitis, atque ita vobis causa sanctitatis erit. De Christo item scriptum est: « Sanctificate eum, qui animam suam vilificavit [48], » id est qui eam pensi non habuit, quam scilicet pro nobis posuit. Verumtamen a vobis sanctificetur, inquit, id est, eum sanctum esse fateamini. Est enim revera suapte natura talis, cum sit Deus verus, et Filius Dei. Nam sanctitas substantialis neminis propria est, qui de non exstantibus ad exsistendum productus fuerit, sed uni summæ et super omnia naturæ. Cum ergo credimus eum natura propria sanD ctum, hoc enim valet dictio « sanctificare eum, » tunc simul confitemur Deum esse verum, et quidem a cæteris rebus sejunctum, et summo in culmine constitutum.

Ἐλθέτω ἡ βασιλεία σου.

(A f. 150) Ἀεί γε μὴν βασιλεύοντος τοῦ Θεοῦ, καὶ κατακρατοῦντος ὅλων, τί δὴ βούλεται τὸ, « Ἐλθέτω ἡ βασιλεία σου; » Ἔοικασι τοίνυν ἐπιθυμεῖν οἱ τοῦτο λέγοντες ἐν προσευχαῖς, ἐπιλάμψαντα πάλιν ἰδεῖν ἐν κόσμῳ τὸν τῶν ὅλων Σωτῆρα Χριστόν. Ἥξει γὰρ, ἥξει, καὶ καταδήσεται κριτὴς, καὶ οὐκ ἐν ὑφέσει τότε τῇ καθ' ἡμᾶς, ἀλλ' ἐν δόξῃ θεοπρεπεῖ δορυφορούντων

264 V. 2. *Adveniat regnum tuum.*

Age vero cum Deus ab æterno regnet, et universale imperium teneat, quid sibi volunt verba « Adveniat regnum tuum? » Videntur itaque optare, qui hæc dicunt orantes, videre rursus apparentem mundo universalem Servatorem Christum. Veniet enim, veniet descendetque judex, neque jam in humilitate nostra, sed cum digna Deo gloria stipanti-

[45] Levit. xi, 44. [46] Levit. x, 3. [47] Isa. viii, 13. [48] Isa. xlix, 7.

Digitized by Google

bus angelis, ut mundum judicet. Defensionis erit ergo tempus illud, imo probationis ac retributionis : ignis præparatus est improbis, et diutina pœna, perpetuusque cruciatus. Cur ergo ut videant tempus illud, orant? Considera mecum rursus Servatoris solertiam, et in omni re prudentiam admirandam. Jussit enim precibus postulare illius vere formidandi temporis adventum, ut cognoscerent oportere eos vivere haud ignave aut dissolute, sed potius ut sanctos decet, atque uti Deo placet; ut præmia ipsis illud tempus conferat, non autem flammas ac pœnam. Nam impiis atque impuris nullatenus convenit dicere in precibus, « Adveniat regnum tuum. » Sciant itaque quod ita precantes, propemodum incusant Deum, quod non citius ipsis punitionis tempus oriatur et superveniat. Ilis sanctus quidam propheta inclamat : « Væ iis qui diem Domini optant! Cur? Hæc vobis dies Domini tenebræ erit, non lumen, caligo luce omni carens [80]. » Ergo petunt sancti, ut Servatoris nostri universaliter regnaturi tempus adsit, quoniam satis jam laboraverunt, et patratorum a se operum mercedem exquirunt. Confidunt enim splendidos se coram judice apparituros.

Fiat voluntas tua, sicut in cœlo et in terra.

Hoc quoque sanctos decet, et quamlibet laudem excedit. Nam velle in terra prævalere bonam Dei voluntatem, quid aliud est quam velle ut cuncti virtutem omnem exerceant eaque se imbuant? Sic excellenter se gerere sanctos angelos in **265** cœlis dicimus. Scriptum est enim de ipsis : « Benedicite Domino, omnes virtutes ejus, ministri ejus qui facitis voluntatem ipsius [81]. » Qui itaque ita dicunt, vires suppeditari postulant in terra degentibus, ut Dei voluntati obtemperent, et supernam cœlestem imitentur vitam, eam scilicet quam sancti angeli agunt : ut, quemadmodum Paulus ait [82], etsi in terra ambulantes, nihilominus in cœlo conversentur. Insuper dicimus, peccati exstinctionem cupere eos videre qui dicunt : Fiat voluntas tua, sicut in cœlo et in terra. Voluntas enim, ut dixi, summi Dei est, ut sancte in terra vivamus, atque ita primogenitorum Ecclesiæ, supernæ inquam, imitatio et imago veluti quædam in terris conspecta Christum oblectet.

V. 3. *Panem nostrum ob subsistendum da nobis quotidie.*

Putant fortasse nonnulli, incongruum esse, et sanctis alienum, corporalia a Deo postulare, eamque ob causam ad spiritalem sensum id dictum transferunt, panemque eos petere dicunt non ter-

ἀγγέλων, ἵνα κρίνῃ τὸν κόσμον. Ἀπολογίας τοίνυν ὁ τότε καιρὸς, μᾶλλον δὲ δοκιμασίας καὶ ἀνταποδόσεως· πῦρ ἡτοίμασται τοῖς ἀνόμοις, καὶ δίκη μακρὰ, διηνεκὴ κολαστήρια. Εἶτα πῶς ἰδεῖν ἐκεῖνον εὔχονται τὸν καιρόν; Ἄθρει δή μοι πάλιν τοῦ Σωτῆρος τὸ εὐτεχνὲς, καὶ τὴν ἐφ' ἑκάστῳ τῶν πραγμάτων ἀξιοθαύμαστον οἰκονομίαν. Ἐκέλευσε γὰρ διὰ προσευχῆς αἰτεῖν αὐτὸν ἐκεῖνον τὸν ὄντως φρικτὸν ἐπιστῆναι καιρὸν, ἵνα εἰδεῖεν ὅτι διαβιοῦν αὐτοὺς ἀναγκαῖον, οὐ ῥᾳθύμως ἢ παρειμένως, ἁγιοπρεπῶς δὲ μᾶλλον, καὶ κατά γε τὸ αὐτῷ δοκοῦν· ἵνα στεφάνων αὐτοῖς εὑρεθῇ πρόξενος ὁ καιρὸς, καὶ μὴ πυρὸς καὶ δίκης. Τοῖς γὰρ ἀνόμοις καὶ βεβήλοις πρέποι ἂν κατ' οὐδένα τρόπον τὸ λέγειν ἐν προσευχαῖς, « Ἐλθέτω ἡ βασιλεία σου. » Ἥγουν ἱστώσαν ὡς τοῦτο λέγοντες, μονονουχὶ καταιτιῶνται Θεὸν, ὅτι μὴ θᾶττον αὐτοῖς ὁ τοῦ κολάζεσθαι καιρὸς ἀνίσχει καὶ φαίνεται· τούτοις ἐπιφθέγγεταί τις τῶν ἁγίων προφητῶν· « Οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν Κυρίου! Ἵνα τί; ὑμῖν αὕτη ἡ ἡμέρα τοῦ Κυρίου, καὶ αὕτη ἐστὶ σκότος καὶ οὐ φῶς, καὶ γνόφος οὐκ ἔχων φέγγος. » Οὐκοῦν αἰτοῦσιν οἱ ἅγιοι τὸν τῆς τοῦ Σωτῆρος ἡμῶν ὁλοτελοῦς βασιλείας ἐπιστῆναι καιρὸν, ἅτε δὴ πεπυνηκότων ἃ δεῖ, καὶ τῶν ἤδη προειργασμένων αὐτοῖς ζητοῦντες τὰς ἀμοιβάς. Τεθαῤῥήκασι γὰρ ὅτι λαμπροὶ παραστήσονται τῷ κριτῇ.

Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς.

(A f. 150 b) Ἁγιοπρεπὲς δὲ καὶ τοῦτο, καὶ παντὸς ἐπαίνου μεστόν. Τὸ γὰρ ἐν γῇ βούλεσθαι κρατεῖν τὸ ἀγαθὸν θέλημα τοῦ Θεοῦ, τί ἂν ἕτερον εἴη, πλὴν ὅτι τὸ πάντας ἐθέλειν ἀπάσης ἀρετῆς ἀποτελεστὰς εἶναι καὶ ἐπιστήμονας; Οὕτω καὶ διαπρέπειν ἐν οὐρανοῖς τοὺς ἁγίους ἀγγέλους φαμέν. Γέγραπται γὰρ περὶ αὐτῶν· « Εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ, ποιοῦντες τὰ θελήματα αὐτοῦ. » Ἰσχὺν τοίνυν παρακαλοῦσι δοθῆναι τοῖς ἐπὶ γῆς οἱ τοῦτο λέγοντες, ἵνα ποιῶσι τὸ θέλημα τοῦ Θεοῦ, καὶ τὴν ἄνω καὶ ἐν οὐρανοῖς ἀπομιμῶνται πολιτείαν, τὴν παρά γέ φημι τοῖς ἁγίοις ἀγγέλοις· ἵνα, ὡς ὁ Παῦλός φησιν, ἐπὶ γῆς περιπατοῦντες, ἔχωσιν ἐν οὐρανῷ τὸ πολίτευμα. Πρὸς δ' αὖ τούτοις φαμὲν, ὅτι τῆς ἁμαρτίας τὴν ἀναίρεσιν αἰτοῦσιν ἰδεῖν οἱ λέγοντες· « Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. » Θέλημα γὰρ, ὡς ἔφην, τοῦ ἐπὶ πάντας Θεοῦ, τὸ ἁγίως πολιτεύεσθαι τοὺς ἐπὶ τῆς γῆς· ἵνα τῆς τῶν πρωτοτόκων Ἐκκλησίας, τῆς ἄνω φημὶ, μίμημα καὶ εἰκὼν ὥσπερ τις, ἡ ἐπὶ γῆς ὁρωμένη, κατευφραίνῃ Χριστόν.

Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον (1) *δίδου ἡμῖν τὸ καθ' ἡμέραν.*

(A f. 150 b) Οἴονται δὲ ἴσως τινὲς, ἀνάρμοστον εἶναι καὶ ἀπεοικὸς ἁγίοις τὸ αἰτεῖν παρὰ Θεοῦ τὰ σωματικὰ, καὶ ταύτης ἕνεκα τῆς αἰτίας ἀποφέρουσι τὸ εἰρημένον εἰς πνευματικὴν θεωρίαν· καὶ δὴ καὶ

[80] Amos v, 18. [81] Psal. cii, 21. [82] Philip. iii, 20.

(1) Ignotum Græcis hoc vocabulum ἐπιούσιος, et obscuris tantum paginis traditum, testatur Origenes *De Orat.* § 27, cujus etymologicam explicationem sequitur noster Cyrillus

Digitized by Google

V. 39. *Nunc vos, Pharisæi, quod deforis est calicis et catini mundatis*, etc.

Poterat et alio verborum genere uti Dominus, cum vellet insipientem Pharisæum admonefacere; nihilominus præsentem occasionem captat, et ex iis quæ in manibus sunt doctrinam suam connectit. Namque ut in prandii mensæque tempore, evidentem similitudinem sumit a calice et catino, demonstratque mundos esse debere ac lautos qui sincere Deum colunt; neque corporalibus tantum carere sordibus, verum etiam intellectualibus et reconditis; haud secus quam adhibenda mensis vasa non extrinsecis tantum inquinamentis mundare convenit,

[66] Matth. IX, 12.

A γὰρ οἶδεν ὡς Θεός. Τί οὖν ἐστιν; Αὐτοὺς μάλιστα νουθετεῖν ἠπείγετο, τοὺς ἀρίστους τῶν ἰατρῶν ἀπομιμούμενος, οἳ τοῖς ἀῤῥωστοῦσι φορτικώτερον τὰς ἐκ τῶν οἰκείων ἐπιτηδευμάτων προσάγουσιν ἐπικουρίας. Ὡς γὰρ αὐτός που φησιν, « Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. » Οὐκοῦν ὁ μὲν Φαρισαῖος, τό γε ἦκον εἰς τὸν ἐνόντα αὐτῷ σκοπὸν, ἐπὶ ἑστίαν καλεῖ· ὁ δέ γε τῶν ὅλων Σωτὴρ καθίησι μὲν ἑαυτὸν εἰς τοῦτο, καθάπερ ἔφην, οἰκονομικῶς· μυσταγωγίας δὲ πρόφασιν ἐποιεῖτο τὸ χρῆμα. Ἐδίδου δὲ τῷ λόγῳ τὰς ἀφορμὰς ὁ δυσμαθὴς Φαρισαῖος. Ἐθαύμασε γὰρ, φησὶν, ὡς οὐκ ἐβαπτίσθη πρὸ ἀρίστου. Ἐσκανδαλίσθη, φησὶν, ὅτι δικαίου καὶ προφήτου δόξαν ἔχων παρ' αὐτοῖς, ταῖς ἀλογωτάταις αὐτῶν οὐ συνεπλάττετο συνηθείαις. Ἐβαπτίζοντο γὰρ B πρὸ τροφῆς, οἷον ῥύπου παντὸς ἑαυτοὺς ἀπαλλάττοντες· ἀσυνέτως δὲ σφόδρα καὶ τοῦτο. Ἡ μὲν γὰρ διὰ τῶν ὑδάτων ἀπόνιψις χρειωδεστάτη λίαν ἐστὶ τοῖς ῥυπῶσι σωματικῶς· ἀκαθαρσίας γε μὴν τῆς εἰς νοῦν καὶ καρδίαν, πῶς ἂν ἀπαλλάξειέ τινας; Πλὴν ἐκεῖνό φαμεν· Ἀσύνετε Φαρισαῖε, μέγα πεφρόνηκας ἐπὶ τῇ τῶν ἱερῶν εἰδήσει Γραμμάτων, τὸν Μωϋσέως νόμον γινώσκεις. Εἰπὲ τοιγαροῦν, ποῦ σοι τοῦτο προστέταχε Μωϋσῆς; ποίαν ἔχεις εἰπεῖν ἐντολὴν ὁρισθεῖσαν παρὰ Θεοῦ, τὴν ἐπί γε τῷ δεῖν βαπτίζεσθαι πρὸ τροφῆς; Δέδοται μὲν γὰρ διὰ τῆς Μωϋσέως ἐντολῆς εἰς ἀποκάθαρσιν ῥύπου σωματικοῦ, τὸ ὕδωρ τοῦ ἁγνισμοῦ, τύπον ἐπέχον τοῦ ἀληθῶς ἁγίου καὶ διασμηκτικοῦ βαπτίσματος, φημὶ δὴ τοῦ ἐν Χριστῷ. C Ἀπελούοντο δὲ ὕδατι καὶ οἱ καλούμενοι πρὸς ἱερουργίαν. Καὶ γοῦν ὁ θεσπέσιος Μωϋσῆς ἔλουσεν ὕδατι τὸν Ἀαρὼν, καὶ σὺν αὐτῷ τοὺς Λευίτας· καταδηλοῦντος τοῦ νόμου διὰ τοῦ τυπικοῦ καὶ ὡς ἐν σκιαῖς βαπτίσματος, ὅτι καὶ ἡ κατ' αὐτῶν ἱερουργία τὸ τέλειον εἰς ἁγιασμὸν οὐκ ἔχει, δεῖται δὲ μᾶλλον τοῦ θείου τε καὶ ἱεροῦ βαπτίσματος, εἰς ἀποκάθαρσιν ἀληθῆ· καὶ καθ' ἕτερον δὲ τρόπον ἡμῖν ὑποφαίνοντος, ὅτι τὸ ἱερὸν καὶ ἀπόλεκτον παρὰ Θεῷ γένος, τουτέστιν ἡμᾶς, τελειοῖ πρὸς ἁγιασμὸν, καὶ εἰς ἀπόθεσιν ῥύπου παντὸς ὁ τῶν ὅλων Σωτὴρ, διὰ τοῦ ἁγίου καὶ σεπτοῦ βαπτίσματος. Ὁρᾶταί γε μὴν οὐδαμοῦ προστεταχὼς βαπτίζεσθαι πρὸ τροφῆς· τί οὖν

D *Νῦν ὑμεῖς, οἱ Φαρισαῖοι, τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ πίνακος καθαρίζετε*, κ. τ. λ.

(A f. 162 b, C f. 132 b) Ἐνῆν [al. ἐξῆν] μὲν καὶ ἑτέροις λόγοις χρήσασθαι τὸν Κύριον, νουθετεῖν ἐθέλοντα τὸν ἀσύνετον Φαρισαῖον· ἐπιδράττεται δὲ τοῦ καιροῦ, καὶ οἷον ἐκ τῶν ὄντων ἐν χερσὶν ἐξυφαίνει τὴν μυσταγωγίαν. Ὡς γὰρ, ἐν καιρῷ τροφῆς καὶ τραπέζης, ἐναργὲς ὑπόδειγμα δέχεται τὸ ποτήριον καὶ τὸν πίνακα· καὶ διαβεβαιοῦται, ὡς καθαροὺς καὶ ἐκνενιμμένους εἶναι χρὴ τοὺς εἰλικρινῶς λατρεύοντας τῷ Θεῷ, καὶ οὐδήπου μόνης ἐξ ἀκαθαρσίας σωματικῆς, ἀλλὰ γὰρ καὶ εἰς νοῦν ἔσω κεκρυμμένης, καθάπερ ἀμέλει καὶ τὸ ταῖς τραπέζαις ὑπηρετοῦντα τῶν

Digitized by Google

σκευῶν, καὶ τῶν ἔξωθεν ἐλευθεροῦσθαι ῥύπων, εὖ ἂν ἔχοι, καὶ προσέτι τούτῳ τῶν ἔσω. Ὁ γὰρ ποιήσας, φησὶ, τὸ ἔξωθεν, καὶ τὸ ἔσωθεν ἐποίησεν· τουτέστιν, ὁ τὸ σῶμα κτίσας, καὶ ψυχὴν εἰργάσατο. Χρὴ τοιγαροῦν ἑνὸς ὄντα ποιήματα τοῦ φιλαρέτου Θεοῦ, σύνδρομον ἔχειν τὴν ἀποκάθαρσιν. Ἀλλ' ἦν ἄηθες τοῦτο τοῖς Γραμματεῦσί τε καὶ Φαρισαίοις· μέχρι γὰρ μόνου τοῦ δοκεῖν εἶναι καθαροὺς αὐτοὺς, πάντα δρᾷν ἐσπούδαζον· τάφοις κεκονιαμένοις προσεοικότες, κατὰ τὴν αὐτοῦ τοῦ Σωτῆρος φωνὴν, ἔξωθεν μὲν ὡραῖοι, ἔσωθεν δὲ γέμοντες ὀστέων νεκρῶν, καὶ πάσης ἀκαθαρσίας (1). Ἀλλ' οὐ τοιούτους ἡμᾶς εἶναι βούλεται Χριστὸς, ἁγίους δὲ καὶ ἀμώμους ψυχῇ τε καὶ σώματι. Καὶ γοῦν ἔφη τις τῶν παρ' ἡμῖν· «Καθαρίσατε χεῖρας, ἁμαρτωλοὶ, καὶ ἁγνίσατε καρδίας, δίψυχοι. » Καὶ μὴν καὶ Ἡσαΐας ἐκ προσώπου τοῦ Θεοῦ· « Λούσασθε, φησὶ, καθαροὶ γένεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν, ἀπέναντι τῶν ὀφθαλμῶν μου. » Ἐπιτήρησον δὲ τοῦ λόγου τὸ ἀκριβές· πονηροὶ γὰρ ὄντες ἔσθ' ὅτε λάθοιεν ἄν τινες τοὺς ἀνθρώπων ὀφθαλμοὺς, τοὺς δέ γε θείους οὐκ ἔνεστι λαθεῖν. Ποῖον οὖν φάρμακον αὐτοῖς μετὰ τοὺς ἐλέγχους δέδωκεν ὁ Σωτήρ;

Πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύνην, καὶ ἰδοὺ πάντα καθαρὰ ὑμῖν ἐστιν.

(A f. 162 b) Καίτοι πλείστας εἶναί φαμεν τῆς εὐδοκιμήσεως τὰς ὁδοὺς, οἷον πραότητα, ταπεινοφροσύνην, καὶ τὰ τούτοις ἀδελφά· ἀνθότου δὴ οὖν, τῶν τοιούτων ἀφέμενος, φιλοικτείρμονας αὐτοὺς γενέσθαι κελεύει; Φιλάργυροι λίαν ἦσαν οἱ Φαρισαῖοι, καὶ χρημάτων πορισμοὺς ἀπορέστῳ χειρὶ συλλέγοντες. Καὶ γοῦν ἔφη που περὶ αὐτῶν ὁ τῶν ὅλων Θεός· « Πῶς ἐγένετο πόρνη, πόλις πιστὴ Σιὼν, πλήρης κρίσεως; Ἐν ᾗ δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ, νῦν δὲ φονευταί· τὸ ἀργύριον ὑμῶν ἀδόκιμον, οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι, οἱ ἄρχοντές σου ἀπειθοῦσι, κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα, ὀρφανοῖς οὐ κρίνοντες, καὶ κρίσει χήρας οὐ προσέχοντες. » Κεχώρηκε τοίνυν οἰκονομικῶς κατὰ τοῦ κρατοῦντος αὐτῶν ἀῤῥωστήματος.

Ἀποδεκατοῦτε τὸ ἡδύοσμον, καὶ τὸ πήγανον καὶ πᾶν λάχανον, κ. τ. λ.

(A f. 163, C f. 133) Ἃ γὰρ ἔδει μάλιστα κατορθοῦν, ταῦτα παρέντες ὡς ἑωλα, τουτέστι τὴν κρίσιν καὶ τὴν ἀγάπην τοῦ Θεοῦ, μόνας ἐκείνας ἀκριβῶς ἐτήρουν τὰς ἐντολὰς, ἡγοῦν τηρεῖσθαι προσέταττον παρὰ τῶν ὑπὸ χεῖρα λαῶν, αἳ πλείστων αὐτοῖς λημμάτων ὁδὸς ἦσαν καὶ ἀφορμή· ὥστε μηδὲ τὰ τῶν λαχάνων λεπτὰ καὶ οὐδενὸς ἄξια λόγου παρατρέχειν

A sed etiam intrinsecis. Nam qui exteriora, inquit, fecit, idem etiam interiorum auctor est: videlicet qui corpus condidit, idem animam quoque creavit. Oportet igitur, quotquot creaturæ sunt unius diligentis virtutem Dei, consentaneam habere munditiem. Cæterum insolitum hoc erat Scribis ac Pharisæis, qui ut specie tenus mundi viderentur, omnem operam dabant; sepulcris dealbatis similes, juxta ipsius Servatoris effatum [67], exterius quidem speciosi, intus autem mortuorum ossibus et omni spurcitia pleni. Sed non tales vult esse nos Christus, verum sanctos et immaculatos anima et corpore. Quamobrem ait quidam noster: « Emundate manus, peccatores; et purificate corda, duplices animo [68]. » Imo etiam Isaias tanquam **280** ex Dei persona: B « Lavamini, inquit, mundi estote, auferte iniquitates de animabus vestris, in conspectu meo [69]. » Animadverte autem accuratum verborum tenorem. Fieri enim potest ut improbi quidam lateant hominum oculos, Dei vero nequaquam. Quodnam ergo eis remedium post reprehensionem suggessit Servator?

V. 41. *Verumtamen quæ habetis, date eleemosynam, et ecce omnia munda sunt vobis.*

Sane plurimas esse bene agendi vias dicimus, puta mansuetudinem, animi humilitatem, et his affinia. Cur ergo, his omissis, misericordes eos esse jubet? Avarissimi Pharisæi erant, et pecuniæ quæstum insatiabili manu acervabant. Quamobrem de C ipsis ait alicubi universalis Deus: « Quomodo facta est meretrix civitas fidelis Sion, plena judicii? Justitia habitavit in ea, nunc autem homicidæ. Argentum tuum adulterinum est, caupones tui vinum aquæ miscent: principes tui infideles, socii furum, munerum appetitores, mercedibus inhiantes: pupillis jus non dicunt, viduarum causis non vacant [70]. » Prudentem ergo adversus præcipuum illorum vitium fecit invectionem.

V. 42. *Decimatis mentam et rutam et omne olus*, etc.

Quæ agere apprime oporteret, hæc ut levia omittentes, id est justitiam et Dei charitatem, illa tantum observabant ad unguem præcepta, vel potius a subjecto sibi populo observari jubebant, quæ multarum ipsis oblationum vehiculum et occasio erant: ita ut ne minuta quidem olera nulloque pretio digna negligerent. Atqui charitatis erga Deum negotium

[67] Matth. xxiii, 27. [68] Jac. iv, 8. [69] Isa. i, 16. [70] Isa. i, 21.

(1) Hoc loco in codice A. p. 163, b, inseritur Cyrilli locus adversus Julianum, qui legitur in operum Juliani editione Petaviana p. 337 seq. Sed in catena præeunt verba: Ἀλλ' ἐνταῦθα ὁ ἀποστάτης φευκτέον φησὶ τοὺς τάφους, κ. τ. λ. *Verum hic apostata fugienda dicit sepulcra*, etc. Tum etiam est in codice clausula quam Petavius desiderat: Ἀλλὰ ταῦτα μὲν παιδιὰ καὶ λῆρος· ὁ δὲ Κύριος τοὺς τῇ ὑποκρίσει τὴν ἑαυτῶν κακίαν ἐπικαλύπτοντας, τάφους ἀδήλους καλεῖ, ἀπατῶντας τοὺς ἐντυγχάνοντας· *Sed hæc deliramenta lususque sunt. Etenim Servator homines, qui suam nequitiam hypocrisi contegunt, sepulcra invisibilia appellat, quæ supra ambulantes fallunt.* Num ergo Cyrillus dicta a se contra Julianum repetit in commentario ad Lucam cum aliqua varietate?

Digitized by Google

est, nullatenus eum offendere, universæ legis transgressionem vereri, juste judicare, pari omnia præcepta cura exsequi : neque vero ad necessaria officia torpere, dum uni lucro diligenter studetur ; sed indeclinatam omni in re ferre sententiam. Nam contra jus judicare, non est illorum qui debitam fratribus charitatem servant. Neglectis itaque **281** legis necessariis capitalibusque articulis, decimas vilissimarum etiam rerum percipere satagebant.

A αὐτούς· ἔργον δὲ ἀγάπης τῆς εἰς Θεὸν, τὸ κατὰ μηδένα τρόπον προσκρούειν αὐτῷ, δεδιέναι δὲ τοῦ παντὸς νόμου τὴν παράβασιν, κρίσεως δὲ ἡ δικαιοκρισία, καὶ τὸ φροντίδος ἴσως ἀξιοῦν τὰ τεθεσπισμένα, καὶ μὴ καταῤῥᾳθυμεῖν μὲν τῶν ἀναγκαίων, μόνοις δὲ τοῖς ἐπικερδέσιν ἀκριβῶς ἐνορᾶν, ἀλλ' ἀπροσκλινῆ ποιεῖσθαι τὴν ψῆφον, τὴν ἐφ' ἑκάστῳ πράγματι· τὸ γὰρ ἄδικα κρίνειν, οὐκ ἀγάπην τὴν εἰς τοὺς ἀδελφοὺς τηρούντων ἐστί. Τὰ τοίνυν ἀναγκαῖα καὶ συνεκτικὰ μὴ τηροῦντες τοῦ νόμου, τὰς δεκάτας λαμβάνειν ἐσπούδαζον καὶ τῶν εὐτελεστάτων.

V. 43. *Diligitis primas cathedras in synagogis*, etc.

Per quæ illos objurgat, per hæc eadem nos meliores efficit. Vult enim nos minime cupidos esse B gloriæ, neque speciem virtutis potius quam ejusdem veritatem sectari; quod contra Pharisæi solebant. Quippe salutari ab aliquibus, et præcedendi amor, nequaquam nos frugi homines esse denotat: hæc enim multis quoque minime bonis accidunt. Quod demonstrat Servator illico addens : « Væ vobis, Scribæ et Pharisæi hypocritæ, quia estis ut sepulcra quæ non apparent, et homines supra ambulantes ignorant. » — Nam salutationes omnium in foro ambire, et principem in concionibus locum vehementer appetere, nihil a clausis sepulcris differt, quæ externis quidem ornamentis decora sunt, intus autem omni immunditia scatent. Hoc loco specta mecum hypocrisim summe vituperatam, moremque illum cuncta ob hominum captandam gratiam agendi. Propterea beatus Paulus ait : « Si hominibus placerem, Christi servus non essem [71]. »

Ἀγαπᾶτε τὴν πρωτοκαθεδρίαν ἐν ταῖς συναγωγαῖς, κ. τ. λ.

(A f. 163) Δι' ὧν ἐκείνοις ἐπιτιμᾷ, διὰ τούτων αὐτῶν ἡμᾶς ἀμείνους ἀποτελεῖ· ἀφιλοδόξους γὰρ ἡμᾶς εἶναι βούλεται, καὶ μὴ τὸ δοκεῖν πρὸ τοῦ ἀληθῶς εἶναι μεταδιώκειν· ὅπερ ἐποίουν οἱ Φαρισαῖοι· ἀσπασμὸς γὰρ ὁ παρά τινων, καὶ τὸ προεδρεῦσαι φιλεῖν, οὐ πάντως ἡμᾶς εὐδοκίμους ὄντας ἀποφαίνει· ὑπάρχει γὰρ τοῦτο πολλοῖς καὶ οὐκ ἀγαθοῖς οὖσι. Διαδείκνυσι δὲ τοῦτο λέγων εὐθὺς ὁ Σωτήρ· « Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι ἐστὲ ὡς τὰ μνημεῖα τὰ ἄδηλα, καὶ οἱ ἄνθρωποι οἱ περιπατοῦντες ἐπάνω οὐκ οἴδασιν. »—(A f. 163 b, C f. 133) Τὸ γὰρ ἀσπασμοὺς ζητεῖν παρὰ πάντων τῶν ἐν ἀγορᾷ, καὶ τὸ προεδρεύειν συλλόγοις περὶ πολλοῦ ποιεῖσθαι σπουδάζοντες, μνημάτων ἀδήλων οὐδὲν διαφέρουσιν, ἃ διαπρέπει μὲν τοῖς ἔξωθεν κόσμοις, μεστὰ δέ εἰσι πάσης ἀκαθαρσίας. Ἐνταῦθά μοι βλέπε διαβεβλημένην ἰσχάτως τὴν ὑπόκρισιν, καὶ πρὸς ἀρέσκειαν ἀνθρώπων ἅπαντα διαπράττεσθαι. Διὰ τοῦτό φησιν ὁ μακάριος Παῦλος· « Εἰ ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἦμην.

V. 45. *Magister, hæc dicens etiam contumeliam nobis facis.*

Grave plerumque est cuique homini redargui. Cæterum ea res piis quidem non est inutilis ; etenim illos ad meliorem frugem transfert. Hoc morbo laborare cerne Judæorum appellatos jurisperitos. Namque omnium Servator Pharisæos increpabat ceu a recta via declinantes. Id autem impiorum legisperitorum globus stomachabatur : ipsi enim sese huic accusationi reos inserunt, sibique dicta existimant, quæ reapse de ipsis Christus erat effatus. Sed enim melius fuisset reprehensionem boni consulere, atque infirmitatis suæ remedium petere, quam contumeliæ titulo reprehensionem inscite appellare, quæ utilis poterat esse ac fructuosa. Quid ergo ad hæc Christus? Reprehensionem gravius intendit, **282** vanumque illorum supercilium deprimit, dicens :

Διδάσκαλε, ταῦτα λέγων καὶ ἡμᾶς ὑβρίζεις.

(A f. 163 b, B f. 119, C f. 133) Δυσφόρητον μὲν ἀεί τινός ἐστι παντὶ ἀνθρώπῳ, τὸ ἐλέγχεσθαι· πλὴν οὐκ ἀνόνητον τοῖς ἐπιεικέσι· μεθίστησι γὰρ αὐτοὺς ἐπὶ τὸ ἄμεινον. Ἄθρει τοῦτο πεπονθότας τοὺς παρά γε τοῖς Ἰουδαίοις ὠνομασμένους νομικούς. Ὁ μὲν γὰρ Σωτὴρ τῶν ὅλων, ἐπετίμα τοῖς Φαρισαίοις ὡς ἔξω τρέχουσι τῆς εὐθείας ὁδοῦ· πρὸς τοῦτο δὲ τὸ τῶν ἀνοσίων νομικῶν ἐχαλέπαινε στίφος· ἑαυτοὺς γὰρ ὑποφέρουσι τοῖς ἐγκλήμασι, καὶ καθ' ἑαυτῶν εἰρῆσθαι νομίζουσιν, ἃ πρὸς ἐκείνους ἔφη Χριστός· ἀλλ' ἦν δή που κρεῖττον ἀγαπῆσαι μὲν τὸν ἔλεγχον, αἰτῆσαι δὲ τῶν ἁῤῥωστημάτων τὴν λύσιν, καὶ μὴ ὕβριν ἀμαθῶς τὸν ἔλεγχον ὀνομάζειν, ἐπωφελῆ ὄντα [καὶ] χρήσιμον. Τί οὖν πρὸς ταῦτα Χριστός ; Ἐπιτείνει τὸν ἔλεγχον, καὶ τὴν εἰκαίαν αὐτῶν ὀφρὺν καταφέρει, λέγων·

V. 46. *Et vobis legisperitis væ, quia oneratis homines oneribus*, etc.

Evidenti veluti exemplo suum ad illos informat sermonem. Gravis enim sine dubio Israelitis erat lex ; quod divi quoque discipuli fassi sunt, dicentes

Καὶ ὑμῖν τοῖς νομικοῖς οὐαὶ, ὅτι φορτίζετε τοὺς ἀνθρώπους φορτία, κ. τ. λ.

(A f. 163 b, B f. 119) Ὡς ἐκ παραδείγματος ἐναργοῦς, τὸν πρὸς αὐτοὺς ἐξυφαίνει λόγον· φορτικὸς μὲν γὰρ ὁμολογουμένως ὁ νόμος ἦν τοῖς ἐξ Ἰσραὴλ·

[71] Galat. I, 10.

Digitized by Google

ὡμολόγουν δὲ τοῦτο καὶ οἱ θεσπέσιοι μαθηταὶ, λέγοντες ἐν ταῖς Πράξεσι· « Καὶ νῦν τί πειράζετε τὸν Θεὸν ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πατέρες ὑμῶν ἴσχυσαν βαστάσαι; » Καὶ αὐτὸς δὲ τοῦτο ἡμᾶς ἐδίδαξεν ὁ Χριστὸς, προσφωνῶν καὶ λέγων· « Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς· ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πραΰς εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. » Κοπιῶντας δὲ καὶ πεφορτισμένους, τοὺς ὑπὸ νόμον εἶναί φησι, ἑαυτὸν δὲ πρᾶον ὠνόμαζεν, ὡς οὐκ ἔχοντος τοῦτο τοῦ νόμου. Ὡς γὰρ Παῦλός φησιν, « Ἀθετήσας τις νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει. » Οὐαὶ τοίνυν ὑμῖν, ὦ νομικοί· δυσβάστακτα γὰρ φορτία καταδεσμεύοντες, εἶτα τοῖς ὑπὸ τὸν νόμον ἐπιτιθέντες αὐτὰ, αὐτοὶ τούτοις οὐ προσψαύετε· ἀπαράβατον γὰρ προστάττοντες τηρεῖσθαι τὴν Μωϋσέως ἐντολὴν, καὶ δίκην τοῖς ἀθετοῦσιν ἐπάγοντες, αὐτοὶ λόγου τοῦ μηδενὸς ἠξίουν τὸ ἐργάσασθαί τι τῶν διατεταγμένων. Τοῖς ταῦτα δρᾶν εἰωθόσι καὶ ὁ σοφώτατος Παῦλος ἐπιπλήττει, λέγων· « Ὁ διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; Ὁ λέγων μὴ κλέπτειν, κλέπτεις; Ὁ λέγων μὴ μοιχεύειν, μοιχεύεις; Ὁ βδελυσσόμενος τὰ εἴδωλα, ἱεροσυλεῖς; Ὃς ἐν νόμῳ καυχᾷ, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν ἀτιμάζεις; » Ἀδόκιμος [cod. εὐδ.] γὰρ ὁ διδάσκων ἐστὶν, ὅταν ἀσύμβατον ἔχῃ τῷ λόγῳ τὸν τρόπον· τούτῳ καὶ αὐτὸς ὁ Σωτὴρ πικρὰν ἐπήρτηκε δίκην, λέγων, ὡς « Ὁ μὲν διδάξας καὶ ποιήσας, μέγας κληθήσεται· ὃς δ' ἂν διδάξῃ μὲν, μὴ ποιήσῃ δὲ, οὗτος ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν (1). »

Οὐαὶ ὑμῖν, ὅτι οἰκοδομεῖτε τὰ μνημεῖα τῶν προφητῶν, οἱ δὲ πατέρες ὑμῶν ἀπέκτειναν αὐτούς.

(A f. 164, B f. 120, D f. 47 b) Ἀδόκιμον ἀποφήνας καὶ αὐτὸ τῶν νομικῶν τὸ παμμόχθηρον ἐργαστήριον, κοινὸν ἅπασι τοῖς Ἰουδαίων καθηγηταῖς ἐξυφαίνει τὸν Ἔλεγχον· τί δὲ ἄρα φησὶν, ἐρευνήσωμεν ἀκριβῶς. Οἱ μὲν τῶν Ἰουδαίων πατέρες ἀπέκτειναν κατὰ καιροὺς τοὺς ἁγίους προφήτας, τὸν θεῖον αὐτοῖς διαπορθμεύοντας λόγον· οἵ γε μὴν ἐξ αὐτῶν γεγονότες, ὁμολογοῦντες ὅτι οἱ προφῆται γεγόνασι σεπτοὶ καὶ τίμιοι, περιήρμοσαν αὐτοῖς τοὺς τάφους, ἤτοι τὰ μνημεῖα, τιμὴν ἀπονέμοντες τὴν τοῖς ἁγίοις πρεπωδεστάτην. Οὐκοῦν ἀπεκτόνασι μὲν οἱ πατέρες αὐτῶν, αὐτοὶ δὲ προφήτας εἶναι πιστεύσαντες καὶ ἄνδρας ἁγίους, κριταὶ γεγόνασι τῶν ἀποκτεινάντων αὐτούς· δι' ὧν γὰρ τιμᾷν ἐγνώκασι τοὺς ἀνῃρημένους, διὰ τούτων αὐτῶν κατηγοροῦσι ὡς ἠσεβηκότων. Ἀλλ' οἱ τῶν ἰδίων πατέρων ἐπὶ ταῖς οὕτω δειναῖς μιαιφονίαις καταψηφισάμενοι, τοῖς ἴσοις ἔμελλον ἁλῶναι κακοῖς, καὶ διὰ τῶν αὐτῶν εἶναι πλημμελημάτων, μᾶλλον δὲ διὰ τῶν ἔτι χειρόνων. Ἕως μὲν γάρ τις τὰς ἑτέρων ἀδικίας ἐξετάζει, φυσικῷ λογισμῷ κρίνων, ὁρᾷ τὸ φαῦλον καὶ μέμφεται· αὐτὸς δὲ εἰς τὰ ἴσα πάθη ψυ-

A in Actibus : « Et nunc cur tentatis Deum, imponere jugum super cervices discipulorum, quod ne patres quidem nostri portare potuerunt [73]? » Quin ipse quoque nos Christus hoc docuit, verbis his compellans : « Venite ad me, omnes qui laboratis et onerati estis, et ego reficiam vos. Tollite jugum meum super vos; et discite a me, quia mitis sum et humilis corde, et invenietis requiem animabus vestris [73]. » Laborantes atque oneratos dicit legi suppositos, seque mitem appellat, ceu si hujuscemodi non sit lex. Etenim, ut ait Paulus, « Irritam quis faciens legem Moysis, sine miseratione duobus vel tribus testibus moritur [74]. » Væ ergo vobis, o legisperiti! intolerabilia enim pondera conglobantes, deinde ea legi subjectis imponentes, vos ipsi quidem eadem B ne attingere quidem patimini. Quippe legisperiti Moysis præcepta violari vetantes, pœnamque transgressoribus decernentes, ipsi tamen nullam legis partem observare curabant. Ita semet gerere solitos sapientissimus quoque Paulus objurgat, dicens : « Qui alium doces, teipsum non doces? qui ais non furandum, furaris? qui dicis non mœchandum, mœcharis? qui abominaris idola, sacrilegium facis? qui in lege gloriaris, per prævaricationem legis Deum inhonoras [75] ? » Certe improbatur ille doctor, qui non consentientes doctrinæ mores habet. Huic ipse Servator acerbam pœnam decrevit, dicens : « Qui docuerit et egerit, magnus vocabitur : qui autem docuerit, et non egerit, hic vocabitur mini- C mus in regno cœlorum [76]. »

283 V. 47. *Væ vobis qui ædificatis monumenta prophetarum, patres autem vestri occiderunt illos!*

Postquam satis improbaverat pessimam legisperitorum officinam, communem Judæorum principibus conficit reprehensionem. Quid vero dicat, diligenter scrutemur. Judæorum majores interfecerant variis temporibus sanctos prophetas, qui divinum verbum ad eos deferebant : verum posteri eorum confitentes fuisse illos venerabiles honorandosque prophetas, exornaverant iis sepulcra seu monumenta, honorem tribuentes sanctis viris convenientissimum. Ergo quos majores ipsorum occiderant, D dum posteri sanctos viros existimabant, judices flebant illorum qui eos occiderant. Quia enim occisos illos honorandos censebant, idcirco rem occisoribus crimini dabant. Sed tamen qui majores suos ob tam sæva homicidia condemnaverant, pari mox culpa irretiendi erant, eademque per crimina, imo et pejora, discursuri. Nam quandiu in aliorum culpas quisquam inquirit, naturali ratiocinio judicans, pravitatem agnoscit et vituperat : sed cum ipse pares animi passiones experitur, tunc quasi cæcus in eas incurrit. Hi ergo auctorem vitæ interfecerunt; et

[73] Act. xv, 10. [73] Matth. xi, 28, 29. [74] Hebr. x, 28. [75] Rom. ii, 21, 22. [76] Matth. v, 19.

(1) Invertitur hic (sine ullo tamen detrimento) sententiarum evangelicarum ordo. Nec mirum; Patres enim haud raro sacrum textum memoriter referebant.

Digitized by Google

hisce adversus eum impietatibus divorum quoque discipulorum cædes addiderunt. Nam Dei sapientia Servator sic illis aiebat : « Mittam ad eos prophetas atque apostolos; ex quibus partim occident, partim persequentur, » et reliqua. Et hoc quidem loco prophetarum nomine apostolos vocat, nec non apostolorum successores, Ecclesiæ pastores atque magistros, prophetiæ atque doctrinæ a sancto Spiritu donis ornatos. Prædicit igitur eventura Judæorum genti mala, propter insatiabilem ipsorum sævitiam. Futurum enim erat ut ultio exquireretur de omnium prophetarum effuso sanguine, a mundi primordiis usque ad præsentem ætatem. Zachariam autem, consentaneum est intelligere Præcursoris parentem, quem non scripta traditio refert a **284** Judæis interfectum inter templum et altare, propterea quod prophetaverat, imo vero præsentem demonstraverat Virginem Deiparam, atque ex ea oriturum Deum ac Servatorem Jesum Christum, qui regis instar ac Domini ad eorum gentem mittendus erat : ipsamque sanctam Virginem, post conceptionem de Spiritu sancto, ex virginali statione, quæ in sacro loco erat inter templum et altare, non esse dimittendam dixerat ceu nuptam, sed adhuc virginem agnoscendam, eique permittendum ut in consueta statione subsisteret. His ergo auditis Judæos exanduisse, eique manus attulisse, metuentes exspectatum ex ejus vaticinio regem, caventesque ne regi fierent subjecti qui ipsos imperio premeret. Hæc ergo testantem de futuro partu Zachariam **285**

A χῆς προαγόμενος, οἱονεὶ τυφλὸς ἐπὶ ταῦτα φέρεται· Ἀπεκτόνασι μὲν γὰρ τὸν ἀρχηγὸν τῆς ζωῆς· προστεθείκασι δὲ ταῖς κατ' αὐτοῦ δυσσεβείαις, καὶ τὰς κατὰ τῶν θείων αὐτοῦ μαθητῶν μιαιφονίας. Φησὶ γὰρ πρὸς αὐτοὺς ὁ Σωτὴρ ἡ τοῦ Θεοῦ σοφία· « Ἀποστελῶ εἰς αὐτοὺς προφήτας καὶ ἀποστόλους, καὶ ἐξ αὐτῶν ἀποκτενοῦσι καὶ ἐκδιώξουσι, » καὶ τὰ ἑξῆς. Καὶ προφήτας μὲν ὧδε τοὺς ἀποστόλους καλεῖ, καὶ τοὺς τῶν ἀποστόλων διαδόχους, τοὺς τῶν Ἐκκλησιῶν ποιμένας καὶ διδασκάλους, τοὺς ἐν προφητείαις καὶ διδασκαλίαις, ταῖς διὰ τοῦ Πνεύματος δωρεαῖς κεκοσμημένους. Προλέγει τοίνυν τὰ μέλλοντα καταλαβέσθαι τὴν τῶν Ἰουδαίων γενεὰν κακὰ, διὰ τὴν ἀκόρεστον αὐτῶν μιαιφονίαν· μέλλει γὰρ ἐκζητεῖσθαι τὸ αἷμα πάντων τῶν προφητῶν τὸ ἐκχυθὲν ἀπὸ καταβολῆς κόσμου ἕως τῆς γενεᾶς ταύτης. Ζαχαρίαν δὲ ὧδε ἀκόλουθόν ἐστι ἐννοεῖν τὸν τοῦ Προδρόμου πατέρα, ὃν ἐξ ἀγράφου παραδόσεως ἱστόρηται (1) τοὺς Ἰουδαίους ἀνελεῖν μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου, διὰ τὸ προφητεύειν αὐτὸν, μᾶλλον δὲ ἀποδεικνύναι τὴν Θεοτόκον, καὶ τὸν ἐξ αὐτῆς τεχθησόμενον Θεὸν καὶ Σωτῆρα Ἰησοῦν Χριστὸν, οἷα δή τινα βασιλέα καὶ Κύριον ἐπὶ τὸ ἔθνος ἀποσταλήσεσθαι αὐτῶν· καὶ αὐτὴν τὴν ἁγίαν Παρθένον κατὰ τὴν ἐκ Πνεύματος ἁγίου σύλληψιν, τοῦ τόπου τῶν παρθένων, τοῦ ἐν τῷ ἱερῷ ὄντος μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου, μὴ ἀποστῆσαι, καθὰ δὴ γεγαμημένην, ἀλλ' ἔτι παρθένον γενώσκειν αὐτὴν, καὶ συγχωρεῖν κατὰ τὸν συνήθη τόπον ἑστᾶναι. Διὰ γοῦν ταῦτα τοὺς ἀκούοντας εἰς ὀργὴν ἐμπεσεῖν, καὶ ἐπ' αὐτὸν ὁπλί-

(1) Narratio hæc nominatim tribuitur Cyrillo in duobus saltem codicibus C. f. 133 b, et D. f. 47 b. Et quidem aliis plerumque verbis eamdem rem scribit noster Cyrillus etiam contra Anthropomorphitas cap. 27. Porro in codice item vetere B. f. 119, b, eamdem narrant historiam Greg. Nyssenus (qui tamen cum Cyrillo contra Anthrop. sæpe ad litteram congruit) nec non Severus Antiochenus, quorum verba ascribam. *Τοῦ Νύσσης.* Ἱερεὺς οὗτος ὁ Ζαχαρίας ἦν, τῷ τῆς προφητείας χαρίσματι πρὸς τὴν γνῶσιν τῶν κρυπτῶν χειραγωγούμενος· ὃς τὸ τῆς παρθενίας μυστήριον ἐπὶ τοῦ ἀφθάρτου τόκου μυηθεὶς, οὐκ ἀπέκρινεν ἐν τῷ ναῷ τοῦ ταῖς παρθένοις κατὰ τὸν νόμον ἀποκεκληρωμένου τόπου τὴν ἄγαμον μητέρα, διδάσκων τοὺς Ἰουδαίους ὅτι παρθένος ἡ κόρη, καὶ Θεὸς μέγας καὶ Σωτὴρ ὁ ἐξ αὐτῆς τεχθησόμενος Ἰησοῦς Χριστός· ἦν δὲ οὗτος ὁ τόπος, τὸ μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου διάστημα. Ἐπεὶ δὲ ἤκουον ταῦτα, φόβῳ τοῦ μὴ γενέσθαι βασιλεῖ ὑποχειρίους, ταῦτα μαρτυροῦντα διαχειρίζονται, πρὸς αὐτῷ τῷ θυσιαστηρίῳ τὸν ἱερέα ἱερουργήσαντες. — Λέγει καὶ Σευῆρος εἰς τὸ αὐτὸ, ὅτι ἐξ ἀγράφου παραδόσεως ἱστόρηται τοὺς Ἰουδαίους τὸν ἱερέα Ζαχαρίαν τὸν Ἰωάννου πατέρα ἀνελεῖν μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου διὰ τὴν αὐτὴν αἰτίαν, ἣν καὶ ὁ Νύσσης εἴρηκεν. *Nysseni. Sacerdos erat hic Zacharias, prophetiæ dono ad arcanorum cognitionem manuductus. Is virginitatis mysterium circa incontaminatum partum edoctus, non secrevit in templo ab assignato per legem virginibus loco incorruptam matrem, Judæos admonens virginem esse hanc puellam, Deumque magnum ac Servatorem oriturum ex ipsa Jesum Christum. Erat vero is locus inter templum et altare intervallum. Eb re audita Judæi, veriti ne regi fierent subditi, virum talia testantem interficiunt, ipso in altari sacerdotem immolantes. — Ait etiam Severus hoc eodem Evangelii loco ex traditione non scripta narratum esse, Judæos sacerdotem Zachariam, Joannis patrem, occidisse inter templum et altare, ob eamdem quam Nyssenus dixit causam.* Nysseni locus sumitur, nonnullis variatis, ex ejus sermone de nat. Domini. Tractum autem Severi multo integriorem nos edidimus in tomo decimo AA. class. p. 432, qui Cyrillum auctorem sibi familiarissimum sine dubio expilavit. Item nos *Script. vet.* t. IX, p. 682, in catena ad Lucam verba protulimus Geometræ, qui Zachariam ab Herodis lictoribus occisum ait. Sed enim notissima est Hieronymi sententia super hac traditione comm. in Matth. XXIII, 35 : *Alii Zachariam patrem Joannis intelligi volunt, ex quibusdam apocryphorum somniis approbantes, quod propterea occisus sit, quia Salvatoris prædicarit adventum. Hoc quia de Scripturis non habet auctoritatem, eadem facilitate contemnitur, qua probatur.* Ita peremptorio, ut solet, stylo Hieronymus. Sed tamen cum Cyrillo, et supra scriptis Nysseno Severo et Geometra, consentiunt antiquissimi Patres a Calmeto jam citati (præter Jacobi Protoevangelium), Origenes, Petrus Alex., Tertullianus, Basilius, Chrysostomus, Epiphanius ; item juniores Theophylactus et Euthymius. His addit Baronius (qui hanc opinionem tuetur t. I, an. I. n. 53) etiam Valentiniani imp. auctoritatem in epistola apud Theodoretum, *Hist.* lib. IV, 8. Origenis locus Græce exstat ex catena ms. in ed. Ruæi t. III, p. 845, sed initio acephalus, quem nos ex cod. A. p. 164, b, ita supplebimus. *Ὠριγένους.* Ζαχαρίαν εὑρίσκομεν ἐν ταῖς Βασιλείαις ἱερέα, φονευθέντα ἐγγὺς τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου ὑπὸ Ἰωὰς βασιλέως Ἰούδα· Ἰώσηπος δὲ ἱστορεῖ, τὸν υἱὸν Βαραχίου Ζαχαρίαν αὐτὸν εἶναι πατέρα τοῦ Βαπτιστοῦ· οὐ δύνανται γάρ, etc. (hic sequitur dicta editio.)

Digitized by Google

σαι τὰς χεῖρας, δεδιότας τὸν ἐκ τῆς αὐτοῦ προφητείας προσδοκώμενον βασιλέα, φόβῳ τοῦ μὴ γενέσθαι βασιλεῖ ὑποχειρίους μέλλοντι καταδυναστεύειν αὐτῶν. Τὸν οὖν ταῦτα μαρτυροῦντα περὶ τοῦ τόκου διαχειρίζονται, πρὸς αὐτῷ τῷ θυσιαστηρίῳ τὸν ἱερέα ἱερουργήσαντα [al. codd. ἱερουργήσαντες.

A interemerunt, dum apud ipsum altare rem sacram utpote sacerdos operabatur.

Ναὶ λέγω ὑμῖν, ἐκζητηθήσεται ἀπὸ γενεᾶς ταύτης.

(A f. 164 b) Εἰ καὶ δεικτικῶς δὲ λέγει, « ἀπὸ τῆς γενεᾶς ταύτης, » οὐχὶ μόνον τάχα που κατασημῆναί φαμεν τοὺς τότε παρόντας καὶ ἀκροωμένους, ἀλλὰ πάντα τὸν φονευτὴν καὶ ὑπὸ τὴν μιαιφονίαν πίπτοντα· συντετάξεται γὰρ τῷ ὁμοίῳ τὸ ὅμοιον, ὡς ἀδελφὸν καὶ ὁμογενές· κατὰ τό· « Αὕτη ἡ γενεὰ ζητούντων τὸν Κύριον. » — « Καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης. »

V. 51. *Utique dico vobis, requiretur ab hac generatione.*

Etiamsi demonstrative dicit « ab hac generatione, » haud fortasse tamen significari ab eo dicimus præsentes tantummodo atque auditores, sed homicidam quemlibet, et sanguinis effusi reum : nam simile cum simili collocatur, ut fraternum atque homogeneum, juxta illud : « Hæc est generatio quærentium Dominum [77]. » Et illud : « Et custodies nos a generatione hac [78]. »

Ἤρατε τὴν κλεῖδα τῆς γνώσεως, αὐτοὶ οὐκ εἰσήλθετε, κ. τ. λ.

B V. 52. *Tulistis clavem scientiæ, ipsi non introistis*, etc.

(A f. 165, B f. 120, C f. 133 b, D f. 48) Κλεῖδα γνώσεως αὐτὸν εἶναί φαμεν τὸν νόμον, καὶ τὴν ἐν Χριστῷ δικαίωσιν, διὰ πίστεως δὲ δηλονότι τῆς εἰς αὐτόν. Ἦν μὲν γὰρ ὁ νόμος ἐν σκιᾷ καὶ τύπῳ, πλὴν οἱ τύποι διαμορφοῦσι τὴν ἀλήθειαν, καὶ γράφουσιν αἱ σκιαὶ πολυτρόπως ἡμῖν τὸ Χριστοῦ μυστήριον. Ἀμνὸς ἐσφάζετο κατὰ τὸν Μωϋσέως νόμον· ἦσθιον τῶν κρεῶν αὐτοῦ, καὶ ἔχριον τῷ αἵματι τὰς φλιάς· καὶ νενικήκασι τὸν ὀλοθρευτήν. Ἀλλ' αἷμα προβάτου κοινοῦ οὐκ ἂν ἴσχυσεν ἀνατρέψαι θάνατον· ἐμορφοῦτο δὴ οὖν ὡς ἐν ἀμνῷ Χριστὸς, τὴν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς ὑπομένων σφαγὴν, καὶ σώζων αἵματι τῷ ἰδίῳ τοὺς μετέχοντας αὐτοῦ· πλεῖστα δ' ἂν τις πρὸς τοῦτο λέγοι, δι' ὧν ἔνεστιν ἰδεῖν τὸ Χριστοῦ μυστήριον, διὰ C τῆς τοῦ νόμου σκιᾶς γραφόμενον. Ἔφη δέ που καὶ αὐτὸς τοῖς Ἰουδαίοις προσλαλῶν· « Ἔστιν ὁ κατηγορῶν ὑμῶν Μωϋσῆς, εἰς ὃν ὑμεῖς ἠλπίκατε. Εἰ γὰρ ἐπιστεύετε Μωϋσεῖ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψε. » Καὶ πάλιν· « Ἐρευνᾶτε τὰς Γραφὰς, ὅτι ἐν αὐταῖς δοκεῖτε ζωὴν αἰώνιον ἔχειν, καὶ αὗταί εἰσιν αἱ περὶ ἐμοῦ μαρτυροῦσαι· καὶ οὐ θέλετε ἐλθεῖν πρός με ἵνα ζωὴν ἔχητε. » Ἅπας γὰρ λόγος τῆς θεοπνεύστου Γραφῆς εἰς αὐτὸν ὁρᾷ, καὶ ἐπ' αὐτῷ συντείνεται. Ἔδει δὴ οὖν τοὺς καλουμένους νομικοὺς, ἅτε δὴ τὸν Μωϋσέως πολυπραγμονοῦντας νόμον, καὶ τὰς τῶν ἁγίων προφητῶν οὐκ ἠγνωκότας φωνὰς, ἀνοίγειν τρόπον τινὰ τοῖς Ἰουδαίων δήμοις τὰς τῆς γνώσεως θύρας. Παιδαγωγεῖ γὰρ ὁ νόμος ἐπὶ Χριστὸν, ἀποφέρει δὲ εἰς ἐπίγνωσιν αὐτοῦ καὶ τὰ D τῶν ἁγίων προφητῶν εὐσεβῆ κηρύγματα. Ἀλλὰ τοῦτο μὲν οὐ πεπράχασιν οἱ καλούμενοι νομικοί· ἐκ δὲ τῶν ἐναντίων, ἦραν τὴν κλεῖδα τῆς γνώσεως· ἵνα τὴν διὰ νόμου χειραγωγίαν ἐννοῇς, ἤτοι τὴν πίστιν, δῆλον δὲ ὅτι τὴν εἰς Χριστόν· προσγίνεται γὰρ διὰ τῆς πίστεως, τῆς ἀληθείας ἡ γνῶσις. Καὶ γοῦν ὁ προφήτης Ἡσαΐας οὕτω πού φησι· « Καὶ ἐὰν μὴ πιστεύσητε, οὐδ' οὐ μὴ συνῆτε. » — « Χωρὶς γὰρ πίστεως, ἀδύνατον εὐαρεστῆσαί ποτε. » Ἦραν τοίνυν οἱ νομικοὶ τὴν κλεῖδα τῆς γνώσεως· οὐ γὰρ εἶων πιστεῦσαί τινας εἰς τὸν τῶν ὅλων Σωτῆρα Χριστόν. Τεθαυματούργηκε πολυτρόπως· οἱ δὲ, καίτοι θαυμάσαι δέον ἐπὶ τούτοις αὐ-

Scientiæ clavem dicimus ipsam esse legem, et in Christo justificationem, per fidem videlicet in ipsum. Sane in umbra typoque lex versabatur, verumtamen veritatem typi figurant, umbræque multimodis depingunt nobis Christi mysterium. Agnus mactabatur secundum Moysis legem : carnes ejus comedebant, et limina sanguine ungebant; atque ita exterminatori superiores fuerunt. Atqui communis oviculæ cruor necem arcere haud potuisset; ergo figurabatur in agno Christus, pro mundi vita cædem sustinens, proprioque sanguine participes sui salvans. Plurima quispiam addere posset, ex quibus cognoscere licet Christi sacramentum a legis umbra delineatum. Dixit autem alicubi Christus ipse Judæos alloquens : « Est qui vos accusat Moyses, in quem vos speratis. Si enim crederetis Moysi, crederetis et mihi; de me enim ille scripsit [79]. » Et mox : « Scrutamini Scripturas, quia vos putatis in ipsis vitam æternam habere : et ipsæ sunt, quæ testimonium perhibent de me; nec vultis venire ad me, ut vitam habeatis [80]. » Tota enim inspiratæ Scripturæ oratio ipsum designat, et in eumdem collineat. Debebant ergo sic dicti legisperiti, ceu qui in Moysis lege studium collocaverant, nec sanctorum prophetarum oracula ignorabant, aperire quodammodo Judaicis turbis scientiæ januam. Nam lex ad Christum instituit, atque ad **286** ipsius cognitionem deducunt sanctorum prophetarum piæ prædicationes. Verumtamen haud hoc faciebant sic dicti legisperiti, sed e contrario scientiæ clavem abstulerant; quibus in verbis intelligere debes legis disciplinam, sive fidem, eam scilicet quæ erga Christum est. Namque a fide veritatis cognitio provenit. Quapropter Isaias propheta dicit : « Nisi credideritis, non intelligetis [81]. » Nam « sine fide impossibile est placere unquam (Deo [82].) » Abstulerant itaque legisperiti scientiæ clavem, quia non sinebant quemquam communi Servatori Christo credere. Is multimodis prodigia edidit; illi vero, cum idcirco eum admirari debuissent, miraculis maledicebant, populoque sibi subjecto scandalum creantes, dicebant :

[77] Psal. xxiii, 6. [78] Psal. xi, 8. [79] Joan. v, 45. [80] Joan. v, 39. [81] Isa. vii, 9. [82] Hebr. xi, 6.

Digitized by Google

« Hic dæmonia non ejicit, nisi in Beelzebul principe dæmoniorum. » Viden' quomodo scientiæ clavem auferebant? Docebat in synagogis, patefaciebat audientibus bonam et perfectam beneque placentem Patris voluntatem : illi vero ne has quidem doctrinas ejus sine vituperio esse sinebant. Inclamabant enim turbis : « Dæmonium habet, et insanit : cur eum auditis [83]? » Vere itaque abstulerant scientiæ clavem; ipsi non sunt ingressi et alios item ingressu prohibuerunt.

A τὸν, διέσυρον τὰς θεοσημείας, καὶ τοὺς ὑπὸ χεῖρα λαοὺς σκανδαλίζοντες, ἔφασκον· « Οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων. » Ὁρᾷς ἐν τούτοις τὴν κλεῖδα τῆς γνώσεως αἴροντας; Ἐδίδασκεν ἐν ταῖς συναγωγαῖς, φανερὸν καθίστη τοῖς ἀκροωμένοις τὸ θέλημα τοῦ Πατρὸς τὸ ἀγαθὸν καὶ τέλειον καὶ εὐάρεστον· οἱ δὲ καὶ ταύτας αὐτοῦ τὰς μυσταγωγίας οὐκ ἀμωμήτους ἀφέντες εὑρίσκονται· προσεφώνουν γὰρ τοῖς ὄχλοις· « Δαιμόνιον ἔχει καὶ μαίνεται· τί ἀκούετε αὐτοῦ; »

Ἦραν οὖν, κατὰ τὸ ἀληθὲς, τὴν κλεῖδα τῆς γνώσεως· αὐτοὶ οὐκ εἰσῆλθον, κεκωλύκασι δὲ καὶ ἑτέρους.

V. 53. *Cœperunt Scribæ ac Pharisæi graviter instistere, et os ejus circa multa provocare.*

Ἤρξαντο οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι δεινῶς ἐνέχειν καὶ ἀποστοματίζειν αὐτὸν περὶ πλειόνων.

B

Ægre ferentes se coargui, cœperunt, inquit, vehementer ei insistere. Porro insistere hic valet urgere, irasci, stomachari. Nitebantur etiam, inquit, ejus os provocare. Quid vero rursus est hic *os provocare?* Exigebant scilicet, ut subito ac propemodum inconsiderate callidis ipsorum quæstionibus responderet, existimantes eum sine dubio succubiturum, atque aliquid tumultuarie dicturum quod calumniam non effugeret. Sed enim Deum esse nesciebant, imo eum superbe contumelioseque spernebant. Propterea Christus familiares suos, id est discipulos, ut ab illis caverent admonebat. Audi igitur :

(A f. 165 b). Ἀσχάλλοντες πρὸς τοὺς ἐλέγχους, ἤρξαντο, φησὶ, δεινῶς ἐνέχειν αὐτῷ. Τὸ δὲ *ἐνέχειν*, ἀντὶ τοῦ ἐγκεῖσθαι καὶ ἐγκοτεῖν ἤτοι δυσμ[ε]αίνειν ἐστίν. Ἐπεχείρουν δὲ αὐτὸν, φησὶ, καὶ ἀποστοματίζειν περὶ πολλῶν. Καὶ τί πάλιν τὸ *ἀποστοματίζειν* ἐστίν; Ἀπήτουν ἐκ τοῦ παραχρῆμα καὶ οἱονεὶ ἀσκεπτὶ πρὸς τὰς πανούργους αὐτῶν ἀποκρίνεσθαι πεύσεις, οἰηθέντες ὅτι διαπεσεῖται πάντως, καὶ λαλήσει τι τῶν ὅσα ἐστὶν οὐκ ἔξω διαβολῆς· ἀλλ' οὐκ ἤδεσαν ὄντα Θεὸν, μᾶλλον δὲ καταφρονηταὶ γεγόνασιν, ἀλαζόνες καὶ ὑβρισταί· ταύτῃτοι Χριστὸς τοῖς ἑαυτοῦ γνωρίμοις, ἤγουν μαθηταῖς, φυλάττεσθαι ἀπ' αὐτῶν παρηγγύα· ἄκουε γοῦν·

287 CAP. XII.

ΚΕΦΑΛ. ΙΒ'.

V. 1. *In primis cavete a Pharisæorum fermento.*

C

Πρῶτον (2) *προσέχετε ἑαυτοῖς ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων.*

Ab hoc nimirum cavere discipulos suos Dominus vult; *fermentum* hoc loco dicens hypocrisim. Est enim Deo invisa res : et ea quidem ad breve quandoque tempus latitat, verumtamen foras excidit, et quidem haud longo tempore post. Nam quod Dei oculum nullus actus noster vel dictum latere queat, demonstravit, dicens : « Nihil est opertum, quod non revelabitur. » — Omnis enim sermo noster, et omnis actus, die judicii manifestus erit. Vana est ergo hypocrisis; sed oportet nos veros adoratores videri. — Fortasse etiam secundum superiorem sententiam docet, omnia nostra clam dicta et facta patere omnituenti Deo, et aliis quoque revelatum iri (1).

(A f. 165 b) Ἀφ' ἧς καὶ προσέχειν τοὺς μαθητὰς ὁ Κύριος βούλεται· *ζύμην* ἐν τούτοις, τὴν ὑπόκρισιν λέγων (3)· θεοστυγὲς γὰρ τὸ χρῆμα· καὶ λανθάνει μὲν ἐσθ' ὅτε βραχὺ, πλὴν διαπίπτει, καὶ οὐκ εἰς μακράν. Ὡς γὰρ οὐκ ἔνεστι λαθεῖν τὸν τῆς Θεότητος ὀφθαλμὸν τὰ παρ' ἡμῶν δρώμενα, διέδειξεν εἰπών· « Οὐδὲν δὲ συγκεκαλυμμένον ἐστὶν, ὃ οὐκ ἀποκαλυφθήσεται. » — (A f. 165 b, C f. 133 b) Ἅπας γὰρ ἡμῶν λόγος καὶ πᾶν ἔργον ἐν ἡμέρᾳ κρίσεως ἔσται φανερόν· περιττὴ τοιγαροῦν ἡ ὑπόκρισις· δεῖ δὲ ἡμᾶς ἀληθινοὺς ὁρᾶσθαι προσκυνητάς. — (A f. 165 b) Ἴσως δὲ καὶ κατὰ τὴν προτέραν ἐπιβολὴν διδάσκει, ὅτι τὰ κρυφῇ παρ' ἡμῶν καὶ λεγόμενα καὶ πραττόμενα, δῆλα ἔσται τῷ πάντα ὁρῶντι ὀφθαλμῷ, καὶ τοῖς ἄλλοις ἐκκαλυφθήσεται.

D

V. 4. *Dico autem vobis amicis meis : ne terreamini ab his qui occidunt corpus.*

Λέγω δὲ ὑμῖν τοῖς φίλοις μου· μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα.

Ad spiritalem fortitudinem instruit amatores suos. « Dico enim, inquit, vobis amicis meis. » Haud

(A f. 165 b, B f. 120 b, C f. 134) Εἰς πνευματικὴν εὐανδρίαν ἀλείφει τοὺς ἀγαπῶντας αὐτόν.

[83] Joan. x, 20.

(1) Hoc loco apud catenam D. Thomæ sequuntur hæc. « Cyrillus. Quoniam gemina est causa perfidiæ, quæ aut ex inolita malitia, aut ex accidenti metu nascitur; ne quis metu territus Deum, quem corde cognoscit, negare cogatur, pulchre addit : *Dico autem vobis amicis,* » etc.

(2) Vocabulum πρῶτον reapse in codice A, et aliis, inter verba sacri textus rubris litteris scribitur, non autem nigris in Cyrilli contextu.

(3) Ex hac glossa videtur Cyrillus non legisse in sacro textu ἥτις ἐστὶν ὑπόκρισις, quæ verba reapse desunt in parallelis Matth. xvi, 6, et Marc. viii, 15. Sed tamen, quidquid sit de Cyrilli lectione, verba hæc constanter occurrunt in Lucæ codicibus Græcis atque Latinis.

Digitized by Google

« Λέγω γὰρ ὑμῖν, φησὶ, τοῖς φίλοις μου. » Οὐχ ἅπασιν οὖν ἁπλῶς πρέποι ἂν, ὡς ἔοικεν, ὁ περὶ τούτων λόγος· ἐκείνοις δὲ μᾶλλον, οἷς ἂν ἐνυπάρχον ὁρῷτο τὸ ἐξ ὅλης καρδίας ἀγαπᾷν αὐτόν· οἷς καὶ ἁρμόζει λέγειν· « Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ γυμνότης, ἢ μάχαιρα; » Οἱ γὰρ μὴ τοιοῦτοι, εὐπαρακόμιστοι λίαν εἰσὶν, καὶ πρὸς ἀποστασίαν ἑτοιμότεροι· οἱ δὲ τὰ αὐτὰ φρονοῦντες αὐτῷ, καὶ τοῖς ἴχνεσιν αὐτοῦ κατακολουθεῖν σπουδάζοντες, φαῖεν ἂν μετὰ τοῦ θεσπεσίου Πέτρου· « Χριστοῦ παθόντος ὑπὲρ ἡμῶν σαρκὶ, καὶ ὑμεῖς ὑπὲρ αὐτοῦ τὴν αὐτὴν ἔννοιαν ὁπλίσασθε. » Ἐθελοντὴς γὰρ ὑπὲρ ἡμῶν ὑπέμεινε θάνατον, ὡς ἀπαράβλητον ἔχων τὴν εἰς ἡμᾶς ἀγάπην. Ἀκηκόαμεν γοῦν λέγοντος αὐτοῦ ἐναργῶς· « Μείζονα ταύτης τῆς ἀγάπης οὐδεὶς ἔχει, ἵνα τις θῇ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν φίλων αὐτοῦ. » Εἶτα πῶς οὐκ ἂν εἴη τῶν ἀτοπωτάτων, μὴ ὥσπερ τι τῶν ἀναγκαιοτάτων ὀφλημάτων ἐκτῖσαι Χριστῷ ὅπερ ἐλάβομεν παρ' αὐτοῦ; Χρὴ δὲ καὶ ἑτέρως ζωῆς ἡμᾶς ὄντας ὑπασπιστὰς, μὴ δεδιέναι τὸν θάνατον, ἀπομιμεῖσθαι δὲ μᾶλλον τῶν ἁγίων Πατέρων τὴν πίστιν. Προσεκόμικεν ὁ πατριάρχης Ἀβραὰμ τὸν μονογενῆ πειραζόμενος, φημὶ δὲ τὸν Ἰσαὰκ, λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δύναται ὁ Θεός. Ποῖον οὖν ἔσται καθ' ἡμῶν τοῦ θανάτου τὸ δεῖμα, καταργούσης αὐτὸν τῆς ζωῆς (1);

A cunctis itaque congruere videtur sermo hujusmodi; sed iis, a quibus illum toto corde diligi exploratum erat. Quos etiam decet dicere : « Quis nos separabit a charitate Christi? tribulatio? an angustia?, an persecutio? an nuditas? an gladius [84]? » Nam qui ita non sunt comparati, valde sunt volubiles, atque ad apostasiam promptiores. At illi qui suam cum illo voluntatem conformarunt, ejusque vestigiis insistere studuerunt, utique dicent cum divo Petro : « Christo passo in carne pro nobis, et vos pro ipso eadem cogitatione armemini [85]. » Sponte enim pro nobis necem pertulit, propter suam incomparabilem erga nos charitatem. Quare audivimus dicentem **288** ipsum : « Majorem hac dilectionem nemo habet, quam ut animam suam ponat quis pro amicis suis [86]. » Quidni ergo sit absurdissimum, Christo non reddere, tanquam debitam apprime gratiam, id quod ab eo prius accepimus? Alioquin etiam curandum est ne, dum vitæ tutelam gerimus, mortem expavescamus, sed imitemur potius sanctorum Patrum fidem. Obtulit patriarcha Abrahamus unigenitum tentatus, Isaacum dico, secum reputans posse Deum a mortuis quoque suscitare. Quinam ergo jam nobis supersit mortis timor, postquam eam vita exstinxit?

Προσενθυμεῖσθαι δὲ τούτοις κἀκεῖνο προσήκει· εὑρίσκονται γὰρ διὰ πόνων οἱ στέφανοι· καὶ ἄνθρωποι μὲν μέχρι σώματος ἐκτείνουσι τὰς ὀργὰς, καὶ πέρας αὐτοῖς τῆς καθ' ἡμῶν ἐπιβουλῆς, ὁ τῆς σαρκὸς θάνατος· Θεοῦ δὲ κολάζοντος, οὐ μέχρι μόνης σαρκὸς ἡ ζημία στήσεται, ἀλλὰ καὶ αὐτὴ συνυποφέρεται ταῖς αἰκίαις ἡ ἀθάνατος [al. codd. ἀθλία] ψυχή. Οὐκοῦν εἰσίτω μᾶλλον ὁ μετ' εὐκλείας θάνατος, εἰς ἀρχὰς ἡμᾶς ἀναφέρων ἀτελευτήτου ζωῆς, ἡτοιμασμένων πάντως που καὶ τῶν ἐκ θείας φιλοτιμίας ἀγαθῶν. — (A f. 165 b, A f. 166) Ἵνα δέ τι καὶ ἕτερον ἐπικούρημα ταῖς ἡμετέραις χαρίσηται διανοίαις, προστέθεικεν ἀναγκαίως· « Οὐχὶ πέντε στρουθία πωλεῖται ἀσσαρίων δύο; καὶ ἓν [δ'] ἐξ αὐτῶν οὐκ ἔστιν ἐπιλελησμένον ἐνώπιον τοῦ Θεοῦ. » — (A f. 166, B f. 121, C f. 134) Προσεπήγαγε δὲ ὅτι καὶ « Αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶσαι ἠριθμηνται. » Ὁρᾷς ὅσην ποιεῖται πρόνοιαν τῶν ἀγαπώντων αὐτόν; Εἰ γὰρ μέχρι τῶν οὕτως εὐτελεστάτων ἐκτείνεται, καὶ οἷον κάτεισιν ἐπὶ τὰ πάντων σμικρότατα τῶν ζώων, πῶς ἂν ἐπιλάθοιτο τῶν ἀγαπώντων αὐτὸν, ἢ ἀγνοήσειέ τι τῶν συμβαινόντων αὐτοῖς, ὃς γε τοσαύτην αὐτῶν ποιεῖται πρόνοιαν, ὡς ἕκαστα τῶν κατ' αὐτοὺς εἰδέναι λεπτῶς, καὶ οἷον ἠριθμημένας ἔχειν

Simul et illud cogitare par est, inveniri labore coronas. Et homines quidem, usque dum manet corpus, iras suas intendere; finemque illis nos persequendi carnis interitum fieri; verumtamen Deo puniente, haud usque ad carnem tantummodo tendi pœnam, sed et immortalem ipsam suppliciis animam irretiri. Ergo obveniat potius bona cum fama interitus, qui nos ad sempiternæ vitæ initium transferat, ubi omnino parata est a divina liberalitate felicitas. — Ut autem aliud quoque suppeditaret mentibus nostris solamen, necessario addidit : « Nonne quinque passeres veneunt dipondio, et unus ex illis non est in oblivione coram Deo (2)? » Subdidit etiam : « Capilli capitis vestri omnes numerati sunt. » Viden' quantam gerat curam diligentium se? Nam si ad hæc usque vilissima extenditur, seque ad minutissimos animantes inclinat, qui fieri potest ut eum amatorum suorum capiat oblivio, vel rem ullam ad eos pertinentem ignoret? qui sane tantam circa illos providentiam gerit, ut singula ipsorum negotia accurate sciat, et eorumdem, ut ita dicam, capillos numeratos habeat. Vel igitur in tentationem non sinet incidere, vel sapiente consilio id sinet ut **289** patientia inclarescamus. Nam

[84] Rom. VIII, 35. [85] I Petr. IV, 1. [86] Joan. XV, 13.

(1) Male profecto se habet hic locus in Latina Corderii catena. Nam primo is mendose legit δεῖγμα pro δεῖμα; deinde et reliqua pervertit sic : *Quale igitur erit nobis mortis judicium, vita ipsa contempta.*

(2) Paulo hic plura apud Corderium in catena Latina. « Destituuntur siquidem jure meritoque peccatores Dei memoria et cura. Contra vero Deo cordi est, accurate nosse sanctorum vitam. »

Digitized by Google

qui in laqueum incurrere permittet, idem sine dubio vim quoque evadendi suggeret (1).

V. 8. *Quicunque confessus fuerit me coram hominibus*, etc.

Age jam, quisnam sit Christum confitens, vel quomodo hunc quispiam recte confitebitur, ante omnia cognoscere par est. Scribit itaque nobis sapientissimus Paulus : « Ne dixeris in corde tuo : Quis ascendet in cœlum? id est Christum deducere. Aut quis descendet in abyssum? hoc est Christum a mortuis revocare. Sed quid dicit Scriptura? Prope te est verbum in ore tuo, et in corde tuo; hoc est verbum fidei, quod prædicamus. Quia si confitearis ore tuo Dominum Jesum, et corde tuo credideris, quod Deus illum suscitavit a mortuis, salvus eris. Corde enim creditur ad justitiam, ore autem confessio fit ad salutem [87]. » Totum his verbis Christi sacramentum egregie explicat. Oportet enim primo eum qui apparuit ex Deo Patre Filium, unigenitum ex ejusdem substantia Deum Verbum, Dominum omnium confiteri; non quasi exterius et attributam obtinuerit dominationem, sed quia ita suapte natura vereque se habet, haud secus quam Pater. Deinde credendum est quod Deus illum a mortuis suscitaverit, humanatum scilicet, et in carne propter nos passum : sic enim a mortuis resurrexit. Dominus est ergo, ut dixi, Filius; idemque non comparandus cum aliis, quibus dominationis appellatio donatica fuit et attributa. Solus quippe Dominus naturalis est, qui est super omnia creata Deus Verbum. « Unus enim Dominus Jesus Christus, per quem omnia [88]. » At ne Pater quidem dominatu excludetur, quandoquidem naturalis est Deus : neque item Filius a deitate excidet, quoniam naturaliter Dominus est. Uni autem divinæ ac supra omnia substantiæ inest, ut sit plane libera, et omni servitutis jugo expers; habeat autem 290 potius creaturam omnem pedibus serviliter suppositam. Propterea etiamsi factum homo æque ac nos unigenitum Dei Verbum, quantum attinet ad humanam conditionem, sub jugum servitutemque redactum, solvit quidem Judæis publicanis secundum legem Moysis didrachma pro suæ humanationis ratione, non tamen hærentis sibi majestatis splendorem celavit. Interrogavit enim beatum Petrum : « Reges terræ, a quonam censum sumunt vel tributa? a filiisne suis, an ab alienis? Dicente illo : Ab alienis : Ergo, inquit, liberi filii sunt [89]. » Dominus est igitur propria natura Filius, utpote liber. Hoc idem rursus nos docuit sapiens Paulus, ita scribens : « Nos autem omnes revelata facie gloriam Domini speculantes, in eamdem imaginem transformamur, de gloria in gloriam, sicut a Domini Spiritu [90]. » Et paulo ante : « Dominus autem Spiritus, inquit, est. Ubi

A αὐτῶν τὰς τρίχας; Ἢ γὰρ οὐκ ἐάσει πεσεῖν εἰς πειρασμὸν, ἢ γοῦν οἰκονομικῶς, ἵνα παθόντες εὐδοκιμήσωμεν· ὁ γὰρ εἰς παγίδα πεσεῖν ἐπιτρέψας, χορηγήσει πάντως τὸ δύνασθαι διενεγκεῖν.

Πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, κ. τ. λ.

(A f. 166, B f. 121) Ἀλλὰ τίς ἂν εἴη λοιπὸν ὁ Χριστὸν ὁμολογῶν, ἢ καὶ ὅπως ἂν τις αὐτὸν ὁμολογήσειεν ὀρθῶς, πρό γε τῶν ἄλλων ἄξιον ἰδεῖν. Γράφει τοίνυν ἡμῖν ὁ πάνσοφος Παῦλος· « Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου· Τίς ἐπιβήσεται εἰς τὸν οὐρανόν; τουτέστι Χριστὸν καταγαγεῖν· ἢ τίς καταβήσεται εἰς τὴν ἄβυσσον; τουτέστι Χριστὸν ἐκ νεκρῶν ἐπαγαγεῖν. Ἀλλὰ τί λέγει; Ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου, τουτέστι τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν· ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ· καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. » Ὅλον ἐν τούτοις τὸ Χριστοῦ μυστήριον εὖ μάλα διερμηνεύεται. Χρὴ γὰρ πρότερον τὸν ἐκ Θεοῦ Πατρὸς πεφηνότα Υἱὸν, τὸν ἐκ τῆς οὐσίας αὐτοῦ μονογενῆ Θεὸν Λόγον, Κύριον τῶν ὅλων ὁμολογεῖν· οὐχ ὡς ἔξωθεν καὶ εἰσκεκριμένην λαχόντα τὴν κυριότητα, ἀλλ' ὄντα τοῦτο κατὰ φύσιν καὶ ἀληθῶς, καθάπερ ἀμέλει καὶ ὁ Πατήρ· εἰθ' οὕτω πιστεύειν, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, ἐνανθρωπήσαντα δηλονότι καὶ σαρκὶ παθόντα δι' ἡμᾶς· ἐγήγερται γὰρ οὕτως ἐκ νεκρῶν. Κύριος οὖν, ὡς ἔφην, ὁ Υἱὸς, ἀσύγκριτος τοῖς ἄλλοις, οἷς τὸ τῆς κυριότητος ὄνομα δοτὸν καὶ εἰσκεκριμένον· μόνος γὰρ Κύριος κατὰ φύσιν, ὁ παντὸς ἐπέκεινα γενητοῦ Θεὸς Λόγος· « Εἷς γὰρ Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα. » Ἀλλ' οὔτε τοῦ εἶναι Κύριος ὁ Πατὴρ ἔξω κείσεται, Θεὸς ὢν φύσει· οὔτε μὴν ὁ Υἱὸς ἀπολισθήσειεν ἂν τοῦ εἶναι Θεός· Κύριος γάρ ἐστι κατὰ φύσιν· ἔνεστι δὲ μόνῃ τῇ θείᾳ τε καὶ ἀνωτάτῳ πασῶν οὐσίᾳ, τὸ εἰσάπαν ἐλεύθερον, καὶ τὸ ἔξω κεῖσθαι ζυγοῦ καὶ δουλείας, ἔχειν δὲ μᾶλλον ὑπὸ πόδας δουλοπρεπῶς τὴν κτίσιν ὑποκειμένην· διὰ τοῦτο, καίτοι γενόμενος καθ' ἡμᾶς ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, καὶ τό γε ἧκον εἰς ἀνθρωπότητος μέτρον, ὑπὸ ζυγὰ καὶ δουλείαν ἐνηνεγμένος, συνετέλεσε μὲν τοῖς Ἰουδαίων δασμολόγοις κατὰ τὸν Μωϋσέως νόμον τὸ δίδραγμον οἰκονομικῶς, οὐκ ἔκρυψε δὲ τῆς ἐνούσης δόξης αὐτῷ τὸ περιφανές. Ἤρετο γὰρ τὸν μακάριον Πέτρον· « Οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνος λαμβάνουσι κῆνσον ἢ τέλη; ἀπὸ τῶν υἱῶν αὐτῶν, ἢ ἀπὸ τῶν ἀλλοτρίων; Εἰπόντος δὲ ὅτι ἐκ τῶν ἀλλοτρίων· Ἄρα γε, φησὶν, ἐλεύθεροί εἰσιν οἱ υἱοί. » Κύριος οὖν κατὰ φύσιν ὁ Υἱὸς, ὡς ἐλεύθερος. Καὶ τοῦτο πάλιν ὁ σοφὸς ἡμᾶς ἐδίδαξε Παῦλος ὧδὶ γεγραφώς· « Ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα, ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου Πνεύμα-

[87] Rom. x, 6-10. [88] I Cor. viii, 6. [89] Matth. xvii, 24. [90] II Cor. iii, 18.

(1) In Latinis catenis D. Thomæ et Corderii additur fragmentum, hoc loco ponendum. « Cyrillus. Mystice autem caput quidem hominis est intellectus, capilli vero cogitationes quæ patent Deo. »

Digitized by Google

τος.» Καὶ μικρὸν ἄνωθεν· « Ὁ δὲ Κύριος, τὸ Πνεῦμά ἐστιν. Οὗ δὲ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία.» Ἆρα οὖν δῆ ὅπως τὸν Κύριον τὸ Πνεῦμα εἶναί φησιν· οὐχ ὡς ἐν υἱότητι (Πνεῦμα γάρ ἐστι, καὶ οὐχ Υἱὸς), ἀλλ' ὡς ὁμοούσιον τῷ Υἱῷ, Κυρίῳ τε ὄντι καὶ ἐλευθέρῳ, καὶ τῇ πρὸς αὐτὸν ταυτότητι φυσικῇ πρὸς ἐλευθερίαν τὴν θεοπρεπῆ μαρτυρούμενον. Ὅς ἂν οὖν ὁμολογήσῃ Χριστὸν ἔμπροσθεν τῶν ἀνθρώπων, ὡς Θεὸν δηλονότι καὶ Κύριον, ὁμολογηθήσεται παρ' αὐτοῦ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ Θεοῦ. Ποῦ δὲ καὶ ὅπως; Ἢ πάντως κατ' ἐκεῖνο καιροῦ, καθ' ὃν ἐξ οὐρανοῦ καταβήσεται μετὰ τῶν ἀγγέλων ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ, ἐπὶ συντελείᾳ τοῦ παρόντος αἰῶνος· ἐκεῖ στεφανοῖ τὸν γνήσιον ὁμολογητήν· οἵ γε μὴν ἕτεροι, τουτέστιν οἱ ἀρνησάμενοί τε καὶ ἀτιμάσαντες, ἀρνηθήσονται· μονονουχὶ λέγοντος τοῦ Κριτοῦ αὐτοῖς τὸ διὰ προφητῶν ἁγίων ἐπί τισιν εἰρημένον· Καθὼς ἐποίησας, οὕτως ἔσται σοι· « Τὸ ἀνταπόδομά σου ἀνταποδοθήσεται εἰς κεφαλήν σου.» Ἀρνήσεται δὲ αὐτοὺς, ἐκεῖνο λέγων· « Ἀπόστητε ἀπ' ἐμοῦ, ἐργάται τῆς ἀνομίας· οὐκ οἶδα ὑμᾶς.» Καὶ τίνες ἂν εἶεν οὗτοι; Πρῶτον μὲν οἱ, διωγμοῦ καταλαβόντος, τὴν πίστιν ἀποβαλόντες· ἀρνοῦνται δὲ αὐτὸν ὁμοίως αἱρετικῶν παῖδες καὶ διδάσκαλοι, Ἀρειανοί τε καὶ τῆς Νεστορίου κενοφωνίας οἱ μαθηταί.

A autem Spiritus Domini, ibi libertas[91].» Observa autem, quomodo Dominum Spiritum esse dicit; non quasi ex genitura: Spiritus enim est, non Filius: sed quia consubstantialis est Filio Domino ac libero, et ob eamdem naturam liberiate frui Deo digna comprobatur. Quicunque igitur confessus fuerit Christum coram hominibus, ut Deum ac Dominum, hunc vicissim Christus coram angelis Dei confitebitur. Ubinam vero et quomodo? Sine dubio eo tempore quo de cœlo stipantibus sanctis angelis cum Patris majestate descendet, in hujus sæculi fine. Tunc sincerum suum confessorem corona donabit: cæteri autem, id est qui negarunt et dehonestarunt, negabuntur, dicente illis propemodum judice illas asanctis prophetis de quibusdam dicta B verba: Sicut egisti, ita fiet tibi: « Retributio tua in caput tuum revertetur[92].» Negabit illos ita dicens: « Discedite a me, operatores iniquitatis; nescio vos[93].» Quinam vero erunt hi? Primum quidem illi qui incumbente persecutione fidem abjecerint. Sed negant Christum hæreticorum quoque discipuli ac magistri, Ariani nimirum et vanæ Nestorii doctrinæ asseclæ.

Πῶς δς ἐρεῖ λόγον εἰς τὸν Υἱὸν τοῦ ἀνθρώπου, κ. τ. λ.

(A f. 167, B f. 121 b) Πῶς δὴ ἄρα καὶ τοῦτο νοεῖσθαι προσήκει; Εἰ μὲν γὰρ τοῦτο βούλεται δηλοῦν ὁ Σωτὴρ, ὅτι εἴ τίς τις λόγος ὑβριστικὸς κατὰ ἀνθρώπου κοινοῦ πρὸς ἡμῶν, ἄφεσιν ἕξει μετανοήσας, δυσχερείας ἡμῖν ἁπάσης ὁ λόγος ἀπῄλλακται· ἀγαθὸς γὰρ ὢν φύσει Θεὸς, αἰτιαμάτων ἐλευθεροῖ τοὺς μετανοεῖν ἐλομένους· εἰ δὲ ἐπ' αὐτὸν ὁ λόγος ἔρχεται τὸν τῶν ὅλων Σωτῆρα Χριστὸν, πῶς ἀνεύθυνος ἢ καὶ ἔξω δίκης, ὁλόγον εἰς ἑ[ε]αὐτὸν εἰπών; Φαμὲν οὖν, ὅτι, ὅταν τις οὔπω τοῦ κατ' αὐτὸν μυστηρίου τὴν δύναμιν ἐκμεμαθηκὼς, οὔτε μὴν ἐγνωκὼς, ὅτι Θεὸς ὢν φύσει, καθῆκεν ἑαυτὸν ἐν τοῖς καθ' ἡμᾶς, καὶ κεχρημάτικεν ἄνθρωπος, εἴπῃ τι περὶ αὐτοῦ τῶν μετρίων, καὶ ὅσα συγγνώμης ἐστὶν ἄξια, ταῦτα ὁ Θεὸς ἀφίησι τοῖς ἐξ ἀγνοίας ἡμαρτηκόσιν. Οἷόν τί φημι· Ἔφη που Χριστός· « Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ·» ἀγνοήσαντες δέ τινες τὴν δόξαν αὐτοῦ, καὶ ἄνθρωπον εἶναι κοινὸν οἰηθέντες αὐτὸν, ἔφασκον· « Οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱὸς, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα; Πῶς οὖν λέγει, ὅτι Ἐκ τοῦ οὐρανοῦ καταβέβηκα;» Καὶ πάλιν· Εἱστήκει ποτὲ μυσταγωγῶν ἐν Συναγωγῇ, καὶ τεθαύμασται μὲν παρὰ πάντων, τινὲς δὲ, φησὶν, ἔλεγον· « Πῶς οὗτος γράμματα οἶδε, μὴ μεμαθηκώς;» Ἠγνόησαν γὰρ ὅτι πάντες ἔκειντο ἐν αὐτῷ οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι. Ταῦτα συγγνώμης ἄξια, ὡς ἐξ ἀγνοίας ἀτημελῶς εἰρημένα. Τοῖς γε μὴν εἰς αὐτὸ τὸ Θεῖον βλασφημήσασιν, ἀδιάφυκτος

291 V. 10. *Omnis qui dicit verbum in Filium hominis*, etc.

Quomodo hoc etiam intelligendum est? Nam si hoc significare vult Servator, quod si quis dicatur C contumeliosus adversus communem hominem sermo, veniam quisque impetrabit pœnitens; profecto omnis hinc tollitur difficultas. Bonus enim naturaliter Deus culpa quemlibet absolvit, qui pœnitere voluerit. Quod si de ipso hic textus Servatore omnium Christo loquitur, quomodo innoxius impunisque erit, qui verba adversus ipsum jactaverit? Dicimus ergo, quod quandiu aliquis virtutem mysterii Christi non didicerit, neque adhuc cognoverit, illum qui Deus naturaliter erat, ad nostram se conditionem demisisse, hominemque exstitisse; is, inquam, si quid moderatum dixerit, atque eorum ex numero quæ venialia sunt, hæc Deus dimittit ignoranter peccantibus. Exempli causa, dixit aliquando Christus: « Ego sum panis vivus, qui de cœlo descendi, et vitam mundo do[94];» quidam D vero gloriam ejus nescientes, et communem hominem existimantes, aiebant: « Nonne hic est fabri filius, cujus nos patrem ac matrem novimus? Quomodo ergo dicit se de cœlo descendisse[95]?» Et rursus: Dum aliquando in Synagoga docens perstaret et omnibus admirationi esset, quidam, inquit Scriptura, dixerunt: « Quomodo hic Litteras scit, cum non didicerit[96]?» Nesciebant enim cunctos in eo esse absconditos sapientiæ scientiæque thesauros[97]. Hæc veniam merebantur, tanquam inscienter incurioseque dicta. Verumenimvero his

[91] II Cor. III, 17. [92] Abd. 15. [93] Luc. XIII, 27. [94] Joan. VI, 51. [95] Joan. VI, 42. [96] Joan. VII, 15. [97] Coloss. II, 3.

Digitized by Google

qui deitatem blasphemaverint, inevitabile judicium erit, et perpetua pœna, tum in hoc mundo tum etiam in futuro. Spiritum vero his verbis designat non illum sanctum tantummodo, sed totam deitatis naturam. Nam dixit alio loco Servator, Deum esse spiritum [98]. Ergo quæ fit in Spiritum blasphemia, ea in totam tendit supremam substantiam. Una enim Deitatis natura in sancta et adorabili intelligitur Trinitate (1).

A ἡ δίκη, καὶ διηνεκὴς ἡ κόλασις καὶ ἐν τῷδε τῷ κόσμῳ, καὶ ἐν τῷ μέλλοντι. Πνεῦμα δέ φησιν ἐν τούτοις, οὐχὶ μόνον τὸ ἅγιον, ἀλλὰ γὰρ τὴν ὅλην τῆς Θεότητος φύσιν. Ἔφη δέ που καὶ αὐτὸς ὁ Σωτὴρ, ὅτι πνεῦμα ὁ Θεός· οὐκοῦν ἡ κατὰ τοῦ Πνεύματος βλασφημία, καθ' ὅλης ἂν γένοιτο τῆς ἀνωτάτω πασῶν οὐσίας· μία γὰρ ἡ τῆς Θεότητος φύσις ἐν ἁγίᾳ καὶ προσκυνητῇ νοεῖται Τριάδι.

292 V. 11. *Nolite solliciti esse qualiter aut quid respondeatis.*

Hoc injecto timore Dominus, comparatisque auditoribus suis, ut strenue iis resistant qui a vera fidei confessione desciverint, de reliquo securos esse jubet, id est de defensionis ratione. Namque iis, qui fideliter amanterque se gerunt, idoneos B suppeditat Spiritus sermones, magistri instar intus inhabitans.

Μὴ μεριμνᾶτε πῶς ἢ τί ἀπολογήσεσθε.

(A f. 170) Τοσοῦτον ἐπαρτήσας τὸν φόβον ὁ Κύριος, καὶ παρασκευάσας εἰς τὸ γεννικῶς ἀνθίστασθαι τοῖς ἀφιστᾶσι τῆς ὀρθῆς ὁμολογίας, περὶ τῶν ἄλλων κελεύει μὴ μεριμνᾶν, τουτέστι περὶ ἀπολογίας· διότι τοῖς πιστῶς καὶ ἀγαπητικῶς διακειμένοις ἐνεργεῖ τὸ Πνεῦμα τοὺς προσήκοντας λόγους, ὥσπερεὶ διδάσκαλος ἔνδον ἐνοικῶν.

V. 14. *Quis me constituit judicem aut divisorem super vos?*

Sane constitutus fuit a Deo Patre Filius, cum inter nos apparuit, princeps et rex super Sion monte sancto ejus, juxta Psalmistæ effatum [99]. Quid autem egregium facturus, mox ipse explanat: Adsum quippe, inquit, prædicans præceptum Domini. Quodnam porro hoc est? Vult nos Dominus noster, utpote virtutis amans, a terreno omni ac temporali negotio secedere, neque cum fratribus contendere, sed ipsis potius cedere, etiamsi ii forte contra jus nostrum agere velint: namque « Ab eo qui tua, C inquit, aufert, ne repetas [1]. » Sed illorum potius sollicitos esse jubet, quæ animæ saluti utilia ac necessaria sunt. His qui ita vivere consueverint, leges Christus statuit, quibus illustres spectabilesque fient. Ait ergo: « Ne possideatis argentum, neque aurum, neque duas tunicas, neque peram, neque in zonis vestris æs [2]. » Et rursus: « Facite vobis sacculos qui non veterascunt, thesaurum indeficientem in cœlis [3]. » Et adhuc, cum ad eum accedens adolescens quidam interrogasset, « Quid faciens vitam æternam possidebo? Vade, inquit, vende omnia quæ habes, et da pauperibus [4]. » Iis itaque qui docilem mentis suæ cervicem præbent, et impendit curam, et fert leges, et cœlestem hæreditatem dividit, et spiritales benedictiones distri- D buit. Verumtamen iis, qui terrena tantum sapiunt, merito dicet: « Quis me constituit principem aut divisorem super vos? » Sic ergo hominem illum rejecit, uti molestum, nihilque eorum, **293** quæ oportebat, discere volentem. Neque nos non monitos dimittit; sed idonea occasione capta, sermonem continuat, et tantum non protestatur:

Τίς με κατέστησε δικαστὴν ἢ μεριστὴν ἐφ' ὑμᾶς;

(A f. 171, E f. 190) Κεχειροτόνηται μὲν παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱὸς, ὅτε πέφηνε καθ' ἡμᾶς, ἄρχων τε καὶ βασιλεὺς ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ, κατὰ τὴν τοῦ Ψάλλοντος φωνήν. Καὶ τί κατορθώσων, διατρανοῖ πάλιν αὐτός. Ἀφῖγμαι γὰρ δή, φησὶ, διαγγέλλων τὸ πρόσταγμα Κυρίου. Καὶ ποῖον τοῦτό ἐστι; βούλεται γὰρ ἡμᾶς ὁ φιλάρετος ἡμῶν Δεσπότης, παντὸς ἀποφοιτᾶν γηΐνου τε καὶ προσκαίρου πράγματος, μὴ φιλονεικοῦντας ἀδελφοῖς, εἴκοντας δὲ μᾶλλον αὐτοῖς, κἂν βούλωνται πλεονεκτεῖν. « Ἀπὸ γὰρ τοῦ αἴροντος, φησὶ, τὰ σὰ, μὴ ἀπαίτει· » ζητοῦντας δὲ μᾶλλον τὰ διαπέρ ἐστι χρήσιμα καὶ ἀναγκαῖα πρὸς σωτηρίαν ψυχῆς. Τοῖς οὕτω ζῆν εἰωθόσι, νόμους ὁρίζει Χριστὸς, καθ' οὓς ἂν γένοιντο λαμπροὶ καὶ ἀπόβλεπτοι· ἔφη γοῦν· « Μὴ κτήσησθε ἀργύριον, μήτε χρυσίον, μήτε δύο χιτῶνας, μήτε πήραν, μήτε χαλκὸν εἰς τὰς ζώνας ὑμῶν. » Καὶ πάλιν· « Ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς. » Καὶ αὖ, ἐπειδή τις προσελθὼν νεανίας ἤρετο, « Τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; Ὕπαγε, φησὶ, πώλησον τὰ ὑπάρχοντά σου, καὶ δὸς πτωχοῖς. » Οὐκοῦν τοῖς μὲν ὑποφέρουσιν εὐήνιον αὐτῷ τὸν τῆς διανοίας αὐχένα, καὶ διατάττει, καὶ νομοθετεῖ, καὶ μερίζει τὸν οὐράνιον κλῆρον, καὶ διανέμει τὰς πνευματικὰς εὐλογίας· τοῖς γε μὴν μόνα φρονοῦσι τὰ ἐπὶ τῆς γῆς, εἰκότως ἐρεῖ· « Τίς με κατέστησεν ἄρχοντα ἢ μεριστὴν ἐφ' ὑμᾶς; » Ἀποσείεται μὲν οὖν ἐκεῖνον, ὡς ὀχληρὸν, καὶ οὐδὲν ἐθέλοντα μαθεῖν ὧν εἰδέναι ἐχρῆν. Ἀφίησί γε μὴν οὐκ ἀνουθετήτους ἡμᾶς, εὐκαίρου δὲ ὥσπερ λαβόμενος ἀφορμῆς, ἐξυφαίνει λόγον, μόνον δὲ οὐχὶ καὶ διαμαρτύρεται·

V. 15. *Dixitque ad illos: Videte, et cavete ab omni avaritia*, etc.

Εἶπε δὲ πρὸς αὐτούς· Ὁρᾶτε καὶ φυλάσσεσθε ἀπὸ πάσης πλεονεξίας, κ. τ. λ.

[98] Joan. IV, 24. [99] Psal. II, 6. [1] Luc. VI, 29. [2] Matth. X, 9. [3] Luc. XII, 33. [4] Matth. XIX, 6.

(1) In catena D. Thomæ additur. « CYRILLUS. Quod si creatura esset Spiritus sanctus, non autem de divina substantia Patris et Filii, qualiter acta in eum contumelia tantam fert pœnam, quanta promulgatur contra blasphemantes in Deum? »

Digitized by Google

(A f. 171, E f. 190) Βόθρον γὰρ ἡμῖν ὑπέδειξε διαβολικὸν, τὴν πλεονεξίαν, ἣν δὴ καὶ εἰδωλολατρείαν, ὡς ἔφημεν, ὁ σοφὸς ὀνομάζει Παῦλος, ὡς μόνοις τάχα που πρέπουσαν τοῖς οὐκ εἰδόσι Θεὸν, ἢ καὶ ἰσοστάθμως ἔχουσαν εἰς βεβήλωσιν τοῦ λατρεύειν τινὰς ξύλοις τε καὶ λίθοις. Διὰ τοῦτό φησιν· « Ὁρᾶτε καὶ φυλάξασθε ἀπὸ πάσης πλεονεξίας, » τουτέστι μικρᾶς τε καὶ μεγάλης· ἀσθενὴς γὰρ πάντως που ὁ πλεονεκτούμενος, καὶ εἰς μόνον ἀνατείνων τοὺς ὀφθαλμοὺς τὸν ἐφ' οἷς πέπονθεν ἀγανακτῆσαι δυνάμενον. Ὁ δὲ, ἐπείπερ ἐστὶ δίκαιός τε καὶ ἀγαθὸς, προσίεται μὲν τὴν ἱκετηρίαν, ἐπάγει δὲ τοῖς ἠδικηκόσι τὰς δίκας. Καὶ τοῦτο μαθήσῃ, λέγοντος αὐτοῦ διὰ φωνῆς ἁγίων προφητῶν· « Διὰ τοῦτο ἀνθ' ὧν κατεκονδυλίζετε εἰς κεφαλὰς πτωχῶν, καὶ δῶρα ἐκλεκτὰ ἐδέξασθε παρ' αὐτῶν, οἴκους ξυστοὺς οἰκοδομήσετε, καὶ οὐ μὴ κατοικήσητε ἐν αὐτοῖς· καὶ ἀμπελῶνας ἐπιθυμητοὺς φυτεύσετε, καὶ οὐ μὴ πίητε τὸν οἶνον αὐτῶν· ὅτι ἔγνων πολλὰς ἀσεβείας ὑμῶν, καὶ ἰσχυραὶ αἱ ἁμαρτίαι ὑμῶν. » Καὶ πάλιν· « Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι. Μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς; Ἠκούσθη γὰρ εἰς τὰ ὦτα Κυρίου Σαβαὼθ ταῦτα. Ἐὰν γὰρ γένωνται αἱ οἰκίαι ὑμῶν πολλαὶ, εἰς ἔρημον ἔσονται· μεγάλαι καὶ καλαὶ, καὶ οὐκ ἔσονται οἱ ἐνοικοῦντες ἐν αὐταῖς. Οὗ γὰρ ἐργῶνται δέκα ζεύγη βοῶν, ποιήσει κεράμιον ἕν· καὶ ὁ σπείρων ἀρτάβας ἓξ, ποιήσει μέτρα τρία. » Οὐκοῦν κατὰ πάντα τρόπον ἀνόνητος ἡ πλεονεξία· καὶ καθ' ἕτερον δὲ τρόπον, ἀνωφελής. Οὐ γὰρ ἐν τῷ περισσεύειν τινὶ, φησὶν, ἐστὶν ἡ ζωὴ αὐτοῦ, τουτέστιν, οὐ συνεκτείνεται τῷ πλούτῳ τὸ τῆς ζωῆς μέτρον. Καὶ τοῦτο ἡμῖν σαφῶς τε καὶ ἐναργῶς ὑπέδειξεν ὁ Σωτὴρ, τὴν τοῖς εἰρημένοις συνεζευγμένην παραβολὴν εὖ μάλα συντεθειμένως (1)· διδάσκει μὲν οὖν τὰ πάντων ἐξαίρετα Χριστὸς, καὶ πρὸ πάντων τῶν ἀρετῶν ἁπασῶν τὸ κεφάλαιον τὴν ἀγάπην, ἧς τὸ κάλλιστον ἡ ἐλεημοσύνη καθέστηκεν. Ἀλλ' ὁ μισόκαλος Σατὰν, ὁ φαυλότητος ἁπάσης εὑρετὴς, ὁ τῶν ζιζανίων σπορεὺς, ὁ πάσης ἐχθρὸς ἀρετῆς, ὁ τοῖς εὐδοκιμοῦσι μαχόμενος, τοῖς εὖ ποιεῖν δυναμένοις ὄκνον ἔσθ' ὅτε τὸν ἐπιζήμιον ἐργάζεται. Καὶ ὁ μὲν τοῦ Θεοῦ νόμος ἐγείρει πρὸς ἔλεον λέγων· « Ἀνοίγων ἀνοίξῃς τὰ σπλάγχνα σου τῷ ἐπιδεομένῳ ἐν σοί· » ὁ δὲ, ἀντανίστασθαι καὶ συλλέγειν ἀναπείθει τὴν χεῖρα, καὶ σωρεύειν ἐν γῇ, καὶ τρυφὰς ὑποτίθεσθαι σαρκικάς· ἀποφέρει δὲ καὶ εἰς λήθην θανάτου, καὶ οὐκ ἐᾷ τὸ μέλλον ὁρᾶν, οὐδὲ ἀνθρώπινόν τι λογίζεσθαι. Καὶ ὅρα ὡς ἐν εἰκόνι τὸ πρᾶγμα γραφόμενον.

A Foveam scilicet nobis diabolicam ostendit avaritiam, quam etiam idololatriam, ut diximus, Paulus sapiens appellat [5], fortasse quia solis congruit ignorantibus Deum, vel quia parem profanitatem habet, ac si quis ligno lapidive cultum exhibeat. Propterea, inquit, « videte et cavete ab omni avaritia, » id est tam parva quam magna. Omnis enim qui oppressionem patitur, infirmus est, et in eum solum intendit oculos, qui indignari potest ob ea quæ ipse patitur. At Deus justus ac bonus preces admittit, et injuriam facientibus pœnas infert. Atque hoc ab ipso disces, qui sanctorum prophetarum voce ait : « Propterea quia pugno pauperes in capite percutiebatis, donaque electa sumebatis ab B eis; domos quidem expolitas ædificabitis, neque tamen eas habitabitis : vineas desiderabiles plantabitis, neque idcirco vinum earum bibetis. Etenim multas novi iniquitates vestras, et gravia sunt peccata vestra [6]. » Et denuo : « Væ his qui domo domum conjungunt, et agrum agro admovent, ut proximo suo aliquid detrahant. Num vos soli terram incoletis? Certe hæc auribus Domini exercituum insonuerunt. Etsi fuerint domus vestræ multæ, solitudo fiet : quamtumvis eæ magnæ speciosæque fuerint, non erit qui eas incolat. Namque ubi decem juga boum operantur, ibi leguncula unam faciet : et qui sex artabas serit, tres mensuras colliget [7]. » Ergo omnimodis infructuosa avaritia est. Sed et aliunde inutilis est, quia non in affluen- C tia consistit hominis vita, id est, haud ad divitiarum mensuram extenditur vitæ spatium. Atque hoc manifeste evidenterque demonstravit nobis Servator, superius dictis connexam apte admodum proponens parabolam. Eximiam **294** itaque tradit Christus doctrinam, et præcipuam virtutum omnium statuit charitatem cujus pulcherrimus fructus eleemosyna est. Sed boni osor Satanas, nequitiæ omnis inventor, ziz[illegible] sator, cujusvis virtutis hostis, bonæ voluntatis hominibus adversans, iis etiam qui bene agere queunt noxiam quandoque ignaviam injicit. Et cum lex divina ad misericordiam impellat dicens : « Aperiens aperi viscera homini qui te indiget [8] ; » ille resistere et manum contrahere suadet, et divitias cumulare in mundo, ac delicias sectari D carnales : mortis quoque oblivionem inducit, neque res futuras spectare sinit, neque humanum quid cogitare. Nunc age tanquam in tabula rem cerne depictam.

Ἀνθρώπου τινὸς πλουσίου εὐφόρησεν ἡ χώρα. Καὶ διελογίζετο ἐν ἑαυτῷ λέγων· Τί ποιήσω; ὅτι οὐκ ἔχω ποῦ συνάξω τοὺς καρπούς μου.

V. 16-19. *Hominis cujusdam divitis uberes fructus regio tulit. Et cogitabat intra se dicens : Quid faciam? quia non habeo quo congregem fructus meos.*

(A f. 172, B f. 122 b, E f. 192) Σὺ δέ μοι πρόσχῃς ἀκριβῶς, ἵνα θαυμάσῃς τοῦ λόγου τὸ εὐτεχνές. Οὐ

Tu quidem mecum sedulo attende, ut sermonis solertiam admireris. Non enim nobis unum præ-

[5] Coloss. III, 5. [6] Amos V, 11, 12. [7] Isa. V, 8. [8] Deut. XV, 8.

(1) Cod. E. τοῖς τοιούτοις καὶ τὴν ἀνὰ χεῖρας παραβολὴν εὖ μάλα, etc.

Digitized by Google

dium ostendit uberem tulisse fructum, sed universam possessori suo regionem, ut divitiarum amplitudinem cognoscas. Quid ergo? Dives tam multis tamque immodicis stipatus bonis, pusillo animo fit, pauperis propria verba dicit. Quid faciam, dicere solet pauper, quia rei necessariæ penuria laboro? semperque hanc miseram vocem effutit. Ecce iisdem utitur verbis etiam dives, magnopere dolens mœrensque. « Et ait : Destruam horrea mea, et majora ædificabo, illucque congregabo omnes fructus meos ac bona. » Cellas ædificare ampliores cogitabat, solus frui volebat facultatibus suis. Benignitati erga pauperes non studet, neque gloriæ inde redundantis cupidus est; sed ait : « Horrea mea destruam. » Reliquam quoque stultam ipsius orationem specta. « Coacervabo, inquit, fructus meos. » Non reputabat, sicuti Jobus, hæc a Deo se accepisse, neque ut Dei œconomus erga ista se gerebat, sed laborum **295** suorum fructum esse existimabat. Quod autem haud Deo prosperitatem suam acceptam referat, demonstrat dum ait : Coacervabo fructus meos, bonaque mea nemini communicabo, sed mihi meoque ventri cuncta reponam. Quis de proprio officio ita cogitaret, si Deum opum suarum largitorem agnosceret? Nam qui a Deo aliquid habent, iidem juxta Dei placitum uti debent eo quod habent.

Sed hic dives haud duratura horrea ædificat, sed caduca. Et quod adhuc stultius est, spatium vitæ sibi definit, quasi hoc etiam de terra messuerit. Ait enim : « Dicamque animæ meæ : Anima, multa habes bona reposita in annos multos. »—Atqui, o dives, dicet merito aliquis, fructus quidem in horreis habes, sed annos multos unde sumes? — Sic loqui solet etiam nunc dives, ventri suo deditus, ingluviem loco intellectus habens, neque juxta imaginem ejus qui unice bonus est, vitam degens. Quamobrem animam suam carnalibus escis nutrit, et consequentem ex ipsis nefandam voluptatem sibi proponit : honeste enim Dominus vocabulo *gaudæ* hypogastricas passiones denotavit, quæ saturitatem comitantur; subsequuntur enim crapulam res venereæ. Atqui edendum est vitæ causa; non vivendum, ut edamus; prout ventris adoratores, qui aiunt : « Manducemus et bibamus, cras enim moriemur[a]; » cum contra dicendum foret : Quoniam cras morituri sumus, cibum potumque omittamus. — Quid profuit isti diviti multiplex cura? Totus in carnali cogitatione est. Sed videsne quam retulerit pœnam is qui nemini alii bonus exstitit, sibi autem uni dives? Curis se attrivit, ut dives fieret; vigilavit, ut multa congregaret; gratulatur ventri suo multa commoda habenti; totus ad terrena negotia incumbit; Deum non suspicit; futura non spectat;

A γὰρ ἐν ἡμῖν εὐφορῆσαν ἔδειξε χωρίον, ἀλλ' ὅλην ἔχῃ χώραν εὔκαρπον γενέσθαι τῷ κεκτημένῳ, ἵνα μάθῃς τοῦ πλούτου τὸ βάθος. Τί οὖν; ὁ πλούσιος, ὁ τοῖς οὕτω πολλοῖς καὶ ἀμέτροις περιεχόμενος ἀγαθοῖς, στενοχωρεῖται πεφροντικὼς, τὰς τοῦ πένητος λέγει φωνάς. Τί γὰρ ποιήσω, φησὶν ἐκεῖνος, ἐν σπάνει τῶν ἀναγκαίων ὑπάρχων; Ἀεὶ τὴν οἴτως ἀθλίαν ἐ[κ]πτύει φωνήν. Ἀλλ' ἰδοὺ ταῖς αὐταῖς κέχρηται φωναῖς ὁ πλούσιος σφόδρα ὀδυνώμενος καὶ πάσχων· « Καὶ εἶπε· Καθελῶ μου τὰς ἀποθήκας, καὶ συνάξω ἐκεῖ πάντα τὰ γεννήματά μου καὶ τὰ ἀγαθά μου. » Θησαυροὺς οἰκοδομεῖν πλατυτέρους ἐσκέπτετο, μόνος ἀπολαύειν ἤθελε τῶν προσόντων αὐτῷ· οὐκ ἐρᾷ φιλοπτωχίας, τῶν ἐντεῦθεν αὐχημάτων οὐκ ἐφίεται· ἀλλά φησι· « Καθελῶ μου τὰς ἀποθήκας. » Ἄθρει δὴ καὶ ἕτερον ἀνόητον αὐτοῦ λόγον· « Συνάξω γάρ, φησὶ, τὰ B γεν[ν]ήματά μου. » Οὐκ ἐνόμιζε ταῦτα ἐκ Θεοῦ ἔχειν ὡς ὁ Ἰώβ· ἢ γὰρ ἂν ὡς Θεοῦ οἰκονόμος περὶ ταῦτα διέκειτο· ἀλλ' οἰκείων πόνων γεν[ν]ήματα ζητο. Ὅτι δὲ οὐκ ἐκ Θεοῦ τὸ εὖ πράττειν ἑαυτῷ εἶναι νομίζει, δηλοῖ σαφῶς ἐξ ὧν λέγει. Συνάξω γὰρ, φησὶ, τὰ γεν[ν]ήματά μου, καὶ τὰ ἀγαθά μου οὐδενὶ μεταδώσω, ἀλλ' ἐμαυτῷ καὶ τῇ ἐμῇ γαστρὶ πάντα ταμιεύσομαι. Τίς γὰρ ἂν οὕτω διανοηθείη περὶ τῶν δεομένων, θεὸν εἰδὼς χορηγὸν ὧν κέκτηται; Τῶν γὰρ αὐτῶν ἐστιν ἔχειν τέ τι παρὰ Θεοῦ, καὶ κεχρῆσθαι κατὰ Θεὸν οἵσπερ ἔχουσιν.

(A f. 173 b, E f. 196) Ἀλλ' ὁ πλούσιος οὗτος, οὐ τὰς μενούσας ἀποθήκας οἰκοδομεῖ, ἀλλὰ τὰς κατα- C λυομένας· καὶ τὸ ἔτι τούτου παραλογώτερον, ἑαυτῷ μῆκος ὁρίζει ζωῆς, ὥσπερ ἐκ γῆς καὶ τοῦτο θερίσας· φησὶ γάρ· « Καὶ ἐρῶ τῇ ψυχῇ μου· Ψυχὴ, ἔχεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη πολλά. »—(A f. 173 b) Ἀλλ', ὦ πλούσιε, φαίη τις ἄν, τοὺς μὲν καρποὺς ἔχεις ἐν ἀποθήκαις, ἔτη δὲ πολλὰ (1) πόθεν ἂν λάβῃς; —(A f. 174 b, E f. 198) Τοιοῦτος (2) καὶ ὁ νῦν πλούσιος, τῇ γαστρὶ ἑαυτοῦ ἐπικεκυφὼς, λαιμὸν ἀντὶ λογισμοῦ κεκτημένος, ἀλλ' οὐ κατ' εἰκόνα τοῦ μόνου ἀγαθοῦ ζῶν· διὸ τὴν ἑαυτοῦ ψυχὴν τοῖς τῆς σαρκὸς δεξιοῦται βρώμασι, καὶ τὴν ἐπακολουθοῦσαν αὐταῖς μυσαρὰν ἡδονὴν ἐπιτάττει τῇ ψυχῇ· εὐφήμως γὰρ ὁ Κύριος διὰ τοῦ *εὐφραίνου* τὰ ὑπογάστρια πάθη ἐδήλωσε, τὰ τῇ πλησμονῇ παρεπόμενα· ἀκολουθεῖ γὰρ τῷ κόρῳ τὰ ἀφροδίσια. Καὶ μὴν ἔδει ἐσθίειν, ὥστε D ζῆν· οὐ μὴν ζῆν, ὥστε ἐσθίειν· κατὰ τοὺς θεοπειοῦντας τὴν γαστέρα καὶ λέγοντας· « Φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν· » δέον τοὐναντίον λέγειν· Ἐπεὶ αὔριον ἀποθνήσκομεν, μὴ φάγωμεν μηδὲ πίωμεν. — (A f. 174 b) Τί ὠφέλησε τοῦτον τὸν πλούσιον ἡ πολλὴ μέριμνα; Ὅλος ἐστὶ τῆς σαρκός. Ἀλλ' ὁρᾷς ὅσην ὑπέμεινε ζημίαν, ὁ μηδενὶ μὲν τῶν ἄλλων ἀγαθὸς, ἑαυτῷ δὲ μόνῳ πλούσιος; πεφρόντικεν, ἵνα πλουτήσῃ· ἠγρύπνησεν, ἵνα συναγάγῃ πολλά· συγχαίρει τῇ ἑαυτοῦ γαστρὶ ὡς ἐχούσῃ πολλὰ

[a] Isa. xxii, 13; I Cor. xv, 32.

(1) Dilapsis apud Corderium tribus his verbis ἔτη δὲ πολλά, is perverse scribit : *Fructus plurimos habes in apothecis, unde accipies?*

(2) Hic locus usque ad πίωμεν, dicitur in codice A. sumptus ex Cyrilli homilia.

Digitized by Google

τῶν ἐπιτηδείων· ὅλος ἐστὶ τῶν ἐπὶ γῆς πραγμάτων· A οὐκ ἀναβλέπει πρὸς Θεόν· οὐχ ὁρᾷ τὰ ἐσόμενα· οὐ λογίζεται τὸν ἐπὶ τοῦ θείου βήματος δικάζοντα Θεόν· οὐχ ὁρᾷ τὸν γείτονα θάνατον· κατεδικάσθη γὰρ τελευτὴν ἀπροσδόκητον ὁ μισόπτωχος πλούσιος· ἐν τῇ ἑσπέρᾳ τὴν ἑωθινὴν τροφὴν βουλευόμενος, καὶ τοῦ ὄρθρου μὴ καταλαβὼν τὴν ἀκτῖνα. Ἄκουε γὰρ ὅτι κεκολόβωται αὐτῷ ἡ ζωὴ ψήφῳ Θεοῦ.

Ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται;

(I f. 101 b) (1) Τουτέστιν ἐν στιγμῇ καὶ ἐν ὀλίγῳ παντελῶς καὶ συνεσταλμένῳ καιρῷ τὴν ἀπόλαυσιν ἔχων· κονιορτοῦ γὰρ δίκην οἰχήσεται, πεμπόμενος εἰς ἑτέρους, καὶ εἰς οὓς οὐκ ἴσμεν ἔσθ᾽ ὅτε ἢ καὶ τάχα που καὶ εἰς ἐχθρούς. — A f. 175 b, E f. 200 b) Ἀληθὲς οὖν ἄρα ὅτι οὐκ ἐν τῷ B περισσεύειν τινὶ ἔσται ἡ ζωὴ αὐτοῦ ἐκ τῶν ὑπαρχόντων αὐτῷ. Τρισμακάριος δὲ καὶ ἐν ἐλπίσι λαμπραῖς, ὁ κατὰ Θεὸν πλουτῶν. Ὁ μὲν γὰρ ταῖς κατὰ γῆν φροντίσι δαπανώμενος, ἐπιζήμιον ἔχει τὸ τέλος, καὶ πένης ἀπελεύσεται πρὸς Θεόν· ὁ δὲ μεριμνῶν τὰ τοῦ Κυρίου, πλουτήσει μὲν ἐν ἔργοις ἀγαθοῖς, ἕξει δὲ θησαυρὸν ἄσυλον ἐν τοῖς οὐρανοῖς.

Μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε, κ. τ. λ.

(A f. 176, B f. 123 b) Τέθειται μὲν δὴ τοῖς ἐξ Ἰσραὴλ ὁ διὰ Μωϋσέως νόμος, ἀποφέρων εἰς ἕκαστα τῶν πρακτέων, καὶ τὸ τελοῦν εἰς ὄνησιν αὐτοῖς καθιστὰς ἐναργές. Οἱ δὲ θυμηδίας τῆς ἀνωτάτω πρόφασιν ἐποιοῦντο τὸ χρῆμα, λέγοντες· « Μακάριοί ἐσμεν C Ἰσραήλ, ὅτι τὰ ἀρεστὰ Κυρίῳ γνωστὰ ἡμῖν ἐστιν. » Ἐγὼ δὲ φαίην ἄν· Τρισμακάριοί ἐσμεν ἡμεῖς, παρ᾽ αὐτοῦ τοῦ πάντων ἡμῶν Σωτῆρος διδασκόμενοι τὸ ἀγαθὸν αὐτοῦ τὸ σωτήριον θέλημα, ἵνα τὴν εὐαγγελικὴν ζωὴν πολιτευσάμενοι, συμβασιλεύσωμεν αὐτῷ. Ὅρα γάρ, ὅπως ἡμᾶς μερίμνης ἐξίστησι περιττῆς, οὐχ ἁπλῶς, « μὴ μεριμνᾶτε, » λέγων, προσεπάγων δὲ ὅτι « τῇ ψυχῇ ὑμῶν, » ἀντὶ τοῦ, Μὴ ἐσπουδασμένην ἐν τούτοις δαπανᾶτε φροντίδα, ἀλλὰ τοῖς ὑπερκειμένοις χαρίζεσθε τὰς σπουδάς. Ὑπέρκειται δὲ τροφῆς μὲν ψυχή, περιβλημάτων δὲ σῶμα. Καὶ ἄθρει πῶς οὐχ ἁπλῶς τό, « μὴ μεριμνᾶτε » τίθησιν, ἀλλὰ καὶ ἐνταῦθα λογισμοὺς ἀνακινεῖ ἐκ τῶν ὑπηργμένων ἡμῖν ἤδη. Ὁ γὰρ τὸ μεῖζον, φησί, δούς, πῶς τὸ ἔλαττον οὐ δώσει; ὁ τὴν τρεφομένην σάρκα διαπλάσας, D πῶς τὴν τροφὴν οὐ παρέξει; Ἀγῶνος τοίνυν προκειμένου τοῦ περὶ ψυχῆς καὶ σώματος, κολάσεώς τε καὶ δίκης ἐπηρτημένης τοῖς οὐκ ἐθέλουσι ζῆν ὀρθῶς, ἐῤῥίφθω φροντὶς ἡ ἐπ᾽ ἀμφίοις καὶ τροφῇ. Ἄλλως τε τοῖς τῆς ἀρετῆς ἐρασταῖς, πῶς οὐκ αἰσχρὸν μειρακιωδῶς ἱματίοις ἐφήδεσθαι, καὶ τραπέζαις πολυτελέσιν; Ἕψεται γὰρ τούτοις εὐθὺς καὶ ἡ τῶν ἑτέρων ἐπιθυμιῶν ἀγρία πληθύς· τοῦτο δέ ἐστιν ὄλισθος ἀπὸ Θεοῦ. Χρὴ τοίνυν ἡμᾶς ἐφίεσθαι μᾶλλον τῶν ἀρεσκόν-

non cogitat de judicante **296** super tremendo tribunali Deo; proximam mortem non animadvertit. En autem osori pauperum diviti insperatus finis decernitur; qui cum vespere de matutino alimento consilia agitaret, auroræ radium non aspexit. Audi enim decreto Dei vitam ejus abruptam.

V. 20. *Stulte, hac nocte animam tuam repetunt a te; quæ autem parasti cujus erunt?*

Hoc est, uno momento, brevi prorsus contractoque tempore his bonis fruitus, quæ feni instar dilabentur, ad alios transmissa, et quidem fortasse ad ignotos vel etiam ad inimicos.—Vere itaque dictum est haud in bonorum abundantia vitam hominis consistere. Beatissimus contra est, splendidaque in spe versatur, qui secundum Deum dives est. Nam qui terrenis curis atteritur, is amarum finem nanciscitur, et pauper ad Deum ibit. Secus vero, qui quæ Dei sunt curat, bonis operibus ditescet, tutumque in cœlis thesaurum possidebit.

V. 22. *Nolite solliciti esse animæ vestræ quid manducetis*, etc.

Data fuit Israelitis lex Mosaica, singula officia docens, et quid eis prodesset perspicuum exhibens. Illi autem summi instar gaudii eam rem habebant, dicentes: « Beati sumus Israelitæ, quibus placita Dei sunt explorata [10]. » Ego vero potius dicam: Beatissimi sumus nos, qui ab universali nostro Servatore docti fuimus bonam ipsius salutaremque voluntatem, ut, postquam evangelicam vitam vixerimus, cum eo pariter regnemus. Cerne enim, quomodo nos a supervacua cura avertit, non tantum dicens, « Ne solliciti sitis, » sed addens « animæ vestræ, » pro eo ut dicat, Ne nimiam in his insumite sollicitudinem, sed superioribus rebus studia impendite. Superstat autem alimoniæ anima, vestimento corpus. Et vide quod non simpliciter posuit « ne solliciti sitis, » verum hic etiam ratiocinia **297** ex iis, quas jam possidemus, rebus commovet. Nam qui majus dedit, quomodo minus non concedet? qui carnem altilem formavit, cur alimoniam non suppeditabit? Ergo certamine proposito de animo et corpore, pœnaque et ultione iis impendente qui recte vivere nolunt, abjiciatur cura vestimentorum atque alimoniæ. Alioqui etiam virtutis amatores quidni sit turpe pueriliter ornatu vestium mensisque sumptuosis oblectari? Namque hæc subsequetur statim aliarum quoque cupiditatum sæva multitudo. Sic autem a Deo excidimus. Oportet itaque magis iis delectari quæ Deo placent: etenim quæ satis sunt et necessaria, ipse largietur.

[10] Baruch IV, 3.

(1) Citatur hoc fragmentum, a τουτέστιν usque ad ἐχθρούς, ex Cyrillo nominatim in Lucam in Vaticana nobili ms. catena ad XII prophetas. Id ego hoc loco colloco, valde tamen ambigens utrum huic potius an alii sedi, puta versiculo 28, vel alii cuivis loco sit assignandum.

Digitized by Google

Dignus autem fide est Dominus qui hæc aperte promittit, et tanquam a minoribus majora nobis persuadet.

V. 24. *Considerate volucres cæli*, etc.

Ad fortitudinem veluti nos extollens spiritalem, a nullius pretii volucribus alibi capiebat persuadendi argumenta, dicens : « Multis passeribus potiores estis vos [11] ; » ita et nunc a volucribus et ab agrorum floribus, firmam immotamque efficit fidem. Neque ullatenus dubitare nos sinit, quominus ipse indulgentiam suam nobis sit largiturus, atque ad omnia sufficientem opem suppeditaturus. — Vere dicitur Salomon liliorum vestitu superatus. Nam colorum splendores varii ac multiformes in liliis quidem et nonnullis aliis agrorum germinibus miram habent pulchritudinem. Quæ vero a quopiam imitando artificialiter fiunt, ea prorsus deteriora sunt, vixque fere ad veritatem propinquant. Quod si hæc ita se habent, quidni verum sit, Salomonem quamvis adeo magnificum, in omni gloria sua tanquam unum ex his non fuisse vestitum ? Sufficit ergo sapientibus solius necessitatis ususve causa habere decentem et facile parabilem vestem, aliquantum etiam alimentorum quæ sufficientem modulum **298** non excedant. Sufficiet autem sanctis viris esca in Christo, spiritalis nimirum, divina, intellectualis, et posthinc gloria. Alioqui etiam incongruum fuisset, eos qui cæteris vitæ sanctæ exemplares futuri erant atque imagines, in illa per socordiam incidere a quibus alios deterrere debebant, quandoquidem œcumenici magistri erant. Curabat autem non mediocriter Christus sacræ suæ prædicationis studio et officio, ut a mundanarum rerum cura discipulos abstraheret.

Jactemus itaque curam nostram in Dominum : ne solliciti simus quid manducabimus, aut quid bibemus, aut quo vestiemur. Caveamus ne in pusillis vilibusque rebus magna nostra consumatur sollicitudo : ne servam vestitus et victus liberam nostram mentem reddamus : hæc potius unusquisque cogitet quæ saluti animæ conferunt, quæ ad cœlorum regnum ducunt, quæ coronam nobis acquirunt. Hoc est demum humanæ menti convenientissimum opus. Age vero si quis nos interroget, quid præclarius existimemus, cibumne et corpus, an vero animam ; quis adeo sit hebes, quis ita ad utilia discernenda segnis, ut non statim respondeat præstantiorem esse animam ? Quoniam itaque majus quid est anima quam victus atque vestitus, cur non in majoribus potius curas nostras consumimus, contraque tantopere res minoris momenti æstimamus, totamque

A των θεῷ· χορηγήσει γὰρ αὐτὸς τὰ δέοντα καὶ τὰ αὐτάρκη· ἀξιόχρεως δὲ ὁ Δεσπότης, τοῦτό σοι σαφῶς ὑπισχνούμενος, καὶ ὡς ἀπό γε τῶν ἐλαττόνων, περὶ τῶν μειζόνων ἡμᾶς πληροφορῶν.

Κατανοήσατε τὰ πετεινὰ (1) *τοῦ οὐρανοῦ*, κ.τ.λ (A f. 176 b, C f. 134 b). Ὥσπερ εἰς εὐανδρίαν ἡμᾶς ἀναδιδάζων πνευματικὴν, ὡς ἀπό γε τῶν ἐν οὐδενὶ λόγῳ κειμένων πτηνῶν ἐποιεῖτο τὴν πληροφορίαν, λέγων· « Πολλῶν στρουθίων διαφέρετε ὑμεῖς· » οὕτω καὶ νῦν, ὡς ἀπό γε τῶν πτηνῶν, ἢ τῶν ἐν ἀγροῖς ἀνθῶν, ἱδρυμένην καὶ ἀκατάσειστον ἐνεργάζεταί σοι τὴν πίστιν. Ἐνδοιάζειν δὲ ὅλως οὐκ ἐφίησιν ἡμᾶς, ὅτι πάντη τε καὶ πάντως τὴν παρ' αὐτοῦ χαρίζεται φειδὼ, τὸ ἀνενδεὲς ἐφ' ἅπασι διδούς. — (A f. 178, B f. 124, C f. 134 b) Ἀληθὲς δὲ τὸ καὶ τὸν Σολομῶντα ἡττῆσθαι τῆς τῶν κρίνων περιβολῆς· τὰ γὰρ τῶν χρωμάτων ἄνθη, ποικίλα τε ὄντα καὶ πολυειδῆ, ἐν κρίνοις μὲν, καὶ ἐν ἑτέροις τισὶ τῶν φυομένων ἐν ἀγροῖς, ἀξιοθαύμαστον ἔχει τὴν ὥραν· τὸ δὲ πρὸς μίμησιν τὴν αὐτῶν ὑπό του τεχνουργούμενον, λείπεται πάντως ἐκείνων, καὶ μόλις ἔρχεταί πως τῆς ἀληθείας ἐγγύς. Εἰ τοίνυν τοῦθ' οὕτως ἔχει, πῶς οὐκ ἀληθὲς ὅτι οὐδὲ Σολομὼν, καίτοι φιλότιμος οὕτω γεγονὼς, ἐν ὅλῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων, Ἀπόχρη τοιγαροῦν τοῖς σοφοῖς τὸ χρείας ἕνεκα καὶ μόνης εὐσχήμονα καὶ εὐπόριστον ἔχειν τὴν στολὴν, καὶ σιτίων λιτότητα μὴ ὑπεραίρουσαν τὸ ἀρκοῦν· ἀρκέσει δὲ τοῖς ἁγίοις ἡ ἐν Χριστῷ τροφὴ, ἡ πνευματικὴ δηλονότι καὶ θεία καὶ νοητὴ, καὶ ἡ μετὰ ταῦτα δόξα. Ἦν δὲ καὶ ἑτέρως ἀνάρμοστον, τοὺς ἑτέροις μέλλοντας ἔσεσθαι πολιτείας εὐαγοῦς ὑποτύπωσιν καὶ ὑπογραμμὸν, εἰς ἐκεῖνα πίπτειν ἀτημελῶς, ὧν αὐτοὺς ἀποφοιτᾷν συμβουλεύειν ἔδει, παιδαγωγοὺς ὄντας οἰκουμενικούς. Ἐπιβούλευσε δ' ἂν οὐ μετρίως καὶ τῇ τῶν ἱερῶν κηρυγμάτων σπουδῇ τε καὶ χρείᾳ, τὸ φροντίδος κοσμικῆς μεταποιεῖσθαι τοὺς μαθητάς.

(A f. 178 b). Ἐπιρρίψωμεν τοίνυν ἐπὶ Κύριον τὴν φροντίδα· μὴ μεριμνήσωμεν τί φάγωμεν ἢ τί πίωμεν, ἢ τί περιβαλώμεθα· μὴ ἐν μικροῖς καὶ εὐτελέσι πράγμασιν ὁ μέγας ἡμῶν δαπανάσθω λογισμός· μὴ δοῦλον ἱματίου καὶ τροφῆς ἀπεργασώμεθα τὸν ἐλεύθερον νοῦν· μεριμνάτω δὲ μᾶλλον ὅσα διασώζει ψυχὴν, ὅσα πρὸς τὴν τῶν οὐρανῶν ἀναφέρει βασιλείαν, ὅσα τοὺς στεφάνους ἡμῖν προξενεῖ· ἔργον τοῦτο τῇ ἀνθρώπου διανοίᾳ πρεπωδέστατον. Ἆρα γὰρ εἴ τις ἡμᾶς ἐρωτήσειε, τί μεῖζόν ἐστιν ἐν ἡμῖν, τί δὲ εἶναι τὸ κάλλιον ὑπειλήφαμεν, τροφὴν ἢ σῶμα, ἢ ψυχὴν, τίς οὕτως ἐστὶν ἠλίθιος, τίς δὲ οὕτως βραδὺς εἰς τὸ νοῆσαι τὰ χρήσιμα, ὡς μὴ εὐθὺς ἀποκρίνασθαι, τὴν ψυχήν; Ὅτε τοίνυν μείζων καὶ τροφῆς καὶ ἱματίου ψυχὴ, διὰ τί μὴ μᾶλλον ἐν τοῖς μείζοσιν ἀναλίσκομεν τὴν φροντίδα, τιμῶμεν δὲ οὕτως τὸ ἔλαττον, καὶ πᾶσαν αὐτῷ χαριζόμεθα τὴν διάνοιαν; Μεριμνᾷς

[11] Luc. XII, 7.

(1) Sic est in variis lectionibus Græcis pro τοὺς κόρακας. Cyrillum secutum esse priorem lectionem τὰ πετεινὰ, constat ex hac ejus explanatione.

Digitized by Google

ἱματίου καὶ τροφῆς; διὰ τί μὴ μᾶλλον μεριμνᾷς ὅπως διασωθῇς; Μεριμνᾷς τοῦ σώματος; διὰ τί μὴ μεριμνᾷς τῆς ψυχῆς; — (A f. 178 b, B f. 124) Ὁ οὕτως ἀγαθὸς Κύριος, ὁ τὸ εὐτελέστατον ἀποτρέφων πετεινὸν, οὐ διαθρέψει τὸν κατ' εἰκόνα οἰκείαν γενόμενον; Ταύτῃτοι καὶ μάλα εἰκότως τὴν περὶ τὰ προκείμενα φροντίδα κατακιδδηλεύει σοφῶς ὁ Χριστὸς, τὰ ἔθνη τοῦ κόσμου ταῦτα λέγων ἐπιζητεῖν. Ἀναδιδάζει δὲ καὶ εἰς ἄμαχον πίστιν, τῷ ὅτι πάντη τε καὶ πάντως ἔξουσι τὸ ἀνενδεὲς, εὖ εἰδότος ὧν εἰσιν ἐν χρείᾳ τοῦ Πατρὸς αὐτῶν, δῆλον δὲ ὅτι τοῦ ἐν οὐρανοῖς· φησὶ γάρ· « Καὶ ὑμεῖς μὴ ζητεῖτε τί φάγετε, κ. τ. λ., ὑμῶν δὲ ὁ Πατὴρ οἶδεν, » κ. τ. λ. Ἐπὶ καιροῦ δὲ σφόδρα Πατέρα φησὶ τὸν Θεὸν, ἵνα εἰδεῖεν, ὅτι τῶν ἰδίων οὐκ ἂν ἐπιλάθοιτο τέκνων, ἀλλ' ἔσται χρηστὸς καὶ φιλόπαις περὶ αὐτούς. Ζητῶμεν τοίνυν μὴ τροφὰς τὰς ἔξω λόγου καὶ περιττὰς, ἀλλ' ὅσα βλέπει πρὸς σωτηρίαν ψυχῆς· μὴ πολυτελὲς ἄμφιον, ἀλλ' ὅπως ἂν ἐξελώμεθα καὶ πυρὸς καὶ δίκτς τὸ ἴδιον σῶμα, ζητοῦντες αὐτοῦ τὴν βασιλείαν.

A iis mentem impendimus? Anxius es de victu atque vestitu? cur non potius de salute adipiscenda sollicitudinem geris? Sollicitaris de corpore? cur de anima non sollicitaris? — Tam bonus Dominus, qui vilissimum alit volatile, non alet illum qui ad imaginem suam factus fuit? Propterea convenientissime sapienterque Christus curam præsentium depretiat, dicens mundi gentes res hujusmodi exquirere. Animos item ad invictam spem erigit, fore ut nihil eis desit; quia Pater apprime scit quibus egeant. Patrem autem cœlestem intelligere, constat; ait enim: « Et **299** vos ne quæratis quid manducetis, etc. Pater autem vester scit, » etc. Porro opportunissime Patris nomine Deum appellat, ut cognoscant filiorum suorum non esse obliturum, sed se bonum et filiorum amantem præbiturum. Ne igitur alimenta quæramus supervacua præterque rationem, sed quidquid potius ad animæ salutem confert: nec pretiosam vestem, sed quomodo igni ac pœnæ corpus nostrum eripiamus, dum Dei regnum quærimus.

Μὴ φοβοῦ, τὸ μικρὸν ποίμνιον, κ. τ. λ.

(A f. 180, D f. 51 b) Μικρὸν ποίμνιον τοὺς ἁγίους ὀνομάζει· ἐπειδὴ παράκειται μικρότης ἐν κόσμῳ τοῖς ἑκουσίως ἀκτήμοσι καὶ ἀχρημάτοις· τούτοις γὰρ εὐδόκησεν ὁ Πατὴρ δοῦναι τὴν βασιλείαν. Ὅθεν εὐθὺς ἐπεπὼν ἐδίδαξεν· « Πωλήσατε τὰ ὑπάρχοντα, καὶ δότε ἐλεημοσύνην, » καὶ τὰ ἑξῆς. Ἢ μικρὸν ποίμνιον πρὸς τὸ μέγεθος τοῦ πλήθους τῶν ἀπίστων, ἢ καὶ διὰ τὴν ἑκούσιον ταπείνωσιν τοῦ τοιούτου ποιμνίου· ὃ κελεύει μὴ φοβεῖσθαι τὴν ἔνδειαν τῆς σωματικῆς χρείας. Εἰ γὰρ τὴν οὕτω μεγάλην καὶ ἐξαίρετον δίδωσιν ἀπόλαυσιν, ἤτοι τὴν βασιλείαν τῶν οὐρανῶν, δώσει πάντως καὶ τὰ τῇ σαρκὶ ἀναγκαῖα καὶ ζωαρκῆ. — (A f. 180, B f. 124) Ἀντὶ τοῦ, Μὴ ἀπιστήσῃς, ὅτι πάντη τε καὶ πάντως χορηγήσει τὰ ζωαρκῆ τοῖς ἀγαπῶσιν αὐτὸν, ὁ ἐν οὐρανοῖς Πατήρ. Οὐ γὰρ περιόψεται τοὺς ἰδίους· ἀνοίξει δὲ μᾶλλον αὐτοῖς τὴν χεῖρα, τὴν ἀεὶ πληροῦσαν τὰ πάντα χρησιότητος. Καὶ ποία τούτων ἡ πίστις; « Εὐδόκησε, φησὶν, ὁ Πατὴρ ὑμῶν δοῦναι ὑμῖν τὴν βασιλείαν. » Ὁ δὲ τὰ οὕτω μεγάλα καὶ ἐξαίρετα διδοὺς, πῶς ὀκνήσει περὶ τὸ εἶναι χρηστὸς περὶ ἡμᾶς καὶ πλουσίως τὰ ἐπὶ γῆς παρέχειν ἡμῖν ἀγαθά (1); Ἵνα οὖν, φησὶ, τὴν βασιλείαν τῶν οὐρανῶν κατακτήσησθε, τῶν ἐπὶ γῆς χρημάτων καταφρονήσατε. Μικρὸν δὲ ποίμνιον ὀνομάζει τοὺς ἐπὶ τῆς γῆς· ἡττώμεθα γὰρ τῆς τῶν ἀγγέλων πληθύος ἀμετρήτου οὔσης, καὶ ἀσυγκρίτως πλεονεκτούσης τὰ καθ' ἡμᾶς. Καὶ τοῦτο πάλιν αὐτὸς ἡμᾶς ἐδίδαξεν ὁ Σωτὴρ, τὴν ἐν τοῖς Εὐαγγελίοις παραβολὴν ἄριστα συντεθεικώς· ἔφη γὰρ, ὅτι « Τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃς ἔξει ἑκατὸν πρόβατα, καὶ πλανηθῇ ἓν ἐξ αὐτῶν, οὐκ ἀφήσει τὰ ἐνενηκονταεννέα ἐπὶ τὰ ὄρη, καὶ πορευθεὶς ζητεῖ τὸ πλανώμενον; Καὶ ἐὰν γένηται εὑρεῖν αὐτὸ, ἀμὴν λέγω

V. 32. *Noli timere, pusille grex.*

Pusillum gregem sanctos nominat, quia parvipenduntur in mundo spontanei pauperes bonisque carentes. Atqui hos donare cœlesti regno Patri placet. Unde statim admonitionem addit: « Vendite quæ possidetis, et date eleemosynam, » et reliqua. Vel pusillum gregem dicit præinfidelium multitudine; vel etiam propter voluntariam humilitatem gregis hujus: quem vetat corporalium subsidiorum egestatem timere. Nam qui tam grande et eximium gaudium dat, id est cœlorum regnum, dabit sine dubio etiam quæ carni necessaria sunt, et sustentandæ vitæ sufficiunt. —Id est, Ne discredas, fore ut sine dubio suppeditet quæ vitæ sustentandæ opus sunt cœlestis Pater. Non enim suos negliget, imo suam erga ipsos manum aperiet, quæ universam rerum naturam beneficiis replet [12]. Quænam porro rerum hujusmodi fides? « Placuit, inquit, Patri vestro dare vobis regnum. » Qui autem tam grandia et eximia dat, quomodo pigebit eum bonitatem suam erga nos expromere, copioseque terrena nobis bona præbere? Ut ergo, inquit, cœlorum regnum possideatis, terrenas opes despicite. Pusillum vero gregem nominat terrestres incolas: vincimur enim ab angelorum multitudine quæ innumerabilis est, et incomparabili excessu res nostras superat. Atque hoc rursus nos docuit Servator, cum illam in Evangeliis egregiam proposuit **300** parabolam. Dixit enim: « Quis ex vobis homo, qui centum oves habeat, si una ex his erraverit, non relinquet nonaginta novem in montibus, pergensque errantem quærat? quam si invenerit, profecto dico vobis gavisurum de ista magis, quam de novem ac nonaginta quæ non exerraverint [13]. » Observa itaque quod, dum ad decem

[12] Psal. CIII, 28. [13] Luc. XV, 4-7.

(1) Vides nonnulla iisdem fere verbis repetita, quia diversis catenarum auctoribus ita excerpere placuit.

Digitized by Google

tantumodo decadas rationalium pecudum numerus extenditur, id est ad centum, terrenus utique grex intelligitur. Jam etsi hic pusillus est natura, numero, ac dignitate, præ innumerabilibus qui desuper sunt spirituum gregibus, Patris tamen bonitas, quæ omni laude major est, exiguo nostro gregi contulit supernorum spirituum sortem, id est cœlorum regnum.

A ὑμῖν, ὅτι χαίρει ἐπ' αὐτῷ μᾶλλον, ἢ ἐπὶ τοῖς ἐνενηκονταεννέα τοῖς μὴ πεπλανημένοις. » Ἄθρει δὴ οὖν ὅπως, ὅταν εἰς δεκάδας δέκα τῶν λογικῶν κτισμάτων ὁ ἀριθμὸς ἐκτείνηται, ὡς ἐν ἐν τοῖς ἑκατὸν τὸ ἐπὶ γῆς ἐστι ποίμνιον· ἀλλ' εἰ καὶ μικρὸν τοῦτο, καὶ φύσει, καὶ ἀριθμῷ, καὶ δόξῃ πρὸς τὰς ἀμετρήτους τῶν ἄνω πνευμάτων ἀγέλας, ἀλλ' ἡ τοῦ Πατρὸς ἀγαθότης, πάντα λόγον ὑπερεκτείνουσα, δέδωκε καὶ αὐτῷ τῶν ὑπερκειμένων πνευμάτων τὸν κλῆρον, τουτέστι τὴν τῶν οὐρανῶν βασιλείαν.

V. 33. *Vendite quæ possidetis, et date eleemosynam.*

Grave fortasse hoc divitibus mandatum est. Ut enim alicubi ipse rursus ait, difficile qui pecuniam habent in cœlorum regnum introibunt [14]. Veruntamen sana mente præditis non est inutile mandatum. Nimirum sibi spem de futuro conficiunt : quia caduca brevisque est atque contracta præsens vita, longa autem et immensa illa futura. Qui cœlestia congerit, habebit in cœlo regnum, latronum manu non diripiendum, neque tinea corrumpendum ; quandoquidem tutæ sunt cœlestes opes et incorruptæ perseverant. Agesis igitur, omitte ignaviam : temporalibus æterna eme ; da caduca, ut acquiras incolumia ; da terrena, ut cœlestia lucreris ; præbe Deo opes tuas, et invenies multas cum usura repositas. Ipse hoc te docebit etiam beatus David psallens, propheticoque spiritu dicens de bono quolibet viro et misericorde : « Dispersit, dedit pauperibus ; justitia ejus manet in sæculum sæculi [15]. »

Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην.

(A f. 180, E f. 201 b) Φορτικὴ μὲν ἴσως τοῖς ἐν πλούτῳ ἡ ἐντολή· ὡς γὰρ αὐτός που πάλιν φησί, δυσκόλως οἱ τὰ χρήματα ἔχοντες εἰσελεύσονται εἰς B τὴν βασιλείαν τοῦ Θεοῦ. Πλὴν τοῖς ἀρτίφροσιν οὐκ ἀνόνητος ἡ ἐντολή· θησαυρίζουσιν ἑαυτοῖς τὴν εἰς τὸ μέλλον ἐλπίδα· πρόσκαιρος γὰρ ὁ παρὼν βίος καὶ βραχὺς καὶ συνεσταλμένος, ἄπειρος δὲ καὶ μακρὸς ὁ μετὰ ταῦτα. Ὁ ἐν οὐρανοῖς θησαυρίζων, ἕξει τὴν ἐν οὐρανῷ βασιλείαν, μὴ χερσὶ λῃστῶν ἁλισκομένην, μὴ ὑπὸ σητὸς διαφθειρομένην· ἐπειδὴ ἄσυλος ὁ οὐράνιος πλοῦτος, καὶ ἀπαθὴς διαμένει. Πρόσιθι τοίνυν μὴ ὀκνηρῶς· κτῆσαι τοῖς προσκαίροις τὰ αἰώνια· δὸς τὰ μὴ μένοντα, καὶ πλούτησον τὰ σωζόμενα· δὸς τὰ ἐπίγεια, καὶ κέρδανον τὰ ἐν οὐρανοῖς· παράθου Θεῷ τὸν σεαυτοῦ πλοῦτον, καὶ εὑρήσεις πολύχουν ταμιευόμενον· αὐτός σε τοῦτο διδάξει καὶ ὁ μακάριος Δαβὶδ ψάλλων τε καὶ λέγων ἐν πνεύματι περὶ C παντὸς ἀγαθοῦ καὶ φιλοικτίρμονος· « Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. »

V. 34. *Ubi enim thesaurus vester est, ibi et cor vestrum erit.*

Hoc item vere dicitur. Etenim qui temporalibus student, totam suam in his spem collocant. Qui vero cœlestia quærunt, illuc mentis suæ oculum dirigunt.

Ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσται.

(A f. 181) Ἀληθὲς καὶ τοῦτο· οἱ γὰρ φρονοῦντες τὰ πρόσκαιρα, ὅλην ἔχουσιν ἐπ' αὐτοῖς τὴν ἐλπίδα· καὶ οἱ ζητοῦντες τὰ ἐν οὐρανοῖς, ἐκεῖ τὸν τῆς διανοίας πέμπουσιν ὀφθαλμόν.

301 V. 35. *Sint lumbi vestri præcincti, et lucernæ ardentes in manibus vestris.*

Loquitur cum spiritalibus ; rursusque manifestis ac visibilibus rebus intellectuales denotat : neque enim dicet aliquis, velle Dominum nos habere præcinctos corporis lumbos, atque ardentes lucernas manibus tenere. Sed mentis ad laborem impigritatem, nempe ad laudabile quodvis opus, significat, ut reor, lumborum præcinctura : lucerna autem mentis vigilantiam et intellectualem lætitiam videtur demonstrare, et quod paratos nos esse quotidie oportet ad migrandum ex hac vita, et Domini nutum intentis oculis exspectare. Porro vigilare humanam mentem dicimus, cum dormitare segniter recusat, unde nimirum ad omne vitii genus impelli solet, lumine prope amisso. Vigilare itaque Christus nos jubet. Atque ad hoc ipsum exacuit nos ejusdem discipulus, dicens : « Sobrii estote, vigilate [16]. » Utique et sapientissimus Paulus : « Surge

Ἐστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι.

(A f. 181, B f. 125, D f. 51) Διαλέγεται μὲν ὡς πνευματικοῖς, γράφει δὲ πάλιν διὰ τῶν ἐμφανῶν τε καὶ ὁρατῶν πραγμάτων τὰ νοητά· οὐ γάρ που φαίη τις ἄν, ὅτι τὴν τοῦ σώματος ὀσφὺν διεζωσμένην ἡμᾶς D ἔχειν βούλεται, καὶ καιομένους ἐν χερσὶ τοὺς λύχνους· ἀλλὰ τὸ τῆς διανοίας ἕτοιμον εἰς φιλεργίαν τὴν ἐφ' ἅπασι δηλονότι τοῖς ἐπαινουμένοις, ὑπεμφήνειεν ἂν τὸ διεζῶσθαι τὴν ὀσφύν· ὅ γε μὴν λύχνος, τὴν τοῦ νοῦ γρηγόρησιν καὶ φαιδρότητα νοητὴν ἔοικε παραδηλοῦν, καὶ ὅτι δεῖ παρεσκευασμένους ἐφ' ἡμέραν εἶναι πρὸς τὴν ἐντεῦθεν ἀποδημίαν ἡμᾶς, καὶ τὸ τοῦ Δεσπότου νεῦμα περιμένειν ἑστῶσι τοῖς ὀφθαλμοῖς. Ἐγρηγορέναι δέ φαμεν τὸν ἀνθρώπινον νοῦν, ὅταν ἀποσείηται τὸ ν[ε]υστάζειν ἐπὶ τὸ ῥᾴθυμον, δι' οὗ πρὸς πᾶν εἶδος φαυλότητος καθικνεῖσθαι φιλεῖ, μονονουχὶ σβεννύμενος. Ἐγρηγορέναι δὴ οὖν ἡμᾶς κελεύει Χριστός· καὶ πρός γε τοῦτο ἡμᾶς καταθήγει λέγων

[14] Luc. XVIII, 24. [15] Psal. CXI, 9. [16] I Petr. V, 8.

Digitized by Google

ὁ αὐτοῦ μαθητής· « Νήφετε, γρηγορεῖτε. » Ναὶ μὴν καὶ ὁ πάνσοφος Παῦλος· « Ἔγειραι, ὁ καθεύδων. » Νηφάλεον γὰρ ἔχειν χρὴ καὶ ἐγρηγορότα τὸν νοῦν καὶ τῇ τῆς ἀληθείας γνώσει καταλαμπόμενον· ὡς ἐπ' αὐτῷ δὴ τούτῳ χαίροντα, λέγειν, ὅτι « Σὺ φωτιεῖς λύχνον μου, Κύριε, ὁ Θεός μου, φωτιεῖς τὸ σκότος μου. » —(A f. 181 b) Ἰστέον δὲ ὅτι καὶ διὰ τοῦ πανσόφου Μωϋσέως, τοιοῦτόν τι προστεταχὼς εὑρίσκεται τοῖς ἐξ Ἰσραὴλ, ὅτε εἰς τύπον Χριστοῦ διακελεύεται σφάττεσθαι τὸν ἀμνόν, καθὰ μεμαρτύρηκεν ὁ ἱερώτατος Παῦλος, λέγων· « Τὸ γὰρ πάσχα ἡμῶν ἐτύθη Χριστός. » Τοῖς γε μὴν ἐσθίουσι τῶν κρεῶν αὐτοῦ, προσπεφώνηκε λέγων ὁ ἱεροφάντης Μωϋσῆς, μᾶλλον δὲ δι' αὐτοῦ ὁ Θεός· « Ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι, καὶ τὰ ὑποδήματα ἐν τοῖς ποσὶν ὑμῶν, καὶ αἱ βακτηρίαι ἐν ταῖς χερσὶν ὑμῶν. » Χρῆναι γὰρ ἔγωγέ φημι τοὺς ἐν μεθέξει γεγονότας Χριστοῦ, ἑτοίμως ἔχειν εἰς ἔργα χωρεῖν ἅπερ ἂν ἁγίοις πρέπῃ, καὶ ἐν προθυμίᾳ βαδίζειν οἷπερ ἂν ἡμᾶ, ὁ θεῖος βούληται νόμος. Ταύτῃ τοι μάλα εἰκότως ὁδοιπορικὸν αὐτοῖς περιτέθεικε σχῆμα. (B f. 125 b) Ὁδοιπορικὸν γὰρ σχῆμα ὅτι μάλιστα πρεπωδέστατον τοῖς τὸ θεῖον κηρύττουσιν Εὐαγγέλιον. Οὕτω καὶ δι' ἑνὸς τῶν προφητῶν φησι πρὸς τοὺς ἐν Βαβυλῶνι αἰχμαλώτους ὁ Θεὸς τὴν ἐπάνοδον προαναφωνῶν, καὶ πρὸς ταύτην εὐτρεπίζεσθαι προτρέπων· « Σκόπευσον ὁδὸν, κράτησον ὀσφύος, ἀνδρισαι τῇ ἰσχύϊ σου σφόδρα. » Ὡς γὰρ αὐτίκα μάλα πρὸς Ἰουδαίαν βαδιουμένους, κρατεῖν ὀσφύος κελεύει· τουτέστιν ἑτοίμως καὶ ἐπιτηδείως ἔχειν πρὸς τοὺς τῆς ὁδοιπορίας πόνους, καὶ παντὸς πόνου κατανδρίζεσθαι ἀμάχῳ τῇ προθυμίᾳ χρωμένους.

A qui dormis [17]. » Oportet enim sobriam nos habere mentem ac vigilem, et veritatis notitia splendidam; ut ob id gaudentes dicere possimus: « Tu illuminas lucernam meam, Domine, Deus meus, tu tenebras meas illuminas [18]. »—Sciendum vero est, sapientissimum quoque Moysen, hujuscemodi aliquid Israelitis præcepisse, cum Christi figuram immolari agnum jussit; quam rem testatur sacratissimus Paulus, dicens: « Pascha enim nostrum immolatus est Christus [19]. » Ergo agni carnes comedentibus denuntiavit hierophanta Moyses, vel potius ore ejus Deus: « Sint renes vestri præcincti, et calceamenta in pedibus vestris, et baculos manibus tenete [20]. » Profecto ego oportere judico eos, qui Christi sunt B participes, prompto animo esse ad ea opera explenda quæ sanctos decent, atque alacriter ea via incedere quam nos terere divina lex jubet. Propterea admodum apte viatorium nobis habitum circumposuit.—Nam viatorius habitus iis convenientissimus est qui divinum prædicant Evangelium. Sic per unum de **302** prophetis ait captivis Babylone Deus, reditum prædicens, atque ad hunc illos comparare semet jubens: « Contemplare viam, conforta lumbos, robora virtutem valde [21]. » Tanquam enim in Judæam statim profecturos, confortare lumbos jubet; id est paratos esse et expeditos ad itineris exantlandas ærumnas, et ad quemlibet laborem invicta animi alacritate semet armare.

(A f. 181 b) Ὅτι δὲ χρὴ παλινδρομήσοντα Χριστὸν ἐξ οὐρανοῦ προσδοκᾷν (καταβήσεται γὰρ ἐν δόξῃ τοῦ Πατρὸς μετὰ τῶν ἁγίων ἀγγέλων), ἐδίδαξεν, εἰπών· « Καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν Κύριον ἑαυτῶν, » κ. τ. λ. Καί μοι πάλιν ἐκεῖνο διανοοῦ· ἀναλύσει γὰρ ὡς ἐκ πανηγύρεως ὁ Χριστός· δι' οὗ διαδείκνυται σαφῶς, ὡς ἔστιν ἀεὶ τὸ Θεῖον ἐν ταῖς αὐτῷ πρεπούσαις ἑορταῖς· ἐκεῖ γὰρ ὅλως τὸ κατηφὲς οὐδαμοῦ· λυπεῖ γὰρ οὐδὲν τὴν ἀκήρατον φύσιν.—(A f. 182) « Ὅταν, φησὶν, ἐλθὼν εὐζώνους εὕρῃ καὶ ἐγρηγορότας, καὶ πεφωτισμένην ἔχοντας τὴν καρδίαν, τότε δὴ, τότε μακαρίους ἀποφανεῖ. » Περιζώσεται γὰρ καὶ διακονήσει αὐτοῖς. Δι' οὗπερ ἔνεστι μαθεῖν, ὅτι τοῖς ἴσοις ἡμᾶς ἀνταμείψεται, καὶ οἷον καμόντας ἀνακτήσεται, τρυφὰς ἡμῖν παραθεὶς τὰς πνευματικὰς, καὶ ἀμφιλαφῆ τῶν παρ' ἑαυτοῦ D χαρισμάτων ἁπλώσας τράπεζαν.

C Quod autem exspectare debeamus reversurum Christum de cœlo (descendet enim ornatus Patris gloria cum sanctis angelis) docuit nos, dicens: « Et vos similes hominibus exspectantibus Dominum suum, » etc. Atque illud mecum rursus observa: revertetur enim tanquam ex festo die Christus; quibus verbis ostenditur manifeste, semper Deum versari in congruis sibi solemnitatibus. Apud ipsum quippe nihil unquam triste; namque inviolabilem naturam nullus mœror afficit.—« Cum veniens, inquit, invenerit vigilantes, et illuminatum cor gerentes, tunc enimvero beatos efficiet. » Nam præcinctus illis ministrabit. Qua ex re cognoscere licet, fore ut nos pari cura remuneretur, ac veluti laborantes recreet, delicias nobis spirituales apponens, et copiosam donorum suorum exhibens mensam.

Καὶ ἐὰν ἔλθῃ ἐν τῇ δευτέρᾳ φυλακῇ, κ. τ. λ.

V. 38. *Et si venerit in secunda vigilia*, etc.

(A f. 182) Ἐνταῦθά μοι βλέπε τὸ τῆς θείας ἡμερότητος πλάτος, καὶ τῆς εἰς ἡμᾶς γαληνότητος τὴν ὑπερβολήν. Οἶδε γὰρ, οἶδε τὸ πλάσμα ἡμῶν, καὶ εὐόλισθον τῆς ἀνθρώπου διανοίας εἰς ἁμαρτίαν. Οἶδεν ὅτι τετυράννευκε καθ' ἡμῶν τῆς φιλοσαρκίας ἡ δύναμις, καὶ ὁ τοῦ παρόντος βίου περισπασμὸς μονονουχὶ καὶ οὐχ ἑκόντας καταβιάζεται, πρὸς πᾶν ὁτιοῦν τῶν ἐκτόπων ἀποφέρων τὸν νοῦν. Ἐπειδὴ δέ ἐστιν ἀγαθὸς, ἀπογινώσκειν οὐκ ἐᾷ, κατοικτείρει δὲ μᾶλ-

Hoc loco animadverte divinæ bonitatis amplitudinem, et erga nos clementiæ exsuperantiam. Novit enim, novit plasma nostrum, et humanæ mentis ad peccandum proclivitatem. Scit carnalis affectus contra nos tyrannidem, et quod hujus mundi violentia nos nolentes propemodum cogit, ad absurdum quodvis mentem abripiens. Quia vero bonus est, desperare non sinit, miseretur potius, et salutis medelam concessit nobis pœnitentiam. Idcirco ait:

[17] Ephes. v, 14. [18] Psal. xvii, 29. [19] I Cor. v, 7. [20] Exod. xii, 11. [21] Nahum ii, 1.

Digitized by Google

« Et si in secunda vigilia venerit, vel etiam in tertia, atque ita agentes invenerit, beati erunt illi. » Profecto tu cognoscere perspicue voles, quid hoc rei sit. Dividunt **303** itaque noctem nonnulli in tres vigilias vel etiam in quatuor. Nam qui in urbium mœnibus collocati, hostium incursiones observant, postquam tribus vel quatuor horis vigilaverint, tradunt vicissim aliis vigilem custodiam. Tres porro sunt nobis ætates : prima, qua sumus pueri impuberes ; secunda, qua juvenes ; tertia, qua seniores. Sed a prima quidem (1), qua pueri sumus, pœnas Deus non exquirit, sed eam venia dignatur. Secunda vero ac tertia debet Deo obedientiam, vitæque sanctitatem, prout ei placitum est. Itaque si quis deprehensus fuerit in vigilia, ac veluti in promptu, juvenili adhuc ætate, vel si etiam senili, beatus erit : promissa enim a Christo præmia consequetur. — Quod autem non vigilare, damnosum sit, demonstrat egregie prædicto exemplo. Namque ut ait illius discipulus, « Adveniet dies Domini ut fur, in quo cœli magno impetu transibunt, et calefacta elementa solventur, terra autem et quæ in ipsa sunt opera, exurentur omnia : novos autem cœlos novamque terram, secundum promissa ipsius, exspectamus [22]. » His addit : « Cum igitur hæc omnia dissolvenda sint, quantopere nos oportet deprehendi sanctos et immaculatos coram ipso [23] ? » Prorsus enim nemo scit finiendi mundi tempus.

λον, καὶ σωτηρίας φάρμακον ἔδωκεν ἡμῖν τὴν μετάγνωσιν. Διὰ τοῦτό φησι· « Κἂν ἐν τῇ δευτέρᾳ, κἂν ἐν τῇ τρίτῃ φυλακῇ ἔλθῃ, καὶ εὕρῃ οὕτως ποιοῦντας, μακάριοί εἰσιν ἐκεῖνοι. » Ἐθελήσεις δὲ πάντως εἰδέναι σαφῶς, τί δὴ τοῦτό ἐστι. Μερίζουσι τοίνυν τὴν νύκτα τινὲς εἰς τρεῖς ἢ εἰς (D f. 51) τέσσαρας φυλακάς· οἱ γὰρ τοῖς τείχεσι τῶν πόλεων ἐγκαθήμενοι, καὶ τὰς τῶν πολεμίων τηροῦντες ἐφόδους, τρεῖς ἢ τέσσαρας ὥρας διαγρηγορήσαντες, παραπέμπουσιν εἰς ἑτέρους τὴν φυλακὴν καὶ ἐγρήγορσιν. Τρεῖς τοίνυν εἰσὶ καὶ παρ' ἡμῖν ἡλικίαι· πρώτη μὲν καθ' ἣν ἐσμεν ἔτι παῖδες ἄνηβοι, δευτέρα δὲ καθ' ἣν νεανίαι, καὶ τρίτη καθ' ἣν πρεσβύται. Ἀλλ' ἡ μὲν πρώτη, καθ' ἣν ἔτι παῖδές ἐσμεν, οὐκ εὐθύνεται παρὰ Θεοῦ, ἀξιοῦται δὲ συγγνώμης· ἡ γε μὴν δευτέρα καὶ ἡ τρίτη ὀφείλει τῷ Θεῷ τὴν ὑπακοήν, καὶ τὸ διαζῆν ὁσίως, κατὰ τὸ αὐτῷ δοκοῦν· οὐκοῦν κἂν εἴ τις καταληφθείη τυχὸν ἐν ἐγρηγόρσει, καὶ οἷον ἐν εὐζωνότητι νέος ὢν ἔτι, κἂν εἴτουν τὴν πρεσβυτικὴν ἔχων ἡλικίαν, μακάριος ἔσται· τεύξεται γὰρ τῶν ἐπηγγελμένων παρὰ Χριστοῦ. — (A f. 182 b) Ὅτι δὲ τὸ μὴ ἐγρηγορέναι ἐπιζήμιον, εὖ μάλα παραδείκνυσι διὰ τοῦδε τοῦ παραδείγματος· ὡς γὰρ ὁ αὐτοῦ φησι μαθητής· « Ἥξει ἡ ἡμέρα Κυρίου, ὡς κλέπτης· ἐν ᾗ οὐρανοὶ μὲν ῥοιζηδὸν παρελεύσονται, στοιχεῖα δὲ καυσόμενα λυθήσεται· γῆ δὲ καὶ τὰ ἐν αὐτῇ κατακαήσεται πάντα· καινοὺς δὲ οὐρανοὺς καὶ καινὴν γῆν, κατὰ τὰ ἐπαγγέλματα αὐτοῦ προσδοκῶμεν. » Προσεπάγει δὲ τούτοις· « Τούτων δὲ πάντων λυομένων, ποταποὺς δεῖ εὑρεθῆναι ἡμᾶς [ita cod. non ὑμᾶς] ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ ; » Οἶδε γὰρ ὅλως οὐδεὶς τὸν τῆς συντελείας καιρόν.

V. 41. *Ait autem ei Petrus : Domine, ad nos dicis hanc parabolam, an etiam ad omnes ?*

Interrogat Petrus num ad omnes dixerit lucernarum parabolam. Num, inquit, generalis est lex, parique mensura ad cunctos pertinet, an ad eos solos qui præ cæteris sunt electi ? Jam vero quidnam sapientissimum perturbavit discipulum ? vel quid eum impulit ut id vellet a Christo rescire ? Ergo illud in primis dicemus. Præceptorum alia quidem honore apostolatus præditos spectant ; alia vero illos qui in inferiore ordine sunt. Quod ita revera se habere, cognoscere, ut dixi, possumus scribente **304** Apostolo : « Lac vobis potum dedi, non escam : nondum enim poteratis, sed ne nunc quidem potestis [24]. » Perfectorum quidem est solidus cibus, illorum scilicet qui sensus habent exercitos ad boni malique discretionem. Namque iis qui corroboratum habent animum, merito conveniunt magna et peculiaria de sublimibus rebus mandata : secus vero iis, qui nondum hoc spiritale robur sunt adepti, congruunt illa quæ omni asperitate carent. Reputans itaque beatus Petrus dictorum a Christo xim, recte interrogat.

Κύριε, πρὸς ἡμᾶς τὴν παραβολὴν ταύτην λέγεις, ἢ καὶ πρὸς πάντας ;

(A f. 183) Ἐρωτᾷ Πέτρος εἰ πρὸς πάντας εἶπεν ὁ Κύριος τὴν περὶ τῶν λύχνων παραβολήν. Ἆρα, φησί, γενικὸς ὁ νόμος, καὶ ἐν ἴσῳ μέτρῳ κατὰ πάντων ἔρχεται, ἢ μόνοις ἂν πρέποι τοῖς τῶν ἄλλων ἐξηρημένοις ; Εἶτα, τί τὸ θορυβῆσάν ἐστι τὸν σοφώτατον μαθητήν ; ἢ τί παρεκίνησεν εἰς τὸ θελῆσαι μαθεῖν τὰ τοιάδε παρὰ Χριστοῦ ; Οὐκοῦν ἐκεῖνο καὶ πρό γε τῶν ἄλλων ἐροῦμεν· τῶν ἐντολῶν αἱ μὲν ἀποστολικοῖς πρέπουσιν ἀξιώμασιν· αἱ δὲ τοῖς τὴν μείω [cod. μείζω] τάξιν ἐπέχουσι. Καὶ τοῦτο ἔστιν ἰδεῖν ἀληθὲς ὂν καὶ οὕτως ἔχον, ὡς ἔφην, γεγραφότος τισὶ τοῦ μακαρίου Παύλου· « Γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα, οὔπω γὰρ ἐδύνασθε, ἀλλ' οὐδὲ νῦν ἔτι δύνασθε. » Τελείων γάρ ἐστιν ἡ στερεὰ τροφή, τῶν διὰ τὴν ἕξιν ἐχόντων τὰ αἰσθητήρια γεγυμνασμένα πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ· τοῖς γὰρ τὴν διάνοιαν ἔχουσιν εὐσθενῆ, πρέποι ἂν εἰκότως τὰ μεγάλα καὶ ἐξαίρετα τῶν ἁγιοπρεπῶν ἐνταλμάτων· τοῖς δὲ οὔπω πρὸς τοῦτο ἐλαχάκιστον ἰσχύος πνευματικῆς, τὰ δυσχερείας ἀπάσης ἀπηλλαγμένα. Ἐνοήσας τοίνυν ὁ μακάριος Πέτρος τῶν εἰρημένων παρὰ Χριστοῦ τὴν δύναμιν, εἰκότως διαπυνθάνεται.

(A f. 183, D f. 51 b) Τί οὖν πρὸς ταῦτα Χριστός,

Quid ergo ad hæc Christus ? Perspicue evidenti-

[22] II Petr. III, 10. [23] ibid. 11. [24] I Cor. III, 2.

(1) Paulo plenius ab initio est fragmentum apud D. Thomam in catena. « Cyrillus. De prima tamen vigilia mentionem non facit, quia pueritia non punitur a Deo, » etc.

Digitized by Google

Σαφεῖ καὶ ἐναργεστάτῳ παραδείγματι κέχρηται, πρέπουσαν ἀποφαίνων τὴν ἐντολὴν τοῖς ὅτι μάλιστα διαφανεστέροις, καὶ μυσταγωγῶν ἐν τάξει παρειλημμένοις. Ὑποκείσθω, φησίν, ἄνθρωπος οἰκοδεσπότης, ὃς στείλασθαι μέλλων ἀποδημίαν, ἑνὶ τῶν γνησίων οἰκετῶν ἐνεχείρισε τοῦ παντὸς οἴκου τὴν οἰκονομίαν, ὥστε διδόναι τῇ θεραπείᾳ αὐτοῦ, τουτέστι τοῖς θεράπουσιν, ἐν καιρῷ τὸ σιτομέτριον. Ὅταν τοίνυν, φησὶν, ὑπονοστήσας ἐκεῖνος, καὶ οἶκοι πάλιν ἐλθὼν, οὕτως εὕροι ποιοῦντα, καθὼς καὶ διέταξεν, ὁ δοῦλος ἐκεῖνος ἔσται τρισμακάριος· καταστήσει γὰρ αὐτὸν ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ. — (A f. 183, D f. 51 b) Ὁ μὲν οὖν πιστὸς δοῦλος καὶ φρόνιμος, ἐν καιρῷ καὶ χρείᾳ διανέμων ἐπιστημόνως τοῖς δούλοις τὸ σιτομέτριον, ἤτοι τε πνευματικὰς τροφὰς, μακάριος ἔσται κατὰ τὴν τοῦ Σωτῆρος φωνήν· τεύξεται γὰρ τῶν ἔτι μειζόνων, καὶ τὰς τοῖς γνησίοις πρεπούσας ἀμοιβὰς ἀπολήψεται· εἰ δὲ δή γένοιτό τις καταφρονητὴς καὶ ῥᾴθυμος, ταῖς κατὰ τῶν ὁμοδούλων πλεονεξίαις ἐντρυφῶν, ἐσθίων τε καὶ πίνων, καὶ εἰς ἐκλύτους ἐξιτηλίας ἀπενηνεγμένος, διχοτομηθήσεται· τουτέστι τὴν ἐσχάτην ὑποστήσεται δίκην, ἐπιφοιτήσαντος αὐτῷ τοῦ Δεσπότου ἀδοκήτως.

A que exemplo utitur, ut demonstret mandatum id congruere potissimum dignioribus, et in magistrorum ordine constitutis. Proponamus, inquit, hominem patremfamilias, qui peregre abiturus fideli uni famulo universæ domus œconomiam committat, ut familiæ suæ, id est famulis, tempore idoneo tritici demensum det. Cum itaque, ait, reversus ille et in domum suam denuo regressus, ita agentem repererit uti præceperat, tunc servus ille fiet beatissimus; etenim ipsum super omnia bona sua constituet. —Ergo fidelis servus et prudens, qui pro tempore et usu scite conservis tritici mensuram, seu spiritales escas, distribuit, beatus erit juxta Servatoris effatum: majora enim consequetur, et digna fidelibus præmia recipiet. Secus vero, si quis fuerit ignavus B et officii negligens, et adversus conservos injurius ac præpotens, comedens bibensque, et luxuriosis dissipationibus deditus, hic, inquam, dividetur, id est extremas pœnas dabit, cum insperato Dominus ei supervenerit.

(A f. 183 b) Ἡ μὲν οὖν ἁπλῆ καὶ πρόχειρος τῶν εἰρημένων δύναμις, τοιαύτη τίς ἐστι. Μάθωμεν δὲ ἀκριβῶς, τί τὸ ἐντεῦθεν ὑποδηλούμενόν ἐστι. Κεχειροτόνηκεν ὁ Σωτὴρ οἰκονόμους, ὥσπερ τῶν ἰδίων οἰκετῶν, τουτέστι τῶν διὰ πίστεως κεκλημένων εἰς ἐπίγνωσιν τῆς δόξης αὐτοῦ, πιστοὺς ἄνδρας καὶ συνετωτάτους, καὶ τῶν ἱερῶν δογμάτων ἐπιστήμονας, ἐπὶ τῷ διδόναι τοῖς συνδούλοις αὐτῶν τὸ σιτομέτριον· καὶ οὐχ ἁπλῶς καὶ ἀκατασκέπτως, ἐν καιρῷ δὲ μᾶλλον τῷ δέοντι, τουτέστι τὴν ἀρκοῦσάν τε καὶ πρέπουσαν ἑκάστῳ τροφὴν, δῆλον ὅτι πνευματικήν. Ἁρμόσειε γὰρ ἂν οὐχ ἅπασιν ἁπλῶς τοῖς εἰς Χριστὸν πιστεύσασιν, ὁ περὶ τούτων λόγος. Γέγραπται γοῦν· « Γνωστῶς ἐπιγνώσῃ ψυχὰς ποιμνίου σου. » Ἑτέρως μὲν γὰρ τὸν ἔτι κατηχούμενον ταῖς τῆς ἀληθείας ἐμβιβάζομεν τρίβοις, ἁπλῷ καὶ οὐδὲν ἔχοντι βαθὺ χρώμενοι λόγῳ· ἑτέρως δὲ πάλιν τοὺς ἀδροτέρους τὸν νοῦν, καὶ συνιέναι δυναμένους τῆς θεολογίας τὸ ὕψος. Ὁ τοίνυν εἰς δέον οἷς ἔλαβε χρησάμενος, ἐπὶ πᾶσι τοῖς ὑπάρχουσι τοῦ Δεσπότου καταστήσεται. Καὶ τοῦτο ἡμᾶς αὐτὸς ὁ Σωτὴρ ἐδίδαξεν, ἑτέρωθί που τὸν σπουδαῖον καὶ γνήσιον οἰκέτην ἐπαινῶν τε καὶ λέγων· « Ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου. » Ἐὰν δὲ, φησὶ, τὸ σπουδαῖος καὶ γνήσιος εἶναι μεθεὶς, μερίμναις κοσμικαῖς τὸν οἰκεῖον μεθύσκηται νοῦν, καὶ ἀποφέρηται πρὸς ἃ μὴ θέμις, βιαζόμενος καὶ πλεονεκτῶν τοὺς ὑπεζευγμένους, καὶ μὴ διδοὺς αὐτοῖς τὸ σιτομέτριον, ἐν παντὶ γενήσεται κακῷ· ἔσται δὲ, φησὶ, καὶ ὁ κλῆρος αὐτοῦ μετὰ τῶν ἀπίστων. Ὁ γὰρ ὅλως ἐπιβουλεύσας τῇ δόξῃ Χριστοῦ, καὶ τῶν ἐγχειρισμένων αὐτῷ ποιμνίων ἀλογῆσαι τολμήσας, κατ' οὐδένα τρόπον διοίσει τῶν οὐκ εἰδότων αὐτόν. Καὶ γοῦν ἔφη ποτὲ Χριστὸς πρὸς τὸν μακάριον Πέτρον· « Σίμων Ἰωνᾶ, φιλεῖς με; ποι-

Igitur simplex et obvia dictorum sententia hæc est. Sed jam accurate discamus quid inde significetur. Constituit Servator super servos suos, id est super eos, qui per fidem ad gloriæ suæ cognitionem sunt vocati, constituit, inquam, quosdam veluti **305** œconomos, viros fideles et prudentissimos, sacrorum dogmatum peritos, ut ipsi conservis suis tritici demensum tribuant; neque vero id temere C aut inconsiderate, sed idoneo potius tempore, id est sufficientem et congruam unicuique escam, spiritalem videlicet. Non enim cunctis indifferenter congruit in Christum credentibus sacra doctrina. Quare scriptum est: « Gregis tui animas scite scias[25]. » Aliter enim eum, qui adhuc est catechumenus, in veritatis via constituimus, simplici utentes nihilque reconditum habente sermone: aliter autem eos qui firmiore mente sunt, et theologiæ sublimitatem comprehendere queunt. Qui ergo commisso munere prout oportet functus fuerit, super omnia Domini bona constituetur. Idque nos docuit ipse Servator alio loco sedulum fidelemque famulum his verbis laudans: « In paucis fuisti fidelis, super D multa te constituam, intra in gaudium Domini tui[26]. » Secus vero si, diligentia ac fidelitate neglecta, curis mundanis mentem suam inebriaverit, atque ad illicita eruperit, subditis suis violenter ac tyrannice abutens, neque iis demensum debitum tribuens, nihil mali non experietur; ponetur autem, inquit, portio ejus cum infidelibus. Qui enim Christi gloriæ prorsus nocuerit, et commissos sibi greges pessum ire negligenter siverit, nullatenus differet ab iis qui Christum ignorant. Quamobrem aiebat aliquando beato Petro Christus: « Simon Jonæ, diligis me? pasce oves meas, pasce agnos meos[27]. » Jam si qui pascit, diligit; sequitur ut ille omnino

[25] Prov xxvii, 23. [26] Matth. xxv, 21. [27] Joan. xxi, 15.

Digitized by Google

oderit, qui id officium pensi non habet. Quod si odit, jam punietur et infidelium sententiam perferet; quod illi accidit, qui talento accepto ut solerter negotiaretur, mox opere neglecto, pecuniam minime multiplicatam reportavit. Secus autem ii qui quinque talenta vel etiam plura acceperant, labore industriaque usi, maximis dignitatibus ac splendidissimis donati fuerunt. Dictum est enim uni: Decem civitatibus præeris; alii dictum **306** quinque [28]. Verum ille contumeliosus otiosusque famulus extremas dedit pœnas. Perniciosa igitur omnino in magisterii sacri negotio ignavia est. Unde scribebat quibusdam beatus Petrus: « Pascite qui in vobis est gregem Dei, ut cum apparuerit princeps pastorum, mercedem reportetis [29]. » Denique Paulus sciens januam perditionis esse socordiam, aiebat: « Væ mihi est, si non evangelizavero [30]. »

Age vero quod torpentibus in sacri magisterii officio amara et acerba et inevitabilis pœna immineat, statim demonstrat Servator, prioribus deinceps duo subjungens exempla (1). Ait enim: « Ille autem servus, qui cognovit voluntatem domini sui, et non præparavit, nec fecit secundum voluntatem ejus, vapulabit multis. Qui autem non cognovit, et fecit digna plagis, vapulabit paucis. » — Quamobrem, dicet fortasse aliquis? Quomodo ab ignaro ratio exquiritur? Nempe, quia scire noluit, cum discere posset. Jam si qui ignoravit, haud omnino iram fugiet, quia cum deberet cognoscere, neglexit discere; quæ causa est, cur non debeat multas perpeti plagas qui scivit, et neglexit? Erit itaque gravius de magistris judicium. Atque hoc docet his verbis discipulus Christi: « Nolite plures magistri fieri, fratres mei, scientes quod majus judicium sustinebimus [31]. » Dives enim spiritalium munerum fit largitio rectoribus populorum. Nam sic sapientissimus quoque Paulus Timotheo scribit: « Dabit tibi Dominus in omnibus intellectum [32]. » Et: « Noli negligere, quæ in te est, gratiam datam tibi per impositionem manuum mearum [33]. » Atqui his cum multa Servator dederit, multa exquirit ab ipsis. Quænam vero hæc sunt? In fide firmitas, in magisterio sinceritas, in spe constantia, **307** in patientia immobilitas, in spiritali vigore tenacitas, in omni egregio facinore alacritas et fortitudo, ut et cæteris angelicæ vitæ exemplar simus.

V. 49. *Ignem veni mittere in terram; et quid volo si jam accensus est?*

Hoc igne incensus aiebat Cleophas: « Nonne cor

μαινε τὰ πρόβατά μου, βόσκε τὰ ἀρνία μου. » Εἰ δὲ ὁ ποιμαίνων φιλεῖ, μισεῖ που πάντως ὁ τούτου καταφρονῶν. Εἰ δὲ μισεῖ, καὶ κολάζεται, καὶ τῇ τῶν ἀπίστων ὑποφέρεται δίκῃ· ὁποῖός τις ἦν ὁ τὸ τάλαντον λαβών, ἵνα ἐμπορεύσηται νοητῶς, εἶτα τοῦτο μὲν οὐ πεπραχὼς, προκομίσας δὲ μᾶλλον ἀπολυπλασίαστον τὸ δοθέν. Ἀλλ' οἵ γε τὰ πέντε λαβόντες ἢ καὶ ἔτι πλείονα, καμόντες τε καὶ φιλεργήσαντες, ἀξιώμασι τετίμηνται τοῖς περιφανεστάτοις. Ἤκουσε γὰρ ὁ μέν τις· Ἔσο ἐπάνω δέκα πόλεων· ὁ δὲ πέντε. Ὁ δὲ ὑβριστὴς (2) τε καὶ ὀκνηρὸς οἰκέτης, τὴν ἐσχάτην ὑπέμεινε δίκην· ἐπισφαλὲς οὖν παντα-χοῦ τὸ ῥᾴθυμον, εἰς μυσταγωγίαν· ὅθεν γράφει μέν τισιν ὁ μακάριος Πέτρος· ὅτι « Ποιμαίνετε τὸ ἐν ὑμῖν ποίμνιον τοῦ Θεοῦ, ἵν' ὀφθέντος τοῦ πάντων ἀρχι-ποίμενος, κομίσησθε τὸν μισθόν. » Εἰδὼς δὲ τὸ ῥᾴθυ-μον ὀλέθρου πύλην, ἔφη Παῦλος· « Οὐαί μοί ἐστιν, ἐὰν μὴ εὐαγγελίζωμαι. »

(A f. 184) Ὅτι δὲ τοῖς ὀκνοῦσιν εἰς μυσταγωγίαν πικρά τε καὶ ὀδυνηρὰ καὶ δυσδιάφευκτος ἐπικρέμε-ται κόλασις, διαδείκνυσιν εὐθὺς ὁ Σωτὴρ, τοῖς πρώ-τοις ἐπενεγκὼν δύο ἐφεξῆς παραδείγματα. Ἔφη γάρ· « Ἐκεῖνος δὲ ὁ δοῦλος, ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου ἑαυτοῦ, καὶ μὴ ἑτοιμάσας, μηδὲ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται πολλάς· ὁ δὲ μὴ γνούς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας. »—(A f. 184 b) Διὰ ποίαν αἰτίαν· καίτοι φαίη τίς ἄν; Πῶς ὁ μὴ γνούς, ὑπέχει λόγον; Ὅτι μὴ ἠθέλησεν εἰδέναι, καίτοι μαθεῖν ἐξόν (3). Εἰ δὲ ὁ μὴ γνούς, ὅλως οὐκ ἄμοιρος ὀργῆς, ὅτι δέον εἰδέναι, κατημέλησε τοῦ μα-θεῖν, ποῖος ἀπαλλάξει λόγος, τοῦ χρῆναι πολλὰς ὑπομεῖναι πληγὰς τὸν εἰδότα καὶ ῥαθυμήσαντα; — Φορτικώτερον οὖν ἄρα τῶν διδασκόντων τὸ κρῖμα· καὶ τοῦτο διδάσκει λέγων ὁ Χριστοῦ μαθητής· « Μὴ πολλοὶ διδάσκαλοι γίνεσθε, ἀδελφοί μου, εἰδότες ὅτι μεῖζον κρῖμα ληψόμεθα. » Πλουσία γὰρ τῶν πνευ-ματικῶν χαρισμάτων ἡ δόσις, παρά γε τοῖς τῶν λαῶν ἡγουμένοις· οὕτω γάρ που καὶ ὁ σοφώτατος Παῦλος Τιμοθέῳ γράφει· « Δώσει σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι. » Καί· « Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ δέδοταί σοι δι' ἐπιθέσεως τῶν χειρῶν μου. » Τοῖς δὲ τοιού-τοις ὡς πολλὰ δίδοὺς ὁ Σωτὴρ, πολλὰ ζητεῖ παρ' αὐτῶν. Καὶ ποῖα ταῦτά ἐστι; Τὸ ἀῤῥηρὸν ἐν πίστει, τὸ ἀπλανὲς εἰς μυσταγωγίαν, τὸ βεβηκὸς ἐν ἐλπίδι, τὸ ἀκατάσειστον ἐν ὑπομονῇ, τὸ ἄθραυστον ἐν ἰσχυρᾷ τῇ πνευματικῇ, τὸ εἰς πᾶν ὁτιοῦν τῶν ἀρίστων ἀνδραγαθημάτων πρόθυμόν τε καὶ εὐσθενὲς, ὡς καὶ ἑτέροις ὑποτύπωσιν εἶναι πολιτείας ἀγγελικῆς.

Πῦρ ἦλθον βαλεῖν εἰς τὴν γῆν, καὶ τί θέλω εἰ ἤδη ἀνήφθη;

(A f. 185 b) Τοῦτο τὸ πῦρ ἔχοντες οἱ περὶ Κλεό-

[28] Luc. XIX, 17-19. [29] I Petr. V, 2. [30] I Cor. IX, 16. [31] Jac. III, 1. [32] II Timoth. II, 7. [33] II Timoth. I, 6.

(1) Apud D. Thomam in catena. « Cyrillus. Homo enim perspicax, qui turpioribus suam voluntatem inclinavit, impudenter misericordiam implorabit, quia inexcusabile peccatum commisit, quasi propter malitiam recedens a Domini voluntate: sed homo rusticanus rationabilius implorabit veniam vindicantis; unde subditur: *Qui autem non cognovit*, » etc.

(2) Dicit contumeliosum servum propter dicta ab eo Luc. XIX, 21.

(3) Hanc appellant ignorantiam crassam theologi morales.

Digitized by Google

παν ἔλεγον· « Οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν ἐν τῇ ὁδῷ, ὡς διήνοιγεν ἡμῖν τὰς Γραφάς; » Πῦρ τοῦτο σωτήριον καὶ ἐπωφελὲς, δι' οὗ πάντες οἱ ἐπὶ τῆς γῆς ἀπεψυγμένοι τρόπον τινὰ καὶ νενεκρωμένοι διά τε τὴν ἁμαρτίαν, καὶ τὸ μὴ εἰδέναι τὸν φύσει καὶ ἀληθῶς ὄντα Θεὸν, ἀναζωπυρούμεθα πρὸς τὴν κατ' εὐσέβειαν ζωὴν, καὶ τῷ πνεύματι ζέοντες ἀποτελούμεθα κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνήν. Κερδαίνομεν δὲ πρὸς τούτῳ, καὶ τὴν τοῦ ἁγίου Πνεύματος μέθεξιν, πυρὸς δίκην ὄντος ἐν ἡμῖν· βεβαπτίσμεθα γὰρ ἐν πυρὶ ἁγίῳ Πνεύματι. Ἔθος δὲ τῇ θείᾳ Γραφῇ πῦρ ὀνομάζειν ἔσθ' ὅτε τούς θείους τε καὶ ἱεροὺς λόγους, καὶ τὴν διὰ τοῦ ἁγίου Πνεύματος ἐνέργειάν τε καὶ δύναμιν. Ἔφη μὲν γάρ τις τῶν ἁγίων προφητῶν, ὡς ἐκ προσώπου τοῦ Θεοῦ περὶ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· « Ὅτι ἐξαίφνης ἥξει εἰς τὸν ναὸν αὐτοῦ Κύριος, ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ ἄγγελος τῆς Διαθήκης, ὃν ὑμεῖς θέλετε. Ἰδοὺ ἔρχεται, λέγει Κύριος, καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; ἢ τίς ὑποστήσεται ὀπτασίαν αὐτοῦ; Ἰδοὺ αὐτὸς ἐκπορεύεται, ὡς πῦρ χωνευτηρίου, καὶ ὡς πόα πλυνόντων· καὶ καθεδεῖται χωνεύων καὶ καθαρίζων ὡς τὸ ἀργύριον καὶ ὡς τὸ χρυσίον. » Καὶ ναὸν μέν φησιν ἐνθάδε, τὸ ἄχραντον ἀληθῶς καὶ ἅγιον σῶμα, τὸ διὰ τῆς ἁγίας Παρθένου ταχθὲν διὰ τοῦ ἁγίου Πνεύματος ἐν δυνάμει τοῦ Πατρός. Εἴρηται γάρ που πρὸς τὴν ἁγίαν Παρθένον· « Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι. » Ἄγγελον δὲ Διαθήκης αὐτὸν ὀνομάζει τὸν Μονογενῆ, παρὰ τὸ ἀγγέλλειν καὶ διακονεῖν τῇ Πατρὸς εὐδοκίᾳ τῇ εἰς ἡμᾶς γενομένῃ. Καὶ γοῦν ἔφη πρὸς ἡμᾶς, ὅτι « Πάντα ὅσα ἤκουσα παρὰ τοῦ Πατρὸς, ἀπήγγειλα ὑμῖν. » Γράφει δὲ περὶ αὐτοῦ καὶ ὁ προφήτης Ἡσαΐας, ὅτι « Παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ· καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, μεγάλης βουλῆς Ἄγγελος. » Ὥσπερ οὖν οἱ τὸν χρυσόν τε καὶ ἄργυρον ἐκκαθαίρειν εἰδότες, πυρὶ τὸν ἐν αὐτοῖς ἐκτήκουσι ῥύπον, οὕτω καὶ ὁ Σωτὴρ διὰ τῶν εὐαγγελικῶν μαθημάτων, ἐν δυνάμει Πνεύματος, τὸν ἑκάστου σμήχει νοῦν τῶν πιστευσάντων εἰς αὐτόν. Ἔφη δέ που καὶ ὁ τῶν ὅλων Θεὸς, πρὸς τὸν προφήτην Ἱερεμίαν· « Ἰδοὺ δέδωκα τοὺς λόγους μου εἰς τὸ στόμα σου πῦρ, καὶ τὸν λαὸν τοῦτον, ξύλα. » Καὶ πάλιν· « Οὐχ οἱ λόγοι μου ὥσπερ πῦρ, λέγει Κύριος; » Τίς δ' ἂν νοηθείη πρὸς ἡμῶν καὶ ὁ ἄνθραξ ὁ τῶν τοῦ προφήτου Ἡσαΐου χειλέων ἁψάμενος, καὶ καθαρίσας αὐτὸν ἀπὸ πάσης ἁμαρτίας; Τὸ σωτήριον δηλονότι κήρυγμα, καὶ ἡ τῆς εἰς Χριστὸν πίστεως ὁμολογία, ἣν εἴπερ τις ἐν στόματι λάβοι, πάντη τε καὶ πάντως διακαθαίρεται. Καὶ πιστώσεται λέγων ὁ Παῦλος, ὅτι « Ἐὰν εἴπῃς ἐν τῷ στόματί σου, Κύριος Ἰησοῦς, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὡς ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ. » Πλὴν ἄνθρακι καὶ πυρὶ τὴν τοῦ θείου κηρύγματος δύναμιν ἐοικέναι φαμὲν, οὗ τὴν ἀνάψιν ἐπισπεύδει ὁ Κύ-

A nostrum ardens erat intra nos in via, dum nobis aperiret Scripturas [34]? » Ignis hic salutaris est et utilis, per quem nos omnes qui in terra frigidi eramus ac emortui ob peccatum et ob veri naturalisque Dei ignorantiam, denuo suscitamur ad religiosam vitam; spirituque ferventes efficimur juxta beati Pauli dictum [35]; præterea que sancti Spiritus participationem lucramur, ignis instar intra nos habitantis: namque igne baptizati fuimus, sancto Spiritu. Mos vero est divinæ Scripturæ ignis nomine appellandi interdum divinam sacramque doctrinam, et sancti Spiritus vim atque operationem. Dixit enim sanctorum prophetarum unus, tanquam ex Dei persona, de universali nostro Servatore Christo, quod nempe « subito veniet in templum B suum Dominus, quem vos quæritis, et angelus Testamenti, quem vos vultis. Ecce venit, dicit Dominus; et quis sustinebit diem adventus ejus? aut quis patietur aspectum ejus? En ipse procedit ut ignis conflatorii, et ut herba fullonum; et sedebit conflans mundansque sicut argentum et sicut aurum [36]. » Et templum quidem hic dicit immaculatum sanctumque corpus de sancta Virgine sumptum, sancto operante Spiritu in virtute Patris. Dictum quippe fuit sanctæ Virgini: « Spiritus sanctus superveniet in te, et virtus Altissimi obumbrabit tibi [37]. » Angelum vero Testamenti ipsum nominat Unigenitum, quia nuntiat, ministratque Patris bonæ erga nos voluntati. Itaque nobis dicebat: « Omnia quæcunque audivi a Patre meo, nota feci vobis [38]. » Scribit de ipso propheta quoque Isaias: « Parvulus C natus est nobis, et filius datus est nobis, cujus imperium super humerum 308 ejus: vocaturque nomen ejus magni consilii Angelus [39]. » Sicut ergo ii qui aurum argentumque purgare sciunt, sordes ejus igne consumunt, ita etiam Servator per doctrinas evangelicas, virtute Spiritus, singulorum in ipsum credentium mentem abstergit. Dixit vero aliquando universalis Deus ad Jeremiam: « Ecce dedi sermones meos in os tuum tanquam ignem; et hunc populum, instar lignorum [40]. » Et rursus: « Nonne sermones mei ut ignis, dicit Dominus [41]? » Quidnam porro aliud a nobis existimabitur carbo ille qui prophetæ Isaiæ labia contigit, omnique ipsum peccato mundavit [42]? Nempe salutaris prædicatio, et D fidei in Christum confessio; quam si quis ore receperit, prorsus omnimodisque purgatur. Rei fidem faciet Paulus dicens: « Quod si dixeris ore tuo, Dominus Jesus, crediderisque corde tuo, a Deo illum de mortuis suscitatum, salvus eris [43]. » Verumtamen carboni et igni divinæ prædicationis vim dicimus similem, cujus incensionem urget Dominus. Jam enim nonnulli ex Israele crediderant, quorum primitiæ fuerant divi discipuli. Semel autem accensus ignis, universum correpturus mundum erat, cum tota susceptæ incarnationis ratio

[34] Luc. xxiv, 32. [35] Rom. xii, 11. [36] Malach. iii, 1-3. [37] Luc. i, 35. [38] Joan. xv, 15. [39] Isa. ix, 6. [40] Jerem. v, 14. [41] Jerem. xxiii, 29. [42] Isa. vi, 6, 7. [43] Rom. x, 9.

Digitized by Google

peracta fuisset. Idque docet his verbis : « Baptismo habeo baptizari, et quomodo coarctor usque dum perficiatur (1) ! »

ριος· ἐπίστευον γὰρ ἤδη τινὲς τῶν ἐξ Ἰσραὴλ, ὧν ἀπαρχὴ γεγόνασιν οἱ θεσπέσιοι μαθηταί. Ἐξαφθὲν δὲ ἅπαξ τὸ πῦρ, ἀπάσης ἐμελλε καταδράττεσθαι τῆς ὑπ' οὐρανὸν, ἐξενεχθείσης εἰς πέρας τῆς πάσης οἰκονομίας· καὶ τοῦτο διδάσκει λέγων· « Βάπτισμα δὲ ἔχω βαπτισθῆναι, καὶ πῶς συνέχομαι ἕως οὗ τελεσθῇ ; »

V. 51. *Putatis quod pacem terræ daturus venerim ?*

Δοκεῖτε ὅτι εἰρήνην παρεγενόμην δοῦναι ἐν τῇ γῇ ;

Atqui Christus pax nostra est, ut aiunt Scripturæ : « Ipse duos populos in unum novum hominem copulavit, pacem faciens, ambosque reconcilians in uno corpore Patri [44] : » ipse connexuit infima superioribus. Quomodo ergo dixit : « Non veni pacem dare? » Quid ais, Domine? Ad adducendam pacem non venisti? Attamen nobis factus es pax, medium maceriæ parietem dissolvisti, peccatum quod nos arcebat destruxisti : longinquis æque ac propinquis bonum nuntium **309** attulisti : greges cum gregibus adunasti, Judaicos scilicet cum ethnicorum gregibus : pacificasti per crucem quæ in cœlis sunt et quæ super terram, sicuti scriptum est [45] : factus es nobis conciliator atque mediator, intermedium peccatum auferens, Patri Deo per temetipsum nos conjungens. Quin adeo pacem, tui peculiariter propriam dixisti : « Pacem meam do vobis [46]. » Quomodo ergo non venisti pacem adducere, sed gladium? quibuscum prœlio certabimus? quodnam belli genus erit, et quomodo a nobis fiet? ut inculpatum sit, et tibi placeat, qui pacem tui propriam esse dixisti, eamque nobis dedisti? Ergo solvat Paulus quæstionem dicens : « Si quis frater fornicator, et « cætera, » cum ejusmodi nec cibum sumere [47]. » Puto enim abominandos fornicatores, et pacem cum his damnificam esse reputandam : « Corrumpunt enim bonos mores colloquia prava [48]. » Atque ut ait David, « Cum sancto sanctus eris, et cum perverso, perverteris [49]. »

(A f. 186, B f. 129, C f. 136) Καίτοι Χριστός ἐστιν ἡ εἰρήνη ἡμῶν κατὰ τὰς Γραφάς· « Αὐτὸς συνῆψε τοὺς δύο λαοὺς, εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάξας ἀμφοτέρους ἐν ἑνὶ σώματι πρὸς τὸν Πατέρα· » αὐτὸς συνῆψε τοῖς ἄνω τὰ κάτω. Πῶς οὖν ἔφη· « Οὐκ ἦλθον εἰρήνην δοῦναι ; » Τί φῄς, ὦ Δέσποτα ; Οὐκ ἦλθες βαλεῖν εἰρήνην; Καίτοι γέγονας ἡμῖν εἰρήνη, κατέλυσας τὸ μεσότοιχον τοῦ φραγμοῦ, ἠφάνισας τὴν διιστῶσαν ἡμᾶς ἁμαρτίαν· εὐηγγελίσω τοῖς μακρὰν καὶ τοῖς ἐγγύς· συνῆψας ἀγέλαις ἀγέλας, ταῖς Ἰουδαίων τὰς ἐξ ἐθνῶν· κατειρήνευσας διὰ τοῦ σταυροῦ τά τε ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, καθὰ γέγραπται· γέγονας ἡμῖν διαλλακτὴς καὶ μεσίτης, καὶ τὴν διὰ μέσου κειμένην ἁμαρτίαν περιελὼν συνῆψας δι' ἑαυτοῦ τῷ Θεῷ καὶ Πατρί. Καὶ τὴν εἰρήνην, ἰδίαν εἶναι ἔφης, εἰπών· « Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν. » Πῶς οὖν οὐκ ἦλθες βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν; πρὸς τίνας ἡμῖν ἡ μάχη ; καὶ ὁ τοῦ πολέμου τρόπος, πῶς ἂν γένοιτο παρ' ἡμῶν, ἵνα τὸ ἀνεπίπληκτον [cod. ἐπίπληκτον] ἔχοι, καὶ ἀρέσῃ σοι τῷ τὴν εἰρήνην ἰδίαν εἶναι λέγοντι, καὶ ταύτην ἡμῖν δεδωκότι; Οὐκοῦν λυέτω τὸ ζητούμενον Παῦλος, φήσας· « Εἴ τις ἀδελφὸς πόρνος, « καὶ τὰ ἑξῆς, » τῷ τοιούτῳ μηδὲ συνεσθίειν. » Δεῖ γὰρ, οἶμαι, παραιτεῖσθαι πόρνους, καὶ τὴν πρὸς τούτους εἰρήνην ζημίας ἡγεῖσθαι πρόξενον· « Φθείρουσι γὰρ ἤθη χρηστὰ ὁμιλίαι κακαί. » Καὶ καθά φησι Δαβίδ· « Μετὰ ὁσίου ὁσιωθήσῃ, καὶ μετὰ στρεβλοῦ, διαστρέψεις.

Vin' et alios cognoscere, quibuscum colere pacem, noxium est? Audi scribentem ex sanctis discipulis unum : « Si quis ad vos venit, et hanc doctrinam non affert, huic ne ave quidem dixeritis [50]. » Quamnam vero doctrinam dicit, nisi omnino illam, quam ii nobis tradiderunt qui ab initio spectatores fuerunt? Lupis pares sunt hæreticorum duces ; quomodo autem pacem servabit cum lupo ovis? Sunt vero illi etiam tenebrosi; nam « Deus hujus sæculi excæcavit infidelium mentes [51]. » Nos autem filii lucis sumus ; etenim nos illustravit Spiritus gratia. « Quænam autem communio lucis cum tenebris [52] ? » Ergo colamus cum fratribus et fidei sodalibus pacem ; cum aliis, habere abnuamus. Constat sane præclaram esse rem pacem ; sed haud quævis omnino pax reprehensione caret : imo periculosa sæpe est, et a Dei charitate abalienat. Non

Βούλει καὶ ἑτέρους ἰδεῖν πρὸς οὓς τὸ ἀσπάζεσθαι τὴν εἰρήνην ἐπιζήμιον ; Ἄκουε γράφοντος ἑνὸς τῶν ἁγίων μαθητῶν· « Εἴ τις ἔρχεται πρὸς ὑμᾶς, καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει, τούτῳ μηδὲ χαίρειν λέγετε. » Διδαχὴν δὲ ποίαν, ἢ πάντως ἐκείνην ἣν παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται; Λύκοις ἐοίκασι τῶν αἱρέσεων οἱ προεστηκότες· εἶτα πῶς εἰρηνεύσει πρὸς λύκον τὸ πρόβατον ; Καὶ σκοτεινοὶ μὲν ἐκεῖνοι· « Ὁ Θεὸς γὰρ, φησὶ, τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων. » Ἡμεῖς δὲ υἱοὶ φωτός· διηύγασε γὰρ ἡμῖν ἡ διὰ τοῦ Πνεύματος χάρις. « Τίς οὖν κοινωνία φωτὶ πρὸς σκότος ; » Οὐκοῦν ἀγαπήσωμεν τὴν πρὸς ἀδελφοὺς καὶ ὁμοπίστους εἰρήνην, παραιτώμεθα δὲ τὴν πρὸς ἐκείνους· δῆλον γὰρ, ὅτι χρῆμα μὲν ἡ εἰρήνη καλόν. Ἀλλ' οὐ πᾶσα πάντως εἰρήνη τὸ ἀκατάψεκτον ἔχει, ἀλλ' ἔστιν ἐπισφαλὴς πολλάκις, καὶ τῆς εἰς Θεὸν ἀγάπης ἀποκο-

[44] Ephes. II, 14. [45] Coloss. I, 20. [46] Joan. XIV, 17. [47] I Cor. V, 11. [48] I Cor. XV, 33. [49] Psal. XVII, 27. [50] II Joan. 10. [51] II Cor. IV, 4. [52] II Cor. VI, 14.

(1) Apud D. Thomam in catena prosequitur ita Cyrillus. « Nam ante venerabilem crucem, et Christi resurrectionem a mortuis, in sola Judæa fiebat mentio prædicationis et miraculorum ipsius ; postquam autem principem vitæ insanientes occiderunt, tunc apostolis præcepit dicens : *Euntes docete*, » etc.

Digitized by Google

μίζουσα· ἀλυσιτελὴς γὰρ ἡ πρὸς τοὺς ἑτερόφρονας εἰρήνη (1), κατά γε τὸ τὰ ἴσα ἐκείνοις φρονεῖν. Διὰ τοῦτο γὰρ καὶ τῶν ἐπὶ γῆς φίλτρων οἱ πιστοὶ ἀφίστανται, καὶ συγγενεῖς ἀγνοοῦσι, καὶ πατὴρ υἱοῦ φιλίαν ἀπαναίνεται, καὶ υἱὸς πατρὸς τιμὴν ἀγνοεῖ, καὶ μήτηρ θυγατρὸς φίλτρον ἀπώσατο. Δεῖ γὰρ τοῖς ὑγιαίνουσι τὸν νοῦν, ἕπεσθαι τοὺς πεπλανημένους, καὶ οὐχ αὐτοῖς μᾶλλον τοὺς ὀρθὰ φρονεῖν αἱρουμένους. Τοῦτο καὶ ἑτέρως ἡμῖν ἔφη ὁ Χριστός· « Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος· καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος. » Οὐκοῦν, ὅταν, εὐσεβείας ἕνεκα τῆς εἰς Χριστὸν, ἐπίγειον ἀρνήσῃ πατέρα, τότε πλουτήσεις Πατέρα τὸν ἐν οὐρανοῖς. Κἂν ἀφῇς ἀδελφὸν ἀτιμάζοντα Θεὸν, διὰ τὸ βούλεσθαι λατρεύειν αὐτῷ, παραδέξεταί σε Χριστὸς εἰς ἀδελφόν. Δέδωκε γὰρ ἡμῖν μετὰ τῶν ἄλλων καὶ τοῦτο· « Ἀπαγγελῶ γάρ, φησὶ, τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου. » Γένος εὑρήσεις λαμπρὸν καὶ μέγα, τὴν τῶν ἁγίων πληθύν· ἔσῃ σὺν αὐτοῖς κληρονόμος τῶν παρ' αὐτοῦ χαρισμάτων.

enim prodest cum heterodoxis pax, quatenus pari ac illi sententia esse videamur. **310** Quamobrem a terrenis quoque affectionibus fideles cavent, et cognatos ignorant, et pater filio amorem denegat, vicissimque filius honorem patri non exhibet, et charitatem erga filiam mater respuit. Oportet enim ut mente sanos imitentur ii qui errarunt, non autem ut his illi adhæreant qui recte sentiunt. Alio etiam loco nobis Christus dixit : « Qui amat patrem aut matrem plus quam me, non est me dignus. Et qui amat filium aut filiam plus quam me, non est me dignus [55]. » Igitur cum veræ erga Christum pietatis causa terrenum patrem negabis, tunc Patrem in cœlis adipisceris. Et si fratrem qui Deum non colit dimiseris, recipiet te in fratrem Christus. Namque hanc quoque prærogativam cum cæteris nobis contulit : « Narrabo enim, inquit, nomen tuum fratribus meis [56]. » Cognationem invenies grandem ac splendidam, sanctorum scilicet multitudinem. Fies cum illis charismatum Christi hæres.

Ὅταν ἴδητε τὴν νεφέλην ἀνατέλλουσαν ἀπὸ δυσμῶν, κ. τ. λ.

(A f. 187, B f. 129 b, D f. 52 b) Ἐπισημαίνονται τὰ τοιάδε τινὲς, καὶ ὡς ἐκ πολλῆς ἄγαν ἐπιτηρήσεως, προαπαγγέλλουσιν ὑετῶν καταδύσεις, ἢ σκληρῶν ἀνέμων ἐφόδους. Πῶς οὖν, φησὶ, τὰ ἐν οὐρανῷ δοκιμάζοντες, τὰ ἐν γῇ γινόμενα σημεῖα οὐ βλέπετε, οὐδὲ δοκιμάζετε τὸν καιρὸν ἐὰν ἦλθεν ὁ προσδοκώμενος; — (A f. 187) Ἔδει τοίνυν τοὺς τὰ τῶν καιρῶν σημεῖα τεκμαιρομένους, καὶ τοὺς ἐσομένους ἔσθ' ὅτε χειμῶνας προαπαγγέλλοντες, καὶ τοῖς ἀναγκαίοις πράγμασιν ἰσχνὸν ἐπαφεῖναι τῆς διανοίας τὸν ὀφθαλμόν. Καὶ ποῖα ταῦτά ἐστι; Προκατέδειξεν ὁ νόμος τὸ Χριστοῦ μυστήριον, καὶ ὅτι πάντη τε καὶ πάντως ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς ἐπιλάμψειν ἔμελλε τοῖς ἐπὶ γῆς, καὶ τὴν ὑπὲρ τῆς ἁπάντων σωτηρίας ὑπομεῖναι σφαγήν. Καὶ γοῦν προστέταχε θύεσθαι τὸν ἀμνὸν εἰς τύπον αὐτοῦ, πρὸς ἑσπέραν καὶ ὑπὸ λύχνοις. Ἔμελλε δὲ πάντως τοῖς μὲν εἰς αὐτὸν πιστεύσασιν, ἡ τῆς σωτηρίας ἀνευρύνεσθαι πύλη, καὶ πολλὴ πραγμάτων ὑπάρξειν εὐδία. Καὶ γοῦν ἐν τῷ Ἄσματι τῶν ᾀσμάτων τὴν γραφομένην νύμφην, ἥτις καὶ τὸ τῆς Ἐκκλησίας ἐπέχει πρόσωπον, καλῶν εὑρίσκεται Χριστὸς, καὶ λέγων· « Ἀνάστα, ἐλθὲ, ἡ πλησίον μου, καλή μου περιστερά, ὅτι ἰδοὺ ὁ χειμὼν παρῆλθεν, ὁ ὑετὸς ἀπῆλθεν, ἐπορεύθη ἑαυτῷ, τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ, καιρὸς τῆς τομῆς ἔφθασεν. » Οὐκοῦν, ὡς ἔφην, ἐαρινή τις ὥσπερ εὐδία τοῖς πιστεύουσιν εἰς αὐτὸν ἀνίσχειν ἔμελλεν.

Ὅτι δὲ καὶ οἱ μακάριοι προφῆται πολυτρόπως διηγγέλκασι τὸ Χριστοῦ μυστήριον, οὐκ ἂν ἐνδοιάσειέ τις. Ἔδει δὴ οὖν, ἔδει συνετοὺς ὄντας, φησὶ, καὶ τὸ πρόσωπον τοῦ οὐρανοῦ καὶ τῆς γῆς εἰδότας κατα-

V. 54. *Cum videritis nubem orientem ab occasu*, etc.

Hæc observant nonnulli, et tanquam ex divina observatione prædicunt pluviarum inundationes, aut vehementium ventorum incursiones. Cur ergo, ait, qui cœlestia æstimatis, ea quæ in terris edita signa sunt non cernitis? neque exploratis an hoc tempore ille qui exspectabatur advenerit? — Oportebat itaque eos qui ex temporum signis conjecturam faciebant, et futuras interdum tempestates prædicebant, necessariis quoque rebus acutum intendere mentis oculum. Quænam porro hæ res sunt? Portendit lex sacramentum Christi, et quod hic sine dubio extremis sæculi temporibus terræ incolis appariturus foret, et pro omnium salute necem passurus. Mandavit itaque agnum ceu illius typum immolari sub vesperam et accensis luminibus [57]. Futurum autem erat ut in eum credentibus lata aperiretur salutis janua, et multa rerum felicitas obveniret. Quamobrem illam in Cantico canticorum descriptam sponsam, quæ personam gerit Ecclesiæ, **311** vocari a Christo comperimus et his verbis compellari : « Surge, veni, proxima mea, columba pulchra mea; quia ecce hiems transiit, imber abiit et recessit, flores apparuerunt in terra nostra, tempus putationis advenit [58]. » Ergo, ut dixi, verna veluti serenitas oritura erat credentibus in eum.

Quod autem beati quoque prophetæ multifariam nuntiaverint Christi sacramentum, nemo dubitabit. Prorsus itaque oportebat, inquit, sapientes illos, et cœli terræque aspectum cognoscendi gnaros, et

[55] Matth. x, 37. [56] Psal. xxi, 23. [57] Exod. xii, 3 seqq. [58] Cant. v, 2; ii, 11, 12.

(1) Notabile Cyrilli dictum de vitanda cum heterodoxis familiaritate, et religiosa indifferentia!

Digitized by Google

futura spectandi; oportebat, inquit, futuras quoque post hanc vitam tempestates non nescire. Auster enim erit ac pluvia; nempe ignis pœna, quia calidus auster est; et vehemens ac inevitabilis cruciatuum nimbus, imbris instar obnoxiis ingruens. Oportebat ergo, inquit, salutis tempus non ignorare. Erat autem id, Servatoris nostri adventus, cum quo perfectissima rectæ fidei notitia introiit, illuxitque gratia impium justificans. Neque id a lege peractum est, quæ neminem perficiebat, utpote nihil aliud quam figuras et umbras habens; sed a fide potius in Christum, non sane abjiciente legem, sed eam per spiritalem cultum complente. Nescitis æstimare tempus? non ex verbis rem, non ex re verba conjicitis? Prodigia cernitis, videtis signa sermones confirmantia. Si hæc nondum vos convincunt, persuadeant futuræ calamitates: templi destructio, metropoleos expugnatio, gentis excidium. Ne hæc quidem vos demum ad rei conscientiam adducunt?

A νοεῖν, καὶ πρὸς τὰ ἐσόμενα βλέπειν, καὶ τοὺς μετὰ τόνδε τὸν βίον χειμῶνας μὴ ἀγνοεῖν. Νότος γὰρ ἔσται καὶ ὄμβρος· τουτέστιν ἡ διὰ πυρὸς κόλασις θερμὸς γὰρ ὁ νότος, καὶ δεινὴ, καὶ ἄφυκτος τιμωριῶν καταφορὰ, ὑετοῦ δίκην κατεμπίπτουσα τῶν ἐλεωμένων. Ἔδει τὸν τῆς σωτηρίας μὴ ἀγνοῆσαι καιρόν. Οὗτος δὲ ἦν, ὁ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας, καθ' ἣν ἡ τελειοτάτη γνῶσις τῆς εὐσεβείας εἰσέβηκε· καθ' ἣν ἀνέλαμψεν ἡ χάρις δικαιοῦσα τὸν ἀσεβῆ. Καὶ οὐ διά γε τοῦ νόμου, τετελείωκε γὰρ οὐδένα, τύπους ἔχων καὶ σκιὰς, διὰ πίστεως δὲ μᾶλλον τῆς ἐν Χριστῷ, οὐκ ἐκβαλλούσης τὸν νόμον, ἀποπεραινούσης δὲ αὐτὸν διὰ λατρείας πνευματικῆς. Οὐ δοκιμάζετε τὸν καιρόν; οὐκ ἐκ τῶν λόγων τὰ πράγματα, [cod. σπέρματα], οὐκ ἐκ τῶν πραγμάτων τοὺς λόγους; B Βλέπετε θαύματα, καὶ ὁράτε σημεῖα βεβαιοῦντα τοὺς λόγους· εἰ μὴ πείθει ὑμᾶς ταῦτα, πειθέτωσαν οἱ μέλλοντες ὑμᾶς καταλήψεσθαι πειρασμοὶ, τοῦ ναοῦ ἡ καθαίρεσις, τῆς μητροπόλεως ἡ ἅλωσις, ἡ διαφθορὰ τοῦ ἔθνους· οὐδὲ ταῦτα ὑμᾶς εἰς συναίσθησιν ἄγει;

V. 58. *Cum autem vadis cum adversario tuo ad principem*, etc.

Valde commodum exemplum est ei rei, cujus gratia assumitur. Nam qui antequam judicium fiat, controversiam solvunt, prudentiores sunt, quandoquidem ipsi per se jus agnoscunt. Quod autem hic recte fit, idem alibi quoque laudabiliter agitur. Esto aliquis, inquit, subjectus homini in dignitate constituto, qui contra te controversiam habens, **312** ab eo jubeatur satellitum opera in judicium adduci. Quandiu igitur cum ipso in via es, nimirum antequam judici præsenteris, da operam, id est omni studio cura, ut ab illo te expedias. Secus enim tradet te judici. Deinde cum alieno oppressus ære compertus fueris, traderis quæstori, id est exactoribus: atque hi te carcere concludentes, ad ultimum usque quadrantem exigent. Revera obstricti criminibus omnes sumus quotquot in orbe terrarum vivimus. Uniuscujusque est adversarius et accusator Satanas: est enim hic inimicus et vindex. Quandiu itaque in via sumus, id est quandiu ad præsentis vitæ finem non devenimus, a Satana abscedamus; crimina nostra purgemus; Christi gratiam arripiamus quæ nos omni debito liberet, et extra animadversionem pœnamque ac metum constituat. Ne forte, inquinamento non absterso, ad judicem pertrahamur, exactoribus seu carnificibus tradamur, quorum nemo sævitiam effugere poterit, sed omnis potius culpæ, parvæ simul ac magnæ, pœnas dabit. His procul ii aberunt, qui Christi adventis tempus æstimabunt, ejusque sacramentum non ignoraverint.

Ὡς γὰρ ὑπάγεις μετὰ τοῦ ἀντιδίκου σου ἐπ' ἄρχοντα, κ. τ. λ.

(A f. 187 b, B f. 130, D f. 52 b) Πάνυ χρήσιμον τὸ παράδειγμα πρὸς ὃ λαμβάνεται. Οἱ γὰρ πρὸ δίκης διαλυόμενοι, φρονιμώτεροί εἰσιν, ἀφ' ἑαυτῶν τὸ δίκαιον ὁρῶντες. Ὅπερ δὲ καλὸν ἐνταῦθα ποιεῖν, τοῦτο καλόν ἐστι κἀκεῖ ποιῆσαι. Ὑποκείσθω τις, φησὶ, ἐφ' ἑνὸς τῶν τεταγμένων εἰς ἀρχὴν, αἰτίασίν τινα ποιησάμενος κατὰ σοῦ, εἶτα τοῖς ἀπάγουσιν ἐπὶ τὸ C δικαστήριον ὑποδείξας, ἀποφέρεσθαι ποιεῖ. Ἕως τοίνυν μετ' αὐτοῦ εἶ ἐν τῇ ὁδῷ, τουτέστι πρὶν ἀφικέσθαι πρὸς τὸν κριτὴν, δὸς ἐργασίαν, ἀντὶ τοῦ πᾶσαν θέσθαι μὴ ὀκνήσῃς σπουδὴν, ἵνα ἀπαλλαγῇς αὐτοῦ· εἰ δὲ μὴ τοῦτο γένοιτο, παραδώσει σε τῷ κριτῇ. Εἶτα, ὅταν ἔνοχος τοῖς ὀφλήμασιν εὑρεθῇς, παραδοθήσῃ τῷ πράκτορι, τουτέστι τοῖς ἀπαιτηταῖς· κἀκεῖνοί σε κατακλείσαντες, ἀπαιτήσουσι καὶ τὸ ἔσχατον λεπτόν. Οὐκοῦν ἔνοχοι μὲν πλημμελήμασί ἐσμεν ἅπαντες οἱ ὄντες ἐπὶ τῆς γῆς. Ἑκάστου γε μὴν ἀντίδικος καὶ κατήγορος, ὁ Σατανᾶς· ἐχθρὸς γάρ ἐστι καὶ ἐκδικητής. Ἕως τοίνυν ἐσμὲν ἐν τῇ ὁδῷ, τουτέστιν ἕως οὔπω πρὸς τὸ τῆς ἐνθάδε ζωῆς κατηντήσαμεν τέλος, ἀπαλλαγῶμεν αὐτοῦ· λύσωμεν τὰς καθ' ἑαυτῶν αἰτίας· τὴν διὰ Χριστοῦ χάριν ἁρπάσωμεν, ἐλευθεροῦσαν ἡμᾶς παντὸς ὀφλήματος, καὶ D δίκης ἔξω τιθεῖσαν, κολάσεώς τε καὶ φόβου. Μὴ ἄρα πως ἀναπόνιπτον ἐσχηκότες τὸν μολυσμὸν, ἀπενεχθῶμεν πρὸς τὸν κριτὴν, καὶ παραδοθῶμεν τοῖς πράκτορσιν, ἤτοι τοῖς κολασταῖς, ὧν οὐκ ἄν τις διαφύγοι τὸ ἀπηνὲς, ἀπαιτηθήσεται δὲ μᾶλλον τὰς ἐπὶ παντὶ πλημμελήματι δίκας μικρῷ καὶ μεγάλῳ. Τούτων ἔσονται μακρὰν οἱ τὸν τῆς Χριστοῦ παρουσίας καιρὸν δοκιμάζοντες, καὶ τὸ ἐπ' αὐτῷ μυστήριον οὐκ ἠγνοηκότες.

CAP. XIII.

V. 1. *Nuntiantes illi de Galilæis*, etc.

Videntur Galilæi sub præside Pilato seditionem

ΚΕΦΑΛ. ΙΓ'.

Ἀπαγγέλλοντες αὐτῷ περὶ τῶν Γαλιλαίων, κ. τ. λ.

(A f. 188, C f. 136, D f. 33) Ἐοίκασιν οἱ Γαλι-

Digitized by Google

λαῖοι κατὰ τοὺς χρόνους Πιλάτου ἐστασιακέναι, δόγμασιν ἑπόμενοι Ἰούδα τοῦ Γαλιλαίου, οὗ καὶ ὁ Λουκᾶς ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων ἐμνήσθη. Ἦν δὲ τὸ δόγμα τοῦ Ἰούδα, ὡς καὶ Ἰώσηπος ἐν τοῖς τελευταίοις τῆς *Ἰουδαϊκῆς Ἀρχαιολογίας* ἔδειξε, φαντασίαν ἐξαποστέλλον πολλὴν δι' εὐσέβειαν εὐτονίας. Κύριον γὰρ μηδὲ μέχρι στόματος ἔφασκε δεῖν τινα λέγειν, μηδὲ κατά τινα τιμὴν καὶ φιλοφροσύνην· οὕτω δὲ μηδὲ τὸν βασιλεύοντα· καὶ πολλοί γε αὐτῶν περὶ τοῦ μὴ εἰπεῖν Καίσαρα κύριον, χαλεπωτάτας αἰκίας ὑπέμειναν. Οἱ καὶ ἐδίδασκον μὴ δεῖν παρὰ τὰς διατεταγμένας ἐν τῷ Μωϋσέως νόμῳ θυσίας, ἑτέρας ἀναφέρεσθαι τῷ Θεῷ· διόπερ ἐκώλυον τὰς ὑπὸ τῆς γερουσίας τοῦ λαοῦ παραδεδομένας γίνεσθαι περὶ τῆς σωτηρίας τοῦ βασιλέως καὶ τοῦ Ῥωμαίων ἔθνους. Εἰκὸς οὖν ἐπὶ τούτοις ἀγανακτοῦντα πρὸς Γαλιλαίους τὸν Πιλάτον, κελεῦσαι παρ' αὐταῖς αἷς ἐδόκουν κατὰ τὸν νόμον προσφέρειν θυσίαις, αὐτοὺς ἀναιρεθῆναι. Ὡς τότε ἀναμιχθῆναι ταῖς προσφερομέναις θυσίαις τὸ αἷμα τῶν προσαγόντων. Ταῦτα οὖν ἐπείπερ ἐδόκει ὑπὲρ εὐσεβείας γίνεσθαι, ἀπήγγελλον τῷ Σωτῆρι, βουλόμενοι τὸ ἐπὶ τούτοις ἀρέσκον αὐτῷ μαθεῖν. Ὁ δὲ, οἰομένων τῶν ἐκ τοῦ λαοῦ δικαιότατα κατὰ τὰς ἁμαρτίας αὐτῶν πεπονθέναι ταῦτα, ἀναιρεθέντας, ἅτε στάσιν κινήσαντας τῷ λαῷ, καὶ ἐπὶ τὸ μισεῖν ἐρεθίσαντας ἄρχοντας κατὰ τῶν ὑπηκόων, τὸ μὲν εἶναι αὐτοὺς ἁμαρτωλοὺς, τίθησιν· οὐ μὴν φησι ταῦτα αὐτοὺς πεπονθέναι, ὡς τῶν μὴ πεπονθότων χείρονας. Εἶτ' ἐπὶ τούτοις φησὶν, ὅσον ἐπὶ τῷ ῥητῷ ἀποτρέπων τῆς ἐμφυλίου στάσεως, προφάσει εὐσεβείας ἀναπτομένης, τοὺς ὑπὲρ τοῦ λαοῦ, τὸ, Ἐὰν μὴ μετανοήσετε, τουτέστιν, Ἐὰν μὴ μεταβάλησθε τοῦ στασιάζειν καὶ ἀνθίστασθαι τοῖς ἄρχουσιν, ὅπερ οὐ κατὰ βούλημα ποιεῖτε Θεοῦ, πάντες ὁμοίως ἀπολεῖσθε, καὶ τὸ ὑμέτερον αἷμα ταῖς ὑμετέραις θυσίαις ἀναμιχθήσεται. Εἶτα τὸ τοῦ πύργου ὑπόδειγμα τοῦ ἐν τῷ Σιλουὰμ ἐπάγει, διὰ τούτου πάσης τῆς πόλεως τὴν πτῶσιν δηλῶν. Ὡς ἐκ τῆς προφάσεως γὰρ τῶν δεκαοκτὼ, ἐφ' οὓς ὁ πύργος ἔπεσεν, αἰνίττεται ὅτι τὸ μέρος προοίμιόν ἐστι πάσης τῆς πόλεως· οὐ γὰρ δὴ, φησὶν, οἱ ιη' ὡς ὑπαίτιοι ὄντες ἀπώλοντο μόνοι, ἀλλὰ καὶ πᾶσα ἡ πόλις τὰ αὐτὰ πείσεται μικρὸν ὕστερον.

A fecisse, dogmata sectantes Judæ Galilæi, cujus etiam Lucas in apostolorum Actibus meminit [87]. Judæ autem dogma, sicut etiam Josephus postremis Antiquitatum Judaicarum libris narrat [88], magnam præ se ferebat exactæ religionis speciem. Neminem enim ne ore tenus quidem dicendum esse dominum aiebat, ne honoris quidem vel urbanitatis gratia; adeoque nec ipsum regem. Multique eorum propterea quod Cæsarem nollent dominum appellare, acerbissimos cruciatus pertulerunt. Iidem docebant, præter præscripta in Moysis lege sacrificia, nulla Deo offerenda : **313** ideoque illa vetabant fieri quæ seniores populi pro imperatoris ac Romanæ gentis salute indixerant. Credibile est itaque iratum Galilæis Pilatum jussisse ut inter ipsa quæ juxta B legem putabant se facere sacrificia, iidem occiderentur; ita ut tunc cum oblatis hostiis misceretur offerentium sanguis. Hæc igitur, quia pro religione facta videbantur, nuntiabant Servatori, volentes quid ipse judicaret, cognoscere. Ipse autem, cum partim saltem de turba existimarent, illos debita meritis passos, cum ob seditionem commotam occisi fuissent, et quia dominantium iram contra subditos concitaverant; peccatores illos quidem affirmat fuisse Servator; neque tamen idcirco sic passos ait, quasi non passis pejores fuerint. Tum præterea, quasi ex dictis captata occasione, deterrens a civili seditione, religionis prætextu concitanda, principes populi : Nisi pœnitentiam, inquit, egeritis, id est nisi rebellando, et regnantibus resistendo abstiteritis, quod contra Dei voluntatem C facitis, omnes similiter peribitis, vesterque sanguis sacrificiis vestris miscebitur. Deinde turris Siloe exemplum addit, eo nimirum totius urbis casum significans : etenim ansam veluti capiens ex illis duodeviginti hominibus, in quos turris decidit, innuit partem hanc initium esse totius urbis. Non enim hi duodeviginti, inquit, ceu rei periere soli, sed et universa civitas paulo post eamdem cladem patietur.

Εἶπε δὲ πρὸς τὸν ἀμπελουργὸν, κ. τ. λ. *Καὶ ἀποκριθεὶς λέγει αὐτῷ· Κύριε, ἄφες αὐτὴν*, κ. τ. λ. D

V. 7, 8. *Dixit autem cultori vineæ*, etc. *Et respondens dicit illi : Domine, dimitte eam*, etc.

(A f. 189 b) Εἰ μὲν οὖν τις βούλοιτο λέγειν, ἄγγελον εἶναι τὸν παρὰ Θεοῦ ταχθέντα προεστάναι τῆς Ἰουδαίων Συναγωγῆς, οὐκ ἂν ἁμάρτοι τοῦ πρέποντος. Μεμνήμεθα γὰρ τοῦ προφήτου Ζαχαρίου γεγραφότος, ὅτι εἱστήκει τις τῶν ἁγίων ἀγγέλων, τὰς ὑπὲρ τῆς Ἱερουσαλὴμ ἀναφέρων λιτὰς, καὶ λέγων· « Κύριε παντόκρατορ, ἕως τίνος οὐ μὴ ἐλεήσεις τὴν Ἱερουσαλὴμ, καὶ τὰς πόλεις Ἰούδα ἃς ὑπερεῖδες τοῦτο ἑβδομηκοστὸν ἔτος; » Γέγραπται δὲ καὶ ἐν τῇ Ἐξόδῳ, ὡς καταδιώκοντος τοὺς ἐξ Ἰσραὴλ ὁμοίως τοῖς ἰδίοις ὑπασπισταῖς τοῦ τῆς Αἰγυπτίων

Si quis itaque dicere velit, angelum esse a Deo constitutum custodem Synagogæ Judæorum, haud procul probabili sententia aberrabit. Meminimus enim prophetæ Zachariæ scribentis, stetisse unum de sanctis angelis, preces pro urbe Jerusalem offerentem, dicentemque : « Domine omnipotens, usquequo Jerusalem non misereberis, et civitatum Judæ quas abhinc septuaginta annis aspernaris [89] ? » In Exodo quoque **314** scribitur, quod persequente Israelitas cum suis clypeatis dominatore terræ Ægyptiorum, jamque prœlium cum illis conserturo,

[87] Act. v, 37. [88] Antiq. Jud., XVIII, 1; XX, 4. [89] Zach. I, 12.

Digitized by Google

constitit angelus Dei, medius inter castra Israelitarum atque Ægyptiorum, atque ita non sunt invicem commisti tota nocte [60]. Nullatenus est ergo incongruum hic quoque cogitare, custodem Synagogæ angelum preces pro ipsa obtulisse. Quod si quis dicat ipsum Filium personam agricolæ gerere, ne hæc quidem sententia idoneo ratiocinio carebit. Est enim pro nobis advocatus apud Patrem, propitiator atque agricola animarum nostrarum. Nam et ipse de semet dixit : « Exiit qui seminat seminare semen suum [61]. » Neque hoc ullam Filii majestati injuriam faciet, quod nempe agricolæ personam induat. Nam et ipsum Patrem formam hanc assumpsisse comperimus, nullam propterea hujus rei causa passum vituperationem. Dixit enim sanctis apostolis Filius : « Ego sum vitis, vos palmites, Pater meus agricola est [62]. » Unicuique enim dictorum sensuum quadrare interdum hic sermo potest.

A ἐξάρχοντος γῆς, εἶτα μέλλοντος συμπλέκεσθαι πρὸς μάχην αὐτοῖς, ἔστη ἄγγελος Θεοῦ ἀνὰ μέσον τῆς παρεμβολῆς τῶν υἱῶν Ἰσραὴλ, καὶ ἀνὰ μέσον τῶν Αἰγυπτίων, καὶ οὐ συνέμιξαν ἀλλήλοις ὅλην τὴν νύκτα. Ἔστι τοίνυν τὸ ἀπεικὸς οὐδὲν, κἀνθάδε νοεῖν τὸν προεστηκότα τῆς Συναγωγῆς ἄγγελον, ἀνατεῖναι ὑπὲρ αὐτῆς τὰς ἱκετηρίας. Εἰ δὲ δή τις λέγοι τὸν Υἱὸν εἶναι τὸν γηπόνον, ἔχοι ἂν καὶ τοῦτο τοῖς καθ' ἡκουσι λογισμοῖς οὐκ ἀπεοικότα λόγον. Παράκλητος γὰρ ἡμῶν ἐστι πρὸς τὸν Πατέρα, ἱλαστήριόν τε καὶ γεωργὸς τῶν ἡμετέρων ψυχῶν. Καὶ γοῦν αὐτὸς ἔφη περὶ ἑαυτοῦ· « Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ. » Ἀδικήσει δὲ τοῦτο εἰς δόξαν οὐδὲν τὸν Υἱὸν, τὸ περικεῖσθαι, φημὶ, τοῦ γηπόνου τὸ πρόσωπον. Εὑρίσκεται γὰρ καὶ αὐτὸς ὁ Πατὴρ τοῦτο B λαβὼν, μῶμον οὐδένα ταύτης ἕνεκα τῆς αἰτίας ὑπομείνας πώποτε. Ἔφη γὰρ ὁ Υἱὸς τοῖς ἁγίοις ἀποστόλοις· « Ἐγώ εἰμι ἡ ἄμπελος· ὑμεῖς τὰ κλήματα· ὁ Πατήρ μου ὁ γεωργός ἐστι. » Πρὸς ἕκαστα γὰρ τῶν προκειμένων θεωρημάτων ἴσθ' ὅτε καὶ ἡ τοῦ λόγου γίνεται διεκβολή.

Quod autem Israel repudium denique passurus foret, propter multam suam sterilitatem, innuit aliquando etiam beatus Baptista dicens : « Jam securis ad radicem arborum posita est [63], » et reliqua. Videtur ergo ficulneæ comparare Judæorum Synagogam, quandoquidem et aliis illam comparant arboribus sacræ Litteræ, viti nimirum, oleæ, et saltibus. Ecce enim propheta Jeremias modo de ipsa, id est membris ejus, ait : « Vitis frondosa Israel [64]. » Modo rursus ad ipsam : « Oleam pulC chram, specie umbrosa, vocavit Dominus nomen tuum. Tempore putationis ejus accensus est ignis adversus eam : magna clades ejus, inutiles facti sunt palmites ipsius [65]. » Alius vero propheta, Libano monti eam comparans, sic ait : « Aperi, Libane, fores tuas, et comedat ignis cedros tuas [66]. » Revera enim consumptus fuit **315** igne saltus Jerusalem, id est ejus populus. Quamobrem sumitur, ut dixi, ad Synagogæ Judæorum, sive filiorum Israelis, imaginem, ea quæ in hac parabola proposita fuit ficulnea. Venit autem, pergit dicere Scriptura, quærens fructum, et non invenit. Et quidem ter venit, primo per Moysem et Aaronem; iterum Josuæ filii Navi et mox judicum ætate; D tertio post istos, temporis tractu illo quo exstiterunt beati prophetæ usque ad Joannem Baptistam. His temporibus infructuosus Israel fuit. Nam quod attinet ad Dei Patris beneplacitum, simulque Filii, minime acceptus erat utpote typicus et umbratilis cultus, infructuosus omnino quod ad spiritalem attinet bonum odorem. Quapropter et rejectus est. Atque hoc nos docebit dicens ipse Servator cœlesti Patri Deo : « Sacrificium et oblationem noluisti, holocausta pro peccatis non tibi placuere [67]. » Et Isaiæ ore : « Quis enim exquisivit hæc de manibus

(A f. 189 b) Ὅτι δὲ ἔμελλε τὴν ἐκβολὴν ὑπομένειν ὁ Ἰσραὴλ διὰ πολλὴν ἀκαρπίαν, ὑπεσήμαινέ πως καὶ ὁ μακάριος Βαπτιστὴς, λέγων· « Ἤδη δὲ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται, » καὶ τὰ ἑξῆς. Ἔοικε τοίνυν συκῇ παραβάλλειν τὴν τῶν Ἰουδαίων Συναγωγὴν, ὅτι καὶ ἑτέροις αὐτὴν παραβάλλει φυτοῖς τὸ Γράμμα τὸ ἱερὸν, ἀμπέλῳ, φημὶ, καὶ ἐλαίᾳ, καὶ δρυμοῖς. Καὶ γοῦν ὁ προφήτης Ἱερεμίας (1) ποτὲ μὲν περὶ αὐτῆς φησιν, ἤτοι τῶν ἐν αὐτῇ· « Ἄμπελος εὐκλήματοῦσα Ἰσραήλ. » Ποτὲ δὲ πάλιν ὡς πρὸς αὐτήν· « Ἐλαίαν ὡραίαν, εὔσκιον τῷ εἴδει, ἐκάλεσε Κύριος τὸ ὄνομά σου· εἰς καιρὸν περιτομῆς αὐτῆς ἀνήφθη πῦρ ἐπ' αὐτὴν· μεγάλη ἡ θλῖψις ἐπ' αὐτὴν, ἠχρειώθησαν οἱ κλάδοι αὐτῆς. » Ἕτερος δὲ τῶν προφητῶν, Λιβάνῳ τῷ ὄρει παρεικάζων αὐτὴν, οὕτω φησί· « Διάνοιξον, ὁ Λίβανος, τὰς θύρας σου, καὶ καταφαγέτω πῦρ τὰς κέδρους σου. » Δεδαπάνηται γὰρ ὡς ὑπὸ πυρὸς, ὁ ἐν τοῖς Ἱεροσολύμοις δρυμὸς, τουτέστιν ὁ ἐν αὐτῇ δῆμος. Οὐκοῦν εἰς εἰκόνα δέχεται τῆς Ἰουδαίων Συναγωγῆς, ὡς ἔφην, ἤγουν τῶν ἐξ Ἰσραὴλ, τὴν ἐν τῇ παραβολῇ λεγομένην συκῆν. Ἦλθε δὲ, φησὶ, ζητῶν καρπὸν, καὶ οὐχ εὗρε. Τοῦτο τρίτον ἦλθε· τὰ πρῶτον, διὰ Μωϋσέως καὶ Ἀαρών· δεύτερον, καθ' ὃν ἦν Ἰησοῦς ὁ τοῦ Ναυῆ, καὶ μετ' αὐτὸν οἱ κριταί· τρίτον δὲ μετὰ τούτους, καθ' ὃν γεγόνασιν οἱ μακάριοι προφῆται μέχρις Ἰωάννου τοῦ Βαπτιστοῦ. Ἐν τούτοις γέγονε τοῖς καιροῖς ἄκαρπος ὁ Ἰσραήλ. Ὅσον γὰρ ἦκεν εἰς τὸ ἀγαθὸν θέλημα τοῦ Θεοῦ καὶ Πατρὸς, δῆλον δὲ ὅτι καὶ τοῦ Υἱοῦ, ἀπαράδεκτος ἦν ὡς ἐν σκιαῖς καὶ τύποις λατρεία, ἄκαρπος παντελῶς· τό γε ἦκον εἰς πνευματικὴν εὐοσμίαν. Γέγονεν οὖν καὶ ἀπόβλητος. Καὶ τοῦτο διδάξει λέγων αὐτὸς ὁ Σωτὴρ πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα καὶ Θεόν· « Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, ὁλοκαυτώματα

[60] Exod. xiv, 20. [61] Matth. xiii, 3. [62] Joan. xv, 5. [63] Luc. iii, 9. [64] Osee x, 1. [65] Jerem. xi, 16. [66] Zach. xi, 1. [67] Psal. xxxix, 7.

(1) Imo hoc primo loco Oseas est, non Jeremias.

Digitized by Google

καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας. » Καὶ διὰ Ἡσαΐου· « Τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; Πατεῖν τὴν αὐλήν μου οὐ προσθήσεσθε· ἐὰν φέρητε σεμίδαλιν, μάταιον θυμίαμα, βδέλυγμά μοί ἐστιν. » Ὁ δὴ μισεῖ καὶ βδελύττεται Θεὸς, πῶς ἂν νοηθείη καρπὸς εἶναι ψυχῆς νοητὸς, καὶ πνευματικὸς, καὶ εὐπαράδεκτος αὐτῷ;

A vestris? calcare aulam meam non pergetis Si adferetis similam, vanus est suffitus, abominatio mihi est [68]. » Porro quod Deus odit atque abominatur, quomodo existimabitur animæ fructus intellectualis et spiritualis, et ipsi acceptus?

Ἰδοὺ γυνὴ ἦν, πνεῦμα ἔχουσα ἀσθενείας ἔτη δέκα καὶ ὀκτώ.

(A f. 190, B f. 133) Ἦν δὲ ἐν τῇ Συναγωγῇ γυνὴ ὀκτωκαίδεκα ἔτη ἐξ ἀσθενείας συγκύπτουσα. Ὀνίνησιν οὐ μετρίως τοὺς εὖ φρονοῦντας καὶ τοῦτο· δεῖ γὰρ ἡμᾶς πανταχόθεν τὸ χρήσιμον ἐρανίζεσθαι. Ἔξεστι δὴ οὖν ἐντεῦθεν ἰδεῖν, ὅτι δέχεται πολλάκις τὴν κατά τινων ἐξουσίαν ὁ Σατανᾶς, πλημμελούντων δηλονότι, καὶ τῶν εἰς εὐσέβειαν σπουδασμάτων ἀνθρημένων τὸ ῥᾴθυμον· οὓς δ' ἂν λάβοι, τοιούτους ἐνίησιν ἀῤῥωστήμασιν ἔσθ' ὅτε σωματικοῖς, κολαστὴς ὑπάρχων καὶ ἀπηνής. Δίδωσι δὲ χώραν αὐτῷ πρὸς τοῦτο οἰκονομικώτατα λίαν ὁ παντεπόπτης Θεὸς, ἵνα τῷ τῆς δυσπραγίας βάρει κατηχθισμένοι, μεταφοιτᾷν ἕλοιντο πρὸς τὰ βελτίω. Καὶ γοῦν ὁ σοφώτατος Παῦλος, ἐν Κορίνθῳ τινὰ ἀκαθεβλημένον ἐπὶ πορνείᾳ, παραδέδωκε τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ. Οὐκοῦν ἡ συγκεκυφυῖα γυνὴ τοῦτο λέγεται παθεῖν ἐξ ἀγριότητος διαβολικῆς· ἤτοι, καθάπερ ἔφην, παρεωραμένη παρὰ Θεοῦ δι' οἰκεῖα πταίσματα, ἤγουν τῷ καθ' ὅλου λόγῳ καὶ γενικῷ· παραίτιος γὰρ τοῖς ἀνθρωπίνοις σώμασι τοῦ νοσεῖν ὁ ἀλιτήριος γέγονε Σατανᾶς, ὅτι καὶ δι' αὐτοῦ τὴν παράβασιν τὴν ἐν Ἀδὰμ ἠρτύσθαι φαμὲν, δι' ἧς εἰς ἀσθένειαν καὶ φθορὰν, τὰ τῶν ἀνθρώπων κατεκομίσθη σώματα. Πλὴν ὄντων τῶν ἀνθρώπων ἐν τούτοις, οὐ παρεῖδεν ἡμᾶς ἀγαθὸς ὢν φύσει Θεὸς, μακρᾷ δὴ καὶ ἀφύκτῳ κεκολασμένους νόσῳ τοὺς κάμνοντας, καὶ ἀπήλλαττε τῶν δεσμῶν, λυτικὴν τῶν ἀνθρωπίνων παθῶν ἀποφαίνων εὖ μάλα τὴν ἐν τῷδε τῷ κόσμῳ παρουσίαν τε καὶ ἀνάδειξιν αὐτοῦ· ἀφίκετο γὰρ ἐμορφώσων τὰ καθ' ἡμᾶς πρὸς τὸ ἐν ἀρχαῖς. « Ὁ γὰρ Θεὸς θάνατον οὐκ ἐποίησε, κατὰ τὸ γεγραμμένον, οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων· ἔκτισε γὰρ εἰς τὸ εἶναι τὰ πάντα· καὶ σωτήριοι αἱ γενέσεις τοῦ κόσμου, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς φάρμακον ὀλέθρου· φθόνῳ δὲ διαβόλου, θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον. » — (A f. 190 b) Ἐπ' ἀνατροπῇ θανάτου καὶ φθορᾶς καὶ φθόνου τοῦ καθ' ἡμῶν γεγονότος παρὰ τοῦ πονηροῦ καὶ ἀρχεκάκου δράκοντος, ἡ τοῦ Λόγου γέγονε σάρκωσις, ἤγουν ἀνανθρώπησις· καὶ τοῦτο σαφῶς ἡμῖν, δι' αὐτῶν ἐκφαίνεται τῶν πραγμάτων. Ἠλευθέρου τοίνυν τὴν Ἀβραὰμ θυγατέρα τῆς οὕτω μακρᾶς ἀῤῥωστίας, ἐπιφωνῶν τε καὶ λέγων· « Γύναι, ἀπολέλυσαι τῆς ἀσθενείας σου. » Θεοπρεπεστάτη λίαν ἡ φωνὴ, ἐξουσίας γέμουσα τῆς ἀνωτάτω! νεύματι γὰρ βασιλικῷ τὴν νόσον ἐλαύνει. Προσεπιτίθησι

V. 11. *Ecce mulier quæ habebat spiritum infirmitatis annis decem et octo* (1).

Erat autem in Synagoga mulier jam duodecim annis morbo curvata. Non mediocriter hoc quoque prodest sensatis; oportet enim nos quidquid utile est, undique colligere. Possumus utique hinc cognoscere, potestatem sæpe Satanam accipere adversus aliquos, peccatores videlicet, et qui ad religionis cultum segnes se præbuerunt. Quos autem corripuerit, hos tradit corporalibus interdum morbis utpote carnifex et crudelis. Dat autem illi providentissime hanc facultatem omnituens Deus, ut calamitatis pondere impulsi, ad **316** meliora transgredi velint. Quare et sapientissimus Paulus hominem quemdam Corinthi de fornicatione accusatum tradidit Satanæ in interitum carnis, ut spiritus salvus fieret [69]. Item gibbosa mulier id dicitur passa a sævitia diaboli, vel, ut dixi, ita Deo permittente ob ejus peccata, vel etiam generali aliqua ratione et communi. Cæteroqui causa esse solet morborum humanis corporibus maleficus Satanas: namque illam quoque transgressionem in Adamo structam ab eo dicimus, ex qua in infirmitatem atque corruptelam corpora hominum decciderunt. Verumtamen cum ita homines se haberent, haud nos languentes neglexit bonus suapte natura Deus, longo videlicet et insanabili percussos morbo, sed his vinculis absolvit, suo in hunc mundum adventu et ostensione commodissimam humanis malis medicinam faciens. Venit enim ut naturam nostram in antiquam formam reponeret. « Nam Deus mortem non fecit, uti scriptum est; neque viventium interitu lætatur, quia cuncta ut permanerent creavit. Sana quippe fuere mundi principia, neque iis exitii venenum inerat [70]; sed invidia diaboli mors in mundum introiit [71]. » — Ob destruendam mortem, corruptelam, et improbi malorumque auctoris serpentis invidiam, Verbi facta est incarnatio sive humanatio; idque nobis manifeste factis ipsis apparet. Liberavit itaque Abrahæ filiam tam diutina infirmitate, elata voce inclamans: « Mulier, dimissa es ab infirmitate tua. » Convenientissima Deo vox, supernæque potentiæ plena! nam regali nutu morbum proterret. Manus quoque ei imponit; illa autem, inquit Scriptura, confestim erecta est. Ergo hinc quoque cognoscere licet, Dei virtute atque efficacia sanctam

[68] Isa. I, 12. [69] I Cor. V, 5. [70] Sap. I, 13, 14. [71] Sap. II, 24.

(1) Ante hunc textum in catena lat. D. Thomæ sic. « Cyrillus. Ad expugnationem autem corruptionis et mortis, et invidiæ diaboli contra nos, prodiit incarnatio Verbi; et hoc apparet ex ipsis eventibus, sequitur enim: *Et ecce mulier quæ*, » etc.

Digitized by Google

carnem fuisse præditam. Erat enim caro ipsius Verbi propria, et non alterius ab eo diversi separatique et distincti Filii, sicuti nonnulli irreligiosissime censent.

A δὲ καὶ χεῖρας αὐτῇ· καὶ ἀνωρθώθη, φησὶ, παραχρῆμα. Ἔξεστι δὴ οὖν κἀντεῦθεν ἰδεῖν, ὅτι τὴν τοῦ Θεοῦ δύναμίν τε καὶ ἐνέργειαν ἡ ἁγία πεφόρηκε σάρξ· ἰδία γὰρ ἦν αὐτοῦ, καὶ οὐχ ἑτέρου τινὸς παρ' αὐτὸν ὄντος Υἱοῦ καταμόνας καὶ ἰδικῶς, κατά γε τό τισιν ἀνοσιώτατα δοκοῦν (1).

V. 14. **317** *Respondens autem archisynagogus, indignans quia Sabbato curasset Jesus*, etc.

Atqui cur non magis oportebat mirari Christum, qui ea ligatura filiam Abrahæ liberaverat? Vidisti hanc præter omnium exspectationem morbo resolutam. Haud vidisti orantem medicum, neque ut precum fructum ab alio accipientem infirmæ sanationem, sed potestativum opus facientem. Cum sis archisynagogus, profecto nosti Moysis historiam: B nosti hunc sæpissime orasse, nihilque omnino propria virtute effecisse. Nam et cum leprosa facta esset Maria, propterea quod leve quid dixerat improbandi causa, et quidem vere; Uxorem enim, ait, Æthiopissam duxit; non tamen Moyses illo morbo potentior fuit, sed Deo supplicans, ait: « Rogo te, Deus, ut illam sanitati restituas [1]. » Neque idcirco, eo licet supplicante, remissa est Mariæ peccati pœna. Unusquisque vero propheta, quidquid omnino operaretur, cum Dei virtute id egisse conspicitur. Nunc mecum animadverte Servatorem omnium Christum, haud preces fundere, sed suæ virtuti efficaciam operis attribuere, dum voce sanat manusque contactu. Nam cum et Dominus sit et Deus, æquipollentem sibi, ad morborum depulsionem, C propriam carnem demonstrat. Oportuisset itaque hinc demum mysterii, quod in eo latebat, vim cognoscere. — Si ergo ingeniosus fuisset archisynagogus, intellexisset utique quis quantusque esset Servator, tam insperato prodigio edito, neque more vulgi locutus esset; neque sanantibus exprobrasset legis transgressionem, id est, otiandi in Sabbato statutam traditionem. Atqui sanare aliquem, inquis, opera est. Sed quisnam lædi legem putet, si forte Deus etiam Sabbato misericors fuerit? Cuinam præcepit otiari in Sabbato, sibine potius an tibi? Si ipsi sibi, ne ergo res nostras Sabbato regat: cesset solis cursus, pluviæ non decidant, sicut aquarum fontes et fluminum perennium fluxus, ventorumque opportunitates. **318** Sin tibi potius D otiari mandavit, ne Deum incuses, quod Sabbato quoque nonnullis, pro potestate sua, misericordiam impertitus sit. Cur vero demum otiari jussit Sabbato? Nempe, inquit, ut requiescat servus tuus, et bos tuus, et jumentum tuum, et quodlibet pecus tuum. Cum ergo is aliquibus requiem tribuit, morbis eos liberans, tu vero id prohibes, manifeste legem Sabbati violas, dum non sinis eos requiescere, qui doloribus morbisque vexantur, et quos Satanas alligavit.

Sed ingratæ Synagogæ princeps, postquam vidit mulierem jam pridem membris impeditam, neque

Ἀποκριθεὶς δὲ ὁ ἀρχισυνάγωγος, ἀγανακτῶν ὅτι τῷ Σαββάτῳ ἐθεράπευσεν ὁ Ἰησοῦς, κ. τ. λ.

(A f. 190 b) Καίτοι πῶς οὐκ ἔδει μᾶλλον θαυμάσαι Χριστὸν ἀπολύσαντα τῶν δεσμῶν τὴν Ἀβραὰμ θυγατέρα; Εἶδες αὐτὴν παραδόξως τοῦ πάθους ἀπηλλαγμένην. Οὐκ εἶδες εὐχόμενον τὸν ἰατρὸν, οὐχ ὡς αἴτημα παρ' ἑτέρου λαβόντα τῆς καμνούσης τὴν ἴασιν, ἀλλ' ἐξουσίας ἔργον ἀποτελέσαντα. Ἀρχισυνάγωγος ὤν, τὰ Μωϋσέως οἶσθά που γράμματα· εἶδες αὐτὸν εὐχόμενον πλειστάκις, καὶ ἐξ ἰδίας δυνάμεως οὐδὲν ἐνεργήσαντα παντελῶς. Καὶ τοῦτο λεπρωθείσης τῆς Μαριὰμ διὰ τὸ εἰπεῖν τι μόνον κατ' αὐτοῦ ἐν καταγνώσεως μέρει, καὶ τοῦτο ἀληθές· Γυναῖκα γὰρ, φησὶν, Αἰθιόπισσαν ἔλαβεν ἑαυτῷ· οὐ γέγονε κρείττων τοῦ κακοῦ, προσέπιπτε δὲ μᾶλλον τῷ Θεῷ, λέγων· « Ὁ Θεὸς, δέομαί σου, ἴασαι αὐτήν. » Καὶ ὅμως οὐδὲ ἱκετεύοντος συνεχωρήθη αὐτῇ τῆς ἁμαρτίας τὸ ἐπιτίμιον. Καὶ ἕκαστος δὲ τῶν ἁγίων προφητῶν, εἴ πού τι καὶ ἐνήργηκεν ὅλως, ἐν δυνάμει Θεοῦ τοῦτο ποιήσας ὁρᾶται. Ἐνταῦθα δέ μοι βλέπε τὸν τῶν ὅλων Σωτῆρα Χριστὸν οὐκ εὐχὴν ἀνατείνεσθαι, ἀλλὰ τῇ ἑαυτοῦ δυνάμει ἀνατεθεικότα τοῦ πράγματος τὴν κατόρθωσιν, φωνῇ θεραπεύοντα, καὶ χειρὸς ἁφῇ. Κύριος γὰρ ὢν καὶ Θεὸς, ἰσοδυναμοῦσαν ἑαυτῷ, πρός γε τὸ δύνασθαι, φημὶ, νοσημάτων ἐλευθεροῦν, τὴν ἰδίαν ἀπέφηνε σάρκα. Ἔδει δὲ οὖν ἐντεῦθεν συνεῖναι λοιπὸν τοῦ κατ' αὐτὸν μυστηρίου τὴν δύναμιν. — (B f. 134) Οὐκοῦν εἴπερ τις ἦν ἀγχίνους ὁ ἀρχισυνάγωγος, ἐνενόησεν ἂν τίς τε καὶ ὅσος ἐστὶν ὁ Σωτὴρ, ἐκ τῆς οὕτω παραδόξου θεοσημείας, καὶ μὴ ταὐτὰ λέγειν τοῖς ὄχλοις, μηδὲ τοῖς θεραπευομένοις ἐγκαλεῖν τοῦ νόμου τὴν λύσιν, τῆς κατὰ τὸ Σάββατον ἀργίας τὴν παράδοσιν. Ἐργάσασθαι γὰρ ὅλως ἐστὶ τὸ θεραπεύεσθαι· ἀδικεῖται δὲ νόμος, Θεοῦ κατοικτείροντος καὶ ἐν ἡμέρᾳ Σαββάτου; Τίνι προστέταχεν ἀργεῖν ἐν Σαββάτῳ; Ἑαυτῷ μᾶλλον, ἢ σοί; Εἰ μὲν οὖν ἑαυτῷ, μὴ διοικείτω τὰ καθ' ἡμᾶς ἐν Σαββάτῳ· ἀργείτω καὶ ὁ τοῦ ἡλίου δρόμος, μὴ πιπτέτωσαν ὗετοὶ, στήτωσαν αἱ τῶν ὑδάτων πηγαὶ, καὶ ποταμῶν ἀεννάων φοραὶ, καὶ ἀνέμων χρεῖαι. Εἰ δέ σοι προστέταχεν ἀργεῖν, μὴ ἐγκάλει Θεῷ, τὸ καὶ ἐν Σαββάτῳ διδόναι τισὶ μετ' ἐξουσίας τὸν ἔλεον. Διὰ τί δὲ ὅλως καὶ ἀργεῖν ἐκέλευσεν ἐν Σαββάτῳ; Ἵνα, φησὶ, ἀναπαύσηται ὁ παῖς σου, καὶ ὁ βοῦς σου, καὶ τὸ ὑποζύγιόν σου, καὶ πᾶν κτῆνός σου. Ὅταν οὖν ἀναπαύσῃ τινὰς, νοσημάτων αὐτοὺς ἀνιείς, εἶτα τοῦτο κωλύῃς αὐτὸς, ἔλυσας ἐναργῶς τὸν ἐπὶ τῷ Σαββάτῳ νόμον, οὐκ ἐῶν ἀναπαύεσθαι τοὺς ἐν ἀλγήμασιν ὄντας καὶ νόσοις, οὓς ἔδησεν ὁ Σατανᾶς.

(A f. 191 b) Ἀλλ' ὁ τῆς ἀχαρίστου Συναγωγῆς ἀρχισυνάγωγος, ἐπειδὴ εἶδε τὴν τὰ μέλη δεδεμένην

[1] Num. XII, 10 seqq.

(1) Contra Nestorianos hæc dici manifestum est.

Digitized by Google

γυναῖκα, καὶ ὀρθοποδεῖν μὴ δυναμένην, ἀλλ' εἰς γῆν καὶ ἐπὶ γαστέρα συννεύουσαν, ὑπὸ Χριστοῦ ἠλεημένην, καὶ ἁφῇ μόνῃ τέλεον ἀνορθωθεῖσαν, καὶ τὴν τοῖς ἀνθρώποις οἰκείαν πορείαν ἐν ὀρθίῳ τῷ σχήματι ὁδεύουσαν, καὶ ὑπὲρ τούτου τὸν Θεὸν μεγαλύνουσαν, ἄχθεται τῇ ταύτης λύσει, καὶ ἐπὶ τῇ δόξῃ τοῦ Κυρίου πυρπολούμενος, δεσμεῖται τῷ φθόνῳ· καὶ ἐπηρεάζει τῷ θαύματι, καὶ τὸν Κύριον ἀφεὶς τὸν ἐλέγξαντα τὴν τούτου ὑπόκρισιν, τοῖς ὄχλοις ἐπιτιμᾷ· ὥστε δῆξαι ὅτι διὰ τὸ Σάββατον ἀγαναχτεῖ· ἵνα πείσῃ τοὺς ἐν ταῖς ἄλλαις ἡμέραις διεσκορπισμένους, καὶ ταῖς ἐργασίαις σχολάζοντας, μηδὲ ἐν Σαββάτῳ θεατὰς εἶναι καὶ θαυμαστὰς τῶν τοῦ Κυρίου τερατουργημάτων, μή ποτε καὶ πιστεύσωσιν. Ἀλλ' εἰπὲ ἡμῖν, ὦ βασκανίας ἀνδράποδον, ὁποῖον ἔργον ὁ νόμος ἐκώλυσεν, ὁ εἰπών σοι· « Ἀπὸ παντὸς ἔργου χειρωκμήτου ἀποστήσῃ τῇ ἡμέρᾳ τοῦ Σαββάτου; » Ἆρα τὸ διὰ στόματος καὶ διὰ λόγου; Παῦσαι γοῦν ἐσθίων, καὶ πίνων, καὶ ὁμιλῶν, καὶ ψάλλων ἐν Σαββάτῳ. Καὶ εἰ μὴ ταῦτα πράττεις, μηδὲ τὸν νόμον ἀναγινώσκεις, ἵνα τί σοι καὶ τὸ Σάββατον; Ἀλλὰ τὸ διὰ χειρῶν. Καὶ ποῖον διὰ χειρῶν ἔργον, τὸ φωνῇ γυναῖκα ἀνορθῶσαι; Εἰ δ' ὅτι ἔργῳ ἡ γυνὴ τεθεράπευται τοῦτο ἐργασίαν καλεῖς, ἔργον ἐργάζῃ καὶ σὺ τὴν θεραπείαν μεμφόμενος. Ἀλλ' εἰπέ, φησί· Ἀπολέλυσαι τῆς ἀσθενείας· καὶ ἀπολέλυται. Τί δέ; οὐ καὶ σὺ λύεις τὴν ζώνην ἐν Σαββάτῳ; οὐ τῶν ποδῶν ἐκλύεις τὸ ὑπόδημα; οὐ τὴν στρωμνὴν στρωννύεις; οὐ τὴν χεῖρα ἀποσμήχεις ῥυπῶσαν ἐν ἐδέσμασι; Πῶς οὖν ἐφ' ἑνὶ μόνῳ λόγῳ τῷ « Ἀπολέλυσαι » ἀγαναχτεῖς; Ὁποῖον δὲ καὶ ἔργον ἡ γυνὴ μετὰ τὸν λόγον εἰργάσατο; Ἆρά γε χαλκευτικῆς, ἢ τεκτονικῆς, ἢ οἰκοδομικῆς ἐφήψατο; Ἆρα ἐν αὐτῇ τῇ ἡμέρᾳ ὑφαντικῆς ἢ ἱστουργικῆς ἔργον μετεχειρίσατο; Ἀλλ' ἀνωρθώθη, φησί· ἔργον γὰρ ὅλως ἐστὶ τὸ θεραπεύεσθαι. Ἀλλὰ γὰρ οὐ διὰ τὸ Σάββατον ἀληθῶς ἀγαναχτεῖς, ἀλλὰ τὸν Χριστὸν βλέπων τιμώμενον καὶ ὡς Θεὸν προσκυνούμενον, μαίνῃ καὶ ἀποπνίγῃ, καὶ τῇ βασκανίᾳ κατατήκῃ· καὶ ἕτερα μὲν ἐν τῇ καρδίᾳ ἐνδομυχᾷς, ἄλλον δὲ σκήπτῃ καὶ προφασίζῃ. Ὅθεν καὶ χαριέστατα ὑπὸ τοῦ Κυρίου τοῦ εἰδότος τοὺς ματαίους σου διαλογισμοὺς ἐλέγχῃ· καὶ τὴν ἁρμόζουσάν σοι δέχῃ προσηγορίαν, *ὑποκριτὴς* ἀκούσας καὶ *εἴρων* καὶ *ὕπουλος*.

A pedibus consistere valentem, sed humi et in ventrem curvam, nunc demum a Christo misericordiam adeptam, et unico tactu perfecte sanatam, et consueto hominibus incessu, figura erecta, ambulantem, ideoque Deum magnificantem; Synagogæ, inquam, princeps moleste fert hanc sanitatem, et Domini gloriæ irascens, invidia corripitur, calumniatur miraculum, omissoque Domino qui ejus hypocrisim coarguturus erat, turbas objurgat, ut videatur Sabbati gratia stomachari: re tamen vera, ut suadeat hominibus, qui diebus aliis dispersi negotiis propriis vacabant, quominus ne Sabbato quidem spectatores fiant et admiratores Domini miraculorum, atque ita ad fidem aliquando accedant. Sed age dic nobis, o livoris mancipium, B quodnam operis genus lex tibi vetuit, quæ ait: « Omni opere manuali die Sabbati abstinebis [71]? » Num oris opus aut sermonis intelligit? A comedendo igitur cessa, et a bibendo, sermocinando, atque etiam psallendo in Sabbato. Quod si hoc non facis, neque legis lectioni vacas, cur tibi Sabbatum? At opus manuale vetitum dicis. Quale vero est manuale opus, mulieris vocali jussu erectio? Quod si, quia revera mulier sanata fuit, ea res a te appellatur opus, tu quoque opus facis dum hanc reprehendis sanationem. Atqui ais, dixit ille: Dimissa esto ab infirmitate, et dimissa est. **319** Quid porro? Nonne et tu zonam solvis Sabbato? nonne pedum calceamenta exuis? nonne lectum sternis? nonne C manum eduliis inquinatam abstergis? Cur ergo huic uni vocabulo « Dimissa esto » irasceris? Quodnam vero opus et ipsa mulier post illa verba egit? Num fabrile, aut lignarium, aut murarium tractavit? Num istac ipsa die telam aut licium attigit? At erecta est, inquit: prorsus autem in operibus reputatur sanatio. Verum enimvero tu haud propter Sabbatum reapse irasceris, sed quia Christum cernis honore affici et tanquam Deum adorari, furis, angeris, et invidia tabescis: et aliud quidem corde celas, aliud simulas et prætexis. Quare egregie a Domino argueris, qui stultas tuas cogitationes introspicit, et tibi congruas lucraris appellationes, *hypocrita* audiens, *simulator*, atque *subdolus*.

Ὑποκριτά, ἕκαστος ὑμῶν τῷ Σαββάτῳ οὐ λύει τὸν βοῦν αὐτοῦ; κ. τ. λ. *Ταύτην δὲ θυγατέρα Ἀβραὰμ οὖσαν*, κ. τ. λ.

D V. 15, 16. *Hypocrita, unusquisque vestrum Sabbato non solvit bovem suum?* etc. *Hanc autem filiam Abrahæ*, etc.

(A f. 192) Σὺ [cod. οὐ pro σὺ] θαυμάζεις γὰρ, φησὶ, τὸν λύσαντα τὴν τοῦ Ἀβραὰμ θυγατέρα· ἀλλὰ βοῦν μὲν καὶ ὄνον ἀναπαύεις, καμάτων αὐτοὺς ἀνιεὶς καὶ ἀποφέρων ἐφ' ὕδωρ· σωζομένου δὲ παραδήξως ἀνθρώπου νενοσηκότος, καὶ Θεοῦ κατοικτείραντος, ἀμφοτέροις ἐπιτιμᾷς ὡς παρανομήσασι, τῷ μὲν ὅτι τεθεράπευκε, τῷ δὲ ὅτι τοῦ νοσεῖν ἀπηλλάττετο. — (A f. 192) Θέα μοι τὸν ἀρχισυνάγωγον, ὅπως ἀτιμότερος αὐτῷ τοῦ κτήνους

Tu miraris, inquit, illum qui Abrahæ solvit filiam; simulque bovi et asino quietem indulges, laboribus eos liberans et potatum ducens: nunc homine mirabiliter incolumi, Deoque benigne se gerente, ambos objurgas uti transgressores, hunc quia sanavit, illam quia morbo liberata fuit. — Specta mihi archisynagogum, quomodo vilior sit apud illum jumento homo, siquidem bovem atque asinum Sabbato cura dignatur, curvam autem mulierem non vult, Christo

[71] Deut. xvi, 15.

Digitized by Google

invidens, infirmitate liberari, neque naturalem recuperare figuram. — Sed Synagogæ lividus princeps erectam a Domino mulierem, quadrupedis potius instar deorsum repere volebat, quam proprium hominum recipere habitum : modo Christus non magnificaretur, neque Deus actibus suis demonstraretur. Coarguitur ergo archisynagogus hypocrita, qui bruta quidem animalia Sabbato ad aquam deducere paratus erat, mulierem vero, non magis genere quam fide Abrahæ filiam, haud **320** æquum censebat infirmitatis vinculo solvi; sed liberationem a morbo transgressionem esse legis judicabat.

A ἐστὶν ὁ ἄνθρωπος, εἴ γε βοῦν καὶ ὄνον ἐν Σαββάτῳ προνοίας ἀξιοῖ· τὴν δὲ συγκεκυφυῖαν γυναῖκα οὐ βούλεται βασκαίνων Χριστῷ ἀπαλλαγῆναι τῆς ἀσθενείας, οὐδὲ τὸ κατάλληλον ἀπολαβεῖν σχῆμα. — (A f. 192) Ἀλλ' ὁ τῆς Συναγωγῆς ἄρχων ὁ βάσκανος ἐβούλετο τὴν ἀνορθωθεῖσαν γυναῖκα, κατὰ τὰ τετράποδα μᾶλλον κάτω κεκυφέναι, ἢ τὸ οἰκεῖον ἀνθρώποις ἀπολαβεῖν σχῆμα· μόνον ἵνα μὴ Χριστὸς μεγαλύνηται, μηδὲ Θεὸς εἶναι ὑπὸ τῶν πραγμάτων κηρύττηται. Ἐλέγχεται μέν τοι ὁ ἀρχισυνάγωγος ὑποκριτὴς ὤν, εἴ γε τὰ μὲν ἄλογα ζῶα ἐν Σαββάτῳ ἐπὶ τὸ ὕδωρ ἀπάγοι, τὴν δὲ γυναῖκα, τὴν οὐ μᾶλλον διὰ τὸ γένος ὅσον διὰ τὴν πίστιν Ἀβραὰμ οὖσαν θυγατέρα, οὐκ ἀξιοῖ λυθῆναι τοῦ δεσμοῦ τῆς ἀσθενείας· ἀλλὰ τὴν ἐλευθερίαν τῆς νόσου, παράβασιν κρίνει τοῦ Σαββάτου.

V. 17. *Erubescebant omnes adversarii ejus.*

Pudebat eos qui corrupta mentis judicia gerebant; qui in angularem lapidem impegerant, ideoque confracti fuerant; qui medico adversabantur; qui sapienti figulo fracta vasa instauranti resistebant : nec ullum eis responsum supererat, sed ipsi sibi irrefutabiles accusatores erant, muti effecti prorsus, et quid jam loquerentur ignari. Adeo audax illorum os oppilaverat Dominus! Turbæ autem, miraculorum utilitatem expertæ, gestiebant. Namque operum fama et gloria quæstionem omnem et ambiguitatem haud malitiose inquirentibus dissolvebat.

B *Κατῃσχύνοντο πάντες οἱ ἀντικείμενοι αὐτῷ.*

(A f. 192) Κατῃσχύνοντο μὲν οἱ διεφθαρμένας τὰς κρίσεις ἐκφέροντες· οἱ τῷ ἀκρογωνιαίῳ προσκόπτοντες, καὶ διὰ τοῦτο συνθλώμενοι· οἱ τῷ ἰατρῷ ἀνθεστηκότες· οἱ τῷ σοφῷ κεραμεῖ τὴν τῶν διαστραφέντων σκευῶν ἐπανόρθωσιν ποιουμένῳ ἀντιπίπτοντες· καὶ οὐδὲ μία αὐτοῖς ἀπόκρισις ὑπελείπετο· ἀλλ' ἦσαν αὐτοὶ ἑαυτοῖς ἔλεγχος ἀναντίῤῥητος, ἐπιστομιζόμενοι καὶ ἀποροῦντες ὅ τι ἄρα καὶ φθέγξονται. Οὕτως αὐτῶν ἀπέῤῥαψε τὸ θρασὺ στόμα ὁ Κύριος! οἱ δὲ ὄχλοι, εἷα ὠφελούμενοι ἐκ τῶν σημείων, ἔχαιρον· τὸ γὰρ ἔνδοξον τῶν ἔργων καὶ περιφανὲς ἔλυε πᾶσαν ζήτησιν καὶ ἀμφιβολίαν τοῖς μὴ κακοήθως ζητοῦσιν.

V. 19. *Simile est (regnum Dei) grano sinapis.*

Pulchra similitudo, neque non idonea ad demonstrandum ea quæ accidebant, id est, quæ in divina C sacraque Evangelii prædicatione fiebant, quam etiam regnum Dei appellat; etenim per Evangelium lucramur, ut una cum Christo aliquando regnemus. Et Dei quidem regnum, ad paucos olim redactum, dilatatum postea est, atque ad cunctas gentes propagatum. Prius enim in sola Judæa prædicatum fuit, ubi etiam pauci valde exstiterunt beati discipuli. Verumtamen non credente Israele, sanctis apostolis mandavit dicens : « Euntes docete omnes gentes [74], » et reliqua. Sicut ergo sinapis semen cæteris olerum seminibus longe minus est ad molem quod attinet, alte tamen consurgit, ultra cujusvis oleris mensuram, ita ut passerculorum multorum habitaculum fiat; ita etiam cœlorum regnum, id est, nova et sacra ac salutaris prædicatio, per D quam ad optimum quodvis opus deducimur, et eum qui suapte natura vereque Deus est cognovimus; etsi apud paucos initio erat, et breve veluti atque contractum, deinde in amplitudinem excrevit, ita ut receptui sit confugientibus illuc, qui **321** passerculis etiam comparantur, quia nimirum res nostræ Deo comparatæ exigui valde moduli sunt. Data fuit quidem Israelis filiis per Moysen lex : sed quia impossibile erat propter hærentem illic umbram materialemque cultum, salvari mundi incolas, necessario deinde evangelica Servatoris exorta est prædicatio, atque universo orbe diffusa.

Ὅμοία ἐστὶ κόκκῳ σινάπεως.

(A f. 193) Εὐφυὲς τὸ παράδειγμα, καὶ οὐκ ἀνικάνως ἔχον εἰς παράστασιν τῶν συμβεβηκότων, ἤγουν γενομένων ἐπὶ τῷ θείῳ τε καὶ ἱερῷ κηρύγματι, φημὶ δὴ τῷ εὐαγγελικῷ, ὃ δὴ καὶ βασιλείαν ὀνομάζει τοῦ Θεοῦ· δι' αὐτοῦ γὰρ κερδαίνομεν τὸ συμβασιλεῦσαι Χριστῷ. Καὶ ἦν μὲν ἐν ἀρχαῖς παρ' ὀλίγοις καὶ συνεσταλμένον, ἐπλατύνθη δὲ καὶ διέδραμε μετὰ ταῦτα εἰς πάντα τὰ ἔθνη. Ἐλαλήθη μὲν γὰρ κατὰ μόνην τὴν Ἰουδαίαν, ἐν ᾗ καὶ εὐαρίθμητοι παντελῶς γεγόνασιν οἱ μακάριοι μαθηταί· ἀπειθησάντος δὲ τοῦ Ἰσραὴλ, τοῖς ἁγίοις ἀποστόλοις ἐνετέλλετο λέγων· « Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, » καὶ τὰ ἑξῆς. Ὥσπερ οὖν τὸ σπέρμα τοῦ σινάπεως, τοῦ μὲν ἑτέρων λαχανικῶν σπερμάτων ἡττᾶται λίαν εἰς τὸ ἐν μεγέθει ποσὸν, ἀνίσχει γε μὴν εἰς ὕψος, λαχανοπρεποῦς ἐπέκεινα μέτρου, ὥστε καὶ στρουθίων ἐναύλισμα γενέσθαι πολλῶν· οὕτω καὶ ἡ βασιλεία τῶν οὐρανῶν, τουτέστι τὸ νέον τε καὶ ἱερὸν καὶ σωτήριον κήρυγμα, δι' οὗ πρὸς πᾶν ὁτιοῦν τῶν ἀρίστων ἀνδραγαθημάτων πεποδηγήμεθα, καὶ φύσει τε καὶ ἀληθῶς ὄντα Θεὸν ἐγνώκαμεν, ὡς παρ' ὀλίγοις μὲν ἦν ἀρχαῖς, καὶ οἷον βραχὺ καὶ συνεσταλμένον, προβέβηκε δὲ μετὰ τοῦτο πρὸς αὔξησιν· ὥστε καὶ εἰς σκέπην γενέσθαι τοῖς προσιοῦσιν αὐτῷ, οὓς δὴ καὶ στρουθίοις παρεικαστέον, Θεῷ γὰρ τὰ καθ' ἡμᾶς ἐν ὀλίγοις κομιδῇ μέτροις εἰσίν. Ἐδόθη μὲν γὰρ τοῖς ἐξ Ἰσραὴλ ὁ διὰ Μωϋσέως νόμος· ἐπειδὴ δὲ ἦν ἀνέφικτον διὰ τῆς ἐν αὐτῷ σκιᾶς, καὶ σωματικῆς λατρείας, διασωθῆναι δύνασθαι τοὺς ἐπὶ τῆς γῆς, λοιπὸν ἀναγκαίως τὸ εὐαγγελικὸν καὶ σωτήριον ἀνέφυ κήρυγμα, καὶ εἰς ὅλην ἐκτέταται τὴν ὑπ' οὐρανόν.

[74] Matth. XXVIII, 19.

Digitized by Google

(A f. 193 b) Τοῦτο ἡμῖν αἰνιγματωδῶς τὸ Μωσαϊκὸν ἐσήμαινε γράμμα· ἔχει δὲ οὕτως· « Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων· Ποίησον σεαυτῷ δύο σάλπιγγας ἐλατὰς, ἀργυρᾶς ποιήσεις αὐτὰς, καὶ ἔσονταί σοι ἀνακαλεῖν τὴν συναγωγὴν, καὶ ἐξαίρειν τὰς παρεμβολάς. » Καὶ μεθ' ἕτερα· « Καὶ οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς σαλπιοῦσι ταῖς σάλπιγξι· καὶ ἔσται ὑμῖν νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν. » Ἵν' ἐντεῦθεν ἐννοῇς καὶ τὴν τοῦ νόμου παιδαγωγίαν, καὶ τελείωσιν τὴν διὰ Χριστοῦ διὰ πολιτείας εὐαγγελικῆς καὶ μυσταγωγίας τῆς ὑπὲρ σκιὰν καὶ τύπους. Σάλπιγξ δὲ οὖν ὁ νόμος· ὁμοίως δὲ καὶ τὸ εὐαγγελικὸν καὶ σωτήριον κήρυγμα· οὕτω γὰρ αὐτοῦ διαμνημονεύει καὶ ὁ προφήτης Ἡσαΐας, λέγων· « Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, σαλπιοῦσι τῇ σάλπιγγι τῇ μεγάλῃ. » Μεγάλη γὰρ ὄντως ἀνεφώνησε σάλπιγξ, ἡ διά γε τῶν ἁγίων ἀποστόλων, οὐκ ἀθετοῦσα τὴν πρώτην, συνεισδεχομένη δὲ καὶ αὐτήν· διὰ γὰρ νόμου καὶ προφητῶν, ἐμπεδοῦσιν ἀεὶ τὸν ἐπὶ Χριστῷ λόγον, μαρτυρίαις χρώμενοι ταῖς ἀρχαιοτέραις. Οὐκοῦν δύο μὲν αἱ σάλπιγγες, ἀργυραῖ δὲ καὶ ἐλαταί· τοῦ μὲν ἀργύρου κατασημαίνοντος τὴν φαιδρότητα, λαμπρὸς γὰρ ἐστιν ὁ παρὰ Θεοῦ λόγος· τοῦ γε μὴν ἐλάσματος ὑποφαίνοντος, ὅτι προβήσονται καὶ προκόψουσιν αἱ ἱεραί τε καὶ θεῖαι σάλπιγγες, ἤγουν τὸ νέον τε καὶ ἀρχαῖον κήρυγμα· προκόπτει γὰρ ἀεί πως τὸ ἐλαυνόμενον, καὶ εἰς εὖρός τε καὶ μῆκος ἐκτείνεται· ἐμελλον δὲ προκόπτειν, ἐπιλάμψαντος τοῦ Χριστοῦ· ὁ μὲν παλαιὸς νόμος, εἰς θεωρίαν πνευματικὴν· τὸ δὲ κήρυγμα τὸ εὐαγγελικὸν, εἰς τὸ πάσης κατευρυνθήσεσθαι τῆς ὑπ' οὐρανόν. Πλὴν τοῖς ἱερεῦσιν ὁ νόμος ἐδίδου τὸ χρῆναι ταῖς σάλπιγξι διατάττειν τοὺς λαούς· δέδοται γὰρ παρὰ Χριστοῦ τὸ διακηρύττειν αὐτὸν καὶ τὰ αὐτοῦ θεσπίσματα, τοῖς τῶν νέων κηρυγμάτων ἱερουργοῖς, δῆλον δὲ ὅτι τοῖς ἁγίοις ἀποστόλοις. Ὅτι δὲ ἔμελλεν εἰς αὔξησιν ὥσπερ ἀναπηδᾶν, βραχὺς ὢν ἐν ἀρχαῖς τῶν εὐαγγελικῶν κηρυγμάτων ὁ λόγος, ἀταλαίπωρον ἰδεῖν, προηγορευκότος Θεοῦ διὰ φωνῆς Ἡσαΐου περὶ αὐτοῦ, ὅτι « Ἐνεπλήσθη ἡ σύμπασα τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσης. » Θαλάσσης γὰρ δίκην ἐκκέχυται πανταχοῦ τὸ σωτήριον κήρυγμα, καὶ πανσθενεστάτην ἔχει τὴν ἐμβολήν· καὶ τοῦτο πάλιν ἡμῖν διασαφεῖ λέγων ὁ τῶν ὅλων Θεὸς, διὰ προφήτου φωνῆς· « Καὶ κυλισθήσεται ὡς ὕδωρ, κρῖμα· καὶ δικαιοσύνη, ὡς χείμαρρος ἄβατος. » *Κρῖμα* μὲν γὰρ καὶ *δικαιοσύνην*, τὸ εὐαγγελικὸν ὀνομάζει κήρυγμα· οὕτω γε μὴν αὐτὸ κατακυλισθήσεσθαι διεβεβαιοῦτο τῆς ὑπ' οὐρανὸν, ὡς ὕδωρ καὶ χειμάρρουν· οὗ τὰς ὁρμὰς ἐγκόψειεν ἂν οὐδεὶς καταχεομένου λαύρως.

A Id nobis ænigmatico modo Mosaicæ significant litteræ, quæ ita se habent : Dixitque Dominus Moysi : « Fac tibi duas tubas argenteas ductiles, quibus convocare possis multitudinem, quando movenda sunt castra [75]. » Et infra : « Filii autem Aaronis sacerdotes clangent tubis ; eritque hoc legitimum sempiternum in generationibus vestris [76] ; » nempe ut hinc intelligas et legis pædagogatum, et perfectionem in Christo per evangelicam vitam, et magisterium quod umbram figurasque excedit. Tuba ergo lex est pariterque evangelica quoque Servatoris prædicatio. Sic enim hujus meminit etiam Isaias propheta, dicens : « Et erit die illa, tuba magna clangent [77]. » Grandis reapse insonuit tuba per sanctos apostolos, haud sane priorem legem destruens, sed una secum B complectens. Nam hi lege atque prophetis confirmant semper Christi doctrinam, dum ipsorum priscis testimoniis utuntur. Duæ sunt igitur tubæ, et quidem argenteæ ductilesque : ita ut argentum lætitiam significet, splendidus enim Dei sermo est : ductilis autem natura ejusdem innuat, fore ut dilatentur ac longius provehantur sacræ divinæque tubæ, id est nova simul et vetus doctrina. Re etenim vera semper quodammodo proficit, id quod dilatatur lateque et longe protenditur. Futurum autem erat ut utraque doctrina excresceret, Christo apparente ; vetus quidem lex in spiritalem sensum excrevit ; evangelica autem prædicatio, sua per universum orbem dilatatione. Verumtamen sacerdotibus dabat lex tubarum usum, ob regendum populum ; Christus autem ut se prædicarent C **322** doctrinamque suam, novæ prædicationis sacerdotibus, id est sanctis apostolis, attribuit. Quod vero incrementum quodammodo esset capturus, qui initio exiguus erat sermo evangelicus, facile est cognoscere, Deo per Isaiam sic prænuntiante : « Repleta est universa terra scientia Domini, sicut aquæ maris operientes [78]. » Enimvero maris instar quaque versus salutaris prædicatio effunditur, et validissimam facit impressionem. Atque hoc rursus declarat nobis prophetæ ore universalis Deus : « Et volvetur quasi aqua judicium, et justitia quasi torrens intransibilis [79]. » Nam *judicium* atque *justitiam* nominat evangelicam prædicationem ; quam sic per orbem D volvendam affirmabat, ceu aquam atque torrentem, cujus impetum violenter decurrentem nemo potest infringere.

Ὁμοία ἐστὶ ζύμῃ, κ. τ. λ.

(A f. 194 b, B f. 135) Ὁ αὐτὸς δ' ἂν γένοιτο λόγος, καὶ περὶ τοῦ ζύμῃ παραβεβλῆσθαι τὴν βασιλείαν τοῦ Θεοῦ· μικρὰ μὲν γὰρ ἡ ζύμη, πλὴν τοῦ παντὸς φυράματος ἀμελητὶ καταδράττεται, καὶ τὴν ἰδίαν αὐτῷ ποιότητα καταμίσγει γοργῶς. Τοιοῦτόν τι καὶ ἐν ἡμῖν ὁ θεῖος ἐργάζεται λόγος· γεγονὼς

V. 21. *Simile est fermento*, etc.

Simili modo dicendum est de fermento quod cum regno Dei comparatur. Etenim tenue sane fermentum est, nihilo tamen minus universam sine mora massam corripit, suamque vivaciter qualitatem immiscet. Ilujusmodi quid in nobis quoque divinus operatur sermo : namque ad nos delatus, sanctos

[75] Num. x, 2. [76] ibid. 8. [77] Isa. xxvii, 13. [78] Isa. xi, 9. [79] Amos v, 24.

Digitized by Google

inculpabilesque efficit; et in mentem et cor receptus, spirituales ostendit; ut, quod ait Paulus [80], universus spiritus noster et corpus et anima sine querela servetur in die Domini Jesu Christi. Nam quod in mentes nostras divinus influat sermo, patefaciet his verbis universalis Deus per unum de prophetis : « Ecce dies veniunt, dicit Dominus, et complebo super domum Israelis, et super domum Judæ novum fœdus, tradens leges meas mentibus illorum, et in eorumdem cordibus scribens [81]. » In mentem igitur atque cor, intellectuale divinumque fermentum recipiamus; ut per tam sacram sanctamque rem spiritualiter azymi inveniamur. Etenim in mentem repens evangelici magisterii vis vivifica, animam simul et corpus in suam veluti qualitatem convertit.

A γὰρ ἐν ἡμῖν, ἁγίους καὶ ἀμώμους ἀποτελεῖ· καὶ εἰς νοῦν καὶ καρδίαν εἰσδεδυκὼς, πνευματικοὺς ἀποφαίνει· ἵν' ὡς ὁ Παῦλός φησι, ὁλόκληρον ἡμῶν τὸ πνεῦμα, καὶ τὸ σῶμα, καὶ ψυχὴ ἀμέμπτως τηρηθείη ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ. Ὅτι γὰρ ἐν τῷ βάθει τῆς διανοίας ἡμῶν ὁ θεῖος εἰσχειται λόγος, σαφηνιεῖ λέγων ὁ τῶν ὅλων Θεὸς δι' ἑνὸς τῶν προφητῶν· « Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινὴν, διδοὺς νόμους μου· εἰς τὰς διανοίας αὐτῶν ἐπιγράψω αὐτούς. » Οὐκοῦν εἰς νοῦν καὶ καρδίαν, τὴν νοητὴν καὶ θείαν δεχώμεθα ζύμην, ἵνα διὰ τῆς οὕτω σεπτῆς καὶ ἁγίας ζύμης ἄζυμοι νοητῶς εὑρισκώμεθα. Εἰσδύνουσα γὰρ εἰς νοῦν τῆς εὐαγγελικῆς παιδεύσεως ἡ ζωοποιὸς ἐνέργεια, ψυχήν B τε, καὶ σῶμα, καὶ πνεῦμα πρὸς τὴν ἰδίαν ὥσπερ ποιότητα μεταστοιχειοῖ.

V. 23. **323** *Ait autem illi quidam : Domine, num pauci sunt qui salvantur? Ipse autem dixit ad illos : Contendite intrare per angustam portam*, etc.

(1) Videtur quodammodo responsio extra scopum interrogantis excurrere. Ille enim sciscitatus fuerat, num pauci salvarentur; hic autem rationem qua possent justificari exponit dicens : « Contendite intrare per angustam portam. » Quid ergo hic dicimus? Solebat universalis Servator interrogantibus respondere, haud omnino prout ipsis libebat, sed spectare potius quid audientibus utile foret ac necessarium. Id vero potissimum agebat, cum aliquis supervacanea atque inutilia cognoscere avebat. Cur enim opus erat velle rescire, utrum multi C an pauci sint qui salvantur? Quænam hinc utilitas audientibus obveniebat? Verum enimvero necessarium erat et utile cognoscere viam potius qua quispiam ad salutem pergeret. Prudenter itaque vanam interrogationem silentio transmittit, verba autem sua ad necessariam rem convertit; videlicet ad decendum quid facto opus esset ut per angustam arctamque januam intremus. Hoc ipsum et alibi monuerat dicens : « Intrate per angustam portam; nam lata spatiosaque via est quæ ducit ad perditionem, multique per eam intrant : angusta vero et arcta via est quæ ad vitam ducit, et pauci sunt qui inveniunt illam [82]. » Nam volentibus pervenire necessaria in primis est recta fides; deinde inculpata D vita, quantum humana justitia esse potest. Sic enim aliquando David etiam propheta Deum his verbis precabatur : « Judica me, Domine, secundum justitiam meam [83]. » Verumtamen ii qui sancte vivere volunt, haud queunt sine Deo vocante id agere. Semper enim aspera et ardua, multisque haud gradibilis, quæ ducit ad virtutem via est. Facile vero introibit per angustam portam, **324** et arcta via

Εἶπε δέ τις αὐτῷ· Κύριε, εἰ ὀλίγοι οἱ σωζόμενοι; Ὁ δὲ εἶπε πρὸς αὐτούς· Ἀγωνίζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης, κ. τ. λ.

(A f. 195 b, B f. 135, D f. 55) Δοκεῖ πως ἡ ἀπόκρισις ἔξω φέρεσθαι σκοποῦ τοῦ ἐρωτήσαντος. Ὁ μὲν γὰρ ἠξίου μαθεῖν, εἰ ὀλίγοι οἱ σωζόμενοι· ὁ δὲ τὴν τοῦ δύνασθαι δικαιωθῆναι τρίβον ἐξηγεῖτο, λέγων· « Ἀγωνίζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης. » Τί οὖν ἄρα πρὸς τοῦτό φαμεν; Ἔθος ἦν τῷ πάντων Σωτῆρι Χριστῷ, τοῖς ἐρωτῶσιν αὐτὸν ὑπαντᾷν, οὐχὶ πάντως κατὰ τὸ αὐτοῖς δοκοῦν, ἀλλ' εἰς τὸ χρήσιμόν τε καὶ ἀναγκαῖον τοῖς ἀκροωμένοις ὁρᾷν. Ἔδρα δὲ τοῦτο μάλιστα, ὅτε τις ἠξίου μαθεῖν τι τῶν ὅσα περιττά ἐστι καὶ ἀνόνητα. Τί γὰρ ἔδει φιλοπευστεῖν, πότερόν ποτε πολλοί τινες εἶεν ἢ ὀλίγοι οἱ σωζόμενοι; Τί τὸ ἐντεῦθεν ὄφελος ἐκβέβηκεν ἂν τοῖς ἀκροωμένοις; Ἦν δὲ ἀναγκαῖον καὶ λυαιτελὲς τὸ εἰδέναι μᾶλλον τὸν τρόπον δι' οὗπερ ἄν τις ἴοι πρὸς σωτηρίαν· οὐκοῦν οἰκονομικῶς πρὸς μὲν τὸ τῆς ἐρωτήσεως εἰκαῖον, ἀποσιγᾷ· μεθίστησι δὲ τοὺς λόγους ἐφ' ὅπερ ἦν ἀναγκαῖον· τοῦτο δὲ ἦν τὸ εἰδέναι ὁρᾷν ἐκεῖνα δι' ὧν ἦν δύνασθαι τὴν στενὴν καὶ τεθλιμμένην εἰσελάσαι πύλην. Τοῦτο γάρ που καὶ ἑτέρωθι διδάσκων φησίν· « Εἰσέλθετε διὰ τῆς στενῆς πύλης· ὅτι πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς· στενὴ δὲ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν, ὀλίγοι δέ εἰσιν οἱ εὑρίσκοντες αὐτήν. » Τοῖς γὰρ ἐθέλουσιν ἐλθεῖν, δεῖ δὴ πάντως πίστεως μὲν, καὶ πρό γε τῶν ἄλλων, ὀρθῆς· εἶτα, βίου ἀλήπτου κατά γε τὸ μέτρον τῆς ἀνθρωπίνης δικαιοσύνης. Οὕτω γάρ που καὶ ὁ προφήτης Δαβὶδ τὰς πρὸς Θεὸν ἱκεσίας ἐποιεῖτο λέγων· « Κρῖνόν με, Κύριε, κατὰ τὴν δικαιοσύνην μου. » Πλὴν οὐκ ἔνεστι τοῖς ἐθέλουσι βιοῦν ἁγίως, ἀκλητὶ δύνασθαι τοῦτο ὁρᾷν (2)· ἀεὶ γάρ πώς ἐστι σκληρὰ καὶ ἀνάν-

[80] I Thess. v, 23. [81] Jerem. xxxi, 31, 38. [82] Matth. vii, 13, 14. [83] Psal. vii, 9.

(1) Aste subsequentia apud D. Thomam in cat. Lat. sic. « CYRILLUS. Angusta porta ærumnam et patientiam sanctorum significat. Sicut enim pugnarum victoria attestatur militis strenuitati, sic præclarum efficiet valida perpessio laborum et tentationum. »

(2) Animadverte gratiæ divinæ ad bene agendum necessitatem.

Digitized by Google

της, καὶ οὐ βάσιμος τοῖς πολλοῖς, ἡ εἰς ἀρετὴν ἀποφέρουσα τρίβος· εἰσελάσει δὲ ῥᾳδίως διὰ τῆς στενῆς πύλης, καὶ δραμεῖται τὴν τεθλιμμένην ὁ ἀγωνιζόμενος καὶ τοὺς τοιούτους πόνους αἱρούμενος. Γέγραπται γοῦν, ὅτι « Ἀνὴρ ἐν πόνοις πονεῖ ἑαυτῷ, καὶ ἐκβιάζεται ἑαυτοῦ τὴν ἀπώλειαν· » ὡς γὰρ αὐτὸς πάλιν ἔφη ὁ Κύριος· « Βιαστή ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. » Πλατεῖα δὲ ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς, ἡ πολλοὺς εἰς ὄλεθρον καταφέρουσα. Καὶ ὁποῖον ἂν νοηθείη τὸ πλάτος αὐτῆς; Αἰσχρὰ καὶ φιλήδονος ζωὴ, τρυφαὶ, καὶ κῶμοι, καὶ μέθαι, καὶ πάντα τὰ τῆς κακίας ἐπιτηδεύματα, ἡ φιλαργυρία, καὶ τῶν προσκαίρων δοξαρίων φαντασία κενὴ, τὸ ἀμνημονεῖν τῶν θείων ἐνταλμάτων, τὸ μὴ ἔχειν τὸν τοῦ Θεοῦ φόβον πρὸ ὀφθαλμῶν. Οὐκοῦν τῶν μὲν τοιούτων ἀποφοιτᾷν ἀναγκαῖον τοὺς εἰσβάλλειν ἐθέλοντας διὰ τῆς στενῆς πύλης, συνεῖναι δὲ καὶ συνεορτάζειν Χριστῷ· ὅτι γὰρ οἱ μὴ τοιοῦτοι ἀπόβλητοι, δι' ἐναργοῦς παραδείγματος διέδειξεν ὁ Σωτὴρ εἰπών·

A gradietur, qui conabitur, et hujusmodi labores exantlare decreverit. Scriptum est igitur : « Vir laborans, laborat sibi, et vim facit perditioni suæ [84] (2). » Sicut enim rursus idem ait Dominus : « Vim patitur regnum Dei, et violenti rapiunt illud [85]. » Lata vero porta et spatiosa via quæ multos ducit ad interitum. Quænam porro intelligetur latitudo ejus? turpis nimirum et voluptaria vita, deliciæ, comessationes, crapulæ, et omnia vitiorum studia, avaritia, et temporalis gloriolæ vana phantasia, divinorum mandatorum oblivio, Dei denique timorem non habere præ oculis. Ergo hæc omnia vitare oportet, si qui volunt per angustam portam intrare, et cum Christo versari æternumque festum peragere. Quod vero qui ejusmodi non sunt rejicientur, evidenti exemplo demonstrat Servator dicens:

B

Ἀφ' *οὗ ἂν εἰσέλθῃ* (1) *ὁ οἰκοδεσπότης καὶ ἀποκλείσῃ τὴν θύραν*, κ. τ. λ.

(A f. 197, B f. 135 b, C f. 137 b) Ὡς ἐπί τινος οἰκοδεσπότου πολλοὺς τῶν ἐπιτηδείων συναγηγερκότος εἰς ἑστίαν καὶ τράπεζαν, εἶτα προεισεβεβηκότος μεθ' ὧν ἔδει τοῦτο δρᾷν, ἀποκλείσαντός τε τὴν θύραν, τοὺς μετὰ τοῦτο κρούοντας ἀκούσεσθαί φησιν· « Οὐκ οἶδα ὑμᾶς. » Γνῶσιν δὲ ἐνταῦθα οὐχ ἁπλῶς τὴν εἴδησιν λέγει, ἀλλὰ τὴν οἰκειότητα τὴν ἐν μεθέξει, τὴν ὡς ἐν χάριτι καὶ τιμῇ. Εἴπερ γὰρ ἡ γνῶσις μόνον ἡμῖν κατασημαίνεται εἴδησιν, πῶς ἠγνόησε τῶν ὄντων τινὰς, ὁ πάντα ἔχων γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, ὁ καὶ πρὶν γενέσεως πάντα εἰδώς; Οὐκοῦν οὐ μόνον ἀνόητον, ἀλλὰ καὶ δυσσεβὲς, τὸ ἀγνοῆσαί τινας ὑποτοπῆσαι τὸν Κύριον· οἰησόμεθα δὲ μᾶλλον εἰπεῖν αὐτὸν, ὡς οὐδαμόθεν τὴν οἰκειότητα τὴν πρὸς αὐτὸν καὶ σχέσιν ἐπάγονται. Οὐκ οἶδα γὰρ, φησὶ, γεγονότας ἀρετῆς ἐραστάς· οὐ τὸν ἐμὸν τιμήσαντας λόγον, ἀλλ' οὐδὲ συναφθέντας ἐμοὶ διὰ πράξεων ἀγαθῶν. Ἀκολούθως καὶ πρὸς Μωϋσέα εἴρηται· « Οἶδά σε παρὰ πάντας, καὶ χάριν εὗρες παρ' ἐμοί· » ἀντὶ τοῦ· Ἐν οἰκειότητι τῇ ὑπὲρ πάντας ἐτέθης παρ' ἐμοὶ, καὶ πολλὴν ἐπορίσω τὴν χάριν. Οὐκοῦν καὶ περὶ τῶν οὐδαμόθεν οἰκειωθέντων αὐτῷ, λέγει· « Οὐκ οἶδα ὑμᾶς· ἀπόστητε ἀπ' ἐμοῦ, ἐργάται τῆς ἀδικίας. » — « Οὐδεμία γὰρ κοινωνία φωτὶ πρὸς σκότος. »

C

D

V. 26. *Cum autem intraverit paterfamilias, et ostium clauserit*, etc.

Ceu si quis paterfamilias compleres amicos suos congregaverit ad mensæ convivium, et deinde ipse introiverit quibuscum est cœnaturus, januamque occluserit; quicumque postea pulsaverint, audituros dicit : « Non novi vos. » Notitiam autem hoc loco non pro simplici scientia dicit, sed pro familiaritate, gratiæque et honoris communione. Nam si hic notitia scientiam stricte significaret, quomodo quemquam is ignoraret cui omnia nuda et revelata versantur ob oculos, et qui antequam etiam fiant cuncta scit? Est ergo non modo insanum sed etiam irreligiosum suspicari quidquam a Domino ignorari. Existimabimus potius dici ab ipso, quod hi nullam cum eo necessitudinem nexumque habeant. Non novi, inquit, vos amatores esse virtutis, non meam in pretio habentes **325** doctrinam, nec mecum per bonorum operum exercitia conjunctos. His consentanea Moysi quoque dicta fuerunt : « Novi te præ omnibus, gratiamque apud me nactus es [86]. » Nempe ad meam familiaritatem præ omnibus assumptus es, multamque gratiam consecutus. Quare et iis qui ipsius amicitiam non sunt adepti, dicit : « Non novi vos; discedite a me, operarii iniquitatis [87]. » — « Nulla enim communio lucis cum tenebris [87*]. »

Τίνες δ' ἂν νοηθεῖεν οἱ λέγοντες τῷ Χριστῷ τό· Ἐφάγομεν καὶ ἐπίομεν ἐνώπιόν σου; Ἁρμόσειεν ἂν ὁ τοιόσδε λόγος μάλιστα τοῖς ἐξ Ἰσραὴλ, οἷς δὴ καὶ ἔφη Χριστὸς, ὅτι « Ὄψεσθε τοὺς περὶ τὸν Ἀβραὰμ καὶ τοὺς προφήτας ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ, ἑαυτοὺς δὲ ἐκβαλλομένους ἔξω. » Πῶς οὖν ἤσθιον καὶ ἔπινον

Quinam vero credentur qui aiunt Christo, manducabimus et bibimus coram te? Congruit utique Israelitis potissimum sermo hic; quibus certe dicebat Christus : « Videbitis Abrahamum et prophetas in regno Dei, vos autem foras expelli. » Quomodo ergo manducabant atque bibebant coram Deo?

[84] Prov. xvi, 26. [85] Matth. xi, 12. [86] Exod. xxiii, 12. [87] Matth. vii, 23. [87*] II Cor. vi, 14.

(1) Scripsi εἰσέλθῃ cum aliquot codicibus apud Sabaterium et Scholiastem; sic enim legebat non solum vulgatus noster Lat., verum etiam Cyrillus, ut apparet infra ex vocabulo ejus προεισεβεβηκότος. Vulgo tamen Græcus textus habet ἐγερθῇ.

(2) Apud Sabaterium bis Cassianus, et semel S. Hieronymus, ita habent ut nos Latine scripsimus. Flaminius Nobilius tamen in sua Proverbiorum translatione maluit interpretari : *Vim facit in interitum suum*; quod contrarium fortasse sensum exhibere videtur.

Digitized by Google

Nempe legali fungentes cultu; nam cruentas victimas Deo afferentes comedebant et lætabantur. Audiebant insuper in synagogis libros Moysis, qui non tam sua scripsit, quam Dei verba interpretatus est; etenim semper sermoni suo præfabatur : « Hæc dicit Dominus. » Haud tamen justificando homini sufficit cruentus cultus : neque suas quisquam abluet maculas, audiens quidem divinarum legum lectionem, nihil vero mandatorum exsequens. Alioqui etiam fidem non admittentes quæ impium justificat, nec evangelica statuta sectantes, quæ vires suppeditant ingenuæ præstantique vitæ agendæ, quo pacto regnum cœlorum adire poterunt? Prædictis annumerabis et nonnullos alios qui dicere interdum queunt omnium Judici : Comedimus coram te, et in plateis nostris tu docuisti. Quinam item hi erunt? Multi crediderunt in Christum, sanctasque ejus celebrant solemnitates, et ecclesias frequentantes evangelicas audiunt doctrinas; attamen sacrarum Scripturarum nihil in mente sua reponunt, sed fructus sterile gerunt cor. Hi quoque igitur amare flebunt, dentibusque stridebunt; namque et hos Dominus negabit. Ait itaque : « Non omnis qui dicit mihi, Domine, Domine, intrabit in regnum Dei, **326** sed qui facit voluntatem Patris mei qui in cœlis est [88]. » Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. »

ἐνώπιον τοῦ Θεοῦ ; τὴν νομικὴν τελοῦντες λατρείαν· προσκομίζοντες γὰρ τῷ Θεῷ τὰς δι' αἵματος θυσίας, ἥσθιον καὶ ηὐφραίνοντο· ἠκροῶντο δὲ καὶ ἐν ταῖς συναγωγαῖς τῶν Μωϋσέως βιβλίων, οὐ τὰ ἑαυτοῦ γεγραφότος μᾶλλον, ἑρμηνεύοντος δὲ τὰ παρὰ τοῦ Θεοῦ· προανετίθει γὰρ ἀεὶ τῆς ἑαυτοῦ φωνῆς τό· « Τάδε λέγει Κύριος. » Ἀλλ' οὐκ ἀρκεῖ πρὸς δικαίωσιν ἡ δι' αἱμάτων λατρεία· οὐδ' ἂν ἀπονίψαιτό τις μολυσμούς, ἀκροατὴς μὲν τῶν θείων γενόμενος νόμων, πεπραχὼς δὲ οὐδὲν τῶν κεκελευσμένων· καὶ ἑτέρως δὲ τὴν πίστιν οὐ προσηκάμενοι τὴν δικαιοῦσαν τὸν ἀσεβῆ, οὐδὲ τοῖς εὐαγγελικοῖς θεσπίσμασιν ἀκολουθήσαντες, δι' ὧν ἦν δύνασθαι τὴν εὐφυᾶ καὶ ἐξειλεγμένην ἐξασκῆσαι ζωήν, πῶς ἂν εἰσελάσειαν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ; Ἐπαριθμήσεις τοῖς ὠνομασμένοις καὶ ἑτέρους τινὰς δυναμένους εἰπεῖν ἔσθ' ὅτε τῷ πάντων Κριτῇ· Ἐφάγομεν ἐνώπιόν σου, καὶ ἐν ταῖς πλατείαις ἡμῶν ἐδίδαξας. Καὶ τίνες ἂν εἶεν οὗτοι πάλιν; Πολλοὶ πεπιστεύκασιν εἰς Χριστὸν, καὶ τὰς ἁγίας ἐπ' αὐτῷ τελοῦσιν ἑορτὰς, φοιτῶντες δὲ καὶ ἐν ἐκκλησίαις, τῶν εὐαγγελικῶν ἀκροῶνται παιδευμάτων· ἀποτίθενται δὲ εἰς νοῦν τῶν γεγραμμένων οὐδέν· ἀλλὰ καὶ πνευματικῆς εὐκαρπίας γυμνὴν ἔχουσι τὴν καρδίαν· κλαύσονται οὖν καὶ οὗτοι πικρῶς, καὶ βρύξουσι τοὺς ὀδόντας· ἀρνήσεται γὰρ καὶ αὐτοὺς ὁ Κύριος. Ἔφη γοῦν· « Οὐ πᾶς ὁ λέγων μοι, Κύριε

V. 29. *Venient ab oriente et occidente*, etc.

Multi convenient cum sanctis, ipsi autem Israelitæ expellentur. Et qui primas partes tenuerant, tunc secundas occupabunt, aliis sibi præpositis, quod reapse accidit : nam gentes prælatæ sunt Judaico gregi. Quanquam de multis quoque aliis atque indefinite hæc dicta sunt. Erunt autem priore loco qui ex ethnicis crediderunt, illi scilicet qui nunc sunt postremi, ceu qui postremo tempore Deum agnoverunt. Erunt vero tunc primi propter fidem suam sinceram. At increduli Judæi, qui nunc priores videntur, quatenus priores Deum cognoverunt (nam Filius meus, inquit Scriptura, primogenitus Israel [89]), tunc incredulitatis suæ causa fient novissimi. Intelligitur sermo hic etiam de fidelibus, qui in hac vita videntur infimi, sed in futuro sæculo primi erunt; et vice versa. — Quod autem Judæi amicitiam Dei, spiritalem scilicet, omnino forent amissuri, proque iis gentium multitudo introducenda, demonstravit dicens : « Quod ab oriente et occidente, aquilone et austro, vocati multi requiescent cum sanctis. » Et illi quidem expellentur, hi autem accumbent in regno Dei. — Et primum quidem tempus esse putamus, ut diximus, quo erat in paradiso Adamus. Secundum, ceu si

Ἥξουσιν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, κ. τ. λ.

(A f. 198, B f. 136) Πολλοὶ συνελεύσονται τοῖς ἁγίοις, αὐτοὶ δὲ ἐξωσθήσονται· καὶ τὴν πρώτην ἰσχηκότες τάξιν, τὴν δευτέραν ἕξουσι τότε, προτεταγμένων ἑτέρων· ὃ καὶ γέγονε· προτετίμηνται γὰρ τὰ ἔθνη τῆς Ἰουδαίων ἀγέλης· εἰ καὶ περὶ πολλῶν ἑτέρων καὶ ἀδιορίστως τοῦτο εἴρηται. Ἔσονται οἱ ἐξ ἐθνῶν πιστοὶ πρῶτοι, οἱ δοκοῦντες ἔσχατοι νῦν, ὡς ἔσχατοι τὸν Θεὸν ἐπιγνόντες· ἔσονται δὲ τότε πρῶτοι διὰ τὴν εἰλικρινῆ πίστιν αὐτῶν· οἱ δὲ ἄπιστοι Ἰουδαῖοι, οἱ δοκοῦσι μὲν πρῶτοι νῦν, ὡς πρῶτοι τὸν Θεὸν ἐπιγνόντες (υἱὸς γὰρ, φησὶ, πρωτότοκός μου Ἰσραὴλ), ἔσονται τότε ἔσχατοι διὰ τὴν ἀπιστίαν αὐτῶν. Νοεῖται δὲ ὁ λόγος καὶ περὶ τῶν πιστῶν τῶν δοκούντων μὲν εἶναι ἐσχάτων ἐν τῷ παρόντι βίῳ, ἐσομένων δὲ πρώτων ἐν τῷ μέλλοντι αἰῶνι, καὶ αὖθις ἐναλλάξ. — (A f. 198) Ὅτι δὲ ἔμελλον Ἰουδαῖοι τῆς πρὸς αὐτὸν οἰκειότητος, δῆλον δὲ ὅτι πνευματικῆς, ὁλοτρόπως ἀπολισθεῖν, ἀντεισενεχθήσεσθαι δὲ τῶν ἐθνῶν ἡ πληθὺς, διέδειξεν εἰπών· « Ὅτι ἐξ ἡῴων καὶ δυσμῶν, καὶ βορρᾶ, καὶ νότου κεκλημένοι πολλοὶ συνανακλιθήσονται τοῖς ἁγίοις. » Αὐτοί γε μὴν ἐξωσθήσονται· [οὗτοι δὲ] ἀνακλιθήσονται ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.— (A f. 198 b) Καὶ πρῶτον μὲν καιρὸν λογιούμεθα, ὡς εἴρηται (1), καθ' ὃν ἦν ἐν παραδείσῳ Ἀδάμ. Δεύτε-

[88] Matth. VII, 21. [89] Exod. IV, 22.

(1) Reapse hæc partim dicta fuerunt ad vers. 8. Et quidem hoc fragmentum pertinere potius videtur ad Cyrilli in Matthæum (cap. XX) commentarium qui desideratur; illic enim actum fuit de parabola vineæ. Porro similia his scribit Cyrillus in suo de prædicta parabola sermone ad populum, quem Græce nos edidimus in Spicilegio Rom. t. V, p. 119 seqq. [et *Biblioth. Nova PP.*, t. II, p. 469-471 Græce et Latine].

Digitized by Google

ρον, ὡς ἐν ὥρᾳ τρίτῃ δηλούμενον, καθ' ὃν ἦν Νῶε. Τρίτον, ὡς ἐν ἕκτῃ, καθ' ὃν ἦν Ἀβραάμ. Τέταρτον, ὡς ἐν ἐννάτῃ, καθ' ὃν ἦν Μωϋσῆς καὶ οἱ προφῆται. Περὶ δὲ τὴν ἑνδεκάτην, τουτέστιν ἐν τῷ πέμπτῳ καιρῷ, συστελλομένης ἤδη τῆς ἡμέρας, ἤγουν τοῦ παρόντος αἰῶνος, ἐμισθώσατο τὰ ἔθνη ὁ Χριστὸς, κεκλημένα πρὸς ἐπίγνωσιν, παρ' οὐδενὸς ἑτέρου.

esset tertia hora denotatum, quo fuit Noe. Tertium, quasi hora sexta, dum viveret Abrahamus. Quartum, quasi hora nona, quo tempore fuerunt Moyses atque prophetæ. Undecima denique hora, id est quinto temporis spatio, die jam inclinante, id est præsente sæculo, mercede gentes conduxit Christus, quas nemo præter ipsum ad se cognoscendum vocavit.

Προσῆλθόν τινες Φαρισαῖοι λέγοντες· Ἔξελθε, καὶ πορεύου ἐντεῦθεν.

(B f. 136 b, D f. 55 b) Οὐκ ἤθελον ὑπὸ βασκανίας οἱ Φαρισαῖοι τὸν Χριστὸν ἐνδημεῖν τοῖς Ἱεροσολύμοις, ἵνα μὴ ταῖς θεοσημείαις καὶ ταῖς ὑπὲρ νόμον μυσταγωγίαις πρὸς τὴν αὐτοῦ πίστιν σαγηνεύσῃ πολλούς. Ἐπειδὴ δὲ Θεὸς ὢν οὐκ ἠγνόει τοὺς αὐτῶν διαλογισμοὺς, ὑπαπαντᾷ πράως τε καὶ ἐπεσκιασμένως, ὡς ἔθος αὐτῷ. « Εἴπατε γὰρ, φησὶ, τῇ ἀλώπεκι ταύτῃ. » — (A f. 198 b) Πρόσχες ἀκριβῶς τῇ τοῦ λόγου δυνάμει. Δοκεῖ μὲν γάρ πως τετράφθαι καὶ βλέπειν εἰς τὸ Ἡρώδου πρόσωπον τὸ εἰρημένον, ὥς τινες ἐνόμισαν· ἔρχεται δὲ μᾶλλον κατὰ τῆς τοῦ Φαρισαίου σκαιότητος. Καίτοι γὰρ δυνάμενος εἰπεῖν· Εἰπὲ τυχὸν τῇ ἀλώπεκι ἐκείνῃ, τοῦτο μὲν παρῆσιν· εὐφυέστατα δὲ μέσῃ τινὸς χρώμενος φωνῇ, μονονουχὶ κατέδειξεν ἐγγὺς ὄντα Φαρισαῖον, εἰπὼν, « τῇ ἀλώπεκι ταύτῃ (1). » Τῇ ἀλώπεκι δὲ παρεικάζει τὸν ἄνθρωπον· πανοῦργον γὰρ ἀεί πώς ἐστι καὶ δύστροπον τὸ θηρίον· τοιοῦτοι καὶ οἱ Φαρισαῖοι.

V. 31. **327** (2) *Accesserunt quidam Pharisæi dicentes: Exi, et vade hinc.*

Nolebant propter invidiam Pharisæi Christum habitare Hierosolymis, ne miraculis et superioribus legi doctrinis ad fidem suam multos pertraheret. Sed quia utpote Deus cogitationes illorum non ignorabat, respondet mansuete tecteque, pro more suo. « Dicite, inquit enim, vulpi huic. » — Sedulo animadverte sermonis vim. Videtur enim fortasse dictum hoc contra Herodis personam dirigi, ut quidam existimant; reapse tamen contra Pharisæi hominis potius nequitiam intenditur. Nam cum dicere potuisset: Dic vulpi illi, hoc non facit: solertissime vero medio quodam usus vocabulo, demonstrat Pharisæum præsentem, dicens: « vulpi huic. » Vulpi autem comparat hominem: est enim illud animal callidum et malignum, cujusmodi erant Pharisæi.

Ἰδοὺ ἐκβάλλω δαιμόνια καὶ ἰάσεις ἐπιτελῶ σήμερον καὶ αὔριον· καὶ τῇ τρίτῃ τελειοῦμαι.

(A f. 198 b, B f. 136, D f. 55 b, E f. 204 b) Ὁρᾷς ὅτι τοῦθ' ὅπερ ᾔδει λυπεῖν τὸ τῶν Φαρισαίων στίφος, ἀποπληροῦν ἐπαγγέλλεται, φάσκων ὅτι καὶ ἀκαθάρτοις ἐπιτιμήσει πνεύμασι, καὶ ἀπαλλάξει παθῶν τοὺς ἐν ἀῤῥωστίαις, καὶ τελειωθήσεται, τουτέστιν, ἑκὼν ὑπομενεῖ τὸ ἐπὶ τῷ σταυρῷ πάθος, ὑπέρ γε τοῦ σῶσαι τὴν ὑπ' οὐρανόν; Ἤδει δὴ οὖν ἄρα καὶ πῶς καὶ πότε τὸν κατὰ σάρκα θάνατον ὑποστήσεται· πλὴν ᾠήθησαν οἱ Φαρισαῖοι κατορρωδήσειν αὐτὸν τὴν Ἡρώδου χεῖρα, καίτοι τῶν δυνάμεων ὄντα Κύριον. Ὅτι δὲ τῆς ἐξ ἀνθρώπων πλεονεξίας οὐδένα ποιεῖται λόγον, διέδειξεν εἰπών· « Πλὴν δεῖ με σήμερον καὶ αὔριον καὶ τῇ ἐχομένῃ πορεύεσθαι· ὅτι οὐκ ἐνδέχεται προφήτην ἀπολέσθαι ἔξω Ἱερουσαλήμ. » Τὸ δὲ « δεῖ με » λέγων, οὐκ ἀνάγκην ἀδιάφυκτον ἐπηρτημένην ὥσπερ ἑαυτῷ ἐδήλωσεν· ἀλλ' ὅτι μᾶλλον ἐξουσίᾳ τῶν ἑαυτοῦ θελημάτων ἀνυπόπτως ὅπουπερ ἂν ἐθέλῃ βαδιεῖται καὶ περινοστήσει τὴν Ἰουδαίαν, οὐδενὸς ἐπιόντος ἢ ἐπιβουλεύοντος, ἄχρις ἂν αὐτὸς ἑκὼν καταδέξηται τὴν τελείωσιν, τὴν διά γε, φημὶ, τοῦ τιμίου σταυροῦ. Τέως μέντοι ἐνεργῶ δυνάμεις· καὶ τούτου νῦν ὁ καιρός· καὶ οὔ τί γε ἐπὶ πλείονα χρόνον· τοῦτο γὰρ τὸ σήμερον καὶ τὸ αὔριον. Καὶ τοῦτο δὲ, φησὶν, ἀποκείσεται Ἱερουσαλὴμ, καὶ οὐχ ἑτέρως

V. 32. *Ecce ejicio dæmonia, et sanitates perficio hodie et cras, et tertia die consummor.*

Viden' ut quod molestum esse Pharisæorum globo sciebat, hoc se facere profitetur? dicens videlicet se impuros increpiturum spiritus, ægros morbis expediturum, et ipsum se denique consummatum iri, id est, sponte laturum crucis passionem, ut terrarum orbi saluti sit. Sciebat ergo et quomodo et quando mortem in carne foret experturus: interim tamen putabant Pharisæi timeri ab eo Herodis manum, licet virtutum esset Dominus. Sed enim quod hominum iniquæ potentiæ nullam rationem haberet, demonstravit dicens: « Verumtamen oportet me hodie et cras et sequenti die ambulare; quia non capit prophetam perire extra Jerusalem. » Cum dicit « oportet me » haud inevitabilem imminentemque sibi necessitatem **328** indicat; sed quod potius pro voluntatis suæ facultate; absque ulla suspicione, prout maluerit, incedet, Judæamque circumibit, nemine insidias aut vim faciente, donec ipse sponte consummationem sui exceperit per venerandam crucem. Interim quidem signis edendis do operam, cujus rei nunc tempus est; neque id tamen diu, prout innuunt verba hodie et cras. Illa vero passio Hierosolymis fiet, neque alibi patrari potest: nam quæ prophetarum cædi semper studuit, prophetarum quoque Do-

(1) Confer scholia in Lucam apud nos AA. class. t. IX, p. 448.

(2) Apud D. Thomam in cat. Lat. « Cyrillus. Prædicta Domini verba Pharisæorum animos provocaverunt ad iram: videbant enim populos jam contritos fidem ejus arripere. Itaque quasi perdentes officium populis præsidendi, lucrumque amittentes, simulantes se eum diligere, suadent illi ut inde discederet: *accesserunt*, » etc.

Digitized by Google

minum aggredietur. Multorum sanctorum sanguinis ream facit Jerusalem. Quid inde porro? Nempe excidendum a Dei amicitia, spiritali scilicet, et sanctorum spem amittendam. Hæc dicens, locum demonstrabat, quo passionem erat excepturus. — Quod Judæi immemores essent donorum Dei, contumacesque et morosi ad id omne quod ipsis profuisset, declaravit dicens : « Quoties volui congregare filios tuos, » etc. Erudivit enim per sapientissimum Moysen, admonuit per sanctos prophetas ; voluit illos sub alas, id est potentiæ suæ tegumento tenere : ipsi vero tam optabilibus excidérunt bonis, dum immemores ingratique esse maluerunt. ὑπὸ πτέρυγας, τουτέστι ὑπὸ σκέπην τῆς ἑαυτοῦ δυνάμεως ἔχειν αὐτούς, οἱ δέ γε τῶν οὕτως εὐκταιοτάτων διημαρτήκασιν ἀγαθῶν, ἀμνήμονες καὶ ἀχάριστοι ὄντες.

A οἷόν τε γενέσθαι· ἀλλ' ἡ τοὺς προφήτας ἀεὶ μελετηκυῖα φονεύειν, ἥξει καὶ ἐπὶ τὸν τῶν προφητῶν Κύριον. Πολλοῖς δὲ ἁγίων αἵμασι πεπλῆσται ἔνοχον τὴν Ἰερουσαλήμ· καὶ τί τὸ ἐντεῦθεν; Ἀπολισθεῖν τῆς πρὸς Θεὸν οἰκειότητος, δῆλον δὲ ὅτι πνευματικῆς, ἔμελλον ἀποπέμπεσθαι τῆς τῶν ἁγίων ἐλπίδος. Τοῦτο λέγων, τὸν τόπον ἐδήλου ἐφ' οὗ τὸ πάθος ἔμελλεν ὑπομένειν. — (A f. 199) Ὅτι δὲ ἦσαν ἀμνήμονες τῶν παρὰ Θεοῦ χαρισμάτων, δυσάγωγοί τε καὶ ἀκηρροὶ πρὸς πᾶν ὁτιοῦν τῶν ὠφελούντων αὐτούς, δείδειξεν εἰπών· « Ποσάκις ἠθέλησα ἐπισυνάξαι τὰ τέκνα, » κ. τ. λ. Πεπαιδαγώγηκε γὰρ διὰ τοῦ πανσόφου Μωϋσέως, νενουθέτηκε διὰ προφητῶν ἁγίων· ἠθέλησεν

V. 35. *Non videbitis me, donec veniat cum dicetis : Benedictus qui venit in nomine Domini.*

Discessit Hierosolymis Dominus, indignos veluti sua præsentia deserens illos qui ei dixerant : « Exi, et vade hinc. » Deinde circumiens Judæam, multosque valetudini restituens, editisque quæ omnem sermonem superant prodigiis, denuo Hierosolyma reversus est. Tunc videlicet asinæ pullo insedit, multaque turba et pueri impuberes, palmarum ramos tenentes anteibant acclamantes atque dicentes : « Hosanna Filio Davidis! benedictus qui venit in nomine Domini [99]. » Itaque ceu nunc indignos deserens, tum rursus se appariturum ait, cum passionis **328** tempus instabit. Tunc enim Hierosolyma rediit, et cum acclamatione ingressus est : eodemque tempore salutarem pro nobis passionem pertulit.

B *Οὐ μὴ ἴδητε, ἕως ἂν ἥξει ὅτε εἴπητε· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

(A f. 199 b, B f. 137 b) Ἀποπεφοίτηκε γὰρ τῶν Ἱεροσολύμων ὁ Κύριος, ὡς ἀναξίους ὄντας τῆς ἑαυτοῦ παρουσίας ἀφεὶς τοὺς εἰπόντας· « Ἔξελθε, καὶ πορεύου ἐντεῦθεν. » Εἶτα περινοστήσας τὴν Ἰουδαίαν, καὶ διασώσας πολλοὺς, καὶ σημείων ἀποτελεστὴς τῶν ὑπὲρ λόγον γεγενημένος, ὑπενόστησε πάλιν ἐν τοῖς Ἱεροσολύμοις, τότε δή, τότε κεκάθικεν ἐπὶ τὸν πῶλον τῆς ὄνου, ὄχλοι δὲ πολλοὶ καὶ παῖδες ἄνηβοι, τὰ κάλυντρα (2) τῶν φοινίκων ἀνατείνοντες, προεβάδιζον, εὐφημοῦντές τε καὶ λέγοντες, « Ὡσαννὰ τῷ υἱῷ Δαβίδ· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. » Οὐκοῦν (3) ἀναξίους ὄντας ἀφεὶς, τότε πάλιν αὐτοὺς ὀφθήσεσθαί φησιν, ὅταν ὁ τοῦ πάθους ἐνστῇ καιρός· τότε γὰρ ἀνέβη πάλιν εἰς Ἱεροσόλυμα, καὶ εἰσῆλασεν εὐφημούμενος· καὶ κατ' ἐκεῖνο τοῦ καιροῦ τὸ σωτήριον ὑπὲρ ἡμῶν ὑπέστη πάθος.

C

CAP. XIV (1).

V. 3. *Num licet Sabbato curare?*

Interrogavit legisperitos et Pharisæos Dominus, an unquam liceret Sabbato curare, necne? Hi vero, inquit Scriptura, tacebant. Cur taces, o legisperite? Recita aliquid ex Scripturis ; demonstra utrum lex Moysis eum vituperet qui benefacit Sabbato ; utrum nos duros et immisericordes esse velit propter Sabbati otium. Atqui hoc nunquam demonstrabis. Quia vero malitiose tacebant, frangit contumacem illorum impudentiam Christus gravibus ad hoc argumentis utens. Si vetat, inquit, misereri lex Sabbato, cur tu misericordia uteris erga asinum in puteum delapsum? Num filium negligeres Sabbato periclitantem? objurga mandati rigorem, si certe existimas durum esse legislatorem et immisericordem : neque laboranti manum porri-

ΚΕΦΑΛ. ΙΔ'.

Εἰ ἔξεστι τῷ Σαββάτῳ θεραπεύειν ;

(A f. 200) Ἤρετο τοὺς νομικοὺς καὶ τοὺς Φαρισαίους ὁ Κύριος, πότερόν ποτε ἔξεστι τῷ Σαββάτῳ θεραπεύειν, ἢ οὔ ; οἱ δὲ, φησὶν, ἐσίγησαν. Ἀνθ' ὅτου σεσίγηκας, ὦ νομικέ ; Εἰπέ τι τῶν γεγραμμένων· ἐπίδειξον τὸν διὰ Μωϋσέως νόμον διαβεβληκότα ποτὲ τὸ εὖ ποιεῖν ἐν Σαββάτῳ, εἰ σκληροὺς ἡμᾶς καὶ ἀφιλοικτείρμονας εἶναι βούλεται διὰ τὴν τῶν Σαββάτων ἀργίαν. Ἀλλ' οὐκ ἂν ἔχοις ἐπιδεῖξαι τοῦτό ποθεν. Ἐπειδὴ δὲ δυστρόπως σεσιγήκασι, παραλύει Χριστὸς τὴν ἄθραυστον αὐτῶν ἀναισχυνείαν, λογισμοῖς ἀναγκαίοις εἰς τοῦτο χρώμενος. Εἰ κεκώλυκε, φησὶν, ὁ νόμος ἐλεεῖν ἐν Σαββάτῳ, πῶς ἐπεκτείρεις αὐτὸς ὄνον [cod. τὸν] εἰς φρέαρ καταπεσόντα ; Μὴ φροντίσῃς υἱοῦ κινδυνεύοντος ἐν Σαββάτῳ ; Ἐπιτίμησον τῷ τῆς διαθέσεως κέντρῳ, εἴπερ

D

[99] Matth. XXI et Joan. XII.

(1) Hoc loco ad capituli versum 1 sic est apud D. Thomam in cat. Lat. « CYRILLUS. Quamvis Dominus malitiam Pharisæorum cognosceret, tamen eorum fiebat conviva, ut prodesset præsentibus per verba et miracula, unde subditur : *et factum est*, etc. *et ipsi observabant eum*, num scilicet reverentiam legis contemneret, et an quidquam prohibitorum faceret in die Sabbati. »

(2) Ita cod. Et observa vocabulum.

(3) Mendose Corderius legit οὐκουν pro οὐκοῦν, ut est in nostris codicibus ; ideoque ille contrario sensu ait, *non itaque tanquam indignos omnino deseris.*

Digitized by Google

εἶσθα σκληρὸν ὄντα τὸν νομοθέτην καὶ ἀφιλο[ι]κτείρονα· μηδὲ νέμε χεῖρα τῷ κάμνοντι, προτιθεὶς αὐτοῦ τὴν εἰς τὸν νόμον αἰδὼ, μᾶλλον δὲ τὴν ἀργίαν τὴν ἀλογωτάτην, εἰ μή σοι δοκεῖ πνευματικὸν εἰδέναι Σαββατισμόν. Οὐ καταλήγει τοῦ εἶναι χρηστὸς ὁ τῶν ὅλων Θεὸς, ἀγαθός ἐστι καὶ φιλάνθρωπος· οὐκ ἀπανθρωπίας τὸν Μωϋσέως νόμον ἐτίθει διδάσκαλον, ἀγάπης δὲ μᾶλλον τῆς εἰς τὸν πέλας εἰσηγητήν. Εἶτα, πῶς ἦν εἰκὸς τὴν οὕτω σεπτὴν καὶ ἀξιάγαστον ἐντολὴν ἀτονεῖν ἐν Σαββάτῳ, κατὰ βούλησιν Θεοῦ; Τί οὖν σεσίγηκας, νομικέ; Ἠπόρησας ὁμολογουμένως. Μακρὰ τοιγαροῦν χαίρειν εἰπὼν ταῖς βασκανίαις τῶν Ἰουδαίων, ἀπαλλάττει τοῦ νοσεῖν τὸν ὑδέρῳ κεκρατημένον· ὃς δεδιὼς τοὺς Φαρισαίους, οὐ προσῆλθεν αἰτῶν θεραπευθῆναι διὰ τὸ Σάββατον, ἀλλὰ μόνον ἵστη ἐνώπιον αὐτοῦ, ἵνα ἐκ τῆς θέας ἑλεήσας αὐτὸν, θεραπεύσῃ. Ὑπερ εἰδὼς ὁ Κύριος, ὡς ἐμβατεύων αὐτοῦ τὴν ψυχὴν ὡς Θεὸς, οὐκ ἐρωτᾷ αὐτὸν εἰ θέλει ὑγιὴς γενέσθαι, ἀλλ' εὐθέως ἐθεράπευσεν αὐτόν· ᾔδει γὰρ ὅτι ἤθελε· καὶ γὰρ ἵνα τύχῃ τῆς θεραπείας, ἵστατο ἔμπροσθεν αὐτοῦ καὶ ἐσιώπα.

Ἐπέχων πῶς τὰς πρωτοκλισίας ἐξελέγοντο.

(A f. 200, B f. 138 b, C f. 138 b, D f. 56 b) Ἐπειδὴ τῶν κεκλημένων ἐθεᾶτό τινας, ὡς μέγα τι χρῆμα καὶ ἀξιάληπτον, τὰς πρωτοκλισίας ἀσυνέτως ἁρπάζοντας, ἀναγκαίως ἵν' αὐτούς τε καὶ ἡμᾶς ὠφελῇ, μεταίας δόξης καταφρονεῖν παρεγγυᾷ. Καὶ δοκεῖ μὲν ἴσως τισὶ, μικρά πως εἶναι ταυτὶ, καὶ οὐ πολλῆς ἄξια φροντίδος· ὅταν δέ τις αὐτοῖς τὸν τῆς διανοίας ὀφθαλμὸν ἐνερείσῃ, τὸ τηνικάδε μαθήσεται ὁποίου μὲν ἀπαλλάττει μώμου τὸν ἄνθρωπον, ὅσον δὲ τὸ κόσμιον αὐτῷ ἐνεργάζεται. Τὸ μὲν γὰρ τιμαῖς ἡμᾶς ταῖς ἀναρμόστοις, ἤγουν οὐ πάντη τε καὶ πάντως ὀφειλομέναις ἡμῖν προχείρως ἐπιπηδᾷν, ἀσυνέτους ἡμᾶς ἀποφαίνει. Ὅταν γάρ, φησὶν, ἔλθῃ ὁ ἐντιμότερός σου, « ἐρεῖ σοι ὁ σὲ καὶ αὐτὸν καλέσας· Δὸς τούτῳ τόπον· » ὢ πόσης αἰσχύνης τὸ πρᾶγμα μεμέστωται! Σώφρων δὲ καὶ ἀξιοθαύμαστος, ὁ μετὸν αὐτῷ ἀνεπιπλήκτως τοῖς πρώτοις κατασεμνύνεσθαι, τούτου μὲν οὐκ ἐφιέμενος, μόνον δὲ οὐχὶ τὰ ἑαυτοῦ παραχωρῶν ἑτέροις, ὑπέρ γε τοῦ μὴ δοκεῖν ἡττᾶσθαι φιλοδοξίας, ὁ τοιοῦτος ὡς ὄφλημα λήψεται τιμήν· ἀκούσεται γὰρ παρὰ τοῦ κεκληκότος· Προσανάβηθι ὧδε. Μέγα δὴ οὖν καὶ ἐξαίρετον ἀγαθὸν, τὸ μέτριον φρόνημα. Εἰ γάρ τις ἑτέρων προτάττεσθαι ζητεῖ, κερδαινέτω τοῦτο διὰ τῆς ἄνωθεν ψήφου, καὶ στεφανούσθω τιμαῖς ταῖς παρὰ Θεοῦ, νικάτω πολλοὺς τῇ τῶν ἀρετῶν λαμπρότητι, τῇ ταπεινοφροσύνῃ· ὄψηλὸν γὰρ παρὰ Θεῷ τὸ συνεσταλμένον φρόνημα· μιμητὴς γίνεται Χριστοῦ τοῦ εἰπόντος· « Μάθετε ἀπ' ἐμοῦ, ὅτι πραΰς εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ. » Ταῦτα δὲ λέγων, οὐκέτι ἐπιπλήττει βαρέως, ἀλλὰ παραινεῖ χρηστῶς· ταὐτὸ ποιούσης καὶ τῆς παραινέσεως, μᾶλλον δὲ καὶ πλέον ἐπὶ τῶν εὐαισθήτων. Ὅτι καὶ προαγωγότερον ἀφίστησιν ἀπὸ τῆς φιλοτιμίας ἡ πρὸς τὰ τῆς φιλοτιμίας ἀποτροπή· μικρῷ δὲ

A gas, legis ei præferens reverentiam, vel alienum potius omni recta ratione otium; siquidem non vis potius de spiritali cogitare Sabbato. Nunquam cessat clemens esse omnium Deus, bonus est hominumque amans; Moysis legem haud fecit crudelitatis magistram, sed amoris potius erga proximum auctricem. Jam vero cur sit credibile tam sanctum admirandumque charitatis præceptum, invalidum Sabbato esse, sic volente Deo? Cur itaque tacebas, o legisperite? Profecto quia quid diceres non habebas. Ergo valere multum jubens Judæorum invidiam, morbo liberat hominem qui hydrope laborabat; qui quidem Pharisæos veritus, non accesserat ad medelam petendam propter Sabbatum, sed coram illo tantum constiterat, **330** ut visu commo-
B tus curaret. Quem videns Dominus, ejusque animum utpote Deus introspiciens, non interrogat utrum sanus fieri velit, sed statim eum sanitati restituit; nam quod vellet probe sciebat. Etenim sanitatis recipiendæ causa coram eo se stiterat et tacebat.

V. 7. *Animadvertens quomodo primos accubitus eligerent.*

Cum cerneret ex invitatis quosdam, ceu magnum quid et æstimabile, primos accubitus imprudenter occupare, necessario ut illos et nos simul juvaret, vanam gloriam contemnere hortatur. Videntur quidem hæc fortasse nonnullis minuta quædam nec curanda magnopere. Verumtamen si quis eis mentis oculum attentius intenderit, tunc co-
C gnoscet, quanto hæ monitiones vituperio hominem arceant, quantopere ornent honore. Nam incongruos honores, et qui nullo nomine nobis debentur, temere invadere, imprudentes nos demonstrat. Cum enim, inquit, venerit dignior te, « dicet tibi is qui te et illum invitavit, Da huic locum; » quæ res quanta te ignominia perfundet! Modestus autem et laudabilis vir qui, cum ei sine reprehensione liceret primis ordinibus velle honorari, id tamen non appetit, ac de suo etiam propemodum aliis cedit, ne videatur vanæ gloriæ obnoxius, hic veluti debitum consequetur honorem. Audiet enim ab eo qui invitavit: Ascende huc. Magna igitur et eximia res
D est, modestia animi. Si quis enim cæteris anteponi quærit, lucretur hoc cœlesti suffragio, sit in honore apud Deum, multos superet virtutum splendore, et animi demissione. Alta enim est apud Deum mens humilis. Hic fit Christi imitator, qui dixit: « Discite a me, quia mitis sum et humilis corde [91]. » Hæc dicens, haud graviter jam increpat, sed comiter hortatur: hic enim hujus adhortationis effectus est, præsertim apud teneri sensus animos: nam lenius ab ambitione abstrahit, fuga eorum quæ ambitionem suadent. Parvo hoc cœnarum exemplo ambitionem **331** cum profligasset, et modestos extulisset, magnum parvo adjicit, generalem sententiam proferens: quia « Omnis qui se exaltat,

[91] Matth. xi, 29.

Digitized by Google

humiliabitur; et qui se humiliat, exaltabitur. » Quod tamen ex divini norma judicii dicitur, nullatenus vero secundum hominum consuetudinem fit. Quandoquidem multi etiam honorum cupidi vilem hanc honorificentiam adepti sunt; vicissimque alii, qui semet humiliaverant, sine præmio fuerunt. κατὰ τὴν τῶν ἀνθρώπων ἐπιτελεῖται συνήθειαν. Ἐπεὶ πολλοὶ καὶ τιμῆς ὀρεχθέντες, ἐπέτυχον τῆς εὐτελοῦς ταύτης τιμῆς· καὶ ἄλλοι ἑαυτοὺς ταπεινώσαντες, ἔμειναν ἀγέραστοι.

A οὕτω τῷ παραδείγματι τῷ κατὰ τὰ δεῖπνα, τὴν τῶν φιλοτίμων καθαίρεσιν ὑποδεικνὺς, καὶ τὴν τῶν ἀφιλοτίμων ὕψωσιν, μέγα τῷ μικρῷ προστίθησι, καθολικὸν ἐπιφέρων τὸ, ὅτι « Πᾶς ὁ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται, καὶ ὁ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται. » Ὅπερ τῆς θείας ἥρτηται κρίσεως, καὶ οὐ πάντως

V. 12. *Cum facis prandium aut cœnam, noli vocare amicos tuos*, etc.

Ad animi humilitatem adhortatio hactenus. Præclaram mox invitantibus doctrinam suppeditat, grandem suggerens benefaciendi hominibus scopum, fructumque pretiosum, remotiorem licet, neque præmii loco statim futurum : quod secus agunt exigui B animi homines, qui amicos invitant, fratres, cognatos, proximos, ut illico vicissim invitati, quod dederant, sine mora recipiant; cui consuetudini multo meliorem aliam atque digniorem substituit Dominus, nempe ut egeni potius invitentur, et infirmis claudisque benignitas impendatur, a quibus nulla remuneratio exspectanda sit, sed a Deo qui charitatem erga homines præmio prosequitur in futura vita. Hoc autem dicit, non ut quemquam a suis honorandis impediat, sed ut doceat quominus emamus æqualium donorum mutuam liberalitatem; sed utilia faciamus beneficia nostra, quatenus magna præmia a Deo consequamur. Dicet enim : « Venite, possidete paratum vobis regnum. Esurivi enim, et dedistis mihi manducare [22], » et reliqua. « Quodcunque cuiquam horum feceritis, mihi fecistis. »

Ὅταν ποιῇς ἄριστον ἢ δεῖπνον, μὴ φώνει τοὺς φίλους σου, κ. τ. λ.

(A f. 200 b, B f. 139, D f. 56 b) Ἀλλὰ τοῦτο μὲν περὶ τῆς ταπεινοφροσύνης τὸ παράγγελμα· καλὸν δὲ καὶ πρὸς τοὺς καλοῦντας ἐπιφέρει τὸ δίδαγμα, μέγαν εἰσάγων τῆς παρὰ ἀνθρώποις δεξιώσεως τὸν σκοπὸν, καὶ τὸν καρπὸν ἀξιοσπούδαστον, εἰ καὶ μακρὰν οὗτος καὶ οὐκ ἔχων παραχρῆμα τὴν ἀνταπόδοσιν, ὅπερ οἱ μικρόψυχοι ποιοῦσι· φίλους καλοῦντες, ἀδελφοὺς, συγγενεῖς, γείτονας, ἵν' εὐθὺς ἀντικληθέντες, κομίσαιντο τοῦτο· οὗ πολλῷ κάλλιον καὶ μεγαλοπρεπέστερον εἰσήγαγεν ὁ Κύριος, τὸ τοὺς δεομένους καλεῖν, τὸ πρὸς τοὺς ἀσθενεῖς καὶ λελωβημένους φιλανθρωπεύεσθαι, παρ' ὧν οὐκ ἔστιν ἀνταπόδοσις, ἀλλὰ Θεὸς ὁ ἀνταποδιδοὺς τῆς φιλανθρωπίας τὴν τιμὴν ἐπὶ τῆς μελλούσης ζωῆς. Τοῦτο δέ φησιν, οὐχ ἵνα τῆς πρὸς τοὺς ἰδίους ἀπείρξῃ τιμῆς, ἀλλ' ἵνα διδάξῃ μὴ πιπράσκειν τὰς φιλοφροσύνας τῶν ἴσων ἀνταποδόσεων, ἀλλ' ὠφελίμους ποιεῖσθαι ταύτας, ἐπὶ μεγάλαις ἀντιδόσεσι ταῖς παρὰ Θεοῦ. Ἐρεῖ γάρ· « Δεῦτε, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν· ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν, » καὶ τὰ ἑξῆς. « Ἐφ' ὅσον γὰρ ἐποιήσατε ἑνὶ τούτων, ἐμοὶ ἐποιήσατε. »

V. 15. *Beatus qui convivatur in regno Dei.*

Verisimile est hunc hominem nondum fuisse spiritalem, sed magis animalem, satisque ineptum recte intelligendis Christi sermonibus. Erat enim adhuc in incredulorum **332** numero et nondum illuminatorum. Putavit ergo corporales fore sanctorum retributiones, pro suis erga cæteros beneficiis (1).

Μακάριος ὃς φάγεται ἄριστον (1) *ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.*

(A f. 201) Εἰκὸς δή που τὸν ἄνθρωπον οὕτω μὲν εἶναι πνευματικὸν, ψυχικὸν δὲ μᾶλλον, καὶ ἀνεπιτηδείως ἔχοντα πρὸς σύνεσιν ἀκριβῆ τῶν λαλουμένων παρὰ Χριστοῦ· ἦν γὰρ τῶν ἀπίστων ἔτι καὶ οὔπω πεφωτισμένων· ᾠήθη δὲ οὖν σωματικὰς ἔσεσθαι τῶν ἁγίων τὰς ἀμοιβὰς ὧν ἂν δράσειαν, εἰς ἑτέρους ἀγαθουργεῖν ἠρημένοι.

V. 16. *Homo quidam fecit cœnam magnam.*

Curiose in primis consideremus, quænam causa fuerit, cur ad cœnam potiusquam ad prandium vocati multi fuerint; potissime vero quis homo intelligendus sit a quo invitator missus fuit; quis item ipse invitator, quinam denique illi qui invitati contempserunt invitationem. Igitur in hominis quidem persona intelliget Deus Pater : nam similitudines figurantur sane ad veritatem, non tamen ipsæ sunt veritas. Hic ergo Creator omnium et Pater gloriæ, magnam cœnam instruxit, id est mundanam fecit

Ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγα.

(A f. 201 b, D f. 57, E f. 204) Πολυπραγμονήσωμεν πρό γε τῶν ἄλλων, ὁποία τις ἦν ἡ πρόφασις τῷ μὴ ἐπ' ἀρίστῳ μᾶλλον, ἀλλ' ὡς ἐπὶ δείπνῳ κεκλῆσθαι πολλούς· μᾶλλον δὲ πρὸ τούτων, τίς ἂν νοηθείη πρὸς ἡμῶν ὁ ἄνθρωπος ὁ τὸν δειπνοκλήτορα πεπομφώς· τίς δὲ καὶ ὁ δειπνοκλήτωρ, καὶ τίνες ὅλως οἱ κεκλημένοι μὲν, ἀτιμάσαντες δὲ τὴν κλῆσιν. Οὐκοῦν ὁ μὲν ἄνθρωπος νοηθείη ἂν ὁ Θεὸς καὶ Πατήρ· αἱ γὰρ εἰκόνες πλάττονται πρὸς τὸ ἀληθὲς, οὐκ αὐταὶ πάντως εἰσὶν ἡ ἀλήθεια. Οὗτος δὴ οὖν ὁ τῶν

[22] Matth. xxv, 34.

(1) Hoc loco prosequitur apud Corderium in catena Lat. Cyrillus. « Iis igitur, qui tam crasso corde erant, parabolam contexit, qua œconomiam totius mundi causa susceptam, admodum apposite convenienterque ob oculos ponit. Est autem hujusmodi : *Homo quidam*, » etc.

(2) In cod. A. ἄριστον *prandium* pro ἄρτον *panem*. Cum hoc Vat. codice A. consentiunt alii Græci multi, ut a criticis jamdiu fuit animadversum.

Digitized by Google

ὅλων Δημιουργὸς καὶ Πατὴρ τῆς δόξης μέγα πεποίηκε δεῖπνον, τουτέστιν οἰκουμενικὴν εἰργάσατο πανήγυριν, δῆλον δὲ ὅτι τὴν ἐπὶ Χριστῷ· ἐν ἐσχάτοις δὲ τοῦ αἰῶνος καιροῖς, καὶ οἷον ἐπὶ δυσμαῖς αἰῶνος τοῦ καθ' ἡμᾶς, ἐπέφανεν ἡμῖν ὁ Υἱὸς, ὅτε καὶ τὸν δι' ἡμᾶς ὑπέστη θάνατον, καὶ δέδωκεν ἡμῖν τὴν ἑαυτοῦ σάρκα φαγεῖν, ἄρτος ὢν ἐξ οὐρανοῦ, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ· πρὸς ἑσπέραν δὲ καὶ ὑπὸ λύχνοις καὶ ἀμνὸς ἐσφάζετο κατὰ τὸν Μωϋσέως νόμον. Δεῖπνον οὖν εἰκότως ἡ ἐν Χριστῷ κλῆσις ὠνόμασται· εἶτα, τίς ἐστιν ὁ ἀπεσταλμένος, ὃν δὴ καὶ δοῦλον εἶναί φησιν; Αὐτός; που τάχα Χριστός· Θεὸς γὰρ ὢν φύσει, καὶ Υἱὸς ἀληθινὸς τοῦ Θεοῦ καὶ Πατρὸς, ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών. Ἔστι τοίνυν Κύριος μὲν τῶν ὅλων, ὡς Θεὸς ἐκ Θεοῦ· τὴν γε μὴν τοῦ δούλου κλῆσιν ἐφαρμόσειέ τις ἂν εἰκότως τοῖς τῆς ἀνθρωπότητος αὐτοῦ μέτροις. Πότε δὲ ἀπεστάλη; Τῇ ὥρᾳ τοῦ δείπνου, φησί· οὐ γὰρ ἐν ἀρχαῖς τοῦ αἰῶνος τούτου καταπεφοίτηκεν ἐξ οὐρανῶν ὁ μονογενὴς τοῦ Πατρὸς Λόγος, καὶ γέγονεν ἐν εἴδει τῷ καθ' ἡμᾶς, ἐν καιροῖς δὲ μᾶλλον καθ' οὓς αὐτὸς ἠθέλησεν ὁ δυνάστης, δῆλον δὲ ὅτι τοῖς τελευταίοις, καθὰ φθάσαντες εἴπομεν. Ὁποῖος δὲ γέγονεν ὁ τοῦ κεκληκότος λόγος; « Ἔρχεσθε, ὡς ἤδη ἕτοιμά ἐστι πάντα. » Ἡτοίμασε γὰρ τοῖς ἐπὶ γῆς ὁ Θεὸς καὶ Πατὴρ ἐν Χριστῷ τὰ δι' αὐτοῦ τῷ κόσμῳ δεδωρημένα ἀγαθὰ, ἁμαρτιῶν ἀπόθεσιν, Πνεύματος ἁγίου μέθεξιν, υἱοθεσίας λαμπρότητα, βασιλείαν οὐρανῶν. Ἐπὶ ταῦτα κέκληκεν ὁ Χριστὸς, διὰ τῶν εὐαγγελικῶν θεσπισμάτων, καὶ πρό γε τῶν ἄλλων, τὸν Ἰσραήλ. Ἆρ' οὖν ἐβουλεύσαντό τι χρηστὸν ἐν ἑαυτοῖς; Ἆρα τεθαυμάκασι τοῦ κεκληκότος τὴν ἡμερότητα, τοῦ διακονοῦντος τῇ κλήσει τὴν οἰκονομίαν; Οὐ μὲν οὖν· ἀλλ' ἠτίμασαν καὶ τὸν καλοῦντα καὶ τὸν ἀπεσταλμένον· καὶ ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι πάντες, τουτέστιν ἐξ ἑνὸς συνθήματος.

solemnitatem, eam scilicet quæ sub Christo fuit. Postremis vero sæculi temporibus, et tanquam sæculi nostri vespere, apparuit nobis Filius, quo etiam tempore necem nostri gratia passus est, deditque suam nobis carnem manducandam, panem de cœlo vitam mundo suppeditantem. Sub vespere autem et luminibus jam incensis, agnus quoque immolabatur juxta Moysis legem. Cœna itaque convenienter vocatio in Christo appellata est. Deinde, quisnam est missus, quem etiam servum appellat sermo evangelicus? Ipse facile videtur Christus; qui cum Deus naturaliter sit, verusque Patris Dei Filius, seipsum exinanivit, formam servi accipiens [93]. Est ergo omnium quidem Dominus tanquam Deus ex Deo; at servi appellationem merito quis accommodabit humanæ mensuræ. Quandonam autem missus fuit? Sub horam inquit cœnæ. Non enim initio temporum venit de cœlo unigenitum Dei Verbum, nostramque formam assumpsit, sed temporibus potius quibus ipse voluit dominator, nempe extremis, ut paulo ante diximus. Quænam porro fuerunt invitantis **333** verba? « Venite, quia jam parata sunt omnia. » Paravit enim terræ incolis Deus Pater in Christo bona, quæ mundo largitus est, nempe peccatorum veniam, Spiritus sancti participationem, adoptionis dignitatem, cœlorum regnum. Ad hæc vocavit Christus per evangelicam legem ante omnes Israelem. Num ergo cogitarunt frugi aliquid intra se? Num mirati sunt invitantis bonitatem, qui dispensationis opere vocationi inserviit? Minime id quidem; sed invitantem simul et missum aspernati sunt, id est una quasi conspiratione facta.

Καὶ ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι πάντες.

(Ε f. 20 b) Ὁρᾷς ὅτι τοῖς γεωδεστέροις ἀσυνέτως προσνευκότες οὐχ ὁρῶσι τὰ νοητὰ, καὶ τῶν ἐν ἐλπίσι ταῖς παρὰ Θεῷ οὐδένα ποιοῦνται λόγον. Εἶτα τίνες νοηθεῖεν ἂν οἱ παραιτησάμενοι ἀγρῶν τε καὶ γεωργίας ἕνεκα, καὶ παιδοποιΐας σαρκικῆς, ἢ τάχα που τῆς Ἰουδαίων συναγωγῆς οἱ προεστηκότες; Ἄνδρες ἀδροὶ τὰ βαλάντια, καὶ φιλοκερδείας ἡττώμενοι, καὶ πᾶσαν εἰς τοῦτο δαπανῶντες σπουδήν. Διὰ πάσης γὰρ, ὡς ἔπος εἰπεῖν, τῆς θεοπνεύστου Γραφῆς, ἐπ' αὐτοῖς δὲ τούτοις διαβεβλημένους ἔνεστιν ἰδεῖν. — (A f. 202 b) Καὶ ὅταν ἀκούσῃς, ὅτι ἀπέστειλεν ὁ ἑστιάτωρ τὸν δοῦλον αὐτοῦ τῇ μετὰ σαρκὸς οἰκονομίᾳ, καὶ τὴν δουλείαν λογίζῃ καὶ τὴν ἀποστολήν. Τί ποτε δὲ εἰπεῖν ἀπεστάλη τοῖς διὰ νόμου κεκλημένοις Ἰουδαίοις; « Ἔρχεσθε, ἤδη ἕτοιμά ἐστι πάντα. » Πλὴν τῶν Ἰουδαϊκῶν ἀρχόντων τὴν κλῆσιν παραιτησαμένων, καθὼς αὐτοὶ ἔλεγον· « Μή τις τῶν ἀρχόντων ἢ τῶν Φαρισαίων ἐπίστευσεν εἰς αὐτόν; » ὠργίσθη ὁ οἰκοδεσπότης, ὡς ἀξίων ὄντων παθεῖν τὰ ἀπὸ τοῦ θυμοῦ καὶ τῆς ὀργῆς.

V. 18. *Et cæperunt simul omnes excusare.*

Cernis hos terrenis rebus insipienter deditos, intellectualia non spectare, et sperandorum ex Deo bonorum nullam habere rationem. Deinde quinam sunt hi qui recusant, agrorum et agriculturæ causa atque etiam carnalis liberorum procreationis, nisi forte Judaicæ Synagogæ principes? confertæ crumenæ homines, et lucri mancipia, totumque huic impendentes studium. Namque in universa ut summatim dicam inspirata Scriptura, culpæ hujus rei aguntur. — Et cum audis, quod invitator servum suum miserit in assumptæ carnis dispensatione, et servilem simul conditionem considera et missionem. Quid porro dicturus Judæis jam lege vocatis missus fuit? « Venite, quia jam parata sunt omnia. » Sed enim Judaicis principibus vocationem aspernantibus, ut ipsi aiebant, « Num quis principum aut Pharisæorum in eum credidit [94]? » excanduit paterfamilias, quia digni erant iræ furorisque sui fructum capere.

[93] Philipp. II, 7. [94] Joan. VII, 48.

Digitized by Google

V. 21. *Tunc iratus paterfamilias dixit servo suo, etc.*

Nunc quoque igitur iratus dicitur paterfamilias Judaicis principibus, quia magnam cœnam contempserant. Et quidem ipsorum loco vocata fuit de plateis et angulis Judaica plebs, debili et illiberali ingenio prædita, cæca et claudi. Illi enim cæci illi et claudi existimandi sunt, qui postea in Christo validi sanique evaserunt : **334** didicerunt enim recti incedere, divino recepto mentibus lumine. Profecto quod haud pauci Judæorum crediderint, ex sanctorum apostolorum Actibus cognoscere poteris. Ibi enim concionante Petro, primo quidem ter mille crediderunt, et rursus populus multus[96]. Nempe et Christus modo docens, modo miracula patrans, carentem dolo plebem ad se trahebat, multique de Judæis ei credebant : quos maledictos Pharisæi appellabant, quia Christo fidem adjungebant. Aiebant enim : « Num quis ex Pharisæis in eum credidit? sed populus hic legis inscius, maledictus est[96]. » Hinc utrumque constat, et quod principes non crediderint, et quod multi de populo ad fidem accesserint : quæ ambo parabola quoque innuit, dum recusantes alios, alios vero vocatos et obtemperantes inducit.

A *Τότε ὀργισθεὶς ὁ οἰκοδεσπότης εἶπε τῷ δούλῳ αὐτοῦ*, κ. τ. λ.

(A f. 208, E f. 206 b) Καὶ νῦν οὖν ὠργίσθαι λέγεται ὁ οἰκοδεσπότης κατὰ τῶν Ἰουδαϊκῶν ἀρχόντων, ὡς τὸ μέγα δεῖπνον ὑβρισάντων. Καὶ δὴ κέκληνται ἀντ' ἐκείνων οἱ εἰς τὰς πλατείας καὶ τὰς ῥύμας, οἱ ἐκ τῆς Ἰουδαϊκῆς πληθύος, ἀσθενῆ τε καὶ ἀγεννῆ τὴν διάνοιαν ἔχοντες, ἀφεγγῆ τε καὶ χωλεύουσαν· τυφλοὶ γὰρ οὗτοι καὶ χωλοὶ νοηθεῖεν ἄν, ἀλλ' εὐῤῥωστοι καὶ ὑγιεῖς γεγόνασιν ἐν Χριστῷ· ἐδιδάχθησαν ὀρθοποδεῖν, τὸ θεῖον εἰς νοῦν δεξάντο φῶς· ὅτι δὲ πεπιστεύκασι τῶν Ἰουδαίων οὐκ εὐαρίθμητοι, μάθοι τις ἂν ταῖς τῶν ἁγίων ἀποστόλων Πράξεσιν ἐντυχών. Ἐκεῖ γὰρ Πέτρου δημηγορήσαντος, πρῶτον τρισχίλιοι ἐπίστευσαν, καὶ πάλιν πολὺς ὄχλος. Ἀλλὰ ταῦτα μὲν διδάσκων, τοῦτο δὲ θαυματουργῶν, τὸ ἄδολον πλῆθος ὑπήγετο, καὶ πολλοὶ τῶν Ἰουδαίων ἐπίστευον εἰς αὐτόν· οὓς καὶ ἐπαράτους οἱ Φαρισαῖοι ὠνόμαζον, ὡς εἰς Χριστὸν πιστεύοντας· ἔλεγον γάρ· « Μή τις ἐκ τῶν Φαρισαίων ἐπίστευσεν εἰς αὐτόν; ἀλλ' ὁ λαὸς οὗτος, ὁ μὴ γινώσκων τὸν νόμον, ἐπικατάρατοί εἰσιν. » Ἐνταῦθα ἑκάτερον δείκνυται, καὶ ὅτι οἱ ἄρχοντες οὐκ ἐπίστευον, καὶ ὅτι πολλοὶ ἐκ τοῦ πλήθους ἐπίστευον· ἅπερ ἀμφότερα καὶ ἡ παραβολὴ ἠνίξατο, τοὺς μὲν εἰσάγουσα παραιτουμένους, τοὺς δὲ καλουμένους καὶ ὑπακούοντας.

B

V. 23. *Exi in vias et sepes, et compelle intrare.*

Hic mecum observa gentium vocationem, quæ post genus Israeliticum, per fidem introierunt. Olim sane erant populi ethnici mente agresti, animo efferato, et veluti extra urbem pagani, propterea quod haud bona disciplina viverent, sed bestialiter potius, et a recto rationis usu valde alieni. Propterea in suburbanas vias, atque ad agrorum sepes missus fuit invitator. Verumtamen a mittente mandatum ei fuit, ut non vocaret simpliciter, solamque iis intenderet adhortationem, verum etiam coactionem. Atqui cum fidem suscipere liberum omnibus sit, atque ita Deo placitum, quomodo deinde coguntur aliqui? Hoc quoque sapiente consilio actum est. Prorsus enim necessaria erat gentibus, ceu intolerabili tyrannide, id est jugo diabolico oppressis, catenisque indissolubilibus vitiorum suorum constrictis, neque universalem naturalemque ac verum Deum scientibus, necessaria, inquam, erat vehementior vocatio, quæ necessitatis vicem imitaretur, ut sic possent ad Deum respicere, doctrinas sacras gustare, ab antiquo errore **335** recedere, et diaboli quodammodo manu evadere. Quapropter Christus quoque dixit : « Nemo potest ad me venire, nisi qui misit me Pater, traxerit eum[97]. » Verumtamen ipsum vocabulum plane denotat, Deo dignæ potentiæ actum esse vocationem. Simile quiddam prophetam quoque Davidem de iisdem dicere ad Deum comperimus : « In camo et freno maxillas eorum constringe, qui non approximant ad te[98]. »

C

D

Ἔξελθε εἰς τὰς ὁδοὺς καὶ φραγμούς, καὶ ἀνάγκασον εἰσελθεῖν.

(B f. 142 b, D f. 57 b, E f. 209) Ἐνταῦθά μοι βλέπε τὴν τῶν ἐθνῶν κλῆσιν, μετά γε τοὺς ἐξ αἵματος Ἰσραὴλ εἰσενηνεγμένων διὰ τῆς πίστεως. Πάλαι μὲν γὰρ ἦσαν οἱ ἐξ ἐθνῶν ἄγροικοι τὰς φρένας, ἀπηγριωμένοι τὸν νοῦν καὶ οἷον ἔξω πόλεως, διὰ τὸ μὴ ζῆν ἐν εὐνομίᾳ, κτηνοπρεπῶς δὲ μᾶλλον, καὶ σὺν ἀλογίᾳ πολλῇ· ταύτῃτοι καὶ εἰς τὰς ἔξω πόλεως ὁδοὺς, καὶ τοὺς ἐν ἀγροῖς ὄντας φραγμούς, ὁ δειπνοκλήτωρ ἀπεστάλη. Πλὴν προστέτακται παρὰ τοῦ πεμψάντος, οὐχ ἁπλῶς καλέσαι, καὶ μόνην αὐτοῖς προτεῖναι τὴν προτροπήν, ἀλλὰ γὰρ καὶ ἀναγκάσαι. Καίτοι προαιρετικὸν ἅπασι τὸ πιστεύειν ἐστὶ, καὶ δεκτὸν τοῦτο παρὰ Θεῷ, εἶτα πῶς ἀναγκάζονταί τινες; Καὶ τοῦτο ναὶ γέγονεν οἰκονομικῶς· ἴδει γὰρ, ἴδει τοῖς ἔθνεσιν, ὡς ἀφορήτῳ πλεονεξίᾳ κατεζευγμένοις, καὶ ὑπὸ ζυγὰ πεσοῦσι διαβολικὰ, καὶ οἷονεὶ σειραῖς ἀῤῥήκτοις τῶν οἰκείων πλημμελημάτων ἐνισχημένοις, καὶ οὐκ εἰδόσιν ὅλως τὸν φύσει τε καὶ ἀληθῶς ὄντα Θεὸν, συντονωτέρας κλήσεως, μιμουμένης ἀνάγκης χρείαν, ἵν' ἰσχύσειαν ἀναβλέψαι πρὸς Θεὸν, καὶ τῶν ἱερῶν γεύσασθαι μαθημάτων, καὶ ἀποφοιτῆσαι μὲν τῆς ἀρχαίας ἀπάτης, ἀποπηδῆσαι δὲ τρόπον τινὰ τῆς τοῦ διαβόλου χειρός. Καὶ γοῦν ἔφη Χριστός· « Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ Πατὴρ ὁ πέμψας με ἑλκύσαι αὐτόν. » Ἡ δὲ λέξις ὅλως ἰσχύος ἔργον τῆς θεοπρεποῦς ἀποφαίνει τὴν κλῆσιν. Τοιοῦτόν τι καὶ ὁ προφήτης Δαβὶδ εὑρίσκεται λέγων πρὸς Θεὸν περὶ αὐτῶν· « Ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄξαις τῶν μὴ ἐγγιζόντων πρὸς σέ. »

[96] Act. II, 32; IV, 4. [96] Joan. VII, 48, 49. [97] Joan. VI, 44. [98] Psal. XXXI, 9.

Digitized by Google

Ὁρᾷς ὅπως τινὶ χαλινῷ περιτρέπει πρὸς ἑαυτὸν ὁ τῶν ὅλων Θεὸς τοὺς ἀγρίως ἀποσκιρτήσαντας; Ἀγαθὸς γάρ ἐστι καὶ φιλάνθρωπος, καὶ πάντας τοὺς ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.

A Viden' quomodo freno quodam ad se convertit omnium Deus illos qui ferocius exsultant? Bonus nimirum est hominumque amans, atque « omnes vult salvos fieri, et ad veritatis agnitionem venire [10].

Εἴ τις ἔρχεται πρός με, καὶ οὐ μισεῖ τὸν πατέρα ἑαυτοῦ, κ. τ. λ.

V. 26. *Si quis venit ad me, et non odit patrem suum*, etc.

(A f. 204, B f. 143) Οὐκοῦν λέγων τὸ, Εἴ τις ἔρχεται πρός με, καὶ οὐ μισεῖ τοὺς καθ' αἷμα καὶ αὐτὴν τὴν ψυχήν, οὐ τοὺς τῆς ἐμφύτου φιλοστοργίας ἀτιμάζει νόμους, οὐδὲ τῆς φυσικῆς διαθέσεως, τῆς ὀφειλομένης γονεῦσι μὲν παρὰ τέκνων, γυναιξὶ δὲ παρὰ τῶν συνηρμοσμένων, ἀδελφοῖς δὲ πρὸς ἀδελφοὺς, καταφρονητὰς εἶναι διδάσκει, ἐχθροὺς ποιησαμένους τοὺς οἰκειοτάτους, ἵνα συνῶμεν αὐτῷ καὶ ἀκολουθεῖν ἰσχύσωμεν· ὁ γὰρ κελεύων ἀγαπᾷν τοὺς ἐχθροὺς, πῶς ἂν ἠθέλησε μισεῖν τοὺς κατὰ φύσιν οἰκείους; Οὔτε οὖν ἀγνοῆσαι τὴν φύσιν, οὔτε δουλεῦσαι προστάττει Χριστὸς, ἀλλὰ χρῆσθαι τῇ φύσει πρὸς τὸ ἄμεινον καὶ σωτήριον· συνεπάγεσθαι γὰρ τὸ οἰκεῖον θέλει εἰς τὴν αὐτοῦ Χριστοῦ φιλίαν, ἀλλὰ μὴ ἀφέλκεσθαι διὰ τοῦ οἰκείου τῆς θείας ἀγάπης· ἐπεὶ τό γε τιμᾷν γονέας καὶ αὐτῷ τῷ Κυρίῳ δοκεῖ. Καὶ τὸ ἐκτρέφειν τὰ τέκνα Παῦλος εἰσηγεῖται· ἀλλὰ καὶ γονεῦσιν ὑπακούειν δεῖ, φησὶν, ἐν Κυρίῳ· καὶ νουθεσίᾳ Κυρίου καὶ τὰς ἑαυτῶν γυναῖκας ἀγαπᾷν τοῖς ἀνδράσιν εἰσηγήσατο, ἀλλ' ἐν μιμήσει Χριστοῦ τοῦ τὴν Ἐκκλησίαν ἀγαπήσαντος. Καὶ ταῖς γυναιξὶ δὲ τοὺς ἄνδρας φοβεῖσθαι, ἀλλ' Ἐκκλησίας τύπῳ τῆς φοβουμένης Χριστόν· οὐ γὰρ οἰκείους γε ὄντας τῇ πίστει τοὺς οἰκείους μισητέον. « Εἰ γάρ τις τῶν ἰδίων, φησὶ, καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖ, τὴν πίστιν ἤρνηται. » Ἑνὶ δὲ λόγῳ, προκειμένου σκοποῦ τοῦ Χριστῷ ἀκολουθεῖν, εἴ τι τούτῳ σύμφωνον, αἱρετέον· τὸ δὲ μὴ σύμφωνον, παραιτητέον. Καὶ γὰρ εἰ ζῶντας τὴν ἐν σαρκὶ ζωὴν ἔνεστι τὸ Χριστοῦ σέβας διαφυλάττειν, οὐ φευκτέον τὴν ἐν σώματι ζωὴν, ἀλλὰ συντηρητέον ταύτην, ὡς ὁ Παῦλος, ἡνίκα διὰ θυρίδος ἐν σαργάνῃ χαλασθεὶς, ἐκφεύγει τὰς Ἀρέτα χεῖρας, ἵνα ζῶν ἔτι κηρύττῃ Χριστὸν, καὶ μὴ θᾶττον ἀναιρεθεὶς, ἐμποδίσῃ τὸ κήρυγμα· ὅπου δὲ ἴδοι καὶ τῆς ζωῆς καταφρονεῖν ὑπὲρ τοῦ τελειῶσαι τὸν δρόμον, οὐδὲ τὴν ψυχὴν ἔφη ποιεῖσθαι τιμίαν ἑαυτῷ· καὶ Χριστὸν ἑφ' ἑκάτερα προὐτίθετο σκοπὸν, ἐπί τε τὸ ζῆν καὶ τὸ τεθνάναι. « Ἐμοὶ γὰρ, φησὶ, τὸ ζῆν, Χριστός· καὶ τὸ ἀποθανεῖν, κέρδος. »

B Cum itaque dicit, Si quis venit ad me, et non odit consanguineos suos, ipsamque animam propriam, non profecto congeniti erga propinquos amoris leges contemnit; neque naturalis affectus, quem debent parentibus liberi, uxoribus viri, fratres fratribus, aspernatores nos fieri docet, neque ut maxime necessariorum odium suscipiamus, quo Christo conjungi eumque sectari valeamus. Nam qui inimicos amare præcipit, cur vellet natura propinquos odio haberi? Neque igitur non agnoscere naturam, neque ejus esse mancipium, jubet Dominus, sed natura uti ad res meliores ac salutares. Vult autem propinquos nostros una potius nobiscum ad Christum trahi, quam nos propter propinquos divino amore submoveri. Nam parentes honorari, ipsi Domino placet [1]: ut filii vero nutriantur, docet Paulus [2]; sed et parentibus esse obediendum in Domino ait [3]; et Domini nutu uxores proprias a viris diligendas docet, sed tamen ad Christi imitationem Ecclesiam diligentis [3a]. Vicissim ab uxoribus viros timendos, sed Ecclesiæ exemplo quæ Christum timet [4]. Neque vero cum simus propinqui fide, propinquos odisse debemus. « Si quis enim, inquit C Paulus, suorum et maxime domesticorum curam non habet, fidem **336** negavit [5]. » Ut uno verbo dicam, cum rei summa Christi sequela sit, si quid huic consonat, id eligendum; si quid contra non consonat, id repudiandum. Et siquidem hanc in carne vitam retinentes, Christi religionem tueri possumus, non est corporea vita recusanda, sed potius conservanda, sicut cum Paulus per fenestram in sporta demissus, Aretæ manus vitavit, ut Christum superstes adhuc prædicaret, neque maturius exstinctus magisterio prohiberetur [6]. Cum autem opus erat vitam ipsam negligere ob cursum consummandum, ne animam quidem in pretio habere se dixit [7]; Christumque utraque in re scopum sibi, sive vivendo, sive etiam moriendo proposuerat. « Mihi enim vivere, Christus est; et mori, D lucrum [8]. »

Τίς γὰρ ἐξ ὑμῶν θέλων πύργον οἰκοδομῆσαι, κ. τ. λ.

V. 28. *Quis enim ex vobis volens turrim ædificare*, etc.

(A f. 205, B f. 143) Ὁποία τις ἡ πρόφασις, ἡ πρός γε τούτους παρενεγκοῦσα τοὺς λόγους, εἰπεῖν ἀναγκαῖον. Τὸ εὐαγγελικὸν δεῖπνον ἐν τοῖς προλαβοῦσιν ἔφη τελεῖσθαι μέγα, εἰς ὃ κέκληνται πολλοὶ παρὰ τοῦ προσθέντος αὐτοῖς τὴν πανήγυριν. Ἀλλ' ἦσαν πρὸς τοῦτο ῥᾴθυμοί τινες· παρῃτοῦντο γὰρ, φησὶν, ἀπὸ μιᾶς, λέγοντες, ὁ μὲν ὅτι Ἀγρὸν ἠγόρασα,

Quænam occasio horum sermonum fuerit dicendorum, fari necesse est. Cœnam magnam evangelicam celebratam fuisse in superioribus dictum est, ad quam multi vocati fuerunt ab ejus solemnitatis auctore. Sed nonnullos ejus rei piguit, qui uno ore recusarunt dicentes, alius quidem quod agrum emisset, alius quod boum par comparasset, alius

[10] I Tim. II, 4. [1] Exod. XX, 12. [2] I Tim. V, 10. [3] Ephes. VI, 1. [3a] Ephes. V, 25. [4] Ephes. V, 33. [5] I Tim. V, 8. [6] Act. IX, 23-25; II Cor. XI, 33. [7] Act. XX, 24. [8] Philipp. I, 21.

Digitized by Google

quod uxorem duxisset ideoque venire nequiret: quibus utentes simulatis excusationibus, invitanti molestiam crearunt. Oportuit itaque apertissime nos cognoscere, vocante Deo, cunctas caruis cupiditates aspernari debere. Deinde duas profert similitudines, ut familiares suos ad invictam fortitudinem acuat. Si quis enim voluerit, inquit, turrim ædificare, paratis antea quæ ad illius structuram pertinent, sic demum ædificium aggredietur. Et si quis rex eat committere bellum cum alio rege, prius cogitat utrum satis validus ad resistendum sit, necne: ut vel decertare audeat, vel pacem præoptet. Hoc idem etiam a credentibus exigit: oportet enim eos qui nobilem irreprehensibilemque vitam agere decreverunt, idoneum huic rei vigorem mente concipere; ac meminisse **337** dicentis: « Fili, si accedes ad serviendum Domino, præpara animam tuam ad tentationem; dirige cor tuum, et sustine[9]. » Quibus hic vigor non inest, quomodo hi poterunt propositum sibi scopum attingere? — Quid autem hinc significatur? « Non est nobis colluctatio adversus sanguinem et carnem, sed adversus spiritales nequitias, in cœlestibus [10]. » Est et aliorum nobis adversantium agmen, carnalis affectus, in membris nostris lex concitans multifarias passiones. Adversus hæc nobis est lucta, hæc est inimicorum sæva multitudo. Quomodo ergo superiores erimus? Tum demum cum crediderimus, quod « in Deo faciemus virtutem, uti scriptum est [11]; et ipse ad nihilum deducet eos qui tribulant nos. » Cum ita semet comparasset quidam de sanctis prophetis, aiebat: « En Dominus auxiliatur mihi, quis me affliget [12]? » Canit alicubi etiam divus David: « Dominus illuminatio mea et salvator meus; quem timebo [13]? » et reliqua. Ipse enim est fortitudo nostra.

ὁ δὲ ὅτι Ζεύγη βοῶν ἐπριάμην, ὁ δὲ ὅτι Γυναῖκα ἔγημα, καὶ οὐ δύναμαι ἐλθεῖν· καὶ τοιαύταις τισὶν εὐρεσιλογίαις χρώμενοι, λελυπήκασι τὸν κεκληκότα. Ἔδει τοίνυν ἡμᾶς εἰδέναι καὶ μάλα σαφῶς, ὅτι Θεοῦ καλοῦντος εἰς ἑαυτὸν, τῶν εἰς σάρκα καὶ περὶ αὐτὴν ἐπιθυμιῶν καταφρονητὰς εἶναι προσήκει. Εἶτα δυσὶ κέχρηται παραδείγμασιν, ἀκονῶν εἰς ἄμαχον εὐανδρίαν τοὺς ἑαυτοῦ γνωρίμους. Εἰ γὰρ δή τις βούλοιτο, φησὶν, οἰκοδομῆσαι πύργον, τὰ πρὸς ἀπαρτισμὸν ἑτοιμασάμενος πρότερον, οὕτως τῇ οἰκοδομῇ ἐπιβάλλεται· [καὶ εἴ τις βασιλεὺς πορεύῃ συμβαλεῖν ἑτέρῳ βασιλεῖ εἰς πόλεμον, πρῶτον βουλεύεται] εἰ εὐσθενὴς ἢ πρὸς ἀντίστασιν, ἢ μή· ἵν' ἢ θαρρήσῃ τὸν πόλεμον, ἢ τὴν εἰρήνην ἕλοιτο. Ταὐτὸ δὴ τοῦτο καὶ τοὺς πιστεύοντας ἀπαιτεῖ· δεῖ γὰρ τοὺς τὴν εὐκλεᾶ καὶ ἀμώμητον ζωὴν κατορθοῦν ἑλομένους, τὴν ἀρκοῦσαν εἰς τοῦτο προθυμίαν ἐγκαταθέσθαι τῷ νῷ, μεμνῆσθαί τε τοῦ λέγοντος· « Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν· εὔθυνον τὴν καρδίαν σου, καὶ καρτέρησον. » Οἷς δὲ οὐκ ἔνεστι προθυμία τοιαύτη, οὗτοι πῶς ἂν ἰσχύσειαν τὸν προτεθέντα αὐτοῖς ἀποπερᾶναι σκοπόν; — (A f. 203) Τί τὸ ἐντεῦθεν ὑποδηλούμενον; « Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰ πνευματικὰ τῆς πονηρίας, ἐν τοῖς ἐπουρανίοις. » Ἔστι δέ τις καὶ ἑτέρων ἡμῖν πολεμίων ἐσμὸς, τὸ φρόνημα τῆς σαρκὸς, ὁ ἐν τοῖς μέλεσιν ἡμῶν ἀγριαίνων νόμος τὰ πολύτροπα πάθη· πρὸς ταῦτα ἡμῖν ἡ πάλη, αὕτη τῶν ἐχθρῶν ἡ ἀγρία πληθύς. Πῶς οὖν ἄρα περισόμεθα; Ὅταν πιστεύωμεν, ὅτι « ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν, κατὰ τὸ γεγραμμένον, καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς. » Οὕτως αὐτὸς ἑαυτὸν διαθεὶς, ἔφη τις τῶν ἁγίων προφητῶν· « Ἰδοὺ Κύριος βοηθεῖ μοι, τίς κακώσει με; » Ψάλλει δέ που καὶ ὁ θεσπέσιος Δαβίδ· « Κύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι; » καὶ τὰ λοιπά. Αὐτὸς γὰρ ἐστιν ἡμῶν ἡ ἰσχύς.

A

B

C

V. 34. *Bonum est sal.*

Sicut enim absque sale neque panis neque obsonium edibile est, ita sine apostolica sapientia ac magisterio, quævis anima fatua et inodora, neque jucunda Deo est. Esto itaque in nobis sal, id est divina salutaris doctrina; quam si negligemus, fatui erimus, et insipientes, et usquequaque inutiles (1).

Καλὸν τὸ ἅλας.

(A f. 206, C f. 139 b) Ὥσπερ δὲ ἄνευ ἁλὸς, οὔτε ἄρτος, οὔτε ὄψον ἐδώδιμον, οὕτως ἄνευ τῆς ἀποστολικῆς συνέσεως καὶ διδασκαλίας, πᾶσα ψυχὴ μωρὰ καὶ ἄνοστος [dic ἄνομος], καὶ οὐχ ἡδεῖα παρὰ Θεῷ. Ἔστωσαν οὖν ἐν ἡμῖν οἱ ἅλες, τουτέστιν οἱ θεῖοί τε καὶ σωτήριοι λόγοι, ὧν ἐὰν καταφρονήσωμεν, ἐσόμεθα μωροὶ καὶ ἀσύνετοι καὶ ἀχρεῖοι παντελῶς.

D

CAP. XV.

V. 1. *Erant autem appropinquantes ei publicani omnes et peccatores, ut audirent illum.*

« Misit de cœlo Filium Deus Pater, non ut mundum judicet, sicut ipsemet ait, sed ut salvetur mundus per ipsum [14]. » Age vero quomodo salvari

ΚΕΦΑΛ. ΙΕ'.

Ἦσαν δὲ ἐγγίζοντες αὐτῷ πάντες οἱ τελῶναι καὶ οἱ ἁμαρτωλοὶ ἀκούειν αὐτοῦ.

(A f. 206) « Πέπομφεν ἐξ οὐρανοῦ τὸν Υἱὸν ὁ Θεὸς καὶ Πατὴρ, οὐχ ἵνα κρίνῃ τὸν κόσμον, καθά φησιν αὐτὸς, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ. » Εἶτα πῶς

[9] Eccli. II, 1. [10] Ephes. VI, 12. [11] Psal. LIX, 14. [12] Isa. L, 9. [13] Psal. XXVI, 1. [14] Joan. III, 17.

(1) Hic prosequitur in catena Lat. Corderii Cyrillus. « Per terram siquidem insinuatur, id quod utilitatem capiat; per sterquilinium autem, quod prosit. Vos igitur qui constituti estis ut toti mundo prositis, atque aliis etiam prodesse possitis, rejicimini, et ad nihilum futuri estis utiles. *Qui habet aures audiendi audiat.* Hoc est, qui habet intellectum, intelligat; qui habet mentem comprehendat. Symbolice enim atque ænigmatice aures hoc loco sensitivam virtutem animæ, et ad intelligendum habitudinem significant. »

Digitized by Google

ἔδει σωθῆναι τὸν κόσμον, τοῖς τῆς ἁμαρτίας ἁλόντα βρόχοις; Ἆρα δίκας ἀπαιτούμενον, ἢ μᾶλλον εὐεργετούμενον, ἀνεξικακοῦντος Θεοῦ, καὶ οἷον λήθῃ παραδιδόντος τὰ παρῳχηκότα, καὶ εἰς ἁγίαν ζωὴν ἀναπλάττοντος τοὺς εὖ βιοῦν οὐκ εἰδότας; Τί οὖν, εἰπέ μοι, διαγογγύζεις, ὦ Φαρισαῖε, τελώναις καὶ ἁμαρτωλοῖς οὐκ ἀπαξιώσαντος συνεῖναι Χριστοῦ, καὶ ταύτην αὐτοῖς τῆς σωτηρίας ὁδὸν οἰκονομικῶς κατασκευάζοντος; Ταύτης ἕνεκα τῆς αἰτίας καθῆκεν ἑαυτὸν εἰς κένωσιν, καὶ ἐν ὁμοιώσει γέγονε τῇ πρὸς ἡμᾶς. Ἆρ' οὖν ἐπιπλήττεις τῇ μετὰ σαρκὸς οἰκονομίᾳ τοῦ Μονογενοῦς; Καίτοι τεθαυμάκασιν οἱ μακάριοι προφῆται τοῦ μυστηρίου τὸ εὐτεχνές. Ψάλλει γὰρ ὁ προφήτης Δαβὶδ καί φησι· « Ψάλατε συνετῶς, ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη. » Ὁ δέ γε Ἀμβακοὺμ ἀκηκοέναι φησὶ τὴν ἀκοήν, κατανοῆσαι δὲ καὶ τὰ ἔργα, καὶ εἰς ἔκστασιν ἐλθεῖν· πῶς οὖν ἃ θαυμάζειν ἐχρῆν, ταῦτα καταψέγων οὐκ ἐρυθριᾷς; Πεπλάνηται τὸ ἐπὶ γῆς γένος, ἀπώλισθε τῆς χειρὸς τοῦ ἀρχιποίμενος· γέγονε διὰ τοῦτο καθ' ἡμᾶς, ὁ τὰς ἄνω καὶ ἐν οὐρανῷ ποιμαίνων ἀγέλας, ἵνα καὶ ἡμᾶς τοῖς ἰδίοις ἐναυλίσῃ σηκοῖς· ἵνα συνάψῃ τοῖς μὴ πεπλανημένοις, καὶ ἀποσοβήσῃ τὸν θῆρα τὸν ἁλιτήριον, ἀποστήσῃ δὲ καὶ ὥσπερ τι ληστρικὸν καὶ ἀνόσιον στίφος τοὺς ἀκαθάρτους δαίμονας, οἳ πεπλανήκασι τὴν ὑπ' οὐρανόν· ἐζήτησε τοίνυν τὸ ἀπολωλὸς, καὶ τὰς τῶν Ἰουδαίων ἐπ' αὐτῷ δὴ τούτῳ φιλοψογίας εἰκαίας καὶ κενὰς ἀπέδειξεν.

A mundum oportebat, qui peccatorum laqueis captus erat? Num expetendo **338** ab eo pœnas, an potius benefaciendo, ita ut Deus patientiam expromeret, et oblivioni veluti peccata traderet, atque ad sanctam vitam eos reformaret qui bene vivere non solebant? Cur ergo dic mihi, Pharisæe, obloqueris, quia cum publicanis et peccatoribus non dedignatur Christus versari, et hanc eis salutis viam prudenter munire? Hanc ob causam demisit se ad exinanitionem, et similis factus est nobis. Ergone vituperas Unigeniti in carne dispensationem? Atqui admirati sunt beati prophetæ mysterii egregium artificium. Psallit enim propheta David dicens: « Psallite sapienter, regnavit Deus super gentes [15]. » Habacucus autem audisse se auditionem B dicit, opera quoque contemplatum, et obstupuisse [16]. Cur ergo dum quæ admirari oporteret vituperas, non erubescis? Errabat in orbe hominum genus, a supremi pastoris manu discesserat. Ideirco ad nos venit, qui supernos cœlorum pascit greges, ut nos quoque in suum ovile compelleret, ut iis conjungeret qui non deerraverant, ut exitiosam belluam arceret, et tanquam latrocinale impium agmen impuros dæmones repelleret, qui mundum erroribus implicuerant. Quæsivit ergo quod perierat, et Judæorum contra se cavillationes vanas futilesque demonstravit.

Τίς ἄνθρωπος ἐξ ὑμῶν ἔχων ἑκατὸν πρόβατα, κ. τ. λ.

V. 4. *Quis ex vobis habens oves centum*, etc.

C

(A f. 207) Ἀλλά μοι σύνες ἐνταῦθα, ἀγαπητὲ (1), τῆς τοῦ Σωτῆρος ἡμῶν βασιλείας τὸ πλάτος, καὶ τῆς ἐφ' ἡμῖν οἰκονομίας τὸ εὐτεχνές. Ἑκατὸν μὲν γὰρ εἶναί φησι τὰ πρόβατα, εἰς πληθὺν ἀναφέρων τὴν ἀρτίως ἔχουσαν καὶ τελειοτάτην, τῶν ὑπεζευγμένων αὐτῷ λογικῶν τὸν ἀριθμόν· ἀεὶ γάρ πώς ἐστι τέλειος ὁ ἑκατὸν ἀριθμὸς, ἐκ δέκα δεκάδων συγκείμενος· μεμαθήκαμεν δὲ καὶ ἐκ τῆς θεοπνεύστου Γραφῆς, ὅτι χίλιαι χιλιάδες λειτουργοῦσι Θεῷ, καὶ μύριαι μυριάδες τὸν ὑπέρτατον αὐτοῦ περιεστήκασι θρόνον. Ἑκατὸν οὖν ἄρα τὰ πρόβατα· πεπλάνηται δὲ ἓν ἐξ αὐτῶν, τουτέστι τὸ ἐπὶ γῆς γένος, ὃ δὴ καὶ ἐζήτησεν ὁ πάντων ἀρχιποίμην, ἀφεὶς ἐν τῇ ἐρήμῳ, τῷ ἄνω τόπῳ καὶ οὐρανίῳ τῷ πλήρει γαλήνης, τὰ ἐνενηκονταεννέα. Ἆρ' οὖν ἀφειδήσας τῶν πολλῶν, τῆς ἐφ' D ἑνὶ μόνῳ γέγονε φειδοῦς; Οὐκ ἀφειδήσας. Πόθεν; Εἰσὶ γὰρ, εἰσὶν ἐν ἀσφαλείᾳ, περιφραττούσης αὐτὰ τῆς πανσθενεστάτης χειρός. Κατοικτείρεσθαι δὲ μᾶλλον ἐχρῆν τὸ ἀπολωλὸς, ἵνα μηδὲν ὁρῷτο τὸ ἐλλειποῦς τῇ ἑτέρᾳ πληθύϊ· προσεπενηνεγμένου δὲ τοῦ ἑνὸς, ἔχῃ τὸ ἴδιον κάλλος ἡ ἑκατοντάς.

Age vero hic mecum considera, o charissime, quanta sit regni Servatoris nostri latitudo, et operis pro nobis suscepti solertia. Centum ait esse oves, ad plenum et perfectissimum cumulum referens rationalium sibi subjectorum numerum. Semper enim perfectus est centenarius numerus, ex decadibus decem conflatus. Discimus enim ex inspirata Scriptura millies mille ministros inservire Deo, et dena millia denum millium sublimem ejus circumdare thronum [17]. Hæ sunt videlicet centum **339** oves quarum una de grege aberravit, id est terrenum genus, quod summus omnium Pastor requisitum ivit, relictis in eremo, id est, in excelso cœlesti plenoque tranquillitatis loco, reliquis nonaginta novem. Num itaque neglectis multis, uni curam impendit? Haud certe neglectis. Cur? quia in omnimoda illæ securitate versantur, ab omnipotente dextera custoditæ. Misereri autem potius oportebat ejus quæ perierat, ut nihil reliquæ multitudini deesse videretur: nam hac una reducta, pulchre completur centenarius numerus.

Καὶ φέρε τὸ χρῆμα καὶ δι' ἑτέρου παραστήσωμεν παραδείγματος, συναγορεύοντες πανταχοῦ τῇ ἀπαραβλήτῳ γαληνότητι τοῦ πάντων ἡμῶν Σωτῆρος Χρι-

Sed age, hanc rem alio quoque exemplo exponamus, ut benignitatem incomparabilem omnium nostrum Servatoris Christi magis illustremus. Sint,

[15] Psal. XLVI, 8. [16] Habac. III, 2. [17] Dan. VII, 10.

(1) Recole notam ad vers. 2 capitis XI, supra. Quanquam ita alloqui etiam lectorem potuit Cyrillus.

Digitized by Google

puta, una in domo contubernales multi, quorum unus in morbum decidat. Cujusnam causa periti medicinæ advocabuntur? nonne unius qui infirmitate laborat? Attamen sine cæterorum contemptu, invocati medici infirmo uni artis suæ subsidia conferunt, quia sic occasio postulat et necessitas. Prorsus itaque oportebat universalem Dominum Deum, salutarem manum vaganti ovi præbere; quam reapse servavit summus Pastor : requisivit enim errantem, constituit nobis ovile totum, feris impervium ac latronibus, id est, Ecclesiam; quam merito admirantes, cum propheta dicimus: « Ecce urbs munita nobisque salutaris; ponet murum et circumvallationem [18]. » Idem quoque sensus erit ejus quæ mox sequitur parabolæ, in qua mulier ex decem quas habuit drachmas, unam amisisse dicitur, et mox lucernam accendisse; et ob inventam drachmam magnopere gavisa, eamque rem summæ sibi lætitiæ ascripsisse. Sic autem se habet parabola :

V. 8. *Mulier decem habens drachmas*, etc.

Ex superiore quidem parabola, in qua errabunda ovis terrestre hominum genus repræsentavit, didicimus creaturam nos esse summi Dei, qui res antea non exsistentes creavit. « Ipse enim fecit nos, et non ipsi **340** nos, » quemadmodum scriptum est [19]. « Et ipse quidem Deus noster est, nos vero populus pascui ejus, et oves manus ipsius [19]. » Hac autem secunda parabola, in qua res perdita drachmæ comparatur, ex illarum rursus numero denario, id est, perfecto, seu plenam summam efficiente (nam perfectus est etiam denarius numerus, qui a monade sursum seriatim ducitur), demonstratur omnino, ad regalem similitudinem ac imaginem, id est, Dei summi, nos esse creatos. Nam drachma nummus est, qui regium vultum gerit impressum. Quod autem lapsi quodammodo ac deperditi, a Christo inventi simus, atque ei per sanctificationem atque justitiam conformati, quis dubitabit? ita scribente beato Paulo : « Nos vero omnes revelata facie gloriam Domini speculantes, in eamdem imaginem transformamur, de gloria in gloriam, tanquam a Domini Spiritu [20]. » Scribit etiam in Epistola ad Galatas sic : « Filioli, quos iterum parturio, donec formetur in vobis Christus [21]. » Facta est enim rei perditæ conquisitio, lucernam accendente muliere. Quippe a Dei Patris sapientia inventi fuimus, Filio scilicet, luce in nobis incendente divino intellectuali lucifero, justitiæque exoriente sole, dieque illucescente, sicuti scriptum est [22]. Et quidem per unum de sanctis prophetis ait alicubi Deus de omnium nostrum Servatore Christo : « Cito appropinquat justitia mea, et misericordia mea mox revelanda est, et salutare meum ceu lampas accendetur [23]. » Ipsemet vero de se aiebat;

στοῦ. Ὑποκείσθω γὰρ ἐν ἑνὶ μὲν οἴκῳ διαιτᾶσθαι πολλούς, ἑνὶ δὲ συμβῆναι τὸ ἀῤῥωστίᾳ περιπεσεῖν· ἆρ' οὖν ἐπὶ τίνι κληθεῖεν ἂν οἱ θεραπεύειν εἰδότες; οὐκ ἐπὶ μόνῳ πεσόντι εἰς ἀῤῥωστίαν; Ἀλλ' οὐκ ἀφειδήσαντες τῶν πολλῶν, ὄρῳεν ἂν τοῦτο οἱ κεκλημένοι πρὸς θεραπείαν, ἑνὶ δὲ τῷ κάμνοντι τὰς ἐκ τῆς τέχνης ἐπικουρίας δωρούμενοι, καὶ καιροῦ καὶ χρείας καλούσης εἰς τοῦτο. Ἔδει δὴ οὖν, ἔδει τὸν τῶν ὅλων κατεξουσιάζοντα Θεὸν τῷ πεπλανημένῳ χεῖρα νεῖμαι τὴν σώζουσαν· σέσωκεν ὁ ἀρχιποίμην· ἐζήτησε γὰρ τὸ πεπλανημένον, ἔστησεν αὐλὴν ἡμῖν ἄσυλον καὶ ἀνάλωτον καὶ θηρσὶ καὶ λῃσταῖς, φημὶ δὲ τὴν Ἐκκλησίαν· ἣν δὴ καὶ θαυμάζοντες, ἐκεῖνό φαμεν τὸ διὰ τῆς τοῦ προφήτου φωνῆς· « Ἰδοὺ πόλις ὀχυρὰ καὶ σωτήριος ἡμῖν, θήσει τεῖχος καὶ περίτειχος. » Ὁ αὐτὸς δ' ἂν εἴη νοῦς τῆς εὐθὺς καὶ ἐφεξῆς κειμένης παραβολῆς, ἐν ᾗ γυναῖκά φησι δραχμὰς ἔχουσαν δέκα, μίαν ἐξ αὐτῶν ἀπολέσαι· εἶτα λύχνον ἅψασαν καὶ εὑροῦσαν, ἡσθῆναι λίαν ἐπ' αὐτῷ δὴ τούτῳ, καὶ θυμηδίας τῆς ἀνωτάτω πρόφασιν τὸ χρῆμα ποιήσασθαι. Ἔχει δὲ οὕτως ἡ παραβολή·

Γυνὴ δραχμὰς ἔχουσα δέκα, κ. τ. λ.

(A f. 207, B f. 146) Διὰ μὲν τῆς προτέρας παραβολῆς, ἐν ᾗ πρόβατον πεπλανημένον τῆς γῆς ἀπεδείκνυτο γένος, ἐμανθάνομεν ὅτι κτίσις ἐσμὲν τοῦ ἐπὶ πάντας Θεοῦ, ὡς παρενεγκόντος εἰς ὕπαρξιν οὐκ ὄντα ποτέ· « Αὐτὸς γὰρ ἐποίησεν ἡμᾶς, καὶ οὐχ ἡμεῖς, » κατὰ τὸ γεγραμμένον. « Καὶ αὐτὸς μέν ἐστι ὁ Θεὸς ἡμῶν, ἡμεῖς δὲ λαὸς νομῆς αὐτοῦ, καὶ πρόβατα τῆς χειρὸς αὐτοῦ. » Διὰ δὲ τῆς δευτέρας ταύτης, ἐν ᾗ δραχμὴ παρεικάζεται τὸ ἀπολωλὸς, ὡς ἐκ δέκα πάλιν, τουτέστιν ἐκ τελειότητος, ἤτοι πλήθους τῆς ἀρτίως ἐχούσης εἰς ἀριθμὸν (τέλειος γὰρ καὶ ὁ δέκα, τὴν ἐκ μονάδος ἀναφοίτησιν ἔχων εἰς τὸν ἐπέκεινα δρόμον), διαδείκνυται σαφῶς ὅτι καθ' ὁμοίωσιν καὶ κατ' εἰκόνα γεγόναμεν τὴν βασιλικὴν, τουτέστι τὴν τοῦ ἐπὶ πάντας Θεοῦ. Ἡ γάρτοι δραχμὴ νόμισμά που πάντως ἐστὶ, χαρακτῆρας ἔχον βασιλικούς. Ὅτι δὲ πεσόντες τρόπον τινὰ καὶ ἀπολωλότες εὑρήμεθα παρὰ Χριστοῦ, καὶ πρὸς αὐτὸν μεμορφώμεθα δι' ἁγιασμοῦ καὶ δικαιοσύνης, πῶς ἂν ἐνδοιάσειέ τις; γεγραφότος ὠδὶ τοῦ μακαρίου Παύλου· « Ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα, ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου Πνεύματος. » Ἐπιστέλλει δὲ καὶ Γαλάταις ὠδί· « Τεκνία, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. » Γέγονε δὲ τοῦ πεσόντος ἡ ζήτησις, λύχνον ἁψάσης τῆς γυναικός· εὑρήμεθα γὰρ παρὰ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς σοφίας, ἥτις ἐστὶν ὁ Υἱὸς, φωτὸς ἐν ἡμῖν ἀναλάμψαντος τοῦ θείου καὶ νοητοῦ ἑωσφόρου, καὶ τοῦ ἡλίου τῆς δικαιοσύνης ἀνατείλαντος, καὶ διαυγαζούσης ἡμέρας, κατὰ τὸ γεγραμμένον. Καὶ γοῦν δι' ἑνὸς τῶν ἁγίων προφητῶν ἔφη που Θεὸς περὶ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· « Ἐγγίζει ταχὺ ἡ δικαιοσύνη μου ἀποκα-

[18] Isa. xxvi, 1. [19] Psal. xcix, 3. [19] Psal. xciv, 7. [20] II Cor. iii, 18. [21] Galat. iv, 19. [22] II Petr. i 19. [23] Isa. lxii, 1.

Digitized by Google

λυφθῆναι, καὶ τὸ σωτήριόν μου ὡς λαμπὰς καυθήσεται. » Καὶ αὐτὸς δέ φησι περὶ ἑαυτοῦ, ποτὲ μὲν, ὅτι « Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· » ποτὲ δὲ πάλιν, ὅτι « Ἐγὼ φῶς εἰς τὸν κόσμον τοῦτον ἐλήλυθα· ὁ ἀκολουθῶν ἐμοὶ, οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. » Οὐκοῦν ἐν φωτὶ σέσωσται τὸ ἀπολωλὸς, καὶ γέγονε ταῖς ἄνω δυνάμεσι θυμηδία τὸ χρῆμα· χαίρουσι γὰρ καὶ αὐταὶ καὶ ἐφ' ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι· καὶ τοῦτο αὐτὸς ἡμᾶς ἐδίδαξεν ὁ πάντα εἰδώς. Εἰ δὲ ἐφ' ἑνὶ τῶν σωζομένων ἑορτάζουσι, τὸν θεῖόν που πάντων ἰχνηλατοῦντες σκοπὸν, καὶ ἀκαταλήκτοις εὐφημίαις τὴν τοῦ σώζοντος ἡμερότητα κατακρατεῖν εἰθισμένοι, ὁποίας ἂν τις αὐτοὺς εὐφροσύνης ἀναπίμπλασθαι φαίη ἄν, ὅλης ἀνασεσωσμένης τῆς ὑπ' οὐρανὸν, καὶ διὰ τῆς ἐν Χριστῷ πίστεως κεκλημένης εἰς ἐπίγνωσιν ἀληθείας;

A modo quidem: « Ego sum lux mundi. » Modo rursus [24]: « Ego lux in hunc mundum veni. Qui sequitur me, non ambulabit in tenebris, sed vitæ lumen habebit [25]. » Ergo in luce salvata fuit res perdita, idque supernas virtutes gaudio complevit. Nam et ipsæ de uno peccatore pœnitentiam agente lætantur, ut ille nos docuit qui omnia scit. Quod si vel uno salvato cœlestes illi festum agunt, Dei scopum semper sectantes, perpetuisque laudibus 341 divinam clementiam magnificare soliti, quanta demum lætitia eos affectos dicemus, universo terrarum orbe salvato, et per fidem in Christum ad veritatis agnitionem vocato?

Ἄνθρωπός τις εἶχε δύο υἱούς.

B V. 11. *Homo quidam habuit duos filios.*

(E f. 227) Ἤτησεν ἄσωτος (1) τὸ ἐπιβάλλον· ἔλαβεν, ἀπεδήμησεν, ἐδαπάνησεν· εἶτα ἐν ἐνδείᾳ γέγονε παντὸς ἀγαθοῦ, καὶ τῶν θεοσδότων χαρισμάτων ἐν σπάνει, καὶ οἷον λιμῷ κατεφθείρετο, τὸν ἄρτον οὐκ ἔχων τὸν ἐξ οὐρανοῦ· « Οὐ γὰρ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ. » Ἐφαρμόσειε δ' ἂν τις τὴν παραβολὴν καὶ τοῖς ἐξ ἐθνῶν. Ἔφη γάρ, ἀνθρώπῳ τινὶ δύο μὲν υἱοὺς γενέσθαι· εἶναι δὲ ἕνα μὲν αὐτῶν ἐπιεικῆ, τὸν δὲ ἕτερον ἄσωτον, ὃς δὴ καὶ κατεδηδοκὼς τὸ ἐκνεμηθὲν αὐτῷ τῆς οὐσίας μέρος, εἶτα λιμῷ πιεσθεὶς, τοῖς κερατίοις προσέβαλεν ἅπερ ἤσθιον οἱ χοῖροι. Τοιοῦτόν τι πεπονθότας τοὺς ἀποπεπλανημένους εὑρήσομεν. Ἐν ἴσῳ μὲν γὰρ ἅπασι δέδωκεν ὁ Δημιουργὸς, ὥσπερ τινὰ κλῆρον, τὴν τῆς φύσεως ἐπιτηδειότητα πρὸς τὸ ἀγαθόν· ἀλλ' οἱ μὲν διέσωσαν τὸ δοθὲν, τοῖς θείοις ἀκολουθήσαντες νόμοις, καὶ φυσικαῖς ἐννοίαις χειραγωγούμενοι πρὸς πᾶν ὁτιοῦν τῶν οὐκ ἐκτόπων· οἱ δὲ ἡμοιρηκότες εἰς ἄπαν τῆς ἄνωθεν ἡμερότητος καὶ φειδοῦς καὶ ἀγάπης, ἐν σπάνει γεγόνασι τῶν τῆς ἀρίστης ζωῆς αὐχημάτων, καὶ τροφὴν ἐσχήκασι τὰς Ἑλλήνων ψευδομυθίας, ἐν τάξει παρατίων νοουμένας, οἷς ἔνεστι μὲν βραχὺ τὸ γλυκὺ, ἀτροφία δὲ πολλὴ καὶ ξηρότης· καί γε κατέβοσκεν αὐτοὺς ὁ Σατανᾶς ταῖς Ἑλλήνων ψευδηγορίαις, καὶ ταῖς τῶν παρ' αὐτοῖς λογάδων ἀνοήτοις εὐστομίαις· μῦθοι γὰρ καὶ ἕτερον οὐδὲν καὶ γραοπρεπῆ τερατεύματα τὰ παρ' ἐκείνοις εἰσὶ δικαιώματα. Καὶ ἔστιν ἡ τοῦ κόσμου σοφία διὰ τὸ τῆς λέξεως εὐηχες χαλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον. Οὐκοῦν ἐτρέφοντο μὲν πάλαι τοῖς Ἕλληνικοῖς συγγράμμασιν, οὐδεμίαν ὄνησιν εἰς κατόρθωσιν τῆς ἀρετῆς ἐργάσασθαι δυναμένοις. Ἐπειδὴ δὲ ἐξεζήτησαν τὸν Θεὸν, καὶ ἀπὸ τῆς μακρᾶς πλάνης ἐπανῆλθον, ὡς νεκροὶ μὲν ἀνέζησαν, ὡς δὲ ἀπολωλότες εὑρέθησαν. Τῶν μὲν γὰρ ἔτι πλανωμένων, καὶ τὸν φύσει Θεὸν οὐκ εἰδότων, νεκρός τέ ἐστι καὶ οἱονεὶ ἀπεψυγμένος ὁ νοῦς, καὶ νεκρῶν ἔργων ἐπιμελητής· ταῦτα δέ ἐστι τὰ θελήματα τῆς σαρκός·

Partem suam postulavit prodigus, accepit, procul abiit, consumpsit. Deinde ad omnium bonorum egestatem redactus, et divinorum charismatum penuria pressus, fame veluti absumebatur, panem cœlestem desiderans. « Non enim in solo pane vivit homo, sed in omni verbo quod procedit de ore Dei [26]. » Licet etiam accommodare parabolam ethnicis. Ait enim: « Homini cuidam duo erant liberi, quorum unus sobrius, alter prodigus, qui consumpta contingente sibi patrimonii portione, deinde fame urgente, glandes quibus porci vescebantur cœpit gustare. » Simile quiddam contigisse peccatoribus comperiemus. Æque enim omnibus dedit Creator, quasi patrimonium quoddam, naturalem C ad bene agendum facultatem: sed quidam rem datam conservarunt, divinis obsequentes legibus, et naturali indole ad quamlibet honestatem pellecti. Alii autem a superna bonitate, clementia, et charitate destituti, penuriam rectorum vitæ morum experti sunt, escamque habuerunt ethnicorum fabulas, quas glandium instar reputare licet, quibus parum quid dulcedinis inest, multa vero alimenti inanitas et ariditas. Profecto alebat eos Satanas ethnicorum falsis doctrinis, et præcipuorum inter ipsos vaniloquentia. Fabulæ enim, nihilque aliud, quam aniles nugæ sunt, illorum de justitia præcepta. Porro est mundi sapientia, ob sermonis harmoniam, æs sonans et cymbalum tinniens. Olim itaque pascebantur ethnicorum scriptis, nullum ad vitæ emendationem conferre emolumentum D valentibus. Sed postquam Deum requisiverunt, 342 et a longo errore regressi sunt; qui mortui erant revixerunt, et qui perierant inventi sunt. Certe illorum qui adhuc errant, neque verum Deum agnoscunt, emortua mens est et quasi exanimis, nec nisi operum mortuorum studiosa; cujusmodi sunt carnis cupiditates. Illorum vero qui ad Deum sunt conversi, veritatemque agnoverunt, non est

[24] Joan. VIII, 12. [25] Joan. XII, 46. [26] Matth. IV, 4.

(1) Citatur hoc fragmentum in Macarii codice catenæ ad Lucam ex Cyrillo in Psalmos; veruntamen quia psalmus ad quem pertinet non nominatur; huic vero loco Lucæ cap. XV, 11, aptissime convenit, hic a me, prout jam fecit Macarius, retinetur.

Digitized by Google

mens emortua; imo vero a Christo vivificata, vivit maxime, et utilium vitæ officiorum studium gerit: a mortuis se subtrahit operibus, et æternam vitam affectat, illam, inquam, quæ in futuro sæculo fidelibus suis a Christo donabitur.

τῶν γε μὴν ἐπιστρεψάντων πρὸς Θεὸν, καὶ ἐπεγνωκότων τὴν ἀλήθειαν, οὐκ ἔστι νεκρὸς ὁ νοῦς· τὴν παρὰ Χριστοῦ δὲ ζωοποίησιν πεπλουτηκὼς, ζῇ μᾶλλον, καὶ τῶν εἰς ζωὴν σπουδασμάτων ποιεῖται φροντίδα· καὶ νεκρῶν μὲν ἔργων ἀποφοιτᾷ, ἐπιθυμεῖ δὲ τῆς εἰς αἰῶνα ζωῆς, τῆς ἔν γε, φημὶ, τῷ αἰῶνι τῷ μέλλοντι δοθησομένης παρὰ Χριστοῦ τοῖς πιστεύσασιν εἰς αὐτόν.

Videtur nonnullis par hoc filiorum significare sanctos angelos, simulque nos terræ incolas; ita ut senioris persona, utpote qui modeste vixerit, angelorum ordinem denotet; junioris autem et luxuriosi persona, humanum genus. Sunt etiam ex nostris aliqui, qui alia via incedentes, per seniorem quidem frugi vitæ filium, designari Israelis populum; per alterum vero, qui vivere voluptarie voluit, et a patre discessit, gentium describi multitudinem. Atqui ego ab istorum sententiis plane recedo. Quisquis vero eruditior est, veritatem exploret. Nam si ad angelorum personam sobrium illum anagogice referamus, haud comperiemus dici ab eo sanctis angelis digna verba, neque ita ut illos affectum erga reduces a peccatis ad pœnitentiam. Namque omnium Servator ac Dominus gaudium fieri ait in cœlis coram angelis sanctis, propter unum pœnitentem peccatorem. At ille qui in hac parabola depingitur filius, ut patri acceptus, et inculpabili more ornatus, stomachatus dicitur, et adeo procul benivola mente fuisse, ut etiam patri exprobraverit erga salvatum filium charitatem. Non enim voluit, inquit Scriptura, convivio interesse, moleste ferens, quod filius pœnitens et vix **343** a culpa resipiscens, receptus esset, quod vitulus ejus causa occisus, et quod amicorum solemnem cœtum propter ipsum pater convocasset. Hæc angelorum, ut dixi, voto repugnant, qui lætantur Deumque canticis laudant quotiescunque mundi incolas salvari vident. Quare tum quoque cum Bethleemi nasci secundum carnem de muliere passus est Filius, pastoribus lætum nuntium referebant dicentes: « Nolite timere vos; ecce enim nuntiamus vobis gaudium magnum, quod fiet universo populo, quia natus est vobis hodie salvator Christus Dominus in Davidis civitate [27]. » Hymnis autem et laudationibus natum ornantes aiebant: « Gloria in altissimis Deo, et in terra pax, in hominibus bona voluntas [28] » γίαις στεφανοῦντες τὸν γεγεννημένον, ἔφασκον· « Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. »

(A f. 208, E f. 218 b) Δοκεῖ μέν τισι διὰ τῆς τῶν υἱῶν δυάδος, τοὺς ἁγίους ἀγγέλους κατασημαίνεσθαι, καὶ ἡμᾶς δὲ τοὺς ὄντας ἐπὶ τῆς γῆς· τὸ μὲν τοῦ πρεσβυτέρου πρόσωπον, ἅτε δὲ καὶ ζῶντος ἐπιεικῶς, τὸ τῶν ἁγίων ἀγγέλων τάγμα δηλοῦν· τὸ δέ γε τοῦ νεωτέρου τε καὶ ἀσώτου, τὸ γένος τὸ ἀνθρώπινον. Εἰσὶ δὲ τῶν ἐν ἡμῖν τινες, οἳ δὴ καὶ ἑτέραν ἰόντες τρίβον, διὰ μὲν τοῦ πρεσβυτέρου καὶ εὖ βεβιωκότος υἱοῦ, καταδηλοῦσθαί φασι τὸν κατὰ σάρκα Ἰσραὴλ, διὰ δέ γε τοῦ ἑτέρου, ὃς καὶ ζῆν εἵλετο φιληδόνως, καὶ ἀπεφοίτησε τοῦ πατρὸς, τὴν τῶν ἐθνῶν γράφεσθαι πληθύν. Ἀπόψηφος (1) δὲ ταῖς περὶ τούτων δόξαις εἰμὶ μὲν ἐγώ· δοκιμαζέτω δὲ τὸ ἀληθὲς ὁ φιλομαθής. Ὅταν μὲν γὰρ εἰς τὸ τῶν ἀγγέλων πρόσωπον ἀναγάγωμεν τὸν γνήσιον υἱὸν, οὐχ εὑρήσομεν αὐτὸν τὰς τοῖς ἁγίοις ἀγγέλοις πρεπούσας εἰπόντα φωνὰς, οὔτε μὴν οὕτω διακείμενον καθάπερ ἐκεῖνοι περὶ τοὺς ἐπιστρέφοντας ἐξ ἁμαρτιῶν εἰς μετάνοιαν. Ὁ μὲν γὰρ τῶν ὅλων Σωτὴρ καὶ Κύριος χαρὰν εἶναί φησιν ἐν οὐρανοῖς ἐνώπιον τῶν ἁγίων ἀγγέλων, ἐφ' ἑνὶ ἀνθρώπῳ ἁμαρτωλῷ μετανοοῦντι· ὁ γε μὴν ἐν τῇ προκειμένῃ παραβολῇ γραφόμενος υἱὸς ὡς εὐπαράδεκτος τῷ πατρὶ, καὶ ἀδιάδηλον ἰσχηκὼς τὸν βίον, ὀργισθῆναι λέγεται, καὶ ἀφιλαλλήλου γνώμης εἰς τοῦτο ἐλθεῖν, ὥστε καὶ ἐγκαλέσαι τῷ πατρὶ τὴν ἐπὶ τῷ σεσωσμένῳ φιλοστοργίαν· οὐ γὰρ ἠθέλησε, φησὶν, εἰς τὴν ἑστίαν εἰσελθεῖν, ἀσχάλλων ὅτι καὶ εἰσεδέχθη μετανοῶν ὁ ἀνανήψας μόλις, τέθυται δὲ καὶ ὁ μόσχος ὑπὲρ αὐτοῦ, καὶ ὅτι τετέλεκεν ἐπ' αὐτῷ πανήγυριν ὁ πατήρ. Μάχεται δὲ τοῦτο, ὡς ἔφην, τῷ σκοπῷ τῶν ἁγίων ἀγγέλων· χαίρουσι γὰρ καὶ δοξολογοῦσι Θεὸν, σωζομένους ὁρῶντες τοὺς ἐπὶ τῆς γῆς· καὶ γοῦν, ὅτε τὴν ἐν Βηθλεὲμ ἀπότεξιν κατὰ σάρκα ἐκ γυναικὸς ὑπέμεινεν ὁ Υἱὸς, τοῖς μὲν ποιμέσιν εὐηγγελίζοντο λέγοντες· « Μὴ φοβεῖσθε ὑμεῖς· ἰδοὺ γὰρ εὐαγγελιζόμεθα ὑμῖν χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ· ὅτι ἐτέχθη ὑμῖν σήμερον σωτὴρ, ὅς ἐστι Χριστὸς Κύριος ἐν πόλει Δαβίδ. » Ὑμνῳδίαις δὲ καὶ δοξολο-

Sin vero quis dicat carnalem Israelem a frugi bonoque filio significari, denuo nos ab hac comprobanda sententia deterremur, quia nullo modo dici potest de Israele quod inculpabilem vitam sectari voluerit. In universa enim, ut ita dicam, inspirata Scriptura reprehensos Israelitas videre est. Namque ut apostatis et contumacibus dictum est Jeremiæ

Εἰ δὲ δή τις λέγοι, τὸν κατὰ σάρκα Ἰσραὴλ σημαίνεσθαι διὰ τοῦ γνησίου καὶ ἐπιεικοῦς υἱοῦ, ἀφίστηται πάλιν ἡμᾶς τοῦ χρῆναι συναινεῖν τῇ τοιᾷδε δόξῃ, τὰ κατ' οὐδένα τρόπον ἁρμόσαι τῷ Ἰσραὴλ τὰ ἀκαταψέκτως ἐλέσθαι βιοῦν· διὰ πάσης γὰρ, ὡς ἔπος εἰπεῖν, τῆς θεοπνεύστου Γραφῆς διαβεβλημένους ἔστιν ἰδεῖν· ὡς γὰρ ἀποστάτας καὶ ἀπειθεῖς, εἴρηται γοῦν πρὸς

[27] Luc. II, 10, 11. [28] ibid. 14.

(1) Citat ex Cyrillo in Lucam hunc adamussim locum scholiastes a me editus AA. class. t. IX, p. 451.

Digitized by Google

αὐτοὺς διὰ φωνῆς Ἱερεμίου· « Τί εὗρόσαν οἱ πατέρες ὑμῶν ἐν ἐμοὶ πλημμέλημα, ὅτι ἀπέστησαν μακρὰν ἀπ' ἐμοῦ, καὶ ἐπορεύθησαν ὀπίσω τῶν ματαίων, καὶ ἐματαιώθησαν ; » Συνῳδὰ δὲ τούτοις καὶ διὰ φωνῆς Ἡσαΐου περὶ αὐτῶν ἔφη που Θεός· « Ἐγγίζει μοι ὁ λαὸς οὗτος τοῖς χείλεσιν· ἡ δὲ καρδία αὐτοῦ πόρρω ἀπέχει ἀπ' ἐμοῦ· μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας [καὶ] ἐντάλματα ἀνθρώπων. » Εἶτα πῶς τούτοις οὕτω καταγνωσμένοις περιθείη τις ἂν τὰς ἐν τῇ παραβολῇ φωνάς, ὡς παρὰ τοῦ γνησίου καὶ ἐπιεικοῦς υἱοῦ προενηνεγμένας ; Ἔφη γάρ, ὅτι « Ἰδοὺ τοσαῦτα ἔτη δουλεύω σοι, καὶ οὐδέποτε ἐντολήν σου παρῆλθον. » Ἀλλ' οὐκ ἂν ἐσχήκασι διαβεβλημένην τὴν ζωὴν, εἰ μὴ τὰς θείας παρατρέχοντες ἐντολὰς πρὸς ἐξίτηλον ἐτράποντο.

A voce : « Quid invenerunt patres vestri in me iniquitatis, quia se elongaverunt a me et ambulaverunt post vanitatem, et vani facti sunt [29] ? » His consona, Isaiæ quoque ore de iisdem locutus est Deus : « Appropinquat mihi populus hic ore tenus, cor vero ejus procul me abest. Frustra me colunt, docentes doctrinas et mandata hominum [30]. » Jam vero his tantopere incusatis quis verba accommodet quæ in parabola a fideli bonoque filio dicuntur ? Ait enim : « En tot annis tibi servio, mandatum tuum nunquam transgressus sum. » Porro Israelitæ malam sibi exprobrari vitam non audissent, nisi divinis violatis mandatis ad mores improbos fuissent conversi.

Ἄλλως τε, χρῆναι γὰρ οἶμαι κἀκεῖνο εἰπεῖν, βούλονταί τινες εἰς τὸ τοῦ Σωτῆρος ἡμῶν πρόσωπον ἀναφέρειν τὸν μόσχον τὸν σιτευτὸν, ὃν τέθυκεν ὁ πατὴρ, κεκλιμένου πρὸς ἐπιστροφὴν τοῦ υἱοῦ. Εἶτα πῶς ὁ γνήσιος υἱὸς, ὁ σοφὸς καὶ ἐπιστήμων καὶ γεγονὼς εὐπάρεδρος, ὃν δὴ καὶ εἰς πρόσωπον τῶν ἁγίων ἀγγέλων εἰσκομίζουσί τινες, ὀργῆς καὶ λύπης ἐποιεῖτο πρόφασιν τὸ σφαγῆναι τὸν μόσχον ; Οὐ γάρ τι λελυπημένας κατίδοι τις ἂν τὰς ἄνω δυνάμεις τὸν κατὰ σάρκα θάνατον ὑπομείναντος τοῦ Χριστοῦ, καὶ οἷον σφαγέντος ὑπὲρ ἡμῶν· ἔχαιρον γὰρ μᾶλλον, ὡς ἔφην, αἵματι τῷ ἁγίῳ σωζομένην ὁρῶντες τὴν ὑπ' οὐρανόν· ἀνθ' ὅτου δὴ οὖν καί φησιν ὁ γνήσιος υἱὸς τὸ, « Ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον. » Τίνος γὰρ τῶν ἀγαθῶν ἐνδεῖ τοῖς ἁγίοις ἀγγέλοις ; καίτοι πλουσίᾳ χειρὶ τῶν πνευματικῶν χαρισμάτων τὴν χορηγίαν ἐκνενέμηκεν αὐτοῖς ὁ τῶν ὅλων Δεσπότης. Ἢ καὶ ποίας ἂν ἐδεήθησαν θυσίας ἕν γε τοῖς καθ' ἑαυτούς ; Οὐ γάρ που καὶ ὑπὲρ αὐτῶν ἔδει παθεῖν τὸν Ἐμμανουήλ. Εἰ δὲ δή τις οἴοιτο, καθάπερ ἤδη προεῖπον, τὸν κατὰ σάρκα Ἰσραὴλ σημαίνεσθαι διὰ τοῦ γνησίου καὶ ἐπιεικοῦς γεγονότος υἱοῦ, πῶς ἀληθεύσει λέγων, ὅτι « Ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον ; » Εἴτε γὰρ μόσχος εἴτε ἔριφος ὑπὲρ ἁμαρτίας θῦμα νοοῖτο Χριστὸς, ἀλλ' οὐχ ὑπέρ γε μόνων τέθυται τῶν ἐθνῶν, ἀλλ' ἵνα καὶ αὐτὸν ἐξελεῖται τὸν Ἰσραὴλ, ἐπὶ τῇ τοῦ νόμου παραβάσει πολλὴν ὑπομείναντα τὴν κατάῤῥησιν. Καὶ μαρτυρήσει γράφων ὁ σοφώτατος Παῦλος· « Διὸ καὶ ὁ Υἱὸς (1), ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαὸν, ἔξω τῆς πύλης ἔπαθε. »

Cæteroqui et illud dicendum arbitror, quod nempe aliqui ad Servatoris nostri personam referre volunt saginatum vitulum, quem pater occidit, converso ad reditum filio. Sed enim quomodo bonus ille filius, sapiens prudensque et perpetuus patris assessor, quem quidem nonnulli tanquam sanctorum angelorum personam invehunt, iræ dolorisque causam sumeret ex vituli occisione ? Non enim doluisse quisquam comperiet supernas virtutes mortem in carne sua Christo patiente, et tanquam cæso : quia gaudebant potius, ut dixi, sancto sanguine salvatum cernentes orbem terrarum. Quin adeo frugi filius aiebat : « Mihi nunquam saltem hædum dedisti. » Nam quid bonæ rei deest sanctis angelis ? quandoquidem liberali manu spiritalium munerum largitionem contulit illis rerum omnium Dominus. Vel quanam per se ipsi indigebant victima ? Non enim ipsorum causa pati oportuit Emmanuelem. Quod si quis existimat, ut jam antea dixi, carnalem Israelem significari a fideli modestoque filio quomodo vere dicet : « Mihi nunquam hædum dedisti ? » Nam sive ut vitulus sive ut hædus, victima pro peccato intelligatur Christus, non tamen propter solos ethnicos immolatus fuit, verum etiam ut Israelem liberaret, qui ob legis transgressionem magnopere incusatus fuerat. Testis aderit Paulus : « Propterea et Filius, ut sanctificaret proprio sanguine populum, extra portam passus est [31]. »

Τίς οὖν ἄρα ἐστὶ τῆς παραβολῆς ὁ σκοπὸς ; πολυπραγμονήσωμεν τὴν αἰτίαν, ἐφ' ᾗ καὶ γέγονεν, εἰσόμεθα γὰρ οὕτω τὸ ἀληθές. Ἔφη τοίνυν ὁ μακάριος οὗτος Λουκᾶς ἐν τοῖς ὀπίσω βραχὺ περὶ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· « Ἦσαν δὲ πάντες αὐτῷ ἐγγίζοντες οἱ τελῶναι καὶ οἱ ἁμαρτωλοὶ ἀκούειν αὐτοῦ· καὶ ἐγόγγυζον οἵ τε Φαρισαῖοι καὶ οἱ Γραμματεῖς, λέγοντες, ὅτι Οὗτος ἁμαρτωλοὺς προσδέχεται, καὶ συνεσθίει αὐτοῖς. » Κατακεκραγότων τοίνυν τῶν Γραμματέων καὶ Φαρισαίων τῆς ἐνούσης αὐτῷ γαληνότητος καὶ φιλανθρωπίας, καὶ ἐγκαλούντων αὐτῷ τὸ

D Quinam est ergo parabolæ sensus ? Causam scrutemur, ob quam ea dicta fuit, atque ita rei veritatem sciemus. Ait beatus hic Lucas in paulo retro scriptis de nostro omnium Servatore Christo : « Cuncti vero accedebant publicani et peccatores ad audiendum eum. Murmurabant vero Pharisæi et Scribæ, dicentes : hic peccatores recipit, et cum iis manducat [32]. » Ergo publice vituperantibus Scribis ac Pharisæis ingenitam Christi mansuetudinem ac benignitatem, exprobrantibus quod aliquot maculosæ vitæ homines admitteret eosque doceret ; ne-

[29] Jerem. II, 5. [30] Isa. XXIX, 13. [31] Hebr. XIII, 12. [32] Luc. XV, 1, 2.

(1) Ita evidenter Υἱὸς uterque codex A et E, non Ἰησοῦς vel Κύριος, ut est vulgo apud Gr. et Lat.

Digitized by Google

cessariam apprime ipsis **345** prædictam parabolam Christus proposuit; ex qua hoc præclare cognoscere possumus, velle scilicet omnium Deum, hominem illum quoque qui a se nunquam recesserit, vereque fidelis fuerit, et sancte vivere assuetus sit, qui denique optimus existimetur, hunc, inquam, Patris voluntati studiose se conformare, id est cum aliqui ad pœnitentiam fuerint vocati (etiamsi hi forte damnabiles valde fuissent), gaudere potius, quam hostilem adversus eos fovere dolorem.

A προσδέχεσθαί τινας αὖθις ἐν βαθηλώσει ζωῆς, καὶ διδάσκειν αὐτοὺς, ἀναγκαιοτάτην αὐτοῖς ἐποιήσατο Χριστὸς τῆς προκειμένης παραβολῆς τὴν παράθεσιν, δι' ἧς ἔξεστιν ἰδεῖν ἐκεῖνο καλῶς· βούλεται γὰρ οἶα τῶν ὅλων Θεὸς, καὶ τὸν εὐπάρεδρόν τε καὶ γνήσιον ἀληθῶς, καὶ βιοῦν εἰδότα σεπτῶς, καὶ τῆς εἰς ἄκρον ἐπιεικείας λαχόντα τὴν δόξαν, ἀκολουθεῖν ἐπείγεσθαι τοῖς θελήμασιν αὐτοῦ· καὶ τοῖς καλουμένοις εἰς μετάγνωσιν, κἂν εἴ τινες εἶεν τῶν σφόδρα κατεγνωσμένων, ἔφήδεσθαι μᾶλλον, ἢ γοῦν ἀφιλάλληλον ἐπ' αὐτοῖς εἰσδέχεσθαι λύπην.

Etenim et nos ipsi simile quiddam interdum experimur. Agunt quidam præclaram optimamque vitam; alius vero infirmatur et vincitur ad omne genus nequitiæ prolapsus. Hic sub ipsa senectute sæpe ad Deum convertitur, et peccatorum a se antea veniam petit, meliore suscepto proposito. Vel jam fortasse humanæ vitæ stadio abiturus divinum baptismum impetrat, et crimina delet, miserente Deo. Tum vero stomachantur interdum ob eam rem nonnulli, aiuntque: Hic qui illud egit, et hoc dixit, non persolvi judici vitæ suæ pœnas, tamque splendida et pretiosa dignus fuit gratia, inter Dei filios ascitus est, et sanctorum gloria honoratus. Hæc aliquando effutiunt quidam ex intempestiva sua pusillanimitate, non se accommodantes communis Patris menti; qui lætatur valde, salvari cernens qui perierant; eosque in antiquam formam libertatemque restituit, stola primæva exornans, et annulum illorum manui inserens, quæ est liberis hominibus congrua Deoque jucunda exornatio. Cerne enim ut ei (animæ) eximiam omnimodis pulchritudinem imprimit, et inculpabilis vitæ splendorem conciliat. Omni enim ornatu venustat, intellectuali videlicet ac spiritali, colentium se animas; ut singulis dici queat illud lyra Psallentis: « Audi, filia, et vide [36], » et reliqua. **346** Vestimentum est itaque honoris veræque gloriæ sacrosanctæ genti Christus, ornatusque splendidus et supramundanus sanctorum animabus. « Quicunque enim in Christo baptizati estis, Christum induistis, » inquit Scriptura [34]; idque vere dicitur.

B Πάσχομεν γὰρ ἔσθ' ὅτε τι τοιοῦτον καὶ ἡμεῖς αὐτοί· ζῶσι μὲν γάρ τινες τὴν παγκάλην τε καὶ παναρίστην ζωήν· ἕτερος δέ τις ἀσθενεῖ καὶ ἥττηται, πρὸς πᾶν εἶδος φαυλότητος κατενηνεγμένος· οὗτος πρὸς αὐτῷ τῷ γήρᾳ πολλάκις ἐπιστρέφει πρὸς Θεὸν, καὶ τὴν ἐπὶ τοῖς προημαρτημένοις συγγνώμην αἰτεῖ, τῶν ἀμεινόνων γενόμενος ἐραστής· ἢ τάχα που καὶ μέλλων τὸν ἀνθρώπινον καταλύειν βίον, ἀξιοῦται τοῦ θείου βαπτίσματος, καὶ ἀποσκευάζεται τὰ ἐγκλήματα τοῦ Θεοῦ κατοικτείροντος. Εἶτα χαλεπαίνουσιν ἔσθ' ὅτε τινὲς ἐπ' αὐτῷ δὴ τούτῳ, καί φασιν· Οὗτος ὁ τόδε τι πράξας, κἀκεῖνο εἰπὼν, οὐκ ἐκτέτικε τῷ κριτῇ τῶν βεβιωμένων τὰς δίκας, καὶ ἠξιώθη τῆς οὕτω λαμπρᾶς καὶ ἀξιαγάστου χάριτος, ἐν υἱοῖς ἐγράφη Θεοῦ, καὶ τῇ τῶν ἁγίων τετίμηται δόξῃ· ταῦτα γὰρ ἔσθ' ὅτε παραπτύουσί τινες ἐξ ἀκαίρου μικροψυχίας, οὐχ ἑπόμενοι τῷ σκοπῷ τοῦ πάντων Πατρός· χαίρει γὰρ λίαν, σωζομένους ὁρῶν τοὺς ἀπολωλότας, καὶ ἀνακομίζει πρὸς τὸ ἐν ἀρχαῖς σχῆμα, διδοὺς αὐτοῖς τὸ ἐλεύθερον, καὶ στολῇ τῇ πρώτῃ κατακαλλύνων αὐτοὺς, καὶ δακτύλιον διδοὺς εἰς τὴν χεῖρα· τοῦτο δέ ἐστιν ἐλευθέροις πρέπουσα θεοφιλὴς εὐκοσμία. — (1 f. 134) Ἄθρει (1) γὰρ ὅπως διὰ τρόπου παντὸς ἐξαίρετον αὐτῇ τὸ κάλλος ἐνσημαίνεται, καὶ τῆς ἀμωμήτου ζωῆς ἐνεργάζεται τὴν φαιδρότητα. Κατακαλλύνει γὰρ κόσμῳ παντὶ, νοητῷ δηλονότι καὶ πνευματικῷ, τὰς τῶν σεβομένων αὐτὸν ψυχὰς, ἵνα καὶ πρὸς ἑκάστην λέγηται τὸ διὰ τῆς τοῦ Ψάλλοντος λύρας· « Ἄκουσον, θύγατερ, καὶ ἴδε, » καὶ τὰ λοιπά. Ἔσθημα δὲ οὖν τὸ εἰς τιμὴν καὶ δόξαν ἀληθῆ τῷ ἱερῷ καὶ ἁγίῳ γένει Χριστὸς, κόσμημά τε λαμπρὸν καὶ ὑπερκόσμιον ταῖς τῶν ἁγίων ψυχαῖς. « Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, » φησὶ· καὶ ἀληθὴς ὁ λόγος.

C

Vestimentum est itaque honoris veræque gloriæ sacrosanctæ genti Christus, ornatusque splendidus et supramundanus sanctorum animabus. « Quicunque enim in Christo baptizati estis, Christum induistis, » inquit Scriptura [34]; idque vere dicitur.

V. 16. *Cupiebat implere ventrem suum de siliquis.*

Hujusmodi aliquid patientem observemus eum quem nobis parabolæ figura describit luxuriosum, qui paternam substantiam in peregrina regione exhauserat, et supernorum bonorum egestate peribat. Nam penuria quædam cœlestium doctrinarum ipsum consumebat, cupiebatque satiari siliquis quas porci vorabant; sed fluxa et vana voluptas vacuum

D *Ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῶν κερατίων.*

(A f. 210 b, E f. 230) Τοιοῦτόν τι παθόντα καταθρήσαιμεν ἂν καὶ τὸν ὡς ἐν τύπῳ παραβολῆς γραφόμενον ἄσωτον, ὃς τὴν πατρῴαν οὐσίαν ἐν ἀλλοδαπῇ κατεδήδοκεν· ἐνδείᾳ τε τῶν ἄνωθεν ἀγαθῶν ἐφθείρετο, καὶ λιμὸς οἷά τις τῶν οὐρανίων αὐτὸν κατεθέσκετο μαθημάτων, ἐπεθύμει τε χορτασθῆναι ἀπὸ τῶν κερατίων ὧν ἤσθιον οἱ χοῖροι· ἀλλὰ διαῤῥέουσα

[33] Psal. XLIV, 2. [34] Galat. III, 27.

(1) Fragmentum hoc citatur ex Cyrillo ad Lucam in catena ad prophetas vat. cod. I, f. 134. (Confer *Script. vet.* t. IX. p. 741.) Hic autem a me conjecturaliter collocatur, quia sermo esse videtur de filio prodigo.

Digitized by Google

ἡ διάκενος ἡδονὴ κενὸν αὐτὸν κατελίμπανε, καὶ ἦν ἐν ἐνδείᾳ παντάπασιν.

Ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου.

(E f. 238) Καὶ ὁ Κύριος γὰρ κελεύων παῤῥησιάζεσθαι, καὶ λέγειν ἐν ταῖς προσευχαῖς, Πάτερ, ἐκεῖνο τοῖς προσευχομένοις νοεῖν δίδωσιν, ὅτι εἰ Πατέρα καλοῦμεν Θεὸν, καὶ τῆς οὕτω λαμπρᾶς ἠξιώθημεν τιμῆς, δεῖ καὶ ἀξίως τοῦ τετιμηκότος πολιτεύεσθαι. Τοῦτο γὰρ καὶ Πέτρος ὁ μέγας φησίν· « Εἰ Πατέρα ἐπικαλεῖσθε, λέγων, τὸν ἀπροσωπολήπτως κρίνοντα κατὰ τὸ ἑκάστου ἔργον, ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε. »—(A f. 212 b, E f. 243) Ἴσως ἐρεῖς κατὰ σαυτόν· Κεκηλίδωμαι διὰ πολλῆς ἁμαρτίας· εἶτα, πῶς ἂν γενοίμην καθαρὸς ὁ οὕτω μεμολυσμένος; Ἄκουε τοιγαροῦν καὶ τὰ παρ' ἡμῶν. Οἶδας ὅτι πεπλημμέληκας ὅλως; ὁμολογεῖς τὴν ἀσθένειαν; διαμέμνησαι τῶν ὀλισθημάτων; ἐγγὺς εἶ τοῦ σώζεσθαι· καθάρσεως γὰρ ἀρχὴ τὸ ὁμολογεῖν ἁμαρτίας. Οὕτω καὶ γέγραπται· « Λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς· » οὐ γάρ ἐστι σκληρὸς ὁ πάντων Δεσπότης· οὐκ ἀμείλικτος, χρηστὸς δὲ μᾶλλον καὶ φιλοικτίρμων καὶ ἀγαθὸς καὶ εἰδὼς τὸ πλάσμα. Καὶ γὰρ μέγα καὶ ὁμολογία καὶ φυγὴ τοῦ κακοῦ· οὕτως ἐδέχθη ὁ ἄσωτος. — (E f. 244) Ἀλλὰ τίς ὁ μόσχος ὁ σιτευτὸς, ἢ πάντως Χριστὸς (1), τὸ ἄμωμον ἱερεῖον, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὁ θυόμενος καὶ ἐσθιόμενος; Καθ' ὃ γὰρ τὴν ἄλογον φύσει καὶ κτηνώδη σάρκα περιεβάλετο, κἂν αὐτὴν τῶν οἰκείων αὐχημάτων πεπλήρωκε, μόσχος νοεῖται, ἀπειρόζυγος μὲν τοῦ νόμου τῆς ἁμαρτίας, σιτευτὸς δὲ καθ' ὃ πρὸ καταβολῆς (2) κόσμου προώριστο τὸ κατὰ Χριστὸν μυστήριον, ἡ φρικώδης καὶ μεγάλη θυσία, ἧς μετασχεῖν ἐφεῖται τοῖς ἐπανιοῦσιν ἐξ ἁμαρτίας.

ipsum destituebat, atque omnino egestate premebatur.

V. 18. *Surgens ibo ad patrem meum.*

Namque et Dominus confidere jubens, atque in orationibus uti vocabulo Pater, illud ab orantibus vult intelligi, quod si Patrem appellamus Deum, et tam splendidi honoris donum sumus consecuti, oportet dignam honorante Deo vitam instituere. Hoc Petrus quoque magnus ait : « Si Patrem, inquit, invocatis eum qui sine acceptione personarum judicat secundum uniuscujusque opus, cum timore incolatus vestri tempore conversamini [35]. » Fortasse tecum ipse dices : Multiplici sordidatus sum peccato; quomodo mundus fiam, qui tantopere sum maculosus? Audi me igitur. Scis te omnino peccasse? morbum fateris? memor es lapsuum tuorum? jam prope a salute abes; namque emendationis initium est, peccati confessio. Sic etiam scriptum est : « Dic tu prior peccata tua, ut justificeris [36]; » non enim inclemens est omnium Dominus, non inexorabilis; sed mitis atque misericors et bonus, et naturæ nostræ conscius. Magnum quiddam est confessio, malique cessatio. Ita receptus fuit luxuriosus. — Quinam porro est vitulus saginatus, nisi omnino Christus, **347** immaculata hostia, mundi peccatum auferens, immolatus atque comesus? Nam quatenus naturaliter irrationali animalique carne circumdabatur, quanquam eam sua gloria repleverat, vitulus intelligitur, expers quidem jugo peccati; saginatus autem, quatenus ante mundi constitutionem præfinitum fuerat Christi mysterium, tremenda magnaque victima, quam participare conceditur recedentibus a peccato.

ΚΕΦ. ΙϚ'.

Ἄνθρωπός τις ἦν πλούσιος, ὃς εἶχεν οἰκονόμον.

(A f. 215, B f. 152) Πλὴν κἀκεῖνό φαμεν τοῖς φιλομαθέσιν, ὅτι πλαγίως καὶ ἀσυμφανῶς ἡμῖν αἱ παραβολαὶ πραγμάτων ὀνησιφόρων δήλωσιν εἰσκομίζουσιν, ὅταν αὐτῶν ἐν βραχεῖ καὶ συνεσταλμένως τὸν νοῦν καταθρήσωμεν. Οὐ γὰρ ἅπαντα τῆς παραβολῆς τὰ μέρη πολυπραγμονεῖσθαι χρὴ λεπτῶς καὶ ἐξητασμένως, ἵνα μήτε πρὸς τὸ πέρα μέτρου βαδίζων ὁ λόγος καταλυπήσῃ τῷ περιττῷ τοὺς φιλακροάμονας, μήτε μὴν ἀδολεσχίας ὄχλον ἐνεργάσηταί τισιν· οἷον καὶ ἐπὶ τῆς προκειμένης παραβολῆς. Εἰ γὰρ βούλοιτό τις διατρανοῦν, τίς μὲν ἂν νοηθείη πρὸς ἡμῶν ὁ ἄνθρωπος, ὁ τὸν διαβεβλημένον ἔχων οἰκονόμον, ἢ καὶ τίς ἂν εἴη τυχὸν ὁ διαβεβληκὼς αὐτὸν, τίνες δὲ καὶ οἱ τοῖς ὀφλήμασιν ἔνοχοι, καὶ τὰς τῶν ὀφλημάτων ποιοῦντες ἀποκοπὰς, καὶ διὰ ποίαν αἰτίαν ὁ μὲν ἔλαιον, ὁ δὲ σῖτον ἐποφλῆσαι λέγεται,

CAP. XVI.

V. 1. *Homo quidam erat dives, qui habebat villicum.*

Verumtamen illud quoque studiosis dicimus, nempe parabolas nobis oblique et obscure rerum utilium demonstrationem facere, si modo ipsarum breviter et summatim sensum observemus. Non enim cunctas parabolæ partes subtiliter et morose scrutari oportet, ne præter mensuram pergens sermo, molestus fiat superfluitate sua audiendi studiosis, neque etiam nugandi copiam nonnullis suppeditet; veluti hac ipsa in parabola usuveniret. Nam si quis velit adamussim exponere, quis hic a nobis intelligendus sit homo, qui diffamatum habuit villicum, quis item hunc accusaverit, quinam debitores fuerint, et qui novas debiti sui tabulas fecerint, et curnam alius oleum, alius triticum debuisse dicatur, obscurum sane et supervacaneum faciet sermonem. Non ergo omnino omnes parabolæ

[35] I Petr. I, 7. [36] Isa. XLIII, 26.

(1) Hæc in codice sub Cyrilli nomine recitantur, quanquam dictis ab eodem superius repugnare videntur. Sed in abrupto opere mirum non est videri quædam dissoluta aut contraria.

(2) Haud recte Corderius in Latina catena : *In mundi restaurationem præfinitum fuit*, etc.

Digitized by Google

partes idoneæ sunt ad argumenti explanationem, sed ad exemplum potius necessarii alicujus negotii sumendæ sunt, quo simpliciter id demonstretur quod audientibus utile futurum sit. Est itaque parabolæ sensus hic : « Omnium Deus cunctos homines vult salvos fieri, et ad agnitionem veritatis venire [37]. » Idcirco et legem auxilii causa dedit, ut ait propheta [38]. Legem autem hic dicimus, haud illam adamussim quæ per Moysem ministrata fuit, sed universam potius divinitus inspiratam Scripturam, **348** cujus ductu cognoscere possumus boni cujuslibet salutarisque negotii rectam viam. Vult ergo omnium Dominus, omnimodis nos ad virtutis studia incumbere, et sobrium sanctumque vitæ genus sectari, avertentes nos ab hujus mundi sollicitudinibus, ut Deo assidue constanterque serviamus. Quare etiam per Melodi lyram, « Vacate, inquit, et scitote quoniam ego sum Deus [39]. » Ipse autem ore proprio omnium Servator divitibus terræ alibi ait : « Vendite quæ possidetis, et date eleemosynam ; facite vobis crumenas non veterascentes, thesaurum indeficientem in cœlis [40]. » Profecto hoc præceptum salutare est, sed infirma admodum humana mens est, semperque fere in terrenis defixa. Cujus rei conscius ipse Servator aliquando de iis aiebat : « Quam difficile qui pecunias habent intrabunt in regnum Dei [41] ! » Et rursus : « Facilius est camelum (funem) per foramen acus transire, quam divitem in regnum Dei [42]. » Nam quamdiu aliquis ditescendo et deliciando occupatur, pietati erga Deum excolendæ ineptus est.

Ergone nulla superest divitibus salutis via, sed ignis eis paratus est, qui diabolo et angelis ejus debetur ? Minime gentium. Ecce enim ipsis salutis consequendæ rationem hac parabola ostendit Servator. Confidunt hi sane, quod divitias sibi fruendas summus Deus indulgenter concesserit. Reapse tamen juxta Dei mentem œconomi veluti pauperum constituti sunt : œconomi autem dicuntur a sua cuique distribuendo. Sed non recte œconomiam gerunt, tradita ipsis a Domino quodammodo dissipantes : suis enim tantum ministrant deliciis, temporales emunt honores, obliti Dei dicentis : « Aperiendo aperies viscera erga fratrem tuum, erga indigentem qui apud te versatur [43]. » Imo et communis Servatoris Christi negligentes præceptum : « Estote misericordes, sicut et Pater vester cœlestis **349** misericors est [44]. » Sed nullam hi, ut dixi, rationem habent misericordiæ fratribus debitæ : unicum ipsis studium est fastus sui. Hoc eos apud omnium Dominum accusavit. Porro necesse omnino est eosdem villicatione excidere, adveniente morte,

σκοτεινὸν ἅμα καὶ περιττὸν ἀποτελέσει τὸν λόγον. Οὐκοῦν οὐ πάντη τε καὶ πάντως ἅπαντα τῆς παραβολῆς τὰ μέρη τῇ τῶν δηλουμένων εἰσὶ θεωρίᾳ χρήσιμα, εἰς εἰκόνα δὲ ληφθεῖεν ἂν ἀναγκαίου πράγματος ἀμυδρῶς ὑποφαίνουσαν τὸ τελοῦν εἰς ὄνησιν τοῖς ἀκροωμένοις. Ἔστι τοίνυν τῆς παραβολῆς τοιοῦτος ὁ νοῦς· « Ὁ τῶν ὅλων Θεὸς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. » Ταύτῃ τοι καὶ νόμον εἰς βοήθειαν ἔδωκε, κατὰ τὴν τοῦ προφήτου φωνήν. Νόμον δέ φαμεν ἐν τούτοις, οὐχὶ δή που πάντως τὸν διακονηθέντα διὰ Μωϋσέως, ἅπασαν δὲ μᾶλλον τὴν θεόπνευστον Γραφήν, δι' ἧς ἔνεστι μαθεῖν τὴν εὐθὺ παντὸς ἀγαθοῦ καὶ σωτηριώδους πράγματος ἀποκομίζουσαν τρίβον. Βούλεται τοίνυν ὁ τῶν ὅλων Δεσπότης, ὁλοτρόπως ἡμᾶς τοῖς εἰς ἀρετὴν ἀνακεῖσθαι σπουδάσμασι, καὶ διαβιοῦν ἐλέσθαι σπουδαίως καὶ ἁγίως, ἀπαλλάττοντας ἑαυτοὺς τῶν τοῦ παρόντος βίου περισπασμῶν, ἵνα εὐπαρέδρως καὶ ἀπερισπάστως ὑπηρετῶμεν αὐτῷ. Καὶ γοῦν διὰ μὲν τῆς τοῦ Ψάλλοντος λύρας· « Σχολάσατε, φησὶ, καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ Θεός. » Δι' ἑαυτοῦ δὲ πάλιν ὁ τῶν ὅλων Σωτὴρ τοῖς τὸν τελοῦντον ἔχουσι τὸν ἐπὶ τῆς γῆς· « Πωλήσατε, φησὶ, τὰ ὑπάρχοντα, καὶ δότε ἐλεημοσύνην, ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς. » Καὶ ἡ μὲν ἐντολὴ σωτήριος, ἀσθενὴς δὲ λίαν ὁ ἀνθρώπινος νοῦς, καὶ ἀεί πως προσπέπτηγε τοῖς γεωδεστέροις· καὶ τοῦτο εἰδὼς αὐτὸς ὁ Σωτὴρ ἔφησέ που περὶ αὐτῶν· « Πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες εἰσελεύσονται εἰς τὴν βασιλείαν τοῦ Θεοῦ ! » Καὶ πάλιν· « Εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυπήματος ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. » Ἕως γὰρ ἔστι τις ἐν τῷ πλουτεῖν καὶ τρυφᾷν, ἀνεπιτήδευτον ἔχει τὴν εἰς Θεὸν εὐσέβειαν.

(A f. 215 b) Ἆρ' οὖν οὐδὲ μία τοῖς πλουτοῦσι σωτηρίας ὁδὸς, ἀλλὰ πῦρ αὐτοῖς ἡτοίμασται, τὸ τῷ διαβόλῳ πρέπον καὶ τοῖς ἀγγέλοις αὐτοῦ; Οὐμενοῦν· ἰδοὺ γὰρ, ἰδοὺ πρόφασιν αὐτοῖς σωτηρίας ἐνέδειξεν ὁ Σωτὴρ διὰ ταύτης τῆς παραβολῆς· ἐθαρρήθησαν, τὸν ἐπὶ τῆς γῆς πλοῦτον ἀφέντος αὐτοῖς ἀνεξικάκως τοῦ ἐπὶ πάντων Θεοῦ· πλὴν κατά γε τὸν ἐνόντα σκοπὸν αὐτῷ οἰκονόμοι τινὲς τίθενται τῶν πτωχευομένων· οἰκονόμοι δὲ λέγονται παρὰ τῷ τὰ οἰκεῖα ἑκάστῳ νέμειν (1)· ἀλλ' οἰκονομοῦσιν οὐκ ὀρθῶς, οἱονεὶ σκορπίζοντες τὰ δοθέντα αὐτοῖς παρὰ τοῦ Δεσπότου· μόναις γὰρ ταῖς ἑαυτῶν δαπανῶσι τρυφαῖς, καὶ προσκαίρους ὠνοῦνται τιμὰς, ἀμνημονοῦντες Θεοῦ λέγοντος· « Ἀνοίγων ἀνοίξεις τὰ σπλάγχνα τῷ ἀδελφῷ σου, τῷ ἐπιδεομένῳ ἐν σοί. » Ναὶ μὴν καὶ αὐτοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· « Γίνεσθε οἰκτίρμονες, καθὼς καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστίν. » Ἀλλ' οὐδεὶς αὐτοῖς, ὡς ἔφην, τοῦ κατοικτίρειν ἀδελφοὺς ὁ λόγος, μόνης δὲ πιοῦνται φροντίδα τῆς ἑαυτῶν ἀγερωχίας· τοῦτο διαβέβληκεν αὐτοὺς παρὰ τῷ πάντων Δεσπότῃ. Δεῖ

[37] I Tim. II, 4. [38] Isa. VIII, 20. [39] Psal. XLV. 2. [40] Luc. XII, 33. [41] Luc. XVIII, 24. [42] Ibid. 25. [43] Deut. XV, 8. [44] Luc. VI. 36.

(1) Observa vocabuli οἰκονόμος apud Cyrillum etymologiam, non ab οἶκος, sed ab οἰκεῖα νέμειν.

Digitized by Google

δὲ πάντως αὐτοὺς ἀποπεσεῖν τῆς οἰκονομίας ἐπιπηδῶντος θανάτου, καὶ τῶν καθ' ἡμᾶς πραγμάτων ἐξέλκοντος· ἀδιάφυκτον γὰρ ἀνθρώπῳ παντὶ τοῦ θανάτου τὸ λίνον. Τί οὖν ἄρα δρᾷν αὐτοὺς βούλεται Χριστός; Ἕως εἰσὶν ἐν τῷδε τῷ κόσμῳ, κἂν εἰ μὴ πάντα βούλοιντο τὸν ἑαυτῶν πλοῦτον διανεῖμαι πτωχοῖς, κἂν γοῦν ἐκ μέρους κατακτήσασθαι φίλους, καὶ πολλοὺς τῆς εὐσπλαγχνίας μάρτυρας, τοὺς εὖ πεπονθότας δηλονότι· ἵνα ὅταν αὐτοὺς ὁ ἐπίγειος ἐκλείπῃ πλοῦτος, ἔχωσί τινα τόπον ἐν ταῖς ἐκείνων σκηναῖς. Καὶ γὰρ ἐστι τῶν ἀμηχάνων ἄμισθον γενέσθαι ποτὲ τὸν φιλόπτωχον, ἀλλ' εἴτε ἅπαντά τις τὸν ἑαυτοῦ πλοῦτον διαδοίη τισίν, εἴτ' οὖν ἐκ μέρους, ὀνήσει πάντως τὴν ἑαυτοῦ ψυχήν. A et rebus humanis eximente. Quippe inevitabile homini est mortis rete. Quid ergo abeis fieri Christus vult? Quandiu in hoc mundo sunt, si non cunctas velint opes suas pauperibus diribere, attamen nonnullos saltem sibi amicos conciliare jubet, compluresque benignitatis suæ testes, id est beneficiis affectos: ut cum eos terrenæ divitiæ destituent, locum aliquem nanciscantur in istorum tabernaculis. Nam prorsus fieri nequit ut absque mercede discedat pauperum amator: sed sive universa bona sua his impertitus fuerit, sive partim, sine dubio animæ suæ bene fecerit.

Ὁ πιστὸς ἐν ἐλαχίστῳ, καὶ ἐν πολλῷ πιστός ἐστι. V. 10. *Qui fidelis est in minimo, et in majori fidelis est.* B

(A f. 217, B f. 154) Συχνῶς ἔσθ' ὅτε ὁ τῶν ὅλων Σωτὴρ τοὺς αὐτοὺς ποιεῖται λόγους, καὶ διαφόροις περὶ τοῦ αὐτοῦ θεωρήματος κέχρηται παραδείγμασιν, ἵνα πρὸς σύνεσιν ἀκριβῆ τῶν παρ' αὐτοῦ λεγομένων, ὁ τῶν ἀκροωμένων ἐμβιβάζηται νοῦς. Ἄθρει δέ μοι πάλιν τῶν προκειμένων ἀναγνωσμάτων τὴν δύναμιν. Δοκεῖ δέ μοι καὶ πρό γε τῶν ἄλλων ἐκεῖνο χρησίμως κατιδεῖν, τίνας ὅλως ὁ τοιόσδε λόγος ἔχει τὰς ἀφορμάς· ἔσται γὰρ οὕτως εὐσύνοπτος τῶν προκειμένων ὁ νοῦς. Ἐδίδασκε τοίνυν τοὺς ἐν πλούτῳ Χριστὸς ἀγαπᾷν ὅτι μάλιστα τὴν φιλοπτωχίαν, καὶ θησαυρίζειν ἐν οὐρανῷ, καὶ τῆς εἰς τὸ μέλλον εὐημερίας ποιεῖσθαι πρόνοιαν. Ἀλλ' εὖ ἠπίστατο, Θεὸς ὢν φύσει, τῆς ἀνθρώπου διανοίας τὸν ὄκνον, τὸν ἐπὶ παντὶ C σπουδαίῳ τε καὶ ἀγαθῷ πράγματι, καὶ ὡς φιλόπλουτοι λίαν ὄντες, καὶ τῷ τοιῷδε πάθει τυραννούμενοι πανελῶς, οὐδένα τοῖς πτωχευομένοις νέμουσιν ἔλεον. Ὅτι τοίνυν τοῖς οὕτως ἔχουσι γνώμης, οὐδὲν ὑπάρξει τῶν παρὰ Θεοῦ χαρισμάτων, δῆλον δὲ ὅτι πνευματικῶν, ἐξ ἐναργεστάτων παραδειγμάτων διαδείκνυσι λέγων· « Ὁ πιστὸς ἐν ἐλαχίστῳ, καὶ ἐν πολλῷ πιστός ἐστι, » καὶ τὰ ἑξῆς. Λῦσον ἡμῖν, Δέσποτα, τὸ ζητούμενον, ἄνοιξον ἡμῶν τῆς καρδίας τὸν ὀφθαλμόν. Ἄκουε τοίνυν σαφῶς τε καὶ ἀκριβῶς, ὅπερ ἔφη· Εἰ ἐν τῷ ἀδίκῳ μαμωνᾷ πιστοὶ οὐκ ἐγένεσθε, φησί, τὸ ἀληθινὸν τίς δώσει ὑμῖν; Ἔστι δὴ οὖν τὸ ἐλάχιστον, ὁ ἄδικος μαμωνᾶς, τουτέστιν ὁ ἐπίγειος πλοῦτος, ἐξ ἁρπαγῆς ἔσθ' ὅτε καὶ πλεονεξίας συνειλεγμένος· τοῖς γε μὴν εὖ εἰδόσι βιοῦν, D καὶ ἀποφέρουσι μὲν τῶν ἐπιγείων τὸν νοῦν, φρονοῦσι δὲ μᾶλλον τὰ ἄνω, καταλογισθείη ἂν παντελῶς οὐδὲν ὁ ἐπίγειος πλοῦτος, ἀλλ' εἰς τοὺς ἐνδεεῖς ὅλον δαπανήσουσι, καλῶς αὐτὸν οἰκονομοῦντες. Τοῦτο, οἶμαι, ἐστὶ τὸ ἐν ὀλίγῳ γενέσθαι τινὰ πιστὸν, τὸ τοῖς ἐν ἰσχάτῃ ταλαιπωρίᾳ τὴν ἀπό γε τῶν ὄντων διανέμειν ἐπικουρίαν. Εἰ οὖν ἐν ὀλίγῳ γεγόναμεν ἄπιστοι, πῶς ἂν λάβοιμεν παρ' αὐτοῦ τὸ ἀληθινὸν, τουτέστι τῶν θείων χαρισμάτων ἀμφιλαφῆ χορηγίαν, ψυχὴν ἀνθρώπου κατακαλλύνουσαν, καὶ τὸ θεῖον αὐτῇ κάλλος ἐγγράφουσαν;

(A f. 154 b) Ὅτι δὲ εἰς τοῦτο βλέπει καὶ τέτραπται τῶν τοῦ Σωτῆρος ῥημάτων ὁ σκοπὸς, καὶ διὰ τῶν ἑφεξῆς εἰδείη τις ἂν εὖ μάλα. Ἔφη γάρ· « Εἰ

Crebro interdum universalis Servator eosdem facit sermones, variisque circa idem argumentum exemplis utitur, ut plena dictorum suorum notitia audientium mens imbuatur. Contemplare vero mecum denuo supradictæ lectionis vim. Porro mihi videtur ante omnia illud cognitu utile, undenam oratio hujusmodi occasionem ceperit: sic enim propositorum verborum sententia inclarescet. Monebat itaque divites Christus ut benignitatem erga pauperes apprime adamarent, et in cœlo thesaurizarent, futuræque felicitati consulerent. Sed enim satis, ceu suapte natura Deus, compertam habebat humanæ mentis ad egregium quodlibet bonumque opus tarditatem; quodque nimio divitiarum amore capti, et hujus cupiditate tyrannide omnino oppressi, nullam egentibus impertituri essent misericordiam. Quod igitur hoc animi habitu affecti, nullam spiritalo Dei donum essent recepturi, manifestissimis demonstrat exemplis dicens: « Qui fidelis est in minimo, in majore quoque fidelis est, » **350** et reliqua. Solve nobis, Domine, hanc quæstionem, aperi nobis cordis oculum. Audi itaque clare accurateque quid dixerit: Si in iniquo mammona fideles non fuistis, ait, ea quæ vere bona sunt quis dabit vobis? Est itaque minimus, injustus mammonas, id est terrenæ divitiæ, raptu interdum et violentia collectæ. At ii qui bene vivere sciunt, et futurarum rerum spem quodammodo sitiunt, quique a terrenis mentem avertunt, et superna magis cogitant, hi, inquam, nullius pensi habent terrenas divitias, sed eas in egenos cunctas assumunt, recte sic illas administrantes. Hoc esse existimo, in re parva aliquem esse fidelem; nempe in extrema miseria positis, rei familiaris subsidia suppeditare. Si ergo in re parva infideles fuimus, quomodo a Deo accipiemus quod verum est, id est divinorum donorum uberem largitionem, quæ hominis animam ornat, eique divinam venustatem appingit?

Quod autem huc spectet, eoque tendat verborum Servatoris scopus, ex sequentibus etiam satis quisque cognoscet. Dicit enim: « Si in alieno fideles

Digitized by Google

non fuistis, quod vestrum est quis dabit vobis? » Alienum porro appellari dicimus, pecuniæ affluentiam : neque enim divites nati sumus, sed nudi potius. Vereque, juxta Scripturam, dicitur quod « Nihil intulimus in hunc mundum, neque hinc auferre quid possumus [48]. » Ergo fideles simus in his exiguis terrenisque divitiis, quæ revera minimæ sunt et nullæ, quia dilabuntur : neque propria faciamus, quæ ad communem fratrum usum data sunt nobis, sic iniquas facientes divitias, dum eas retinemus, præsertim cum sint alienæ, tum quia nos nihil nascentes intulimus, tum quia hæ reapse pauperum sunt. Sic nostræ divinæ cœlestesque divitiæ tradentur nobis, veræ, inquam, et manentes. Profecto alienum naturaliter ab homine est, ditescere; quod quidem aliquibus extrinsecus accidit et supervenit : et si forte dilabatur ac pereat, **351** nihil prorsus humanam rationem lædet. Non enim quia divites, idcirco rationales sumus, vel cuivis bono operi idonei; sed ipsa naturæ habitudo harum virtutum capax est, eaque revera nostra est. Nam sicut beatus scribit Paulus [49], creati ad opera bona fuimus, quæ præparavit Deus ut in illis ambulemus. Cum ergo in alieno, id est, in iis quæ extrinsecus accesserunt, infideles aliqui fuerint, quomodo sua accipient? id est, quomodo divinitus data bona participabunt? Vel quomodo adipiscemur sacram illam atque admirabilem venustatem, quam in hominum animabus depingit Deus, dum ipsas ad formam suam componit? Sic enim initio fuimus. Age vero quod impossibile sit, unum eumdemque hominem in contraria studia dividi, et tamen inculpatim vivere, demonstrat dicens :

A ἐν τῷ ἀλλοτρίῳ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ὑμέτερον τίς δώσει ὑμῖν; » Ἀλλότριον δὲ εἶναί φαμεν, τὴν τῶν χρημάτων περιουσίαν· οὐ γὰρ γεγεννήμεθα μετὰ πλούτου, γυμνοὶ δὲ μᾶλλον· καὶ ἀληθὲς εἰπεῖν ὅτι, κατὰ τὸ γεγραμμένον, « Οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον, οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα. » Γενώμεθα οὖν πιστοὶ ἐν τῷ μικρῷ τούτῳ καὶ γηΐνῳ πλούτῳ, ὃς ἐλάχιστός ἐστι καὶ οὐδέν, ὅτι ῥευστός· καὶ μὴ σφετεριζώμεθα τὰ εἰς κοινὴν τῶν ἀδελφῶν χρείαν δοθέντα ἡμῖν, ὥστε ἄδικον τὸν πλοῦτον ποιεῖν, διὰ τοῦ κατέχειν αὐτὸν, καὶ ταῦτα, ἀλλότριον ὄντα· τὸ μὲν, ὅτι οὐδὲν εἰσηνέγκαμεν· τὸ δὲ, ὅτι τῶν πτωχῶν ἐστιν· ἵνα τὸν ἡμέτερον θεῖον καὶ οὐράνιον πλοῦτον πιστευθῶμεν, τὸν ἀληθινὸν καὶ μένοντα. Ἀλλότριον μὲν γὰρ ἀνθρώπου παντὸς φυσικῶς, τὸ πλουτεῖν· ἔξωθεν γὰρ προσγίνεται καὶ ἐπισυμβαίνει τισί· κἂν B ἀποσυμβῇ καὶ ἀπόλοιτο, παραβλάψει ἂν οὐδὲν παντελῶς τοὺς τῆς ἀνθρώπου φύσεως λόγους. Οὐ γὰρ ἔν γε τῷ εἶναι πλούσιοι, λογικοί τέ ἐσμεν, καὶ ἁπάσης ἀγαθοεργίας ἐπιστήμονες, ἀλλ' ἡ τῆς φύσεως ἐπιτηδειότης δεκτικὴ τῶν τοιούτων ἐστὶν, ὅπερ ἐστιν ἡμέτερον. Ὡς γὰρ ὁ μακάριος γράφει Παῦλος, ἐκτίσθημεν ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ Θεὸς ἵνα ἐν αὐτοῖς περιπατήσωμεν. Ὅταν τοίνυν ἐν τῷ ἀλλοτρίῳ, τουτέστιν ἐν τοῖς ἔξωθεν προσγενομένοις, ἄπιστοί τινες εἶεν, πῶς ἂν λάβοιεν τὰ ἑαυτῶν; τουτέστι, πῶς ἂν ἐν μεθέξει γένοιντο τῶν θεοδότων ἀγαθῶν; ἢ πῶς κομισόμεθα τὸ ἱερόν τε καὶ ἐξαίρετον κάλλος, ὃ ταῖς τῶν ἀνθρώπων ψυχαῖς ἐγγράφει Θεὸς, διαμορφῶν αὐτὰς πρὸς ἑαυτόν; Γεγόναμεν γὰρ C οὕτως ἐν ἀρχαῖς. Ὅτι δ' ἐστὶ τῶν ἀμηχάνων, ἵνα καὶ τὸν αὐτὸν μερίζεσθαι πρὸς τὰ ἐναντία, καὶ ἀκαταψέκτως δύνασθαι βιοῦν, διαδείκνυσι λέγων·

V. 13. *Nemo servus potest duobus dominis servire.*

Οὐδεὶς οἰκέτης δύναται δυσὶ κυρίοις δουλεύειν.

Similitudo hæc clara et explorata est, et proposito argumento aptissima; imo totius sermonis conclusio fit in sequentibus : « Non potestis Deo servire et mammonæ. » Nam si quis fiat, inquit, duorum dominorum servus contrariis voluntatibus præditorum, et inconciliabilem mutuo sententiam gerentium, quomodo poterit utrique placere? Nam divisus inter amborum placita, utriusque voluntati repugnat. Prorsus enim necesse est malum simul et bonum videri. Ergo si uni voluerit esse fidelis, D alterum, inquit, odio habebit. Superest igitur ut impossibile sit Deo simul servire ac mammonæ. Ergo unice ad alterum studia omnia nostra vertamus, multum valere jusso mammona. Ita enim nos magnus Magister docet.

(A f. 217, B f. 154 b) Παράδειγμα τοῦτο σαφές τε καὶ ἐναργὲς, καὶ τῇ τῶν προκειμένων θεωρίᾳ πρεπωδέστατον· συμπέρασμα δὲ ὥσπερ τοῦ παντὸς λόγου, τὸ ἑφεξῆς· « Οὐ δύνασθε γὰρ Θεῷ δουλεύειν καὶ μαμωνᾷ. » Εἰ γὰρ δή τις γένοιτο, φησὶ, δύο κυρίων οἰκέτης, μεμερισμένων τοῖς θελήμασιν εἰς τὸ ἐναντίον, καὶ ἀσύμβατον ἀλλήλοις ἐχόντων τὴν γνώμην, πῶς ἂν δύναιτο ἀμφοτέροις ἀρέσαι; Μεριζόμενος γὰρ εἰς τὸ ἑκατέρῳ δοκοῦν, τοῖς ἀμφοῖν θελήμασιν ἀντανίσταται. Πᾶσα γὰρ ἀνάγκη, τὸν αὐτὸν ὁρᾶσθαι πονηρόν τε καὶ ἀγαθόν. Οὐκοῦν εἴπερ ἕλοιτο γνήσιος ἐνὶ γενέσθαι, φησὶ (1), μισήσει τὸν ἕτερον. Ἀμήχανον δὴ οὖν Θεῷ δουλεῦσαι καὶ μαμωνᾷ· ἐπὶ θάτερον τοίνυν μεταθῶμεν τὴν πᾶσαν σπουδὴν, πολλὰ χαίρειν εἰπόντες τῷ μαμωνᾷ. Ταῦτα γὰρ ἡμῖν ὁ μέγας εἰσηγεῖται Διδάσκαλος.

V. 14. *Pharisæi, qui erant avari, deridebant eum.*

Φαρισαῖοι φιλάργυροι ὑπάρχοντες ἐξεμυκτήριζον αὐτόν.

Sicut morbi corporum vehementiores remedio-

(A f. 217 b). Ὥσπερ τὰ τῶν ἐν τοῖς σώμασι πα-

[48] I Tim. VI, 7. [49] Ephes. II, 10.

(1) Φησὶ intercalatum esse verbum, ut passim fit, non agnovit Corderius, ideoque scripsit, *ille dicat se odiat alterum.*

Digitized by Google

θῶν ἀγριώτερα, τὰς ἐκ τῶν φαρμάκων ἐπικουρίας οὐ προσίεται, φεύγει δὲ ὥσπερ τὴν ἴασιν· κἂν εἴ τις προσάγοι τὸ πεφυκὸς ὠφελεῖν, ἐξαγριοῦται μειζόνως, καὶ οἷον ἀγανακτεῖ, καίτοι τῇ τέχνῃ κολακευόμενα, οὕτω τὰ ἐν ταῖς τῶν ἀνθρώπων ψυχαῖς ἐπισυμβαίνοντα πάθη σκληρὰ καὶ ἀνουθέτητά πώς εἰσιν ἐσθ' ὅτε, καὶ οὐδενὸς ἀνέχεται λόγου καλοῦντος εἰς ἀπόστασιν τοῦ κακοῦ, καὶ τοῖς ἀμείνοσιν ἐμβιβάζοντος. Τοῦτο πεπονθότας εὑρήσομεν τοὺς Φαρισαίους, οἳ διὰ φιλαργυρίαν ἐξηυτέλιζον τὰς ἀρίστας παραινέσεις· καὶ δέον σεβασθῆναι, ἐμυκτήριζον ταῦτα εἰσηγούμενον Δεσπότην. Ἀλλ' ἡμεῖς ἐξέλωμεν τὸ τῆς φιλαργυρίας (1) κέντρον, ὃ καὶ εἰς ἀσέβειαν ἐγείρειν δύναται, καθάπερ ἐκείνους. Μακρὰν τοιγαροῦν ἐπ' αὐτοῖς δαπανήσας λόγον ὁ τῶν ὅλων Σωτὴρ, εἶτα τῶν ἰδίων σκεμμάτων καὶ παθῶν οὐκ ἀποφοιτῶντας ὁρῶν, ἐμφιλοχωροῦντας δὲ μᾶλλον τῇ συντρόφῳ σκαιότητι, τρέπεται λοιπὸν ἐπὶ τὸ δριμὺ τῶν ἐλέγχων, καιροῦ καλοῦντος εἰς τοῦτο, καὶ ἀποφαίνει ὑποκριτὰς ὄντας καὶ βωμολόχους, καὶ δόξης μὲν ἐραστὰς, ἥπερ ἂν πρέποι δικαίοις τε καὶ ἀγαθοῖς ἀνδράσιν, οὐ μὴν ὄντας τοῦτο κατὰ ἀλήθειαν.

A rum adjutoria non admittunt, ac medicinam veluti fugiunt; et cum aliquis profutura exhibet, gravius exasperantur, et quasi indignantur blandienti arti: sic **352** quæ hominum animabus eveniunt perturbationes, sævæ et admoneri impatientes aliquando sunt, nulliusque vocem audiunt a vitio revocantis, et meliora suadentis. Hoc idem passos comperiemus Pharisæos, qui ob suam avaritiam admonitiones optimas flocci faciebant; et cum revereri deberent, disserentem hæc Dominum deridebant. Verumtamen nos avaritiæ stimulum eximamus, quod usque ad impietatem nos potest, æque ac illos, impellere. Longo itaque adversus eos consumpto sermone Servator universalis, cum a propriis cogitationibus et cupiditatibus haud recedere cerneret, sed ingenitam nequitiam acrius retinere, pergit deinceps ad acerbiores increpationes, occasione invitante, desinitque eos esse hypocritas, gulosos victimarum appetitores, et gloriæ quidem cupidos, quæ justis bonisque debetur viris, sed tamen ipsos a virtute longe remotos.

B

Ὑμεῖς ἐστε οἱ δικαιοῦντες ἑαυτοὺς ἐνώπιον τῶν ἀνθρώπων.

V. 15. *Vos estis qui justificatis vos coram hominibus.*

(A f. 218) Τοῦτο καὶ ἐτέρωθί που πρὸς αὐτοὺς εὑρίσκεται λέγων· « Πῶς δύνασθε πιστεῦσαι, δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες, τὴν δὲ δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητεῖτε; » Τοὺς μὲν γὰρ ἀληθῶς ὄντας ἀγαθοὺς, τοῖς εἰς δικαιοσύνην ἐπαίνοις ὁ Θεὸς στεφανοῖ· οἵ γε μὴν ἀφιλάρετοι καὶ ὑποκριταὶ, τάχα ταῖς ἑαυτῶν ψήφοις, τὸ δοκεῖν εἶναι σεπτοὶ παρακλέπτουσιν. Ἀλλ' οὐδεὶς, ὦ βέλτιστοι, φαίη τις ἂν αὐτοῖς, ἑαυτὸν στεφανοῖ. Γέγραπται γάρ· « Ἐγκωμιαζέτω σε ὁ πέλας, καὶ μὴ τὸ σὸν στόμα· ἀλλότριος, καὶ μὴ τὰ σὰ χείλη. » Πλὴν κἂν εἰ δύναιντό πως λαθεῖν οἱ ὑποκριταὶ, καὶ τὰς ἐξ ἀνθρώπων ἁρπάσαι τιμὰς, ἀλλ' οὖν ὁ Θεὸς, φησὶ, γινώσκει τὰς καρδίας ὑμῶν, καὶ τιμᾷ μὲν δίκαιον τὸν ἀληθινὸν, σκορπίζει δὲ τὰ τῶν ἀνθρωπαρέσκων ὀστᾶ· ἀνθρωπαρεσκία γὰρ ῥίζα καὶ ἀρχὴ καὶ γένεσις τῆς μεμισημένης παρά τε Θεῷ καὶ ἀνθρώποις ὑπεροψίας. Καταστίξας τοίνυν τοῖς ἐλέγχοις αὐτοὺς, ἕτερόν τι τούτοις προσεπάγει Χριστὸς, ὅπερ ἔμελλον πείσεσθαι, διά γε τὴν ἐνοῦσαν αὐτοῖς ἀνοσιότητά τε καὶ ἀπειθίαν. Φησὶ γάρ·

C

D

V. 15. *Vos estis qui justificatis vos coram hominibus.*

Hoc idem alibi quoque dixisse eis Christum comperimus: « Quomodo potestis credere, qui gloriam ab hominibus accipitis, gloriam autem quæ a solo Deo est non quæritis [47]? » Nam vere bonos Deus justitiæ laudibus ornat. Hostes autem virtutis et hypocritæ, fortasse suffragio proprio, sanctitatis opinionem usurpant. Atqui, o egregii, dicet his aliquis, nemo se ipsum coronat. Scriptum est enim: « Laudet te proximus, non os tuum; extraneus, non labia tua [48]. » Attamen etiamsi latere fortasse queant hypocritæ, et ex hominibus honorem carpere, certe Deus corda vestra novit, et eum qui vere justus est, habet in pretio; at illorum, qui hominibus placent, ossa dispergit. Quippe placendi hominibus studium radix est et initium et parens invisæ Deo hominibusque superbiæ. Postquam eos reprehensionibus his compunxerat, aliud addit Christus quod erant passuri **353** propter hærentem illis impietatem et contumaciam. Dicit enim:

Ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου, κ. τ. λ.

V. 16. *Lex et prophetæ usque ad Joannem*, etc.

(A f. 218). Ἐπικρύπτει πάλιν ἀσαφείᾳ τὸ λυποῦν, καὶ κατεσκιασμένην ὥσπερ ποιεῖται τὴν προαγόρευσιν τῶν συμβησομένων τοῖς ἀπειθεῖν ἑλομένοις αὐτῷ. Μωσῆς γάρ, φησὶ, καὶ σὺν αὐτῷ τῶν ἁγίων προφητῶν ὁ χορὸς, τοῦ κατ' ἐμὲ μυστηρίου τὴν δύναμιν προκατηγγέλκασι τοῖς ἐπὶ τῆς γῆς. Καὶ ὁ νόμος ἐδήλου διὰ σκιᾶς καὶ τύπων, ὅτι καὶ τὸν τῆς σαρκὸς ὑπομενῶ θάνατον, ἵνα σώσω τὴν ὑπ' οὐρανὸν, καὶ

Involvit rursus obscuritate id quod molestiam creabat, et obumbratam quodammodo facit prædictionem eorum quæ incredulis eventura erant. Nam Moyses, inquit, et reliquus cum eo sanctorum prophetarum chorus, sacramenti mei virtutem terræ incolis prænuntiaverunt. Lex quidem per umbram et figuras denotabat, me in carne necem passurum ut mundum salvarem; et corruptelæ vim

[47] Joan. v, 44. [48] Prov. XXVII, 2.

(1) Cod. φιλανθρωπίας, quod plane mendum nobis visum est.

Digitized by Google

superaturum, a mortuis resurgendo. Consona autem Moysis legi prophetæ locuti sunt. Haud ergo mirum est, imo et præcognitum fuit, quod vos sermonibus meis crediturі non fueritis. Nam usque ad Joannem Baptistam vaticiniorum de me pertinet sermo. A diebus autem Joannis, regnum cœlorum nuntiatur, et omnis homo ad id compellitur. Regnum autem cœlorum hoc loco dicit justificationem in fide, peccati ablutionem per sanctum baptisma, sanctificationem per Spiritum, adorationem in Spiritu, adoptionis dignitatem, dandæ sanctis in posterum gloriæ spem. Nuntiatur itaque cœlorum regnum, procedente in medium Baptista ac dicente : « Parate viam Domini [49] ; » et jam præsentem demonstrante Agnum Dei qui tollit peccatum mundi. Quisquis ergo sacræ prædicationis auditor est et amator, is vi compellitur; id est, omni alacritate totisque viribus utens, in spem recipi gestit. Namque ut alibi ait : « Regnum cœlorum vim patitur, et violenti rapiunt illud [50]. »

καταργήσω τὴν φθορὰν, ἐγηγερμένος ἐκ νεκρῶν. Συμβαίνοντα δὲ τοῖς Μωϋσέως νόμοις, ἐλάλησαν οἱ προφῆται. Ξένον τοίνυν, φησὶν, οὐδὲν, ἦγουν προεγνωσμένον, ὅταν τοῖς ἐμοῖς ἀπειθήσητε λόγοις· μέχρι γὰρ Ἰωάννου τοῦ Βαπτιστοῦ, ὁ τῆς προφητείας τῆς ἐπ' ἐμοὶ καὶ ὑμῖν ἐκτείνεται λόγος. Ἀπὸ δέ γε τῶν ἡμερῶν Ἰωάννου, ἡ βασιλεία τῶν οὐρανῶν εὐαγγελίζεται, καὶ πᾶς εἰς αὐτὴν βιάζεται. Βασιλείαν δὲ οὐρανῶν φησιν ἐν τούτοις, τὴν ἐν πίστει δικαίωσιν, τὴν τῆς ἁμαρτίας ἀπόνιψιν, τὴν διά γέ φημι τοῦ ἁγίου βαπτίσματος, τὸν διὰ τοῦ Πνεύματος ἁγιασμὸν, τὴν ἐν Πνεύματι προσκύνησιν, τῆς υἱοθεσίας τὸ καύχημα, τῆς μελλούσης δοθήσεσθαι τοῖς ἁγίοις δόξης τὴν ἐλπίδα. Εὐαγγελίζεται τοίνυν ἡ τῶν οὐρανῶν βασιλεία, παρελθόντος εἰς μέσον τοῦ Βαπτιστοῦ, καὶ λέγοντος· « Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου· » καὶ καταδεικνύντος ἤδη παρόντα τὸν Ἀμνὸν τοῦ Θεοῦ, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου. Πᾶς δὲ εἴ τις γέγονε τῶν ἱερῶν κηρυγμάτων κατήκοος καὶ ἐραστὴς, εἰσβιάζεται· τουτέστιν ἁπάσῃ προθυμίᾳ καὶ παντὶ σθένει χρώμενος, εἴσω παρελθεῖν τῆς ἐλπίδος ἐπιθυμεῖ. Ὡς γὰρ ἑτέρωθί πού φησιν, « Ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. »

V. 17. *Facilius est autem*, etc.

Facilius esse dicit cœlum et terram transire, nondum id fieri jubente Deo, quam legis unum excidere apicem. Legem aliquando summatim dicit pro universa divinitus inspirata Scriptura, id est, Moysis ac prophetarum. Quænam itaque prænuntiaverunt, quæ et exitum habere necesse sit? Prædixerunt videlicet, fore ut ob multam **354** suam incredulitatem et morum impietatem, ab amicitia Dei excidat Israel, primogenitus licet inter filios; et urbs Jerusalem illius amore excludatur. Quamobrem ait de ipsa per os Osee : « Ecce ego sepiam viam ejus sudibus, et obstruam itinera ejus, et ipsa semitam suam non invenlet [51]. » Porro via piorum recta est, nihil in ipsa arduum, sed facilia cuncta et gradibilia. Secus autem obstruitur via metropoleos Judæorum, id est, inaccessa his veræ religionis fit semita. Quod vero obtenebratam mentem habuerint, nec lumen gloriæ Servatoris admiserint, quem agnoscere noluerunt, prædixit his verbis Judæorum veluti populum alloquens : « Nocti assimilavi matrem tuam. Assimilatus est populus meus, quasi non habens scientiam. Quia tu scientiam repulisti, repellam te, ne sacerdotio mihi fungaris. Oblita es legis Dei tui, ego quoque filiorum tuorum obliviscar [52]. » Audin' tenebris noctique comparari, et convenientissime quidem, incredulorum multitudinem? Credentibus enim exoritur in mente et corde intellectualis lucifer, ac justitiæ sol; secus vero mens eorum obtenebratur qui erga tam splendidam pretiosamque gratiam injurii sunt. Et hæc quidem de Israelitis. Iis autem, qui adventum omnium nostrum Servatoris Christi agnoverunt, per unum de sanctis prophetis Deus Pater spondebat dicens : « Confortabo eos in Domino Deo ipso-

Εὐκοπώτερον δέ ἐστι, κ. τ. λ.

(A f. 218 b) Εὐκοπώτερον εἶναί φησι τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν, οὕπω τοῦτο γίνεσθαι Θεοῦ προστάττοντος, ἢ τοῦ νόμου μίαν κεραίαν πεσεῖν. Νόμον δέ φησιν ἑαυτὸν ὅτε συλλήβδην ἅπασαν τὴν θεόπνευστον Γραφὴν, τουτέστι, τὰ Μωϋσέως καὶ προφητῶν. Τίνα τοίνυν προαπηγγέλκασιν, ἃ καὶ δεῖ πάντως ἐκβῆναι πρὸς πέρας; Προηγόρευσαν ὅτι διὰ πολλὴν ἀπιστίαν καὶ τρόπων ἀνοσιότητα, τῆς πρὸς Θεὸν οἰκειότητος ἀπολισθήσει, καίτοι πρωτότοκος ὢν ἐν τέκνοις ὁ Ἰσραήλ· καὶ ὅτι τῆς παρ' αὐτοῦ ἀγάπης ἐξωσθήσεται ἡ Ἱερουσαλήμ. Καὶ γοῦν ἔφη περὶ αὐτῆς διὰ φωνῆς Ὡσηέ· « Ἰδοὺ ἐγὼ φράσσω τὴν ὁδὸν αὐτῆς ἐν σκόλοψι, καὶ ἀνοικοδομήσω τὰς ὁδοὺς αὐτῆς· καὶ τὴν τρίβον αὐτῆς οὐ μὴ εὕρῃ. » Ὁδὸς μὲν γὰρ εὐσεβῶν εὐθεῖα ἐγένετο, καὶ οὐδὲν ἅπαντες ἐν αὐτῇ, λεῖα δὲ πάντα καὶ ἱππήλατα. Φράσσεται δὲ ἡ ὁδὸς τῆς Ἰουδαίων μητρὸς, τουτέστιν ἀδιόδευτος αὐτοῖς ἡ τῆς εὐσεβείας ἀπετελέσθη τρίβος· ὅτι δὲ γεγόνασι σκοτεινοὶ τὸν νοῦν, καὶ οὐ προσήκαντο τῆς τοῦ Σωτῆρος δόξης τὸ φῶς, οὐ γὰρ ἐγνώκασιν αὐτὸν, προαναπεφώνηκε, λέγων, ὡς πρὸς Ἰουδαίων τὸν δῆμον· « Νυκτὶ ὡμοίωσα τὴν μητέρα σου· ὡμοιώθη ὁ λαός μου, ὡς οὐκ ἔχων γνῶσιν· ὅτι σὺ ἐπέγνωσιν ἀπώσω, κἀγὼ ἀπώσομαί σε τοῦ μὴ ἱερατεύειν μοι· καὶ ἐπελάθου νόμου Θεοῦ σου, κἀγὼ ἐπιλάθωμαι τέκνων σου. » Ἀκούεις ὅτι σκότῳ καὶ νυκτὶ παρεικάζεται, καὶ σφόδρα εἰκότως, ἡ τῶν ἀπειθούντων πληθύς; Ἀνίσχει μὲν γὰρ τοῖς πιστεύουσιν εἰς νοῦν καὶ καρδίαν ὁ νοητὸς ἑωσφόρος, καὶ ὁ τῆς δικαιοσύνης ἥλιος· σκότῳ δὲ καὶ ἀχλύϊ νοητῇ καταμελαίνεται τῶν ὑβριζόντων τὴν οὕτω λαμπρὰν καὶ ἀξιόκτητον χάριν ὁ νοῦς. Καὶ ταῦτα μὲν περὶ τῶν ἐξ Ἰσραήλ. Περὶ δὲ τῶν ἐπεγνωκότων τὴν ἐπιφάνειαν τῆς δόξης τοῦ πάντων ἡμῶν Σωτῆρος Χρι-

[49] Matth. III, 3. [50] Matth. XI, 12. [51] Osee II, 6. [52] Osee IV, 5, 6.

Digitized by Google

στοί, δι' ἑνὸς τῶν ἁγίων προφητῶν ὁ Θεὸς καὶ Πατὴρ ὑπισχνεῖτο, λέγων· « Καὶ κατισχύσω αὐτοὺς ἐν Κυρίῳ Θεῷ αὐτῶν, καὶ ἐν τῷ ὀνόματι Κυρίου τοῦ Θεοῦ αὐτῶν ὑπάρξουσι (1). » Συνῳδὰ δὲ τούτοις καὶ ὁ Ψαλμῳδὸς ἐν Πνεύματί φησι πρὸς Χριστόν· « Κύριε, ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται, καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν· ὅτι καύχημα τῆς δυνάμεως αὐτῶν σὺ εἶ· καὶ ἐν τῇ δικαιοσύνῃ σου (2) ὑψωθήσεται τὸ κέρας ἡμῶν. » Καυχώμεθα γὰρ ἐν Χριστῷ, δικαιωθέντες ἐν αὐτῷ· γεγόναμεν ὑψηλοί, τὴν ἐκ τῆς ἁμαρτίας ταπείνωσιν ἐκβεβληκότες, καὶ τῶν τῆς ἀληθείας δογμάτων τὴν ἀκριβῆ καταπλουτήσαντες γνῶσιν· τοῦτο γὰρ ἡμῖν ἐπηγγέλλετο Θεὸς λέγων διὰ φωνῆς Ἡσαΐου· « Καὶ ἄξω τυφλοὺς ἐν ὁδῷ ᾗ οὐκ ἔγνωσαν, καὶ τρίβους ἃς οὐκ ἤδεισαν πατῆσαι ποιήσω αὐτούς· ποιήσω αὐτοῖς τὸ σκότος εἰς φῶς, καὶ πάντα τὰ σκολιὰ εἰς εὐθεῖαν. » Ἡμεῖς μὲν γὰρ ὄντες τυφλοί, πεφωτίσμεθα, καὶ τὴν ἀσυνήθη τῆς δικαιοσύνης ἐρχόμεθα τρίβον· οἱ δὲ νόμον αὐχοῦντες παιδαγωγὸν, ἐν σκότῳ γεγόνασιν. Ὡς γὰρ αὐτὸς ἔφη Χριστὸς, ἡ σκοτία ἐτύφλωσε τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ πώρωσις ἀπὸ μέρους γέγονε τῷ Ἰσραὴλ, ἵνα βλέποντες μὴ βλέπωσι καὶ ἀκούοντες μὴ ἀκούωσι· πεπαρῳνήκασι γὰρ εἰς τοὺς ἁγίους προφήτας, τετολμήκασι δὲ καὶ αὐτῷ τὰς χεῖρας ἐπενεγκεῖν τῷ καλοῦντι πρὸς σωτηρίαν καὶ ζωήν. Οὐκοῦν ἂν ἀπειθῆτε, φησὶ, κἂν τοὺς ἐμοὺς ἀσυνέτως διαμυκτηρίζητε λόγους, ἐπὶ τὴν τοῦ χρησίμου καὶ πρέποντος ἀποκομίζοντας θήραν, ἀλλ' οὐκ ἠγνοήθη ταῦτα, φησὶ, ἀλλ' ἤδη προείρηται διά τε νόμου καὶ προφητῶν. Ἔστι δὲ τῶν ἀμηχάνων, εἰς ἀπραξίαν διαπεσεῖν τὰ; Θεοῦ φωνάς· ὁ γὰρ ἤδει πάντη τε καὶ πάντως ἐσόμενον, τοῦτο προκαταμεμήνυκε. Κατὰ μὲν οὖν τὸ ῥητὸν, δηλοῖ ὅτι ἀφῖκται, καταλύσων μὲν ἥκιστα ἢ ἀνατρέψων τὰ προφητῶν, ἀποπερανῶν δὲ μᾶλλον καὶ προφήτας καὶ νόμον. Ἐπειδὴ γὰρ εἶπεν ὅτι ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου, ἵνα μὴ τοῦτο ἐπήγαγεν, ὅτι « Οὐ πεσεῖται ἀπὸ τοῦ νόμου ἰῶτα ἓν, ἢ μία κεραία, » κατὰ τὸν Ματθαῖον (3).

Quod suo tempore venturus esset in specie nostra Dominus, prædixerant prophetæ, **368** et reapse peractum fuit. Apparuit enim terræ incolis, servi forma suscepta, nihilo tamen minus naturalem suum dominatum retinens, potestatemque et gloriam Deo convenientem. Talem quippe eum nobis exhibet patratorum operum claritas. Sed non credidisti illi, Pharisæe insipiens, jnstificationem ab eo non recepisti. Cur ergo interrogas, quando venit regnum Dei? Deridet is tam veneraudum vereque admirabile mysterium. Nam quia communis Servator in cunctis ad vulgus sermonibus regnum Dei semper memorabat, idcirco jocantur miseri: vel etiam fortasse cogitantes, fore ut ipsorum malitia circumventus, necem in ligno perferat, ironice aiunt: « Quando venit regnum Dei? » Quasi dicant: D Pro eo, de quo loqueris, regno Dei, crux te ac supplicium excipiet. Quid ergo ad hæc Christus? Ostendit denuo patientiam suam, et incomparabilem erga homines charitatem. Maledictus, non vicissim maledicebat; patiens, non comminabatur [88]. Quapropter præcise quidem non reprehendit, sed tamen utpote improbos, responso suo ad interrogata

Ἐπερωτηθεὶς δὲ ὑπὸ τῶν Φαρισαίων, πότε ἔρχεται ἡ βασιλεία τοῦ Θεοῦ.

C (A f. 232 b, B f. 164, C f. 144) Ὅτι ἦξει κατὰ καιροὺς ἐν εἴδει τῷ καθ' ἡμᾶς ὁ Κύριος, προεκήρυττον οἱ προφῆται, καὶ τετέλεσται· ἐπέφανε γὰρ τοῖς ἐπὶ γῆς, μορφὴν δούλου λαβών, ὢν δὲ καὶ οὕτως ἐν κυριότητι φυσικῇ, καὶ ἐν ἐξουσίᾳ καὶ δόξῃ τῇ θεοπρεπεῖ. Τοιοῦτον γὰρ ἡμῖν αὐτὸν ἡ τῶν ἀποτελεσμάτων ἔδειξε λαμπρότης. Ἀλλ' οὐ πεπίστευκας εἰς αὐτὸν, ἀσύνετε Φαρισαῖε, οὐ παραδέξῃ τὴν παρ' αὐτοῦ δικαίωσιν. Εἶτα πῶς ἐρωτᾷς πότε ἔρχεται ἡ βασιλεία τοῦ Θεοῦ; Διαγελᾷ τοιγαροῦν τὸ σεπτὸν οὕτω καὶ ἀξιάγαστον ἀληθῶς μυστήριον. Ἐπειδὴ γὰρ ὁ τῶν ὅλων Σωτὴρ ἐν τοῖς πρὸς ἅπαντας λόγοις, διεμέμνητο πανταχοῦ τῆς βασιλείας τοῦ Θεοῦ, διὰ τοῦτο καταμειδιῶνται οἱ τάλανες· ἢ τάχα που καὶ εἰς νοῦν ἔχοντες ὅτι τὸν ἐπὶ ξύλου θάνατον ὑπομενεῖ, ταῖς αὐτῶν δυστροπίαις σεσαγηνευμένος εἰς τοῦτο, κατειρωνεύονται καὶ φασι· « Πότε ἔρχεται ἡ βασιλεία τοῦ Θεοῦ; » ἀντὶ τοῦ, Πρὸ τῆς παρὰ σοῦ λαλουμένης βασιλείας, σταυρός σε καὶ θάνατος λήψεται. Τί οὖν πρὸς ταῦτα Χριστός; Δείκνυσι πάλιν τὸ ἀνεξίκακον καὶ τὸ ἀπαράβλητον εἰς φιλανθρωπίαν· λοιδορούμενος γὰρ, οὐκ ἀντελοιδόρει· πάσχων, οὐκ ἠπείλει. Οὐκοῦν ἐντόμως μὲν οὐκ ἐλέγχει, πονηροὺς δὲ ὄντας, ἀποκρίσεως τοῖς

[87] Levit. XIV, 2. [88] I Petr. II 23.

(1) Reapse hæc exstant apud nostrum Cyrillum ad Luc. V, 12.

(2) Hæc brevius in codice A, sic: Πεπράχασι μὲν τὸ κεκελευσμένον οἱ δέκα, καὶ ἀπελθόντες ἐθεραπεύθησαν· εἷς δὲ μόνος ὑποστρέψας, ἀνετίθει τὰ χαριστήρια, τῶν ἐννέα τάχα που καὶ εἰς ἀχάριστον λήθην ἐμπεσόντων. *Fecerunt quidem imperata hi decem; et dum irent, sanati sunt. Unus autem tantummodo reversus, gratias egit; reliquis novem, ut videtur, ingratæ oblivioni beneficium tradentibus.*

Digitized by Google

ἐπερωτηθεῖσιν οἰκείας οὐκ ἀξιοῖ· πλὴν ἐκεῖνο μόνον, φησὶν, εἰς ὄνησιν ἀνθρώπου παντός· « Ἡ βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστιν » · οὐκ ἔρχεται μετὰ παρατηρήσεως. Μὴ γὰρ δὴ χρόνους ἐρωτᾶτε, φησὶ, καθ' οὓς ἐπιλάμψει πάλιν, ἤγουν ὁ καιρὸς ἐνστήσεται τῆς τῶν οὐρανῶν βασιλείας, σπουδάσατε δὲ μᾶλλον τυχεῖν αὐτῆς· ἐντὸς γὰρ ὑμῶν ἐστι· τουτέστιν ἐν ταῖς ὑμετέραις προαιρέσεσι καὶ ἐν ἐξουσίᾳ κεῖται τὸ λαβεῖν αὐτήν· ἔξεστι γὰρ ἀνθρώπῳ παντὶ, τὴν εἰς τὸν Χριστὸν δικαίωσιν τὴν διὰ πίστεως δηλονότι καταπλουτήσαντι. καὶ διὰ πάσης ἀρετῆς ἐκλελαμπρυσμένῳ, τῆς τῶν οὐρανῶν βασιλείας τυχεῖν (1). Ἐνεργείᾳ μὲν γὰρ ἐκτός ἐστιν, ἀφ' ὧν ἐξίασιν ἐκ τῆς καρδίας διαλογισμοὶ πονηροί· δυνάμει δὲ ἐντὸς πάντων. Ὅτι γὰρ καὶ τῶν Φαρισαίων ἐντὸς ἦν ἡ βασιλεία τοῦ Θεοῦ, ἀγνοούντων καὶ οἰομένων χρόνῳ τινὶ αὐτὴν εἰς τόπον ἔξωθεν ἔρχεσθαι, Ἰωάννης δείκνυσι λέγων· « Μέσος δὲ ὑμῶν ἔστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε, » περὶ Χριστοῦ λέγων.

A non dignatur. Illud tantummodo ob communem utilitatem dicit : « Regnum Dei intra vos est. » Adventus ejus humanam fugit observationem. Nolite de tempore sciscitari, inquit, quo Christus iterum apparebit, sive quandonam regni Dei tempus instabit. Date operam potius ut id possideatis ; est enim intra vos, id est, in vestra electione ac potestate est ut illud consequamini. Licet enim cuique homini, si modo justificationem in Christo per fidem impetraverit, et omni virtute præfulserit, licet ei, inquam, cœlorum regnum adipisci. Etenim hoc, quod ad actus attinet, extra est, prout improbæ cordis cogitationes eruperint. Virtute autem intra nos omnes est. Namque et intra ipsos Pharisæos exstitisse regnum Dei, qui tamen id ignora-
B bant, putabantque foras aliquando in patentes locos **369** proditurum, ostendit Joannes dicens : « Medius vestrum stetit quem vos nescitis [89], » Christum videlicet significans.

Ἐλεύσονται ἡμέραι ὅτε ἐπιθυμήσετε μίαν τῶν ἡμερῶν τοῦ Υἱοῦ τοῦ ἀνθρώπου ἰδεῖν, καὶ οὐκ ὄψεσθε.

V. 22. *Venient dies quando desiderabitis videre unum diem Filii hominis, et non videbitis.*

(A f. 233, C f. 144) Ταῦτα λέγων, ἑτοίμους εἶναι αὐτοὺς βούλεται πρὸς πᾶν ὁτιοῦν τῶν ἀνιᾶν πεφυκότων, καὶ προευτρεπίζεσθαι πρὸς ὑπομονήν· ἵνα εὐδόκιμοι γεγονότες, εἰσελάσαι δυνηθῶσιν εἰς τὴν τοῦ Θεοῦ βασιλείαν. Προαπαγγέλλει τοίνυν, ὅτι πρὸ τῆς ἐξ οὐρανῶν ἀφίξεως τῆς ἐσομένης ἐπὶ συντελείᾳ τοῦ αἰῶνος, θλῖψις προσελάσει καὶ διωγμὸς, ὥστε μίαν ἡμέραν αὐτοῦ ἰδεῖν ἐπιθυμῆσαι, τουτέστι τὴν ἐν τῷ
C καιρῷ τοῦ συνδιατρίβειν ἔτι καὶ συνδιαιτᾶσθαι Χριστῷ· καί τοι πλείστη τις ἦν ἡ κατ' αὐτοῦ γενομένη τῶν Ἰουδαίων ἐξιτηλία· λίθοις γὰρ ἔβαλλον αὐτὸν, ἐδίωξαν οὐχ ἅπαξ ἀλλὰ πλειστάκις· ἦγον ἕως ὀφρύος τοῦ ὄρους, ἵνα κατακρημνίσωσιν αὐτόν· λοιδορίαις λελυπήκασι καὶ συκοφαντίαις, καὶ οὐδεὶς ἦν τρόπος ἀκαιότητος τοῦ Ἰουδαίου ἀνεπιτήδευτος· πῶς οὖν ἐπιθυμήσειν εἶπε τοὺς μαθητὰς μίαν ἡμέραν ἰδεῖν αὐτοῦ; Ἀντιπεράθεσει γὰρ τῶν ὑπερκειμένων κακῶν, αἱρετά πως εἰσι τὰ ἐλάττονα· μειζόνων γὰρ μετὰ τὴν αὐτοῦ ἀνάληψιν θλίψεων ἐπειράθησαν.

Hæc ait, volens ipsos adversus quamlibet molestiam esse munitos, et ad patientiam comparatos ; ut sic probata virtute, in Dei regnum ingredi queant. Prædicit itaque fore ut, ante suum de cœlo adventum, in mundi consummatione, tribulatio fiat et persecutio, ita ut vel unum ejus diem videre sint optaturi, nempe illius temporis, quo cum Christo versabantur et convivebant : quanquam plurima fuerat contra ipsum Judæorum contumelia ; nam et lapidibus eum appetiverant, nec semel, sed sæpissime persecuti fuerant : duxerant usque ad montis supercilium, ut eum præcipitem darent : conviciis vexaverant atque calumniis, nullumque improbitatis genus Judæi præteriverant. Quomodo ergo dicit optaturos esse discipulos unum ipsius diem videre? Nempe quia præ impendentibus malis eligenda quodammodo erant illa minora. Majores videlicet post Domini ascensionem calamitates experti Judæi sunt.

Ὥσπερ γὰρ ἡ ἀστραπὴ ἡ ἀστράπτουσα ἐκ τῆς ὑπ' οὐρανὸν, κ. τ. λ.

V. 24. *Nam sicut fulgur coruscans de sub cœlo*, etc.

(A f. 233 b, B f. 264 b, C f. 144) Πλὴν ὅτι καταβήσεται μὲν ἐξ οὐρανοῦ, οὐκ ἀσήμως δὲ ἢ ἀσυμ-
D φανῶς, ἀλλ' ἐν δόξῃ τῇ θεοπρεπεῖ, καὶ φῶς ἀπρόσιτον οἰκῶν, διαμεμήνυκε λέγων, ὡς ἀστραπὴν ἔσεσθαι τὴν ἑαυτοῦ παρουσίαν. Ἐγεννήθη μὲν γὰρ κατὰ σάρκα καὶ ἐκ γυναικὸς, τὴν ἐφ' ἡμῖν ἀποπληρώσων οἰκονομίαν· καὶ κεκένωκε διὰ τοῦτο, καὶ τεταπείνωκεν ἑαυτὸν, καὶ ἦν οὐκ ἐν δόξῃ θεότητος ἐμφανῶς· ἐκάλει γὰρ εἰς τοῦτο καιρὸς, καὶ τῆς οἰκονομίας ἡ χρεία. Μετὰ δὲ τὴν ἐκ νεκρῶν ἀνάστασιν, ἀναπτὰς εἰς οὐρανὸν, καὶ συνεδρεύσας τῷ Θεῷ καὶ Πατρὶ, καταβήσεται πάλιν οὐκ ἐν ὑφέσει δόξης, οὔτε μὴν

Verumtamen quod cœlo sit descensurus non ignobiliter neque obscure, sed cum gloria Deo conveniente, et inaccessa luce circumdatus, significavit, dicens fulguris instar adventum suum futurum. Natus est quidem cum carne ex muliere, suum nostri causa dispensatorium opus completurus ; propterea que se exinanivit et humiliavit, nec deitatis gloriam apparenter servabat. Sic enim tempus postulabat, et susceptæ dispensationis ratio. Sed post resurrectionem a mortuis, in cœlum evolans, et Patri Deo factus consessor, postea rursus descendet, haud subtracta jam gloria, neque cum humana

[89] Joan. I, 26.

(1) Et ut de prædestinationis divinæ natura sancti Patres loquuntur.

Digitized by Google

humilitate, sed cum Patris majestate, comitante angelorum multitudine et tanquam Deum omniumque **370** Dominum stipante. Veniet itaque sicut fulgur, non autem clam. Nec cuiquam credendum est dicenti : « Ecce hic, ecce illic. » Aliam hanc quoque amputat de corde discipulorum suspicionem. Existimabant enim ipsum, perlustrata Judæa, deinde ad urbem Jerusalem reducem, statim illic Dei regnum manifestaturum. Quare et accedentes dixerunt : « An hoc tempore, Domine, Israeli regnum restituis? » Sed et liberorum Zebedæi mater, hoc futurum exspectans, accessit, honorem illis cathedræ postulans. Ergo ut scirent oportere ipsum antea salutarem sustinere passionem, et mortem morte propriæ carnis exstinguere, mundoque peccatum expellere, principem item hujus sæculi profligare, et sic deinde ad Patrem ascendere, tum suo tempore rursus apparere, ut mundum æquo jure judicet, ait se antea oportere multa pati. Quia vero insperato, nulloque præsciente apparebit, simulque præsentis sæculi finis aderit, sic ait fore consummationem ut temporibus Noe ac Loti. — Deliciabantur enim, inquit, secure, manducabant et bibebant, vendebant, emebant et ædificabant. Verumtamen illos aquarum exstinxit impetus, hi autem ignis præda atque esca fuerunt. Quid ergo hinc significatur? Vult nos Christus semper vigilare, et paratos esse orandæ defensioni ante Dei tribunal.

A ἐν ἀνθρωπίνῃ μικροπρεπείᾳ, ἀλλ' ἐν τῇ τοῦ Πατρὸς ὑπεροχῇ, πληθύος ἀγγέλων δορυφορούσης αὐτὸν, καὶ παριστα μένης ὡς Θεῷ καὶ Κυρίῳ τῶν ὅλων. Ἥξει τοίνυν ὡς ἀστραπὴ, καὶ οὐ λεληθότως. Καὶ οὐδενὶ πιστευτέον λέγοντι· « Ἰδοὺ ὧδε, ἰδοὺ ἐκεῖ. » Ἀπόψίαν ἑτέραν τῆς τῶν μαθητῶν ὑποκείρει καρδίας· ἔφοντο γὰρ ὅτι περινοστήσας τὴν Ἰουδαίαν, εἶτα γεγονὼς ἐν τοῖς Ἱεροσολύμοις, εὐθὺς ἀναδείξει τὴν τοῦ Θεοῦ βασιλείαν· καὶ γοῦν προσιόντες, ἔφασκον· « Εἰ ἐν τῷ χρόνῳ τούτῳ, Κύριε, ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ; » Ἀλλὰ καὶ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου τοῦτο γενέσθαι προσδοκήσασα, προσῆει περὶ καθέδρας ἀξιοῦσα. Οὐκοῦν ἵν' εἰδεῖεν ὅτι δεῖ πρῶτον αὐτὸν τὸ σωτήριον ὑποστῆναι πάθος, καὶ καταργῆσαι θάνατον τῷ θανάτῳ τῆς ἰδίας σαρκὸς, καὶ ἀποστῆσαι B τοῦ κόσμου τὴν ἁμαρτίαν, καταργῆσαι δὲ καὶ τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου, εἶθ' οὕτως ἀναβῆναι πρὸς τὸν Πατέρα, ἐπιλάμψαι τε κατὰ καιροὺς, ἵνα κρίνῃ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, φησὶν ὅτι πρῶτον δεῖ αὐτὸν πολλὰ παθεῖν. Ὅτι δὴ ἀδοκήτως, καὶ οἷον εἰδότος οὐδενὸς, ἐπιλάμψει, καὶ τὸ τοῦ παρόντος αἰῶνος ἀφίξεται πέρας, οὕτω φησὶν ἔσεσθαι τὴν συντέλειαν, ὡς γέγονεν ἐν ἡμέραις Νῶε καὶ Λώτ. — (B f. 165) Ἐτρύφων γὰρ, φησὶν, ἀμερίμνως, ἤσθιον, ἔπινον, ἐπώλουν, ἠγόραζον, ᾠκοδόμουν. Ἀλλὰ τοὺς μὲν ὑδάτων ἀπώλεσε φορὰ, οἱ δὲ γεγόνασι θείου πυρὸς ἔργον καὶ τροφή. Τί οὖν ἐντεῦθεν τὸ δηλούμενον; Βούλεται ἡμᾶς ἐγρηγορέναι διὰ παντὸς, καὶ ἑτοίμους εἶναι πρὸς ἀπολογίαν τὴν ἐπὶ τοῦ θείου βήματος.

V. 31. *In illa die qui fuerit in tecto, et vasa ejus in domo*, etc.

C *Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὃς ἔσται ἐπὶ τοῦ δώματος, καὶ τὰ σκεύη αὐτοῦ ἐν τῇ οἰκίᾳ*, κ. τ. λ.

Flocci facere jubet rem quamlibet terrenam ac temporalem, atque unum præ oculis scopum habere, ut animam quisque suam salvet. Qui ergo, inquit, supra tectum fuerit, ne descendat in ædes ut sua vasa sumat. Videtur autem his verbis hominem in otio et opibus mundanoque splendore versantem velle denotare. Nam qui in tectis sunt, conspicui sunt illis qui domum circumsistant. Si quis ergo hujusmodi est, ne det operam illo tempore, ut partem ullam repositorum in ædibus vasorum sumat : inutilia erunt enim hæc, nec **371** quidquam ejus commodis profutura. « Nam thesauri nihil impios juvant, » prout scriptum est; « justitia autem a morte eripit [90]. » Sed et si quis, inquit, in agro fuerit, ne regrediatur : id est si quis studiose laboribus impendit operam, et excolendi spiritus gerit sollicitudinem, ac bonorum sudorum mercedem colligit, ne retro cedat. Namque, ut ipse alibi Christus dixit, « Nemo mittens manum suam ad aratrum, et conversus retro, regno cœlorum aptus est [91]. » Quare ad studia sacra sine pœnitentia incumbendum est, ne id forte patiamur quod illi feminæ accidit in urbe Sodomis, cujus ipso exemplo Christus utens ait : « Mementote uxoris Loti, » quæ Sodomis egressa, deinde regressa, salis statua

(A f. 235) Ἀλογῆσαι προστάττει παντὸς ἐπιγείου καὶ προσκαίρου πράγματος, καὶ εἰς ἓνα βλέψαι σκοπὸν τὸν ἐπί γε τῷ δεῖν ἕκαστον διασῶσαι τὴν ἑαυτοῦ ψυχήν. Ὅς ἂν τοίνυν ᾖ, φησὶν, ἐπὶ τοῦ δώματος, μὴ καταβήτω ἐν τῇ οἰκίᾳ ἆραι τὰ σκεύη αὐτοῦ. Ἔοικε δὲ διὰ τούτων, τὸν ἐν ἀναπαύσει, καὶ πλούτῳ, καὶ περιφανείαις κοσμικαῖς βούλεσθαι ἐλλοῦν· ἀεὶ γάρ πως οἱ ἐν δώμασιν ἑστηκότες, ἀπόβλεπτοι γίνονται τοῖς τὴν οἰκίαν περιεστηκόσιν. Εἴ τις τοίνυν τοιοῦτός ἐστι, φησὶ, μηδένα πειείσθω λόγον, κατ' ἐκεῖνο καιροῦ, τῶν ἐναποκειμένων τῇ οἰκίᾳ σκευῶν· ἄχρηστα γὰρ ταῦτα καὶ ἀσυντελῆ πρὸς D δνησιν αὐτῷ. « Οὐ γὰρ ὠφελοῦσι θησαυροὶ ἀνόμους, » κατὰ τὸ γεγραμμένον, « δικαιοσύνη δὲ ῥύεται ἐκ θανάτου. » Ἀλλὰ κἂν εἴ τις ᾖ, φησὶν, ἐν ἀγρῷ, μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω· τουτέστιν, εἰ εὑρίσκοιτό τις ἐν φιλεργίαις ὑπάρχων καὶ πόνοις, καὶ πνευματικῆς εὐκαρπίας ἐπιμελητὴς, καὶ τοὺς ἐξ ἱδρώτων ἀγαθῶν συλλέγων μισθοὺς, μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω· ὡς γὰρ αὐτός που πάλιν ἔφη Χριστὸς, « Οὐδεὶς βαλὼν τὴν χεῖρα ἐπ' ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. » Χρὴ γὰρ ἔχεσθαι τῶν ἱερῶν σπουδασμάτων ἀμεταστρέπτοις ὁρμαῖς, ἵνα μὴ τοῦτο πάθωμέν ὃ δὴ καὶ συνέβη παθεῖν τὴν ἐν Σοδόμοις γυναῖκα, ἣν δὲ

[90] Prov. x, 2. [91] Luc. ix, 62.

Digitized by Google

καὶ λαβὼν εἰς παράδειγμα, φησί· « Μνημονεύετε τῆς γυναικὸς Λώτ· » ἐξελθοῦσα γὰρ ἀπὸ Σοδόμων, εἶθ' ὑπονοστήσασα, στήλη [cod. ὑπονοστήλη] γέγονεν ἁλὸς, τουτέστιν ἀπεμωράνθη καὶ ἀπελιθώθη. Δεῖ δὴ οὖν ἀντέχεσθαι νεανικῶς τοῦ προτεθέντος σκοποῦ. A

Ὃς ἐὰν ζητήσῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν.

(A f. 235, C f. 144 b, D f. 58 b) Πῶς ἀπόλυσί τις ἑαυτοῦ ψυχήν, ἵνα αὐτὴν διασώσῃ, ἢ κατὰ τίνα τρόπον ὁ διασῶσαι νομίσας, ἀπόλυσιν αὐτὴν, σαφηνιεῖ λέγων ὁ Παῦλος, περὶ μὲν τῶν ἁγίων· « Οἱ δὲ τοῦ Χριστοῦ Ἰησοῦ, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. » Οἱ γὰρ ὄντως γεγονότες γνήσιοι τῷ ἡμῶν Σωτῆρι Χριστῷ, τὴν ἑαυτῶν σταυροῦσι σάρκα, τουτέστι θανατοῦσι· πόνοις δηλονότι καὶ τοῖς εἰς εὐσέβειαν ὁμιλοῦντες ἀγῶσι, καὶ κατανεκροῦντες αὐτῆς τὸ φρόνημα. Γέγραπται γάρ· « Νεκρώσατε τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν. » Ὅσοι οὖν τούτων ἕνεκα νεκροῦνται, οὗτοι σεσώκασι τὴν ἑαυτῶν ψυχήν· οἵ γε μὴν τὸν φιλήδονον ἀγαπῶντες βίον, τάχα που τὴν ἑαυτῶν οἴονται κτᾶσθαι ψυχήν· ἀπολλύουσι δὲ πάντως αὐτήν. « Ὁ γὰρ σπείρων, φησὶν, εἰς τὴν σάρκα, ἐκ τῆς σαρκὸς θερίσει φθοράν. » Ἀπολέσας δέ τις καὶ ἑτέρως τὴν ἑαυτοῦ ψυχήν, διασώσει πάντως αὐτήν· τοῦτο πεπράχασιν οἱ μακάριοι μάρτυρες, τοὺς μέχρι ψυχῆς καὶ αἵματος διενεγκόντες ἀγῶνας, καὶ τῆς εἰς Χριστὸν ἀγάπης τὸ γνήσιον, οἷά τινα στέφανον, ταῖς ἑαυτῶν ἀνάψαντες κεφαλαῖς. Οἵ γε μὴν ἐξ ἀνάνδρου ψυχῆς καὶ γνώμης ἀρνησάμενοι τὴν πίστιν, καὶ τὸν παραυτίκα τῆς σαρκὸς διαφυγόντες θάνατον, οὗτοι φονευταὶ τῆς ἑαυτῶν γεγόνασι ψυχῆς· κατοιχήσονται γὰρ εἰς ᾅδου, τῆς κακανδρίας ὑφέξοντες δίκας. B C

Ταύτῃ τῇ νυκτὶ ἔσονται δύο ἐπὶ κλίνης μιᾶς· ὁ εἷς παραληφθήσεται, καὶ ὁ ἕτερος ἀφεθήσεται.

(A f. 235 b, B f. 166 b, C f. 144 b, D f. 58 b) Νύκτα γε μὴν ὀνομάζει τὸν τῆς κρίσεως καιρὸν, διά τοι, καθάπερ ἡγοῦμαι, τὸ ἀσυμφανὲς καὶ ἀπροσδόκητον τῆς αὐτοῦ παρουσίας. Διὰ δὲ τῶν δύο τῶν ἐπὶ κλίνης ὄντων μιᾶς, ἔοικεν ὑπαινίττεσθαι τοὺς ἐν ἀναπαύσει καὶ πλούτῳ, καὶ ἰσομοιροῦντας ἀλλήλοις, κατά γε, φημὶ, τὸ ἐν εὐπαθείαις εἶναι κυσμικαῖς· κλίνη γὰρ, ἀναπαύσεως σύμβολον. Ἀλλ' εἷς ἐξ αὐτῶν, φησὶ, παραληφθήσεται, καὶ εἷς ἀφίεται· πῶς ἢ τίνα τρόπον; οὐ γὰρ πάντες οἱ ἐν πλούτῳ καὶ ἀναπαύσει γεγονότες τῇ κατὰ τόνδε τὸν βίον, πονηροὶ γεγόνασι καὶ ἀμελικτοι. Τί γάρ; Εἰ πλούσιος μὲν ἔστι τις, χρηστὸς δὲ καὶ φιλοικτείρμων καὶ τὴν πίστιν ὀρθὸς, οὗτος παραλαμβάνεται· ὃ γε μὴν ἕτερος, ὡς μὴ γεγονὼς τοιοῦτος, ἀφεθήσεται. Διὰ δὲ τῶν ἀληθουσῶν, ἔοικε τοὺς ἐν πτωχείᾳ καὶ πόνοις ὄντας ὑποδηλοῦν· ἀλλὰ καὶ ἐπ' αὐτῶν δὴ τούτων, φησὶ, πολλή τίς ἐστι διαφορά· οἱ μὲν γὰρ τὸ τῆς πτωχείας φορτίον γενναίως φέροντες, σωφρόνως τε καὶ ἐπιεικῶς βιοῦντες, οὗτοι παραληφθήσονται, δίκαιοι δηλονότι τυγχάνοντες· οἱ δὲ μὴ τοιοῦτοι, δεινοὶ δὲ μᾶλλον πρὸς D

facta est, id est fatua ac lapidea. Ergo viriliter ad propositum finem tendendum est.

V. 33. *Quicunque quæsierit animam suam salvam facere, perdet illam.*

Quo pacto perdat aliquis animam suam, ut illam salvet; vel quomodo salvare existimans, perdat ipsam, Paulus declarabit, de sanctis quidem dicens : « Qui autem sunt Christi, carnem suam crucifixerunt cum vitiis et concupiscentiis [92]. » Nam qui vere fideles Servatori nostro Christo sunt, suam crucifigunt carnem, id est mortificant; labores nimirum et pro religione certamina exantlantes, et carnales cupiditates mortificantes. Scriptum est enim : « Mortificate membra vestra quæ sunt super terram, fornicationem, immunditiam, libidinem, concupiscentiam malam, et avaritiam [93]. » Qui ergo in rebus hujusmodi mortificantur, hi animam suam servant; qui vero voluptariam amant vitam, putant fortasse animam suam possidere, sed contra potius illam amittunt, quoniam « Qui seminat, inquit, in carnem, de carne metet corruptionem [94]. » Alioquin etiam animam suam aliquis perdens, prorsus illam servat; quod beati martyres egerunt, usque ad sanguinem decertantes, et germanam suam erga **372** Christum charitatem, coronæ instar, capiti suo circumponentes. Sed qui animi sententiæque mollitie fidem negaverunt, et præsentem carnis mortem vitaverunt, hi revera animarum suarum carnifices exstiterunt. Abibunt enim ad inferos, suæque ignaviæ pœnas sustinebunt.

V. 34. *In illa nocte erunt duo in lecto uno; unus assumetur, et alter relinquetur.*

Noctem quidam nominat judicii tempus, quemadmodum ego arbitror, propter incognitum et improvisum Christi adventum. Per duos autem qui in uno sunt lecto, innuere videtur homines in otio opibusque viventes, mundanasque voluptates æque invicem participantes : nam lectus requiei symbolum est. Sed ex his hominibus unus, inquit, assumetur, et alter relinquetur. Cur, vel quomodo? Quia non omnes qui in divitiis et tranquillitate præsentem vitam exegerunt, improbi fuerunt et immisericordes. Quid enim? Si quis dives quidem est, simul tamen clemens et misericors atque orthodoxus, hic sane assumitur; at alter, quia talis non fuit, relinquetur. Per feminas vero molentes, videtur pauperes et laboriferos homines subindicare. Sed in his quoque grandis est, inquit, diversitas : alii enim paupertatis pondus viriliter ferentes, modesteque ac mansuete viventes, utpote justi assumentur; alii vero, cum non fuerint hujusmodi, sed acres potius ad maleficia, et cujuslibet nequitiæ studiosi, relinquentur, ignis pœnam experturi. Erit itaque

[92] Galat. v, 24. [93] Coloss. III, 5. [94] Galat. VI, 8.

Digitized by Google

circa hos quoque plurima et accurata morum exploratio; et bonus quidem assumetur; qui vero secus fuerit, relinquetur. — Cum dixisset, **373** *assumetur*, utiliter, imo necessario interrogant discipuli: « Ubi, Domine? Qui dixit illis: Ubicunque fuerit corpus, illuc congregabuntur aquilæ [95]. »—Quid vero est hoc? Ex re communi ac manifestissima, grande atque profundum mysterium innuitur. Quale porro hoc est? Descendet nimirum cœlo, ut æquo jure mundum judicet: sed tamen angelos suos præmittet, qui a peccatoribus justos sanctosque secernent, eique exhibebunt; reliquos autem in terra relinquent, puniendos videlicet. Hujusmodi aliquid sapientissimus quoque Paulus significat, scribens: « Dico enim vobis, quod nos qui vivimus, qui residui sumus, non præveniemus eos qui dormierunt; sed ipse buccina clanget, et mortui in Christo resurgent incorrupti, in puncto temporis, in ictu oculi. Et nos qui vivimus, simul rapiemur cum illis in nubibus obviam Christo in aerem, et sic semper cum Domino erimus [96]. » Sicut ergo, jacente cadavere, carnivoræ aves in id convolant; ita cum Filius hominis veniet, tunc omnes aquilæ, id est qui alte volaverint, et supra terrenas mundanasque res sese extulerint, ad ipsum concurrent.

A κακουργίας, καὶ ἀπάσης φαυλότητος ἐπιτηδευταί, ἀφεθήσονται, τῇ διὰ πυρὸς ὑποκειμένοι δίκῃ. Ἔσται τοίνυν καὶ ἐπ' αὐτοῖς πλείστη τις καὶ ἀκριβὴς τῶν τρόπων ἡ δοκιμασία· καὶ ὁ μὲν χρηστὸς παραληφθήσεται· ὁ γε μὲν οὐ τοιοῦτος ἀφεθήσεται (1). — (A f. 235 b) Εἰπόντος γε μὴν τὸ *παραληφθήσεται*, χρησίμως καὶ ἀναγκαίως διερωτῶσιν οἱ μαθηταί· « Ποῦ, Κύριε; Ὁ δὲ εἰπεναύτοῖς· Ὅπου τὸ σῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί. » — (B f. 167, D f. 58 b) Καὶ τί δὲ τοῦτό ἐστιν; Ἀπὸ κοινοῦ καὶ ἐμφανεστάτου πράγματος, μέγα καὶ βαθὺ μυστήριον ὑπαινίττεται. Καὶ ποῖον τοῦτό ἐστι; Καταβήσεται μὲν γὰρ ἐξ οὐρανῶν, ἵνα κρίνῃ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ· ἀλλ' αὐτός, φησὶν, ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ, καὶ ἐκλέξουσιν ἐκ τῶν ἁμαρτωλῶν τοὺς δικαίους καὶ ἁγίους, καὶ προσίσουσιν αὐτῷ· τοὺς γε μὴν ἑτέρους ἀφιᾶσιν ἐν τῇ, κολασθησομένους δηλονότι. Τοιοῦτόν τι καὶ ὁ πάνσοφος Παῦλος ὑποδηλοῖ γράφων· « Λέγω γὰρ ὑμῖν, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας, ἀλλ' αὐτὸς σαλπίσει, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται ἄφθαρτοι, ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ· καὶ ἡμεῖς οἱ ζῶντες, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου, εἰς ἀέρα· καὶ οὕτως πάντοτε σὺν Κυρίῳ ἐσόμεθα. » Ὥσπερ οὖν σώματος κειμένου νεκροῦ, τὰ σαρκοβόρα τῶν πτηνῶν ἐπ' αὐτὸ συντρέχει, οὕτως ὅταν ὁ Υἱὸς τοῦ ἀνθρώπου παραγένηται, τότε δὴ πάντες οἱ ἀετοὶ, τουτέστιν οἱ τὰ ὑψηλὰ πετόμενοι, καὶ τῶν ἐπιγείων καὶ κοσμικῶν ἀνενηγμένοι πραγμάτων, ἐπ' αὐτὸν συνδραμοῦνται.

B

CAP. XVIII.

ΚΕΦΑΛ. ΙΗ'.

C

V. 1. *Quoniam oportet semper orare et non deficere.*

Πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι, καὶ μὴ ἐκκακεῖν.

Sine intermissione itaque oportet orare, secundum beati Pauli dictum [97]; bene conscios firmiterque credentes, omnia Deum invocatum feliciter posse præstare. « Postulet enim quisque, inquit, fide nihil hæsitans. Nam qui hæsitat, similis est fluctui maris qui a vento movetur et circumfertur [98]. » Certe hujusmodi homo haud putet se quidquam a Domino accepturum: nam sine **374** dubio facit injuriam qui hæsitat. Nisi enim crediderit Deum precibus tuis fore consensurum, nunquam ad eum supplex accedas; ne accusator Omnipotentis

(A f. 236, C f. 144 b, D f. 59) Ἀδιαλείπτως οὖν χρὴ προσεύχεσθαι, κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνήν, εὖ εἰδότας καὶ ἀραρότως πιστεύοντας, ὅτι πάντα δύναται κατορθοῦν ὁ παρακαλούμενος. « Αἰτείτω γάρ τις, φησὶ, πίστει μηδὲν διακρινόμενος. Ὁ γὰρ διακρινόμενος ἔοικε κλύδωνι θαλάσσης, ἀνεμιζομένῳ καὶ φερομένῳ. » Μὴ γὰρ οἰέσθω, φησὶν, ὁ ἄνθρωπος ἐκεῖνος, ὡς λήψεταί τι παρὰ τοῦ Κυρίου· ὑβριστὴς γὰρ ὁμολογουμένως ὁ διακρινόμενος. Εἰ γὰρ μὴ πιστεύκας ὅτι τὴν σὴν αἴτησιν ἀποπερανεῖ, μηδὲ προσέλθῃς ὅλως· ἵνα μὴ κατήγορος εὑρεθῇς τοῦ πάντα

[95] Luc. XVII, 36, 37; Matth. XXIV, 28. [96] I Thess. IV, 14 seq.; I Corinth. XV, 52. [97] I Thess. V, 17. [98] Jac. I, 6.

(1) Hic paulo amplior est Cyrillus apud Corderium in Lat. cat. « Cyrillus. Valde autem accommodate defectionis tempus et rationalis lucis privationem, noctem appellavit: nocte siquidem et tenebris deterior hominum tunc erit constitutio, propter amentiam et errorem qui tum illos apprehendet. Quapropter, inquit, dico vobis, duo erunt in lecto uno, et duo erunt in molendino, quorum unus assumetur tanquam alienus ab ira, et alter relinquetur igni tradendus, quem thesaurizavit sibi in die iræ. Atque ita fiet separatio proborum et amicorum Dei ab improbis, ne indifferenter ira superveniens etiam justos apprehendat. Quapropter sicuti ad Lot misit Deus angelos suos, qui illum e Sodomorum eversione eduxerunt, sic etiam ante consummationem universi, antequam improbos ira corripiat, ne una cum hoc mundo etiam justi condemnentur, mittet D quoque angelos suos, qui, impiis pœnam passuris in terra relictis, sanctos et justos ad Deum adducent. Tum duorum in lecto jacentium, unus tanquam Deo dignus assumetur; alter vero, quippe dignus quem impiorum ira punitioque corripiat, relinquetur. Eadem erit ratio de duobus in uno molendino molentibus. Molentes autem appellavit eos qui tenuem atque inopem inter homines vitam ducunt. In lecto vero jacentes vocavit eos, qui mollem et dissolutam vitam traducunt. Simile quid etiam Moyses scripsit in Exodo (XII, 29), ubi ait iram Domini percussisse primogenita Ægypti a primogenito Pharaonis usque ad primogenitum captivæ quæ erat in carcere, aut ejus quæ pinsebat in mola. Per quod, ut multis Scriptura innuit, et in fastigio honoris existentes, et infimos atque abjectissimæ conditionis homines voluit significare. »

Digitized by Google

ἰσχύοντος, διψυχήσας ἀβούλως. Χρὴ τοιγαροῦν τὴν οὕτως αἰσχρὰν παραιτεῖσθαι νόσον· ὅτι δὲ τοῖς οὐ περιέργως ἢ ἀτημελῶς, ἀλλ' ἐν σπουδῇ καὶ ἀδιαλείπτως ποιουμένοις τὰς λιτὰς κατανεύσει ὁ Θεὸς, ἡ προκειμένη παραβολὴ πιστώσεται. Εἰ γὰρ τὸν ἄδικον κριτὴν, τὸν μήτε Θεὸν φοβούμενον, μήτε μὲν ἄνθρωπον ἐντρεπόμενον, δεδυσώπηκε τῆς χήρας ἡ συνεχὴς πρόσοδος, ὥστε καὶ ἄκοντα ποιῆσαι τὴν ἐκδίκησιν αὐτῆς, πῶς ὁ φιλοικτείρμων καὶ μισοπόνηρος, ὁ τοῖς ἀγαπῶσιν αὐτὸν χεῖρα νέμων ἀεὶ τὴν σώζουσαν, οὐ προσδέξεται μὲν προσιόντας αὐτῷ καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ, ποιήσει δὲ τὴν ἐκδίκησιν αὐτῶν ὡς ἐξειλεγμένων;

(A f. 236) Ἀλλὰ γὰρ τίνες ὅλως οἱ ἀδικοῦντες αὐτοὺς, φέρε δὴ, φέρε καταθρήσωμεν [cod. καταθρηνήσωμεν]. Ἀδικοῦσιν ἅγιους πλεῖστοί τε ὅσοι καὶ ἐπὶ πολλοῖς, τὸν τῆς ἀληθείας ὀρθοτομοῦντας λόγον, οἱ τῶν ἱερῶν δογμάτων ἀνεπιστήμονες, καὶ πάσης ὀρθότητος ἀπενηνεγμένοι. Οὗτοι δέ εἰσι, τὰ μιαρὰ καὶ βέβηλα τῶν αἱρετικῶν ἐργαστήρια, ἅπερ ἂν εἴποι τις θανάτου πύλας· οὗτοι διωγμοὺς καὶ θλίψεις ἐπάγουσι τοῖς ὀρθοποδοῦσι περὶ τὴν πίστιν· κατὰ τούτων οἱ Θεῷ γνώριμοι ποιοῦνται τὰς λιτὰς, τοὺς ἁγίους ἀποστόλους ἀπομιμούμενοι, οἳ τῆς Ἰουδαίων σκαιότητος κατακεκραγότες, ἔφασκον· « Καὶ τὰ νῦν, Κύριε, ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν, καὶ δὸς τοῖς δούλοις σου μετὰ παῤῥησίας λαλεῖν τὸν λόγον σου. » Ἀλλὰ γὰρ ἴσως ἐρεῖ τις· Τοῖς ἁγίοις ἀποστόλοις ἔφη που Χριστός· « Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, προσεύχεσθε ἐπὶ τῶν ἐπηρεαζόντων. » Πῶς οὖν ἄρα προσευξόμεθα κατ' αὐτῶν, εἶτα τῆς θείας οὐκ ἀλογήσομεν ἐντολῆς; Πρὸς τοῦτό φαμεν· Ἆρ' οὖν εὐξόμεθα παῤῥησίαν αὐτοῖς καὶ ἰσχὺν δοθῆναι παρὰ Θεοῦ, ἵνα τοὺς τὰ αὐτὰ πρεσβεύοντας μὴ ἐῶσι μυσταγωγεῖν; Καὶ πῶς οὐκ εὔηθες παντελῶς τὸ χρῆμά ἐστιν; Οὐκοῦν ὅταν μὲν εἰς ἡμᾶς αὐτοὺς τὰ παρά τινων ἔρχηται πλημμελήματα, τότε δὴ, τότε καύχημα ποιησόμεθα τὸ ἐπ' αὐτοῖς ἀμνησίκακον καὶ φιλάλληλον· τότε τοὺς ἁγίους Πατέρας ἀπομιμούμενοι, κἂν παίωσι, κἂν ὑβρίζωσι, κἂν ἑτέρους ἡμῖν πλεονεξίας ἐπιφέρωσι τρόπους, ἀπαλλάξομεν πάσης αἰτίας αὐτοὺς, κρείττους ἐσόμεθα καὶ ὀργῆς καὶ λύπης. Ὅταν δέ τινες εἰς αὐτὴν ἁμαρτάνωσι τὴν τοῦ Θεοῦ δόξαν, τῶν τὸ θεῖον ἱερουργούντων κήρυγμα, πολέμους καὶ θλίψεις κατασωρεύοντες, τότε πρόσιμεν Θεῷ, τὴν παρ' αὐτοῦ ζητοῦντες ἐπικουρίαν, καὶ τῶν μαχομένων αὐτοῦ τῇ δόξῃ κατακεκραγότες· καθάπερ ἀμέλει καὶ ὁ μέγας Μωϋσῆς· ἔφη γάρ· « Ἔξεγέρθητι, Κύριε· διασκορπισθήτωσαν οἱ ἐχθροί σου· φυγέτωσαν πάντες οἱ μισοῦντες τὸ ὄνομά σου. » Καὶ αὐτὸ δὲ τὸ εἰρημένον παρὰ ἁγίων ἀποστόλων, ἐκδείξειεν ἂν οὐκ ἀσυντελοῦν πρὸς δύνησιν τῷ θείῳ κηρύγματι, τὸ ἀσθενῆσαί πως τῶν διωκόντων τὴν χεῖρα· « Ἔπιδε γάρ, φησὶν, ἐπὶ τὰς ἀπειλὰς αὐτῶν, » τουτέστι ματαίωσον αὐτῶν τὰς ἐπαναστάσεις· « καὶ δὸς τοῖς δούλοις σου, μετὰ παῤῥησίας λαλεῖν τὸν λόγον σου. » Ὅτι γὰρ ἤμελλον τοὺς τῆς ὀρθότητος λόγους ἐκκαπηλεύειν τινὲς, καὶ τῆς ὑγιαινούσης πίστεως ἀποφέρειν πολλοὺς, προανεφώνησε λέγων.

flas, dum inconsulte hæsitaveris. Oportet itaque tam turpem morbum aversari. Quod autem nec ambitiose nec temere orantibus, sed studiose atque incessanter, Deus annuet, præsens parabola confirmabit. Nam si injustum judicem, qui neque Deum timebat, neque hominem reverebatur, perseverans viduæ instantia pudore suffudit, ut, invitus licet, jus ei redderet, quomodo ille misericors et iniquitatis osor, qui salutarem semper diligentibus ipsum manum porrigit, sibi diu noctuque supplicantes non exaudiet, eosque tanquam electos defensabit?

Sed quinam omnino adversus eos injuriosi sint, age, jam videamus. Sanctos, qui veritatis doctrinam recte docent, plurimi admodum et multifariam offendunt, qui sacrorum dogmatum sunt imperiti, et procul omni recta via deferuntur. Sunt autem hi exsecrabiles et impuræ hæreticorum officinæ, quas merito quis appellarit mortis januas. Hi persecutiones tribulationesque recte in fide incedentibus concitant. Contra hos amici Dei preces fundunt, sanctos imitantes apostolos, qui adversus Judæorum nequitiam reclamantes aiebant: « Et nunc, Domine, respice in minas eorum, et da servis tuis cum fiducia loqui verbum tuum [99]. » Atqui aliquis fortasse dicet: Sanctis apostolis ait aliquando Christus: « Diligite inimicos vestros, orate pro calumniantibus vos [1]. » Quomodo ergo orabimus contra ipsos, quin simul divinum præceptum negligamus? Ad hæc respondemus: Num igitur orabimus, quo fiducia improbis viresque suppeditentur a Deo, ut eos qui sic orant non sinant religionem propagare? Quidni hoc usquequaque fatuum negotium sit? Cum ergo contra nos ipsos aliqui peccant, tunc enimvero oblivisci injuriarum, et amorem exhibere gloriabimur: **375** tunc sanctorum Patrum exempla sectantes, verberent licet, convicientur, alia injuriarum genera inferant, omni eos culpa absolvemus, iram doloremque omittemus. Sed cum in ipsam Dei majestatem peccaverint aliqui, et sacram sacerdotum prædicationem, bella et tribulationes cumulantes, tunc Deo supplicamus auxilium ejus implorantes, et adversus ipsismet gloriæ hostes reclamamus. Sicut nimirum et magnus Moyses, qui ait: « Exsurge, Domine; dissipentur inimici tui; fugiant omnes qui oderunt nomen tuum [2]. » Ipsa quoque sanctorum apostolorum verba demonstrant, non parum prodesse divinæ doctrinæ, si infirmetur quodammodo persecutorum manus. « Respice, aiunt, in minas eorum, » id est illorum aggressiones fac vanas; « daque servis tuis cum fiducia loqui verbum tuum. » Nam quod orthodoxam doctrinam nonnulli cauponaturi forent, atque a recta fide multos alienaturi, prædixit, dicens·

[99] Act. IV, 29 [1] Luc. VI, 27, 28. [2] Num. X. 35.

Digitized by Google

V. 8. *Verumtamen Filius hominis veniens, putas inveniet fidem in terra?*

Profecto haud hoc ignorabat. Cur? Quia Deus rerum omnium conscius est. Significat autem fore ut frigescat multorum charitas, et deficiant aliqui extremis temporibus a recta et inviolabili fide, attendentes fraudulentis spiritibus et falsis hominum sermonibus mentem cauteriatam habentium. Adversus quos, tanquam fideles famuli ad Deum nos accedimus, orantes ut inefficaces sint illorum improbitates, et contra illius majestatem conatus. Offendunt autem Dei famulos alii quoque nonnulli, contra quos plane inculpabile erit nostrum certamen quod oratione fit. Quinam vero hi? Improbæ et contrariæ potestates, et omnium hostis Satanas, is qui cuilibet bene vivere volenti acriter adversatur, qui in nequitiæ foveas dormitantes impellit, qui denique peccati omnis semina nobis immittit. Urget enim nos intolerabiliter cum propriis satellitibus. Quamobrem inclamat **376** illi Psalmista, dicens : « Quousque irruitis in hominem, interficitis universi vos, tanquam parieti inclinato et maceriæ depulsæ [3] ? » Sicut enim paries jam inclinatus, et maceria depulsa sive subruta illico procumbunt, impellente aliquo, sic mens humana, plurimam naturaliter habens ad mundanas voluptates proclivitatem, in eas facillime decidit, trahente alio vel provocante. Est autem hoc Satanæ officium. Ergo de his dicemus in precibus ad eum qui salvare potest : « Vindica me, Deus, de adversario meo. » Quod sane fecit unigenitum Dei Verbum homo factum. Depulit de tyrannide sua principem hujus sæculi, liberavit nos salvosque fecit, suique regni jugo subjecit. Nam ex nobis nonnulli, ut fideles servi, in fidei stabilitate conservabuntur a Deo, adhuc in terra manentes. Bona est itaque frequentis orationis consuetudo. Excipiet enim nostras preces, et postulatis annuet Christus. Nam si judicem injustum, qui neque Deum neque homines reverebatur, viduæ assiduitas et perseverantia flexit, quanto magis nos misericordiæ Patrem ad pium sensum trahemus, etiamsi forte in præsentiarum moretur?

Moliti vero sunt nonnulli parabolam hanc curiosius interpretari : nempe viduam, quæ diabolum (ceu pristinum virum) abjecit, animam esse dicentes ; adversarium vero ejus, ipsum diabolum, contra quem fit supplex Deo iniquitatis judici, id est, qui iniquitatem condemnat ; qui quidem non habet alium Deum quem timeat, neque humanam personam veretur, et supplicis sibi animæ miseretur. Sed enim audacter hæc et perperam ita quidam intellexerunt. Dominus quidem, quia tempore mundanæ consummationis, propter instantia tunc pericula constanter ad orationem est incumbendum,

Πλὴν ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐλθὼν, ἆρα εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς;

A f. 236, B f. 168, C f. 145, D f. 59) Οὐκ ἠγνόησε τοῦτο. Πόθεν; Θεὸς γάρ ἐστιν ὁ πάντα εἰδώς. Ὑπεμφαίνει δὲ ὅτι ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν, καὶ ἀποδραμοῦνταί τινες ἐν ἐσχάτοις καιροῖς τῆς ὀρθῆς καὶ ἀδιαβλήτου πίστεως, προσέχοντες πνεύμασι πλάνοις καὶ ψευδηγορίαις ἀνθρώπων κεκαυτηριασμένων νοῦν· καθ' ὧν ὡς οἰκέται γνήσιοι τῷ Θεῷ πρόσιμεν, ἀπράκτους αὐτῶν παρακαλοῦντες ἀποφανθῆναι τὰς πονηρίας, καὶ τὰ κατὰ τῆς αὐτοῦ δόξης ἐπιχειρήματα. Ἀδικοῦσι δὲ τοὺς Θεῷ δουλεύοντας καὶ ἕτεροί τινες, καθ' ὧν ἀνέγκλητος ἡ παρ' ἡμῶν ἔσται πρόσοδος, ἡ διά γε τῆς προσευχῆς. Τίνες δὲ οὗτοι πάλιν; Αἱ πονηραὶ καὶ ἀντικείμεναι δυνάμεις, καὶ ὁ πάντων ἀντίδικος Σατανᾶς, ὁ τοῖς εὖ βιοῦν ἐθέλουσιν, ἀγρίως ἀνταναστάμενος, ὁ τοῖς φαυλότητος βόθροις ἐνιεὶς τοὺς νυστάζοντας, ὁ πάσης ἡμῖν ἁμαρτίας ἐμφυτεύων σπέρματα· ἔγκειται γὰρ οὐ φορητῶς μετὰ τῶν ἰδίων ὑπασπιστῶν· καὶ ἐπ' αὐτῷ δὴ τούτῳ καταβεβόηκεν αὐτοῦ ὁ Ψαλμῳδὸς, λέγων· « Ἕως πότε ἐπιτίθεσθε ἐπ' ἄνθρωπον; φονεύετε πάντες ὑμεῖς, ὡς τοίχῳ κεκλιμένῳ καὶ φραγμῷ ὠσμένῳ; Ὥσπερ γὰρ τοῖχος ἤδη τὸ κλίνεσθαι παθών, καὶ φραγμὸς ὠσθεὶς, ἤγουν ἀνατραπεὶς, πίπτουσιν ἑτοίμως ὠθοῦντός τινος· οὕτως ὁ ἀνθρώπινος νοῦς, πλείστην ἐξ ἑαυτοῦ ἔχων τὴν ῥοπὴν εἰς φιληδονίας κοσμικὰς, πίπτει πρὸς αὐτὰς ἑτοίμως, ἕλκοντός τινος καὶ κατερεθίζοντος· ἔργον δὲ τοῦτο τῷ Σατανᾷ. Οὐκοῦν περὶ τούτων ἐροῦμεν ἐν προσευχαῖς πρὸς τὸν διασῶσαι δυνάμενον· « Ἐκδίκησόν μου ἐκ τοῦ ἀντιδίκου μου. » Ὃ δὴ καὶ πέπραχεν ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος γενόμενος ἄνθρωπος· ἐκβέβληκε γὰρ τῆς καθ' ἡμῶν τυραννίδος τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου, ἐξεῖλετο δὲ καὶ σέσωκε, καὶ τοῖς τῆς ἑαυτοῦ βασιλείας ὑπήγαγε ζυγοῖς. Καὶ γὰρ ἐξ ὑμῶν τινες ὡς οἰκέται γνήσιοι ἐν ἑδραιότητι πίστεως διατηρηθήσονται παρὰ Θεοῦ ἐπὶ γῆς ὄντες· καλὴ τοίνυν ἡ ἔντευξις ἡ διὰ συχνῆς προσευχῆς· προσδέξεται γὰρ ἡμῶν τὰς λιτὰς, πληρώσει τε τὰ αἰτήματα Χριστός. Εἰ γὰρ τὸν κριτὴν τῆς ἀδικίας, τὸν καὶ πρὸς Θεὸν καὶ πρὸς ἀνθρώπους ἀπαναιδευσάμενον, καὶ πάσης κακίας πεπληρωμένον, ἡ τῆς χήρας προσεδρεία καὶ καρτερία ἐμάλαξε, πόσῳ μᾶλλον ἡμεῖς τὸν Πατέρα τοῦ ἐλέους εἰς οἶκτον ἑλκύσομεν, κἂν μακροθυμῇ πρὸς τὸ παρόν;

Ἐπειράθησαν δέ τινες περιεργότερον τὴν παραβολὴν ταύτην ἑρμηνεῦσαι, χήραν μὲν τὴν ἀποβαλοῦσαν τὸν διάβολον, ψυχὴν λέγοντες· ἀντίδικον δὲ αὐτῆς, αὐτὸν καθ' οὗ καὶ πρόσεισι τῷ Θεῷ τῷ κριτῇ τῆς ἀδικίας, τουτέστι, τῷ κατακρίνοντι τὴν ἀδικίαν, ὃς οὐκ ἔχει Θεὸν ὃν φοβηθήσεται, οὐδὲ πρόσωπον ἀνθρώπου λαμβάνει, ὃς καὶ τὴν προσεδρεύουσαν αὐτῷ ψυχὴν οἰκτείρει· ἀλλὰ ταῦτα μὲν τολμηρῶς καὶ φαύλως τινὲς ἐξελάβοντο· ὁ μέν τοι Κύριος, ὅτι ἐν τῷ καιρῷ τῆς συντελείας πρὸς τοὺς τότε κινδύνους τῇ προσευχῇ συντόνως χρηστέον, ἐπιφέρει, ὅτι « Ἆρα ἐλθὼν εὑρήσει τὴν πίστιν; » ἐν σχήματι

[3] Psal. LXI, 4.

Digitized by Google

ἐρωτήσεως τὸ σπάνιον παριστῶν. Εἴωθε γὰρ ἐπὶ τοῦ σπανίου, τῷ ἐρωτηματικῷ τρόπῳ χρᾶσθαι· ὡς κἀνταῦθα δηλῶν, ὅτι βραχεῖς ἔσονται οἱ τὴν πίστιν φυλάττοντες· καὶ ἐν ὀλίγοις αὐτὴν εὑρήσει ἐπὶ τῆς γῆς, ἐν νεφέλαις ἐλθών.

(A f. 236 b) Ἵνα δὲ μάθῃς ὅσην ἔχει ζημίαν τὸ κατακρίνειν ἑτέρους, καὶ μὴ ἐπὶ τοῖς οἰκείοις πταίσμασι μετανοεῖν, ἐξ αὐτῶν σε τῶν Εὐαγγελίων πιστώσομεν. Λέγει τοιγαροῦν οὗτος ὁ μακάριος Λουκᾶς περὶ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ· « Εἶπε δὲ αὐτοῖς καὶ παραβολὴν περὶ τῶν δικαιούντων ἑαυτοὺς, ἐξουθενούντων δὲ τοὺς ἑτέρους. » Καὶ τίς ἡ παραβολή;

Ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι, κ. τ. λ.

(A f. 236 b, C f. 145, E f. 298) Ἐνταῦθα γὰρ διδάσκει ἡμᾶς, τίνα χρὴ τρόπον τὰς πρὸς αὐτὸν ποιεῖσθαι λιτὰς, ἵνα μὴ ἄμισθον εὑρεθῇ τοῖς χρωμένοις τὸ χρῆμα· μηδὲ δι' ὧν ἂν τις ὠφελεῖσθαι νομίζοι, διὰ τούτων αὐτῶν παροτρύνῃ καθ' ἑαυτοῦ τὸν τῶν ἄνωθεν χαρισμάτων δοτῆρα Θεόν· γέγραπται γὰρ, ὅτι « Ἔστι δίκαιος ἀπολλύμενος ἐν δικαίῳ αὐτοῦ. » Ἰδοὺ γὰρ ἐνταῦθα ὁ Φαρισαῖος κατακέκριται, ὅτι μὴ ἐπιστημόνως ἐποιεῖτο τὴν προσευχήν. Πολλὰ γὰρ κατ' αὐτὸν αὐτοῦ τὰ ἐγκλήματα· πρῶτον μὲν φορτικός ἐστι καὶ ἄνους· τεθαύμακε γὰρ αὐτὸς ἑαυτὸν, καίτοι βοῶντος τοῦ ἱεροῦ Γράμματος· « Ἐγκωμιαζέτω σε ὁ πέλας, καὶ μὴ τὸ σὸν στόμα· ἀλλότριος, καὶ μὴ τὰ σὰ χείλη. » Εἶτα, ἠγνόησεν ὅτι τὸ κακῶν εἶναι κρεῖττονα, οὐχὶ πάντη τε καὶ πάντως ἀξιοθαύμαστον ἀποφαίνει τινά· τὸ δὲ ἀμιλλᾶσθαι φιλεῖν τοῖς εἰωθόσιν εὐδοκιμεῖν, λαμπρὸν καὶ διαπρεπῆ, καὶ τοῖς δικαίως τεθαυμασμένοις ἐναρίθμιον ἀπεργάζεται. — (A f. 239, E f. 298) Ὁ γοῦν τελώνης εἱστήκει μακρόθεν· οὐδ' ὅσον εἰπεῖν ἀνατεῖναι τολμῶν εἰς ὕψος τοὺς ὀφθαλμοὺς, ἀλλὰ τῷ ἐρυθριῶντι βλέμματι, τὸ τῆς ψυχῆς μηνύων ἀπαρρήσιαστον. Ὁρᾷς ὅτι περιστείλας τὴν παῤῥησίαν, ὡς οὐκ ἔχων αὐτὴν, τοῖς ὑπὸ τοῦ συνειδότος ἐλέγχοις πλήττεται; Δέδιε γὰρ καὶ μόνον ὀφθῆναι Θεῷ, ὡς ὀλίγως φροντίσας τῶν αὐτοῦ νόμων· καὶ δι' αὐτοῦ τοῦ φαινομένου σχήματος, τῆς ἑαυτοῦ φαυλότητος κατηγορεῖ· τύπτει τὸ στῆθος, ὁμολογεῖ τὰ ἐγκλήματα, δείκνυσιν ὡς ἰατρῷ τὴν νόσον, καὶ κατοικτείρεσθαι παρακαλεῖ. — (A f. 241 b, E f. 305) Ὥσπερ οὖν οὐδὲ ὁ τελώνης [ἐξουδενώθη]· τί γάρ φησι περὶ αὐτοῦ, τοῦ τὰς οἰκείας ἁμαρτίας ὁμολογοῦντος, ὁ πάντων Κριτὴς, ὁ τὰς καρδίας ἐπιγινώσκων, ὁ τὰς πάντων δεχόμενος προσευχάς; « Λέγω ὑμῖν, κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ, ἢ ἐκεῖνος. » Κἂν εἴ τις γὰρ γένοιτο χρηστὸς καὶ ἐπιεικὴς, μὴ ταύτης ἕνεκα τῆς αἰτίας ὑπερῳρίαν νοσείτω· μεμνήσθω δὲ μᾶλλον Χριστοῦ λέγοντος τοῖς ἁγίοις ἀποστόλοις· « Ὅταν ταῦτα ποιήσητε, δῆλον δὲ ὅτι τὰ διατεταγμένα, λέγετε ὡς Δοῦλοι ἀχρεῖοί ἐσμεν· ὃ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν. » Ὀφείλομεν δὲ ὡς ἐξ ἀναγκαίου ζυγοῦ

A subdit : « Num cum venerit, fidem inveniet? » figura nimirum interrogativa raritatem denotans. Solebat enim in re rara, interrogativo modo uti; sicuti et nunc, **377** significans paucos fore qui fidem retinebunt, eamque apud paucos se in terra reperturum cum nubibus insidens venerit.

Ut autem discas quali pœnæ sit obnoxius is qui alios condemnat, nec suorum potius peccatorum pœnitentia tangitur, ex ipsis tibi evangeliis testimonia exhibebimus. Itaque beatus hic Lucas de ipso Servatore nostro Christo ait : « Dixit autem et ipsis parabolam, de illis qui se ipsos justos dicebant, et cæteros aspernabantur [4]. » Quænam porro est hæc parabola?

B V. 10. *Duo homines ascenderunt in templum ut orarent*, etc.

Hic scilicet docet nos quemadmodum ad Deum precationes faciendæ sint, ne res sine effectu utentibus fiat; et ne dum putat aliquis utilitatem capere, hoc ipso sibi iratum faciat supernorum munerum datorem Deum. Scriptum est enim : « Est justus qui perit in justitia sua [5]. » En hoc loco Pharisæus condemnatus fuit, quia imprudenter instruxit orationem. Multa enim ipsius contra eumdem militant culpæ. Primum quia arrogans est et fatuus : admiratur enim seipsum, cum sacræ Litteræ clament : « Laudet te proximus, et non os tuum; alienus, et non labia tua [6]. » Deinde quia nescivit eum, qui peccato resistit, non omnino esse summa admiratione dignum; sed studium æmulandi eos qui virtute præstare solent, id demum facere hominem splendidum et excellentem, atque in eorum numero collocare, quos merito admiramur. — Publicanus itaque procul constiterat, neque, ut ita dicam, oculos attollere audebat, sed pudibundo aspectu, animæ timiditatem significabat. Viden', ut fiduciam cohibens, quasi ea sibi nulla esset, conscientiæ suæ morsibus vulneretur? Vel solum quippe Dei conspectum veretur, quoniam leges ejus parvi fecerat; et ipso exteriore habitu iniquitatem suam accusat. Pectus tundit, peccata fatetur, ostendit velut medico morbum suum, misericordiam implorat. — Sicuti ne publicanus **378** quidem despectus fuit. Quid enim de ipso dixit, propria peccata confitente, omnium Judex, qui corda novit, qui omnium preces recipit? « Dico vobis : descendit hic justificatus in domum suam præ illo. » Etiamsi aliquis bonus sit et pius, caveat ne ob hanc causam superbiæ morbo laboret. Meminerit potius Christi dicentis sanctis apostolis : « Postquam hæc feceritis, » scilicet imperata, « dicite : Servi inutiles sumus; quod facere debueramus, fecimus [7]. » Utique nos debemus, tanquam jugo necessario suppositi, supremo Deo famulatum, omnimodam, inquam, subjectionem. Viden', ut publicanus peccatis se suis exuit, dum Pharisæi accusationem mansuete pertulit? Et hic quidem a gloria in ignominiæ barathrum decidit;

C

D

[4] Luc. xviii, 9. [5] Eccle. vii, 16. [6] Prov. xxvii, 2. [7] Luc. xvii, 10.

Digitized by Google

ille autem e turpissima vita ad beatam morum regulam consurrexit. Hic multo intervallo a Dei familiaritate fuit sejunctus; ille ad lucis gradum fuit erectus. Hic e tumore depressus est, ille ex humilitate exaltatus.

τῷ ἐπὶ πάντας Θεῷ τὴν δουλείαν, τὴν ὑποταγὴν τὴν εἰς πᾶν ὅτιοῦν· ὁρᾷς ὅπως ὁ τελώνης τὰ ἁμαρτήματα ἀπεδύσατο, τὴν τοῦ Φαρισαίου κατηγορίαν πρέως ἐνεγκών; Καὶ ὁ μὲν ἀπὸ δόξης, εἰς τὸ τῆς ἀτιμίας κατέπεσε βάραθρον· ὁ δὲ ἀπὸ τῆς ἐπουρανίου ζωῆς, εἰς μακαρίαν ἐπανῆλθε κατάστασιν· καὶ ὁ μὲν πολλῷ τῷ μέσῳ τῆς πρὸς Θεὸν ἐγγύτητος ἐκεχώριστο· ὁ δὲ πρὸς τὴν τῆς παῤῥησίας χώραν ἀνείλκυτο· καὶ ὁ μὲν ἐξ ὄγκου τεταπείνωτο, ὁ δὲ ἐκ ταπεινώσεως ὕψωτο.

V. 15. *Afferebant autem ad illum et infantes, ut eos tangeret.*

Accurrebant aliquando mulierculæ, et infantes quoque afferebant matres, ut eis manus imponeret, quam rem molestam existimantes discipuli, illos arcebant. Is autem libenter admodum excipiebat dicens: « Sinite, horum enim regnum est. » Hinc facile agnoscitur innocentiæ symbolum esse recens natum infantem; est enim nova veluti creatura puer. Neque tamen livore aliquo increpabant pueros discipuli, sed officium potius magistro præstabant, dum vanas veluti molestias arcebant. Neque idcirco insipientes nos vult esse Christus, dum sit talium esse regnum cœlorum; sed malitia puerulos, præcordiis perfectos requirit. Nam puerulus, vel oppido pauca, vel nihil sciens, merito malitiæ atque nequitiæ accusationem vitat. Quibus nos similes esse decet, simplicem et innoxiam vitam gerentes. Attamen perfectis præcordiis **379** esse debemus, maturam habentes mentem ad perspicue sciendum quis sit omnium Deus, tum ad vitanda etiam diabolica scandala. Definitur enim philosophia: cum prudentia simplicitas.

Προσέφερον δὲ αὐτῷ καὶ τὰ βρέφη ἵνα αὐτῶν ἅπτηται.

(A f. 243 b, B f. 169, D f. 60) Προσέθει ποτὲ γύναια, καὶ δὴ καὶ βρέφη προσεκόμιζον αἱ μητέρες, ἵνα ἐπιθῇ αὐτοῖς τὰς χεῖρας· ὄχλον δὲ τὸ χρῆμα νομίσαντες εἶναι, ἀπεῖργον οἱ μαθηταί· αὐτὸς δὲ καὶ λίαν ἀσμένως προσίετο, λέγων· « Ἄφετε· τῶν γὰρ τοιούτων ἡ βασιλεία. » Ἐντεῦθεν ἀταλαίπωρον ἰδεῖν, ὡς ἀκακίας σύμβολον τὸ ἀρτιγενές ἐστι παιδίον· νέα γὰρ ὥσπερ κτίσις, τὸ βρέφος. Οὐ βασκαίνοντες μέν τοι τοῖς βρέφεσιν ἐπετίμων οἱ μαθηταί, ἀπονέμοντες δὲ μᾶλλον ὡς διδασκάλῳ τὸ χρεών, καὶ οἷονεὶ τὰς περιττὰς ὀχλήσεις ἀπείργοντες· οὐκ ἀσυνέτους δὲ ἡμᾶς εἶναι βούλεται Χριστὸς, φάσκων· « Τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. » ἀλλὰ τῇ κακίᾳ νηπιάζειν, ταῖς δὲ φρεσὶ τελείους ὑπάρχειν· τὸ γὰρ βρέφος, ἢ ὀλίγα παντελῶς, ἢ οὐδὲν ὅλως εἰδὸς, ἀπαλλάττοιτο ἂν εἰκότως τῆς ἐπὶ φαυλότητι καὶ πονηρίᾳ διαβολῆς· οἷς καὶ ἡμᾶς ἐξομοιοῦσθαι προσήκει, ἁπλοῦν καὶ ἀπόνηρον διαζῶντας βίον· τελείους δὲ εἶναι χρὴ ταῖς φρεσὶν, ἑδραῖον ἔχοντας τὸν νοῦν, εἰς τὸ εἰδέναι σαφῶς τίς ὁ τῶν ὅλων Θεὸς, καὶ διαβολικῶν σκανδάλων ἀποφοιτᾷν· οὗτος γὰρ ὅρος φιλοσοφίας (1), τὸ μετὰ συνέσεως ἄπλαστον εἶναι (2).

V. 18. *Interrogavit eum quidam princeps*, etc.

Qui hic introducitur princeps, ut acutus ac suspicax, existimavit posse a se Christum coargui, quasi is, Moysis spretis legibus, suas obtruderet. Accedit ergo, et benivole loqui simulat; nam et magistrum appellat, et bonum dicit, et se discendi cupidum profitetur. Jam quia tentator interrogat, merito is qui sapientes capit in astutia ipsorum [a], ait illi: Si quidem non credis me esse Deum, cur vocabula uni convenientia supremæ naturæ mihi apponis? Cur bonum appellas, quem hominem arbitratu tuo judicas? Nam bonus suapte natura Deus est, et hæc illius propria est substantialiter insita et singularis dignitas, ut sit bonus; per participationem autem, angeli atque nos. Hæc fuit verborum Christi sententia. Fortasse vero non patietur hanc sensuum rectitudinem quisquis impietatis Arii consors est, dicetque: En manifeste negavit se esse bonum, idque decus uni Patri Deo ut congruum attribuit. Jam si esset ei consubstantialis, et ex eodem naturaliter natus, nonne ipse quoque bonus foret, utpote Deus?

Ἐπηρώτησέ τις αὐτὸν ἄρχων, κ. τ. λ.

(A f. 244, D f. 60) Ὁ ἐνθάδε λεγόμενος ἄρχων, ἀκριβής εἶναί τις ὑπονοούμενος, ᾠήθη δύνασθαι ἐλέγξαι Χριστὸν, ἀτιμάζοντα μὲν τὴν διὰ Μωϋσέως ἐντολὴν, ἰδίους δὲ νόμους εἰσκεκομικότα. Προσέρχεται τοίνυν, καὶ χρηστολογεῖν ὑποπλάττεται· διδάσκαλον γὰρ ὑποκαλεῖ, καὶ ἀγαθὸν ὀνομάζει, καὶ μαθητιᾷν ἐπαγγέλλεται. Εἰ δὲ πειράζων ἐπύθετο, εἰκότως ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν, φησὶ πρὸς αὐτόν· Εἰ μὴ πεπίστευκας ὅτι Θεός εἰμι, πῶς τὰ μόνῃ πρέποντα τῇ ἀνωτάτῳ φύσει περιτέθεικάς μοι, καὶ ἀγαθὸν ἀποκαλεῖς, ὃν δὴ καὶ νενόμικας ἄνθρωπον εἶναι κατὰ σέ; Φύσει γὰρ ἀγαθὸς ὁ Θεὸς, καὶ ἴδιον αὐτοῦ καὶ οὐσιωδῶς ἐμπεφυκὸς καὶ ἐξαίρετον ἀξίωμα, τὸ εἶναι ἀγαθὸν, κατὰ μέθεξιν δὲ, ἄγγελοι καὶ ἡμεῖς. Καὶ οὗτος μὲν ὁ τοῦ λόγου σκοπὸς γέγονε τῷ Χριστῷ. Οὐκ ἀνέξεται δὲ ἴσως τῆς τῶν ἐννοιῶν ὀρθότητος, ὁ τῆς Ἀρείου δυσσεβείας μέτοχος, φάσκων· Ἰδοὺ σαφῶς ἠρνήσατο εἶναι ἀγαθὸς, ἀνατίθησι δὲ ὡς μόνῳ πρέπον τῷ Θεῷ καὶ Πατρί. Ἀλλ' εἴπερ ἦν, φησὶν, ὁμοούσιος αὐτῷ καὶ ἐξ αὐτοῦ κατὰ

[a] Job v, 13.

(1) Intellige philosophiam præsertim Christianam, ea notione qua sæpe apud Ecclesiæ Patres hoc vocabulum usurpatur. Et vide Suicerum *Thesaur. Eccl.*

(2) Refertur ad Christi Domini dictum Matth. x, 16: *Estote prudentes et simplices.* Quo in effato philosophiæ summa est.

Digitized by Google

φύσιν, οὐκ ἂν ὑπῆρχε καὶ αὐτὸς ὡς Θεὸς ἀγαθός; Ἀλλὰ λεκτέον πρὸς αὐτούς· Ἐπειδὴ πᾶς λόγος ὀρθός τε καὶ ἀκριβὴς, ὁμοούσιον αἰδέν ὄντα τῷ Πατρὶ τὸν Υἱὸν, πῶς οὐκ ἔστιν ἀγαθὸς, Θεὸς ὤν; Οὐ γὰρ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν, οὐδὲ ἐκ γλυκείας πηγῆς ποταμὸς πρόεισιν οὐ γλυκύς· Θεοῦ τοιγαροῦν ἀγαθοῦ καρπὸς ἀγαθὸς ὁ Υἱός· καὶ ὡς εἰκὼν, τοῦ γεννήσαντος τὸ κάλλος ἐν ἰδίᾳ φύσει δεικνύς. — (A f. 245) Ἀλλὰ ταῦτα μὲν ἀπόχρη πρός γε τὰ παρόντα. Εἴρηται δὲ καὶ ἐν τῷ Ματθαίῳ (1). Προσδοκῶντος δὲ τοῦ ἄρχοντος, ἀκούσεσθαι λέγοντος τοῦ Χριστοῦ· Ἀποπήδησον τῶν Μωϋσέως γραμμάτων, καὶ πρόσιθι τοῖς ἐμοῦ θεσπίσμασι· τοῦτο μὲν οὐκ ἔφη, τὸν ἐνόντα σκοπὸν τῷ πειράζοντι θεοπρεπέστατα βλέπων· ὥσπερ δὲ οὐκ οὐσῶν ἑτέρων ἐντολῶν, πλὴν ὅτι μόνων τῶν διὰ Μωϋσέως, πέμπει τὸν ἄνθρωπον πρὸς αὐτάς, καί φησι·

Τὰς ἐντολὰς οἶδας· Μὴ μοιχεύσῃς, μὴ φονεύσῃς, κ. τ. λ.

(A f. 246 b) Ὁ μέν τοι νόμος πᾶν εἶδος ἀποφάσκει φαυλότητος, καὶ τοὺς τῆς ἀνοσιότητος κατακιδηλεύει τρόπους· « Οὐ γὰρ μοιχεύσεις, φησὶν, οὐ φονεύσεις, » καὶ τὰ λοιπὰ ἐναργῶς ἀποφάσκων, τὸ μήτε χρῆναι φονεῖν, μήτε μὴν ἀλλοτρίοις γάμοις ἐπιμαίνεσθαι· καταδικάζων δὲ καὶ κλοπῆς, καὶ ἐπιορκίας, καὶ τοῦ ψευδομαρτυρεῖν, καὶ ποινὰς τοῖς πλημμελοῦσιν ὁρίζων. Εἶτα τῆς εἰς γονέας αἰδοῦς ἐπιμελητὰς γενέσθαι προστέταχεν, ἀξιόκτητα τοῖς εὐδοκιμεῖν ἐθέλουσι τὰ γέρα προθείς· « Τίμα γὰρ, φησὶ, τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς. » — (A f. 247, D f. 59 b) Ἐνόμισεν ὁ δύστροπος καὶ δεινὸς εἰς κακουργίας, καίτοι Θεὸν ὄντα τὸν ἐρωτώμενον συναρπάσειν ἀκονιτὶ πρὸς τὸ αὐτῷ δοκοῦν ἀποκρινόμενον· ὁ δὲ Χριστὸς, καίτοι πονηρὸν ὄντα, οὐκ ἀπεσόβησεν. « Ὁ δὲ ἀκούσας ταῦτα, περίλυπος ἐγένετο. » — (A f. 247 b). Ὁ τῆς Ἰουδαίων Συναγωγῆς ἄρχων, τὸν νέον οὐκ ἐχώρησεν οἶνον, ἀσκὸς παλαιὸς ὑπάρχων, ἀλλ' ἐῤῥάγη, καὶ ἀχρεῖος ἦν· λελύπηται γὰρ, καίτοι μάθημα λαβὼν ζωῆς τῆς εἰς αἰῶνα πρόξενον. — (B f. 171, C f. 146) Κάμηλον, οὐ τὸ ζῶον, ἀλλὰ τὸ ἐν τοῖς πλοίοις παχὺ σχοινίον (2). Ἔξεστι γὰρ αὐτοῖς, εἰ μὴ εἰσάπαν ἔλοιντο τὸ τῶν ὅλων ὄντων ἀπολισθεῖν, ἑτέρως εὐδοκιμεῖν, ποιῆσαι φίλους ἐκ τοῦ ἀδίκου μαμωνᾶ, ἵνα ὅταν ἐπιλίπωσι, δέξωνται αὐτοὺς εἰς τὰς αἰωνίους σκηνάς.

Ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι.

(A f. 250, C f. 146) Προσεπάγει δὲ τούτοις ὁ Ματθαῖος τό· « Τί ἄρα ἔσται ἡμῖν; » Πρὸς τοῦτο ἐρεῖ τις· Τί γὰρ ὅλως ἀφῆκαν οἱ μαθηταὶ, ἢ τίνων

A Verum his ita respondendum est. Quoniam tota orthodoxa atque accurata doctrina consubstantialem agnoscit Patri Filium, cur non hic sit bonus, si quidem Deus est? Non enim potest arbor bona malos fructus facere, neque ex dulci fonte fluvius pariter dulcis non procedere. Dei ergo boni bonus fructus Filius; atque, ut imago, gignentis pulchritudinem in propria natura demonstrat. — Sed hæc quidem in præsenti sufficiant; namque etiam **380** in commentariis ad Matthæum de his dictum fuit. Exspectante autem principe audire a Christo : Omitte Moysis scripta, transi ad constituta mea; nihil hic hujusmodi dixit, arcanam tentatoris mentem divinitus intrespiciens. Tanquam vero nulla alia præter Moysis præcepta exstarent, hominem ad hæc amandat, dicens :

B

V. 20. *Mandata nosti : Non mœchaberis, non occides*, etc.

Lex quidem omne genus nequitiæ vetat, et quamlibet malitiæ rationem improbat. « Non mœchaberis, inquit, non occides : » itemque reliquis diserte interdicit, nempe ne cædes patretur, ne contra alienas nuptias insaniamus. Damnat insuper furtum, perjurium, testimonium falsum; et peccantibus pœnas decernit. Tum etiam ut parentes studiose honoremus jubet, præclara recte agentibus præmia spondens : « Honora, inquit, patrem tuum et matrem tuam, ut bene sit tibi, et longævus in terra vivas [9]. » — Existimavit homo hic improbus, et ad malitiam ingeniosus, Deus licet esset quem interrogabat, nihilominus a se facile deceptum iri ut sibi placita responderet. Cæteroqui Christus quantumlibet perversum non repulit (3). « His ille auditis contristatus est. » Judaicæ Synagogæ princeps novum vinum capere non poterat, etenim erat utriculus vetus, diruptusque est. Non erat idoneus, ideoque contristatus est, quanquam doctrinam audierat æternæ vitæ donatricem. — Camelum dicit non animal, sed navium crassum rudentem. Possunt enim hi, nisi prorsus volunt re omni funditus everti, aliter se gratos facere, nimirum amicos sibi ex injusto mammona conciliare, ut, cum defecerint, ab his in æterna tabernacula recipiantur [10].

C

D

V. 28. *Dimisimus omnia, et secuti sumus te.*

Adjicit his Matthæus : « Quid **381** ergo erit nobis [11]? » Hic aliquis dicet : Quid demum discipuli dimiserant, vel quorumnam compensationem a Chri-

[9] Exod. xx, 13 seqq. [10] Luc. xvi, 9. [11] Matth. xix, 27.

(1) Nempe ad Matth. xix, 17. Periit tamen Cyrilli nostri ad Matthæum commentarius, neque in Possini et Corderii symbolis quidquam Cyrilli hoc loco occurrit.

(2) Ergo ante Theophylactum dixerat hoc egregie Cyrillus, vel potius recentior ille a priscо nostro sumpsit. Hieronymus tamen cum aliis veteribus maluit de camelo jumento cogitare.

(3) Hic apud Corderium in cat. Lat. prosequitur sic Cyrillus : « Non repulit, sed ostendit, quod si aliquis Vetus Testamentum peregerit, perfectus non sit, sed adhuc desit illa sequela Christi. Quæris, inquit, quomodo possidenda sit vita æterna? Accipe responsum : Sparge facultates pauperibus, et obtinebis illam; parva sunt quæ impendis, magna quæ recipis. »

Digitized by Google

sto postulant? Nos vero quid respondebimus? Utique ob hanc maxime causam necessario interrogent. Nam quia nihil possederant, præter pauca et vilia, scire volunt quomodo Deus remunerabitur minima etiam deserentes propter regni cœlorum adipiscendi cupiditatem, et propter Dei amorem. Congruenter sane dives homo, multis opibus contemptis, præmium exspectabit? qui vero pauca possidens, mox hæc dimiserit, cur non cognoscere aveat, quid sit speraturus? Insuper et illud necessario dicendum est : sive multa sive pauca quis dimittat, par videtur hominis meritum, si recto sensu judicare velimus. Ergo quod attinet ad obedientiam atque propositum, pari ac divites gradu erunt, qui pari opum gradu non sunt, sed tamen pari proposito res suas sponte vendiderunt. Tum vero his quid respondit Christus?

ἀντέχτισιν αἰτοῦσι παρὰ Χριστοῦ; Τί οὖν πρὸς ταῦτά φαμεν; Μάλιστα μὲν ταύτης ἕνεκα τῆς αἰτίας, ἀναγκαιοτάτην ἐποιοῦντο τὴν πεῦσιν. Ὡς γὰρ οὐδὲν κεκτημένοι, πλὴν ὅτι μικρὰ καὶ εὐτελῆ, βούλονται μαθεῖν τίνα τρόπον ἀμείψεται Θεὸς καὶ τοὺς ὀλίγιστα καταλελοιπότας διὰ τὴν βασιλείαν τοῦ Θεοῦ, τουτέστι διὰ τὸ ἐφίεσθαι τυχεῖν τῆς τῶν οὐρανῶν βασιλείας, διὰ τῆς εἰς αὐτὸν ἀγάπης. Ἀραρότως μὲν γὰρ ὁ πλούσιος καταφρονήσας πολλῶν, προσδοκήσει τὰς ἀμοιβάς· ὁ δέ γε μικρὰ κεκτημένος, εἶτα τούτων ἀποστάς, ἐν ποίαις ἐλπίσιν ἔσται, πῶς οὐκ ἔδει μαθεῖν; Εἶτα πρὸς τούτοις κἀκεῖνο εἰπεῖν ἀνάγκη· τὸ γάρ τοι πολλῶν ἢ ὀλίγων ἀπολισθεῖν, ἴσων τοῖς παθοῦσιν εἴη ἂν κατὰ τὸν τῆς ὀρθότητος λόγον· οὐκοῦν τό γε ἧκον εἰς ὑπακοὴν καὶ πρόθεσιν, ἐν ἴσῃ τάξει καταλογισθεῖεν ἂν τοῖς πολλὰ κεκτημένοις οἱ μὴ κατ' αὐτοὺς μὲν ὄντες, εἶτα ταῖς ἴσαις προθυμίαις χρώμενοι, καὶ τῶν ἐνόντων τὴν ἀπεμπολὴν ἑκούσιον ὑπομένοντες. Εἶτα τί πρὸς αὐτοὺς ὁ Χριστός;

V. 29. *Amen dico vobis, nemo est qui reliquit domum, aut parentes*, etc.

Digna Deo vox, et sanctum decretum! Namque in spem firmam audientes cunctos adducit : juratamque adeo facit promissionem, præposito *amen* vocabulo, quod jurisjurandi vice fungitur. Est autem operæ pretium quærere quinam sint qui patrem reliquerunt aut matrem, uxorem, et fratres atque domos : et deinde sigillatim perpendere quomodo hi multiplicatam habebunt præsente tempore remunerationem? Derelinquunt itaque interdum quidam patrem, et universæ cognationis affectum negligunt, propter Christi amorem. Quomodo autem id fiat, ipse nos docebit his verbis : « Qui amat patrem aut matrem plus quam me, non est me dignus [18]. » Præterea : « Veni separare hominem a patre suo [19], » et reliqua. Nam dum mundum divina prædicatio in fidei sagenam pertrahit, volunt quidem aliqui huic se cursui tradere; sed tamen patres aut matres infideles adhuc, **382** aut improbe viventes, subverentur. Certe patres sæpe non verentur esse filiis molesti, quia ad fidem accurrunt. Idem dicendum est de fratribus erga fratres, de nuru erga socrum, et de hac erga illam. Sed enim qui firmiter in fide perstant, nihil anteferunt Christi amori, et carnale genus nullius pensi habent.

Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰκίαν, ἢ γονεῖς, κ. τ. λ.

(A f. 250, B f. 172, D f. 60 b) Θεοπρεπὴς ἡ φωνή, καὶ ἡ ψῆφος ὁσία· εἰς ἐλπίδα γὰρ βεβαίαν ἀνακομίζει ἅπαντας τοὺς ἀκροωμένους· καὶ ἐνώμοτον ποιεῖται τὴν ὑπόσχεσιν, προτιθεὶς τοῦ λόγου τὸ *ἀμήν*, οἷον ὅρκου χρείαν ἀποπληροῦν. Ζητῆσαι δὲ πρέπει, τίνες ἂν εἶεν οἱ ἀφιέντες πατέρα ἢ μητέρα, γυναῖκά τε καὶ ἀδελφοὺς καὶ οἰκίας· εἶθ' οὕτως πολυπραγμονῆσαι λεπτῶς, πῶς ἂν οἱ τοιοῦτοι πολλαπλασίονα λάβοιεν ἐν τῷ παρόντι καιρῷ. Οὐκοῦν καταλιμπάνουσί τινες πατέρα, καὶ τῆς εἰς ἅπαν τὸ γένος φιλοστοργίας ὀλιγωροῦσι ἔσθ' ὅτε, διά γε τὴν εἰς Χριστὸν ἀγάπην· καὶ τίνα τρόπον, αὐτὸς ἡμᾶς διδάξει λέγων· « Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος. » Καί· « Ἦλθον μερίσαι ἄνθρωπον ἀπὸ τοῦ πατρὸς αὐτοῦ, » καὶ τὰ ἑξῆς. Σαγηνεύοντος γὰρ εἰς τὴν ὑπ' αὐτῷ πίστιν τοῦ θείου κηρύγματος τὴν ὑπ' οὐρανόν, βούλονται μὲν πρὸς τοῦτο ἴέναι τινὲς, ὑφορῶνται δὲ ἴσως πατέρας ἢ μητέρας ἀπίστους ὄντας καὶ πονηρούς· καὶ υἱοὺς δὲ πολλάκις οὐκ ἠνέσχοντο λυπῆσαι πατέρες, διὰ τοῦ προσδραμεῖν τῇ πίστει. Ὁ αὐτὸς δ' ἂν γένοιτο λόγος καὶ περὶ ἀδελφῶν πρὸς ἀδελφοὺς, καὶ νύμφης πρὸς πενθερὰν, κἀκείνης πρὸς ταύτην· ἀλλ' οἵ γε τῇ πίστει ἑδραῖοι προστάττουσιν οὐδὲν τῆς εἰς Χριστὸν ἀγάπης, τὸ κατὰ σάρκα γένος ἐν οὐδενὶ ποιούμενοι λόγῳ.

Superest videndum, quomodo qui hos reliquerit, multiplicatam mercedem hoc quoque in sæculo accipiet. Num enim multarum feminarum fiet vir, aut multos pro uno reperiet in terra patres, et multiplicatum suum carnale genus? Haud sane hoc dicimus; sed quod carnalibus temporalibusque dimissis, meliora multo recipiet, et quasi præ contemptis multiplicia. Nam et apostoli, exiguis rebus

Σκοπῆσαι δὲ λοιπὸν χρὴ πῶς ἂν τις τούτους ἀφείς, πολλαπλασίονα λήψεται ἐν τῷ νῦν αἰῶνι. Ἆρα γὰρ πολλῶν γυναικῶν ἔσται ἀνὴρ, ἢ πολλοὺς ἀνθ' ἑνὸς πατέρας εὑρήσει ἐπὶ τῆς γῆς, καὶ πολυπλασιασθὲν οὕτω τὸ κατὰ σάρκα γένος; Οὐ τοῦτό φαμεν· ἀλλ' ὅτι τὰ σαρκικὰ καὶ πρόσκαιρα καταλελοιπὼς, τὰ πολλῷ κρείττονα λήψεται, καὶ οἷον πολλαπλασίονα τῶν καταφρονουμένων (1). Καὶ οἱ ἀπόστολοι γὰρ

[18] Matth. x, 37. [19] ibid. 35.

(1) Sic etiam S. Hieronymus interpretatur lib. III in Matth. XX : *Qui carnalia pro Salvatore dimiserit, spiritalia recipiet*, etc. Egregius est toto eo tractu Hieronymus; nam et paulo ante, contra illam sententiam, quam Græci male tuentur, quod conjux innocens, alterius reo, novas nuptias inire queat,

Digitized by Google

ἀφέντες ὀλίγα, ἀγίου μεμέστωνται Πνεύματος, καὶ παντοδαπῶν ἔτυχον χαρισμάτων, ἀπόλεκτοί τε καὶ ἀοίδιμοι γεγόνασι τοῖς ἁπανταχοῦ. Ἅπαντες οὖν ἐσόμεθα κατ' ἐκείνους οἱ πιστεύσαντες εἰς Χριστὸν, καὶ ἠγαπηκότες αὐτοῦ τὸ ὄνομα. Κἂν οἶκον ἀφῇ τις, τὰς ἄνω λήψεται μονάς· κἂν ἀπολισθήσῃ πατρὸς, τὸν ἐν οὐρανοῖς ἔχει Πατέρα· κἂν ἀδελφῶν γένηται μακρὰν, ἀλλ' εἰς ἀδελφότητα αὐτὸν παραλήψεται Χριστός· ὅταν ἀφῇ γυναῖκα σύνοικον, εὑρήσει τὴν ἄνωθεν καὶ παρὰ Θεοῦ σοφίαν (1), ἐξ ἧς τεκνογονήσει εὐκαρπίας· κἂν ἀφήσῃ μητέρα, εὑρήσει « τὴν ἄνω Ἱερουσαλὴμ, ἥτις ἐστὶν ἐλευθέρα καὶ μήτηρ ἡμῶν. »

A relictis, Spiritu sancto repleti fuerunt, et complura charismata adepti sunt, et eximii ac perillustres toto orbe evaserunt. Cuncti igitur pares illis fiemus, qui Christo credidimus, ejusque nomen in pretio habuimus. Et si domum quis reliquerit, supernas sedes accipiet : si patre destituetur, habet in cœlo Patrem : si fratribus procul discesserit, eum ad suam fraternitatem Christus assumet : cum uxorem omiserit, supernam inveniet apud Deum sapientiam, ex qua bonos fructus procreabit : et si matrem æque dereliquerit, inveniet « supernam Jerusalem, quæ est libera, et mater nostra (2). »

Τελεσθήσονται πάντα τὰ γεγραμμένα διὰ τῶν προφητῶν τῷ Υἱῷ τοῦ ἀνθρώπου.

V. 31. *Consummabuntur omnia quæ scripta sunt per prophetas de Filio hominis.*

(A f. 250, B f. 172 b, D f. 61) Προαποκείρει διὰ τοῦ λέγειν τὰ συμβησόμενα, καὶ λογισμῶν ἀτοπίαν, καὶ παντὸς σκανδάλου πρόφασιν· οἱ γὰρ τὰς παρ' αὐτοῦ θεοσημείας τεθεαμένοι, καὶ τοῖς παρ' αὐτοῦ λόγοις πρὸς εὐανδρίαν διανευρούμενοι, ἔμελλον ὁρᾷν αὐτὸν τῶν Ἰουδαίων ὑπομένοντα γέλωτα, σταυρούμενον, καὶ ἀτιμαζόμενον. Ἦν οὖν εἰκὸς ἐπ' αὐτοῖς δὴ τούτοις σκανδαλιζομένους, ἐκεῖνα καθ' ἑαυτοὺς διενθυμεῖσθαί τε καὶ λέγειν· Ὁ τοσοῦτος ἐν ἰσχύϊ, καὶ νεύματι μόνῳ θαυματουργῶν, ὁ τὴν τοῦ Πατρὸς πρόνοιαν καὶ μέχρι στρουθίων καθικνεῖσθαι λέγων, ὁ Μονογενὴς καὶ Πρωτότοκος, πῶς ἠγνόησε τὰ ἐσόμενα, καὶ τεθήρευται παρ' ἐχθρῶν ὁ καὶ ἡμᾶς αὐτοὺς διασώσειν ὑπισχνούμενος; Ἵνα τοίνυν εἰδεῖεν, ὡς καὶ προέγνω τὸ πάθος, καὶ διαφυγεῖν εὐκόλως ἐξὸν, ἑκὼν εἰς τοῦτο παρῆλθε, προκαταμηνύει τὰ συμβησόμενα. Προσετίθει δὲ ἀναγκαίως, ὡς πάντα προείρηται διὰ προφητῶν ἁγίων, προοικονομοῦντος Θεοῦ καὶ τοῦτο χρησίμως, ἵν' ὅταν γενέσθαι συμβῇ, σκανδαλισθείη μηδείς. Ἐξῆν γὰρ ὅλως μηδὲ παθεῖν τῷ προεγνωκότι τὸ συμβησόμενον· ἀλλ' οὐ βεβίασται πρός τινος, εἵλετο δὲ τὸ παθεῖν ἑκὼν, εὖ εἰδὼς ὅτι σωτηρία ἔσται τῷ κόσμῳ παντὶ, τὸ παθεῖν αὐτόν. Ὑπέστη μὲν γὰρ τὸν κατὰ σάρκα θάνατον, ἐγήγερται δὲ πατήσας τὴν φθορὰν, καὶ διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως, ἐνεφύτευσε τοῖς ἀνθρωπίνοις σώμασι τὴν παρ' ἑαυτοῦ ζωήν· ὅλη γὰρ ἦν ἡ ἀνθρώπου φύσις ἐν αὐτῷ παλινδρομοῦσα πρὸς ἀφθαρσίαν.

B Eventura prædicens, præcidit simul perversas cogitationes, et cujusvis scandali causam. Namque hi, qui nunc miracula ejus **383** spectaverant, ejusdemque verbis ad fortitudinem roborati fuerant, nihilominus visuri eum erant a Judæis irrisum, crucifixum, dehonestatum. Verisimile ergo erat, his ludibriis scandalizatos, ita apud se cogitare : Hic tanta potentia præditus, et vel solo nutu prodigia patrans, qui Patris providentiam usque ad passeres pertingere aiebat, hic Unigenitus ac Primogenitus quomodo eventura ignoravit? quomodo ab inimicis captus est, qui nosmet ipsos salvaturum promiserat? Ut ergo agnoscerent se et passionem præscire, et cum vitare facile posset, sponte ad C hanc venturum, jam nunc significat quæ futura sunt. Necessario insuper adjecit, cuncta a sanctis prophetis fuisse prædicta, Deo id etiam antea commode consulente, ut cum hæc fierent, nemo scandalum pateretur. Etenim licebat sine dubio ei vitare passionem, qui futuram esse noverat. Sed nemo eum coegit, sponte pati voluit, probe sciens salutarem universo orbi fore passionem suam. Nam pertulit in carne necem, sed resurrexit victa corruptione; et per suam a mortuis resurrectionem, infudit in humana corpora propriam vitam; universa enim hominum natura cum ipso reversa ad immortalitatem est.

Αὐτοὶ οὐδὲν τούτων συνῆκαν.

V. 34. *Ipsi nihil horum intellexerunt.*

(A f. 250 b) Ὁ μὲν τῶν ὅλων Σωτὴρ προαπήγγειλε ταῦτα τοῖς ἁγίοις ἀποστόλοις, οἱ δὲ οὐ συνῆκαν, φησὶ, τὰ λεγόμενα· οὔπω γὰρ ᾔδεισαν ἀκριβῶς τὰ παρὰ τῶν ἁγίων προφητῶν προκεκηρυγμένα. Καὶ γοῦν ὁ προὔχων ἐν μαθηταῖς, συνεὶς οὔπω τοῦ μυστηρίου τὸ βάθος, ἀντανίστατο λέγων· « Ἱλεώς σοι, Κύριε, οὐ μὴ ἔσται σοι τοῦτο. » Ἐπετιμήθη δὲ

D Et communis quidem Servator hæc sanctis apostolis prænuntiabat, illi autem haud intellexerunt, inquit, quæ dicebantur; nondum enim prophetarum vaticinia accurate cognoverant. Quamobrem discipulorum princeps, mysterii adhuc profunditate non intellecta, contradixit ita : « Absit a te, Domine! non eveniet tibi hoc [14]. » Quod dictum objur-

[14] Matth. xvi, 22.

ita peremptorio stylo scribit : *Quia evenire poterat, ut aliquis calumniam faceret innocenti, et ob secundam copulam nuptiarum, veteri crimen impingeret, sic priorem dimittere jubetur uxorem, ut secundam, prima vivente, non habeat. — Nec non quia poterat evenire ut juxta eamdem legem uxor quoque marito daret repudium, eadem cautela præcipitur, ne secundum accipiat virum.*

(1) Sic prorsus idem Hieronymus lib. III in Matth. XVIII, fin. *Justi uxor, dicitur sapientia.*

(2) Paulo plura apud divi Thomæ catenam Lat. « Cyrillus. Inveniet Jerusalem cœlestem, quæ est mater nostra. A fratribus etiam et a sororibus sui propositi glutino spiritali colligatis multo in hac vita gratiosiorem accipiet charitatem. »

Digitized by Google

gatione castigatum fuit. Postquam autem a mortuis resurrexit Christus, aperuit illorum oculos [15], ceu quidam sanctorum evangelistarum ait; illuminati quippe fuerunt, copiosam Spiritus participationem adepti, ita ut dicerent: « Habemus firmiorem propheticum sermonem, cui bene facitis attendentes quasi lucernæ lucenti **384** in caliginoso loco, donec dies elucescat, et lucifer oriatur in cordibus vestris [16]. »

A τοῦτο λέγων. Ἐπεὶ δὲ ἀνεβίω Χριστὸς ἐκ νεκρῶν, διήνοιξεν αὐτῶν τοὺς ὀφθαλμοὺς καθ' ὁ γέγραφέ τις τῶν ἁγίων εὐαγγελιστῶν· κατεφωτίσθησαν γὰρ, τὴν τοῦ Πνεύματος μέθεξιν ἀμφιλαφῆ πλουτήσαντες· ὡς λέγειν· « Καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον, ᾧ καλῶς ποιεῖτε προσέχοντες, ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν. »

V. 38. *Jesu, fili Davidis, miserere mei.*

Ἰησοῦ, υἱὲ Δαβίδ, ἐλέησόν με.

(1) Accessit hic ut ad omnipotentem Deum, quem tamen Davidis filium appellat: etenim enutritus in Judaismo atque indigena, non ignorabat prædicta de eo in lege et a sanctis prophetis, et quod de genere Davidis esset secundum carnem. Ergo ut jam credens, eum uti Dei Verbum sponte sustinuisse carnalem de sancta Virgine sortiri nativitatem, adest ut Deo dicens: « Miserere mei, fili Davidis. » Quod enim ita animo comparatus preces obtulerit, testis mox erit Christus qui illi dicit: « Fides tua salvum te fecit. » Imitentur hunc oculis captum, hi qui in duos Christum dividunt: hic enim, ut Deum adit communem Servatorem Christum, simulque Dominum, et filium Davidis nominat: ejusdem vero majestatem testatur, dum ab eo dignam Deo operationem expostulat. Mirentur in eodem cæco confessionis constantiam; etenim nonnulli, dum is fidem profitebatur, increpabant; qui tamen non desinebat, neque prohibentium causa fiduciam dicendi amittebat. Novit fides præliari cum omnibus, et omnia vincere. Ideo illi quidem increpabant, hic autem fidelis non cedebat, sed Dominum sequebatur, sciens pulchram esse in religione tuenda audaciam. Nam si divitiarum causa multi audent, propter animæ salutem nonne oportet pulchram audaciam sumere? — Domini gressum sistit hominis vox cum fide invocantis, meritoque honoratur a Christo cæcus. Ab ipso enim prope advocatur, ut qui fide jam appropinquaverat, nunc corpore etiam fiat **385** proximus. Nos quoque fides Christo sic admovet, ut etiam sermones ejus audire digni fiamus. Jam vero cæcum prope astantem interrogavit dicens: « Quid tibi vis faciam? » Num cæci votum Dominus ignorabat? quomodo hoc credibile sit? Prudente œconomia scisitatus est, ut qui coram aderant, unaque incedebant, discerent, pecuniam ab eo cæcum non petere, sed tanquam a Deo divinam operationem. - Num

(Α f. 251 b, C f. 146 b) Προσῆλθε μὲν οὗτος ὡς Θεῷ τῷ πάντα ἰσχύοντι· ὀνομάζει δὲ αὐτὸν υἱὸν Δαβὶδ· τεθραμμένος γὰρ ἐν Ἰουδαϊσμῷ, καὶ αὐθιγενὴς ὑπάρχων, οὐκ ἠγνόησε τὰ διά γε τοῦ νόμου καὶ τῶν ἁγίων προφητῶν περὶ αὐτοῦ προηγορευμένα, καὶ ὡς ἐκ γένους ὑπῆρχε τοῦ Δαβὶδ τὸ κατὰ σάρκα. Οὐκοῦν ὡς ἤδη πεπιστευκὼς ὅτι Θεὸς ὢν ὁ Λόγος, ὑπέμεινεν ἑκὼν τὴν κατὰ σάρκα γέννησιν, τὴν ἀπό γε, φημὶ, τῆς ἁγίας Παρθένου, πρόσεισιν ὡς Θεῷ, λέγων· « Ἐλέησόν μου, υἱὲ Δαβίδ· » Ὅτι γὰρ οὕτω διατεθεὶς προσεκόμισε τὴν ἱκετηρίαν, ἐπιμαρτυρήσει λέγων αὐτῷ ὁ Χριστός· « Ἡ πίστις σου σέσωκέ σε. » Μιμησάσθωσαν αὐτὸν τὸν τὰς ὄψεις ἐρρωστηκότα, οἱ διαιροῦντες εἰς δύο τὸν ἕνα Κύριον Ἰησοῦν Χριστὸν (2), ὃς ὡς Θεῷ πρόσεισι τῷ πάντων Σωτῆρι Χριστῷ, καὶ Κύριον (3) αὐτὸν, καὶ υἱὸν ὀνομάζει Δαβίδ. Μαρτυρεῖ δὲ αὐτοῦ τῇ δόξῃ, διὰ τοῦ θεοπρεπεστάτην ἐνέργειαν παρ' αὐτοῦ ζητεῖν. Θαυμαζέτωσαν αὐτοῦ τὴν ἔνστασιν τῆς ὁμολογίας· τινὲς μὲν γὰρ ἐπετίμων ὁμολογοῦντι τὴν πίστιν· ὁ δὲ οὐκ ἀνίει, οὐδ' ἐνεποδίζετο ἡ παῤῥησία διὰ τῶν κωλυόντων. Οἶδεν ἡ πίστις πρὸς πάντα μάχεσθαι καὶ πάντα νικᾷν· διὸ ἐπετίμων, ὁ δὲ πιστὸς οὐχ ὑπεστέλλετο, ἀλλ' ἠκολούθει τῷ Δεσπότῃ, εἰδὼς ὅτι καλὴ ἡ ὑπὲρ εὐσεβείας ἀναίδεια· εἰ γὰρ ὑπὲρ χρημάτων ἀναιδεῖς πολλοὶ, ὑπὲρ σωτηρίας ψυχῆς οὐ χρὴ τὴν καλὴν ἀναίδειαν ἐνδύσασθαι;—(Α f. 251 b, D f. 61 b) Ἵστησι τὸν Κύριον ἡ φωνὴ τοῦ μετὰ πίστεως ἐπικαλουμένου· καὶ τετίμηται εἰκότως παρὰ Χριστοῦ ὁ τυφλὸς· κέκληται γὰρ παρ' αὐτοῦ, καὶ ἐγγὺς γενέσθαι προστέτακται, ἵν' ὁ ἐγγίσας αὐτῷ τῇ πίστει πρότερον, πλησιάσῃ καὶ τῷ σώματι· καὶ ἡμᾶς οὖν ἡ πίστις παρίστησι καὶ ἐγγὺς ἀποφέρει Χριστοῦ, ὥστε καὶ λόγων ἀξιωθῆναι τῶν παρ' αὐτοῦ. Ἐγγὺς γὰρ ἐνεχθέντα τὸν τυφλὸν, ἤρετο λέγων· « Τί σοι θέλεις ἵνα ποιήσω; » Ἆρ' οὖν ἠγνόει τὴν αἴτησιν; καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; Ἠρώτα τοίνυν οἰκονομικῶς, ἵνα δὴ μάθοιεν οἱ περιεστηκότες, ἤγουν συμβαδίζον-

[15] Luc. xxiv, 31. [16] II Petr. i, 19.

(1) Apud S. Thomam in cat. Lat. « Cyrillus. Multus autem erat populus circa Christum; et cæcus eum quidem non noverat, sentiebat autem effectum, et rapiebat per affectum quod non hausit aspectus; unde subditur: *Et cum audiret turbam prætereuntem, interrogabat quid hoc esset.* Et oculati quidem secundum opinionem loquebantur. Sequitur enim: *Dixerunt autem ei, quod Jesus Nazarenus transiret.* Cæcus vero vera clamabat. Alia docetur; et alia prædicat. Et clamavit dicens: *Jesu, fili David, miserere mei.* Quis te docuit hæc, o homo? Num pertegisti libros privatus luminibus? Unde igitur nosti luminare mundi? Vere Dominus illuminat cæcos. In Judaismo autem nutritus, » etc.

(2) Contra Nestorianos.

(3) Nam Nestoriani in vocabulo *Dominus* (v. gr. cum Elisabeth salutavit matrem Domini) Deum non agnoscebant. Idcirco Cyrillus animadvertit eumdem Dominum simul ac Deum dici.

Digitized by Google

τες, ὡς οὐ χρήματα μᾶλλον αἰτεῖ αὐτὸν, ἀλλ' ἐνέργειαν θεῖκὴν ὡς παρὰ Θεοῦ.— (A f. 255, D f. 61 b) Ἆρ' οὖν ἀπηλλάττετο μὲν τοῦ νοσεῖν ὁ τυφλὸς, κατημέλει δὲ τοῦ εἶναι φιλόχριστος; Οὐδαμῶς· ἀλλὰ τοῖς ἔργοις τὴν εὐγνωμοσύνην ἐπεδείκνυτο. Καὶ διττῆς ἠλευθέρωτο τυφλότητος, τῆς τε σωματικῆς, καὶ τῆς εἰς νοῦν καὶ καρδίαν· οὐ γὰρ ἂν ἐδόξασεν αὐτὸν ὡς Θεὸν, εἰ μὴ ἀνέβλεψεν ὄντως. Γέγονε δὲ καὶ ἑτέροις πρόφασις τοῦ δοξάζειν αὐτόν.

A itaque solutus infirmitate cæcus diligere Christum neglexit? Minime; sed opere gratum animum demonstravit. Duplici liberatus est cæcitate, et corporali et mentis atque cordis: non enim honorasset illum ut Deum, nisi vere visum recuperasset. Sed et cæteris quoque glorificandi Christum causa exstitit.

ΚΕΦΑΛ. ΙΘ'.

Ἰδοὺ ἀνὴρ ὀνόματι καλούμενος Ζακχαῖος.

(A f. 252, B f. 173, C f. 146 b, D f. 62) Ἀρχιτελώνης ἦν ὁ Ζακχαῖος, ἐν ἐπιτάσει τε πολλῇ παρ' αὐτῷ φιλάργυρον, καὶ τῆς πλεονεξίας ὁ σκοπός· τοῦτο γὰρ τοῖς τελώναις τὸ ἐπιτήδευμα· ταύτην δὲ καὶ εἰδωλολατρείαν ὀνομάζει ὁ Παῦλος, ὡς τάχα πρέπουσαν μόνοις τοῖς οὐκ εἰδόσι Θεόν. Ταύτητοι καὶ μάλα εἰκότως παῤῥησίαν ἀναιδῆ τοῖς προσώποις ἐνδύσαντας τοὺς τελώνας, πόρναις συντέταχεν ὁ Κύριος, οὕτω λέγων τοῖς Ἰουδαίοις καθηγηταῖς· « Αἱ πόρναι καὶ οἱ τελῶναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. » Ἀλλ' οὐ μεμένηκεν ἐν τούτοις ὁ Ζακχαῖος, ἐξιώθη δὲ φειδοῦς τῆς παρὰ Χριστοῦ· αὐτὸς γάρ ἐστιν ὁ καλῶν ἐγγὺς τοὺς μακρὰν, καὶ φωτίζων τοὺς ἐσκοτισμένους. Ὁποία δὲ γέγονε τῷ Ζακχαίῳ τῆς ἐπιστροφῆς ἡ ὁδὸς, φέρε ἴδωμεν. — (B f. 173 b) Ἐπεθύμησεν ἰδεῖν τὸν Ἰησοῦν· ἐβλάστησε γὰρ ἐν αὐτῷ σπέρμα σωτηρίας. Τεθέαται τοῦτο Χριστὸς τοῖς τῆς θεότητος ὀφθαλμοῖς· ἀναβλέψας οὖν εἶδεν αὐτὸν καὶ τοῖς τῆς ἀνθρωπότητος· καὶ ἐπειδὴ σκοπὸς ἦν αὐτῷ πάντας ἀνθρώπους σωθῆναι, προτείνει τὴν ἡμερότητα· καὶ παραθαῤῥύνων αὐτὸν λέγει· « Σπεύσας κατάβηθι· » ἐζήτει γὰρ αὐτὸν θεάσασθαι, καὶ ἐκώλυεν αὐτὸν ὁ ὄχλος, οὐ τοσοῦτον ὁ τῶν ἀνθρώπων, ὅσον ὁ τῶν ἁμαρτημάτων. Ἦν δὲ καὶ μικρὸς τὴν ἡλικίαν οὐ μόνον τὴν σωματικὴν, ἀλλὰ καὶ τὴν πνευματικήν· καὶ οὐκ ἄλλως ἠδυνήθη ἰδεῖν αὐτὸν, εἰ μὴ ὑψώθη ἀπὸ τῆς γῆς, καὶ ἀνέβη ἐπὶ τὴν συκομωραίαν, δι' ἧς ἔμελλε διελθεῖν ὁ Χριστός. Ἔχει δὲ αἴνιγμα ὁ λόγος. Οὐκ ἄλλως γὰρ δύναταί τις ἰδεῖν τὸν Χριστὸν, καὶ πιστεῦσαι εἰς αὐτὸν, εἰ μὴ ἐπὶ τὴν συκομωραίαν ἀρθῇ, μωράνας τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, καὶ τὰ ἑξῆς. Ἔμελλε δὲ, φησὶν, ὁ Χριστὸς διὰ τῆς συκομωραίας διέρχεσθαι· τὴν γὰρ νομικὴν ὁδεύσας πολιτείαν, ὃ ἐστι συκῆν, τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο, ὅ ἐστι τὸν σταυρὸν καὶ τὸν θάνατον. Καὶ πᾶς ὃς αἴρει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ τῇ τοῦ Χριστοῦ πολιτείᾳ, σώζεται, συνετῶς τὸν νόμον ἐργαζόμενος, ὃς ἐστι συκῆ μὴ ποιοῦσα σῦκα ἀλλὰ μῶρα· μωρία γὰρ τοῖς Ἰουδαίοις φαίνεται ἡ κεκρυμμένη τοῖς πιστοῖς

CAP. XIX.

V. 2. *Ecce vir nomine Zacchæus.*

Publicanorum princeps erat Zacchæus, pecuniæ amore plurimum captus, et avaritiam unice spectans: hoc enim est publicanorum studium; quod idololatriæ nomine appellat Paulus [17], ceu illorum tantummodo proprium qui Deum ignorant. Convenientissime igitur publicanos hanc præ se ferentes impudentiam, cum meretricibus contulit Dominus dicens Judæorum ducibus: « Meretrices et publicani præcedent vos in regnum Dei [18] » Sed tamen inter hos non mansit Zacchæus, sed Christi clementia dignus fuit. Ipse enim prope advocat qui longinqui erant, et illuminat obtenebratos. Quænam vero se obtulerit Zacchæo cōnversionis occasio, age, videamus. — Cupiebat Jesum videre, quia salutis semen jam in eo germinabat. Viderat eam rem Christus divinitatis oculis; nunc vero suspiciens ipsum quoque humano visu observavit. Et quia finem sibi proposuerat omnium hominum salutem, benignitatem exprimit, eique animos addens, « Descende, » inquit; siquidem ille videre Jesum cupierat, sed turba impediebatur non tam hominum **386** quam peccatorum (1). Eratque statura exiguus non corporali solum (2), verum etiam spiritali; neque aliter illum videre poterat, nisi in ficum fatuam conscendens, juxta quam Christus præteriturus erat. Latet autem in sermone ænigma. Quippe nemo aliter Christum videre potest, atque in eum credere, nisi in fatuam ficum se attollat, id est nisi membra sua, dum in terra degit, sine sensu efficiat, ad fornicationem scilicet, ad immunditiam, et reliqua. Futurum enim erat, ut Christus prope fatuam ficum transiret. Nempe quia legalem decurrens viam, quæ ficus instar erat, stulta mundi elegit, id est crucem atque necem. Et quicunque sibi tollit crucem ejus, et Christi vitam sectatur, salvus fit. Sapienter scilicet legem exsequens, quæ est ficulnea, haud ficus fructificans sed mora (fatuitatem). Fatuitas enim Judæis videtur interioris fidelium vitæ ratio, circumcisio nempe malitiæ, otium ab iniqua actione; qui sane haud sensibile præputium cædunt,

[17] Ephes. v, 5. [18] Matth. xxi, 31.

(1) Hic apud S. Thomam in cat. « Cyrillus. Turba autem est imperitæ confusio multitudinis, quæ verticem nequivit videre sapientiæ. Ergo Zacchæus quandiu in turba est, non videt Christum; sed plebeiam transgressus inscitiam, meruit quem desiderabat aspicere. »

(2) Statura ergo Zacchæi pusilla erat, ut nemo hactenus dubitavit; non autem Christi Domini, ut hodiernus quidam scripsit, qui præpostere fortasse intellexit vulgati Latini versiculum: *Zacchæus quærebat videre Jesum; et non poterat præ turba, quia statura pusillus erat.*

Digitized by Google

neque sabbatum observant. Cognovit itaque illum ad obedientiam paratum, fide ferventem, et ex nequitia in virtutem flecti cereum. Quare et vocat, et accedit illum lucraturus; qui « festinus descendit, Christumque lætabundus domi excepit; » lætabundus, inquam, non solum quia illum ut satagebat viderat, verum etiam quia nominatim appellatus ab eo fuerat, eumdemque hospitio præter suam exspectationem susceptarus erat.

V. 5. *Zacchæe, festinans descende, quia hodie in domo tua oportet me manere.*

Provisio hæc erat, probe enim rem futuram sciebat. Noverat hominis animam ad sanctum vitæ genus eligendum perquam proclivem. Ergo eum ad pietatem convertit, qui Jesum libenter suscepit, rem quippe **387** insperatam consecutus. Sed fortasse aliquis dicturus erat communi nostro Servatori Christo : Apud Zacchæum hospitaris, apud, inquam, publicanorum præfectum, qui avaritiæ mores nondum exuit ? Utique, respondisset : id sciebam, cum Deus natura sim, et terrestrium omnium vias inspiciam; cumque insuper futurorum scientiam habeam, ad pœnitentiam hunc vocavi, quia paratus huic agendæ est.

V. 8. *Dimidium bonorum meorum, Domine, do pauperibus.*

Viden' quomodo publicanorum præfectus, ille, inquam, avarus, repente misericors, et pauperum amator factus est ? Distributurum se spondet egentibus opes ; et quos fraudaverat certiores facit redditurum se illis ex legis norma ; quatuor jubentis pro una ove restituere, juxta Davidis judicium, qui ovem pauperi raptam, quadruplam reddi a plagiario mandavit [19].

V. 9. *Hodie salus domui huic facta est.*

Quo enim ingreditur Christus, ibi omnino salus fit. Neque post aliquas moras, vel promittentis ritu, sed hodie Zacchæo salutem Christus denuntiat, quoniam et ille statim quæ promisit, in rem contulit. Non enim dixit, Dabo dimidium ; neque fraudatis dixit, Reddam quadruplum : obtemperavit quippe Salomoni monenti : « Ne dicas, Postea revertere, et cras dabo [20]; » sed, « Ecce, inquit, do et reddo. » Quare et Christus : Hodie das, ait, hodie tibi salus. Oportuisset itaque Judæos gratulari Zacchæo præter spem salvato; quia et ipse de filiis erat Abrahæ, quibus per Christum redemptionem Deus oraculo prophetarum promiserat.

V. 11. *Adjiciens dixit parabolam : Homo quidam nobilis*, etc.

Hac, quæ in manibus est, parabola priorem simul suum ad homines adventum, et hinc discessum,

A ἐργασία, ἐν περιτομῇ κακίας, καὶ ἀργίᾳ φαύλης πράξεως· μὴ μέντοι αἰσθητῶς ἀκροβυστίαν περιτεμόντων, καὶ τηρούντων τὸ Σάββατον. Ἔγνω τοίνυν αὐτὸν ἕτοιμον εἰς ὑπακοήν, καὶ θερμὸν εἰς πίστιν, καὶ εὐμετάβλητον ἀπὸ κακίας εἰς ἀρετήν· διὸ καὶ καλεῖ, καὶ ἄπεισι κερδήσων αὐτόν· ὁ δὲ « σπεύσας κατέβη, καὶ ὑπεδέξατο αὐτὸν χαίρων, » οὐ μόνον ὅτι εἶδεν αὐτὸν ὡς ἐζήτει, ἀλλ' ὅτι καὶ ἐκλήθη παρ' αὐτοῦ, καὶ ὅτι ὑπεδέξατο αὐτὸν, ὡς οὐκ ἂν ποτε προσεδόκησεν.

Ζακχαῖε, σπεύσας κατάβηθι· σήμερον γὰρ ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι.

(A f. 252 b, B f. 174) Πρόγνωσις αὕτη θεία, εὖ γὰρ ἠπίστατο τὸ ἐσόμενον· εἶδεν ἀνθρώπου ψυχὴν ἑτοιμότατα διανεύουσαν εἰς γε τὸ βιοῦν ἐλέσθαι B ἁγίως· καὶ μετέθηκεν εἰς εὐσέβειαν· ὑπεδέξατο γὰρ, φησὶ, τὸν Ἰησοῦν χαίρων· ἔτυχε γὰρ ὧν μὴ προσεδόκα· ἀλλ' ἴσως ἐκεῖνο φαίη τις ἂν τῷ πάντων ἡμῶν Σωτῆρι Χριστῷ· Αὐλίζῃ παρὰ Ζακχαίῳ καὶ παρὰ τῷ τελωνῶν ἡγουμένῳ, ὃς οὔπω τοὺς τῆς φιλοκερδείας ἀπενίψατο τρόπους; Ναὶ, φησίν· οἶδα τοῦτο, Θεὸς ὢν φύσει, καὶ τὰς ἑκάστου τῶν ἐπὶ τῆς γῆς ἐποπτεύων ὁδοὺς, καὶ πρὸς τούτοις ἔχων τῶν ἐσομένων τὴν γνῶσιν· κέκληκα πρὸς μετάγνωσιν, πρόθυμον ὄντα πρὸς τοῦτο.

Τὰ ἡμίσια τῶν ὑπαρχόντων μου, Κύριε, δίδωμι τοῖς πτωχοῖς.

(A f. 252 b) Ὁρᾷς πῶς ὁ τελωνῶν ἡγούμενος, ὁ φιλάργυρος, εὐθὺς ἐλεήμων καὶ φιλοπτωχίας γέγονε C ἐραστὴς, διανέμειν ἐπαγγελλόμενος τοῖς ἐνδεέσι τὸν πλοῦτον, καὶ τοῖς ἠδικημένοις ἀπολογούμενος, κατὰ τὸν νόμον τὸν τέσσαρα πρόβατα ἀνθ' ἑνὸς ἐκτίσειν κελεύοντα, κατὰ τὴν τοῦ Δαβὶδ κρίσιν περὶ τοῦ τὴν ἀμνάδα λεχθέντος ἁπεστερηκέναι τοῦ πτωχοῦ. « Καὶ τὴν ἀμνάδα γὰρ, φησὶ, ἀποτίσει τετραπλασίονα (1). »

Σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο.

(A f. 254) Ἔνθα γὰρ ἂν εἰσβάλῃ Χριστὸς, ἐκεῖ πάντως ἐστὶ καὶ σωτηρία· οὐκ εἰς ἀναβολὰς δὲ οὐδὲ ἐπαγγελίας, ἀλλὰ σήμερον τῷ Ζακχαίῳ τὴν σωτηρίαν ὁ Χριστὸς εὐαγγελίζεται· ἐπειδὴ καὶ αὐτὸς αὐτίκα πεποίηκεν ἃ ἐπηγγείλατο. Οὐ γὰρ εἶπεν· Δώσω τὰ ἡμίσια, καὶ τοῖς ἀδικηθεῖσιν ἀποδώσω τετραπλοῦν· ἤκουσε γὰρ τοῦ Σολομῶντος· « Μὴ εἴπῃς· Ἐπάνηκε, καὶ αὔριον δώσω· » ἀλλ', « Ἰδοὺ, φησὶ, δίδωμι καὶ ἀπο- D δίδωμι. » Διὸ καὶ ὁ Χριστός· Σήμερον, φησὶ, δίδως, σήμερόν σοι καὶ ἡ σωτηρία. Ἴδε τοίνυν τοὺς Ἰουδαίους χαίρειν ἐπὶ Ζακχαίῳ σεσωσμένῳ παραδόξως· ὅτι καὶ αὐτὸς εἰς υἱοὺς ἐτέλει τῷ Ἀβραὰμ, οἷς τὴν διὰ Χριστοῦ λύτρωσιν διὰ προφητῶν ἁγίων ἐπηγγείλατο ὁ Θεός.

Προσθεὶς εἶπε παραβολήν· Ἄνθρωπός τις εὐγενὴς, κ. τ. λ.

(B f. 255) Διὰ τῆς ἐν χερσὶ δὲ παραβολῆς, ἐμοῦ καὶ τὴν προτέραν εἰς ἀνθρώπους ἄφιξιν ἑαυτοῦ, καὶ

[19] II Reg. XII, 6. [20] Prov. III, 28.

(1) Sic etiam Vulgatus Latinus, nec non Exod. XXII, 1. At Græcus Vaticanus hic : ἑπταπλασίονα, *septuplum*.

Digitized by Google

τὴν ἐνθένδε ἀποδημίαν, τήν τε μετὰ ταῦτα τῆς βασιλείας ὑποδοχήν, καὶ τὴν ἐπὶ τούτοις ἐπ' ἀγαθαῖς ἐλπίσι προσδοκωμένην ἡμῖν δευτέραν αὐτοῦ θεοφάνειαν, αἰνίττεται καὶ ὡς κατ' ἐκεῖνο καιροῦ, τῶν μὲν ἀξίων αὐτοῦ βασιλεύσει, κοινωνοὺς αὐτοὺς τῶν ἀγαθῶν καὶ δὴ καὶ τῆς βασιλείας ποιησάμενος· τῶν δὲ ἐπὶ τοῦ παρόντος βίου τὸ κήρυγμα παραιτησαμένων, ἐν ἐχθρῶν τε χώρᾳ καὶ πολεμίων ἑαυτοὺς καταλεξάντων κριτὴς ἔσται ἀπαραίτητος. Ταῦτα δ' ἐν παραβολῆς ἐθέσπιζε τρόπῳ, σαφῶς διδάσκων, ὅτι μήπω τότε ταῦτ' ἐξέφαινεν ἀνθρώποις συνών, ὁ τῆς αὐτοῦ βασιλείας ἐνειστήκει καιρός. Ἔλεγε δ' οὖν ταῦτα καὶ παρεδίδου, ἐν Ἱεριχοῖ μὲν ποιούμενος τὰς διατριβάς, ὁρμῶν δὲ λοιπὸν ἐπὶ τὰ Ἱεροσόλυμα· καὶ ἔλεγεν ἀναγκαίως· ἐπειδὴ πολὺς ἦν ὁ περὶ αὐτοῦ παρὰ τοῖς πᾶσι λόγος, ὡς αὐτίκα τότε μέλλοντος ἐν τοῖς Ἱεροσολύμοις τὴν διὰ τῶν προφητῶν ἀνακεκηρυγμένην αὐτοῦ βασιλείαν παραλήψεσθαι· ἧς ὑπονοίας μυρία τοῖς πολλοῖς ἐγίνετο αἴτια, τὰ πρὸς αὐτοῦ δρώμενα θαύματα, αἵ τε παράδοξοι δυνάμεις, δι' ὧν τοὺς θεωμένους ἔπειθεν ἀραρότως, αὐτὸν εἶναι ἡγεῖσθαι τὸν ἐκ πατέρων αὐτοῖς κατηγγελμένον καὶ προσδοκώμενον Χριστόν. Ἐπειδὴ τοίνυν ἤδη παρεῖναι τῆς αὐτοῦ βασιλείας τὸν καιρὸν ὑπελάμβανον, ἀναγκαίως τοὺς τοῦτο νομίζοντας διωρθοῦτο τῆς ψευδοῦς δόξης.

A et post hæc regni receptionem, necnon secundam quam **388** bona spe exspectamus Dei manifestationem, significat : et quod illo tempore super dignos se regnaturus sit, eosque bonorum suorum adeoque et regni facturus participes : illis contra qui in præsente vita Evangelium recusaverint, seque in adversariorum et hostium loco constituerint, inexorabilis judex futurus. Hæc autem sub parabolæ forma edixit ; perspicue docens, quandoquidem hæc patefaciebat cum hominibus versans, nondum regni sui tempus instare. Hos ergo sermones serebat Hierichunte diversans, et mox Hierosolyma quoque profectus. Sic autem necessario loquebatur, quia multus erat de ipso apud omnes rumor, quasi tunc in ipsis Hierosolymis capturus esset prædicatum a B prophetis regnum : cujus suspicionis quam plurimæ causæ apud populum erant, patrata nimirum ab eo miracula, et virtutes extraordinariæ, quibus firmiter spectatoribus persuadebat ut crederent se esse promissum illum jam inde a patrum ætatibus et exspectatum Christum. Quia igitur regni ejus tempus tunc adesse putabant, necessario eos qui ita existimabant, a falsa opinione retrahebat.

(A f. 255 b, B f. 175 b) Ὅπερ οὖν ἔφημεν, καταγράφει τῆς παραβολῆς ὁ σκοπὸς ὅλην ὡς ἐν βραχέσι τῆς ἐφ' ἡμῖν γενομένης οἰκονομίας τὴν δύναμιν, καὶ τοῦ κατὰ Χριστὸν μυστηρίου τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους. Γέγονε μὲν γὰρ ἄνθρωπος Θεὸς ὢν ὁ Λόγος· κεχρημάτικε δὲ διὰ τοῦτο δοῦλος· ἀλλ' ἦν καὶ ἔστιν εὐγενής, κατά γε τὴν ἐκ Πατρὸς ἄῤῥητον γέννησιν· ἀποπεράνας δὲ τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ μυστήριον, εἰς τὴν ἐνοῦσαν αὐτῷ κατὰ φύσιν ἀναπεφοίτηκε δόξαν, καὶ οἷον ἀποδεδήμηκεν εἰς χώραν μακράν· χώρα γὰρ ἑτέρα παρὰ τὴν γῆν, ὁ οὐρανός· ἀνέβη δὲ λαβεῖν ἑαυτῷ βασιλείαν. Πῶς δὲ ὁ τῶν ὅλων βασιλεύων μετὰ τοῦ Πατρὸς, ἄνεισι πρὸς αὐτὸν ληψόμενος βασιλείαν ; Δηλονότι ἐνανθρωπήσαντι τῷ Υἱῷ καὶ τοῦτο δίδωσιν ὁ Πατήρ· ἀναφοιτήσας γὰρ εἰς οὐρανὸν, κεκάθικεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν τοῖς ὑψηλοῖς, τὸ λοιπὸν ἐκδεχόμενος, ἕως οὗ τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ.

C

D

Sicut ergo jam diximus, scopus parabolæ est breviter repræsentandi totam, quæ nostri causa suscepta fuit, incarnationis rationem, Christique a primordiis ad finem usque mysterium. Factus est enim Deus Verbum homo, in servili conditione se gessit ; sed tamen erat et est nobilis, quod attinet ad ineffabilem ex Patre nativitatem. Peracto autem in suscepta carne mysterio, ad insitam sibi naturaliter gloriam reversus est, atque in longinquam veluti regionem profectus. Nam diversa a terra regio cœlum est. Ascendit autem ad capiendum debitum sibi regnum. Sed enim quomodo is qui universaliter cum Patre regnat, ad capiendum apud eumdem ascendit regnum ? Nempe humanato Filio id quoque Pater attribuit : namque in cœlum redux, sedet ad dexteram majestatis in excelsis, **389** de cætero exspectans donec ponantur inimici sui scabellum pedum ipsius.

Καλέσας δὲ δέκα δούλους ἑαυτοῦ, ἔδωκεν αὐτοῖς δέκα μνᾶς.

V. 13. *Vocatis autem decem servis suis, dedit eis decem mnas.*

(A f. 255 b, B f. 275 b, C f. 147) (1) Διανέμει γὰρ ὁ Σωτὴρ τοῖς πιστεύσασιν εἰς αὐτὸν, τὴν τῶν θείων χαρισμάτων διαφοράν· τοῦτο γὰρ εἶναί φαμεν τὰς δέκα μνᾶς. Πλὴν πολλὴ τούτων ἡ διαφορὰ πρὸς ἐκείνους, οἳ καὶ ὅλως ἠρνήσαντο τὴν βασιλείαν αὐτοῦ· οἱ μὲν γὰρ ἀνταίρουσιν, οἱ δὲ τῆς ἐπ' αὐτῷ

Fidelibus quippe suis divinarum gratiarum varietatem impertit Servator. Has enim esse dicimus decem mnas. Verumtamen grandis est his discordia adversus eos qui regnum illius detrectarunt ; alteri enim resistunt, alteri servitio ejus gloriantur. Igitur ceu bonis famulis Dominicæ commissæ fuerunt opes,

(1) Hic plura apud S. Thomam in cat. Lat. « Cyrillus. Ascendens autem (ad cœlos) dispensavit credentibus in eum divinorum charismatum differentiam ; Sicut servis committuntur Dominicæ facultates, ut aliquid lucrantes, famulatus sui ferant præconia. Unde sequitur : *Vocatis autem servis suis*, etc. Consuevit sacra Scriptura in signum perfectionis uti numero denario ; quem si quis numerando excedere velit, ab unitate iterum inchoabit, quasi denario perducto ad metam. Et ideo in dispensatione talentorum eum qui metam attigit divini officii, decem ait mnas recepisse. »

Digitized by Google

ut aliquid in his negotiati, debitas fidelitati suæ laudes reportarent. Sed enim sui, inquit, cives illum oderant. Hoc nimirum imputat Judæis Christus : « Nisi opera inter eos fecissem, quæ nemo alius fecit, peccatum non haberent. Nunc autem et viderunt, et nihilominus oderunt me Patremque meum [21]. » Hi noluerunt illum super se regnare; Zacharia propheta nequidquam clamante : « Gaude valde, filia Sion, quia ecce rex tuus venit ad te justus et Salvator [22]. » Et Isaias similiter : « Ecce, inquit, rex justus regnabit, et principes cum judicio imperabunt [23]. » Imo et ipse quandoque Christus per Psalmistæ lyram dixit : « Ego autem constitutus sum rex ab eo super Sion monte sancto ejus [24]. » Negarunt itaque regnum ejus (Judæi), dum Pilato dixerunt : « Non habemus regem nisi Cæsarem [25]. » αὐτοῦ, ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ. » Ἠρνήσαντο τοίνυν τὴν βασιλείαν αὐτοῦ, φάσκοντες Πιλάτῳ· « Οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα. »

A δουλείας φέρουσι τὸ καύχημα. Οὐκοῦν ὡς οἰκέται γνήσιοι τὸν Δεσποτικὸν ἐθαρρήθησαν πλοῦτον, ἵνα τι προσεργασάμενοι, τοὺς τῇ γνησιότητι πρέποντας ἐπαίνους κερδάνωσι. Ἀλλ' οἱ πολῖται αὐτοῦ, φησὶν, ἐμίσουν αὐτόν· τοῦτο τοῖς Ἰουδαίοις ὠνείδισεν ὁ Χριστός· « Εἰ μὴ τὰ ἔργα ἐποίησα ἐν αὐτοῖς, ἃ οὐδεὶς ἄλλος ἐποίησεν, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ καὶ ἑωράκασι καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν Πατέρα μου. » Αὐτοὶ οὐκ ἠθέλησαν αὐτὸν ἐπ' αὐτοὺς βασιλεῦσαι· καίτοι Ζαχαρίου τοῦ προφήτου βοῶντος· « Χαῖρε σφόδρα, θύγατερ Σιών· ὅτι ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων. » Καὶ Ἡσαΐας δὲ ὁμοίως. « Ἰδοὺ δὴ, φησὶ, βασιλεὺς δίκαιος βασιλεύσει, καὶ ἄρχοντες μετὰ κρίσεως ἄρξουσι. » Ναὶ μὴν καὶ αὐτὸς ἔφη που Χριστὸς διὰ τῆς τοῦ Ψάλλοντος λύρας· « Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' B

V. 15. *Cum rediret, accepto regno.*

Ἐν τῷ ἐπανελθεῖν αὐτὸν λαβόντα τὴν βασιλείαν.

Igitur reverso, post acceptum regnum, viro illo nobili, id est Christo, laudem consequentur, et supernis deliciis abundabunt doctrinæ ministri. Nam decuplo vel saltem quinquiplo effecto talento, quia multos homines lucrati sunt, decem vel quinque urbibus præficientur, id est non iis tantummodo quibus antea, verum etiam aliis multis dominabuntur. — Nunc quoque **390** Servator talenta famulis suis distribuit, ad evangelicæ normam parabolæ. Eia pandite corda vestra, et lætanter excipite. Strenui estote mensarii; quod datum est, prudenter negotiamini, vestraque devotione augete. Grande sanctisque dignum hinc gaudium conflit, et fidelitatis laus subsequitur. Sed cur hæc aio, omisso quod majus est? Cœli cives nos efficit, ad regnum ducit, et cum nostro communi Servatore Christo glorificat. Id ex ipsis quoque evangelicis Litteris agesis cognoscamus. Qui talentis quinque a patrefamilias acceptis alia quinque superlucratus est, quid ait, ad dominum accedens? « Domine, quinque talenta dedisti mihi, ecce alia quinque ex his confeci [26]. » Viden' quanta sit studiosi laboris gloria? Quid vero ad hæc Christus? « Euge, serve bone et fidelis, quia in paucis fuisti fidelis, super multa te constituam; intra in gaudium domini tui [26]. » Quid his verbis ad potentiam majus? quid præstantius ad felicitatem? Laudes a Christo, suffragium Dominicum studiosam coronans operam : fidelem eum appellat, qui sua industria fructum peperit. Jam vero num lucrum illud Domino attulit? Num hic re aliqua ad usum suum egeT? Ipse est rerum omnium plenitudo; atque, ut Joannes ait, « De plenitudine ejus nos omnes accepimus [27]. » Sed cum nobis ipsi lucramur, et

(A f. 256) Ὑποστρέψαντος τοίνυν μετὰ τὸ λαβεῖν τὴν βασιλείαν τοῦ ἀνθρώπου τοῦ εὐγενοῦς, δῆλον δὲ ὅτι τοῦ Χριστοῦ, ἐπαίνων τεύξονται, καὶ ταῖς ἀνωτάτω τιμαῖς ἐντρυφήσουσιν οἱ τοῦ λόγου διάκονοι. Δεκαπλασιάσαντες γὰρ, ἤγουν πενταπλασιάσαντες τὸ τάλαντον διὰ τοῦ κερδᾶναι πολλοὺς, ἐπὶ πέντε δέκα πόλεων ἢ πέντε γενήσονται· τουτέστιν ἄρξουσι πάλιν, οὐχ ὧν ἦρξαν πρὸ τούτου μόνον, ἀλλὰ καὶ ἑτέρων ἔτι πολλῶν. [A f. 257, B f. 175 b] (1) Διανέμει καὶ νῦν ὁ Σωτὴρ τάλαντα τοῖς ἰδίοις οἰκέταις, κατά γε τὴν ἐν Εὐαγγελίοις παραβολήν. Οὐκοῦν ἁπλώσατε τὰς καρδίας, καὶ ὑποδέξασθε χαίροντες· C δόκιμοι γένεσθε τραπεζῖται· ἐμπορεύσασθε τὸ δοθὲν, ἐπιστημόνως· πολυπλασιάσατε ταῖς ἐπιεικείαις. Μέγα καὶ ἁγιοπρεπὲς τὸ καύχημα, καὶ τοὺς τῆς γνησιότητος ἐπαίνους προξενεῖ. Καὶ τί τοῦτο λέγω, τὸ ἔτι μεῖζον ἀφεὶς; Οὐρανοῦ πολίτην ἐργάζεται, εἰς βασιλείαν ἀναφέρει, αὐτῷ συνδοξάζεσθαι ποιεῖ τῷ πάντων ἡμῶν Σωτῆρι Χριστῷ. Ἴδωμεν δὲ τοῦτο, καὶ ἐξ αὐτῶν τῶν εὐαγγελικῶν γραμμάτων. Ὁ τὰ πέντε τάλαντα λαβὼν παρὰ τοῦ οἰκοδεσπότου, προσεργασάμενος δὲ καὶ ἕτερα πέντε, τί προσέρχεται λέγων; « Κύριε, πέντε τάλαντά μοι ἔδωκας, ἴδε ἐποίησα ἄλλα πέντε. » Ὁρᾷς ὅσον ἐστὶ τῆς φιλαπονίας τὸ καύχημα; Καὶ τί πρὸς αὐτὸν ἔφη Χριστός; « Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἦς πιστὸς, D ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου. » Τί τούτου τὸ μεῖζον εἰς δύναμιν; τί τὸ αἱρετώτερον εἰς εὐημερίαν; Ἔπαινοι παρὰ Χριστοῦ, καὶ ψῆφος Δεσποτικὴ στεφανοῦσα τὸν φιλεργήσαντα, πιστὸν ὀνομάζει τὸν καρποφορήσαντα νοητῶς. Μὴ γὰρ τῷ Δεσπότῃ τὸ κέρδος προσήνεγκε; Μὴ

[21] Joan. xv, 24. [22] Zach. ix, 9. [23] Isa. xxxii, 1. [24] Psal. ii, 6. [25] Joan. xix, 15. [26] Matth. xxv, 20. [26] ibid. 21. [27] Joan. i, 16.

(1) In marg. Κυρίλλου ὁμιλία. Nempe hic locus sumitur ex Cyrilli quadam homilia a catenæ auctore Nicetæ. De Cyrilli homiliis deperditis diximus in Præfatione (*hujus ed. nov. t. I, col.* 95). Et quidem de Joanne Baptista in not. ad Luc. III, 4; de electione apostolorum ad Luc. VI, 13, de divite horrea dilatare volente ad Luc. XII, 19; denique de passione Domini infra cap. XXIII, 25.

Digitized by Google

γὰρ χρῄζει τινὸς ἐν τοῖς καθ' ἑαυτόν; Αὐτός ἐστι τὸ πάντων πλήρωμα, καὶ ὡς ὁ πάνσοφος Ἰωάννης φησίν, « Ἐκ τοῦ πληρώματος αὐτοῦ πάντες ἡμεῖς ἐλάβομεν. » Ἀλλ' ὅταν ἡμεῖς ἑαυτοὺς κερδάνωμεν, προσωφελῶμεν δὲ καὶ ἑτέρους, τότε χαίρει Χριστός· πλοῦτον ἡγεῖται τὴν ἡμῶν εὐδοκίμησιν. Καὶ τὸ ἔτι μεῖζον ἐρῶ· τροφὴν ὥσπερ ποιεῖται τὸ πρᾶγμα· ὅτι δέ ἐστιν ἀληθὲς ὃ φημι, πάλιν ἐκ τῶν εὐαγγελικῶν μαθήσῃ γραμμάτων· νενουθέτηκε μὲν γὰρ τὴν ἐκ Σαμαρείας γυναῖκα· εἶτα λεγούσης ἐκείνης, Ὅτε ἔλθῃ Μεσσίας, ἀπαγγελεῖ ἡμῖν πάντα, ἑαυτὸν ἐμφανῆ κατέστησε, λέγων· « Ἐγώ εἰμι ὁ λαλῶν σοι. » Καὶ τὸ μὲν γύναιον ἁρόμῳ συντείνεται, καὶ τὴν Σαμαρειτῶν μεμυσταγώγηκε πόλιν. Εἰδὼς δὲ Χριστὸς ὅτι πολλοὶ πιστεύσουσιν ἐπ' αὐτόν, τοῖς ἁγίοις ἔφασκε μαθηταῖς· « Ἐγὼ βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε. » Τρέφει γὰρ ὥσπερ τὴν ἡμερωτάτην φύσιν, τῶν ἀπολωλότων ἡ σωτηρία.

A cæteris simul prosumus, tunc Christus lætatur : opes suas existimat bonam nostram vitam. Sed et majus aliquid dicam : alimoniæ suæ loco, hoc habet negotium. Quod autem vere dicam, rursus ex evangelicis disces litteris. Samaritanæ mulieri monita dabat; cumque illa diceret venturum esse Messiam qui omnia nobis nuntiabit; ipse semet revelat dicens : « Ego ille sum, qui tecum loquor [38]. » Tunc mulier cursim reversa, Samaritanorum civitatem sacra notitia imbuit. Videns autem Christus multos sibi esse credituros, **391** sanctis ait apostolis : « Ego cibum habeo manducare, quem vos nescitis [39]. » Alit enim quodammodo per benignam ejus naturam, illorum, qui perierant, recuperata salus.

Ὁ μὲν οὖν γνήσιος οἰκέτης, (ἀναδήσομαι γὰρ αὖθις ἐπὶ τὸν τοῦ λόγου σκοπὸν), τὸν τῆς ἐπιεικείας ἀνεδήσατο στέφανον· εἰσκεκόμισται γὰρ εἰς τὴν χαρὰν τοῦ ἰδίου δεσπότου. Ὁ δέ γε λαβὼν τὸ [ἓν] τάλαντον, εἶτα γεγονὼς ὀκνηρός, προσεργασάμενος δὲ παντελῶς οὐδέν, κατακρύψας δὲ μᾶλλον εἰς γῆν αὐτό, ταῖς ἐσχάταις περιπέπτωκε δίκαις. Φύγωμεν τοίνυν τὴν μίμησιν, ἀποπεμψώμεθα τῆς ἑαυτῶν διανοίας τὸν ἀκερδῆ καὶ ἐπάρατον ὄκνον, τὸν ἐπ' ἀγαθοῖς δηλονότι σπουδάσμασι· μὴ εἰς ἀργίαν, τὴν δοθεῖσαν ἡμῖν παρὰ Χριστοῦ καταχώσωμεν χάριν. Φησί που διὰ φωνῆς Ἡσαΐου ὁ τῶν ὅλων Θεός· « Ἱερεῖς λαλησάτω εἰς τὴν καρδίαν Ἱερουσαλήμ. » Τί δὲ, εἰ ὁ μὲν διδάσκων, τοὺς ὠφελεῖν εἰωθότας ἐξυφαίνοι λόγους τοῖς ἀκροωμένοις, οἱ δὲ οὐκ εἰς νοῦν καὶ καρδίαν ἀποτίθενται τὴν μυσταγωγίαν, ἀλλ' ἐπικροτήσαντες μόνον, καὶ γυμνοῖς ἐπαίνοις ἀμειψάμενοι τὸν μυσταγωγὸν, ἄγευστοι τῶν ἱερῶν ἀπομένουσι διδαγμάτων; Ἆρα ὀκνῆσαι προτήκει τὸν μυσταγωγόν; Εἶτα, ποίους εὑρήσει λόγους ἐπὶ τοῦ θείου βήματος τοὺς ἐπικουροῦντας αὐτῷ, ὅταν αἰτιάσηται τῶν ἀκροωμένων τὸ ῥᾴθυμον, καὶ εὐάφορμον εἴπῃ διὰ τοῦτο τὸν ὄκνον; Κατακριθήσεται γὰρ μᾶλλον, ὡς ἔστιν ἰδεῖν ἐκ τῆς εὐαγγελικῆς παραβολῆς. Ὁ γάρ τοι τὸ τάλαντον λαβὼν παρὰ τοῦ οἰκοδεσπότου, κατέχωσε μὲν εἰς γῆν αὐτὸ, καὶ ἀπολυπλασίαστον ἔχων, προσεκόμιζε λέγων· « Κύριε, ἴδε ἔχεις τὸ σόν. » Ἆρ' οὖν ἐπῄνηται καὶ γερῶν ἠξίωται, ἢ κατεδικάσθη μᾶλλον ὡς ὀκνηρός; « Ἔδει σε γάρ, φησὶ, καταβαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις· κἀγὼ ἐλθὼν ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ. » Οὐκοῦν ὡς τραπεζίταις ὑμῖν ἐπιστήμοσι τὸ δεσποτικὸν ἀργύριον ἐξοδιάζω ἐγώ· ὑμεῖς δὲ λαβόντες, ἀπόθεσθε εἰς νοῦν τὸ δοθὲν, καὶ εἰς τὸ βάθος τῆς ἑαυτῶν καρδίας κρύψατε· εὖ εἰδότες, ὅτι τὰ εἰς γῆν πεμπόμενα τῶν σπερμάτων, ἐγχωννύμενα μὲν ταῖς βώλοις, καρποφορεῖ· τὰ δὲ ἀκατάχωστα διαρπάζεται.

B Ergo fidelis servus (rursus enim ad sermonis scopum revolvor) boni actus sui corona redimitur; introductus enim est in gaudium domini sui. Qui autem unum acceperat, deinde desidens nihil lucratus fuerat, sed illud potius humi defoderat, maximas pœnas dedit. Caveamus itaque quominus hunc imitemur; ejiciamus animo sterilem ac detestandam ignaviam ad bonorum operum studium : ne otio, inquam, datam nobis a Christo gratiam mergamus. Ait alicubi Isaiæ voce universalis Deus : « Sacerdos loquatur ad cor Jerusalem [40]. » Quid vero, si magister quidem utiles audientibus nectat sermones, hi vero in cor mentemque doctrinam non recipiant, sed solo plausu nudisque laudibus magistrum remunerantes, sacram reapse eruditionem non degustent? Num idcirco oportet magistrum quoque desidere? Atqui ante tribunal Christi quomodo sibimet patrocinabitur, si quidem audientium accusata ignavia, hanc otii sui ceu probabilem causam afferat? Potius enim condemnabitur, ut ex evangelica parabola cognoscere licet. Nam qui unum talentum acceperat a patrefamilias, id humi obruit, atque ita non multiplicatum servans, deinde retulit dicens : « Domine, en quod tuum est habes. » Num ergo laudatus fuit et præmio affectus? An potius uti ignavus damnatoria sententia perculsus? « Oportuerat enim, inquit, a te pecuniam meam committi nummulariis, et tunc veniens ego recepissem utique quod meum est cum usura. » Itaque ceu peritis nummulariis Dominicam vobis pecuniam ego trado; vos vero accipientes, in mente, quod datum est, reponite, atque intra cordis penetralia recondite : bene conscii, semina in terram jacta, si modo glebis adobruantur, fructum reddere; minime autem infossa, diripi.

C

D

(A f. 257 b) Ἐρεῖ καὶ ὑμῖν ὁ χρήσας τὰ τάλαντα· Εἰ γὰρ αὐστηρός εἰμι, φησὶ, θερίζων ὅπου οὐκ ἔσπειρα, διὰ τί μὴ τὴν δοθεῖσάν σοι χάριν (τοῦτο γάρ ἐστιν ἡ μνᾶ) δέδωκας τοῖς τραπεζίταις, τουτέστι, προῦθηκας εἰς ἀπόλαυσιν τοῖς εὖ εἰδόσι δοκιμάζειν τὰ παρὰ

392 Dicet etiam vobis is qui talenta utenda commisit : Si ego homo austerus sum, metens quod non sevi, cur datam tibi gratiam, hæc enim est mna, mensariis non commisisti, id est, illorum usui non tradidisti, qui accepta a te recte æstimare po-

[38] Joan. IV, 26. [39] ibid. 32. [40] Isa. XL, 2.

Digitized by Google

terant? Namque ego veniens, exegissem rem meam non sine usura. Certe magistrorum officium est, serere coram auditoribus utilem salutaremque sermonem ; divinæ autem virtutis opera est vocare ad obedientiam eos qui audiunt, et illorum mentem reddere fructuosam. — Ignavus servus qui velut mortuum reposuerit charisma, neque ex eo quidquam lucratus fuerit, etiam hoc dato charismate spoliabitur : qui vero meliore via incesserint, supernis bonis cumulabuntur. — Animadvertendum est alium evangelistam adnotare qualis quoque fuerit distributorum differentia talentorum : « Uni enim dedit, inquit, quinque talenta, alii autem duo, alii vero unum, unicuique secundum propriam virtutem dividens [31]. » Quinam porro hi sunt, quibus talenta commendata fuerunt, age dicamus. Sunt hi perfecto animi statu præditi, quibus utique solidus cibus congruit, recte initiando idonei, atque ad omne boni studii genus semetipsos atque alios dirigentes ; cujusmodi fuere divi discipuli, et qui post illos ministerium idem exceperunt. His Servator divinarum gratiarum pro rata parte numerum confert ; ut sint mundi lumina, verbumque vitæ contineant. Hi dum subjectas sibi plebes monitis instruunt, talentum negotiantur, debitamque sanctis hæreditatem capiunt. — Qui noluerunt nobilem illum virum sibi dominari, jugulati ante ejus conspectum fuerunt. Hoc Israelitæ sunt experti ; negato enim ab ipsis Christi regno, in extremas inciderunt calamitates, et mali male perierunt.

A σοῦ ; Ἐγὼ γὰρ ἐλθὼν, ἔπραξα ἂν, τουτέστιν ἀπῄτησα, τὸ ἐμὸν σὺν τόκῳ. Τῶν μὲν γὰρ διδασκάλων ἐστὶ τὸ κατασπείρειν τοῖς ἀκροωμένοις τὸν ἐπωφελῆ καὶ σωτήριον λόγον· ἔργον δὲ ἰσχύος τῆς παρὰ Θεοῦ, τὸ καλεῖν εἰς εὐπείθειαν τοὺς ἀκροωμένους καὶ εὔκαρπον αὐτῶν ἀποφαίνειν τὸν νοῦν (1). — (A f. 258 b) Ὁ μὲν ὀκνηρὸς οἰκέτης νεκρὸν θεὶς τὸ χάρισμα καὶ μὴ ἐπεργασάμενος, γυμνὸς καὶ τοῦ δοθέντος ἔσται χαρίσματος· οἱ δὲ τὴν ἀμείνω βαδίσαντες ὁδὸν, ἐν προσθήκαις ἔσονται τῶν ἄνωθεν ἀγαθῶν. — (B. f. 175 b) Σημειωτέον δὲ ὅτι ὁ ἕτερος τῶν εὐαγγελιστῶν οἶδε καὶ ποσότητος διαφορὰς τῆς γενομένης τῶν ταλάντων διανομῆς. « Ὧ μὲν γάρ, φησὶ, δέδωκε πέντε τάλαντα, ᾧ δὲ δύο, ᾧ δὲ ἕν, τοῖς ἑκάστου μέτροις ἀναλόγως τὴν διανέμησιν ποιούμενος. » Τίνες δ' ἂν εἶεν οἱ θαρσούμενοι, φέρε λέγωμεν. Οἱ τέλειοι τὴν ἕξιν, οἷς ἂν πρέποι καὶ ἡ στερεὰ τροφὴ, μυσταγωγεῖν εἰδότες ὀρθῶς, καὶ πρὸς πᾶν ὁτιοῦν τῶν ἐπιτηδευμάτων ἑαυτούς τε καὶ ἑτέρους ἀπευθύνοντες, ὁποῖοι γεγόνασιν οἱ θεσπέσιοι μαθηταὶ, καὶ οἱ μετ' ἐκείνους τὴν αὐτὴν διακονίαν διαδεξάμενοι· τούτοις ὁ Σωτὴρ τὴν τῶν θείων χαρισμάτων δίδωσι διαφοράν· ἵνα ὦσι φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες· οὗτοι νουθετοῦντες τοὺς ὑπὸ χεῖρα λαοὺς, προσεργάζονται τῷ ταλάντῳ, καὶ τὸν τοῖς ἁγίοις πρέποντα κερδανοῦσι κλῆρον. — (A f. 259) Οἱ μὴ θελήσαντες ἐπ' αὐτοὺς βασιλεῦσαι τὸν ἄνθρωπον τὸν εὐγενῆ, κατεσφάγησαν ἔμπροσθεν αὐτοῦ. Τοῦτο πεπόνθασιν οἱ ἐξ αἵματος Ἰσραήλ· ἀρνησάμενοι γὰρ τὴν Χριστοῦ βασιλείαν, ταῖς ἐσχάταις περιπεπτώκασι συμφοραῖς, καὶ κακοὶ κακῶς ἀπολώλασιν.

B

C

V. 35. *Et duxerunt illum ad Jesum.*

Adducitur jumentum a duobus quos **393** Christus miserat discipulis : cui rei efficiendæ duo suffragantur ordines, prophetæ videlicet atque apostoli, a quibus pertracti fuerunt ad fidem ethnici, quorum figura jumentum erat. Adducitur autem e villa quadam, ut his quoque verbis iniquam ethnicorum denotet mentem, qui non civiliter sed rustice inculteque vivebant. Attamen ad mites mores conversi sunt, postquam docenti omnia Christo se submiserunt. Alius vero evangelista ait pueros quoque palmarum ramos præferentes Christo præcessisse, atque una cum discipulis laudes cecinisse [32] ; ut in his etiam novum ex ethnicis populum, tanquam in tabula pictum videamus. Scriptum est enim : « Et populus qui creabitur laudabit Dominum [33]. » — Pœnales tenebras exteriores intelligit paratum diabolo angelisque ejus ignem. Hæc erit immisericordium sors.

Καὶ ἤγαγον αὐτὸν πρὸς τὸν Ἰησοῦν.

(B f. 178 b, C f. 148) Ἄγεται ὁ πῶλος, δύο μαθητῶν ἀπεσταλμένων παρὰ Χριστοῦ· ὑπηρετοῦσι γὰρ πρὸς τοῦτο αὐτῷ δύο τάγματα, προφῆται καὶ ἀπόστολοι δι' ὧν σαγηνεύεται εἰς πίστιν τὰ ἔθνη, ὧν ἐστι τύπος ὁ πῶλος· ἄγεται δὲ ἀπό τινος κώμης, ἵνα καὶ διὰ τούτων τὴν ἄδικον τῶν ἐθνῶν καταδείξῃ φρένα, οὐκ ἐννόμως, ἀλλ' ἀγρίως καὶ ἀτημελῶς ζησάντων. Πλὴν μετέστη ἐπὶ τὸ ἥμερον· γέγονε γὰρ ὑπὸ Χριστῷ τῷ πάντα διδάσκοντι. Ἕτερος δὲ εὐαγγελιστὴς, καὶ παῖδας ἔφη βαΐα φοινίκων ἀνατείνοντας προτρέχειν αὐτοῦ, καὶ ὁμοῦ τοῖς μαθηταῖς δοξολογεῖν· ἵνα καὶ δι' αὐτῶν τὸν νέον καὶ ἐξ ἐθνῶν λαὸν, ὥσπερ ἐν πίνακι γεγραμμένον ἴδωμεν· γέγραπται γάρ· « Καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον. » — (I f. 106 b) Τὸν τῆς κολάσεως δηλονότι, τὸν ἐξώτερον σκότον, τὸν ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· οὗτος τῶν ἀφιλοικτιρμόνων ὁ κλῆρος (2).

D

[31] Matth. xxv, 15. [32] Matth. xxi, 8 ; Marc. xi, 8 ; Joan. xii, 13. [33] Psal. ci. 19.

(1) Animadverte divinæ necessitatem gratiæ ad mentes hominum permovendas ; sine qua sacri concionatores frustra declamant.

(2) Fragmentum hoc citatur nominatim ex Cyrillo in Lucæ Evangelium a catena Ottob. Vat. in prophetas, p. 106. Hic autem conjecturaliter ego collocavi, quia in loco parallelo Matth. xxv, 30 (ad quem solet provocare Cyrillus) servus piger, qui talentum abscondit, in tenebras exteriores ejicitur.

Digitized by Google

Πορευομένου δὲ αὐτοῦ, κ. τ. λ.

(A f. 260) Ἀνῄει μὲν εἰς Ἱεροσόλυμα Χριστὸς, τὸν ὑπὲρ τῆς ἁπάντων σωτηρίας καὶ ζωῆς ἀνατλῆναι σταυρόν· ἐπεκάθισέ τε τῷ πώλῳ· προσυπήντων δὲ τῶν Ἰουδαίων οἱ δῆμοι, καὶ παῖδες ἄνηβοι σὺν αὐτοῖς, καὶ πολλαῖς αὐτὸν εὐφημίαις καὶ κρότοις ἠπείγοντο στεφανοῦν· οἱ μὲν γὰρ ἐστρώννυον ἐν τῇ ὁδῷ τὰ ἱμάτια ἑαυτῶν, οἱ δὲ βραχεῖαν ἔτι κομιδῇ τὴν ἡλικίαν ἔχοντες, τὰ κάλυντρα (1) τῶν φοινίκων ἀνατείνοντες ὑψοῦ, ᾠδὴν ἐποιοῦντο Χριστὸν, λέγοντες· Εἰρήνη ἐν οὐρανῷ· οὐκέτι τοῦ Θεοῦ ἡμῖν ἐκπεπολεμωμένου, ἀλλ' ἐν τῇ χώρᾳ ἡμῶν τῶν ἐχθρῶν αὐτοῦ περιπατοῦντος, καὶ διὰ τοῦτο ὑπὸ τῶν ἀγγέλων δοξαζομένου· ὁ γὰρ ἄνω βασιλεὺς κατέβη κάτω, καὶ μίαν ὑπακοὴν (2) πεποίηκεν.

A V. 36. *Eunte autem illo*, etc.

Pergebat Hierosolyma Christus, ut pro omnium salute ac vita crucem pateretur. Asello autem insidebat, occurrebantque ei Judæorum turbæ unaque pueri impuberes, multisque eum acclamationibus plausibusque certabant ornare. Nam turbæ quidem vestimenta sua sternebant in via; tenera vero adhuc ætate pueri, erectas palmarum spathulas manu tenentes, canticum Christo accinebant dicentes: Pax in cœlo, quia Deus jam nobis non est adversus, sed in regione nostra, qui ei olim invisi fuimus, incedit; ideoque ab angelis collaudatur. Nam Rex supernus deorsum venit, et unum ab utroque cœtu hymnum elicuit.

Καί τινες τῶν Φαρισαίων ἀπὸ τοῦ ὄχλου εἶπον, κ. τ. λ.

B V. 39. *Et quidam Pharisæorum de turbis dixerunt*, etc.

(A f. 260 b) Ἀλλ' οὐκ ἐδόκει συμφέρεσθαι ταῖς τοῦ πλήθους σπουδαῖς τοῖς καθηγεῖσθαι λαχοῦσιν· ὑπέτριζον γὰρ τοὺς ὀδόντας αὐτῶν, καὶ πρὸς τὴν τῶν παίδων ταύτην φωνὴν ἠγανάκτουν οἱ βάσκανοι Φαρισαῖοι, ἐπειδὴ ὁρώμενος ἄνθρωπος τὴν Θεῷ πρέπουσαν ὑμνολογίαν ἐδέχετο· καὶ δὴ καὶ προσῆεσαν οἱ θρασεῖς, μονονουχὶ διαμαρτυρόμενοί τε καὶ λέγοντες· « Οὐκ ἀκούεις τί οὗτοι λέγουσι; » ἀντὶ τοῦ, Ἄνθρωπος ὢν ἀνέχῃ δοξολογούμενος καὶ ὡς Θεὸς ὑμνούμενος, καὶ τὰς Θεῷ πρεπούσας εὐφημίας δέχῃ παρὰ τῶν παίδων; Καὶ τί πρὸς ταῦτα Χριστός; Ἠγανάκτησεν ἄρα κατὰ τῶν παίδων; ἀπεσείσατο τὴν δοξολογίαν; ἐπετίμησε τοῖς εὐφημοῦσιν αὐτὸν ὡς Θεόν; Οὐδαμῶς· ἔφη γὰρ μᾶλλον πρὸς τοὺς φιλεγκλήμονας, ἐπιστομίζων αὐτοὺς, ὅτι « Ἐὰν οὗτοι σιωπήσωσιν, οἱ λίθοι κεκράξονται. » Ὁρᾷς, ὅπως προσμεμαρτύρηκεν ἑαυτῷ τὴν τῆς θεότητος δόξαν, ὁ ἐποχούμενος τῷ πώλῳ καὶ κατὰ σάρκα υἱὸς Δαβίδ; Ἀλλ' οὐκ ἦν δόξης ἀλλοτρίας κοινωνὸς, ὡς οἱ χριστομάχοι φασὶν (3), ἀλλ' οὐδὲ ὕστερος παρὰ τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον ὡς Υἱὸς κατὰ μόνας· διὰ τοῦτο καὶ Θεὸς, καὶ Κύριος, καὶ Ὕψιστος ὀνομάζεται.

Sed enim principibus visum non est populi **394** studiis suffragari: nam dentibus potius stridebant, et puerorum vocem stomachabantur invidi Pharisæi, quia cum is homo appareret, convenientem Deo hymnologiam excipiebat. Quin et audacter accedebant, contestantes dicentesque: « Nonne audis quænam hi dicunt? » Nempe: Homo cum sis, pateris te glorificari et tanquam Deum hymnis celebrari? Deo, inquam, congruas laudes a pueris excipis? Quid porro ad hæc Christus? Num pueris indignatus est? num hymnum repulit? aut se veluti Deum laudantes increpuit? Nequaquam. Imo potius calumniatoribus ait, silentium indicens: « Etiamsi hi taceant, lapides ipsi clamabunt. » Viden' quomodo divinitatis gloriam proprio testimonio sibi vindicavit, is qui jumento insidebat, et Davidis filius secundum carnem erat? Sed reapse alienam a se majestatem non participabat, ut Christi hostes aiunt; neque inferior erat Dei Patris Verbo, ceu si Filius alius seorsum esset. Propterea et Deus, et Dominus, et Altissimus appellatur.

C

Καὶ ὡς ἤγγισεν, ἰδὼν τὴν πόλιν, ἔκλαυσεν ἐπ' αὐτῇ, λέγων, κ. τ. λ.

V. 4. *Et ut appropinquavit, videns civitatem, flevit super illam, dicens*, etc.

(A f. 260 b) Ἔφη που διὰ φωνῆς Ἱερεμίου ὁ τῶν ὅλων Θεὸς περὶ τῶν Ἰουδαίων· « Ἀργύριον ἀποδεδοκιμασμένον καλέσατε αὐτοὺς, ὅτι ἀπεδοκίμασεν αὐτοὺς ὁ Κύριος. » Καὶ πάλιν· « Ἄκουε, γῆ, ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὸν λαὸν τοῦτον κακὰ, τὸν καρπὸν ἀποστροφῆς αὐτῶν, ὅτι τῷ λόγῳ μου οὐ προσέσχον, καὶ τὸν νόμον μου ἀπώσαντο. » Καρποὶ τοίνυν γεγόνασι τῆς αὐτῶν ἀποστροφῆς, τὰ συμβεβηκότα αὐτοῖς σκυθρωπὰ δηλονότι· πλὴν καὶ οὕτως ἔχοντας γνώμης, κατηλέει Χριστὸς, « Ὃς πάντας ἀνθρώπους θέ-

Dixit quodam loco ore Jeremiæ universalis Deus de Judæis: « Argentum reprobum vocate eos, quia Dominus reprobavit illos [34]. » Item: « Audi, terra: ecce ego adducam super populum istum mala, fructum apostasiæ ipsorum; quia sermoni meo non auscultarunt, et legem meam abjecerunt [35]. » Fructus ergo apostasiæ ipsorum fuerunt, ea quæ experti sunt tristia. Qui cum ita se haberent, eorum nihilominus miserebatur Christus, « Qui omnes homines vult salvos fieri, et ad agnitionem verita-

D

[34] Jerem. VI, 30. [35] ibid. 19.

(1) Animadverte vocabulum, ut supra ad Luc. XIII, 35.

(2) Ὑπακοὴ, vel ὑπακουὴ, in ecclesiastico Græcorum sermone hymni genus est, de quo Cangius in Glossario, et citatus ab eo Goarius. Sane de hymno hic loqui Cyrillus videtur. Cæteroqui pervulgata notio vocabuli ὑπακοὴ *obedientia* est. Quamobrem haud scio an quis malet interpretari *cunctosque sibi obedientes fecit*.

(3) Adhuc manifeste theologiceque invehitur contra Nestorianos.

Digitized by Google

tis venire [36]. » Itaque « Videns, inquit, civitatem, flevit; » ut hinc cognoscamus, eum mœstum fuisse, si tamen quid hujusmodi de supremo Deo dicendum est. Sed nos haud sciremus Christum perversos illos fuisse miseratum, nisi humano **395** actu id manifestasset, quod nos eum pati cognoscere non poteramus. Nam lacryma emissa, tristitiæ indicium est. Sic etiam super Lazaro flevit, ut intelligamus moleste eum tulisse, hominis naturam in mortem incidisse. « Ipse enim omnia condidit ad immortalitatem; invidia autem diaboli, mors in orbem terrarum introivit [37]. » Reapse tamen haud superavit Dei voluntatem invidia diaboli; sed necesse fuit ut mandati transgressionem subsequeretur pœna, quæ ad exterminium conferret hominem, qui vitæ leges contempserat. Sic igitur flevisse Christum super Hierosolyma dicimus. Voluisset enim, ut dixit, eam urbem felicem videre, admissa erga Christum fide, et pace cum Deo conservata. In hoc ergo reprehendit civitatem Christus, aitque: « Si cognovisses quæ ad pacem tuam sunt! » id est, quæ utilia tibi ac necessaria sunt, ut pacem cum Deo retineas. Porro hæc erant fides, obedientia, figurarum cultusque legalis omissio, prœque eo ille qui in spiritu et veritate fit, id est per Christum.

A λει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. » Καὶ γοῦν, ἰδὼν, φησὶ, τὴν πόλιν, ἔκλαυσεν, ἵνα διὰ τούτου μάθωμεν ὅτι λελύπηται· εἴπερ ὅλως χρή τι τοιοῦτον εἰπεῖν περὶ τοῦ πάντων ἐπέκεινα Θεοῦ. Ἀλλ' οὐκ ἂν ἔγνωμεν ἡμεῖς ὅτι κακοὺς ὄντας ἠλέει, εἰ μὴ διὰ πράγματος ἀνθρωπίνου κατέστησεν ἐναργὲς, ὅπερ οὐκ ἦν ἰδεῖν πεπονθότα· δάκρυον γὰρ κατενεχθὲν, λύπης ἐστὶ σημεῖον. Οὕτω δεδάκρυκε καὶ ἐπὶ Λαζάρῳ, ἵνα συνῶμεν ὅτι λελύπηκεν αὐτὸν ἡ ἀνθρώπου φύσις πεσοῦσα πρὸς θάνατον· « Ἔκτισε γὰρ αὐτὸς ἐπὶ ἀφθαρσίᾳ τὰ πάντα· φθόνῳ δὲ διαβόλου, θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον. » Ἀλλ' οὐ γέγονε κρείττων τῶν τοῦ κτίσαντος θελημάτων ὁ τοῦ διαβόλου φθόνος· ἦν δὲ ἀναγκαῖον τῇ παραβάσει τῆς ἐντολῆς ἀκολουθῆσαι δίκην καταφέρουσαν εἰς φθορὰν B τὸν ἀτιμάσαντα νόμους ζωῆς. Οὕτω τοιγαροῦν δακρῦσαι φαμὲν αὐτὸν καὶ ἐπί γε τῇ Ἱερουσαλήμ· ἤθελε γὰρ, ὡς ἔφην, εὐδοκιμοῦσαν ὁρᾷν, διὰ τοῦ τὴν πρὸς αὐτὸν προσήκασθαι πίστιν, καὶ τὴν πρὸς Θεὸν εἰρήνην ἀσπάσασθαι. Αἰτιᾶται τοίνυν ἐπ' αὐτῷ δὴ τούτῳ Χριστὸς, καί φησιν· « Εἰ ἔγνως τὰ πρὸς εἰρήνην σου καὶ σύ· » τουτέστι, Τὰ χρήσιμά σοι καὶ ἀναγκαῖα πρὸς τὸ εἰρηνεῦσαι πρὸς Θεόν. Ταῦτα δὲ ἦν, ἡ πίστις, ἡ ὑπακοὴ, τὸ ἀπέχεσθαι τῶν τύπων καὶ τῆς ἐν νόμῳ λατρείας· ἀνθελέσθαι δὲ μᾶλλον τὴν ἐν πνεύματι καὶ ἀληθείᾳ, δῆλον δὲ ὅτι τὴν διὰ Χριστοῦ.

V. 42. *Nunc autem abscondita sunt ab oculis tuis.*

Non enim digni erant cognoscere, sive intelligere inspiratas Scripturas, quæ Christi sacramentum loquuntur. « Nam usque in hodiernum diem idem manet velamen in Veteris Testamenti lectione. Cum enim legitur Moyses, velamen supra cor illorum jacet non revelatum [38], » id est, quin agnoscant quoniam in Christo evacuatur; qui cum sit veritas, umbram destruit. Sed quia legis figuris non attenderunt, ideo veritatem non agnoverunt; indignosque se Christi salute Israelitæ ostenderunt. Propterea et sancto Dei decreto obtenebrati sunt; nempe abscondita Hierosolymorum urbi fuerunt, quæ ad pacem cum Deo fovendam conferebant, quorum prima est fides, impium justificans, et per sanctificationem atque justitiam Deo conjungens quicunque ea præditi sunt.

Νῦν δὲ ἐκρύβη ἀπὸ ὀφθαλμῶν σου.

(A f. 260 b) Οὐ γὰρ ἦσαν ἄξιοι τοῦ εἰδέναι, ἤγουν συνιέναι, τὰς θεοπνεύστους Γραφὰς, αἳ τὸ Χριστοῦ λαλοῦσι μυστήριον· « Ἄχρι γὰρ σήμερον τὸ αὐτὸ C κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς Παλαιᾶς Διαθήκης μένει· ἡνίκα γὰρ ἀναγινώσκεται Μωϋσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται· αὐτὸς γὰρ ὢν ἡ ἀλήθεια, παύει τὴν σκιάν· ἐπειδὴ δὲ τοῖς τοῦ νόμου τύποις οὐ προσεσχήκασιν, οὐ τεθέανται τὴν ἀλήθειαν· ἀναξίους ἀπέφηναν ἑαυτοὺς τῆς ἐν Χριστῷ σωτηρίας οἱ ἐξ Ἰσραήλ. Ταύτῃ τοι καὶ ὁσίᾳ ψήφῳ Θεοῦ κατεκρύπτοντο· κεκρυπται τοίνυν ἀπὸ τῆς Ἱερουσαλὴμ τὰ τῆς πρὸς Θεὸν εἰρήνης ἐμποιητικά, ὧν ἓν ἐστι καὶ πρῶτον ἡ πίστις, δικαιοῦσα τὸν ἀσεβῆ καὶ συνάπτουσα δι' ἁγιασμοῦ καὶ δικαιοσύνης τῷ παναγίῳ Θεῷ τοὺς ἔχοντας αὐτήν.

Ἀπ' ὧν οὐκ ἔγνως καιρὸν τῆς ἐπισκοπῆς σου.

V. 44. *Eo quod non cognoveris tempus visitationis tuæ.*

Cujusnam visitationis? illius, inquam, **396** quæ a communi Servatore nostro Christo peracta fuit. Jam rei exitus exploratus est. Nam qui crediderant, extra urbis excidium fuerunt, quia visitatorem Servatoremque suum agnoverunt, nihil turbata a Romanis ipsorum pace. Quare si universa pariter civitas quæ ipsius paci conducebant agnovisset, nemo captus periisset.

D

(A f. 261) Ποίας ἐπισκοπῆς; Τῆς διά γε, φημὶ, τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· καὶ φανερὰ ἡ ἔκβασις. Καὶ γὰρ οἱ πιστεύσαντες, τῆς ἁλώσεως ὑπέρτεροι γεγόνασι, γνόντες τὸν ἐλθόντα αὐτοὺς ἐπισκέψασθαι καὶ σῶσαι, καὶ ἀπὸ τῶν Ῥωμαίων εἰρήνην σχόντες· ὥστε εἰ καὶ πᾶσα ἡ πόλις ἔγνω τὰ πρὸς εἰρήνην αὐτῇ συντελοῦντα, οὐδεὶς ἂν ἐάλω.

V. 45. *Ingressus in templum cœpit ejicere vendentes in illo et ementes.*

Erat in templo colluvies hominum, pecuniæ scilicet negotiatores, et qui animalia legali ritu ma-

Εἰσελθὼν εἰς τὸ ἱερὸν ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας ἐν αὐτῷ καὶ ἀγοράζοντας.

(A f. 261 a b) Ἦν μὲν ἐν τῷ ἱερῷ πληθὺς, ἀργυραμοιβοὶ, καὶ οἱ τὰ θυόμενα κατὰ νόμον ζῶα πω-

[36] I Tim. II, 4. [37] Sap. II, 23. [38] II Cor. III, 14, 15.

Digitized by Google

λοῦντες. Ἀλλ' ἦν ἤδη καιρὸς τοῦ καταλῆξαι τὴν σκιάν, ἀναλάμψαι δὲ τὴν ἐν Χριστῷ ἀλήθειαν. Διὰ τοῦτο Χριστὸς, ἅτε δὴ μετὰ τοῦ ἰδίου Πατρὸς ἐν τῷ παρ' αὐτοῖς νεῷ τιμώμενος, συστέλλεσθαι τὰ ἐν νόμῳ προστέταχεν, οἶκον δὲ προσευχῆς ἀναδείκνυσθαι τὸν ναόν. Τὸ γὰρ ἐπιπλήττειν καὶ ἀποσοβεῖν τῶν ἱερῶν περιβόλων τοὺς τὰ εἰς θυσίαν χρήσιμα διαπιπράσκοντας, τοῦτο πάντως ἐστὶ, καὶ ἕτερον οὐδέν. — (A f. 261 b, B f. 180 b) Ὁ μὲν τῶν ὅλων Σωτὴρ καὶ Κύριος χρησίμως τοῦτο ποιεῖ, ἐμφανῆ καθιστὰς τοῖς Ἰουδαίοις τὴν ἑαυτοῦ δόξαν, ἵνα πιστεύσωσιν, ὅτι Υἱός ἐστι τοῦ Θεοῦ· ὡς γὰρ ἐξουσίαν ἔχων τοῦ ναοῦ, ἐπεμελεῖτο αὐτοῦ· καὶ δὴ καὶ ὠνόμαζε Πατέρα ἴδιον τὸν Θεόν· ὡς γὰρ ἄλλος φησὶν εὐαγγελιστὴς, τοῖς ἐμπόροις ἔφη· « Μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρός μου οἶκον ἐμπορίου. » Καὶ πάλιν· « Γέγραπται· Ὁ οἶκός μου, οἶκος προσευχῆς κληθήσεται· ὑμεῖς δὲ αὐτὸν ποιεῖτε σπήλαιον λῃστῶν. » Διὰ δὲ τοῦ ἐκβάλλειν τὰ πρὸς τὴν θυσίαν ἐπιτήδεια ζῶα, δείκνυσιν ὅτι καιρὸς λοιπὸν παύσασθαι τὴν νομικὴν λατρείαν, καὶ τὴν σκιὰν καταλῆξαι τῇ τῆς ἀληθείας παρουσίᾳ. Τὸ δὲ καὶ φραγέλλιον ἐκ σχοινίων ποιῆσαι, καὶ ἀπειλῆσαι πληγὰς ἐπανατείνειν αὐτοῖς, δηλοῖ ὅτι οἱ τὴν νομικὴν τιμῶντες λατρείαν, μετὰ τὴν τῆς ἀληθείας ἀνάδειξιν, ἅτε πνεῦμα δουλείας ἔχοντες, καὶ τὸ ἐλευθεροῦσθαι παραιτούμενοι, ὑπὸ μάστιγας ἔσονται δουλοπρεπεῖς. Ὅρα τὴν καταφρόνησιν αὐτῶν· ἐν τῷ ναῷ γὰρ ἐκαπήλευον, καὶ οἱ μὲν ἐπώλουν τὰ πρὸς θυσίαν ἐπιτήδεια τοῖς χρῄζουσι, πρόβατα λέγω, καὶ βόας, καὶ περιστερὰς, ὡς ὁ Ἰωάννης ἐδήλωσε, καὶ εἴ τι τοιοῦτον· οἱ δὲ ἠγόραζον. Κολλυβισταὶ δέ εἰσιν οἱ τραπεζῖται· κόλλυβος γὰρ ὁ ὀβολὸς (1), καὶ κολλυβίζω λέγεται τὸ καταλλάσσω (ὡς ἡ συνήθεια καταλλάσσει τὰ ὀνόματα) [hæc sunt in marg. cod. B]. Εἰσῆλθεν οὖν ὁ Χριστὸς εἰς τὸ ἱερὸν μετὰ παῤῥησίας ὡς Δεσπότης, καὶ τὴν ἐκβολὴν τῶν ῥηθέντων ἐποιήσατο, τήν τε κατὰ πάντων ἐξουσίαν ὡς Θεὸς, ἣν εἶχε, παραγυμνῶν, καὶ τῇ ἀναμαρτησίᾳ τεθαῤῥηκὼς, καὶ τοῦτο δὲ προδηλῶν τὴν ἐκβολὴν τῶν δι' αἵματος θυσιῶν, ἅμα δὲ καὶ παιδεύων ἡμᾶς ὑπὲρ τῆς Ἐκκλησίας παῤῥησιάζεσθαι. — (A f. 261 b) Ἔδει δὴ οὖν προσκυνῆσαι μᾶλλον αὐτῷ ὡς Θεῷ· οἱ δὲ τοῦτο μὲν οὐ πεπράχασιν· ἐζήτουν δὲ αὐτὸν ἀπολέσαι, ἀλλ' οὐχ εὗρισκον· ὁ γὰρ λαὸς ἐξεκρέματο αὐτοῦ ἀκούων, φορτικωτέραν τοῖς Γραμματεῦσι καὶ Φαρισαίοις καὶ ἅπασι τοῖς ἡγουμένοις τῶν Ἰουδαίων ἀποφαίνων τὴν κόλασιν, μήτε προσιεμένοις τὴν πίστιν, ἀλλὰ καὶ τοῖς ἑτέροις ἐπισκήπτουσιν.

A clanda vendebant. Sed jam tempus aderat, quo umbra desineret, veritas autem rerum Christi elucesceret. Propterea Christus, utpote in illorum templo cum suo pariter Patre cultus, cessare legalia jussit, domum vero orationis templum fieri. Nam quod increpuit sacrisque septis ejecit eos qui sacrificio idonea vendebant, id, inquam, nihil profecto aliud demonstrabat. — Communis quidem Servator ac Dominus utiliter hoc agit, suam conspicuam Judæis faciens majestatem, ut se esse Dei Filium credant. Nam tanquam templi potestatem habens, curam ejus gerebat. Quin et Deum Patrem sibi esse dicebat, atque ut alius evangelista ait, negotiatoribus dixit: « Nolite facere domum Patris mei domum negotiationis [39]. » Itemque: « Scriptum est: B Domus mea, domus orationis est; vos autem fecistis eam speluncam latronum [40]. » Dum autem idonea sacrificio animalia ejecit, demonstrat tempus jam adesse quo legalis cultus desineret, et umbræ finis fieret, ob veritatis præsentiam. Quod denique flagellum quoque de funiculis fecerit, plagasque Judæis imponere comminatus sit, id demonstrat eos, qui legalem reverebantur cultum, post veritatis manifestationem, ceu spiritum servitutis habentes, et liberari renuentes, plagis servilibus supponitum iri. Specta, sodes, sacri loci contemptum; namque in templo negotiabantur: et alii quidem vendebant idonea sacrificiis animalia, oves dico, boves, atque **397** etiam columbas, ut Joannes narrat [41], et alia C hujusmodi: alii vero emebant. Κολλυβισταὶ autem sunt mensarii; nam κόλλυβος nummus est, et κολλυβίζω dicitur negotior (sic enim solet consuetudo nomina immutare). Introiit itaque Christus in templum cum fiducia, ut Dominus, et prædicta expulit, suamque omnium rerum quam habebat potestatem revelavit: propria simul impeccantia fretus, et quia decorem domus suæ curabat, simulque denotabat cruentarum victimarum finem; denique ut nos pro Ecclesia audere doceret. — Debuerant hunc adorare ut Deum; hi vero nedum hoc facerent, ipsum potius volebant exstinguere, quod tamen haud potuerunt: etenim populus ab ejus loquentis ore pendebat; quo facto graviorem Scribis et Pharisæis et cunctis Judæorum principibus D pœnam inurebat, qui nec ipsi ad fidem accedebant, et aliis molesti erant.

ΚΕΦΑΛ. Κ'.

Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς;

(A f. 261 b, C f. 148 b, D f. 65 b) Ὁ νόμος, φη-

CAP. XX.

V. 2. *In qua potestate hæc facis?*

Moysis lex solos, ut aiebant, attingere sacerdota-

[39] Joan. II, 16. [40] Luc. XIX, 46. [41] Joan. II, 15, 16.

(1) Prorsus ut Aristophanis scholiastes ad *Pac.* 1199: Κίδος εὐτελοῦς νομίσματος· ἀντὶ τοῦ, οὐδὲ ὀβολοῦ. Pollux quoque IX, 72. εἴη δ' ἂν κόλλυβον λεπτόν τι νομισμάτιον. Sic etiam Hesychius et Thomas Magister. Agnoscunt ipsi Latini auctores. Jam quod Phrynichus ed. Paw. p. 192, reprehendit vocabulum κολλυβιστής, contra Menandri auctoritatem, scrupulosius id facere videtur; namque et Lucæ et Cyrilli exemplis confirmatur. Et quidem Cyrillus superius scribit ἀργυραμοιβός, ut vult Phrynichus, sed tamen non rejicit κολλυβιστής, quod consuetudine ita immutatum dicitur.

Digitized by Google

lia officia Levitas mandabat : ipsi res divini templi administrabant, ipsis religiosam doctrinam tradere datum erat, et sacrorum septorum commissa potestas. Tu vero, inquiebant, ex alia oriundus tribu, quippe de Judæ posteris, cur concessos nobis usurpas honores? Quis tibi hanc potestatem contulit? Atqui si inspiratas a Deo, o insipiens Pharisæe, calleres Scripturas, meminisses utique beati prophetæ Davidis universali Servatori Christo dicentis : « Juravit Dominus, et non pœnitebit eum : Tu es sacerdos in æternum secundum ordinem Melchisedec[45]. » Dic igitur, quæso, quisnam de Scribis aut Pharisæis Deo ministraverit secundum ordinem Melchisedeci, **398** qui Abrahamo benedixit decimasque obtulit? Ut autem sapientissimus scribit Paulus, « Sine ulla contradictione quod minus est a meliore benedicitur[46]. » Ergo radix atque origo Israelitarum, id est, progenitor Abrahamus, a Melchisedeci sacerdotio benedictionem retulit. Figura autem erat Melchisedec, ejusque sacerdotium, communis Servatoris Christi, qui factus est nobis pontifex et apostolus[47], Deo Patri offerens credentes in ipsum, per cultum qui supra legem est, perficiens sanctificationem. Cur ergo ægre fers, quod sacris septis quæ sacrificiis legalibus utilia sunt expulerit? quod ad superiorem figuris vitam, veramque in fide justificationem invitet? quod denique evangelici moris viam demonstret? Objicis, sodes, legislatori legis abrogationem, et quod propriis non obediat mandatis? Atqui supra omnem legem Deus est. Nam qui leges non tam sui quam nostri causa tulit, tempore idoneo imperata pro libito immutat, et in meliora convertit. Jam ergo tempus aderat quo figuræ desinerent, et meliora nobis patefierent. Propterea dixit Deus Isaiæ (1) voce : « Et dissipabuntur legitima populi mei : » lex enim fit cassa, novo subeunte instituto quod ipse ore proprio Filius nobis edisseruit. — Propterea his quoque interrogantibus, « In qua potestate hæc facis? » occurrit Servator, illata de Joannis baptismo mentione. Illi autem veritatem fugiunt, et impie agere non verentur. Deus quidem Pater præmisit beatum Baptistam clamantem : « Parate viam Domini, rectas facite semitas Dei nostri[48]. » De quo sapientissimus quoque evangelista dicit : « Hic venit in testimonium, ut testimonium perhiberet de lumine[49]. » Testatus est autem dicens : « Hic est qui baptizat in Spiritu sancto, » et : « Ipse Filius Dei est[50]. » Idoneus itaque testis de Christo magnus beatus Baptista. Quia vero consuetudo erat Judæorum obtrectandi prophetis, quasi a Deo **399** minime missis, interrogavit Christus, quamnam ipsi de Baptista opinionem gererent? At illi veritatem quidem dicere metuerunt, ne forte audirent : Cur ergo ei non credidistis? Ab

A σιν, ὁ διὰ Μωϋσέως μόνους ἐκέλευσε τῶν ἱερῶν ἅπτεσθαι σπουδασμάτων, τοὺς ἐξ αἵματος Λευΐ· αὐτοὶ διατάττουσι τὰ ἐν τῷ θείῳ ναῷ, αὐτοῖς δέδοται τὸ μυσταγωγεῖν, καὶ ἡ τῶν ἱερῶν περιβόλων ἐξουσία. Σὺ δὲ πῶς ἐξ ἑτέρας ὑπάρχων φυλῆς, (γέγονας γὰρ ἐξ Ἰούδα) τὰς ἡμῖν ἐκνεμηθείσας ἁρπάζεις τιμάς; — (A f. 262) Τίς σοι δέδωκε τὴν ἐξουσίαν ταύτην; Ἀλλ' εἰ τὰς θεοπνεύστους ᾔδεις Γραφάς, ὦ ἀσύνετε Φαρισαῖε, ἐμνήσθης ἂν λέγοντος τοῦ μακαρίου προφήτου Δαβὶδ πρὸς τὸν τῶν ὅλων Σωτῆρα Χριστόν· « Ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται. Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν τοῦ Μελχισεδέκ. » Φράζε δὴ οὖν, τίς ἐκ τῶν Γραμματέων ἢ Φαρισαίων λειτούργησε τῷ Θεῷ κατὰ τὴν τάξιν Μελχισεδέκ, ὃς ηὐλόγησέ τε καὶ δεδεκάτωκε τὸν Ἀβραάμ; Ὡς δὲ ὁ

B πάνσοφος γράφει Παῦλος, « Χωρὶς πάσης ἀντιλογίας τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. » Οὐκοῦν ἡ ῥίζα καὶ ἡ ἀπαρχὴ τῆς γενέσεως τῶν ἐξ Ἰσραὴλ, τουτέστιν, ὁ προπάτωρ Ἀβραάμ, ὑπὸ τῆς τοῦ Μελχισεδὲκ ἱερωσύνης ηὐλόγηται. Τύπος δὲ ἦν ὁ Μελχισεδὲκ, καὶ ἡ κατ' αὐτὸν ἱερωσύνη, τοῦ πάντων Σωτῆρος Χριστοῦ, ὃς γέγονεν ἡμῖν ἀρχιερεὺς καὶ ἀπόστολος, προσάγων τῷ Θεῷ καὶ Πατρὶ τοὺς πεπιστευκότας εἰς αὐτὸν, διὰ [τῆς] ὑπὲρ νόμον λατρείας τελειῶν εἰς ἁγιασμόν. Τί τοίνυν ἀσχάλλεις, Φαρισαῖε, τῶν ἱερῶν περιβόλων ἐκπεμπομένων, ὅσα ταῖς κατὰ νόμον θυσίαις ἦν χρήσιμα, καλοῦντος εἰς τὴν ἐπέκεινα τύπων ζωὴν, καὶ εἰς ἀληθῆ δικαίωσιν, τὴν διὰ πίστεως δηλονότι τῆς εἰς Χριστὸν, καὶ παρατιθέντος

C τῆς εὐαγγελικῆς πολιτείας τὴν ὁδόν; Ἐγκαλεῖς, εἰπέ μοι, τῷ νομοθέτῃ τοῦ νόμου τὴν λύσιν, καὶ ὅτι μὴ ταῖς ἰδίαις ἠκολούθησεν ἐντολαῖς; Ἀλλὰ νόμου παντὸς ἐπέκεινα Θεός· ὁ γὰρ τοὺς νόμους οὐχ ἑαυτῷ μᾶλλον ἀλλ' ἡμῖν ὁρισάμενος, μεθίστησι κατὰ καιροὺς ἐφ' ὅπερ ἂν βούλοιτο τὰ διατεταγμένα, ἀναφέρων εἰς βελτίονα. Ἦν οὖν καιρὸς τοῦ παύσασθαι τὰ ἐν τύποις, ἀναδειχθῆναι δὲ τὰ κρείττονα. Καὶ τοῦν ἔφη που Θεὸς διὰ φωνῆς Ἡσαΐου· « Καὶ ἀφανισθήσεται νόμιμα λαοῦ μου· » Ἤργησε γὰρ τῆς νέας ἐντολῆς ἀναδεδειγμένης, ἣν δι' ἑαυτοῦ λελάληκεν ἡμῖν

D ὁ Υἱός. — (A f. 262, B f. 181 b) Κατὰ ταῦτα καὶ τούτοις ἐρωτῶσιν, « Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; » ἀνθυπήνεγκεν ὁ Σωτὴρ τὰ περὶ τοῦ βαπτίσματος Ἰωάννου. Οἱ δὲ φεύγουσι τὴν ἀλήθειαν, καὶ δυσσεβοῦντες οὐ καταπεφρίκασιν. Ὁ μὲν γὰρ Θεὸς καὶ Πατὴρ προαπέστειλε τὸν μακάριον Βαπτιστὴν διακεκραγότα· « Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν. » Περὶ οὗ φησι καὶ ὁ σοφωτατος εὐαγγελιστής· « Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. » Μεμαρτύρηκε δὲ λέγων, ὅτι « Οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ· » καὶ ὅτι « Αὐτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ. » Ἀξιόχρεως μὲν οὖν εἰς μαρτυρίαν τὴν ἐκὰ Χριστῷ, μέγας ὢν, ὁ μακάριος Βαπτιστής. Ἐπειδὴ

[45] Psal. cix, 4. [46] Hebr. vii, 7. [47] Hebr. iii, 1. [48] Isa. xl, 3; Luc. iii, 4. [49] Joan. i, 7. [50] Joan. i, 33, 34.

(1) Imo dicendum est *Michææ* vi, 15. Alias hujusmodi alibi fecimus emendationes.

Digitized by Google

δὲ ἔθος ἦν τοῖς Ἰουδαίοις διαβάλλειν τοὺς προφήτας, ὡς οὐκ ἀπεσταλμένους παρὰ Θεοῦ, ἤρετο Χριστὸς, ὁποίαν περὶ τοῦ Βαπτιστοῦ τὴν δόξαν ἐσχήκασιν. Οἱ δὲ δεδίασι μὲν εἰπεῖν τὸ ἀληθὲς, ἵνα μὴ ἀκούσωσι· Διὰ τί μὴ ἐπιστεύσατε αὐτῷ; Φεύγουσι δὲ τὸ κατηγορεῖν τοῦ Προδρόμου, δεδιότες οὐ Θεὸν, ἀλλὰ τοὺς Ἰωάννου προσεποιοῦντο, καὶ ἐκακούργουν, εἰκότως

A accusando autem Præcursore abstinent, non Dei sed populi timore. Jam quia se nescire undenam esset Joannis baptismus simulabant, malitioseque agebant, merito nihil eis responsum fuit.

Ἄνθρωπός τις ἐφύτευσεν ἀμπελῶνα, κ. τ. λ.

(A f. 262, B f. 182, C f. 149, D f. 66) Ὅλην εὑρήσει τις τὴν ἐπί γε τοῖς υἱοῖς Ἰσραὴλ ἱστορίαν ἐν τούτοις, ὡς ἐν βραχέσι συνενηνεγμένην. Ἀμπελὼν γὰρ, ὁ Ἰσραὴλ, ὡς ὁ Ψαλμῳδός φησιν· « Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας, ἐξέβαλες ἔθνη, καὶ κατεφύτευσας αὐτήν. » Καὶ ὁ Ἡσαΐας· « Ἀμπελὼν ἐγενήθη, φησὶ, τῷ ἠγαπημένῳ. » Τοῦτον τὸν ἀμπελῶνα φυτεύσας ἐν τῇ γῇ τῆς ἐπαγγελίας ὁ Θεὸς καὶ Πατὴρ (τοῦτον γὰρ ἄνθρωπον νῦν λέγει διὰ τὸ φιλάνθρωπον καὶ τὸ τῆς παραβολῆς ἔθος), ἀπεδήμησε χρόνους ἱκανούς· καίτοι πληροῖ τὰ πάντα, ἀπολιμπάνεται δὲ τῶν ὄντων οὐδενός· πῶς οὖν ἀπεδήμησε; Μετὰ τὸ ὀφθῆναι ἐν εἴδει πυρὸς καταβεβηκὼς ἐπὶ τὸ ὄρος τὸ Σινᾶ, καὶ τὴν ἄῤῥητον μορφὴν ἐμφανῆ δεῖξαι αὐτοῖς, οὐκέτι τὴν αὐτοῦ παρουσίαν ὀφθαλμοφανῆ δέδωκεν αὐτοῖς, ἀλλ' ὡς κατά γε τὸν τύπον τῶν ἀνθρωπίνων πραγμάτων, ἔοικέ πως ἀποδημίᾳ μακρᾷ τὸ γεγενημένον. Πλὴν ὁρᾶται πεφροντικὼς τοῦ χωρίου, καὶ εἰς νοῦν ἔχειν αὐτό· οὐδεὶς γὰρ γέγονε διὰ μέσου καιρὸς, καθ' ὃν οὐκ ἀπεστέλλοντο παρὰ τοῦ Θεοῦ προφῆται καὶ δίκαιοι νουθετοῦντες· ἀλλ' ᾗ φησιν Ἱερεμίας· « Ἰδοὺ τὸ ῥῆμα Κυρίου ἐγενήθη αὐτοῖς εἰς ὀνειδισμόν· οὐ μὴ βουληθῶσιν αὐτοῦ ἀκοῦσαι. » Γεγόνασιν ἀπειθεῖς, καὶ ἀτιμάσαντες τοὺς ἀπεσταλμένους, ἐξαπέστειλαν κενούς. Διαλογίζεται δὲ καθ' ἑαυτὸν ὁ τοῦ ἀμπελῶνος δεσπότης, λέγων· « Τί ποιήσω; » Οὐχ ὡς ἑτέρων ἀπορήσας οἰκετῶν, τὸ, « Τί ποιήσω; » φησὶν· οὐ γὰρ ἂν ἐπέλειψαν αὐτῷ τῶν ἁγίων αὐτοῦ θελημάτων οἱ ὑπουργοί· ἀλλ' ὡς πάσης ἰατρικῆς μεθόδου γεγενημένης, ὠφεληθέντος γε μὴν ἐκείνου μηδέν. Εἶτά φησι τὸ ἐντεῦθεν· « Πέμψω τὸν υἱόν μου τὸν ἀγαπητόν· ἴσως τοῦτον ἐντραπήσονται. » Οἱ δὲ ἐπαγωνίζονται τοῖς μιάσμασιν, ἀεὶ τὰ πρότερα τοῖς δευτέροις ἀποκρύπτοντες· ὃ καὶ αὐτὸς δηλῶν ἔλεγε· « Πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν. » Ἄνωθεν γὰρ αὐτοῖς ταῦτα ἐνεκάλουν οἱ προφῆται, λέγοντες· « Αἱ χεῖρες ὑμῶν, αἱμάτος πλήρεις. » Καί· « Αἵματα ἐφ' αἵμασι μίσγουσι. » Καί· « Οἰκοδομοῦντες Σιὼν ἐν αἵμασιν. » Ἀλλ' οὐκ ἐσωφρονίζοντο, καίτοι ταύτην πρώτην λαβόντες τὴν ἐντολήν, τὸ, « Οὐ φονεύσεις· » καὶ διὰ πολλῶν καὶ παντοδαπῶν, εἰς τὴν φυλακὴν τῆς ἐντολῆς ταύτης ἐναγόμενοι. Ἀλλ' ὅμως τὴν πονηρὰν ἐκείνην οὐκ ἀπέθεντο συνήθειαν· ἀλλὰ μετὰ τοὺς προφήτας, καὶ τὸν φύσει Υἱὸν ἀπεκτόνασιν. — (A f. 263 l) Ἐκβέβληνται τοίνυν οἱ τῶν Ἰουδαίων ἡγούμενοι, ὡς καὶ Δεσποτικοῖς θελήμασιν ἀντενηνεγμένοι, καὶ ἄκαρπον ἀποφήναντες τὸν ἐγχειρισθέντα αὐτοῖς

V. 9. *Homo quidam plantavit vineam*, etc.

Totam possumus comperire filiorum Israelis his verbis breviter comprehensam historiam. Nam vinea est Israel, ut ait Psalmista : « Vitem ex Ægypto transtulisti, ejecisti gentes, et plantasti eam [48]. » Præterea Isaias : « Vinea facta est, inquit, dilecto [48a]. » Hanc vineam postquam plantavit in terra promissionis Deus Pater (hic enim dicitur hoc loco B homo, propter suam erga homines benignitatem, et ob parabolæ morem), peregre fuit annis multis. Atqui Deus omnia implet, nulloque loco abest; quomodo ergo peregre fuit? Ex quo olim sub ignis specie in montem Sinam descenderat, arcanamque formam suam Hebræis visibilem ostenderat, haud ulterius præsentem se illorum oculis exhibuerat; ita ut more loquendi humano videretur in longinqua peregrinatione versari. Attamen loci ejus curam gessisse agnoscitur, et mente haud pepulisse; nullum enim fuit intermedium tempus, quo Deus prophetas justosque homines non miserit ad populum admonendum. Sed enim, ut ait Jeremias : « Ecce verbum Domini factum est eis in opprobrium; nolunt id audire [49]. » Obtemperare renuerunt, missosque ad se homines, vacuos remiserunt. Reputat autem secum vineæ Dominus dicens : « Quid faciam? » Non quod nullos præterea haberet famulos, ait, « Quid faciam? » nunquam enim deerunt sanctæ ejus voluntatis ministri : sed quia omnem medelæ rationem insumpserat, quin tamen utilitatis aliquid consequeretur. Deinde ait quod sequitur : « Mittam filium meum dilectum; fortasse hunc verebuntur. » Illi **400** vero augendis piaculis certant, priora semper posterioribus superantes. Quod Christus significavit dicens : « Implete mensuram patrum vestrorum [50]. » Antiquitus enim hoc illis imputabant prophetæ aientes : « Manus vestræ sanguine plenæ sunt [51]. » Item : « Sanguines sanguinibus misti sunt [52]. » Item : « Qui ædificatis Sionem in sanguinibus [53]. » Neque idcirco emendati sunt, etsi hoc præcipue in mandatis habebant : « Non occides [54]; » multisque aliis ac variis monitionibus ad hujus præcepti observantiam impulsi fuerant. Nihilo tamen minus perversam illam consuetudinem nunquam dimiserunt; sed post prophetas, naturalem quoque Dei Filium interemerunt. Ejecti ergo fuerunt Judæorum duces, ceu qui Dominicis voluntatibus adversati erant, et commissam ipsis vineam effecerant infructuosam : prædium autem sacerdotibus novi fœderis traditum est. Quæ cum Scribæ ac Pharisæi au-

[48] Psal. LXXIX, 9. [48a] Isa. V, 1. [49] Jerem. VI, 10. [50] Matth. XXIII, 32. [51] Isa. I, 15. [52] Osee IV, 2. [53] Mich. III, 10. [54] Exod. XX, 13; Matth. V, 21.

Digitized by Google

dissent, dixerunt: Absit! Hinc patet intellexisse eos ænigmatis profunditatem, calamitatem a se deprecatos, et de futuris non sine metu fuisse. Sed malos casus non effugerunt, propter suam indomitam contumaciam, et quia Christo credere noluerunt.

A ἀμπελῶνα. Ἐκδίδοται δὲ τὸ χωρίον τοῖς τῆς καινῆς διαθήκης ἱερουργοῖς. Οἱ δὲ Γραμματεῖς καὶ Φαρισαῖοι ἀκούσαντες, ἔφησαν· Μὴ γένοιτο. Ἐντεῦθεν ἔστιν ἰδεῖν, ὅτι συνιέντες τῶν αἰνιγμάτων τὸ βάθος, ἀποσείονται τὸ παθεῖν, καὶ δεδοίκασι τὸ ἐσόμενον· ἀλλ' οὐκ ἔξω γεγόνασι αὐτοῦ, διὰ τὸ ἀκάθεκτον εἰς παρακοὴν, καὶ τὸ μὴ ἀνέχεσθαι πιστεῦσαι Χριστῷ.

V. 17. *Lapidem quem reprobaverunt ædificantes*, etc.

Lapidem seipsum appellat, ædificatores vero magistros Judæorum. Et quidem etiam Ezechiel dicit: « Ædificantes parietem, et linientes absque compagine[55]. » Reprobatus autem fuit, quanquam lapis esset electus Servator, ab iis qui omni ope juvare debuerant, id est, a Judæorum Synagoga. B « Sed factus est in caput anguli. » Angulo autem sacra Scriptura comparat conjunctionem, id est, concordiam et copulam et communem fidem duorum populorum, Israelitici, inquam, et ethnici. Condidit enim Servator duos populos in unum hominem, pacem faciens, et reconcilians ambos in uno corpore Patri[56]. Hæc ergo res similis est quodammodo angulo duos parietes conjungenti. Hunc miratur angulum, sive duorum populorum conjunctionem beatus David **401** dicens: « Lapidem quem reprobaverunt ædificantes, hic factus est in caput anguli: a Domino factum est istud (id est anguli negotium), et est mirabile ante oculos nostros[57]. » Itaque salutaris quidem est lapis angulo, quem C Deus construxit; contritio autem et exitium illis, qui extra hunc intellectualem spiritalemque conventum manserunt. Nam scandalum in Christo passus, in eumque impingens, Judæorum populus, contritus est. Audire noluit Isaiæ vocem dicentem: « Dominum ipsum sanctificate; ipse erit pavor tuus; et ne tanquam ad lapidem offensionis petramque lapsus impingatis in eum[58]. » Lapis itaque offensionis incredulis ethnicis Christus, petra autem scandali Judæis, nobis denique credentibus lapis fundamenti, totam Ecclesiæ crepidinem constringens: petra ob firmitatem et infallibilitatem fidei, cui allisi hæreseon fluctus in spumam solvuntur. Matthæus quidem reliqua etiam prophetiæ parte recitata, « A Domino factum est istud, » et cætera; tum prosecu- D tus, « Ideo dico vobis, auferetur a vobis regnum Dei, et dabitur genti facienti fructus ejus, » subjungit: « Et qui ceciderit super lapidem istum, confringetur, » et reliqua[59]. Est ergo apud Matthæum accurata rei enuntiatio; apud Lucam vero, compendium. Atque apud cunctos evangelistas hujusmodi institutum comperimus, dum rem quisque modo latius, modo brevius narrat.

Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, κ. τ. λ.

(A f. 264, B f. 183 b, C f. 149 b) Λίθον ἑαυτὸν καλεῖ καὶ οἰκοδόμους τοὺς τῶν Ἰουδαίων διδασκάλους. Καὶ Ἰεζεκιὴλ φησιν· « Οἰκοδομοῦντες τὸν τοῖχον, καὶ ἀλείφοντες ἀναρτύτως. » Ἀπεδοκιμάσθη δὲ καίτοι λίθος ὢν ἐκλεκτὸς ὁ Σωτὴρ παρὰ τῶν ὀφειλόντων ὠφελεῖν διὰ πάσης ὠφελείας, δηλονότι τῆς τῶν Ἰουδαίων συναγωγῆς· ἀλλὰ γέγονεν εἰς ὁμοψυχίαν τε καὶ ὁμοπιστίαν τῶν δύο λαῶν, φημὶ δὲ τοῦ Ἰσραὴλ τε καὶ τοῦ ἐξ ἐθνῶν· ἔκτισε γὰρ ὁ Σωτὴρ τοὺς δύο λαοὺς εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάσσων τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι πρὸς τὸν Πατέρα. Ἔοικε τοίνυν τὸ χρῆμα γωνίᾳ δύο τοίχους συναπτούσῃ. Ταύτην τεθαύμακε τὴν γωνίαν, ἤτοι τῶν δύο λαῶν τὴν εἰς ταυτότητα σύνοδον, ὁ μακάριος Δαβὶδ λέγων· « Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· παρὰ Κυρίου ἐγένετο αὕτη, » ἡ γωνία δηλονότι, « καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. » Οὐκοῦν σωτήριος μὲν ὁ λίθος τῇ γωνίᾳ τῇ παρ' αὐτοῦ γεγενημένῃ, συντριβὴ δὲ καὶ ὄλεθρος τοῖς ἔξωθεν μεμενηκόσι τῆς νοητῆς ταύτης καὶ πνευματικῆς συνδρομῆς· σκανδαλισθέντες γὰρ ἐπὶ Χριστῷ, καὶ προσπταίσαντες αὐτῷ τῶν Ἰουδαίων οἱ δῆμοι συνετρίβησαν. Οὐ γὰρ ἤθελον ἀκοῦσαι τῆς Ἡσαΐου φωνῆς λεγούσης· « Κύριον αὐτὸν ἁγιάσατε, καὶ αὐτὸς ἔσται σοι φόβος, καὶ οὐχ ὡς λίθου προσκόμματι συναντήσετε αὐτῷ, οὐδὲ πέτρας πτώματι. » Λίθος μὲν οὖν προσκόμματος τοῖς ἀπίστοις ἐθνικοῖς ὁ Χριστὸς, πέτρα δὲ σκανδάλου τοῖς Ἰουδαίοις, τοῖς δὲ πιστοῖς ἡμῖν λίθος τοῦ θεμελίου, τῆς Ἐκκλησίας πᾶσαν τὴν κρηπῖδα συνέχων· καὶ πέτρα διὰ τὸ στερρὸν καὶ ἄπτωτον τῆς ὁμολογίας, ᾗ προσαραττόμεναι αἱ τρικυμίαι τῶν αἱρέσεων εἰς ἀφρὸν διαλύονται. Ὁ μέντοι Ματθαῖος καὶ τὸ λειπόμενον τῆς προφητείας εἰπὼν, τὸ, « Παρὰ Κυρίου ἐγένετο αὕτη, » καὶ τὰ ἑξῆς· εἶτα εἰπών· « Διὰ τοῦτο λέγω ὑμῖν, ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς· » τότε ἐπήγαγεν· « Καὶ ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον συνθλασθήσεται, » καὶ τὰ ἑξῆς. Ἔστι τοίνυν τὰ μὲν τοῦ Ματθαίου, ἀκρίβεια ἀπαγγελίας· τὰ δὲ τοῦ Λουκᾶ, συντομία· καὶ παρὰ πᾶσι δὲ τοῖς εὐαγγελισταῖς εὑρίσκομεν τὴν τοιαύτην οἰκονομίαν, ἑκάστου αὐτῶν ποτὲ μὲν ἀκριβῶς, ποτὲ δὲ συντόμως ἀπαγγέλλοντος.

V. 19. *Quærebant principes sacerdotum et Scribæ mittere in illum manus.*

Iterum exarsit in immanem iram officina Phari-

Ἐζήτησαν οἱ ἀρχιερεῖς καὶ οἱ Γραμματεῖς ἐπιβαλεῖν ἐπ' αὐτὸν τὰς χεῖρας.

(A f. 264, C f. 149 b) Ἐξεκαύθη πάλιν εἰς ἀχα-

[55] Ezech. III, 10. [56] Ephes. II, 15. [57] Psal. CXVII, 22, 23. [58] Isa. VIII, 13. [59] Matth. XXI, 42, 43.

Digitized by Google

λίνους ὀργὰς τὸ τῶν Φαρισαίων ἐργαστήριον, καὶ ἀποκτεῖναι βούλονται τὸν ἐπὶ λύσει θανάτου γενόμενον ἄνθρωπον· ἀλλὰ διέκοψεν αὐτῶν τὸ ἀνόσιον ἐγχείρημα ὁ τοῦ λαοῦ φόβος· οὐ γὰρ τῆς εἰς Θεὸν εὐσεβείας ἦν αὐτοῖς ὁ λόγος· οὐδὲ γέγονεν αὐτοῖς χαλινὸς ἡ διὰ Μωϋσέως ἐντολὴ λέγουσα· « Ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς· » προτιμῶσι δὲ μᾶλλον τῆς εἰς Θεὸν αἰδοῦς τὸν ἀνθρώπινον φόβον. Ποία δὲ αὐτοῖς ἐστιν ἡ αἰτία καὶ τῆς μανίας ἡ πρόφασις; Ἔγνωσαν, φησὶν, ὅτι πρὸς αὐτοὺς εἶπε τὴν παραβολὴν ταύτην. Καίτοι πῶς οὐ μᾶλλον ἐχρῆν μεμαθηκότας τὸ ἐσόμενον, ἔξω φέρεσθαι τοῦ κακοῦ, καὶ τῇ πίστει τιμῆσαι τὸν δικαιοῦντα τὸν ἀσεβῆ, καὶ ἀμνησικάκῳ χάριτι διασώζοντα τοὺς ταῖς ἁμαρτίαις ἐνισχημένους; Ἀλλ' οὐδὲν τῶν τοιούτων ὑπολογισάμενοι, συκοφαντίας τῆς κατ' αὐτοῦ συλλέγουσιν ἀφορμάς.

A sæorum, et interficere volunt eum qui ob mortem destruendam homo factus est. Sed abrupit impium illorum molimen timor a populo : alioqui nullam ipsi pietatis erga Deum rationem habebant. Neque illis frenum ullum injiciebat Moysis præceptum : « Insontem et justum non occides [40]. » Sed divinæ reverentiæ anteponunt hominum timorem. Quanam vero causa sic permoventur; quive tanti furoris prætextus **402** est? Cognoverunt, inquit evangelista, Christum in ipsos similitudinem hanc dixisse. Quidni vero potius oportuisset, re futura intellecta, eripere semet malo, ac fide honorare illum qui impium justificat, suaque gratia culparum immemore peccatis implicitos salvat? Sed nihil hujusmodi reputantes, calumniandi tantummodo occasiones captant.

B

Καὶ παρατηρήσαντες ἀπέστειλαν ἐγκαθέτους, ὑποκρινομένους ἑαυτοὺς δικαίους, κ. τ. λ.

(A f. 264, C f. 149 b, D f. 67) Καθῆκάν τινας ἐπιεικείας δόκησιν ἔχοντας, πονηροὺς δὲ ὄντας τὸν τρόπον· ἐπιλαθόμενοι τοῦ εἰπόντος Θεοῦ· « Τίς οὗτος ὁ κρύπτων με βουλὴν, συνέχων δὲ ῥήματα ἐν καρδίᾳ, ἐμὲ οἴεται κρύπτειν; » ὡς ἀνθρώπῳ προσιόντες κοινῷ τῷ πάντων Σωτῆρι Χριστῷ· ἀλλ' ἦν ἄμεινον ἐννοεῖν, ὅτι γέγονε μὲν ἐν ὁμοιώσει τῇ πρὸς ἡμᾶς Θεὸς ὢν ὁ Λόγος· ἀπὸ δέ γε τῆς ὑπὲρ λόγον θεοσημείας καὶ ἀπὸ δόξης τῆς θεοπρεποῦς, οὐκ ἄνθρωπος ὢν μόνον διεδείκνυτο, ἀλλὰ καὶ Θεός. Τί δὲ δή φασιν;

V. 20. *Et observantes miserunt insidiatores, qui se justos simularent*, etc.

Submiserunt quosdam bonitatis speciem habentes, reapse autem improbos. Qua in re immemores fuerunt Dei dicentis : « Quis est iste qui me consilium suum celat? qui verba corde cohibens, putat me latere [41]? » Communem veluti ad hominem, accedunt ad omnium Servatorem Christum. Melius autem erat reputare, factum fuisse in similitudinem nostram qui Deus erat Verbum ; atque ab ineffabili miraculorum vi, gloriaque Deo digna, non hominem tantummodo, sed Deum esse demonstrari. Quid porro aiunt?

C

Καὶ ἐπηρώτησαν αὐτὸν, λέγοντες· Διδάσκαλε, οἴδαμεν ὅτι ὀρθῶς λέγεις καὶ διδάσκεις, κ. τ. λ.

(A f. 264 b, C f. 149 b) Ἤθελε μὲν γὰρ ὁ Θεὸς ἀνθρωπίνης δυναστείας ἐλεύθερον εἶναι τὸν Ἰσραήλ· ἐπειδὴ δὲ τοὺς θείους πεπατήκασι νόμους, γεγόνασιν ὑπὸ χεῖρα Ῥωμαίων, οἳ καὶ δασμοὺς ἐπέθηκαν αὐτοῖς. Ἐζήτουν τοίνυν παραδοῦναι αὐτὸν τῇ ἐξουσίᾳ τοῦ ἡγεμόνος· προσεδόκησαν γὰρ ὅτι πάντη καὶ πάντως ἀκούσονται λέγοντος· Οὐκ ἔξεστι φόρους δοῦναι Καίσαρι. Τί οὖν φησιν πρὸς αὐτοὺς ὁ τὰς καρδίας εἰδὼς τῶν ἀνθρώπων; Κατανοήσας αὐτῶν τὴν πανουργίαν, « Ἐπιδείξατέ μοι δηνάριον, » ἔφη. Ἐπιδειχθέντος δὲ, πάλιν ἤρετο· « Τίνος ἔχει εἰκόνα καὶ ἐπιγραφήν; » Οἱ δὲ, « Καίσαρος, » φασίν. Καὶ τί πρὸς ταῦτα Χριστός; « Ἀπόδοτε τὰ Καίσαρος, Καίσαρι· καὶ τὰ τοῦ Θεοῦ, τῷ Θεῷ. » Χρημάτων μὲν γὰρ δασμοὺς ὑποῤῥίπτουσι τοῖς ὑπεζευγμένοις οἱ τὴν κατ' αὐτῶν λαχόντες ἀρχήν· οὐκ ἀπαιτεῖ δὲ παρ' ἡμῶν ὁ Θεὸς δηνάριον, ἀλλὰ πίστιν καὶ ἀγάπην, καὶ τὴν ἐξ ἔργων ἀγαθῶν εὐοσμίαν. Οὐκοῦν τεθαυμάκασι μὲν τὴν ἀπολογίαν, καὶ τοῦτο ἐπὶ παντὸς τοῦ λαοῦ, ἐφ' οὗ καὶ ἠρώτων· ὡς μείζονα γενέσθαι τὴν ἁμαρτίαν. Οἱ δὲ καὶ τούτων εἰς λήθην ἐνηνεγμένοι, Πιλάτῳ προσῆγον τὸν Ἰησοῦν φάσκοντες· « Τοῦτον εὕρομεν διαστρέφοντα τὸν λαὸν, καὶ κωλύοντα φόρους διδόναι Καίσαρι. » Καὶ ὅμως θαυμάσαντες τὴν ἀπολογίαν, ἀπῆλθον κατησχυμμένοι.

V. 21. *Et interrogaverunt eum dicentes : Magister, scimus quia recte dicis ac doces*, et reliqua.

Voluisset quidem Deus humano dominatu liberum esse Israelem ; sed postquam divinas conculcaverunt leges, sub Romanorum manum venerunt, qui et illis tributa imposuerunt. Moliebantur itaque ipsum tradere præsidis potestati; namque exspectabant prorsus se a Christo audituros, tributum Cæsari pendere non licere. Quid ergo his respondit, ille qui corda hominum novit? Cognita ipsorum malitia, « Ostendite mihi, inquit, denarium. » Quo ostenso, rursus ait : « Cujus habet imaginem et inscriptionem? » Dicunt, « Cæsaris. » Quid vero ad hæc Christus? « Reddite ergo quæ sunt Cæsaris Cæsari, et quæ sunt Dei Deo. » Nam pecuniæ tributa imponunt subjectis ii qui cum imperio sunt. A nobis vero exigit Deus non denarium, sed fidem et charitatem, et bonorum odorem operum. Quamobrem mirati sunt responsum, et quidem **403** coram universo populo, quo præsente interrogaverant ; ita ut jam majus peccatum fieret. Quippe illi horum omnium obliti, ad Pilatum pertraxerunt Jesum dicentes : « Hunc invenimus subvertentem turbas, et prohibentem tributa dare Cæsari [42]. » Nihilominus nunc responsum admirati, recesserunt.

D

[40] Exod. xxiii, 7. [41] Job xli, 3. [42] Luc. xxiii, 1.

Digitized by Google

V. 27. *Accedentes autem quidam Sadducæorum*, etc.

Qualis fuerit Sadducæorum hæresis, declaravit in Actibus (Lucas) ita scribens : « Sadducæi dicunt non esse resurrectionem, neque angelum, neque spiritum; Pharisæi autem utraque confitentur [62]. » Accedunt ergo ad communem nostrum Servatorem Christum, qui vita et resurrectio est, et tamen de medio tollere conantur resurrectionem. Cumque sint contumeliosi et increduli, plenum stultitiæ commentum afferunt. Videamus jam quid ipsis dixerit Christus, eos refutans, qui in risum trahere resurrectionem volebant septem fratrum figmento qui uni uxori præmortui fuerant. Filii quidem, inquit, hujus sæculi, id est, qui mundanam corporalemque vitam vivunt, liberorum suscipiendorum causa nubunt. Sed qui nobilem et bonorum operum plenam vitam recte egerint, et deinde gloriosa resurrectione digni habiti fuerint, hi excelsiores prorsus erunt hac mundana vita : etenim vivent prout sanctos decet, et jam Deo facti sunt proximi : pares quippe angelis sunt, filiique Dei, et eum qui spiritus sanctos decet cultum Deo exhibent. Ac veluti angelica multitudo plurima quidem est, quin tamen generando sit aucta, sed ex creatione consistit; sic qui resurgunt, futuri sunt ; neque ulterius nuptiarum usus erit. Etenim hic quidem, postquam Adamus peccando immortalitatis gratiam amisit, liberorum procreatione conservatur generis successio; quod subsidium ab omnia prævidente Deo jam inde ab initio præparatum fuit. Nam cum hominem faceret, masculum feminamque fecit. Nos vero tunc erimus conditioni nostræ **404** superiores, deposita corruptela, spiritale corpus habentes, id est, quod sola spiritus officia peragat. Tunc item mens nobis non erit ad vitium proclivis; conservante nos in sua voluntate Creatore, per sanctum Spiritum, eo prorsus modo quo angelos.

A *Προσελθόντες δέ τινες τῶν Σαδδουκαίων*, κ. τ. λ

(A f. 265, C f. 150) Ὁποία τις ἡ τῶν Σαδδουκαίων αἵρεσις, διεσάφησεν ἐν ταῖς Πράξεσιν, ὧδί γεγραφώς· « Σαδδουκαῖοι μὲν γὰρ λέγουσι μὴ εἶναι ἀνάστασιν, μήτε ἄγγελον, μήτε πνεῦμα· Φαρισαῖοι δὲ ὁμολογοῦσι καὶ ἀμφότερα. » Προσίασι τοίνυν τῷ πάντων ἡμῶν Σωτῆρι Χριστῷ, ὃς ἐστι ζωὴ καὶ ἀνάστασις, καὶ ἀναιρεῖν πειρῶνται τὴν ἀνάστασιν· ὑβρισταὶ δὲ ὄντες καὶ ἄπιστοι, πλάττουσί τι μεστὸν ἀμαθίας. Ἴδωμεν δὲ ἅπερ ἔφη Χριστὸς, διελέγχων αὐτούς, διαγελᾶν τὴν ἀνάστασιν πειρωμένους τῷ πλάσματι τῶν ἑπτὰ ἀδελφῶν ἐπὶ μιᾶς γαμετῆς τεθνεώτων. Οἱ μὲν γὰρ υἱοὶ, φησὶ, τοῦ αἰῶνος τούτου, τουτέστιν, οἱ τὸν κοσμικὸν καὶ ἐνσώματον διαζῶντες βίον, τεκνογονίας ἕνεκα γαμοῦσιν· οἵ γε μὴν τὴν εὐκλεᾶ καὶ ἀγαθῶν μεστὴν κατορθώσαντες ζωὴν, εἶτα καταξιωθέντες τυχεῖν τῆς ἐντίμου ἀναστάσεως, ἄνω που πάντως ἔσονται τῆς ἐν τῷδε τῷ κόσμῳ ζωῆς· διαβιώσονται γὰρ ὡς ἂν ἅγιοις πρέποι, καὶ ἐγγὺς ἤδη γεγόνασι Θεοῦ· ἰσάγγελοι γάρ εἰσι καὶ υἱοὶ Θεοῦ, τὴν ἁγίοις πρέπουσαν πνεύμασι τελοῦντες λατρείαν· καὶ ὥσπερ τὸ ἀγγελικὸν πλῆθος πολὺ μέν ἐστιν, οὐ μὴν ἐκ γενέσεως αὐξηθὲν, ἀλλ' ἐκ δημιουργίας ὑπάρχον, οὕτω καὶ οἱ ἀνιστάμενοι· καὶ οὐ χρεία ἔτι γάμου· ἐπεὶ κάνταῦθα μετὰ τὸ ἀποβαλεῖν τὸν Ἀδὰμ διὰ τὴν ἁμαρτίαν τῆς ἀθανασίας τὴν χάριν, διὰ τῆς παιδοποιίας φυλάττεται τῷ γένει τὸ διάδοχον, ἧτις βοήθεια παρὰ τοῦ πάντα προεγνωκότος Θεοῦ προκαταβέβλητο ἤδη καὶ ἀπ' ἀρχῆς. Ποιήσας γὰρ ἄνθρωπον, ἄρσεν καὶ θῆλυ ἐποίησεν. Οὐκοῦν ἐσόμεθα μὲν ἑαυτῶν ἀμείνους, ἀποβαλόμενοι τὴν φθοράν, καὶ πνευματικὸν ἔχοντες τὸ σῶμα, τουτέστιν εἰς μόνα βλέπον τὰ τοῦ πνεύματος (1)· καὶ νοῦς δὲ ὁ καταβιβάζων εἰς φαυλότητα οὐδεὶς ἔσται τηνικαῦτα· συνέχοντος ἡμᾶς εἰς τὸ ἑαυτοῦ θέλημα τοῦ Δημιουργοῦ, διὰ τοῦ ἁγίου Πνεύματος, καθάπερ ἀμέλει καὶ τοὺς ἁγίους ἀγγέλους.

B

C

D

V. 37. *Quod autem mortui resurgant, Moyses quoque significavit*, etc.

Produxit illis etiam Moysen mortuorum resurrectionem probe scientem. Namque in rubo, inquit, loquentem introduxit Deum : « Ego sum Deus Abrahami, Isaaci et Jacobi [63]. » Quorumnam vero sit Deus, si prædicti non vivent, prout isti putant? Atqui Deus est viventium ; ergo omnino reviviscent, potentissima manu terrigenas omnes ad hunc statum revocante.

Ὅτι δὲ ἐγείρονται οἱ νεκροὶ, καὶ Μωϋσῆς ἐμήνυσεν, κ. τ. λ.

(A f. 265, C f. 150) Παρήγαγε γὰρ αὐτοῖς καὶ Μωϋσέα εὖ εἰδότα τῶν νεκρῶν τὴν ἀνάστασιν· ἐν γὰρ τῇ βάτῳ, φησὶν, εἰσκεκόμικε λέγοντα Θεόν· « Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ, Ἰσαὰκ καὶ Ἰακώβ. » Τίνων δὲ Θεὸς, εἰ μὴ ζήσονται κατ' ἐκείνους; Ἀλλ' ἔστι ζώντων Θεός· οὐκοῦν πάντη τε καὶ πάντως ἀναβιώσονται, τῆς πανσθενεστάτης δεξιᾶς ἀποφεροῦσης εἰς τοῦτο ἅπαντας τοὺς ἐπὶ τῆς γῆς.

V. 40. *Et amplius non audebant eum quidquam interrogare.*

Initium intelligentiæ fides. Nam « Nisi credideritis, non intelligetis [64]. » Salutaris autem est dogmatum necessariorum inquisitio. Sine dubio filius simulque Dominus Davidis est Emmanuel; quonam autem modo id ipsum intelligendum sit, si quis

Οὐκέτι δὲ ἐτόλμησαν ἐπερωτᾷν αὐτὸν οὐδέν.

(A f. 266) Ἀρχὴ συνέσεως ἡ πίστις· « Ἐὰν γὰρ μὴ πιστεύσητε, οὐδ' οὐ μὴ συνῆτε. » Σωτήριος δὲ τῶν ἀναγκαίων ἡ ζήτησις· ἔστι μὲν ὁμολογουμένως καὶ υἱὸς καὶ Κύριος τοῦ Δαβὶδ ὁ Ἐμμανουήλ· τίνα δὲ τρόπον αὐτὸ δὴ τοῦτο προσήκει νοεῖν, εἴπερ ἔλοιτο

[62] Act. XXIII, 8. [63] Exod. III, 6. [64] Isa. VII, 9.

(1) Animadverte pulchram definitionem corporis spiritalis post resurrectionem.

Digitized by Google

τις ἀναμαθεῖν, βαδιεῖται πάντως εἰς ἀκριβῆ θεωρίαν μυστηρίου τοῦ κατ' αὐτὸν, ὃ σεσίγηται μὲν ἀπὸ καταβολῆς κόσμου, πεφανέρωται δὲ ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς. Οἱ μὲν οὖν Φαρισαῖοι σεσιγήκασιν ἐρομένου Χριστοῦ· ἔδρων δὲ τοῦτο δυστρόπως, μᾶλλον δὲ καθ' ἑαυτῶν, ἵνα μὴ ξομένης τῆς ἐρωτήσεως, ὁ σωτήριος ἐν αὐτοῖς ἀναλάμψῃ λόγος· οὐ γὰρ ἤθελον εἰδέναι τὴν ἀλήθειαν. Καὶ ἡμεῖς δὲ τοῖς νέοις Φαρισαίοις τὴν τοιάνδε πεῦσιν προσοίσομεν, τοῖς μήτε Υἱὸν ἀληθινὸν τοῦ Θεοῦ καὶ Πατρὸς, μήτε Θεὸν εἶναι λέγουσι τὸν ἐκ τῆς ἁγίας Παρθένου γεγενημένον· μερίζουσι δὲ τὸν ἕνα Υἱὸν εἰς υἱοὺς δύο (1). Τίνα δὴ τρόπον ὁ υἱὸς τοῦ Δαβὶδ Κύριος αὐτοῦ ἐστι, καὶ οὐκ ἀνθρωπίνῃ κυριότητι μᾶλλον, ἀλλὰ θεικῇ; Τὸ γὰρ ὅλως ἐκ δεξιῶν αὐτὸν καθίσαι τοῦ Πατρὸς, τὴν ἄνω δόξαν αὐτῷ προσμαρτυρεῖ· τὰ γὰρ ὁμόθρονα καὶ ἰσότιμα, καὶ ἐν ταυτότητι νοεῖται φυσικῇ· ἡ δὲ κάθεσις ἐπὶ Θεοῦ σημήνειεν ἂν οὐχ ἕτερον, πλὴν ὅτι τὴν βασιλείαν, καὶ τὴν τῶν πάντων ἐξουσίαν. Κάθηται δὲ ἐκ δεξιῶν τοῦ Θεοῦ καὶ Πατρὸς πάντως, κατά γε τὸν ἁπλανῆ τοῦ Σωτῆρος λόγον, ὅτι Θεὸς ὢν ὁ Λόγος, καὶ ἐξ αὐτῆς ἀναφὺς τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ ἐν μορφῇ καὶ ἰσότητι πρὸς αὐτὸν ὑπάρχων, γέγονε σὰρξ, τουτέστι τέλειος ἄνθρωπος, οὐκ ἐκβεβηκὼς τῶν θείων ἀξιωμάτων, μεμενηκὼς δὲ μᾶλλον, ἐν οἷς ἦν ἀεὶ, καὶ Θεὸς ὑπάρχων, κἂν εἰ γέγονε σὰρξ ἐν ὁμοιώσει τῇ πρὸς ἡμᾶς. Κύριος τοίνυν ἐστὶ τοῦ Δαβὶδ κατά γε τὸ πρέπον τῇ θεικῇ φύσει τε καὶ δόξῃ καὶ ἐξουσίᾳ, υἱὸς δὲ αὐτοῦ κατὰ σάρκα. Ἔδει τοὺς τῶν Ἰουδαίων καθηγητὰς, καίτοι μεγάλην αἴροντας τὴν ὀφρὺν ἐπὶ τῇ τῶν θείων εἰδήσει νόμων, τὰς τῶν ἁγίων προφητῶν μὴ ἀγνοῆσαι φωνάς. Ἡσαΐας γάρ φησιν· « Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν· καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ, Ἐμμανουὴλ, ὅ ἐστι μεθερμηνευόμενον, *Μεθ' ἡμῶν ὁ Θεός*. » Μεθ' ἡμῶν δὲ γέγονε Θεὸς ὢν ὁ Λόγος, τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ὑπελθὼν, ἵνα σώσῃ τὴν ὑπ' οὐρανόν· ἀλλ' οὐδεὶς ἦν, ὡς ἔφην, τοῖς Ἰουδαίων καθηγηταῖς, ἀληθείας ὁ λόγος· ὁποία δέ τις γέγονεν αὐτοῖς ἡ πρόφασις εἴπερ τις ἔλοιτο μαθεῖν, ἀκούσεται πρὸς ἡμῶν· ὅτι τὸ μὴ ἐθέλειν ἀποφοιτᾷν τῆς συντρόφου φιλοδοξίας, μήτε μὴν τῆς ἐπαράτου φιλοκερδείας.

velit discere, ingredietur prorsus in persubtilem considerationem mysterii ejus, quod jam inde a mundi primordiis silentio pressum fuit, apparuit autem postremis sæculi temporibus. Pharisæi itaque conticuerunt, loquente Christo. Sed et hoc malitiose egerunt (at cum proprio magis detrimento), ne forte interrogatione scalpente, salutaris ipsis emicaret sermo. Non enim cognoscere veritatem volebant. Et nos pariter neotericos Pharisæos sic interrogabimus, qui neque verum Filium Dei Patris, neque Deum esse dicunt illum de sancta Virgine natum; sed unum Filium in filios dividunt duos. Quomodo scilicet filius Davidis, Dominus ejusdem est, nec tam humano dominatu quam divino? Prorsus enim sessio ejus ad Patris dexteram, cœlestem ejusdem majestatem testatur. **405** Nam qui consessores in throno sunt, iidem pari honore fruuntur, et ejusdem naturæ esse intelliguntur. Sessio autem Dei nil aliud significat nisi regnum, et supra res omnes potentatum. Porro sedet omnino ad Dei Patris dexteram, secundum veracem Servatoris sermonem, quatenus Verbum Deus, et ex ipsa genitus Patris Dei substantia, formamque eamdem ac paritatem cum illo habens, factus est caro, id est, homo perfectus, haud recedens divina dignitate, sed magis in statu suo permanens, et Deus esse perseverans, etiamsi caro in similitudine nostra sit factus. Dominus est itaque Davidis, quod ad naturam divinam attinet, gloriam ac potestatem; secundum vero carnem, ejusdem filius. Debuerant Judæorum principes, quoniam adeo propter divinarum legum peritiam attollebant supercilium, debuerant, inquam, sanctorum prophetarum oracula non ignorare. Isaias enim dicit: « Ecce virgo in utero habebit, et pariet filium, et vocabunt nomen ejus Emmanuelem, quod est interpretatum, *Nobiscum Deus* [44]. » Nobiscum revera versatus est Deus, cum nostram similitudinem subiit, ut mundum salvaret. Sed enim nulla erat Judæorum principibus de veritate sollicitudo. Porro autem quinam iis esset rei prætextus, si quis discere avet, audiet a nobis; videlicet neque ab ingenito sibi gloriæ amore, neque a maledicta avaritia volebant recedere.

Προσέχετε ἀπὸ τῶν Γραμματέων τῶν θελόντων περιπατεῖν ἐν στολαῖς, κ. τ. λ.

V. 46. *Attendite a Scribis, qui volunt ambulare in stolis*, etc.

(A f. 266 l.) Τῶν Γραμματέων ἀῤῥωστήματα ἦσαν τὸ φιλόκομπον καὶ τὸ φιλοκερδές. Ἵνα τοίνυν τῶν οὕτως αἰσχρῶν αἰτιαμάτων ἔξω που γένηται τῶν ἁγίων μαθητῶν ὁ χορὸς, παρεγγυᾷ χρησίμως, λέγων· Μὴ ἀνάσχησθε τοῖς ἴσοις ἁλῶναι κακοῖς, μηδὲ τῆς ἐκείνων ἀφιλοθεΐας γένησθε κοινωνοί. Ποῖον γὰρ ἦν τὸ ἔθος αὐτοῖς; Τὸ βαδίζειν ἐν ἀγοραῖς εὖ μὲν περισταλμένους, κατασύροντας δὲ βαθεῖαν ὀφρὺν, τὸ τοὺς παρὰ τῶν ὁρώντων ἐπαίνους ζητεῖν, τὸ ἐπίπλαστον ἔχειν τὸ ἦθος, τὸ βαττολογεῖν ἐν προσευχαῖς.

Scribarum morbi erant pompæ amor lucrique studium. Ut ergo his tam turpibus culpis sanctorum discipulorum cœtus abesset, hortatur commode dicens: Cavete ne paribus capiamini vitiis, neque illorum irreligiositatis participes sitis. Quænam enim ipsorum consuetudo erat? Ambulare in plateis bene exornatos, gravi adducto supercilio, laudes spectantium captare, simulatos præ se ferre mores, in precibus multiloquio uti.

[44] Isa. VII, 14; Matth. I, 23.

(1) Contra Arianos simul et Nestorianos.

Digitized by Google

406 CAP. XXI.

V. 1. *Respiciens autem vidit eos qui mittebant dona sua in gazophylacium divites.*

Dixit alicubi Servator: « Beati misericordes (eleemosynari), quoniam ipsi misericordiam consequentur [67]. » Hos spectat deferentes dona sua in gazophylacium. Sane, utpote ex multis opibus, multa verisimiliter erant quæ a singulis offerebantur; sed eadem vicissim exigua, et manu offerentium indigna. Mox post illos mulierecula gravi paupertate laborans, symbolam suam conferebat quam vix proprio sudore corraserat, vilissimam scilicet unius diei alimoniam. Obtulit itaque duos obolos, victum quodammodo suum projiciens. O insperatum miraculum! Quæ alienam semper misericordiam implorabat, nunc mutuatur Deo, fructiferam illi ipsam quoque efficiens paupertatem. Vincit ergo reliquos, justaque Dei sententia coronatur.

V. 5. *Et quibusdam dicentibus de templo, quod bonis lapidibus et donis ornatum esset*, etc.

Demonstrabant nonnulli Christo templi magnum ædificium, et donorum splendorem, putantes fore ut ipse quoque una cum illis id spectaculum miraretur, qui cæteroqui Deus erat cœlique dominator. At is, omisso de rebus his sermone, prædixit potius templum statuto tempore funditus eversum iri, cum universa urbe Jerusalem, a Romanorum exercitu, Dominicæ necis pœnas ab Israelitis exposcente. Etenim post Servatoris crucifixionem hæc illis mala perpeti contigit. — Non intellexerunt autem dictorum vim discipuli, sed de consummatione sæculi locutum illum existimantes, sciscitabantur quandonam essent hæc eventura, quodve ejus rei indicium foret? Quid ergo Christus? interrogantium menti se accommodat, omissoque deinceps de Hierosolymorum excidio sermone, pergit dicere de præsentis sæculi consummatione, atque ante suum de cœlo reditum, præcursuros aliquos pseudochristos et pseudoprophetas, qui personam 407 ejus simulabunt; quibus non sit credendum. Voluit quidem unigenitum Dei Verbum, ut terrarum orbem salvaret, nativitatem quoque carnalem ex muliere perpeti. Erat hæc autem in eo exinanitio et humiliatio. Tanquam igitur ad exinanitionem sponte demissus, latere volebat. Itaque et apostolos increpuit ante venerandam crucifixionem, quominus ipsum manifestum facerent [68]. Nam secreto indigebat ratio incarnationis, ut in adorabili cruce patiens tanquam homo mortem destrueret, et ab universali tyrannide Satanam depelleret. Secundus autem de cœlo adventus, haud clam ut primus, sed illustris plenusque terroris erit. Descendet enim stipantibus sanctis angelis, et cum Patris Dei majestate, ut mundum justo jure judicet. Itaque si quando pseudochristi aut pseudoprophetæ exsurgent, quominus eos sectemini cavete. — Vel etiam communem finem dicit, atque universi mundi con-

[67] Matth. v, 7. [68] Matth. xvii, 9.

A ΚΕΦΑΛ. ΚΑ'.

Ἀναβλέψας δὲ εἶδε τοὺς βάλλοντας τὰ δῶρα αὐτῶν εἰς τὸ γαζοφυλάκιον πλουσίους.

(B f. 187 b, C f. 150 b) Ἔφη που ὁ Σωτήρ· « Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. » Τούτους ἐποπτεύει προσφέροντας τὰ δῶρα αὐτῶν εἰς τὸ γαζοφυλάκιον· ἀλλ' ὡς ἐκ πλούτου πολλοῦ, πολλὰ μὲν ἦσαν, ὡς εἰκὸς, τὰ παρ' ἑκάστου καρποφορούμενα· ὀλίγα δὲ πάλιν καὶ τῆς τῶν προκομιζόντων ἀνάξια χειρός. Εἶτα μετ' ἐκείνους γύναιον πτωχείᾳ δεινῇ κατηχθισμένον εἰσέθει, ἐξ ἐράνου μόλις καὶ δὴ σὺν ἱδρῶτι συλλέγον εὐτελεστάτην καὶ ἀποχρῶσαν ἡμέρᾳ διατροφήν· εἶτα δύο προσῆγεν ὀβολοὺς, ὥσπερ ἀποκτωμένη τὸν βίον. Ὦ παραδόξου θαύματος! ἡ τὸν παρ' ἑτέρου ἔλεον ζητοῦσα διηνεκῶς, αὐτὴ δανείζει Θεῷ, καρποφόρον αὐτῷ καὶ αὐτὴν ἀποφαίνουσα τὴν πτωχείαν. Νικᾷ τοιγαροῦν τοὺς ἄλλους, καὶ δικαίᾳ ψήφῳ στεφανοῦται παρὰ Θεοῦ.

B

Καί τινων λεγόντων περὶ τοῦ ἱεροῦ, ὅτι λίθοις καλοῖς καὶ ἀναθήμασι κεκόσμηται, κ. τ. λ.

(C f. 151, D f. 69) Ἐπεδείκνυόν τινες τῷ Χριστῷ τὰς ἐν τῷ ναῷ μεγαλουργίας, καὶ τὸν τῶν ἀναθημάτων κόσμον· ᾠήθησαν γὰρ ὅτι θαυμάσει σὺν αὐτοῖς τὰ ὁρώμενα, καίτοι Θεὸς ὢν καὶ θρόνον ἔχων τὸν οὐρανόν. Ὁ δὲ ἀφίησι μὲν τὸν περὶ αὐτῶν λόγον, προμεμήνυκε δὲ ὅτι ἐκ βάθρων πεσεῖται κατὰ καιροὺς, κατακομιζούσης εἰς τοῦτο αὐτὸν τῆς Ῥωμαίων στρατιᾶς, καὶ ἅπασαν Ἱερουσαλὴμ τὰς τῆς κυριοκτονίας δίκας ἐξαιτούσης τὸν Ἰσραήλ· μετὰ γάρ τοι τὸν τοῦ Σωτῆρος σταυρὸν, ταῦτα συνέβη παθεῖν αὐτούς. — (A f. 268 b) Οὐ συνίεσαν δὲ οἱ μαθηταὶ τῶν εἰρημένων τὴν δύναμιν, ἀλλὰ περὶ συντελείας τοῦ αἰῶνος εἰρῆσθαι νομίσαντες, ἤροντο πότε ταῦτα ἔσται, καὶ τί τὸ σημεῖον ὅταν μέλλῃ γίνεσθαι. Τί οὖν ὁ Χριστός; Ἔπεται τῷ σκοπῷ τῶν προσαγόντων τὴν πεῦσιν, καὶ ἀφίησι μὲν τέως τοὺς περὶ τῆς ἁλώσεως τῶν Ἱεροσολύμων λόγους· τοὺς δὲ περὶ συντελείας τοῦ παρόντος αἰῶνος ὑφαίνει, καί φησιν ὅτι πρὸ τῆς ἐξ οὐρανῶν αὐτοῦ καθόδου, προδραμοῦνταί τινες ψευδόχριστοι καὶ ψευδοπροφῆται, τὸ αὐτοῦ πρόσωπον ἑαυτοῖς περιπλάττοντες, οἷς οὐ χρὴ πείθεσθαι. Ἠθέλησε μὲν γὰρ ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ἵνα σώσῃ τὴν ὑπ' οὐρανὸν, καὶ γέννησιν ὑπομεῖναι τὴν κατὰ σάρκα ἐκ γυναικός· ἦν δὲ τὸ χρῆμα αὐτῷ κένωσις καὶ ταπείνωσις· ὡς οὖν ἑαυτὸν καθεὶς εἰς κένωσιν λανθάνειν ἠξίου· καὶ γοῦν ἐπετίμα τοῖς ἀποστόλοις πρὸ τοῦ τιμίου σταυροῦ, ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσιν· ἐδεῖτο γὰρ τοῦ παθεῖν τῆς μετὰ σαρκὸς οἰκονομίας ὁ τρόπος, ἵνα καὶ τὸν τίμιον ὑπὲρ ἡμῶν ὑπομείνας σταυρὸν ὡς ἄνθρωπος, καταργήσῃ τὸν θάνατον, καὶ τῆς κατὰ πάντων τυραννίδος ἀποσοβήσῃ τὸν Σατανᾶν. Ἡ δὲ δευτέρα καὶ ἐξ οὐρανοῦ καταφοίτησις, οὐ λεληθότως ἔσται καθὰ καὶ πρὸ τούτου, ἀλλ' ἐπίσημός τε καὶ φόβου μεστή· καταβήσεται γὰρ δορυφορούντων αὐτὸν τῶν ἁγίων ἀγγέλων, καὶ ἐν τῇ δόξῃ τοῦ Θεοῦ καὶ Πατρὸς, ἵνα κρίνῃ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ. Οὐκοῦν ὅταν

C

D

Digitized by Google

τινὲς ἐγερθῶσι ψευδόχριστοι καὶ ψευδοπροφῆται, μὴ πορευθῆτε ὀπίσω αὐτῶν.— (A f. 269, C f. 151) Ἡ καὶ τέλος τὸ κοινόν φησι; καὶ τὴν παγκόσμιον συντέλειαν. Δίδωσι σημεῖα σαφῆ τε καὶ ἐναργῆ τῆς συντελείας τοῦ κόσμου. Πόλεμοι γὰρ ἔσονται, φησὶν, καὶ καταστασίαι, καὶ λιμοὶ καὶ φόβητρα ἀπ' οὐρανοῦ. Ὡς γὰρ ἕτερός φησι τῶν εὐαγγελιστῶν, πάντα τὰ ἄστρα πεσεῖται, εἰλιχθήσεται ὁ οὐρανὸς ὡς βιβλίον, αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. Διὰ μέσου μέντοι τίθησιν ὁ Σωτὴρ τὰ περὶ τῆς ἁλώσεως τῶν Ἱεροσολύμων, καὶ τὸν λόγον κεράννυσι λέγων· A summationem. Manifesta atque evidentia signa dat mundi consummationis; nam bella erunt, inquit, seditiones, fames, et de cœlo terriculamenta. Etenim ut alius evangelista dicit, stellæ omnes cadent, et cœlum ceu liber convolvetur, virtutes cœlorum commovebuntur [69]. Interponit Servator Hierosolymitani excidii narrationem, sermonemque permiscet dicens :

Πρὸ δὲ τούτων πάντων ἐπιβαλοῦσιν ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσι, κ. τ. λ.

(C f. 151, D f. 69 b) Πρὸ γὰρ τῶν τῆς συντελείας καιρῶν, ἦλω μὲν ἡ τῶν Ἰουδαίων χώρα, καταδραμούσης αὐτὴν τῆς Ῥωμαίων στρατιᾶς, ἐμπέπρηνται δὲ ὁ ναὸς, κατεσείσθη τὰ παρ' αὐτοῖς βασίλεια, πέπαυται τῆς κατὰ νόμον λατρείας ἡ δύναμις. Πρὶν δὲ ταῦτα συμβῆναι, ἐδιώχθησαν παρ' αὐτῶν οἱ μακάριοι μαθηταὶ, δεσμῶται γεγόνασι, ἤχθησαν ἐπ' ἄρχοντας, ἐπέμφθησαν ἐπὶ βασιλέας· ἀπεστάλη γοῦν ὁ Παῦλος εἰς Ῥώμην πρὸς Καίσαρα, καὶ Φήστῳ παρέστη καὶ Ἀγρίππᾳ· πλὴν γέγονεν αὐτοῖς εἰς μαρτύριον, τουτέστιν, εἰς μαρτυρίου δόξαν, τὰ ἐπενηνεγμένα. B

V. 12. *Sed ante hæc omnia injicient vobis manus suas, et persequentur*, etc.

Ante enim temporum consummationem, capta est Judæorum regio, invadente eam Romanorum exercitu, combustum est templum, regalia illorum palatia eversa, legalisque cultus jus cessavit. Sed prius quam hæc evenirent, persecutionem experti sunt a Judæis beati discipuli, conjecti in vincula, pertracti ad judices, et regibus præsentati. Missus est ergo Romam Paulus, qui et ante Festum constiterat atque Agrippam. Verumtamen hæc eis evenerunt in testimonium, id est, ad testimonii gloriam, quæcunque sunt passi.

Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι.

(C f. 151, D f. 69 b) Παρεγγυᾷ, ὅτι Μὴ προμελετᾶτε μέλλοντες ἀπολογεῖσθαι. « Λήψεσθε γὰρ, φησὶ, παρ' ἐμοῦ σοφίαν καὶ γλῶσσαν ἄμαχον καὶ ἀκαταγώνιστον τοῖς ἀντικειμένοις ὑμῖν. » Ἀποκείρων δὲ καὶ τῆς ἀνθρωπίνης μικροψυχίας τὰς ἀφορμὰς, παραδοθήσεσθαί φησιν αὐτοὺς παρὰ τῶν οἰκειοτάτων, πλὴν ὅτι πάντη τε καὶ πάντως σωθήσονται παρ' αὐτοῦ· ἐπάγει γοῦν· « Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων, καὶ ἀδελφῶν, καὶ φίλων, καὶ τῶν ἐκ γένους. » — (A f. 270, C f. 151) Πλὴν ὅτι πάντη τε καὶ πάντως σωθήσονται παρ' αὐτοῦ. « Θρὶξ γὰρ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐκ ἀπολεῖται, » φησί. Σαφεστέραν δὲ ποιῶν τὴν προαγόρευσιν τῆς ἁλώσεως, ἐπάγει· » Ὅταν δὲ ἴδητε κυκλουμένην ὑπὸ στρατοπέδων τὴν Ἱερουσαλὴμ, τότε γνῶτε ὅτι ἤγγικε ἡ ἐρήμωσις αὐτῆς. » Εἶτα μεθίστησι πάλιν τοὺς λόγους ἐπὶ τὸν τῆς συντελείας καιρόν. Γέγραπται ἐν ταῖς Πράξεσιν, ὅτι μετὰ τὴν ἀνάστασιν ἐγένετο λιμὸς μέγας ἐπὶ Κλαυδίου Καίσαρος, καὶ σεισμοὶ πολλοὶ ἐγένοντο. Ἃ γὰρ ἑωράκατε ἐπ' ἐμοὶ γινόμενα, προσδοκήσατε καὶ ἐφ' ὑμῖν. C

V. 14. *Ponite ergo in cordibus vestris, non præmeditari quemadmodum respondeatis.*

Hortatur, ut ne velint præmeditari quid responsuri sint. « A me enim accipietis, inquit, sapientiam, linguamque invictam, et adversariis vestris insuperabilem. » Tum et humanæ pusillanimitatis occasionem præcidens, ait eos traditum iri a suis proximis, sed tamen ab ipso omnino fore salvandos. Pergit itaque dicere : « Trademini etiam a parentibus ac fratribus et amicis atque agnatis. » — Verumtamen incolumes illos se præstiturum affirmat. « Capillus enim, inquit, de capite vestro non peribit. » Manifestiorem autem inferens excidii prædictionem, addit : « Cum vero videritis circumdari ab exercitu Jerusalem, tunc scitote proximam esse vastitatem ejus. » Deinde transfert denuo sermonem ad tempus consummationis. Scriptum est enim in Actibus [70], post Domini resurrectionem, magnam sub Claudio Cæsare famem exstitisse : multique etiam terræ motus fuerunt. Quæ enim in me facta vidistis, vobismet pariter exspectate. D

Ἐπὶ τῆς γῆς συνοχὴ ἐθνῶν.

(B f. 191 b) Ἀρχομένης γὰρ ὥσπερ τῆς κτίσεως ἐναλλάττεσθαι, συνοχή τις ἔσται δεινὴ καὶ ἀπόψυξις εἰς θάνατον· τὸ γὰρ ἐπερχόμενον ἀφόρητον δεῖμα, πολλοῖς ἀρκέσει πρὸς ὄλεθρον.

V. 25. *In terris pressura gentium.*

Cum res creatæ incipient, velut immutari, tunc pressura quædam fiet et exanimatio ad mortem usque. Nam superveniens intolerabilis pavor multis sufficiet ad interitum.

Τότε ὄψονται τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλῃ.

(A f. 272, C f. 151 b, E f. 315) Πῶς δὲ ἐλεύσεται; πῶς ἥξει; Ὡς αὐτὸς ἐδήλωσεν [καὶ] ἀλλαχοῦ λέγων· « Καὶ τότε ὄψονται τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον

V. 27. *Tunc videbunt Filium hominis venientem in nube.*

Quomodo veniet? Nempe aderit quomodo ipsemet alibi quoque dixit : « Et tunc videbunt Filium hominis venientem in nubibus, cum virtute et gloria

[69] Matth. xxiv, 29; Marc. xiii, 25. [70] Act. xi, 28.

Digitized by Google

multa [71]. » Veniet enim nequaquam demissus et humilis humano more, sed cum gloria ac virtute deitatis. Porro de utraque qualitate vocabulum *multa* intelliges : nam et multa cum virtute, et simul multa cum gloria secundam faciet theophaniam, quandoquidem primam cum infirmitate et obscuritate fecit, quantum quidem vulgo visum est. Cur autem in nube? quia sic apparere solet **409** Deus : « Nubes enim et caligo circa eum sunt [72]. » Item : « Dominus sedet in nube levi [73]. » Et rursus : « Qui ponit nubem ascensum suum [74]. » Item : « Nubes eripuit eum ab oculis ipsorum [75]. » Item : « Sicuti Filius hominis veniens in nubibus [76]. » Sic videlicet eum vidit Daniel. Sic et tum veniet haud latenter, sed uti Deus et Dominus cum gloria Deo digna, atque omnia in melius reformabit. Reviviscent enim mortui, exuetque corruptionem terrenum corpus his passionibus olim obnoxium ; induetque immortalitatem, Christo ejusdem datore, et eos qui ipsi credunt conformes efficiente corpori gloriæ suæ. Quare et rem hujusmodi redemptionem nostram appellat dicens : « His autem fieri incipientibus, respicite et levate capita vestra, quoniam appropinquat redemptio vestra. » Veluti enim si quis dicat de homine, quod a patre acceperit animal esse rationale, hoc ipso eumdem significat rationalem genitum a rationali ; sic etiam Unigenitus de Deo Deus, ex eo qui universum judicat mundum judex processit. Nec quia omne judicium commisit Filio Pater, idcireo dominatione minutus est : indivisus enim a Deo Unigenitus est, sicuti lux a sole. Inest enim ipsi naturaliter ; ita ut omnia quæ Pater habet, Filii sint ; et vice versa.

νον ἐν νεφέλαις, μετὰ δυνάμεως καὶ δόξης πολλῆς. » Ἐλεύσεται γὰρ οὐκέτι ἐν ὑφέσει, οὐδὲ ἐν μικροπρεπείᾳ τῇ καθ' ἡμᾶς, ἀλλ' ἐν δόξῃ καὶ δυνάμει θεότητος. Κατ' ἀμφοτέρων δὲ ἀκούσῃ τὸ *πολλῆς* · μετὰ δυνάμεως γὰρ πολλῆς καὶ δόξης πολλῆς τὴν δευτέραν αὐτοῦ ποιήσεται θεοφάνειαν, ἐπεὶ τὴν πρότερον μετὰ ἀσθενείας καὶ ἀτιμίας ἐποιήσατο, ὅσον κατὰ τοὺς πολλοὺς ὁρώμενον. Διὰ τί δὲ ἐν νεφέλῃ, Ὅτι οὕτως ἀεὶ φαίνεται ὁ Θεός · « Νεφέλη γὰρ καὶ γνόφος κύκλῳ αὐτοῦ. » Καί · « Κύριος κάθηται ἐπὶ νεφέλης κούφης. » Καὶ πάλιν · « Ὁ τιθεὶς νέφος τὴν ἐπίβασιν αὐτοῦ. » Καὶ, « Νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. » Καὶ, « Ὡς Υἱὸς ἀνθρώπου ἐρχόμενος ἐπὶ τῶν νεφελῶν. » Οὕτω γοῦν αὐτὸν καὶ Δανιὴλ θεωρεῖ · οὕτω καὶ τότε ἐλεύσεται οὐ λεληθότως, ἀλλ' ὡς Θεὸς καὶ Κύριος ἐν δόξῃ θεοπρεπεῖ, καὶ πάντα μεταστήσει πρὸς τὸ ἄμεινον · ἀναβιώσονται γὰρ οἱ νεκροὶ, καὶ ἀποδύσεται τὴν φθορὰν τὸ ἐκ γῆς τοῦτο εὐάλωτον τοῖς πάθεσι σῶμα · ἐνδύσεται δὲ τὴν ἀφθαρσίαν, Χριστοῦ νέμοντος αὐτὴν, καὶ συμμόρφους τῷ σώματι τῆς δόξης αὐτοῦ τοὺς εἰς αὐτὸν πιστεύοντας ἀποφαίνοντος. Διὸ καὶ ἀπολύτρωσιν ἡμῶν αὐτὸς τὸ πρᾶγμα καλεῖ, λέγων · « Ἀρχομένων δὲ τούτων γίνεσθαι, ἀνακύψατε καὶ ἐπάρατε τὰς κεφαλὰς ὑμῶν, διότι ἐγγίζει ἡ ἀπολύτρωσις ὑμῶν. » Ὥσπερ γὰρ εἰ λέγοι τις περὶ ἀνθρώπου, ὅτι παρὰ τοῦ Πατρὸς ἔλαβε τὸ λογικὸς εἶναι, ἐκ λογικοῦ σημαίνει καὶ αὐτὸν λογικὸν γεννηθῆναι· οὕτω καὶ ὁ μονογενὴς ἐκ Θεοῦ Θεὸς, καὶ ἐκ τοῦ κρίνοντος πᾶσαν τὴν γῆν προῆλθε κριτής. Καὶ οὐκ ἐπειδὴ πᾶσαν τὴν κρίσιν δέδωκεν τῷ Υἱῷ ὁ Πατὴρ, αὐτὸς τῆς δεσποτείας ἐψίλωται · ἀχώριστος γὰρ ὁ Μονογενὴς τοῦ Θεοῦ, ὡς τὸ φῶς τοῦ ἡλίου · ἔστι γὰρ ἐν αὐτῷ φυσικῶς · καὶ πάντα ὅσα ἔχει ὁ Πατὴρ, τοῦ Υἱοῦ ἐστι, καὶ ἀνάπαλιν.

V. 29. *Videte ficulneam et omnes arbores*, etc. Exposita ficulneæ parabola, statim addit : « Cognoscite prope adesse regnum Dei. » Hoc autem docet, quia nondum ad supremum finem res devenerant, dum hæc dicerentur, sed tamen ad terminum properabant, sicut ad fructum gignendum properat ficulnea, cum ramos mollit et folia germinat ; ita Domini præsentia quemlibet principatum ac potestatem perimens, regno Dei orbem terrarum parat. Deinde ait : « Amen dico vobis, non præteribit generatio hæc, donec omnia fiant. » *Generationem* vero dicit non viventes tunc homines, sed moribus similes. Dum autem dicit fieri non posse ut verba ejus præterean, **410** elementorum quoque consummationem prædicit. Impossibile est enim sermones meos præterire, quanquam ipsa elementa præterenunt. Ego enim vere dico diem adfore, quo hæc evenient ; et quæ dico, impossibile est quominus fiant. « Cavete, inquit, ne vestræ mentis oculi graventur. » Nam mundana sollicitudo, crapula,

Ἴδετε τὴν συκῆν καὶ πάντα τὰ δένδρα.

(D. f. 71) Εἰπὼν τὴν παραβολὴν τῆς συκῆς, εὐθέως ἐπάγει · « Γινώσκετε ὅτι ἐγγύς ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ. » Τὸ δὲ τοιοῦτο διδάσκει, ὅτι οὔπω πρὸς τὸ ἔσχατον τέλος ἦκε τὰ πράγματα, τούτων γινομένων, ἀλλ' ὁδεύει πρὸς τὸ τέλος ἤδη, καθάπερ ἐπὶ τὸν καρπὸν ὁδεύει ἡ συκῆ τοὺς κλάδους ἀπαλυνομένη, καὶ τὰ φύλλα ἐκφύουσα· οὕτω γὰρ δὴ καὶ ἡ τοῦ Κυρίου παρουσία καταργοῦσα πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν, παρασκευάζει τῇ βασιλείᾳ τοῦ Θεοῦ. Εἶτά φησιν · « Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐ μὴ παρέλθῃ γενεὰ αὕτη, ἕως ἂν πάντα γένηται. » *Γενεὰν* δέ φησι, οὐ τοὺς τότε ἀνθρώπους, ἀλλὰ τοὺς ὁμοίους τῷ τρόπῳ. Ἐν δὲ τῷ λέγειν, ὅτι ἀδύνατον τοὺς λόγους παρελθεῖν, καὶ τὴν τῶν στοιχείων συντέλειαν προαγορεύει ἤδη. Ἀδύνατον γὰρ, φησὶν, τοὺς λόγους μου παρελθεῖν, καίτοι καὶ τῶν στοιχείων παρερχομένων· ἐγὼ μὲν γὰρ ἀληθεύων, ὅτι ἥξει ἡμέρα, καὶ ταῦτα γενήσεται, καὶ οὐκ ἐγχωρεῖ μὴ γενέσθαι ἃ λέγω· « Προσέχετε δὲ, φησὶν, μὴ βαρηθῶσιν ὑμῶν αἱ τῆς

[71] Matth. xxiv, 30 ; Marc. xiii, 26. [72] Psal. xcvi, 2. [73] Isa. xix, 1. [74] Psal. ciii, 3. [75] Act. i, 9. [76] Dan. vii, 13.

Digitized by Google

διανοίας ὀφθαλμοί· » μέριμνα γὰρ βιωτικὴ καὶ κραιπάλη καὶ μέθη ἐξορίζει τὴν σύνεσιν, καὶ τὴν εἰς Θεὸν πίστιν καὶ φόβον ἀμαυροῖ. Χρεία οὖν ἀγρυπνίας τοιαύτης καὶ προσοχῆς, ἵνα μὴ αἰφνίδιος ἐπέλθῃ ἡ ἡμέρα ἐκείνη ὥσπερ παγὶς πρὸς ὑμᾶς μηδὲν ὠφεληθέντας ἐκ τοῦ προακηκοέναι.

A ebrietas, sapientiam expellunt, fidemque erga Deum atque ejus timorem labefactant. Opus est igitur vigilantia tanta atque attentione, ut subitanea nobis non superveniat illa dies, tanquam laqueus, si nihil nos juverit prævia notitia.

Ἦν δὲ τὰς ἡμέρας ἐν τῷ ἱερῷ διδάσκων.

(A f. 273) Τίνα δὲ ἦν ἃ ἐδίδασκεν, ἢ πάντως που τὰ ὑπὲρ τὴν νομικὴν λατρείαν; Ἐνειστήκει γὰρ καιρὸς τοῦ τὴν σκιὰν μεταπλάττεσθαι εἰς ἀλήθειαν· ὁ δὲ ὄχλος ἥδιστα ἠκροᾶτο· τεθαυμάκασι γὰρ αὐτὸν πλειστάκις, ὅτι ἐν ἐξουσίᾳ ἦν ὁ λόγος αὐτοῦ· ὡς αὐτὸς γὰρ ὑπάρχων ὁ πάλαι λαλῶν διά τε Μωϋσέως, καὶ τῶν προφητῶν, καὶ τῶν ὅλων Κύριος, μεθίστη μετ' ἐξουσίας πρὸς τὴν πνευματικὴν λατρείαν τὰ ἐν τύποις κεχρησμῳδημένα. Ηὐλίζετό γε μὴν εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, τοὺς ἐν τῇ πόλει θορύβους παραιτούμενος, ἵνα ἡμῖν κἀν τούτῳ γένηται τύπος· τῷ γε μὴν ὄχλῳ ὁρθρίζοντι πρὸς αὐτὸν, προσῆκε λέγειν τὸ τοῦ Δαβίδ· « Ὁ Θεὸς, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω· ἐδίψησέ σε ἡ ψυχή μου. » Περὶ τῆς ἑορτῆς τῶν ἀζύμων ὅτι ἤγγιζε, καὶ ὅτι ἐζήτουν οἱ ἀρχιερεῖς ἀνελεῖν αὐτὸν, καὶ ὅτι εἰσῆλθεν ὁ Σατανᾶς εἰς τὸν Ἰούδαν, καὶ ὅτι συνεφώνησε τοῦ παραδοῦναι αὐτὸν, καὶ ὅτι ἐζήτει ἐπὶ τοῦτο εὐκαιρίαν, ἕως, « Καὶ οἱ δώδεκα ἀπόστολοι σὺν αὐτῷ, » προεγράφη εἰς τὸ κατὰ Ματθαῖον.

V. 37. *Erat autem diebus docens in templo.*

Quænam porro docebat, nisi quæ legalem cultum exsuperabant? Jam instabat tempus umbram in veritatem commutandi. Sæpe illum admiratæ fuerant turbæ, quod potestativus esset ejus sermo[77]: quippe cum ipse idem esset per Moysen olim locutus et per prophetas; atque omnium rerum Dominus, nunc pro sua potestate ad spiritalem cultum illa B in figuris prædicta convertebat. Morabatur autem in olearum monte, urbis tumultum vitans, ut nobis hujus rei quoque exemplum præberet. Jam vero populum qui ad eum manicabat, decebant illa Davidis verba: « Deus, Deus meus, ad te de luce vigilo. Sitivit te anima mea[78]. » De appropinquante azymorum festo, et quod pontifices Christum necare satagebant, et quod in Judam Satanas introierit, quodque ille Jesum tradere pactus sit, cujus rei exsequendæ opportunitatem quærebat, usque ad verba « et duodecim apostoli cum eo[79]: » de his, inquam, nos in commentariis ad Matthæum jam scripsimus.

ΚΕΦΑ. ΚΒ'.

CAP. XXII.

Ἤγγιζε δὲ ἡ ἑορτὴ τῶν ἀζύμων, ἡ λεγομένη Πάσχα.

V. 1. *Appropinquabat autem dies festus azymorum, qui dicitur Pascha.* C

(A f. 278) Θέα δὲ ὅτι ἄνωθεν ἡμῖν ὁ Σωτὴρ ἐνομοθέτει τὰ κάλλιστα καὶ τὰ συμφέροντα, καὶ διὰ νόμου καὶ προφητῶν σύμβουλος ἡμῖν ἀγαθὸς εἰς σωτηρίαν ἐγίνετο· ἀλλὰ τότε μὲν δι' αἰνίγματος καὶ σκιᾶς διὰ τὴν τῶν ἀκροωμένων ἀσθένειαν· νυνὶ δὲ γυμνὴν ἡμῖν παρατιθεὶς τὴν ἀλήθειαν, καὶ αὐτὴν τῶν πραγμάτων εἰς μέσον ἄγει τὴν εἰκόνα· ἔδει γὰρ ὄντως διὰ μὲν τῶν θεραπόντων διακονεῖσθαι τοὺς τύπους, διὰ δὲ τοῦ πάντων Δεσπότου τὴν ἀλήθειαν· ἐπεὶ καὶ αὐτὸς ἦν ὁ λέγων περὶ ἑαυτοῦ· « Ἐγώ εἰμι ἡ ἀλήθεια. » Ἀποκεκινημένης τοιγαροῦν τῆς σκιᾶς, εἰσίτω λοιπὸν ἡμῖν τῆς ἀληθείας ἡ δύναμις· φαινέσθω τῶν δι' αἰνίγματος εἰρημένων ὁ τύπος ἐναργέστερος. Ἰουδαῖοι μὲν οὖν σφάλλονται καὶ πλανῶνται, D καὶ τῶν δεόντων ἐκπίπτουσι λογισμῶν, ἀζύμους ἄρτους παρατιθέμενοι· οὐκ ἀκούουσι δὲ, ὡς εἰκὸς, τοῦ Παύλου λέγοντος· « Βρῶμα ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ, » καὶ τὰ ἑξῆς· οὐδὲ τοῦ Σωτῆρος· « Οὐκ οἴδατε ὅτι πᾶν τὸ εἰσερχόμενον εἰς τὸ στόμα, εἰς τὴν κοιλίαν χωρεῖ, καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται; » Ἡμεῖς δὲ πνευματικοῖς (1) τὰ πνευματικὰ συγκρίνομεν· ὡς ζύμην, τὴν κακίαν ἀποφεύγοντες, καὶ πράξεις ἀγαθὰς ἐπιτηδεύοντες, ἵνα σὺν Χριστῷ ὡς ἐν ἀνωγαίῳ

Animadverte quod in superioribus Servator nobis optimas tradidit perutilesque institutiones, et per legem atque prophetas bonus nobis consiliarius fuit ad salutem. **411** Sed tunc quidem in ænigmate et umbra propter audientium infirmitatem; nunc vero nudam nobis exponit veritatem, ipsamque rerum in medium producit spectandam imaginem. Oportebat sane per famulos ministrari figuras; per universalem vero Dominum, veritatem: namque et ipsemet de se dixit: « Ego sum veritas[80]. » Jam vero umbra discussa, succedat deinceps veritas et rei vis. Appareat jam typus splendidior iis quæ in ænigmate dicta fuerunt. Judæi itaque falluntur et errant dum adhuc azymos panes apponunt. Neque audiunt Paulum dicentem: « Esca nos non commendat Deo[81], » et reliqua. Neque item Servatori auscultant: « Nescitis, quia omne quod in os intrat, in ventrem vadit, et in secessum emittitur[82]? » Nos autem spiritalia spiritalibus comparamus[83]; fermenti instar, malitiam vitantes, et operibus bonis studentes; ut cum Christo in superna regione, in cœlesti Jerusalem, stationem habeamus; quam Isaias admirans aiebat, nos veluti alloquens qui in

[77] Luc. IV, 32. [78] Psal. XLII, 2. [79] Luc. XXII, 14. [80] Joan. XIV, 6. [81] I Cor. VIII, 8. [82] Matth. XV, 17. [83] I Cor. II, 13.

(1) Cod. πνεύματι tantummodo, ita ut sensus fere fieret: *Nos autem spiritu spiritalia discernimus.*

Digitized by Google

illa urbe futuri sumus : « Oculi tui videbunt Jerusalem : urbs hæc opulenta est, tabernaculum immobile, cujus funiculi non rumpentur [84]. » Etenim humanum quidem gaudium brevi subsistit, quia parva interveniente conversione, abrumpitur. At verb cœlestes stationes, bonaque illarum, validum habent vigorem Dei voluntate firmatum. Ut ergo in tam admirandis stationibus habitemus, et solemne cum Christo festum agamus, purum peragamus jejunium, haud equidem virtutem ejus cibo componderantes, sed tanquam a superflua mensa abstinentes, atque a deliciis aliis et vitiorum varietate refugientes.

A εἰς τὴν ἄνω Ἱερουσαλὴμ ἀνακλιθησόμεθα· ἣν Ἡσαΐας ἀποθαυμάζων ἔλεγεν, ὡς πρὸς ἡμᾶς τοὺς μέλλοντας εἰς ἐκείνην ἔσεσθαι τὴν πόλιν· « Οἱ ὀφθαλμοί σου ὄψονται Ἱερουσαλὴμ· πόλις πλουσία, σκηναὶ αἳ οὐ μὴ σεισθῶσιν, οὐδὲ τὰ σχοινία αὐτῆς οὐ μὴ διαῤῥαγῶσιν. » Ἡ μὲν γὰρ παρὰ ἀνθρώποις εὐθυμία εἰς ὀλίγον ἀντέχει, ἀπορῥήγνυται δὲ ὀλίγης τινὸς μεταξὺ γενομένης μεταβολῆς· αἱ δὲ ἐν τοῖς οὐρανοῖς μοναὶ καὶ τὸ παρ' αὐταῖς ἀγαθὸν, γενναῖον ἔχει τὸν τόνον, τῇ τοῦ Θεοῦ βουλήσει διακρατούμενον. Ἵνα τοίνυν ἐν ταῖς οὔτω ἀξιαγάστοις καταλύσωμεν μοναῖς, καὶ σωεορτάσωμεν τῷ Χριστῷ, καθαρὰν ἐπιτελέσωμεν τὴν νηστείαν, μὴ βρωμάτων [ἀποχῇ] συμμετροῦντες αὐτῆς τὴν δύναμιν, ἀλλ' ὥσπερ ἀναχωροῦμεν περιέργου τραπέζης, καὶ τῆς ἄλλης τρυφῆς ἀναχωρήσωμεν καὶ ποικιλίας κακῶν.

V. 8. *Misit Petrum et Joannem dicens : Euntes purate nobis pascha, ut manducemus.*

B Ἀπέστειλε Πέτρον καὶ Ἰωάννην εἰπών· Πορευθέντες ἑτοιμάσατε ἡμῖν τὸ πάσχα, ἵνα φάγωμεν.

Solemnitatis illius tempus dicebatur *phasec*, quo vocabulo significatur *transitus*. Sicut ergo Ægyptiorum servitute liberatus **412** fuit Israel, et ad promissionis terram proficiscens, mare medium, sicco pede, permeavit, ita et nos oportet mare veluti quoddam fortiter transire vanam præsentis vitæ agitationem. Transeamus a carnali affectu ad continentiam, ex ignorantia vetere ad veram Dei notitiam, ex morte ad immortalitatem. — Spectemus figuras adhuc a veritate honorari. Adveniente, inquit, die quo pascha immolari oportebat, electos duos de sanctis apostolis, Petrum ac Joannem, misit ad urbem, dicens iis quæ supra scripsimus verba. Cur autem hominem haud nominatim missis denotavit ? Non enim dixit, ite ad illum N., sed indicium fecit, hominem dicens simpliciter fictile vas gestantem. Quid ergo ad hoc dicimus ? Nuper Judæis promiserat se Jesum traditurum proditor. Ne hic ergo hominem prædictum resciret, statimque accurrens iis denotaret qui se mercede conduxerant, indicium illud dedit. Nam Judas discipuli adhuc benevolentiam simulabat, cum tamen homicidium jam parturiret. « Occurret, inquit, vobis homo aquæ amphoram ferens. » Fortasse etiam arcanum aliquod dogma hoc dicto demonstrat. Nam quo ingreditur aqua, sancti videlicet baptismi, illic diversatur Christus : etenim baptismus omni nos inquinamento mundat, ita ut sanctum Dei templum fiamus, divinæque ejusdem naturæ communicemus, per sancti Spiritus participationem. Neque a veritate quis aberraverit, si vas dicat esse Spiritus sancti singulorum sanctorum animam. « Glorietur enim,

(A f. 278 b) Φασὲκ ὁ τῆς ἑορτῆς ὠνομάζετο καιρὸς, δηλοῖ δὲ *διάβασιν*. Ὥσπερ οὖν τῆς Αἰγυπτίων δουλείας ὁ Ἰσραὴλ ἀπηλλάττετο, εἰς τὴν τῆς ἐπαγγελίας ἐρχόμενος γῆν, διὰ θαλάσσης μέσης βαδίζων ἀβρόχῳ ποδί· οὕτω καὶ ἡμᾶς δεῖ καθάπερ τινὰ θάλατταν διαπεραιοῦσθαι νεανικῶς, τὸν εἰκαῖον τοῦ παρόντος βίου περισπασμόν. Διαβαίνομέν γε μὴν ἐκ φιλοσαρκίας εἰς ἐγκράτειαν, ἐξ ἀγνωσίας τῆς πάλαι εἰς θεογνωσίαν τὴν ἀληθῆ, ἐκ θανάτου εἰς ἀφθαρσίαν.—(A f. 279, D f. 72) Ἴδωμεν τοὺς τύπους τιμῶσαν ἔτι τὴν ἀλήθειαν (1). Ἐλθούσης γὰρ, φησὶ, τῆς ἡμέρας, καθ' ἣν ἔδει θύεσθαι τὸ πάσχα, δύο τινὰς ἀπολέγδην τῶν ἁγίων ἀποστόλων (ἦσαν δὲ Πέτρος καὶ Ἰωάννης) πέπομφεν ἐν τῇ πόλει, εἰπὼν αὐτοῖς τὰ προγεγραμμένα· καίτοι τί δή ποτε οὐ τὸν ἄνθρωπον ἐναργῶς καταμεμήνυκε (2) τοῖς ἀπεσταλμένοις; Οὐ γὰρ ἔφη πρὸς τὸν δεῖνα τυχὸν, ἀλλὰ σημεῖον δέδωκεν, ἄνθρωπον ἁπλῶς κεράμιον σκεῦος πεφορτισμένον. Τί οὖν πρὸς τοῦτό φαμεν; Ἤδη τοῖς Ἰουδαίοις ὑποσχόμενος ἦν ὁ προδότης παραδώσειν αὐτόν. Ἵνα τοίνυν μὴ μάθῃ τὸν ἄνθρωπον, καὶ δραμὼν ἀπαγγείλῃ τοῖς μισθωσαμένοις, δίδωσι σημεῖον· ἔτι γὰρ ἐπλάττετο τὴν μαθητοῦ εὔνοιαν ἔχειν (3), μιαιφονίαν ὠδίνων. « Ὑπαντήσει γὰρ, φησὶν, ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων. » Ἢ τάχα που καὶ μυστικόν τι καὶ ἀναγκαῖον διὰ τούτου δηλῶν· ἔνθα γὰρ ἂν εἰσέλθοι τὸ ὕδωρ (4) (δῆλον δὲ ὅτι τὸ τοῦ ἁγίου βαπτίσματος), ἐκεῖ κατα-D λύσει Χριστός· παντὸς γὰρ ἡμᾶς ἀπαλλάττει ῥύπου, ὥστε καὶ ναὸν ἡμᾶς ἅγιον γενέσθαι Θεοῦ, καὶ τῆς θείας αὐτοῦ φύσεως κοινωνοὺς διὰ μετοχῆς τοῦ ἁγίου Πνεύματος (5)· οὐκ ἂν δὲ ἁμάρτοι τις τοῦ

[84] Isa. XXXIII, 20.

(1) Absurda prorsus est Corderii interpretatio hujus loci : *Typos cognoscimus, veritatem honoremus.* Atqui Cyrillus dicit Christum qui erat veritas, adhuc voluisse honorare figuram sui, id est, Pascha quod celebravit.

(2) Perverso rursus sensu Corderius : *Cur hominem tam accurate descripsit.*

(3) Male adhuc Corderius referens ad Christum verba : *Sciebat enim et deflebat amentiam discipuli* (ἄνοιαν pro εὔνοιαν.) Invitus equidem hæc cuarguo ; sed interpretationis meæ diversitatem comprobare identidem apud Hellenismi imperitos necesse est.

(4) Non bene Corderius : *Huc enim intravit aqua.*

(5) Denuo Cyrillus de baptismi utilitate ac necessitate; quod propter quasdam hodierni temporis sectas, animadvertere non est incongruum.

Digitized by Google

ἀληθοῦς, καὶ ἄγγειον [cod. ἀνάγειον] εἶναι λέγων τοῦ ἁγίου Πνεύματος, παντὸς ἁγίου ψυχήν. « Καυχάσθω γάρ, φησίν, ὁ ἀδελφὸς ὁ ταπεινὸς ἐν τῷ ὕψει αὐτοῦ. »

A inquit (Jac. ap.), frater humilis in exaltatione sua [88]. »

Καὶ ὅτε ἐγένετο ἡ ὥρα, ἀνέπεσε, καὶ οἱ δώδεκα ἀπόστολοι σὺν αὐτῷ.

413 V. 14. *Et cum facta esset hora discubuit, et duodecim apostoli cum eo.*

(A f. 279) Ἑτοιμάσασι τὸ Πάσχα τοῖς μαθηταῖς συνειστιᾶτο Χριστός· ἀνεξικακῶν δὲ τῷ προδότῃ φησίν· « Ἐπεθύμησα τοῦτο τὸ Πάσχα φαγεῖν μεθ' ὑμῶν. » Τί δὲ τοῦτο δηλοῖ; Καιρὸν ἐζήτει τῆς προδοσίας ὁ φιλάργυρος μαθητής· ἵνα δὴ μὴ πρὸ τῆς ἑορτῆς τοῦ Πάσχα τοῖς φονῶσιν αὐτῶν παραδῷ, οὐ διαμεμήνυκεν ὁ Σωτὴρ ἢ τὸν οἶκον, ἢ τὸν ἄνθρωπον, παρ' ᾧ τὸ Πάσχα πεπλήρωκεν. Ἀποδιδοὺς τοιγαροῦν τὴν αἰτίαν τοῦ μὴ θελῆσαι σαφῶς εἰπεῖν τὸν παρ' ᾧ κατέλυσεν· « Ἐπιθυμίᾳ, φησίν, ἐπεθύμησα τοῦτο τὸ Πάσχα φαγεῖν μεθ' ὑμῶν. » Ὅμοιον ὡς εἰ λέγοι· Πᾶσαν ἐθέμην σπουδὴν, ὅπως ἂν ἰσχύσω λαθεῖν τὴν τοῦ προδότου ἀνοσιότητα, ἵνα μὴ πρόωρον ὑπομείνω τὸ πάθος. Πλὴν, οὐ μὴ φάγω τὸ Πάσχα τοῦτο, ἕως οὗ πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ. Ἔθος δὲ αὐτῷ βασιλείαν Θεοῦ ὀνομάζειν τὴν ἐν πίστει δικαίωσιν, τὴν διὰ τοῦ βαπτίσματος κάθαρσιν, καὶ τὴν τοῦ ἁγίου Πνεύματος μέθεξιν, καὶ τῆς ἐν πνεύματι λατρείας τὴν δύναμιν. Οὐκοῦν οὐ γεύσομαι, φησί, τοιούτου Πάσχα, τοῦ διὰ βρώσεως δηλονότι δηλουμένου τυπικῶς, ἕως οὗ πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ· τοῦτ' ἔστιν, ἀναδειχθέντος τοῦ καιροῦ, καθ' ὃν ἡ βασιλεία τῶν οὐρανῶν εὐαγγελίζηται. Πληροῦται γὰρ ἐν ἡμῖν τοῖς τὴν ὑπὲρ νόμον τιμῶσι λατρείαν, Πάσχα τὸ ἀληθινόν. Καὶ οὐκ ἐξ ἀγέλης ἀμνὸς ἁγιάζει τοὺς ἐν Χριστῷ, *αὐτὸς δὲ μᾶλλον ἁγίως ἱερουργούμενος διὰ τῆς μυστικῆς εὐλογίας* (1), καθ' ἣν εὐλογούμεθα καὶ ζωοποιούμεθα. Γέγονε γὰρ ἡμῖν ἄρτος ζῶν, ὁ ἐξ οὐρανοῦ καταβάς, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ. — (C f. 153) Ἐν τῷ εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγελίῳ οὕτω κεῖται· « Οὐ μὴ πίω ἀπάρτι ἐκ τούτου γενήματος τοῦ ἀμπέλου, ἕως τῆς ἡμέρας ἐκείνης ὅταν αὐτὸ πίνω μεθ' ὑμῶν ἐν τῇ βασιλείᾳ τοῦ Πατρός μου. »

B Igitur cum satis causam demonstrasset cur noluerit manifeste dicere apud quem esset diversaturus, postea tamen dixit: « Desiderio desideravi hoc Pascha manducare vobiscum. » Non secus ac si diceret: Omne studium contuli, ut proditoris improbitatem laterem, ne forte intempestivam sustinerem passionem. Verumtamen ulterius non manduco hoc Pascha, antequam idem compleatur in regno Dei. Mos Christo erat Dei regnum nominandi justificationem in fide, purgationem quæ fit per baptismum, et sancti Spiritus participationem, cultusque spiritalis vim. Itaque non gustabo, inquit, hujusmodi Pascha, hoc nimirum ex corporali alimonia figuraliter constans, donec compleatur in regno Dei, id est donec adsit tempus, quo regnum Dei annuntiabitur. Revera in nobis, qui superiorem legi cultum maluimus, Pascha verum completur. Neque agnus de grege sumptus Christianos sanctificat, *sed ipse potius Christus sancte immolatus per mysticam benedictionem*, in qua benedicimur et vivificamur. Factus est enim nobis panis vivus, qui de cœlo descendit, et vitam mundo dat [86]. — In Evangelio secundum Matthæum ita ponitur: « Non bibam amodo de hoc genimine vitis, usque in diem illum cum illud bibam vobiscum in regno Patris mei [87]. »

C

(A f. 280) Ἀσταχύων γὰρ οἷά τις ἀπαρχὴ, καὶ νέος ὥσπερ καρπὸς ἐν εἴδει δράγματος, νοεῖται Χριστὸς (2), ὁ πρωτότοκος ἐκ νεκρῶν, ἡ τῆς ἀναστάσεως καὶ ἡμῖν ὁδὸς, ὁ πάντα πρὸς καινότητα μεταστοιχειῶν, καὶ παλαιότητος ἀπαλλάττων. Ἀνεκομίζετο δὲ τὸ δράγμα ἔναντι Κυρίου. Ἐγηγερμένος γὰρ ἐκ νεκρῶν ὁ Ἐμμανουὴλ, ὁ νέος τῆς ἀνθρωπότητος καὶ ὡς ἐν ἀφθαρσίᾳ καρπὸς, ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, ἵνα ἐμφανισθῇ νῦν ὑπὲρ ἡμῶν τῷ προσώπῳ τοῦ Θεοῦ καὶ Πατρός. Καὶ οὐχὶ δὴ πάντως ἑαυτὸν εἰς ὄψιν ἄγων αὐτοῦ· σύνεστι γὰρ ἀϊδίως καὶ οὐκ ἂν ἀπολιμπάνοιτο τοῦ Πατρὸς, ὡς Θεός· ὡς ἐν ἑαυτῷ

Spicarum veluti quædam primitiæ, et **414** novellus quasi fructus, in manipuli specie, intelligitur Christus, primogenitus mortuorum [88], nostra ad resurrectionem via, qui cuncta ad novitatem D transformat, vetustate depulsa. Deferebatur porro manipulus ante Dominum. Resuscitatus enim e mortuis Emmanuel, novellus humanitatis incorruptibilis fructus, in cœlum conscendit, ut appareat nunc pro nobis ante conspectum Dei Patris. Neque vero seipsum prorsus conspectui Patris exhibet; semper enim cum illo est; neque a Patre unquam discessit, utpote Deus; sed in se ipso ad

[86] Luc. I, 9. [87] Joan. VI, 33. [87] Matth. XXVI, 29. [88] Coloss. I, 18.

(1) Compara sis præclarum hoc testimonium cum æque nobili Eusebii Cæsariensis in magno ejus de Paschate quod nos edidimus fragmento. Et animadverte sententiam Cyrilli perspicuum quod reapse missa sit sacrificium, contra heterodoxos illos qui cœnam tantummodo appellare volunt.

(2) Confer editum a nobis Eutychii patriarchæ sermonem de Paschate et sacrosancta Eucharistia, n. 4.

Digitized by Google

Patris conspectum nos potius adducit, qui relegati ab ejus facie eramus, et quibus ipse irascebatur, propter transgressionem in Adamo, et ob peccati contra nos tyrannidem. Et videsis quomodo nobis lex tempus quoque resurrectioni conveniens portendebat, nempe tertiam diem : « Crastina enim, inquit, post primam, die offeret manipulum sacerdos ante Dominum [90]. » Exin sanctæ quoque Pentecostes statim nobis evidentem prætulit imaginem, septem dicens oportere numerare hebdomadas post manipuli oblationem. Etenim post diem qua Servator resurrexit, septem continuantes hebdomadas, tum demum crastina die Pentecosten celebramus nos qui credidimus.

A δὲ μᾶλλον εἰς ὄψιν ἄγων ἡμᾶς τοὺς ἔξω προσώπου καὶ ἐν ὀργῇ, διὰ τὴν ἐν Ἀδὰμ παράβασιν (1), καὶ τὴν καθ' ἡμῶν τυραννήσασαν ἁμαρτίαν. Ὅρα δὲ ὅπως ἡμῖν ὁ νόμος καὶ τὸν τῇ ἀναστάσει πρέποντα προανετύπου καιρὸν, τουτέστι τὴν τρίτην ἡμέραν· « Τῇ γὰρ ἐπαύριον τῆς πρώτης, φησὶν, ἀνοίσει τὸ δράγμα ὁ ἱερεὺς ἔναντι Κυρίου. » Εἰσηκούσθη δὲ παραχρῆμα τῆς ἁγίας ἡμῖν Πεντηκοστῆς προανατύπωσιν ἐναργῆ, ἑπτὰ χρῆναι λέγων ἐναριθμεῖν ἑβδομάδας, τῇ τοῦ δράγματος ἀνακομιδῇ. Μετὰ γάρ τοι τὴν ἀναστάσιμον τοῦ Σωτῆρος ἡμέραν, ἑπτὰ συνείροντες ἑβδομάδας, τὴν ἐπαύριον Πεντηκοστὴν ἑορτάζομεν οἱ πεπιστευκότες.

V. 19. *Et accepto pane, gratias agens fregit, deditque eis, dicens: Hoc est corpus meum,* etc.

Gratias agit, id est orantis specie Deum Patrem alloquitur, participem veluti ipsum simulque præbitorem demonstrans dandæ nobis vivificæ benedictionis. Quælibet enim gratia et quodvis donum perfectum ad nos devenit a Patre per Filium in sancto Spiritu [91]. Porro hæc actio typum nobis exhibebat precis ejus quam proferre deberemus, quotiescunque mystici vivificique muneris gratiam oblaturi essemus, quod reapse facere solemus. Nam præmissa gratiarum actione, simulque Deum **415** Patrem cum Filio et cum Spiritu sancto laudantes, ad sanctas mensas sic accedimus; credentes ita nos vivificari atque benedici corporaliter ac spiritaliter. *Accipimus enim intra nos humanatum nostri causa Verbi Patris Verbum*, quod et vita est et vivificat.

Καὶ λαβὼν ἄρτον, εὐχαριστήσας ἔκλασε· καὶ ἔδωκεν αὐτοῖς, λέγων· Τοῦτό ἐστι τὸ σῶμά μου, κ.τ.λ.

(A f. 281, D f. 73) Εὐχαριστεῖ μὲν, τουτέστιν, ἐν σχήματι προσευχῆς διαλέγεται τῷ Θεῷ Πατρὶ, κοινωνὸν ὥσπερ αὐτὸν καὶ συνευδοκητὴν ἀποφαίνων τῆς δοθησομένης ἡμῖν εὐλογίας ζωοποιοῦ. Πᾶσα γὰρ χάρις καὶ πᾶν δώρημα τέλειον ἐφ' ἡμᾶς ἔρχεται παρὰ Πατρὸς δι' Υἱοῦ ἐν ἁγίῳ Πνεύματι. Τύπος δὲ ἦν ἄρα τὸ δρώμενον εἰς ἡμᾶς αὐτοὺς, τῆς ἐφειλούσης προσανατείνεσθαι λιτῆς, εἰ μέλλοι προτίθεσθαι παρ' ἡμῶν τῆς μυστικῆς καὶ ζωοποιοῦ δωροφορίας ἡ χάρις, ὃ δὴ καὶ δρᾷν εἰθίσμεθα. Προσαναπέμποντες γὰρ τὰς εὐχαριστίας, καὶ ὁμοῦ τῷ Θεῷ καὶ Πατρὶ δοξολογοῦντες τὸν Υἱὸν σὺν τῷ ἁγίῳ Πνεύματι, πρόσιμεν οὕτω ταῖς ἁγίαις τραπέζαις· πιστεύοντές τε ὅτι ζωοποιούμεθα καὶ εὐλογούμεθα καὶ σωματικῶς καὶ πνευματικῶς. *Δεχόμεθα γὰρ ἐν αὐτοῖς τὸν ἐνανθρωπήσαντα δι' ἡμᾶς τοῦ Θεοῦ Πατρὸς Λόγον* (2), ὃς ἐστι ζωὴ καὶ ζωοποιός.

Age vero quænam sit hujus nostri mysterii ratio, pro viribus investigemus. Condiderat nimirum universalis Deus cuncta immortalia; fuerantque mundi origines plenæ salutis : sed mors introjit in mundum diaboli invidia [92], qui primum hominem ad transgressionem et inobedientiam impulit, atque ob eam causam divino maledicto supposuit. Dictum enim ei fuit : « Pulvis es, et in pulverem reverteris [93]. » Sed enim illatum ab Adami improbitate damnum, Creatoris bonitate superatum fuit, qui terræ incolis suppetias tulit; nam vita suapte natura Deus Pater est; isque solus ita se habens, emisit ex semet Christum, ipsum quoque suapte natura vitam. Neque enim aliter habere se poterat, quod substantialiter ex vita processit Verbum. Cuncta igitur vivificat Deus Pater per Filium in sancto Spiritu. Quomodo ergo oportebat terræ incolam hominem, morti subditum, ad immortalitatem redire? Oportebat scilicet mortalem carnem vivificæ Dei virtutis fieri participem. Virtus autem Dei Patris vivifica unigenitum Verbum est. Hoc ad

Εἶτα τίς ἐστιν ὁ τοῦ καθ' ἡμᾶς μυστηρίου λόγος, ὡς ἔνι ζητήσωμεν. Ἔκτισε τοίνυν ὁ τῶν ὅλων Θεὸς ἐπὶ ἀφθαρσίᾳ τὰ πάντα· καὶ εἰσὶν αἱ γενέσεις τοῦ κόσμου σωτήριοι· φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον· παρεκόμισε γὰρ εἰς παράβασιν καὶ παρακοὴν τὸν πρῶτον ἄνθρωπον, καὶ αὐτῆς ἕνεκα τῆς αἰτίας ὑπὸ θείαν ἀρᾶν. Εἴρηται γὰρ πρὸς αὐτόν· « Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ. » Ἀλλ' ὑπερῆλατο τῆς ἐκείνου δυστροπίας τὸ βλάβος ἡ τοῦ κτίσαντος ἡμερότης· βεβοήθηκε τοῖς ἐπὶ τῆς γῆς· ζωὴ μὲν γάρ ἐστι κατὰ φύσιν ὁ Θεὸς καὶ Πατήρ· μόνος δὲ τοῦτο ὑπάρχων, ἐξέλαμψε τὸν Χριστὸν, ζωὴν ὄντα καὶ αὐτόν· οὐ γὰρ ἦν ἑτέρως δύνασθαι τὸν οὐσιωδῶς ἐκ ζωῆς προελθόντα λόγον. Πάντα τοίνυν ὁ Θεὸς καὶ Πατὴρ ζωογονεῖ δι' Υἱοῦ, ἐν ἁγίῳ Πνεύματι. Πῶς οὖν ἔδει τὸν ἐπὶ γῆς ἄνθρωπον κεκρατημένον θανάτῳ πρὸς ἀφθαρσίαν ἀναδραμεῖν; Ἔδει τὴν ἀποθνήσκουσαν σάρκα τῆς παρὰ Θεοῦ ζωοποιοῦ δυνάμεως γενέσθαι μέτοχον. Δύναμις δὲ τοῦ Θεοῦ καὶ Πατρὸς ἡ ζωοποιὸς ὁ μονογενὴς ἐστι Λόγος. Τοῦτον ἡμῖν ἔπεμψε σωτῆρα καὶ λυτρωτὴν,

[90] Levit. xxiii, 11. [91] Jac. i, 17. [92] Sap. ii, 23, 24. [93] Gen. iii, 19.

(1) Vides hic denuo apud Cyrillum peccati originalis dogmaticam doctrinam, cui male feriati theologi rursus contradicunt.

(2) Adhuc nobile Cyrilli testimonium de SS. Eucharistia, prout est in dogmate Catholicorum.

Digitized by Google

καὶ γέγονε σάρξ· οὐ τροπὴν ἢ ἀλλοίωσιν ὑπομείνας εἰς ὅπερ οὐκ ἦν· οὔτε μὴν ἀποφοιτήσας τοῦ εἶναι Λόγος· γεννηθεὶς δὲ μᾶλλον κατὰ σάρκα ἐκ γυναικὸς, καὶ ἰδιοποιησάμενος σῶμα τὸ ἐξ αὐτῆς, ἵν' ἡμῖν ἑαυτὸν ἐμφυτεύσῃ καθ' ἕνωσιν ἀδιάσπαστον, καὶ θανάτου καὶ φθορᾶς ἀποφήνῃ κρείττονας. Τὴν γὰρ ἡμῶν ἠμπέσχετο σάρκα, ἵν' ἐκ νεκρῶν ἀναστήσας αὐτὴν, ὁδοποιήσῃ λοιπὸν τῇ πρὸς θάνατον κατενηνεγμένῃ σαρκὶ, τὴν εἰς ἀφθαρσίαν ἀναδρομὴν, καθά φησιν ὁ Παῦλος· « Ἐπειδὴ γὰρ δι' ἀνθρώπου θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν· ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτως καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται. » Ἑνώσας τοίνυν ἑαυτῷ τὴν τῷ θανάτῳ κάτοχον σάρκα, Θεὸς ὢν ὁ Λόγος καὶ ζωὴ, ἀπεσόβησε μὲν αὐτῆς τὴν φθορὰν, ἀπέφηνε δὲ αὐτὴν καὶ ζωοποιόν (1).

Καὶ μὴ ἀπιστήσῃς οἷς εἶπον· δέχου δὲ μᾶλλον ἐν πίστει τὸ ῥῆμα, ἐκ μικρῶν παραδειγμάτων τὰς ἐπ' αὐτῷ δὴ τούτῳ πληροφορίας συλλέγων. Ὅταν εἰς οἶνον ἢ γοῦν εἰς ἔλαιον ἢ εἴς τι τῶν ὑγρῶν μικρὸν ὄρτον ἐμβάλῃς, εὑρήσεις αὐτὸν γεγονότα μεστὸν τῆς ἐκεῖ ποιότητος. Ὅταν σίδηρος ὁμιλήσῃ πυρὶ, τότε ἐμπίπλαται τῆς ἐνεργείας αὐτοῦ, καὶ σίδηρος ὢν κατὰ φύσιν ἰδίαν, τὴν τοῦ πυρὸς ὠδίνει δύναμιν. Οὐκοῦν ὁ ζωοποιὸς τοῦ Θεοῦ Λόγος, ἑνώσας ἑαυτὸν τῇ ἰδίᾳ σαρκὶ, καθ' ὃν οἶδε τρόπον αὐτὸς (2), ζωοποιὸν ἀπέφηνεν αὐτήν. Ἔφη γὰρ αὐτός· « Ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ, ἔχει ζωὴν αἰώνιον. Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. » Καὶ πάλιν· « Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις φάγῃ ἐκ τοῦ ἄρτου τούτου, ζήσεται εἰς τὸν αἰῶνα· καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν. Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. » Οὐκοῦν ἐσθίοντες τὴν σάρκα τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, καὶ πίνοντες αὐτοῦ τὸ τίμιον αἷμα, ζωὴν ἔχομεν ἐν ἑαυτοῖς, ἓν ὡς πρὸς αὐτὸν ἀποτελούμενοι, καὶ ἐν αὐτῷ μένοντες, ἔχοντες δὲ αὐτὸν καὶ ἐν ἑαυτοῖς (3).

Καὶ μή τις λεγέτω τῶν ἀπιστεῖν εἰωθότων· Ἆρα οὖν ἐπειδὴ καὶ ἐν ἡμῖν ζωὴ κατὰ φύσιν ὑπάρχων ὁ τοῦ Θεοῦ Λόγος αὐλίζεται, ζωοποιόν ἐστι καὶ τὸ ἑκάστου σῶμα; Ἴστω δὲ μᾶλλον ὡς ἕτερόν ἐστι τὸ κατὰ μέθεξιν σχετικὴν ἡμᾶς ἔχειν ἐν ἑαυτοῖς τὸν Υἱὸν, ἕτερον δὲ ὁλοτρόπως τὸ αὐτὸν γενέσθαι σάρκα, τουτέστιν, ἴδιον ποιήσασθαι σῶμα τὸ ἐκ τῆς ἁγίας Παρθένου ληφθέν. Οὐ γὰρ ἐν ἡμῖν γενόμενος, ἐνανθρωπῆσαι λέγεται καὶ γενέσθαι σάρξ· τοῦτο γὰρ γέγονεν ἅπαξ, ὅτε προῆλθεν ἄνθρωπος, οὐκ ἀποβαλὼν τὸ εἶναι Θεός· ἴδιον οὖν γέγονε σῶμα τοῦ Λόγου, τὸ ἐκ τῆς ἁγίας Παρθένου ληφθὲν καὶ ἑνωθὲν αὐτῷ. Πῶς

A nos misit, ut salvator esset atque redemptor, quod ideo caro factum est, non conversionem aut mutationem passum in id quod non erat, neque desinens esse Verbum; sed genitum potius secundum carnem ex muliere, propriumque ex illa sibi sumens corpus, ut nobiscum copularetur inseparabili conjunctione, nosque mortis et corruptelæ victores efficeret. Nam nostram sibi carnem induit, ut eam a mortuis suscitans, viam deinde sterneret carni in mortem delapsæ, redeundi ad immortalitatem, **416** ut ait Paulus: « Quandoquidem per hominem mors, et per hominem resurrectio mortuorum: nam sicut in Adamo omnes moriuntur, ita et in Christo omnes vivificabuntur [99]. » Ergo sibi copulans obnoxiam morti carnem, Deus Verbum
B et vita, depulit ab illa corruptelam, ipsamque insuper effecit vivificam.

Neque vero verbis meis fidem non arroges; sed potius cum fide dictum excipe, parvis ab exemplis hujusce rei probationes colligens. Si quando in vinum, aut in oleum, aut in humorem quemlibet, panis micam injeceris, comperies eam humidæ illorum qualitatis prorsus plenam. Cum igni ferrum admoveris, tunc illius vi repletur, et cum sit suapte natura ferrum, nihilominus ignis vim continet. Itaque vivificum Dei Verbum cum se propriæ copulavit carni, eo quem scit ipse modo, vivificam illam effecit. Dixit enim ipse: « Amen dico vobis, qui credit in me, vitam æternam habet. Ego sum panis vitæ [94]. » Et rursus: « Ego sum panis vivus,
C qui de cœlo descendi; si quis manducaverit ex hoc pane, vivet in æternum: et panis quem ego dabo, caro mea est [95]. Amen dico vobis: nisi manducaveritis carnem Filii hominis, et biberitis ejus sanguinem, non habetis vitam in vobis [96]. » Ergo manducantes carnem omnium nostrum Servatoris Christi, et sanguinem ejus bibentes, vitam habemus in nobis, unum veluti effecti cum ipso, et in ipso manentes, ipsumque in nobis habentes.

Nec quisquam incredulus dicat: ergone, quoniam illud quod vita naturaliter est Dei Verbum in nobis habitat, uniuscujusque etiam corpus vivificum est? Sciant vero hi potius, aliud esse secundum participationis habitudinem in se habere Filium (Dei), aliud autem ipsum Filium carnem
D omnino **417** esse factum, id est proprium sibi corpus sumpsisse de sancta Virgine. Nam cum intra nos est, non idcirco dicitur factus caro: id enim semel accidit, cum inde prodiit factus homo, non desinens esse Deus. Proprium itaque factum est Verbi corpus illud quod ex sancta Virgine sum-

[99] I Cor. xv, 21, 22. [94] Joan. vi, 47. [95] ibid. 51, 52. [96] ibid. 54.

(1) Viden' quam theologice et eleganter Cyrillus Christum nostræ resurrectionis causam demonstraverit?

(2) Hac Cyrilli dictione nonnulli veteres abusi sunt, ne quid definite profiteri cogerentur circa Verbi cum humana natura unionem; atque ita neque monophysitarum neque orthodoxorum in castris esse viderentur. Cæteroqui Cyrillus de arcano unionis modo tantum, ut infra repetit, non de re ipsa, loquitur.

(3) Pia ac præclara doctrina de sumendæ Eucharistiæ utilitate!

Digitized by Google

ptum sibi copulavit. Qui autem id actum fuerit qualive ratione, dicere fas non est. Ineffabilis enim et inintelligibilis omnino est, ipsiquo tantummodo cognitus unionis modus. Oportebat vero ipsum intra nos per sanctum Spiritum eo, qui Deum decet, modo versari; nostrisque veluti contemperari corporibus per sanctam carnem suam sanguinemque pretiosum: quæ sane per vivificam benedictionem habemus tanquam in pane ac vino. Ne forte enim obtorperemus, si carnem et sanguinem in sanctis ecclesiarum mensis proponi nobis aspiceremus, indulgens nostris infirmitatibus Deus, vitalem vim propositis rebus inspirat, easque ad sui corporis efficientiam transmutat; ut easdem ad vivificam habeamus participationem, et tanquam semen vivificans sit in nobis corpus vitæ (1). *Neque dubites; id quippe verum est, ipso manifeste dicente: « Hoc est corpus meum, » et, « Hic est sanguis meus. » Imo potius Servatoris verba cum fide recipe; qui cum sit veritas, non mentitur.*

A δὲ ἢ τίνα τρόπον, εἰπεῖν οὐκ ἔνεστιν. Ἄφραστος γὰρ καὶ ἀπερινόητος παντελῶς, καὶ αὐτῷ μόνῳ γνώριμος ὁ τῆς ἑνώσεως τρόπος. Ἔδει τοίνυν αὐτὸν διὰ τοῦ ἁγίου Πνεύματος ἐν ἡμῖν γενέσθαι θεοπρεπῶς· συναναχυρᾶσθαι δὲ ὥσπερ τοῖς ἡμετέροις σώμασι, διὰ τῆς ἁγίας αὐτοῦ σαρκὸς καὶ τοῦ τιμίου αἵματος· ἃ δὴ καὶ ἐσχήκαμεν εἰς εὐλογίαν ζωοποιὸν, ὡς ἐν ἄρτῳ τε καὶ οἴνῳ. Ἵνα γὰρ μὴ ἀποναρκήσωμεν, σάρκα τε καὶ αἷμα προκείμενα βλέποντες ἐν ἁγίαις τραπέζαις ἐκκλησιῶν, συγκαθιστάμενος ὁ Θεὸς ταῖς ἡμετέραις ἀσθενείαις, ἐνίησι τοῖς προκειμένοις δύναμιν ζωῆς, καὶ μεθίστησιν αὐτὰ πρὸς ἐνέργειαν τῆς ἑαυτοῦ σαρκός· ἵνα εἰς μέθεξιν ζωοποιὸν ἔχωμεν αὐτὰ, καὶ οἷον σπέρμα ζωοποιὸν ἐν ἡμῖν εὑρεθῇ τὸ σῶμα τῆς ζωῆς. *Καὶ μὴ ἀμφιβάλῃς, ὅτι τοῦτό ἐστιν ἀληθὲς, αὐτοῦ* B *λέγοντος ἐναργῶς. « Τοῦτό μού ἐστι τὸ σῶμα, » καὶ « Τοῦτό μού ἐστι τὸ αἷμα. » Δέχου δὲ μᾶλλον τοῦ Σωτῆρος ἐν πίστει τὸν λόγον· ἀληθὲς γὰρ ὢν, οὐ ψεύδεται.*

V. 21. *Ecce manus tradentis me, mecum est in mensa.*

Ἰδοὺ ἡ χεὶρ τοῦ παραδιδόντος με μετ' ἐμοῦ ἐπὶ τῆς τραπέζης.

Existimabat fortasse diabolica malitia plenus proditor posse Christum, qui Deus erat, latere; sed a Christo scelestus coargutus fuit, quanquam ejus mensæ dignanter conviva adhibitus, divinamque in omnibus bonitatem expertus, id quod potissime graviorem ei pœnam promeruit. Verumtamen væ Judæ, prout dixit Servator! Hic enim juxta Dei Patris beneplacitum semet pro nobis dedidit, ut nos C omni **418** malo expediret: ille autem quia communem servatorem Christum ac redemptorem homicidarum manibus tradidit, dignissimam diabolo pœnam sortietur.

(A f. 282 b, C f. 153) Ἦφετο μὲν ἴσως διαβολικῆς ἀπονοίας ἐπίμεστος ὢν ὁ προδότης, δύνασθαι λαθεῖν Θεὸν ὄντα Χριστὸν, ἀλλ' ἠλέγχετο παρὰ Χριστοῦ, παμπόνηρος ὢν, καίτοι τραπέζης ἀξιούμενος καὶ συνέστιος ὢν, καὶ τῆς θείας ἡμερότητος μέχρι παντὸς ἀπολαύσας, ὃ δὴ μάλιστα φορτικωτέραν αὐτῷ τὴν κόλασιν ἀπεργάζεται. Πλὴν οὐαὶ τῷ Ἰούδᾳ, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν! Ὁ μὲν γὰρ κατ' εὐδοκίαν τοῦ Θεοῦ Πατρὸς δέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα παντὸς ἡμᾶς ἐξέληται κακοῦ· ὁ δὲ τὸν τῶν ὅλων σωτῆρα Χριστὸν καὶ λυτρωτὴν ταῖς τῶν φονώντων χερσὶ παραδοὺς, τὴν τῷ διαβόλῳ πρεπωδεστάτην κληρονομήσει δίκην.

V. 24. *Facta est autem et contentio inter eos, quis eorum videretur esse major.*

Ἐγένετο δὲ καὶ φιλονεικεία ἐν αὐτοῖς, τὸ, τίς αὐτῶν δοκεῖ εἶναι μείζων.

Discipuli quidem humanum quid patientes, contendebant inter se, quis eorum futurus esset major, nolentibus fortasse iis, qui secundi ordinis erant, primis cedere. Porro hæc lis commota fuit et scripta ob nostram utilitatem. Statim enim Christus hunc morbum objurgavit, qui erat inconsideratus gloriæ amor, cujus radix superbia. Namque extolli ad virtutem, dignum omni laude est: qui autem D ita sunt comparati, eos decet modesto animo esse, fraternaque charitate aliis concedere præeminentiam. Quippe qui tumidos gerunt spiritus, ii videntur ethnicorum principibus similes, qui superbo semper ingenio esse solent; nam benefici, ut mox dicitur, vocantur, id est ita a subditis adulanter appellantur. Sed hi utique, extra sacras leges positi, in hac animi infirmitate versentur; vos vero secus; sed culmen sit in humilitate.

(A f. 283, B f. 198, D f. 73 b) Οἱ μέντοι μαθηταὶ ἀνθρώπινόν τι παθόντες, πεφιλονεικήκασι πρὸς ἀλλήλους, τί; ἄρα μείζων ἔσται ἐν αὐτοῖς, οὐκ ἀνεχομένων τάχα που τῶν τὴν δευτέραν ἐχόντων τάξιν τοῖς πρωτεύουσι παραχωρεῖν. Κεκίνηται δὲ τοῦτο καὶ γέγραπται πρὸς ὄνησιν ἡμετέραν· ἐπετίμα γὰρ παραχρῆμα Χριστὸς τῇ τοιᾷδε νόσῳ· τοῦτο δὲ ἦν ἡ ἀνόητος φιλοδοξία, ῥίζαν ἔχουσα τὴν ὑπερηφίαν. Τὸ μὲν γὰρ ἧρθαι κατ' ἀρετὴν, τοῦ παντὸς ἄξιον λόγου· δεῖ δὲ τοὺς οὕτω διακειμένους μετρίῳ κεχρῆσθαι φρονήματι, καὶ παραχωρεῖν ἐξ ἀγάπης ἀδελφοῖς τὸ ἐν μείζοσιν εἶναι δοκεῖν. Τὸ γὰρ πεφυσημένον ἔχειν τὸ φρόνημα, παραπλησίους ὁρᾶσθαι ποιεῖ τοῖς τῶν ἐθνῶν ἡγουμένοις, οἷς τὸ ὑπέρογκον φρόνημα φῦσαν ἀεί πώς ἐστιν· εὐεργέται γὰρ, φησὶ, καλοῦνται, τουτέστι, κολακεύονται παρὰ τῶν ὑποδεεστέρων. Ἀλλ' ἐκεῖνοι μὲν ὡς ἔξω νόμων ἱερῶν ἐν τοιαύταις ἔστωσαν ἀῤῥωστίαις· παρ' ὑμῖν δὲ οὐχ οὕτως, ἀλλ' ἔστω τὸ ὕψος ἐν ταπεινότητι.

(1) Id est corpus Christi, ut patet. Admirare autem totum hoc Cyrilli insigne testimonium de sacrosancta Eucharistia. Aliud paris ponderis dat Cyrillus in Epistola ad Calosyrium episcopum libro contra Anthropomorphitas præmissa (*Opp. nov. ed.* t. IX.

Digitized by Google

Ἐγὼ δὲ εἰμὶ ἐν μέσῳ ὑμῶν ὡς διακονῶν. A

(A f. 285 b) Ταῦτα λέγοντος τοῦ Χριστοῦ, τίς ἐστιν οὕτως ἀπηνής, ὡς μὴ πᾶσαν ἀποπτύσαι φιλοδοξίαν, Ὁ γὰρ ὑπὸ πάσης κτίσεως λογικῆς καὶ ἁγίας διακονούμενος, ὁ σύνθρονος καὶ συμβασιλεύων τῷ Θεῷ καὶ Πατρὶ, διακόνου τάξιν ἐπέχων, ἔνιψε τοὺς πόδας τῶν μαθητῶν. Καθ' ἕτερον δὲ τρόπον διακονίας ἔχει τάξιν τῆς μετὰ σαρκὸς οἰκονομίας ὁ τρόπος. Ἔφη γὰρ ὁ Παῦλος· « Λέγω γὰρ Χριστὸν διάκονον γεγενῆσθαι περιτομῆς εἰς τὸ πληρῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων, » καὶ τὰ ἑξῆς. Οἰκοῦν διηκόνησεν ὁ διακονούμενος· καὶ ὁ τῆς δόξης Κύριος τεταπείνωκεν ἑαυτὸν, ἡμῖν καταλιμπάνων ὑπογραμμόν. Ἀλλ' εἰκὸς ἐκεῖνο τάχα που καθ' ἑαυτοὺς διενθυμεῖσθαί τε καὶ λέγειν τοὺς μαθητάς· Ποῖος οὖν ἔσται τῆς γνησιότητος ὁ μισθός; ἤ τί τὸ ἐντεῦθεν ἔσται χρήσιμον, συμβησομένων ἔσθ' ὅτε καὶ πειρασμῶν; Ἵνα τοίνυν τῇ τῶν ἐσομένων ἀγαθῶν ἐλπίδι διανευρύμενοι, πάντα ὄκνον ἐπ' ἀγαθοῖς σπουδάσμασιν ἐκπέμψωσι τῆς ἑαυτῶν διανοίας, ἀναγκαίως φησίν· « Ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου, » κ. τ. λ.—(B f. 197 b, D f. 73 b) Σύνες ὅπως τῶν τῆς ἀνθρωπήσεως μέτρων ἀποφοιτᾷ, οὔπω τὸν τίμιον ὑπομείνας σταυρόν· διαλέγεται γὰρ ὡς εἷς ἐξ ἡμῶν· μετὰ δέ γε τὴν ἐκ νεκρῶν ἀναβίωσιν πεφανέρωκεν ἑαυτοῦ τὴν δόξαν, καιροῦ καλοῦντος εἰς τοῦτο· ἔφη γάρ, ὅτι « Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. » Διαλέγεται τοίνυν ἀνθρωπίνως, ὡς ἔφην. Διὰ τοῦτό φησι· « Κἀγὼ διατίθεμαι ὑμῖν, καθὼς διέθετό μοι ὁ Πατήρ μου βασιλείαν, ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου. » Ἆρα οὖν καὶ μετὰ τὴν ἐκ νεκρῶν ἀναβίωσιν, ἐνστάντος τοῦ καιροῦ, καθ' ὃν συνεσόμεθα τῷ Χριστῷ, συμμόρφους ἡμᾶς ἀποφαίνοντι τοῦ σώματος τῆς δόξης αὐτοῦ, μετὰ τὸ ἐνδύσασθαι τὴν ἀφθαρσίαν, ἐδεσμάτων πάλιν ἐν χρείᾳ ἐσόμεθα καὶ τραπέζης; Οὐδαμῶς· ἀλλ' ἐκ τῶν καθ' ἡμᾶς πραγμάτων ὑποφαίνει τὰ πνευματικά. Οἱ μὲν γὰρ τὰς παρὰ τῶν ἐπιγείων βασιλέων πρώτας ἔχοντες τιμὰς, συνέστιοί τέ εἰσιν αὐτοῖς καὶ ὁμόσιτοι. Εἰσὶ δὲ καὶ ἕτεροί τινες τιμῆς μὲν τῆς παρὰ τῶν κρατούντων ἀξιούμενοι, οὐ μὴν ὅτι καὶ κοινῆς τραπέζης ἀπτόμενοι. Ὅτι τοίνυν ἐν ταῖς πρωτευούσαις τιμαῖς ἔσονται παρ' αὐτῷ, ὡς ἐκ παραδείγματος τοῦ καθ' ἡμᾶς διαδείκνυσιν. B

V. 27. *Ego autem in medio vestrum sum, sicut qui ministrat.*

Cum sic Christus loquatur, quis est ita contumax qui nolit gloriæ amorem abjicere? Namque is, cui ab omni creatura tum rationali tum sancta ministratur, ille Dei Patris consessor et conregnator, ministri nunc ordinem tenens, lavit pedes discipulorum. Alio autem modo ministerii ordinem habet ratio incarnationis. Ait enim Paulus : « Dico enim Christum ministrum fuisse circumcisionis ad implendas promissiones patrum [97], » et reliqua. Ergo ministravit is, cui ministrabatur; et gloriæ Dominus humiliavit semetipsum, nobis relinquens exemplum [98]. Sed verisimile fortasse est discipulos intra se cogitasse atque etiam dixisse : quædam erit fidelitatis merces? vel quæ inde utilitas, siquando tentationes quoque evenient? Ut ergo futurorum **419** bonorum spe roborati, omnem in rectis studiis torporem mente sua abjicerent, necessario ait : « Vos autem estis, qui permansistis mecum in tentationibus meis, » etc. — Intellige quomodo humanationis suæ mensuram adhuc non excedit, quia nondum venerandam pertulerat crucem. Loquitur enim ut unus ex nobis. Sed tamen post resurrectionem a mortuis, majestatem propriam ostendit tempore ad id vocante. Ait enim : « Data est mihi omnis potestas in cœlo et in terra [99]. » Loquitur ergo humanitus, ut dixi. Propterea ait : « Et ego dispono vobis, sicut disposuit mihi Pater meus regnum, ut edatis et bibatis super mensam meam. » Num ergo postea etiam quam a mortuis revixerimus, cum tempus advenerit quo cum Christo nos versabimur, quos jam conformes corpori gloriæ suæ effecerit, post indutam immortalitatem, num, inquam, cibis adhuc indigebimus atque mensa? Nequaquam ; sed interim nostrarum rerum exemplo, spiritalia nobis demonstrat. Nam qui primos honores apud reges terrenos occupant, ii cum illis convivantur, mensæque participes sunt. Attamen sunt alii dignitatibus quidem apud potentes ornati, quin propterea communi cum his mensa fruantur. Quod itaque principali apud ipsum honore futuri sint, humano exemplo declarat. C

Εἶπε δὲ Κύριος· *Σίμων, Σίμων, ἰδοὺ ὁ Σατανᾶς ἐξητήσατο ὑμᾶς, τοῦ σινιάσαι* (1) *ὡς τὸν σῖτον.* D

V. 31. *Ait autem Dominus : Simon, Simon, ecce Satanas expetivit vos, ut cribraret sicut triticum.*

(A f. 284, B f. 198) Ἀναγκαῖον οἶμαι καὶ ἐπωφελὲς, μαθεῖν τίς ἦν ἡ πρόφασις, ἡ παρενεγκοῦσα εἰς τοῦτο τοῦ Σωτῆρος τοὺς λόγους. Διορθωσάμενος δὲ αὐτοὺς ὁ Χριστὸς δι' ὧν ἐπετίμησε τῷ τῆς φιλοδοξίας πάθει, καὶ ἑαυτὸν εἰς ὑπόδειγμα δέδωκε, τρίτον τοῖς μαθηταῖς ἐπικούρημα προσεκόμικε, διὰ

Necessarium judico et utile cognoscere nos quænam causa ad hunc sermonem Servatorem contulerit. Quippe cum jam correxisset Christus discipulos, gloriæ cupiditatem objurgando, seque in exemplum proponendo, tertium suppeditat discipulis adjutorium præsenti lectione. Docet enim necessita-

[97] Rom. xv, 8. [98] I Petr. II, 21. [99] Matth. xxviii, 18.

(1) Hoc loco in cod. B. f. 198, hæ grammaticalis adnotatio : Σινιάσαι, θορυβῆσαι, κυκῆσαι, σεῖσαι, κοσκινῆσαι, πειράσαι· σίνιον γὰρ παρά τισι καλεῖται τὸ παρ' ἡμῖν κόσκινον, ἐν ᾧ σῖτος τῇδε κἀκεῖσε μεταφερόμενος ταράττεται.

Digitized by Google

tem modeste de nobis sentiendi, qui nihil sumus, ad hominis naturam quod attinet nostræque mentis lubricum; sed 420 per eum et ab eo confirmati, sumus id quod sumus. Non est ergo de nobismet ipsis, sed de ejus donis gloriandum [1]. Porro si quis animo ita fuerit comparatus, quemnam in eo locum inveniet præeminendi cæteris cupiditas? Propterea, cæteris omissis discipulis, ad coryphæum devenit, aitque: « Sæpe Satanas voluit vos cribrare tanquam triticum; » quod dicitur pro explorare ac tentare. Mos enim Satanæ est probæ mentis homines aggrediendi. Sic etiam expetivit Jobum, sed hujus patientia superatus fuit. Nihilominus prævalet humanæ naturæ, quia hæc infirma, ille autem sævus et vehemens. Nam sicut de ipso aiunt sacræ Litteræ, cor ejus obduratum ut lapis, et quasi incus immobile perstat [2]. Nihilo tamen minus sub sanctorum pedibus jacet, hoc item Christo præstante.

V. 32. *Ego autem rogavi pro te.*

Ecce iterum nobis conformatur, et secundum humanitatis modulum loquitur, ille qui Deus erat, quanquam caro factus. Oravisse enim se ait tanquam hominem. His autem verbis significat illum, si traditus fuisset ad tentandum Satanæ, prorsus fidem amissurum; quandoquidem etsi minime traditus, lapsus est; negavit enim, unica eum perturbante ancillula in aula pontificis. Cum ergo Dominus discipuli negationem innuisset iis verbis quibus dixit: « Oravi pro te ut non deficiat fides tua, » infert statim consolatorium sermonem, aitque: « Et tu aliquando conversus confirma fratres tuos, » id est, *Firmamentum atque magister esto illorum qui per fidem ad me accedunt.* Et mirare rursus sermonis solertiam, et divinæ placiditatis culmen. Ne enim in desperationem adduceret discipulum, quasi de apostolatus gloria foret expungendus postquam negasset, implet eum bona spe, fore ut promissa bona consequatur. Ait enim: « Et tu conversus, fratres tuos confirma. » O ineffabilis benignitas! 421 Nondum erat peccatum, et jam veniam præbet, rursusque illum in apostolica dignitate constituit.

V. 34. *Donec ter abneges nosse me.*

Continuantur supra dicta etiam hic. Antea enim prædixerat admirabili Petro, ter se fore ab eo negandum capturæ tempore. Quoniam vero facta nunc capturæ mentio est, subsequuntur prorsus hanc commemorationem reliquæ res, nempe crucis passio. Deinde ingruens Judæis prænuntiat bellum. Idcirco ait: «Quando misi vos sine sacculo et pera et calceamentis, numquid vobis defuit? At illi

[1] I Cor. xv, 10. [2] Job xli, 15.

A τῶν προκειμένων ἀναγνωσμάτων· διδάσκει γὰρ ὅτι μέτρια φρονεῖν ἡμᾶς ἀναγκαῖον, οὐδὲν μὲν ὄντας τί γε ἦκον εἰς τὴν ἀνθρώπου φύσιν, καὶ εἰς τὸ τῆς ἡμετέρας διανοίας εὐόλισθον, στηριζομένους δὲ καὶ ὄντας ὅπερ ἐσμὲν, δι' αὐτόν τε καὶ παρ' αὐτοῦ. Οὐκουν ἐφ' ἑαυτοῖς μᾶλλον, ἀλλ' ἐπὶ τοῖς παρ' αὐτοῦ χαρίσμασι σεμνύνεσθαι δεῖ. Κἂν εἴ τις οὕτως διατεθῇ, ποῖον εὑρήσει τόπον ἐν αὐτῷ τὸ ὑπερκεῖσθαί τινων ἐθέλειν; Ταύτητοι τοὺς μὲν ἑτέρους ἀφίησι μαθητὰς, ἐπ' αὐτὸν δὲ τὸν κορυφαῖον ἔρχεται· καὶ φησιν ὅτι « Πολλάκις ἠθέλησεν ὁ Σατανᾶς σινιάσαι καὶ ὑμᾶς ὡς τὸν σῖτον, » ἀντὶ τοῦ δοκιμάσαι καὶ πειράσαι· ἔθος γὰρ τῷ Σατανᾷ, τοῖς εὐδοκιμοῦσιν ἐπιπηδᾶν· οὕτως ἐζήτησε τὸν Ἰώβ, ἀλλ' ἡττᾶτο τῆς ἐκείνου τλημαθείας. Πλὴν πλεονεκτεῖ τὴν ἀνθρώπου φύσιν, B ἀσθενὴς γὰρ αὕτη, δεινὸς δὲ καὶ ἀπηνὴς ἐκεῖνος· ὡς γάρ φησι περὶ αὐτοῦ τὸ Γράμμα τὸ ἱερὸν, ἡ καρδία αὐτοῦ πέπηγεν ὥσπερ λίθος, ἕστηκε δὲ ὥσπερ ἄκμων ἀνήλατος. Πλὴν τοῖς τῶν ἁγίων ὑπενήνεκται ποσὶ, Χριστοῦ καὶ τοῦτο καταρθοῦντος.

Ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ.

(A f. 284, D f. 74) Ἰδοὺ δὴ πάλιν ἡμῖν συμπλάττεται, καὶ ἐκ τῶν τῆς ἀνθρωπότητος διαλέγεται μέτρων, καίτοι Θεὸς ὢν φύσει, καὶ εἰ γέγονε σάρξ· δεδῆθῆναι γάρ φησιν ὡς ἄνθρωπος. Ἐμφαίνει δὲ διὰ τούτων, ὡς εἴπερ ἐξεδόθη πρὸς πεῖραν τῷ Σατανᾷ, ἄπιστος ἂν ἐγένετο παντελῶς· ὅπου γε καὶ μὴ ἐκδοθεὶς, ἠσθένησεν· ἠρνήσατο γὰρ παιδίσκης μιᾶς θορυβούσης αὐτὸν ἐν τῇ αὐλῇ τοῦ ἀρχιερέως. Ὁ μέντοι Κύριος, τὴν τοῦ μαθητοῦ ἄρνησιν αἰνιξάμενος C ἐν οἷς ἔφη, « Ἐδεήθην περὶ σοῦ ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου, » εἰσφέρει παραχρῆμα τὸν τῆς παρακλήσεως λόγον, καί φησι· « Καὶ σύ ποτε ἐπιστρέψας, στήριξον τοὺς ἀδελφούς σου· » τουτέστι, *γενοῦ στήριγμα καὶ διδάσκαλος τῶν διὰ πίστεως προσιόντων ἐμοί* (1). Καὶ θαύμασον πάλιν τοῦ λόγου τὸ εὐτεχνὲς, καὶ τὸ ὑπερβάλλον τῆς θείας γαληνότητος· ἵνα γὰρ μὴ εἰς ἀπόγνωσιν ἀγάγῃ τὸν μαθητὴν, ὅτι τῶν τῆς ἀποστολῆς αὐχημάτων ἀποπεμφθήσεται ἀρνησάμενος αὐτὸν, ἀναπίμπλησιν ἀγαθῆς ἐλπίδος, καὶ ὅτι τεύξεται τῶν ἐπηγγελμένων ἀγαθῶν. Ἔφη γὰρ, ὅτι « Καὶ σὺ ἐπιστρέψας, στήριξον τοὺς ἀδελφούς σου. » Ὦ τῆς ἀφάτου φιλανθρωπίας! Οὔπω γέγονεν ἡ ἁμαρτία, καὶ τὴν ἄφεσιν ἐκομίσατο. καὶ D πάλιν αὐτὸν ἐν τοῖς ἀποστολικοῖς κατέταξεν ἀξιώμασιν.

Πρὶν ἢ τρὶς ἀπαρνήσῃ μὴ εἰδέναι με.

(A f. 285 b). Ἐκδέξῃ δὲ τὰ προκείμενα καὶ ὧδε· προκαταμεμήνυκε τῷ θαυμασίῳ Πέτρῳ, ὅτι τρὶς αὐτὸν ἀρνήσεται, κατὰ τὸν τῆς συλλήψεως δηλονότι καιρόν. Ἐπειδὴ δὲ ἅπαξ μνήμη γέγονε τῆς συλλήψεως αὐτοῦ, ἀκολουθεῖ δὲ πάντως τῇ τοιᾷδε μνήμῃ καὶ τὰ ἑφεξῆς γεγονότα, τὰ ἐπὶ τῷ σταυρῷ φημι πάθη. Λοιπὸν τὸν ἐπισκήψαντα τοῖς Ἰουδαίοις προαπαγγέλλει πόλεμον. Διὰ τοῦτό φησιν· « Ὅτε ἀπ

(1) En Petro, consequenterque successoribus ejus, privilegium a Christo Domino datum.

Digitized by Google

ἑστειλα ὑμᾶς χωρὶς βαλαντίου, καὶ πήρας, καὶ ὑποδημάτων, μή τινος ὑστερήσατε; Οἱ δὲ εἶπον· Οὔ. » Ἐπεμψε μὲν γὰρ ὁ Σωτὴρ τοὺς ἁγίους ἀποστόλους, κηρύσσειν αὐτοῖς ἐπιτάξας τοῖς ἀνὰ πᾶσαν κώμην τε καὶ πόλιν τὸ Εὐαγγέλιον τῆς βασιλείας τῶν οὐρανῶν, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ· ἐκέλευσε δὲ βαδίζοντας μηδενὸς τῶν σωματικῶν ποιεῖσθαι φροντίδα· ἐπ' αὐτῷ δὲ πᾶσαν ἔχοντας τοῦ ζῆν ἐλπίδα περινοστεῖν· ὃ δὴ καὶ πεπράχασιν. Ἀλλὰ νῦν, φησίν, « Ὁ ἔχων βαλάντιον, ἀράτω καὶ πήραν ὁμοίως. » Καὶ τί δὴ τοῦτό ἐστιν, ἐροῦμεν· ἐσχηματίσθη μὲν ὁ λόγος ὡς πρὸς αὐτούς, βλέπει δὲ κατὰ τὸ ἀληθὲς εἰς τὸ παντὸς Ἰουδαίου πρόσωπον. Αὐτοῖς γὰρ μᾶλλον διαλέγεται Χριστός. Εἴ τις γάρ, φησὶν, εὐπορεῖ χρημάτων κατὰ τὴν τῶν Ἰουδαίων χώραν, ἅπαντα συνενεγκὼν, φευγέτω· εἰ δέ τις τούτων μὲν οὐκ εὐπορεῖ, πενίᾳ δὲ συζῶν ἐσχάτῃ τὴν χώραν οἰκεῖ, καὶ οὗτος ὅπερ ἔχει, φησὶ, πωλησάτω ἄμφιον, καὶ ἀγορασάτω μάχαιραν. Ἔστι γὰρ λοιπὸν ἅπασι τοῖς τὴν χώραν οἰκοῦσιν ὁ λόγος οὐ περί γε τοῦ ἔχειν τι ἢ μή, ἀλλὰ περὶ αὐτοῦ τοῦ εἶναι καὶ ζῆν. Κατασκήψει γὰρ εἰς αὐτοὺς ὁ πόλεμος ἀφορήτοις ὁρμαῖς, ὡς οὐδὲν ἀρκέσαι πρὸς ἀντίστασιν. Εἶτα τὴν αἰτίαν τῶν τοιούτων κακῶν ἀπαγγέλλει, λέγων, ὅτι δεῖ μὲν αὐτὸν, κατὰ τὰς Γραφὰς, μετὰ τῶν ἀνόμων λογισθῆναι, συγκερεμάμενον δηλονότι τοῖς συσταυρωθεῖσιν αὐτῷ λῃσταῖς, καὶ τὴν τοῖς ἀνόμοις πρέπουσαν ὑπομείναντα δίκην· τέλος δὲ λοιπὸν τῷ μέχρι τούτων ἐλθεῖν ὁ τῆς οἰκονομίας λήψεται λόγος. « Τέλος γὰρ, φησὶν, ἔχει τὰ περὶ ἐμοῦ, » ἤτοι γεγραμμένα ἐν νόμῳ καὶ προφήταις, μέχρι δηλονότι τοῦ παθεῖν τὸν κατὰ σάρκα θάνατον· συμβήσεται δὲ τοῖς ἀπεκτονόσιν, ἃ καὶ πάλαι προείρηται διὰ τῶν ἁγίων προφητῶν.

A dixerunt : nihil. « Miserat enim Servator sanctos apostolos, prædicare mandans in omni pago et urbe Evangelium regni cœlorum, et omnem morbum languoremque in populo curare. Euntes autem jussit nullam gerere corporalium rerum sollicitudinem, atque in se unoe reposita victus spe, regionem concursare ; quod et reapse fecerunt. Sed nunc ait : « Qui habet sacculum, tollat similiter et peram. » Quid autem hoc sit, dicemus. Christi quidem sermo specie tenus ad apostolos fit, reapse autem respicit uniuscujusque Judæi personam. Namque hos potius alloquitur Christus. Si quis, inquit, opibus abundat in Judæorum regione, cunctis secum ablatis, in pedes se conferat. Si quis item, minime his abundat, sed in summa penuria terram habitat, B hic quoque vendat, inquit, ipsum vestimentum, et gladium emat. Jam enim apud hujus regionis incolas non agitur utrum aliquid retenturi sint necne, sed utrum omnino victuri. Intolerabili enim impetu incumbet in eos bellum, quin ulla resistendi facultas sit. Deinde horum malorum causam aperit, dicens : oportere se secundum Scripturas cum improbis reputari, et suspendi una cum crucifixis secum latronibus, et par cum impiis pati supplicium. Ac tum demum his peractis, susceptæ incarnationis cursum finem habiturum. « Etenim ea quæ sunt de me, finem habent, » id est quæ 422 in lege ac prophetis sunt descripta, donec videlicet mortem in carne patiar : interfectoribus autem ea contingent quæ jamdiu a sanctis prophetis præ- C dicta fuere.

Οἱ δὲ εἶπον· Κύριε, ἰδοὺ μάχαιραι ὧδε δύο.

(A f. 286, B f. 200 b) Ταυτὶ μὲν ὁ Κύριος περὶ τῶν συμβησομένων τῇ Ἰουδαίων χώρᾳ προκατεμεμήνυκεν. Οἱ δέ γε μαθηταὶ οὐ συνῆκαν τῶν εἰρημένων τὸ βάθος· ᾠήθησαν δὲ μᾶλλον, ὅτι διὰ τὴν συμβησομένην ἔφοδον αὐτῷ παρὰ τοῦ προδότου καὶ τῶν συλλήψομένων αὐτὸν, μαχαιρῶν εἶναι χρείαν διεβεβαιώσατο· ταύτητοί φασιν· « Ἰδοὺ μάχαιραι ὧδε δύο. » Καὶ τί πρὸς αὐτοὺς ὁ Σωτήρ; « Ἱκανόν ἐστι· » μονουχὶ διαγελᾷ τὴν φωνήν· εὖ εἰδὼς ὅτι τῶν εἰρημένων τὴν δύναμιν οὐ συνιέντες οἱ μαθηταὶ ᾠήθησαν, ὡς ἔφην, μαχαιρῶν εἶναι χρείαν εἰς τὴν ἐσομένην ἔφοδον κατ' αὐτοῦ. Πρὸς ἐκεῖνα τοίνυν ὁρῶν ὁ Σωτὴρ, ἃ συμβήσεσθαι ἔμελλον τοῖς Ἰουδαίοις, τῆς εἰς αὐτὸν ἕνεκα δυσσεβείας, διαγελᾷ τὸ ὑπὸ τῶν μαθητῶν εἰρημένον, ὅτι « Ἰδοὺ ὧδέ εἰσι μάχαιραι δύο· » καὶ φησιν· « Ἱκανόν ἐστι. » Ναὶ, φησὶν, ἀρκέσουσι δύο ξίφη πρὸς ἀντίστασιν τοῦ πολέμου τοῦ μέλλοντος ἥξειν κατ' αὐτῶν, πρὸς ἓν οὐδὲν ἂν ὠφέλησαν οὐδὲ πολλαὶ ξιφῶν χιλιάδες!

V. 38. *At illi dixerunt : Domine, ecce duo gladii hic.*

Hæc Dominus de eventuris Judæorum regioni calamitatibus prænuntiavit. Discipuli tamen dictorum profunditatem non intellexerunt ; sed existimarunt potius dici ab eo propter impendentem adversus se proditoris et satellitum incursum, gladiis opus esse. Ideo dicunt : « Ecce hic gladii duo. » Quid vero illis Servator ? « Satis est, » inquit ; deridens propemodum illorum dictum ; quia probe sciebat vim dictorum non intellexisse discipulos, qui existimaverant, ut dixi, opus esse gladiis ob futuram in se D aggressionem. Illa igitur spectans Servator, quæ Judæis eventura erant, propter illorum contra se impietatem, irridet discipulorum dictum, « Ecce hic gladii duo ; » aitque : « Satis hi sunt. » Utique inquit, duo gladii sufficient ob sustinendum bellum Judæis superventurum, contra quod ne multa quidem gladiorum millia profutura erant !

Καὶ ἐξελθὼν ἐπορεύθη κατὰ τὸ ἔθος εἰς τὸ ὄρος τῶν Ἐλαιῶν.

(A f. 287 b) Ἐν ἡμέρᾳ μὲν ὁ Σωτὴρ τὰς ἐν Ἱεροσολύμοις ἐποιεῖτο διατριβὰς, ἐπιλαβούσης δὲ τῆς ἑσπέρας, ἐν τῷ ὄρει τῶν Ἐλαιῶν, ὁμοῦ τοῖς ἁγίοις ἠύλίζετο μαθηταῖς, εἰς χωρίον λεγόμενον Γεθσημανῆ.

V. 39. *Et egressus ibat secundum consuetudinem in montem Olivarum.*

Diurno Servator tempore Hierosolymis versabatur ; superveniente autem vespere in montem Olivarum cum sanctis apostolis secedebat, ad villam dictam Gethsemani. Sic enim diserte ait sapien-

Digitized by Google

tissimus evangelista Matthæus [3]. Quo cum venisset, ut idem adhuc narrat Matthæus [4], assumptis tribus, Petro, inquam, et Zebedæi filiis, cœpit contristari et mœstus esse. Hic mecum observa incarnationis profundam rationem, et ineffabilis sapientiæ excelsitatem. Quam ob causam, o Domine, mœstus es? Num tu quoque mortem metuis, et pavore correptus passionem recusas? Atqui tu aiebas discipulis : « Nolite timere eos qui occidunt corpus, animam autem non possunt occidere [5]. » Imo vero si quis **423** dicat spiritalis fortitudinis a te suppeditari gratiam electis, haud profecto a veritate aberrabit. Cunctæ enim vires a te sunt, qui vita tuapte natura es et cuncta vivificas. Cur itaque contristaris et usque ad mortem mœstus es? Et quidem perspicue nosti, utpote naturaliter Deus, te patiendo in carne necem, morte liberaturum universæ terræ incolas, et de qualibet improba inimicaque potentia triumphum acturum, atque ut Deum et rerum omnium Creatorem adoratum iri. Quamobrem itaque doles mœresque? Utique, is ait, quæ ex passione mea mundo eventura bona sunt, scio; sed doleo primogenitum Israelem, qui jam ne inter famulos quidem est; et quod Domini portio, funiculus hæreditatis, pars vulpium fiet, uti scriptum est [6].

Quod autem futuri præscius urbem Jerusalem miseraretur, ceu quæ ob suam adversus se impietatem, omne mali genus erat expertura, hinc etiam disces. Ascendebat de Judæa Hierosolyma; ut vero evangelista ait, « Videns urbem flevit super illam [7], » tanquam jam extrema miseria atque atroci calamitate implicitam videret Jerusalem. Ut autem cognosceremus ita eum fuisse animo comparatum erga illam, significat discipulis ægritudinem suam atque tristitiam. Neque enim cognosci occulta poterant, nisi ipse verbis, quo animi habitu esset, manifestasset. Sed et illud prædictis addere necessarium existimo. Nam tristitiæ passio seu mœroris non ipsi accidit divinæ et inviolabili Verbi naturæ; id quippe est impossibile, quia supra omnem passionem est : sed dicimus incarnatum Verbum humanitatis quoque modulis se concludere voluisse, quatenus videbatur illius passiones perpeti. Sicut ergo esuriisse dicitur, quamvis ipse vita sit vivifica, et panis vivens; itemque longo itinere fatigatus, quanquam virium est Dominus; ita etiam tristatus dicitur, et in mœstitiam specie tenus incidisse. Non enim videri debuit is, qui ad exinanitionem se demiserat, et intra humanam mensuram **424** concluserat, ea quæ hominis propria sunt, recusare.

V. 40. *Orate, ut non intretis in tentationem.*

Monuit discipulos rem tempori congruam, dicens : « Orate ne in tentationem incidatis. » Tum ne illos verbis tantum juvaret, sed ejus rei exem-

Ματθαῖος γὰρ οὕτω φησὶν ὁ σοφώτατος εὐαγγελιστής. Ἀφιγμένος δὴ οὖν ἐνταῦθα Χριστὸς, ὡς αὐτός πω πάλιν ὁ Ματθαῖός φησι, παραλαβὼν τοὺς τρεῖς, τὸν Πέτρον, φημὶ, καὶ τοὺς τοῦ Ζεβεδαίου, ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν. Ἐνταῦθά μοι βλέπε τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ βάθος, καὶ τῆς ἀπορρήτου σοφίας τὸ ὕψος. Διὰ ποίαν αἰτίαν, ὦ Δέσποτα, ἀδημονεῖς; Ἆρα δέδιας καὶ αὐτὸς τὸν θάνατον, καὶ δειλίᾳ κεκρατημένος παραιτῇ τὸ παθεῖν, καίτοι τοῖς μαθηταῖς εἰπών· « Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι; » Ἀλλὰ κἂν εἴ τις λέγοι τῆς πνευματικῆς εὐανδρίας παρὰ σοῦ τοῖς ἐξειλεγμένοις δίδοσθαι τὴν χάριν, οὐκ ἂν ἁμάρτοι τοῦ ἀληθοῦς. Ἰσχὺς γὰρ πᾶσα παρὰ σοῦ, καὶ ζωὴ κατὰ φύσιν ὑπάρχεις καὶ ζωοποιός. Πῶς οὖν λελύπησαι καὶ ἀδημονεῖς ἕως θανάτου; Καίτοι σαρκὸς ἠπίστασο, Θεὸς ὢν φύσει, ὅτι τὸν κατὰ σάρκα θάνατον ὑπομείνας, ἀπαλλάξεις θανάτου τοὺς ἀνὰ πᾶσαν τὴν γῆν, καὶ τὸ τῆς νίκης τρόπαιον ἐγερεῖς κατὰ πάσης πονηρᾶς καὶ ἀντικειμένης δυνάμεως, καὶ ὡς Θεὸς προσκυνηθήσῃ καὶ τῶν ὅλων Δημιουργός. Ἐπὶ τίσιν οὖν ἄρα λελύπησαι καὶ ἀδημονεῖς; Ναὶ, φησὶ, τὰ μὲν ἐκ τοῦ πάθους τῷ κόσμῳ ἀγαθὰ συμβησόμενα ἐπίσταμαι· λυπεῖ δέ με ὁ πρωτότοκος Ἰσραὴλ, ὅτι οὐδ' ἐν δούλοις ἐστί· καὶ ὅτι ἡ τοῦ Κυρίου μερὶς, τὸ σχοίνισμα τῆς κληρονομίας, μερὶς ἀλωπέκων ἔσται, κατὰ τὸ γεγραμμένον.

Ὅτι δὲ, καίτοι τὸ ἐσόμενον εἰδὼς, κατηλέει τὴν Ἱερουσαλὴμ, ὡς τῆς εἰς αὐτὸν ἕνεκα δυσσεβείας ἐσομένην ἐν παντὶ κακῷ, κἀντεῦθεν ἂν μάθοις. Ἀνῆλθε μὲν γὰρ ἐκ τῆς Ἰουδαίας εἰς Ἱεροσόλυμα· ὡς δέ φησιν ὁ εὐαγγελιστὴς, « Ἰδὼν τὴν πόλιν, ἔκλαυσεν ἐπ' αὐτῇ, » ὡς ὅσον οὐδέπω ταῖς ἐσχάταις ταλαιπωρίαις καὶ ἀνηκέστοις συμφοραῖς ὁμιλήσουσαν βλέπων τὴν Ἱερουσαλήμ. Ἵνα δὲ μάθωμεν ταύτην ἐσχηκότα τὴν διάθεσιν ἐπ' αὐτῇ, διαμεμήνυκε τοῖς μαθηταῖς ὅτι καὶ ἀκηδίᾳ καὶ λελύπηται. Οὐ γὰρ ἦν δυνατὸν μαθεῖν τὰ ἐν αὐτῷ κεκρυμμένα, μὴ διὰ λόγων ἐκφήναντος τὰ ἐν οἷς ἐστι. Κἀκεῖνο δὲ οἶμαι τοῖς εἰρημένοις προσεπενεγκεῖν ἀναγκαῖον. Τὸ γάρτοι τῆς λύπης πάθος ἤτοι τῆς ἀδημονίας οὐ περὶ αὐτὴν ἂν γένοιτο τὴν θείαν καὶ ἀκήρατον τοῦ Λόγου φύσιν· ἀμήχανον γὰρ, ὅτι παντὸς ἐπέκεινα πάθους ἐστίν· ἐθελήσαμεν δὲ φαμεν τὸν σαρκωθέντα Λόγον, καὶ ἐν τοῖς ἀνθρωπίνοις καθικέσθαι μέτροις, διὰ τοῦ δοκεῖν ὑπομεῖναι τὰ αὐτῆς. Ὥσπερ οὖν πεινῆσαι λέγεται, καίτοι ζωὴ καὶ ζωοποιὸς, καὶ ἄρτος ὁ ζῶν ὑπάρχων αὐτὸς, καπιάσαι τε ἐκ μακρᾶς ὁδοῦ, καίτοι τῶν δυνάμεων ὑπάρχων Κύριος; οὕτω καὶ ἀκηδιάσαι καὶ δακεῖν εἰσδέξασθαι λύπην. Οὐ γὰρ ἔδει τὸν καθιγμένον εἰς κένωσιν, καὶ τοῖς τῆς ἀνθρωπότητος ἐμβεβηκότα μέτροις, παραιτεῖσθαι δοκεῖν τὰ ἀνθρώπινα.

Προσεύχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν.

(A f. 287 b, B f. 201, D f. 75) Συνεβούλευε μαθηταῖς τὰ τῷ καιρῷ πρέποντα, εἰπών· « Προσεύχεσθε ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. » Ἀλλ' ἵνα

[3] Matth. xxvi, 36. [4] ibid. 37. [5] Matth. x, 28. [6] Psal. lxxii, 11. [7] Luc. xix, 41.

Digitized by Google

μὴ λόγοις αὐτοὺς ὠφελήσῃ μόνοις, παράδειγμα δὲ καὶ αὐτοῦ τοῦ πράγματος εὑρεθῇ, βραχὺ προσελθών, πεσὼν ἐπὶ γόνυ, προσηύχετο. Καὶ τί δή ποτε τοῖς ἁγίοις οὐ συνηύχετο μαθηταῖς, ἀλλὰ καταμόνας; Ἵνα μάθωμεν ἡμεῖς τῆς ἀρεσκούσης Θεῷ προσευχῆς τὸν τύπον. Ἔφη γὰρ ἐτέρωθι· « Σὺ δὲ, ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμιεῖόν σου, ἀπόκλεισον τὴν θύραν, πρόσευξαι τῷ Πατρί σου τῷ ἐν τῷ κρυφαίῳ· καὶ ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυφαίῳ, ἀποδώσει σοι ἐν τῷ φανερῷ. » Πανταχοῦ γὰρ εὑρήσομεν καταμόνας εὐχόμενον, ἵνα καὶ σὺ μάθῃς, ὅτι σχολάζοντι νῷ καὶ γαληνιώσῃ καρδίᾳ διαλέγεσθαι χρὴ τῷ ἐπὶ πάντας Θεῷ. Καὶ οὐ δή που φαίη τις ἂν, εἴ γε νοῦν ἔχοι, ὅτι τῆς παρ' ἑτέρου χειρὸς ἢ ἐπικουρίας ἐν χρείᾳ καθεστηκὼς, ἐποιεῖτο τὰς λιτάς. Αὐτὸς γάρ ἐστιν ἡ πανσθενεστάτη χεὶρ καὶ δύναμις τοῦ Πατρός· ἀλλ' ἵνα ἡμεῖς διὰ τούτων μάθωμεν, μὴ νοστάζειν ἐν πειρασμοῖς, συντείνεσθαι δὲ μᾶλλον εἰς προσευχάς. Ἀμαθὲς δὲ λίαν, καὶ τὸ τῶν ἀγώνων καταθρασύνεσθαι· τῷ μετρίῳ δὲ φρονήματι χρῆναί φημι τὸ εὔτολμον καὶ τληπαθὲς ἀναπλέκειν. Ἴδωμεν δὲ καὶ προσευχῆς τὸν τρόπον.

A plum ipse fieret, paululum progressus, in genua procidens oravit. Cur vero haud cum sanctis oravit discipulis, sed solitatim? Ut nos discamus gratæ Deo orationis typum. Dixerat enim alibi : « Tu autem cum oraveris, intra in cubiculum tuum, et clauso ostio, ora Patrem tuum in abscondito; et Pater tuus, qui videt in abscondito, dabit tibi palam [a]. » Quin et ubique comperiemus eum solitatim orantem; ut tu quoque discas oportere vacua mente et tranquillo corde cum supremo Deo colloqui. Neque vero quisquam sensatus dicet orasse Jesum, quia manu aliena aut auxilio indigeret. Ipse enim est manus fortissima virtusque Patris; sed ut per hæc cognoscamus, in tentationibus non dormitare, imo tunc magis orationem intendere. Stulta tamen audacia est certamina provocare; modestia autem uti, eique patientiam admiscere, justæ confidentiæ officium esse aio. Nunc orationis quoque modum videamus.

Πάτερ, εἰ βούλει, παρένεγκε τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· πλὴν μὴ τὸ θέλημά μου, ἀλλὰ τὸ σὸν γενέσθω.

Pater, si vis, transfer a me hunc calicem. Verumtamen non mea voluntas sed tua fiat.

A f. 288, B f. 201 b, D f. 75) Ὁρᾷς ὅπως μετ' εὐλαβείας ἀνθρωποπρεποῦς ἐποιεῖτο Χριστὸς τοῦ πειρασμοῦ τὴν παραίτησιν; Εἰ γὰρ βούλει, φησὶ, παρένεγκε. Ὡς γὰρ εἷς ὑπάρχων τῶν καθ' ἡμᾶς, τοῖς τοῦ Πατρὸς θελήμασιν ἀπονέμει τῶν ἐκβησομένων τὸ πέρας· ἵνα καὶ ἡμεῖς αἰτῶμεν ἐκεῖνα κρατεῖν, ἅπερ ἂν αὐτὸς εἰδείη συμφέροντα ταῖς ἡμετέραις ψυχαῖς. Πρὸς δ' αὖ τούτοις, καὶ τῆς Ἰουδαίων ἀνοσιότητος τὸ χρῆμα κατηγορεῖ· ἦν μὲν γὰρ οὐκ ἐβούλητον αὐτῷ τὸ παθεῖν, φορτικόν γε μὲν ἑτέρως, διά τε τὴν ἀδοξίαν καὶ τῆς Ἰουδαίων Συναγωγῆς τὸν ὄλεθρον· οὐ γὰρ ἂν ἠθέλησε κυριοκτόνον γενέσθαι τὸν Ἰσραὴλ, ἵνα μὴ ταύτης ἕνεκα τῆς αἰτίας ταῖς ἐσχάταις δίκαις ὑπενεχθῇ. Ἐπειδὴ δὲ οὐκ ἦν μὴ ὑποστῆναι τὸ πάθος, εἵλετο αὐτὸ, συνευδοκοῦντος αὐτῷ τοῦ Θεοῦ καὶ Πατρός· ὡς εἶναι τῆς μὲν ἀνθρωπείας φύσεως τὸ εἰς θορύβους εὔκολον· τῆς δὲ θείας, τὸ ἐφ' ἅπασιν ἄθραυστον. Ἡ μὲν γὰρ τοῦ θανάτου παρεισδῦσα μνήμη ταράττει τὸν Ἰησοῦν· ἡ δὲ τῆς θεότητος δύναμις κεκινημένον εὐθὺς χειροῦται τὸ πάθος, καὶ μεταμορφοῖ πρὸς εὐτολμίαν. Κεκίνηται γὰρ καὶ ἐν Χριστῷ τὰ ἀνθρώπινα, διά δύο τρόπους· ἔδει γὰρ καὶ διὰ τούτων αὐτὸν, οὐ δοκήσει καὶ ὑπονοίᾳ, φυσικῶς; δὲ μᾶλλον καὶ ἀληθῶς ἄνθρωπον ἐκ γυναικὸς γεγονότα, φαίνεσθαι πάντα φέροντα τὰ ἀνθρώπινα, ξίχα μόνης τῆς ἁμαρτίας. Φόβος δὲ καὶ δειλία, πάθη μὲν ἐν ἡμῖν φυσικὰ, τό γε μὴν ἐν ἁμαρτίαις τετάχθαι διαπεφευγότα. Ἔτι ἐκεῖνο ἐν Χριστῷ τὰ ἀνθρώπινα, οὐχ ἵνα κινηθέντα κρατύνηται, ἀλλ' ἵνα τῇ δυνάμει τοῦ Λόγου διακόπτηται, πρὸς ἀμείνω τινὰ καὶ θειοτέραν κατάστασιν μεταστοιχειουμένης τῆς φύσεως ἐν πρώτῳ Χριστῷ· ἦν γὰρ οὕτω καὶ οὐχ ἑτέρως, καὶ εἰς ἡμᾶς αὐτοὺς τὸν τῆς ἰάσεως διαβῆναι τρόπον. Εἰ γὰρ καὶ ὅτι μάλιστα τὸ συμβὰν οὐχὶ πάντη

Viden' quomodo cum ea quæ decet hominem reverentia Christus tentationem a se deprecatur? Si vis, inquit, transfer. Nam quasi unus de nobis, Patris voluntati futuri exitum attribuit; ut nos quoque ea impetrare postulemus, quæ ipse animabus nostris utilia esse noverit. Insuper Judæorum quoque impietatem sic accusat. Certe non erat ei involuntaria passio; cæteroqui etiam gravis, propter ignominiam, et propter Judaicæ Synagogæ ruinam. Quippe noluisset Israelem fieri homicidam Domini sui, ne ob hanc causam, supremam ultionem experiretur. Sed quia passionem **425** jam vitare non oportebat, hanc subire decrevit, conspirante secum Patris Dei voluntate : ita ut humanæ quidem naturæ fuerit, perturbationis commotio; divinæ autem, ubique constantia. Mortis quidem præsens imago Jesum turbat, sed deitatis virtus commotam illico sedat passionem, et ad confidentiam transfert. Commota fuit pars Christi humana duas ob causas. Oportebat enim per hæc quoque constare, eum haud apparenter vel opinabiliter, sed naturaliter potius ac vere natum ex muliere hominem, humana omnia perpeti, peccato tantum excepto. Timor autem pavorque, connaturales nobis passiones sunt, quæ tamen in peccatorum classe collocari nequeunt. Deinde vero commovebantur in Christo humanæ passiones, non ut commotæ vincerent, sed ut a Verbi potentia præciderentur; ad meliorem divinioremque statum translata humana natura, primum in Christo. Etenim sic et non aliter ad nos ipsos permeare poterat medelæ ratio. Etiamsi enim quod accidit, haud usquequaque libitum ipsi erat; nihilominus propter universalem salutem ac vitam, voluntariam sibi

[a] Matth. VI, 6.

Digitized by Google

tecit crucis passionem. Sciebat enim quæ inde eventura bona erant, et hominis naturam se renovaturum, proprioque sanguine redempturum. Nisi enim sibi voluntariam effecisset passionem, a qua magnopere abhorrebat voluntas, quænam causa cogitari potest his verbis orandi : « Pater, si vis, transfer hunc calicem? » Factum est homo Dei Verbum, haud aliam ob causam, nisi ut omnia sua nostris infirmitatibus miscens quodammodo et contemperans, hominis naturam corroboraret, et in suam ipsius firmitatem transmutaret. Cum ergo videtur verbotenus mortem timere, dicitque : « Transfer calicem; » cogita vicissim, quod ea quæ mortem timebat caro, cum a Dei Verbo gestaretur, decebatur ab eo pariter timoris passionem omittere. Dicebat ergo Patri : « Non sicut ego volo, sed sicut tu. » Profecto mortem haud metuebat, 426 quatenus Verbum erat ac Deus, sed tamen incarnationis suæ cursui finem imponere festinabat. Hæc enim erat voluntas Patris. Porro et non moriendi inerat ei voluntas, quia naturaliter caro mortem recusat. Docens itaque humanitatem, quominus jam vellet naturalia sibi cogitare, sed Dei potius voluntatem sectari, tanquam homo ait : « Non sicut ego volo, sed sicut tu. » Idcirco apparet hoc quoque addidisse apud Matthæum : » Spiritus quidem promptus est, caro autem infirma[9]. » Namque humana natura in Christo ipso, quantum in se est, debilis comperitur; sed ab unito illi Verbo, ad Deo congruam confidentiam attollitur.

τε καὶ πάντως θελητὸν ἦν αὐτῷ, ἀλλ' οὖν τῆς πάντων ἕνεκα σωτηρίας καὶ ζωῆς ἑκούσιον ἐποιήσατο τὸ ἐπὶ τῷ σταυρῷ πάθος· ᾔδει γὰρ τὰ ἐντεῦθεν ἐσόμενα κατορθώματα, καὶ ὅτι τὴν ἀνθρώπου φύσιν ἀνακαινιεῖ, καὶ αἵματι τῷ οἰκείῳ κατακτήσεται. Εἰ γὰρ μὴ ἐποιήσατο θελητὸν, καίτοι λίαν ἀβούλητον ὂν τὸ παθεῖν, τίς ἂν νοεῖτο λοιπὸν τοῦ προσεύχεσθαι ἡ πρόφασις, καὶ λέγειν· « Πάτερ, εἰ βούλει, παρένεγκε τὸ ποτήριον τοῦτο; » Γέγονε μέντοι ἄνθρωπος ὁ τοῦ Θεοῦ Λόγος, οὐ διά τινα πρόφασιν ἑτέραν, ἀλλ' ἵνα πάντα τὰ αὐτοῦ ταῖς ἡμῶν ἀσθενείαις ἀναμίξας τρόπον τινὰ καὶ συγκεράσας, νευρώσῃ τὴν ἀνθρώπου φύσιν, καὶ πρὸς τὴν αὐτοῦ μεταποιήσῃ στερρότητα. Ὅταν οὖν φαίνηται δειλιῶν τὸν λόγον τὸν θάνατον, καὶ λέγων· « Παρένεγκε τὸ ποτήριον, » ἐννόει πάλιν, ὅτι δειλιῶσα τὸν θάνατον ἡ σὰρξ ἐδιδάσκετο, φερομένη παρὰ τοῦ Θεοῦ Λόγου, μηκέτι τοῦτο πάσχειν· Ἔλεγε δὲ πρὸς τὸν Πατέρα· « Οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. » Οὐκ ἐφοβεῖτο μὲν γὰρ, καθ' ὃ Λόγος ἐστὶ καὶ Θεὸς, τὸν θάνατον αὐτὸς, ἀλλ' εἰς τέλος τὴν οἰκονομίαν διεξάγειν ἠπείγετο· τοῦτο γὰρ ἦν τὸ θέλημα τοῦ Πατρός. Ἔχει δὲ καὶ τὸ μὴ θέλειν ἀποθανεῖν, διὰ τὸ παραιτεῖσθαι τὴν σάρκα τὸν θάνατον φυσικῶς. Διδάσκων τοίνυν τὴν ἀνθρωπότητα μηκέτι τὰ αὐτῇ προσόντα φρονεῖν, ἀλλὰ τὸ τοῦ Θεοῦ θέλημα ζητεῖν, ὡς ἄνθρωπος λέγει· « Οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. » Διὰ τοῦτο γὰρ φαίνεται καὶ προσθεὶς ἐν τῷ Ματθαίῳ· « Τὸ μὲν πνεῦμα πρόθυμον· ἡ δὲ σὰρξ ἀσθενής. » Ἀτονοῦσα μὲν γὰρ ἡ ἀνθρώπου φύσις, καὶ ἐν αὐτῷ τῷ Χριστῷ, τὸ ὅσον εἰς αὐτὴν, εὑρίσκεται· ἀνακομίζεται δὲ διὰ τοῦ ἑνωθέντος αὐτῇ Λόγου εἰς εὐτολμίαν θεοπρεπῆ.

V. 47. *Ecce turba, et qui vocabatur Judas, unus de duodecim.*

Cur ait, « Qui vocabatur Judas : » An nesciebat virum hunc de numero esse electorum? Imo vero quasi hujus jam abominans nomen, ait : « Qui dicebatur Judas. » Addit autem « Unus de duodecim » ob significandam incusandamque proditoris improbitatem. Nam qui æque ac reliqui apostoli honoratus fuerat, idem exstitit carnificum Christi adjutor. Dedit enim eis signum : « Quem osculatus fuero, ipse est. » Prorsus erat oblitus Christi majestatem; putavit se posse latere, osculum amoris typum libens, cor autem impiarum insidiarum plenum gerens. Ergo veluti ex crapula ad Christum accedit; doli fraudisque instrumentum putans demonstrare eximiam charitatem. Quamobrem dignissime gravius sibi judicium comparabat, quia nec erubuit prætextum ac symbolum proditionis efficere osculum. Addit ergo Evangelista : « Jesus autem dixit illi : Osculo Filium hominis tradis? » Scire etiam oportet, quæ etiam Joannes hoc loco dicat[10]. Ait itaque, Judæorum ministros accessisse ut Jesum caperent; qui occurrit eis dicens : « Quem quæritis? » Ministris dicentibus, « Jesum Nazarenum; » ipse se homicidarum manibus tradidit dicens :

Ἰδοὺ ὄχλος, καὶ ὁ λεγόμενος Ἰούδας, εἷς τῶν δώδεκα.

(A f. 292 b, B f 203) Διὰ τί δέ φησιν, « Ὁ λεγόμενος Ἰούδας; » Μὴ γὰρ οὐκ ᾔδει τὸν ἄνδρα τοῖς ἐξειλεγμένοις ἐναριθμούμενον; Ἀλλ' ὡς ἤδη μεμισηκὼς αὐτοῦ καὶ τὸ ὄνομα, φησὶν, « Ὁ λεγόμενος Ἰούδας. » Προσεπάγει δὲ τοῦτῳ τῷ, « Εἷς τῶν δώδεκα, » πρὸς ἔνδειξιν καὶ διαβολὴν τῆς τοῦ προδότου φαυλότητος. Ὁ γὰρ ἐν ἴσῳ τοῖς ἀποστόλοις τετιμημένος, τοῖς φονῶσι κατὰ Χριστοῦ γέγονε πρόφασις· δέδωκε γὰρ αὐτοῖς σημεῖον· « Ὃν ἂν φιλήσω, αὐτός ἐστιν. » Ἐπελάθετο παντελῶς τῆς δόξης τοῦ Χριστοῦ· ᾤηθη τάχα που δύνασθαι λαθεῖν· φίλημα μὲν προτείνων εἰς τύπον ἀγάπης, ἀνοσίων δὲ σκεμμάτων μεστὴν ἔχων τὴν καρδίαν. Οὐκοῦν ὡς ἐκ μέθης προσέρχεται τῷ Χριστῷ· δόλου καὶ ἀπάτης ὄργανον τὴν ἐξαίρετον ἀγάπην ἀποφῆναι προσδοκῶν. Ταύτῃτοι καὶ μάλα εἰκότως φορτικώτερον αὐτῷ τὸ κρῖμα ἐποίει, ὅτι οὐδὲ τὸ σχῆμα καὶ σύμβολον ᾐσχύνθη τῆς προδοσίας τὸ φίλημα. Ἐπάγει γοῦν ὁ εὐαγγελιστής· « Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἰούδα, φιλήματι τὸν Υἱὸν τοῦ ἀνθρώπου παραδίδως; » Εἰδέναι γὰρ ἀναγκαῖον καὶ τὰ τῷ Ἰωάννῃ περὶ τούτου εἰρημένα· ἔφη γοῦν, ὅτι οἱ μὲν τῶν Ἰουδαίων ὑπηρέται προῆσαν συλλῃψόμενοι τὸν Ἰησοῦν· ὁ δὲ ὑπήντα αὐτοῖς, λέ-

[9] Matth. xxvi, 41. [10] Joan. xviii, 8.

Digitized by Google

γων· « Τίνα ζητεῖτε; » Λεγόντων δὲ τῶν ὑπηρετῶν, « Ἰησοῦν τὸν Ναζωραῖον, » αὐτὸς ἑαυτὸν ταῖς τῶν φονώντων χερσὶ προσεκόμιζε, λέγων· « Ἐγώ εἰμι. » Οἱ δὲ ἀπῆλθον, φησίν, εἰς τὰ ὀπίσω· καὶ τοῦτο γέγονε τρίς. Τίς οὖν ἡ οἰκονομία, καὶ τίνος ἕνεκεν προσεκόμικεν ἑαυτὸν ὁ Σωτὴρ, οἱ δὲ κατέπιπτον ἀκούοντες τὸ, « Ἐγώ εἰμι; » Ἵνα δὴ μάθοιεν ὡς οὐκ ἀβούλητον αὐτῷ τὸ παθεῖν· οὐ γὰρ τῆς ἐκείνων ἰσχύος γέγονεν ἀποτέλεσμα, τὸ συλλαβέσθαι Χριστὸν, ἀλλ' αὐτὸς ἑαυτὸν δέδωκεν.

A « Ego sum. » illi autem, inquit, retro cesserunt; idque ter factum est. **427** Quænam fuit rei ratio, quamve ob causam Servator ultro se obtulit, illi autem, audito dicto, « ego sum, » corruerunt? Nempe ut discerent haud involuntariam ei passionem accidere. Non enim illi suis viribus Christum ceperunt, atque impiis judicibus præsentarunt, sed ipsemet tradidit.

(A f. 293 b) Φέρε δὲ κἀκεῖνο ζητήσωμεν. Ἆρα ψῆφος τοῦ Θεοῦ καὶ Πατρὸς, θέλημα δὲ καὶ αὐτοῦ τοῦ Υἱοῦ κέκληκεν αὐτὸν ὡς ἐξ ἀνάγκης εἰς τὸ πάθος (1); Εἶτα πῶς, εἴπερ ἐστὶν ἀληθὲς, οὐκ ἔδει πάντως καὶ προδότην γενέσθαι τινὰ, παρενεχθῆναι δὲ καὶ εἰς τοῦτο θράσους τὸν Ἰσραὴλ, ὡς καὶ ἀπειθῆσαι Χριστῷ καὶ ἀτιμάσαι πολυτρόπως, ἐξαρτίσαι δὲ καὶ τὸν ἐπὶ τοῦ ξύλου θάνατον αὐτῷ; Εἶτα, πῶς εὑρίσκεται λέγων· « Οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται; » καὶ τὰ ἑξῆς. Διὰ τί δὲ καὶ ἀπόλωλεν ὁ Ἰσραήλ; Ἀλλ' οὐκ ἀδίκως ὁ Θεὸς, αἰσίᾳ δὲ κρίσει ταλαντεύει τὰ καθ' ἡμᾶς. Πῶς οὖν τὸ ἀβούλητον ἐποιήσατο θελητόν; Ἠλέησε μὲν γὰρ ὁ Θεὸς καὶ Πατὴρ τοὺς ἐπὶ τῆς γῆς πεπραχότας ἀθλίως, καὶ ἔπεμψεν ἐξ οὐρανοῦ τὸν Υἱὸν Σωτῆρα καὶ Λυτρωτὴν, ὃς καὶ γέγονεν ἐν ὁμοιώσει τῇ πρὸς ἡμᾶς· ἀλλὰ καί τοι προεγνωκὼς ἃ πείσεται, εἵλετο παθεῖν διὰ τὸ σῶσαι τὴν γῆν, συνευδοκοῦντος αὐτῷ τοῦ Θεοῦ καὶ Πατρὸς διὰ πολλὴν ἡμερότητα καὶ φιλανθρωπίαν. Οὐκοῦν ὅσον μὲν ἦκεν εἰς τὴν ἐκ τοῦ παθεῖν ἀδοξίαν, οὐκ ἂν ἠθέλησε παθεῖν· ἐπειδὴ δὲ οὐκ ἐνεδέχετο μὴ παθεῖν, διὰ τὴν Ἰουδαίων ἐπ' αὐτῷ γενομένην ὠμότητα καὶ ἀπείθειαν, ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας.

B

Age et illud disquiramus. Num Dei Patris decretum, et ipsius Filii voluntas, necessario veluti, ad passionem eum vocavit? Jam vero, si hoc ita se habeat, nonne prorsus oportuit et aliquem fieri proditorem, et ad hoc facinus Israelem propelli, ut et Christo fidem denegaret, eumque multifariam dehonestaret, et denique eidem necem super ligno inferret? Atqui, quomodo Christum dicentem comperimus: « Væ homini illi, per quem Filius hominis tradetur [11]? » et reliqua. Cur item periit Israel? Verumenimvero haud inique Deus, sed justo judicio res nostras trutinatur. Quomodo ergo quod erat involuntarium, voluntarium fecit? Misertus est Deus infelicium mundi incolarum, misitque cœlo Servatorem ac Redemptorem, qui in similitudine nostra natus est. Quanquam autem quæ passurus erat præsciebat, nihilominus in patiendi proposito perstitit, ut mundum salvaret, consentiente ei Deo Patre propter multam suam benignitatem, et erga homines benevolentiam. Ergo quod attinet quidem ad passionis ignominiam, pati noluisset. Quia vero fieri non poterat ut non pateretur, propter Judæorum adversus eum sævitiam atque contumaciam, sustinuit crucem, confusione contempta [12].

Ἀψάμενος τοῦ ὠτίου αὐτοῦ ἰάσατο αὐτόν.

(A f. 294) Ἰάσατο γὰρ θεοπρεπῶς τὸν ὑπομείναντα τὴν πληγὴν, τοῖς ἀφιγμένοις εἰς τὸ συλλαβεῖν αὐτὸν θεοπρεπὲς καὶ τοῦτο διδοὺς σημεῖον.

C

V. 51. *Cum tetigisset auriculam ejus, sanavit eum.*

Sanavit digno Dei modo illum qui vulnus passus fuerat, hoc quoque Deo dignum miraculum coram missis ad se capiendum ostendens.

Καθ' ἡμέραν ὄντος μου μεθ' ὑμῶν ἐν τῷ ἱερῷ, οὐκ ἐξετείνατε τὰς χεῖρας ἐπ' ἐμέ.

428 V. 53. *Cum quotidie vobiscum fuerim in templo, non extendistis manus in me.*

(A f. 294 b, B f. 204) Ἀρά γε αἰτιᾶται Χριστὸς τοὺς τῶν Ἰουδαίων καθηγητὰς, ὅτι μὴ πρόωρον αὐτῷ τὴν τοῦ θανάτου πάγην ἐσκεύαζον; Οὐ τοῦτο βούλεται δηλοῦν· ἀλλ' ὅτι Ἐξὸν ὑμῖν καθημέραν ἐν τῷ ἱερῷ διδάσκοντα κατασχεῖν, οὐκ ἐκρατήσατε. Ἐταμιευόμην γὰρ μᾶλλον τὸ παθεῖν ἐν καιρῷ τῷ καθήκοντι· καὶ οὗτός ἐστιν ὁ παρών. Μὴ γὰρ ἀγνοήσητε (2), φησὶν, ὅτι αὕτη ἐστὶν ὑμῶν ἡ ὥρα καὶ ἡ ἐξουσία τοῦ σκότους· τουτέστιν, ὀλιγοστὸς ἐδόθη ὑμῖν καιρὸς τῆς κατ' ἐμοῦ πλεονεξίας, συνευδοκήσαντος τοῖς ἐμοῖς θελήμασι τοῦ Πατρός. Οὐκοῦν μίαν ὥραν ἔχετε κατ' ἐμοῦ, τουτέστιν ὀλίγον παντελῶς καὶ συνεσταλμένον καιρὸν, τὸν μεταξὺ δηλονότι τοῦ τιμίου

D

Num expostulat Christus adversus Judæorum principes, quod ei non antea mortis laqueum tetendissent? Non hoc vult significare; sed quod data vobis quotidie copia capiendi me in templo docentem, non tamen tenuistis. At ego reservabam, inquit, idoneo tempori passionem meam, quod demum nunc adest. Scitote, ait, hanc esse horam vestram, et potestatem tenebrarum, id est brevem vobis concessum esse tempus ad exercendam contra me tyrannidem, consentiente mecum Patris voluntate. Ergo unam horam habetis adversus me, id est, modicum oppido contractumque tempus, inter pretiosam videlicet crucem, et a mortuis resur-

[11] Luc. XXII, 22. [12] Hebr. XII, 2.

(1) Vide hac super re prolixam doctamque Photii quæstionem amphilochianam a nobis editam *Script. vet.* t. I, hoc titulo: Πῶς θελητός τε καὶ ἀθέλητος τῷ Πατρὶ ὁ θάνατος λέγοιτ' ἂν εἶναι τοῦ Χριστοῦ· *Quomodo et voluntaria et involuntaria Patri mors Christi dici queat fuisse.*

(2) Corderius videtur perperam legisse μὴ ἀγωνίσασθε, quia dicit: *Nolite dimicare.*

Digitized by Google

rectionem. Hæc videlicet illa est data tenebris potestas. Tenebras appellat Satanam, qui una cum Judæis insurrexerat in Christum : ut hic passione sua mundum salvaret, tertia die resurgeret, mortis calcata potentia ; illi autem pœnas æternas darent una cum proditore. — Illud igitur tarditatem homicidii incusat ; sed significat nequaquam potentiæ ipsorum tribuendam capturam suam, sed propriæ voluntati, qua passio per se involuntaria facta est secundum œconomiæ rationem voluntaria ; idque tempore prout libuit conveniente. Non, inquam, accusat illos, quod intempestivam passionem haud ei intulerint, sed eosdem potius redarguit, quia stulte existimarent se invito potiri. Tunc, inquit, me non tenuistis, quia nolui ; et ne nunc quidem prævaleretis, nisi ego in manus vestras sponte venirem. Quamobrem haud Judaicarum virium opera fuit, mors Domino illata : sed illorum quidem impiis ausibus, merito quis tribuet tale facinus ; Servatori autem Christo patiendi pro omnibus voluntatem ; ut cunctos videlicet liberaret, et pretioso suo sanguine emptos, Patri Deo præsentaret.

A σταυροῦ, καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως· αὐτὴ γάρ ἐστι καὶ ἡ δοθεῖσα ἐξουσία τῷ σκότει. Σκότος δὲ ὀνομάζει τὸν Σατανᾶν τοῖς Ἰουδαίοις ὁμοῦ κατεζευγνυσθῆναι Χριστοῦ· ἵν' ὁ μὲν σώσῃ διὰ τοῦ παθεῖν τὴν ὑπ' οὐρανὸν, καὶ ἀναβιώῃ τριήμερος, τὸ τοῦ θανάτου πατήσας κράτος, οἱ δὲ δίκην αἰώνιον τίσωσιν ὁμοῦ τῷ προδότῃ. — (A f. 294 b) Οὐ τὸ βράδος οὖν αἰτιᾶται τὸ πρὸς μιαιφονίαν, ἀλλὰ δείκνυσιν ὅτι οὐ τῆς αὐτῶν ἰσχύος ἔργον ἡ σύλληψις, ἀλλὰ τῆς αὐτοῦ βουλήσεως, τὸ ἀβούλητον πάθος οἰκονομικῶς ποιησαμένου θελητὸν, καὶ τοῦτο καιρῷ τῷ προσήκοντι παραδεξαμένου. Οὐ γὰρ δὴ αἰτιᾶται αὐτοὺς, ὅτι μὴ πρόωρον αὐτῷ τὸ πάθος ἐπήγαγον, ἀλλὰ μᾶλλον ἐλέγχει αὐτοὺς, ὡς οἰηθέντας ἀσυνέτως, ἄκοντος αὐτοῦ περιέσθαι. Τότε μὲν οὖν οὐκ ἐκρατήσατέ μου, B φησὶν, οὐ γὰρ ἐβουλόμην· οὐκ ἂν δὲ οὐδὲ εἰς τὸ παρὸν ἰσχύσατε, εἰ μὴ ταῖς ὑμετέραις χερσὶν ἐθελοντὴς ὑπενήνεγμαι. Ὥστε οὐ τῆς Ἰουδαίων ἰσχύος ἔργον ἦν τὸ θανάτῳ περιβαλεῖν τὸν Κύριον· ἀλλὰ τοῖς μὲν ἐκείνων ἀνοσίοις τολμήμασιν ἐπιγράψαι τις ἂν τὸ ἐγχείρημα· τῷ δὲ Σωτῆρι Χριστῷ, τὸ ὑπὲρ πάντων ἐθελῆσαι παθεῖν· ἵνα πάντας ἐξέληται, καὶ ἀγοράσας αἵματι τῷ ἰδίῳ, παραστήσει τῷ Θεῷ καὶ Πατρί.

V. 57. **429** *At ille negavit eum, dicens : Mulier, non novi illum.*

Fragilis fuit, prout Christus prædixerat, beatus Petrus, negavitque universalem Servatorem Christum ; neque id semel, sed ter, et quidem juratam fecit negationem. « Ait enim Matthæus cœpisse detestari et jurare se hominem non novisse [12]. » Nonnulli C dicunt jurasse discipulum, quod ignoraret factum hominem Jesum. Est hoc tamen incredibile. Quidni enim revera ipsum negasset, si incarnationis mysterium subvertisset ? Quippe sciebat simile nobis factum, id est hominem, unigenitum Dei Verbum. Namque jam manifeste confessus fuerat : « Tu es Christus, Filius Dei vivi [13]. » Nec tanquam de nobis, Filium ipsum esse Dei affirmans, ita loquebatur ; sed etiamsi humanitatis mensura comprehensum cerneret, illud quod supra omnes res creatas est, et ex Dei Patris substantia effulsit Verbum, non dubitavit agnoscere et confiteri Dei vivi Filium esse. Neque vero nos dicimus negationem hanc evenisse, ne mendax Christus fieret, sed Christum potius rei D futuræ præscium, eam discipulo nuntiavisse. Certe quod ex humana miseria, ut jam dixi, id malum acciderit, suæque conscientiæ morsibus discipulus condemnaretur, subsecuta statim lamentatio, et pœnitentiæ lacrymæ satis docebunt : namque « egressus, inquit, foras flevit amare ; » respiciente ad illum Christo, et prævias monitionis memoriam refricante. Jamvero conversus, a scopo suo non excidit ; mansit enim prout fuerat, fidelis discipulus, peccati veniam adeptus.

Ὁ δὲ ἠρνήσατο αὐτὸν, λέγων· Γύναι, οὐκ οἶδα αὐτόν.

(A f. 295, C f. 155) Ἠσθένησε κατὰ τὴν πρόρρησιν τοῦ Χριστοῦ ὁ μακάριος Πέτρος, καὶ ἠρνήσατο τὸν τῶν ὅλων Σωτῆρα Χριστὸν, καὶ οὐχ ἅπαξ, ἀλλὰ τρὶς, καὶ ἐνώμοτον ἐποιήσατο τὴν ἄρνησιν· ἔφη γὰρ ὁ Ματθαῖος, ὅτι « Ἤρξατο καταναθεματίζειν καὶ ὀμνύειν ὅτι Οὐκ οἶδα τὸν ἄνθρωπον. » Τινὲς μὲν οὖν φασιν ὁμωμοκέναι τὸν μαθητὴν, Οὐκ οἶδα ἄνθρωπον γεγονότα τὸν Ἰησοῦν· τοῦτο δὲ ἄπιστον. Πῶς γὰρ αὐτὸν οὐκ ἠρνήσατο, τῆς μετὰ σαρκὸς οἰκονομίας ἀνατρέπων τὸ μυστήριον ; ᾔδει γὰρ καθ' ἡμᾶς γεγονότα, τουτέστιν ἄνθρωπον, τὸν μονογενῆ τοῦ Θεοῦ Λόγον· καὶ γοῦν ὡμολόγησεν ἐναργῶς, ὅτι « Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. » Καὶ οὐχ ὡς ἕνα τῶν καθ' ἡμᾶς Υἱὸν αὐτὸν εἶναι Θεοῦ διαβεβαιούμενος τὰ τοιάδε φησὶν, ἀλλὰ καίτοι τοῖς τῆς ἀνθρωπότητος μέτροις ἐμβεβηκότα θεωρῶν τὸν ἐπέκεινα παντὸς γενητοῦ, καὶ ἐκ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας ἀναλάμψαντα Λόγον, οὐκ ἀπέστη τοῦ εἰδέναι καὶ ὁμολογεῖν ὡς ἔστιν αὐτὸς Υἱὸς Θεοῦ τοῦ ζῶντος. Καὶ οὐ δήπου φαμὲν ὅτι γέγονεν ἄρνησις, ἵνα μὴ ψεύσηται Χριστὸς, ἀλλ' ὅτι τὸ ἐσόμενον οὐκ ἠγνοηκώς, ἀπήγγειλε τῷ μαθητῇ. Ὅτι γὰρ ἀνθρωπίνης μικροψυχίας, ὡς ἔφην, γέγονε τὸ κακὸν, καὶ τοῖς τοῦ συνειδότος ἐλέγχοις ὁ μαθητὴς κατεκρίνετο, διδάξει ἂν εὐθὺς καὶ αὐτὸς ὁ θρῆνος, καὶ τὸ ἐπὶ τῇ μεταγνώσει δάκρυον· « Ἐξελθὼν γὰρ ἔξω, φησὶν, ἔκλαυσε πικρῶς, » προσεσχηκότος αὐτῷ τοῦ Χριστοῦ, καὶ τοῦ πρὸς αὐτὸν γεγονότος λόγου καλέσαντος εἰς ἀνάμνησιν. Ἐπιστρέψας δὲ οὐ διήμαρτε τοῦ σκοποῦ· μεμένηκε γὰρ ὅπερ ἦν, γνήσιος μαθητὴς, πεπλουτηκὼς τῆς ἀφέσεως τοῦ πλημμελήματος.

[12] Matth. xxvi, 74. [13] Matth. xvi, 16.

Digitized by Google

Ἐνέπαιζον αὐτῷ, δέροντες.

(B f. 206, C f. 155) Πρέποι ἂν εἰπεῖν τὸ προφητικὸν ἐκεῖνο· « Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἐπὶ πλέον σφόδρα, λέγει Κύριος. » Ὁ γῆς τε καὶ οὐρανοῦ Κύριος, ὁ τῶν ὅλων Δημιουργὸς καὶ Τεχνίτης, ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ Κύριος τῶν κυριευόντων, ὡς εἷς ἐξ ἡμῶν ἀτιμάζεται. — (A f. 295 b, C f. 155) Βαβαί! Ὁ γῆς καὶ οὐρανοῦ Κύριος ὡς εἷς ἐξ ἡμῶν διακαρτερεῖ τυπτόμενος, καὶ τὸν ἐκ τῶν ἀσεβῶν ὑπομένει γέλωτα, τύπον ἡμῖν τῆς εἰς ἄκρον ἀνεξικακίας παρατιθείς· ὁ γὰρ ἐτάζων καρδίας, πῶς ἂν ἠγνόησε τίς ἐστιν ὁ παίσας αὐτόν;

A

V. 63. *Illudebant ei, cædentes.*

Decet propheticum illud dicere : « Obstupuit cœlum super hoc, perhorruitque vehementer, dicit Dominus [18].» Terræ ac cœli Dominus, rerum omnium Creator et Fabricator, Rex regum et Dominus dominantium, tanquam unus de nobis contumelia afficitur. - Papæ ! Terræ ac cœli Dominus, tanquam unus de nobis verberari patitur, et impiorum risum sustinet, exemplum **430** nobis eximiæ patientiæ præbens. Nam qui corda scrutatur, quomodo ignoraret quis se percuteret ?

Καὶ ὡς ἐγένετο ἡμέρα, συνήχθη τὸ πρεσβυτέριον τοῦ λαοῦ, κ. τ. λ.

(A f. 295 b, B f. 206, C f. 155, D f. 76 b) Ἐπειδὴ ἀνισχούσης ἡμέρας, τὸ δυσσεβὲς αὐτῶν συναγήγερτο βουλευτήριον, παρεκομίζετο μὲν εἰς μέσον ἀθέσμως ἐξυβριζόμενος ὁ Μωϋσέως καὶ προφητῶν Δεσπότης· διεπυνθάνετο δὲ ὁ ὑβριστὴς Ἰουδαῖος, εἰ αὐτός ἐστιν ὁ Χριστός ; Ἀλλ' εἴποι τις ἂν πρὸς αὐτούς· Εἰ μὲν ἀγνοῶν ἐρωτᾷς, πῶς οὐκ ἔδει πρὶν ἂν μάθῃς τὸ ἀληθὲς, κατὰ μηδένα λυπῆσαι τρόπον, μὴ ἄρα πως Θεῷ προσκρούσειας ; Εἰ δὲ ὑποπλάττῃ τὴν ἄγνοιαν, εὖ εἰδὼς αὐτὸν ὄντα Χριστὸν, ἀκούσῃ λέγοντος ἱεροῦ Γράμματος· « Θεὸς οὐ μυκτηρίζεται. » Διὸ καὶ ὁ Χριστὸς πρὸς αὐτούς· « Ἐὰν ὑμῖν εἴπω, » καὶ τὰ ἑξῆς· ποῦ γὰρ ἀκούσαντες ἐπιστεύσατε ; ποῦ δὲ ἐρωτώμενοι σεσιγήκατε ; Τί δέ, εἰπέ μοι, πολυπραγμονεῖς, καὶ παρ' αὐτοῦ μανθάνειν ἀξιοῖς, εἰ αὐτός ἐστιν ὁ Χριστὸς, καίτοι μετὸν εὐκόλως ἀπό τε νόμου καὶ προφητῶν τὴν ἐπ' αὐτῷ γνῶσιν ἐλεῖν ; Ἀλλ' ἄπιστοι ὁμολογουμένως καὶ ἀσύνετοι παντελῶς, ὁμοῦ τοῖς ὑπὸ χεῖρα λαοῖς, οἱ τῶν Ἰουδαίων καθηγηταί. Ἐρομένοις τοίνυν εἴπερ ἐστὶν ἀληθῶς αὐτὸς ὁ Χριστὸς, καὶ αὐτὸ δὴ τοῦτο μαθεῖν ἐθέλουσιν· « Ἐὰν εἴπω, φησὶν, οὐ μὴ πιστεύσητε· καὶ ἐὰν ἐρωτήσω ὑμᾶς, οὐ μὴ ἀποκριθῆτε. » Ποῦ τοιγαροῦν ἀκούοντες οὐ πεπιστεύκασι ; Ποῦ δὲ σεσιγήκασιν ἐρωτώμενοι ; Ἀνελθὼν Χριστὸς εἰς Ἱεροσόλυμα, εὗρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας πρόβατα, καὶ βόας, καὶ περιστερὰς, καὶ τοὺς κερματιστὰς καθημένους· καὶ ποιήσας, φησὶν, ὡς φραγέλλιον ἐκ σχοινίων, ἐξέβαλε πάντας ἐκ τοῦ ἱεροῦ, λέγων· « Μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρός μου οἶκον ἐμπορίου. » Ἐπειδὴ τοίνυν ὠνόμαζε Πατέρα τὸν Θεὸν, πρὸς τοῦτο ἀσχάλλοντες οἱ τὰς ἐν τῷ ναῷ τελοῦντες θυσίας, ἐπεπήδων λέγοντες· « Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς ; » Καὶ πρός γε ταῦτα Χριστός· « Τὸ βάπτισμα Ἰωάννου, πόθεν ἦν ; » Οἱ δὲ εἶπον· « Οὐκ οἴδαμεν. » Ἤρετο δὲ καὶ ἑτέρωθί που, λέγων· « Τί δοκεῖ ὑμῖν περὶ τοῦ Χριστοῦ ; τίνος υἱός ἐστιν : Οἱ δὲ εἶπον· Τοῦ Δαβίδ. Εἶτα πρὸς αὐτούς ὁ Κύριος ἔφη· Πῶς οὖν Δαβὶδ ἐν πνεύματι Κύριον αὐτὸν καλεῖ ; » Καὶ πρὸς τοῦτο πάλιν σεσιγήκασι. Καὶ ἑτέρωθι πάλιν εὑρήσεις πολυπραγμονῶν τὰ παραπλήσια ἐν τοῖς θείοις Εὐαγγελίοις. Διὰ τοῦτο οὐδὲν αὐτοῖς ὑποκρίνεται, ἐλέγχει δὲ ἀπίστους ὄντας

B

C

D

V. 66. *Et ut factus est dies, convenerunt seniores plebis*, etc.

Postquam illucescente die, impium illorum coactum fuit concilium, constituebatur in medio inique illusus Moysis ac prophetarum Dominus; interrogabatque eum contumeliosus Judæus, num ipse esset Christus? Sed merito aliquis his diceret : Si ignorans interrogas, quidni oportuit, antequam veritatem cognosceres, nullo modo illum vexare, ne forte Deum offenderes? Quod si ignorantiam simulas, cum alioqui scias hunc esse Christum, audies sacram clamantem Litteram : « Deus non irridetur [16]. » Quamobrem Christus quoque ad eos : « Si vobis dixero, » etc., ecquando enim rei auditæ credidistis? ecquando rogati siluistis? Cur autem, dic mihi, curiose agis, atque ab eo discere vis, num sit ipse Christus, cum facile liceat tum ex lege tum ex prophetis notitiam ejus sumere ? Sed enim vere increduli et omnino vecordes, una cum subjecta plebe, Judæorum principes. Rogantibus itaque num ipse esset revera Christus, idque apprime volentibus scire ; « Si dixero, inquit, non creditis; et si vos interrogavero, non respondebitis. » Quandonam ergo audientes, non crediderunt ? Quandonam interrogati, siluerunt? Reversus Christus Hierosolyma, reperit in templo vendentes oves et boves atque columbas, nummulariosque sedentes : factoque, inquit, veluti flagello de funiculis, omnes templo expulit dicens :« Nolite facere domum Patris mei, domum negotiationis [17]. » Quoniam Patrem nominavit Deum, ægre id ferentes qui in templo sacrificabant, adversabantur aientes : « In qua potestate hæc facis [18] ? » Contra hos Christus: « Baptisma Joannis unde erat ? » Dixerunt illi : « Nescimus [19]. » Alias quoque interrogavit : « Quid vobis videtur de Christo ? Cujus filius est? Illi dixerunt : Davidis. Quibus Christus : Quomodo **431** ergo David in Spiritu Dominum ipsum vocat [20] ? » Ad hæc denuo obmutuerunt. Alia alibi, si vestigaveris, similia in sacris Evangeliis comperies. Propterea nihil iis respondet, sed incredulos contumacesque coarguit. Oportebat enim, si certe voluissent, intelligere Davidis quoque esse Dominum uti Deum Dominique ac Dei Patris Filium consubstantialem,

[16] Jerem. II, 12. [17] Galat. VI, 7. [17] Joan. II, 13 seqq. [18] Luc. XX, 2. [19] ibid. 4 seqq. [20] Matth. XXII, 42-46.

Digitized by Google

Davidis autem filium secundum carnem. Quandoquidem qui Deus erat nobis apparuit, factusque est similis nobis homo de Davidis semine, ex Judæ tribu secundum Scripturas.

φάνεν ἡμῖν καὶ γέγονε καθ' ἡμᾶς ἄνθρωπος, ἐκ Γραφάς.

V. 69. *Exin autem erit Filius hominis sedens a dextris virtutis Dei.*

Ut autem graviorem efficiat Judaicæ incredulitatis pœnam, manifestam suam ostendit gloriam, dicens : « Exin erit Filius hominis sedens a dextris virtutis Dei. » Me, inquit, qui vestram formam assumpsi, Deique Filius sum naturalis, nullo in pretio habuistis. Quoniam igitur in tanta ignorantia versantes, neque Patris neque meum nostis mysterium, quanquam legisperiti, necessario mio breve vobis tempus esse concessum sceleste contra me agendi usque ad crucem. Posthinc enim in meum restituar honorem, et cum carne mea Deo Patri consessor ero. Hæc dicente Christo, Pharisæorum ad effrenatam iram cohors exarsit. Dictum illud ad blasphemiæ prætextum trahunt (1), jamque testimonio egere se negant, qui suismet auribus loquentem audiverant. Sed heus improbi atque insipientes! Petistis scire utrum ipse esset Christus? Docuit vos se naturaliter vereque Dei Patris esse Filium, et cum illo in Deitatis throno sedere. Hinc ergo apprime licebat cognoscere ipsum esse Christum. Cur vero salutis viam vobis effecistis ruinæ occasionem (2)?

Ἀπὸ τοῦ νῦν ἔσται ὁ Υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν δυνάμεως τοῦ Θεοῦ.

(A f. 295 b) Ἵνα δὲ φορτικωτέραν Ἰουδαίοις ἐργάσηται τὴν ἐπὶ τῷ μὴ θέλειν πιστεῦσαι δίκην, ἐναργῆ τὴν αὐτοῦ καθίστησι δόξαν εἰπών· « Ἀπὸ τοῦ νῦν ἔσται ὁ Υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ Θεοῦ. » Ἐμέ, φησὶ, τὸν ἐν εἴδει τῷ καθ' ὑμᾶς γεγονότα, Υἱὸν φύσει τοῦ Θεοῦ ὄντα, ἐν οὐδενὶ λόγῳ πεποιήσθε. Ἐπεὶ οὖν εἰς τοῦτο ἀμαθίας καταβεβηκότες, τὸ αὐτοῦ τε καὶ τὸ ἐμὸν οὐκ ἴστε μυστήριον, καίτοι νομομαθεῖς ὄντες, ἀναγκαίως ἐκεῖνό φημι, ὅτι τῆς κατ' ἐμοῦ δυσσεβείας βραχὺς ὑμῖν ἐδόθη καιρὸς ὁ μέχρι τοῦ σταυροῦ· μετὰ γὰρ τοῦτο εὐθὺς εἰς τὴν ἐμαυτοῦ παλινδρομήσω τιμήν, καὶ σύνεδρος ἔσομαι τῷ Θεῷ καὶ Πατρὶ μετὰ σαρκός. Ταῦτα λέγοντος τοῦ Χριστοῦ, τὸ τῶν Φαρισαίων ἀνεκαύθη στίφος εἰς ἀκαθέκτους ὀργάς· ἁρπάζουσι τὴν φωνὴν εἰς πρόφασιν δυσφημίας, οὐδὲ μιᾶς μαρτυρίας ἔτι δεῖσθαί φασιν, ὡς αὐτήκοοι γεγονότες τῶν λόγων αὐτοῦ. Ἀλλ', ὦ πονηροὶ καὶ ἀνόητοι! Ἠξιοῦτε μαθεῖν εἴπερ ἐστὶν αὐτὸς ὁ Χριστός; Ἐδίδαξεν, ὡς φύσει καὶ ἀληθῶς ἐστιν Υἱὸς τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ σὺν αὐτῷ τοὺς τῆς Θεότητος ἔχει θρόνους. Ἐντεῦθεν ἦν μάλιστα μαθεῖν ὅτι αὐτός ἐστιν ὁ Χριστός. Τί δήποτε τὴν τῆς σωτηρίας ὁδὸν ὀλέθρου πρόφασιν ἑαυτοῖς ἀπεφήνατε;

432 CAP. XXIII.

V. 1. *Duxerunt eum ad Pilatum.*

Jesum ad Pilatum pertraxerunt, et ipsi vicissim Romanorum exercitibus traditi fuere. Completæque sunt prophetarum de iis prædictiones. « Væ impio! prava manuum ipsius opera evenient ei [21]. » Alius autem : « Sicut fecisti, ita erit tibi; retributio tua retribuetur tibi in caput tuum [22]. » Quid porro Pilato aiunt? Nempe conflictas adversus communem nostrum Servatorem calumnias.

ΚΕΦΑΛ. ΚΓ'.

Ἤγαγον αὐτὸν ἐπὶ Πιλάτον.

(C f. 155 b) Ἐπήγαγον Πιλάτῳ τὸν Ἰησοῦν, παρεδόθησαν καὶ αὐτοὶ ταῖς Ῥωμαίων στρατιαῖς. Καὶ πεπλήρωται τὰ διὰ τῶν ἁγίων προφητῶν ἐπ' αὐτοῖς προεπηγγελμένα· « Οὐαὶ τῷ ἀνόμῳ! πονηρὰ κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ συμβήσεται αὐτῷ. » Ὁ δὲ, « Καθὼς ἐποίησας, οὕτως ἔσται σοι· τὸ ἀνταπόδομά σου ἀνταποδοθήσεταί σοι εἰς κεφαλήν σου. » Τί δὲ δὴ καὶ Πιλάτῳ φασί; Τὰς κατὰ τοῦ πάντων Σωτῆρος ἡμῶν Χριστοῦ συντιθέντες συκοφαντίας.

V. 2. *Hunc invenimus prohibentem tributa dare Cæsari.*

Quandonam porro tributa dare Cæsari vetuit? Atqui de vestris misistis nonnullos cum Herodianis, qui tentarent dicentes · « Magister, licet tributa dare Cæsari, annon? » Mox ad hæc Christus : « Ostendite mihi census denarium; » rogabatque cujusnam haberet imaginem atque inscriptionem oblatus denarius? Qui cum dixissent, Cæsaris;

Τοῦτον εὕρομεν κωλύοντα Καίσαρι φόρους δι-
δόναι.

